# An edition of Prochoros Cydones' (ca. 1330-1369/71) unpublished Greek translation of Thomas Aquinas' *Quaestiones disputatae de potentia* and *Quaestio disputata de spiritualibus creaturis*.

MICHAIL KONSTANTINOU-RIZOS

**A thesis submitted for the degree of Doctor of Philosophy**
**at the University of London (Royal Holloway and Bedford New College)**

**August 2017**

Candidate's declaration:

I confirm that this PhD thesis is entirely my own work. All sources and quotations have been acknowledged. The main works consulted are listed in the bibliography.

Candidate's signature:

Date:

Στοὺς γονεῖς μου καὶ
στοὺς δασκάλους μου
γιὰ *τὸ ζῆν*
καὶ γιὰ τὸ *εὖ ζῆν*

**Abstract**

**An edition of Prochoros Cydones' (ca. 1330-1369/71) unpublished Greek translation of Thomas Aquinas' *Quaestiones disputatae de potentia* and *Quaestio disputata de spiritualibus creaturis***

The thesis is a case-study of the transmission of Latin philosophical and theological texts in Byzantium in the fourteenth and fifteenth centuries, on the basis of an edition of the hitherto unpublished Greek translations of two of Thomas Aquinas' *Quaestiones disputatae of Thomas Aquinas, D*e *potentia* and *De spiritualibus creaturis*, by the Byzantine scholar and theologian Prochoros Cydones (ca. 1330-1369/71). These two works are the only cases of this distinct, university-based philological genre, which emerged in Western Europe from early thirteenth century onwards, that were translated into Greek in Late Byzantium. The thesis also investigates Cydones' metaphrastic process in the light of the transmission of these two texts in the extant Greek manuscripts compared against the edited Latin text.

The thesis comprises an **Introduction,** three **Parts** (**I-III**) and a **Conclusion**.

The **Introduction** consists of two **Sections** (**1**-**2**)**. Section 1** presents the aims and scope of the thesis, the approach and methodology, and discusses the subject of translations of philosophical and theological texts in Byzantium and the West considering also previous scholarship. **Section 2** gives information on Prochoros Cydones, placing his life and activities in the historical and cultural context of the intellectual and theological dialogue between East and West in that period, focusing on the two texts edited in the thesis as part of the reception of Thomism in Byzantium.

**Part I** gives a description of the extant manuscripts (MSS) transmitting the two translations, followed by a textual and palaeographical examination of the Greek text, in order to establish the relations of the MSS and reconstruct the *stemmata codicum*. The printed editions of the Latin text are also briefly presented.

**Part II** contains the edition of the two translations, accompanied by an *apparatus criticus* and an *apparatus fontium*, preceded by a note on the editorial conventions and the *sigla* and abbreviations used in the apparatuses.

**Part III** is devoted to a detailed examination of the method and technique Cydones used in rendering the two original Latin texts into Greek through a philological commentary (including a lexical and stylistic analysis) based on a collation of his Greek translations with the Latin original texts in the modern critical editions.

The **Conclusion** summarises the findings of the research and assesses the impact of Prochoros Cydones' translations of these two Thomistic texts on Late Byzantine literature in particular, and his contribution to the efforts of scholars, theologians and intellectuals of his time to bridge the Greek East and the Latin West in general.

The thesis closes with full **bibliography** and Plates with **facsimiles** of selected folios of MSS cited therein.

## Table of Contents


**Abstract** 4

**Table of Contents** 5

**Acknowledgments** 6

**List of Plates** 9

**Introduction** 10

1. The transmission of philosophical and theological writings in Late Byzantium 10
2. Prochoros Cydones and his translations of Thomistic works 13
3. Circumstances of Prochoros' translations of the two *Quaestiones disputatae* 20

**Part I: The manuscript tradition of the translations of the *Quaestiones disputatae*** 23

1. Description of the extant Greek manuscripts 23
2. Textual and palaeographical examination of the translations 31
3. Printed editions of the Latin text 49
4. Relation of the Greek manuscripts and *stemmata codicum* 51

**Part II: Edition of the translations of the *Quaestiones disputatae*** 53

1. Editorial conventions 53
2. Sigla & abbreviations 55
3. Abbreviations used in the *apparatus fontium* 56
4. Editio princeps Prochori Cydonis versionis graecae S. Thomae Aquinatis *Quaestionum disputatarum de potentia* 60
4. Editio princeps Prochori Cydonis versionis graecae S. Thomae Aquinatis *Quaestionis disputatae de spiritualibus creaturis* 731

**Part III: Prochoros Cydones' translations of the *Quaestiones Disputatae*** 916

1. Method and technique 916
2. Reception and impact of Prochoros' translations 933

**Conclusions** 939

**Bibliography** 945

**Plates** 955

## Acknowledgments

Ταῦτα εὕρηται μόνα· εἰ δέ τις καὶ τὰ λοιπὰ ζητήσας εὕροι καὶ τοῖς παροῦσι τὰ εὑρημένα προσθείη, οὐκ ὀλίγον ὠφελείας συνεισοίσει τοῖς φιλολόγοις, ἅμα δὲ καὶ ἡμῖν χαριεῖται οὐκ ὀκνῶν καὶ τὰ παρ' ἡμῶν ἑρμηνευθέντα διορθώσασθαι· ἐν πολλοῖς γὰρ ἦσαν ἐφθαρμένα τὰ ῥωμαϊκὰ γράμματα· ὅθεν τὴν τοῦ μακαρίου τούτου διάνοιαν ἀναλαμβάνοντας ἐχρῆν ἑρμηνεύειν.

Demetrios Cydones, *Florilegium from Augustine's works*, ed. Kalamakis, p. 138.

This thesis owes its existence to a discussion I had in December 2012 with Dr John Demetracopoulos concerning the *Thomas de Aquino Byzantinus* ongoing international research project and the prospect of my involvement in this ambitious collaborative task. From that point on, my eros for palaeography and Greek and Latin language and literature conspired. The result is the present *editio princeps* of Aquinas' *Quaestiones disputatae de potentia* and *Quaestio disputata de spiritualibus creaturis* in Greek translation by Prochoros Cydones. I hope that my work is a small contribution to the exploration of the reception of Thomistic thought in late Byzantium.

In the long process of this work, I received invaluable guidance from my supervisor Dr Charalambos Dendrinos and my advisers Professor Anne Sheppard and John A. Demetracopoulos. I am deeply indebted to them for their patience and unfailing scholarly and personal support and encouragement. I would also like to express my warm thanks to the examiners of the thesis, Revd Professor Richard Price (Heythrop College, University of London) and Professor Marcus Plested (Marquette University) for their meticulous reading, valuable corrections and advice, and constructive criticism and comments on my work.

The research was conducted in the following libraries and I would like to thank their staff for their kind assistance: in Athens, the National Library of Greece, the Gennadius Library, the Blegen Library, the School of Philosophy Libraries, University of Athens, the Eugenides Foundation Library; the Library of the University of Leeds; and in London, The British Library, the libraries of the Warburg Institute, Institute of Historical Research, Institute of Classical Studies, University College London, and Heythrop College, University of London. Last but not least, the Founder's and Bedford libraries of Royal Holloway, University of London, where I spent considerable time during my MA studies and doctoral research.

My studies in Britain would not have been possible without scholarships and generous grants I received from the Foundation for Education and European Culture (Postgraduate Scholarship, 2010-16), the RHUL Hellenic Institute (Panagiotis and Eleni Xenou Postgraduate Studentship, 2010-11/2012-13; Julian Chrysostomides Memorial Bursary, 2013-14; and Ecumenical Patriarch Bartholomaios I Postgraduate Studentship, 2014-16); and the Stavros Niarchos Foundation (Research Scholarship, 2016-17). To these institutions and their Trustees I would like to express my profound thanks for their moral and financial support.

Among teachers and scholars, I owe deep gratitude to Mr Brian Cleary, Professor David Crystal, Ms Carlotta Dionisotti, Professor Jonathan Harris, Dr Dimitra Kokkini, Dr Anthony Luttrell, Dr Antony Makrinos, Dr Maria Politi, Professor Dennis Searby, Professor Theodoros Pikoulas, Professor Georgios Steiris, Mr Philip Taylor, Professor Aristea Tolia and Professor Georgios Vasilaros. I would like to express my warm thanks to them for their help and guidance. To Professor Agamemnon Tselikas I owe a particular debt, for it is he who introduced me to the world of Greek and Latin palaeography at the Center for History and Palaeography, National Bank Cultural Foundation (MIET), Athens, during my undergraduate studies. Professor Nikos Moschonas has been pivotal in my training in Medieval Latin, Latin paleography and diplomatics at the Seminar of Historical Studies, Hellenic National Research Foundation throughout my undergraduate and postgraduate studies.

Among colleagues and good friends I owe particular thanks to Dr Christopher Hobbs, Mr James Holt, Dr Maria Litina, Dr Anthony Luttrell and the late Margaret Luttrell, Mr Elliot Mason, Dr Fevronia Noussia, Dr Nil Palabiyik, Dr Konstantinos Palaiologos, Dr Vasilis Pasiourtides, Dr Christos Triantafyllopoulos, Miss Rania Vachlioti, and Dr Christopher Wright.

Special thanks go to my close friends, Danae Baffa, Constantinos Balamoshev (also his wife Ewa Golic and baby Teodor), Peter Gann, Richard Garnier, Konstantinos Koutsikouris, Nick Merris, Andrew and Marianne Nobbs, Moa Näsström, Despoina Panagiotou and her wider family, and Priyasmita Sinha.

Finally, I would like to offer my deepest gratitude to my family, my mother Anastasia, my father Georgios, my twin brother Sotiris and my tabby cat Maura for their faith in me and their unfailing support. The same for my second home, Charalambos' family, Maria, Giannis, Mathilde, Manolis and their bunny Bessarion.

London, 26th August 2017

## List of Plates

**Plate 1** Bibliothèque nationale de France, *Par. gr.* 96, f. 1$^{r}$

**Plate 2** Bibliothèque nationale de France, *Par. gr.* 96, f. 315$^{r}$

**Plate 3** Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <I>

**Plate 4** Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <II>

**Plate 5** Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <III>

**Plate 6** Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <IV>

**Plate 7** Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. 24

**Plate 8** Leonina edition by J. Cos, *Sancti Thomae De Aquino opera omnia iussu Leonis XIII P.M. edita cura et studio fratrum Praedicatorum*. *Quaestio disputata de spiritualibus creaturis*, t. 24, 2 (Rome/Paris, 2000), p. 3

**Plate 9** Turin edition by Paul M. Pession (ed.), *S. Thomae Aquinatis doctoris angelici, Quaestiones disputatae*, t. 2: *Quaestiones disputatae de potentia* (Marietti: Turin/Rome, 1949; editio VIII revisa), p. 7

## Introduction

### 1. The transmission of Latin philosophical and theological writings in Late Byzantium

Riding on a donkey along the Appian Way, on his way to the Second Council of Lyons, convened by pope Gregory X (1271-1276) in the hope of putting an end to the schism between the Eastern and Western Christendom, Thomas Aquinas (b. ca. 1225)[1] was injured by the branch of a fallen tree which hit him on his head. Thomas had been invited by the Pope to participate in the council by virtue of his undisputable position as one of the greatest western theologians of his time. Unfortunately, he was not destined to be present in this crucial event in the history of the relations between the Greek Orthodox and Roman Catholic Churches. Despite efforts by the friars at Monte Cassino and subsequently at the Cistercian Abbey of Fossanova to help him convalesce, the *doctor angelicus* died on 7 March 1274, before he had reached Lyons.[2] At the council the doctrine of the dual procession of the Holy Spirit from the Father and the Son 'not as from two principles, but as from one principle; not by two spirations, but by one single spiration', as crystallized in Thomas' teaching, in particular his *Summa theologiae*,[3] was professed as the accepted universal doctrine.[4] This was an attempt to reconcile the divergent Greek and Latin theological views on this thorny doctrinal issue that separated, and still separates, the two churches.[5] At the closing session of the council the Byzantine emperor Michael VIII Palaiologos (1261-1282) accepted the primacy of the Church of Rome, committing himself in persuading the Byzantine clergy and people to follow his example.[6] His determination to bring about the ecclesiastical union between Rome and Constantinople in order to secure political, financial and military help in response to the Ottoman advance, without necessarily

---

[1] On Thomas Aquinas's life and work see J.-P. TORRELL, *Initiation à Thomas d'Aquin (*Paris, 2002), trans. R. ROYAL, *Saint Thomas Aquinas* (Washington, DC, 2003).

[2] On these incidents see J.-P. TORRELL, *Initiation*, trans. Royal, *Saint Thomas Aquinas*, pp. 290-293.

[3] THOMAS AQUINAS, *Summa theologiae* Ia 36.2-4; esp. Resp. ad 4.

[4] *Second Council of Lyons*, Constitution II.1, ed. and trans. N. P. TANNER, *Decrees of the Ecumenical Councils*, vol. I: *Nicaea I to Lateran V* (London/Washington, DC, 1989), pp. 314.9-11, *314.

[5] See A. E. SIECIENSKI, *The Filioque. History of a Doctrinal Controversy* (Oxford/New York, 2010).

[6] See D. J. GEANAKOPLOS, *Emperor Michael Palaeologus and the West, 1258-1282: a study in Byzantine-Latin relations* (Oxford, 1959).

securing the consent of the majority of the Byzantine clergy and people, was misjudged and eventually would bring about the opposite result, namely division within the Byzantine church and society.[7] The theological and political repercussions of this unionist council together with the influence of Aquinas' thought in Byzantium were decisive in shaping the intellectual climate and directions in the last two centuries of the Empire.[8]

This council was one of a number of attempts to unite the two halves of Christendom, since the capture and sack of Constantinople in April 1204 and the subsequent partition of the Empire among the Western powers. Despite his efforts to impose the Union signed by him and certain Byzantine officials at the council, Michael VIII did not succeed as he faced strong reaction in the Empire, fuelled by his persecutions of anti-Latin and anti-unionist clergy and laity.[9] Michael's policy was largely followed by the majority of his successors, with the exception of Andronikos II Palaiologos (1282-1328) and the usurper emperor John VI Cantacuzenus (1347-1354).[10] As a result the Byzantine society was in a state of internal crisis.[11]

The effect of the Latin occupation of the Empire (1204-1261), the proselytising activity of the Latin church among the Orthodox populations and the insistence of the papacy in compelling the Orthodox Church to submit to the Pope and accept the Latin theological doctrines in return for help against the Ottomans, created antagonism, suspicion and resentment on the part of many Byzantines, which was difficult to appease. At the same time, Byzantine intellectuals and theologians, often at the

---

[7] See D.M. NICOL 'The Greeks and the Union of the Churches: The Preliminaries to the Second Council of Lyons, 1261-1274', in *Medieval Studies presented to Aubrey Gwynn, S.J.*, eds. J.A. Watt et al. (Dublin, 1961); idem, 'The Byzantine Reaction to the Second Council of Lyons, 1274', Studies in Church History, VII (Cambridge, 1971); both articles reprinted in D.M. NICOL, *Byzantium: its ecclesiastical history and relations with the western world* (Variorum: London, 1972), respectively art. V, pp. 454-80; art. VI, pp. 113-146. See also M. HINTERBERGER and CH. SCHABEL (eds.), *Greeks, Latins, and Intellectual History 1204-1500*, Recherches de Théologie et Philosophie médiévales, Bibliotheca 11 (Leuven/Paris/Walpole, MA, 2011).

[8] See D.M. NICOL, *The Last Centuries of Byzantium, 1261-1453* (Cambridge, 1972), pp. 60-63.

[9] T.M. KOLBABA, 'Repercussions of the Second Council of Lyon (1274): Theological Polemic and the Boundaries of Orthodoxy', in *Greeks, Latins, and Intellectual History 1204-1500*, pp. 43-68.

[10] See NICOL, *Last Centuries*, pp. 99-171, 217-261.

[11] The most important controversies involved the Arsenian schism (13th c.), the hesychast controversy (14th c.), and the question over the Union of the Churches which dominated the foreign policy of the Palaeologi emperors until the fall of the Empire to the Ottomans in 1453. See J.M. HUSSEY, *The Orthodox Church in the Byzantine Empire* (Oxford 1986, repr. 1990), pp. 220-247, 252-286.

instigation and support of the imperial court, acted as a bridge between the two sides in an attempt to bring about understanding and reconciliation.[12]

It is in this context that certain Byzantine scholars started translating spiritual, theological and philosophical works of Latin fathers and other authors, including Augustine, Boethius, Anselm of Canterbury and, above all, Thomas Aquinas.[13] His *Summa contra Gentiles* was translated by Demetrios Cydones in 1354, encouraged by the theologian emperor John VI Kantakouzenos (1347-1354).[14] This translation, which remains unedited,[15] set the basis for a serious discussion among the Orthodox, Latin and Latinophile theologians over fundamental doctrines of the Christian faith, giving rise to a large number of works in defence of, or in opposition to, Thomistic teachings.[16]

---

[12] See D.J. GEANAKOPLOS, *Byzantine East and Latin West* (Oxford, 1966); idem, *Byzantium and the Renaissance* (Hamden, CN, 1973); idem, *Constantinople and the West* (Madison, WI/London, 1989); S. G. PAPADOPOULOS, 'Thomas in Byzanz. Thomas-Rezeption und Thomas-Kritik in Byzanz zwischen 1354 und 1435', *Theologie und Philosophie* 49 (1974), 274-304; W. BERSCHIN, *Griechisch-lateinisches Mittelalter: von Hieronymus zu Nikolaus von Kues* (Berlin/Munich, 1980); C.N. CONSTANTINIDES, *Higher Education in Byzantium in the Thirteenth and Early Fourteenth Centuries* (Nicosia, 1982); F. TINNEFELD, 'Intellectuals in Late Byzantine Thessalonike', *Dumbarton Oaks Papers* 57 (2003), 153-172; S. MERGIALI, *L'enseignement et les lettrés pendant l'époque des Paléologues (1261-1453)* (Athens, 1996); S. LAMPAKES, 'Οι ελληνομαθείς λόγιοι στο πλαίσιο των πνευματικών αλληλεπιδράσεων Ανατολής—Δύσης από τον 12$^{o}$ έως τον 14$^{o}$ αιώνα', ed. N.G. MOSCHONAS, *Η Τέταρτη Σταυροφορία και ο ελληνικός κόσμος* (Athens, 2008) 327-341; HINTERBERGER and SCHABEL (eds.), *Greeks, Latins, and Intellectual History*; Ch. DENDRINOS and J. A. DEMETRACOPOULOS (eds.), *When East met West: the Reception of Latin Philosophical and Theological Thought in Late Byzantium : Acts of the Institute of Classical Studies International Byzantine Colloquium, London, 11-12 June 2012* (= *Nicolaus*, Rivista di teologia ecumenico-patristica, fasc. 1) (Bari, 2013).

[13] These include Manuel Holobolos (b. ca. 1245, d. 1310-1314), Maximos Planoudes (ca. 1255-1305), Manuel Calecas (d. 1410), George Gemistos-Plethon (ca. 1355 – 1452/1454), Bessarion (1403-1472), George Scholarios (ca. 1400-1473), and Theodore Gazes (ca. 1398-1475): see J.A. DEMETRACOPOULOS, 'Latin Philosophical Works Translated into Greek', in *The Cambridge History of Medieval Philosophy*, eds. R. Pasnau and Ch. Van Dyke, vol. II (Cambridge, 2014$^{2}$), pp. 822–826, who gives a list of all extant Greek translations with their dates and authors.

[14] The great popularity of the Greek translation of Thomas Aquinas' *Summa theologiae* and *Summa contra gentiles* by the Cydones brothers led many distinguished Byzantines to convert into the Roman Catholic Church; the most important of them were Demetrios Cydones, Manuel Calecas, Manuel Chrysoloras (ca. 1350-15.IV.1415) and Maximos Chrysoberges (d. 1410-1429). See above note 13.

[15] Ed. A. FYRIGOS, 'Sancti Thomae de Aquino Summae contra gentiles versio Demetrii Cydonis cum correctionibus additamentis et scholiis Bessarionis Cardinalis Nicaeni', *Rivista di Studi Bizantini e Neoellenici* N.S. 48 (2011), 193-246.

[16] S. G. PAPADOPOULOS, *Ἑλληνικαὶ μεταφράσεις θωμιστικῶν ἔργων. Φιλοθωμισταὶ καὶ ἀντιθωμισταὶ ἐν Βυζαντίῳ* (Athens, 1967), pp. 78-172.

## 2. Prochoros Cydones and his translations of Thomistic works

Contrary to Demetrios Cydones, whose life and work is well documented and has been extensively studied,[17] not much is known about his brother Prochoros' life.[18] Most of our information comes from Demetrios' Letters and the Synodal Tome of 1368 that condemned him. Demetrios' younger brother by almost eleven years, Prochoros, was born c. 1333/4. Sharing his brother's intellectual interests and spiritual pursuits, he traveled to Mount Athos sometime after 1350. There he was tonsured and later ordained priest in the Great Lavra. We do not know in what way he learned Latin, though it is possible that he was taught by his brother, who had learnt the language from a Dominican friar in Pera, probably Philippo de Bindo Incontris.[19] His admiration for Latin scholastic thought and his expressed anti-Palamite theological convictions proved incompatible with his position within the strongly pro-Palamite community on Mount Athos.

Soon, his anti-Palamite convictions reached the ears of the Patriarch Philotheos. In 1366, some of Prochoros' fellow monks complained about his attitude. A year later, on the first Sunday of Lent in 1367, although Prochoros was required to read out and sign

---

[17] For a comprehensive bibliography on Demetrios, see J.R. Ryder, *The Career and Writings of Demetrius Cydones: A Study of Fourteenth-Century Byzantine Politics, Religion and Society* (Leiden, 2010).

[18] See E. Trapp, H.-V. Beyer, I. G. Leontiades and S. Kaplaneres (eds.), *Prosopographisches Lexikon der Palaiologenzeit,* fasc. 12, Vienna, 1990, no. 13883. See also G. Mercati, *Notizie di Procoro e Demetrio Cidone, Manuele Caleca e Teodoro Meliteniota: ed altri appunti per la storia della teologia e della letteratura bizantina del secolo XIV*, Vatican City, 1931; T. Tyn, 'Prochoros und Demetrios Cydones: der byzantinische Thomismus des XIV Jahrhunderts', in *Thomas von Aquino: Interpretation und Rezeption*, ed. W. Eckert (Mainz, 1964), pp. 837-912; G. Podskalsky, *Theologie und Philosophie in Byzanz. Der Streit um die theologische Methodik in der spätbyzantinischen Geistesgeschichte (14./15. Jahrhundert* (Munich, 1977), pp. 207-209; F. Tinnefeld, *Demetrios Cydones: Briefe*, vol. I.1, Bibliothek der griechischen Literatur 12 (Stuttgart, 1981), pp. 237-244; N. Russell, 'Prochoros Cydones and the Fourteenth-Century Understanding of Orthodoxy', in *Byzantine Orthodoxies: Papers from the Thirty-Sixth Spring Symposium of Byzantine Studies*, eds. A. Louth and A. Casiday (Aldershot, 2006), pp. 75-91; M. Plested, *Orthodox Readings of Aquinas* (Oxford, 2012), pp. 73-84; J.A. Demetracopoulos, 'Prochoros Cydones', in *Encyclopedic Dictionary of the Christian East,* ed. E.G. Farrugia (Rome, 2015), pp. 582-583; idem, 'Prochoros Cydones', in *Grundriss der Geschichte der Philosophie. Begründet von Fr. Überweg. Die Philosophie des Mittelalters. Band 1/1: Jüdische und byzantinische Philosophie. Bandteil: Byzantinische Philosophie,* ed. Kapriev G. (Basel: Schwabe-Werlag, forthcoming).

[19] J.A. Demetracopoulos, 'Demetrius Cydones' Translation of Bernardus Guidonis' List of Thomas Aquinas' Writings and the Historical Roots of Byzantine Thomism', in *1308. Eine Topographie historischer Gleichzeitigkeit*, eds. A. Speer and D. Wirmer, Miscellanea Mediaevalia, 35 (Berlin/New York, 2010), pp. 827-881 at 834-835.

at the synaxis the Synodal Tome against Barlaam and Akindynos, he continued expressing his hostility to Gregory Palamas' (c. 1296-1357) teachings. His cell was subsequently searched and Prochoros was found to possess 'heretical books'. On this pretext, he was expelled by his superior, Jacob Trikanas. His condemnation led his brother Demetrios to go public against the – officially sanctioned by the Byzantine Church (1341; 1351; 1368) – Palamite version of hesychasm, as is evident in some of his letters. Prochoros himself wrote a letter to Philotheos in the early summer of 1367, complaining about the dishonourable defamation (συκοφαντία) and injustice (ἀδικία) against him.[20] He also sent his refutations of Palamism, including his work *De essentia et operatione*,[21] inviting the Patriarch to read and judge for himself. The reason for composing these works, he said, was to vindicate 'the great mystery of theology' (τὸ μέγα τῆς θεολογίας μυστήριον), which God wished to keep partly inaccessible to man and which was distorted by the 'novel inventors of doctrine' (νέοι δογματισταί), implying Palamas and his followers. Those 'novel inventors' thought they could describe the divine being by dividing it into two or three levels, namely essence, potency, and energies; they even claimed that man could reach deification in this life by participating in God's energies.

[20] *Synodal Tome of 1368,* l. 604-605, in A. Rigo (ed.), 'Il monte Athos e la controversia palamitica dal concilio del 1351 al *Tomo sinodale* del 1368: Giacomo Trikanas, Procoro Cidone e Filoteo Kokkinos', in *Gregorio Palamas e oltre. Studi e documenti sulle controversie teologiche del XIV secolo bizantino*, Orientalia Venetiana, vol. XVI, ed. A. Rigo (Florence, 2004), pp. 1-177, at 121 (= *PG* 151, cols. 696B-C).

[21] This work has been edited by J. Filovski, 'Beleški kon deloto Peri ousias kai energeias od Grigorij Akindin', *Živa antika* 23 (1973) 33-67; J. Filovski and M.D. Petruševski, 'Γρηγορίου τοῦ Ἀκινδύνου [in fact, Prochoros Cydones'] Πραγματεία εἰς τὸ περὶ οὐσίας καὶ ἐνεργείας ζήτημα', in *Živa antika* 23 (1973) 317-367; 26 (1976) 161-192, 487-499. For Books I and II, see also *PG* 151, cols. 1191-1242; for book VI, see also M. Candal, 'El libro VI de Próchoro Cidonio (sobre la luz tabórica)', *Orientalia Christiana Periodica* 20 (1954), 247-296. Books I-V refute the distinction between divine essence and energy, while Book VI is an attempt to show, on the basis of the conclusions of Books I-V, that the light of Tabor is created. For the treatise's content and impact, see Ch. Triantafyllopoulos, 'The Thomist Basis of Prochoros Cydones' anti-Palamite Treatise De essentia et operatione Dei and the Reaction of the Byzantine Church', in *Knotenpunkt Byzanz: Wissensformen und kulturelle Wechselbeziehungen. Akten der 37. Koelner Mediaevistentagung 14.–17. September 2010*, eds. A. Speer and Ph. Steinkrüger, Miscellanea Mediaevalia 36 (Berlin/New York, 2012), pp. 411–429; J.A. Demetracopoulos: 'Prochoros Cydones', note 8. See also E. Voordeckers and F.H. Tinnefeld (eds.), *Refutationes duae Prochori Cydonii et disputatio cum Paulo Patriarcha Latino epistulis septem tradita*, CCSG 16 (Turnhout, 1987).

After Philotheos received his works and before he had time to read through them, Prochoros appeared in front of the Patriarch while he was in conversation with Theodoret, the Metropolitan of Ephesos. Prochoros was asked by the Patriarch to express his feelings about the doctrines of the Church, the condemnation of Barlaam and Gregory Acindynos in 1341 and 1347 and the denunciation of their works, and his views on the Synodal Tome of 1351. Prochoros responded that his wish was to simply follow and comply with the teachings of the Church. However, he did have doubts, which he expressed in his books in order to submit them to the judgement of the Patriarch and the Church. In response Philotheos made clear that he would be prepared to forgive the young monk provided he would accept the Synodal Tome of 1351 and its teachings. This would be the only way to clear his name. Subsequently Prochoros asked the Patriarch if he had read his work, to which Philotheos replied that its very title (*Refutation*) suggested it was 'full of impiety of every kind',[22] which he confirmed once he read certain passages. In the Patriarch's view the work surpassed even Barlaam and Acindynus' most heretical writings. Initially, he was struck by the (scholastic) method Prochoros employed (presumably taught by his brother), subjecting patristic texts to syllogistic reasoning, contrary to the usual method of interpretation employed by orthodox theologians (τῆς ἡμῶν ἐξηγήσεως), clearly aiming to oppose it.[23] Differentiating between the terms *energy* and *energetic* (ἐνέργεια and ἐνεργητικόν) and between *action* and *acting* (ἐνέργημα and ἐνεργοῦν), following in this John Damascene, Prochoros attempted to show in his works, according to the Synodal tome of 1368, not only that God is pure essence without natural and essential energy as really distinct from his essence, but also that it is impossible for man to participate in the divinity, which goes counter to the Palamite teachings of man's deification *in statu viae*.[24]

In the same year, Prochoros was summoned for a second time in front of the Patriarch, once more in the presence of the Metropolitan of Ephesos. Philotheos judged

[22] *Synodal Tome of 1368*, in A. Rigo (ed.), 'Il monte Athos', p. 106 (= *PG* 151, cols. 696A-697B).
[23] *Synodal Tome of 1368,* p. 106 (col. 698B-C).
[24] *Synodal Tome of 1368,* p. 106 (col. 698D).

Prochoros' works to belong 'to the devil',[25] and ordered him to read the holy Scripture and the Acts of the Sixth Ecumenical Council, as well as John Damascene's *An Exposition of the Orthodox Faith* (δογματικὴν βίβλον), among other works. He also ordered him to winter in Constantinople and not to return to Athos.[26] Prochoros defied the Patriarch without showing any compromise. Moreover, he did not hesitate to criticise the Patriarch for avoiding reading his works and solving any of the questions raised therein. In addition, Prochoros sent a libel (πιττάκιον) to Jacob Trikanas denouncing the 'cult' of Palamas on Mount Athos. This libel caused much disturbance among the monks of the Great Lavra.[27] Consequently, a council, presided by the Bishop of Hierissos, condemned Prochoros. Having received the council's report, Philotheos decided to convene the Standing Synod (ἐνδημοῦσα Σύνοδος) of the Patriarchate in April 1368. There Prochoros was formally examined by the Metropolitan of Ephesos, who had been present in his two previous appearances in front of the Patriarch,[28] while his libel and his treatise *On the Light of Tabor* were personally examined by Philotheos. Prochoros' request to be granted a day to prepare his defence was rejected. His subsequent failure to attend the tribunal led to his anathematisation, as he was considered 'unrepentant and incorrigible' (ἀμεταμέλητος και ἀδιόρθωτος).[29]

Meanwhile Demetrios sent a letter to Philotheos, expressing his anger about his brother's persecution. He accused the Patriarch of 'revealing his true face behind the mask' and of using his 'bow and arrows' against Prochoros. He also criticised him for breaking his promise not to condemn those 'who would not wish to sacrifice themselves to the tomes of Palamas'. Demetrios pointed out that Philotheos was simply overwhelmed (ἰλιγγιάσας) by Prochoros' works and did not dare to publicly debate with him.[30] Demetrios was unable to put a stop to his brother's persecution; Prochoros was declared a heretic and was excommunicated in April 1368, on account of remaining unrepentant. Prochoros' condemnation and defrocking was signed also

---

[25] *Synodal Tome of 1368*, pp. 110; 113 (col. 702D).

[26] *Synodal Tome of 1368*, p. 114 (col. 703C).

[27] *Synodal Tome of 1368*, p. 115 (col. 704A).

[28] Demetrios Cydones, *Letter to Meliteniotes*, ed. R.-J. Loenertz, *Démétrius Cydonès. Correspondance*, vol. II, Studi e testi 208 (Vatican City, 1960), 151.

[29] *Synodal Tome of 1368*, p. 128 (cols. 712D).

[30] Demetrios Cydones, *Letters* 128, pp. 164-166.

by the Patriarchs of Alexandria and Jerusalem and the hierarchy of the Patriarchate.[31] This event seems to have obstructed Prochoros from pursuing his case further. This is as much as we know about the later period of his life.

As far as we know, Prochoros composed a limited number of works,[32] namely a treatise *On the divine names and the apophatic and cataphatic theology*[33] (refuting Palamas' theory that the names of God refer solely to His energies), and a treatise *De essentia et operatione Dei* (*Περὶ οὐσίας και ἐνεργείας*). His major contribution was his translations of Latin patristic and theological works, including Augustine's *De beata vita* (I 4 – II 9),[34] *De vera religione* (I 1 – VIII 15),[35] eight *Letters*;[36] *De libero arbitrio* (up to I, 90),[37] Ps.-Augustine, *De decem plagis Aegyptiorum*;[38] Hervaeus Natalis, *Sententiae,* Lib. I, dist. I, qq. 1–4 and 7;[39] Boethius, *De topicis differentiis* (as far as 'ἐν οἷς...' II, 11.8),[40] and more importantly Aquinas' *Summa Theologiae,* Pars IIIa, qq. 45, 49, 54–55; Supplementum, 76 qq., *De aeternitate mundi*, proem to the *Commentary* on Aristotle's *Metaphysics*, and the *Quaestiones disputatae de potentia (QDP)*[41] and *Quaestio disputata de spiritualibus creaturis (QDSC)*[42]*.* It is Prochoros' translations of these two *Quaestiones* that I am editing for my thesis in an attempt to further explore the transmission and impact of Latin philosophical and theological texts in Byzantium

[31] *Synodal Tome of 1368*, p. 133 (col. 716).

[32] See Plested, *Orthodox Readings of Aquinas*, pp. 77-80.

[33] Ed. I.D. Polemis, *Theologica varia inedita saeculi XIV (Auctores varii, Georgius Pelagonius, Anonymus, Prochorus Cydones*), CCSG 76 (Turnhout, 2012).

[34] Unedited.

[35] Ed. J. Lössl, *Augustinus, De vera religione / Über die wahre Religion. Einleitung, Text, Übersetzung und Kommentar* (Schöningh/Paderborn/Munich/Vienna/Zurich, 2007).

[36] Ed. H. Hunger, *Prochoros Cydones, Übersetzung von acht Briefen des Hl. Augustinus,* Wiener Studien 9 (Vienna, 1984).

[37] Ed. H. Hunger, *Prochoros Cydones' Übersetzungen von S. Augustinus, De libero arbitrio I.1-90, und Ps.-Augustinus, De decem plagis Aegyptiorum*, Wiener Studien 14 (Vienna, 1990), pp. 12-53.

[38] Hunger, *De libero arbitrio*, pp. 54-69.

[39] An edition is prepared by Chr. Kappes (See https://www.royalholloway.ac.uk/Hellenic-Institute/Research/Thomas.html ).

[40] Ed. D. Nikitas, *Boethius, De topicis differentiis καὶ οἱ βυζαντινὲς μεταφράσεις τοῦ Μανουὴλ Ὀλοβώλου καὶ τοῦ Προχόρου Κυδώνη*, Corpus philosophorum Medii Aevi, Philosophi Byzantini 5 (Athens/Paris/Brussels, 1990).

[41] See J. Cos (ed.), *Sancti Thomae De Aquino, Opera Omnia. Iussu Leonis XIII P. M. edita cura et studio fratrum praedicatorum*, *Quaestio disputata de spiritualibus creaturis*, t. 24, 2 (Rome/Paris, 2000).

[42] See P. M. Pession (ed.), *S. Thomae Aquinatis doctoris angelici*, *Quaestiones disputatae*, t. 2, *Quaestiones disputatae de potentia* (Turin/Rome, 1949; editio VIII revisa), pp. 1-276.

in the fourteenth and fifteenth centuries, as part of the international research project *Thomas de Aquino Byzantinus*.[43]

The *Quaestio* was a distinct, University-based, model of dialectical discussion that developed in the West from the early thirteenth century onwards. Its structure consists of a thesis acting as a point of departure, followed by *argumenta pro* and *argumenta contra*, leading to the *responsio* which resolves the opposing *argumenta*.[44] To our knowledge Aquinas' *QDP* and *QDSC,* both products of his mature thought (*QDP*: 1259-1268 and *QDSC* 1267- 1268),[45] are the only instances of this *genre* translated into Greek in Late Byzantium. Originating in the Aristotelian 'dialectical question' (ἐρώτησις διαλεκτική), defined as either a 'proposition' or 'statement' (πρότασις) or 'contradiction' (ἀντίφασις),[46] it was used by Byzantine authors including John Italos (ca. 1023–ca. 1085) in his numerous 'ἀπορίαι καὶ λύσεις'; Michael Psellos (1018–1081?), *Ἀποκρίσεις συνοπτικαὶ καὶ ἐξηγήσεις πρὸς ἐρωτήσεις διαφόρους καὶ ἀπορίας*; and Nikephoros Gregoras (ca. 1293-1361), *Solutiones questionum*. Prochoros, too, used the *Quaestio* model in his own treatise *De essentia et operatione Dei*, which he composed in response to the Palamite doctrine. Prior to Prochoros the *Quaestio*, though similar to its Latin model was not identical.[47]

In terms of structure, the *QDSC* consists of 11 *quaestiones* (ζητήματα), by means of 11 *articula* (κεφάλαια). Each article raises questions relating to the nature of the two commonly accepted species/kinds of spiritual creatures, i.e. the human souls and the angels. Article 1 raises the question whether both these classes of spiritual creatures are composed of both matter and form. Articles 2-4, 9-11 address questions relating to

---

[43] For information on this project, co-hosted by the University of Patras and RHUL Hellenic Institute, see https://www.royalholloway.ac.uk/Hellenic-Institute/Research/Thomas.htm (last accessed: 23 February 2017).

[44] For a general study of this *genre*, see B. Lawn, *The Rise and Decline of the Scholastic 'Quaestio Disputata'. With Special Emphasis on Its Use in the Teaching of Medicine and Science* (New York/Cologne, 1993). On the reception of the genre in late Byzantium, see J.A. Demetracopoulos, 'Thomas Aquinas' Impact on Late Byzantine Theology and Philosophy: The Issues of Method or *Modus Sciendi* and *Dignitas Hominis*', in *Knotenpunkt Byzanz*, pp. 333–410, at 334–344.

[45] On the dates of composition of these two works see Torrell, *Initiation*, trans. Royal, *Saint Thomas Aquinas*, pp. 334-335.

[46] Aristotle, *De interpretatione* 20b22-23.

[47] See Demetracopoulos, 'Thomas Aquinas' Impact', pp. 336-344.

the human soul, while articles 5-8 deal with questions related to the angels.[48] The structure of each ‘κεφάλαιον’ consists of the main thesis (*quaestio*), which is subsequently supported and opposed by generated *argumenta*, followed by the *responsio* (ἀπόκρισις) which resolves the *argumenta*. The same structure is adopted in Prochoros’ translation of the two works.

[48] Cf. C.R. GOODWIN, *A translation of the* Quaestio disputata de spiritualibus creaturis *of St Thomas Aquinas, with accompanying notes* (Unpublished MPhil thesis, Australian Catholic University, 2002), pp. 6-7.

### 3. Circumstances of Prochoros' translation of the two *Quaestiones disputatae*

Among Aquinas' seven *Quaestiones disputatae – De veritate* (1256?), *De potentia* (*QDP*) (1259-1268), *De spiritualibus creaturis* (*QDSC*) (1266-1269), *De anima* (ca. 1268), *De malo, De unione Verbi incarnati*, and *De virtutibus* (1269-1272) – *QDP* and *QDSC* are the only ones which deal with issues related to the simplicity and multiplicity of God, which are at the heart of the question concerning the distinction, or not, of the divine essence and energy. This must have been one of the main reasons behind Prochoros' translation of these two *Quaestiones disputatae*. This is confirmed by internal evidence in Prochoros' own treatise *De essentia et operatione Dei* (1367/68), where he cites *verbatim* substantial sections from his translation of the *QDP*.[49] This also helps us to date more accurately the translation of *QDP* prior to the composition of the *De essentia et operatione Dei* (1367/68).[50]

Manuscript evidence shows that a particular section in Aquinas' *QDP* was instrumental for Prochoros' producing his translation. In his list of extant Greek MSS transmitting *QDP*, Papadopoulos includes two MSS, *Budapestensis graecus* 13, ff. 51r-57v (15th c.) (= **B**) and *Vindobonensis theologicus graecus* 190, ff. 319v-333v (16th c.) (= **D**), which contain solely Quaestio 10 (articulus 4) in a different translation than that of Prochoros.[51] Quaestio 10 discusses the *filioque* doctrine.

It is this different partial translation of these articles that was used by Neilos Cabasilas (ca. 1295-1363) in his refutation of Aquinas' teachings on the *filioque*, composed some time between 1358 and 1361,[52] which was subsequently refuted by Demetrios Cydones shortly after Cabasilas' death in 1363, which in turn was refuted by Demetrios Chrysoloras in his fictitious *Dialogue* some time after 1425 and before the Council of

---

[49] See a list in J.A. DEMETRACOPOULOS: 'Prochoros Cydones'; ch. VII,2, par. 2.

[50] See J.A. DEMETRACOPOULOS, 'Palamas Transformed. Palamite Interpretations of the Distinction between God's 'Essence' and 'Energies' in Late Byzantium', in *Greeks, Latins, and Intellectual History 1204-1500*, p. 313, with note 140.

[51] See PAPADOPOULOS, Ἑλληνικαὶ μεταφράσεις θωμιστικῶν ἔργων, pp. 55-56.

[52] E. CANDAL, *Nilus Cabasilas et theologia S. Thomae de precessione Spiritus Sancti: Novum e Vaticanis codicibus subsidium ad historiam theologiae Byzantinae saeculi XIV plenius elucidanda,* Studi e testi 116 (Vatican City, 1945). See the passages where Kabasilas cites Demetrios' translation of *De potentia* in THÉOPHILE KISLAS (ed.), *Nil Cabasilas et son traité sur le Saint-Esprit* (Strasbourg, 1998), pp. 575-613.

Florence in 1439.[53] So this different translation was circulating at the time. The question arises as to by whom and when it was produced.

The possibility that Prochoros is responsible also for this translation should be ruled out, simply because there was no need to translate the same section twice. It is more probable that this section was translated by his brother Demetrios, who had an expressed interest in the *filioque* question. If so, it is possible that Prochoros was provided with the Latin text of *QDP* (and *QDSC*) through the Dominicans of Pera on the occasion of Demetrios' translation of Quaestio 10, articulus 4, concerning the *filioque*; in the process, we assume, Prochoros read the entire Latin text of *QDP* in order to study Aquinas' teachings on the simplicity and multiplicity in God, rather than the *filioque*, as he was more interested in this subject than the doctrine of the procession of the Holy Spirit, which he did not discuss in any of his extant or reported writings. It is difficult to tell whether the Latin MS/S Demetrios and Prochoros had at their disposal contained exclusively *QDP* and *QDSC*, as is the case in our witnesses **P** and **M**, for no Latin MS listed in the Leonine and Turin editions contain solely these two texts. This does not exclude the possibility that both texts were contained in a single Latin MS, that Prochoros used, which has simply not survived or not yet been discovered.

If this whole assumption is correct, the different translation may have been produced some time after 1358, when Demetrios embraced Catholicism and would feel free to promote the Latin teachings, and before 1361, when Neilos published his aforementioned refutation. Besides, one assumes that between 1358 and 1361 Prochoros would have been too young (ca. 25-30 years old) to undertake the task of translating such a work.[54] In relation to this, Demetrios has left an interesting, and moving, memoir about his early translating experience, describing the scarcity of Latin

[53] On these three works, see V. PASIOURTIDES (ed.), *An annotated critical edition of Demetrios Chrysoloras' Dialogue on Demetrios Cydones' Antirrhetic against Neilos Kabasilas* (Unpublished PhD thesis, Royal Holloway, University of London, 2013), esp. pp. 21, 28-30, 38-40.

[54] I would like to thank Professor John A. Demetracopoulos for drawing my attention to this fact.

MSS and his struggle to accurately render the Latin into Greek, using the only available Latin book, which did not allow him to collate the text with another MS.[55]

It is therefore clear that Prochoros' translation of the entire *QDP* was motivated by his wish to explore Thomas' views concerning the divine essence and energy (Quaestiones 1–9) in order to rebut Palamas' teaching on their distinction, which, according to Prochoros and other Byzantine theologians, go counter to the tradition of the Orthodox Church. Articles [7.9] and [7.10] in particular are directly relevant to the Palamite controversy, where Aquinas discusses the relation between God and the creation.[56]

Similarly, the motivation behind Prochoros' translation of *QDSC* seems to be relevant to the discussion in this Quaestio of the simplicity and multiplicity of God and the creation as a metaphysical question, in the context of the issue over the divine essence and energy. It is not impossible that Aquinas' *QDSC*, as pointed out above, was contained in the same MS that Prochoros consulted for the *QDP*, and he simply decided to translate this text for the aforementioned reason. This must be ascertained on the basis of hard evidence.

---

[55] DEMETRIOS CYDONES, *Letter to Maximus Chrysoberges*, ed. LOENERTZ, *Démétrius Cydonès. Correspondance*, pp. 267.37-28.46; Πάνυ γὰρ νέος τῆς ἑρμηνείας τῶν τοῦ Θωμᾶ λόγων ἡψάμην, ὅτ' οὔπω τῆς Ἰταλῆς γλώσσης ὅσων ἐβουλόμην συνελεξάμην, ἀλλὰ καὶ αἱ τῶν κοινῶν φροντίδες καὶ ἀσχολίαι αἷς με βασιλεὺς τότε φέρων προσέδησε, καὶ τὸ δεῖν τὰς πάντων χρείας μανθάνοντα δήλας ἐκείνῳ ποιεῖν, οὐ πάνυ τὴν ἑρμηνείαν ἀκριβοῦν συνεχώρουν. Καὶ τρίτον δ' ἄν τις αἰτιάσαιτο τὴν τῶν βιβλίων σπάνιν. Μόλις γὰρ ἑνὸς εὐποροῦμεν ὅθεν ἐχρῆν μεταφέρειν, ὥστε τὴν ἐκείνου φθορὰν οὐκ ἦν ῥαδίως φωρᾶσαι ἢ διορθώσασθαι, οὐκ ὄντος ἑτέρου ᾧ τὸ ἓν ἐκεῖνό τις παραβάλλων ἠδύνατ' ἂν μᾶλλον τῆς ἀληθείας στοχάσασθαι. Λατινικῶν γὰρ βιβλίων οὐκ ἦν παρ' ἡμῖν ταμιεῖον, ἀλλ' ἔδει τοῖς ὡς ἔτυχεν εὑρισκομένοις ἀρκεῖσθαι...; cited and trans. by GLYCOFRYDI-LEONTSINI, 'Demetrios Cydones as a translator of Latin texts', in *Porphyrogenita. Essays on the History and Literature of Byzantium and the Latin East in Honour of Julian Chrysostomides*, eds. Ch. Dendrinos, J. Harris, E. Harvalia-Crook and J. Herrin (London/ Burlington, 2003), pp. 180-185 at 183-184 with note 35: 'When I was very young I attempted to translate works by Thomas. At that time I was unable to learn the Italian language as much as I wanted, for both my official duties and the responsibilities which the Emperor assigned me did not allow me to translate them accurately; and thirdly, one should attribute this to the scarciy of books. For, I was able to buy only one from where it should be transported, so that it was not easy for me to find out or correct any damage on it, since there was no other copy available by which one would collate it and decide on the true meaning <of the text>. For there was no depository of Latin books close to me, but I had to suffice with those which happened to be found…'

[56] See J.A. DEMETRACOPOULOS, 'Palamas transformed', p. 314.

**Part I: The manuscript tradition of the translations of the *Quaestiones disputatae***

Prochoros Cydones' *QDSC* and *QDPD* survive in a number of Greek codices housed in various libraries in Europe and the Middle East. A brief description of these MSS will be followed by a palaeographical and textual examination of the texts in order to establish their relations.

## 1. Description of the extant Greek manuscripts

### H **Hierosolymiticus graecus 157** (not examined)[57]

The codex consists of 180 folios on Western paper measuring 285x215 mm. A pasted leaf at the front states: '+ εἰς χρῆσιν Δοσιθέου ἀρχιδιακόνου καὶ τῶν φίλων, δωρηθὲν πρὸς Δοσιθέου ἐπισκόπου Ῥωμάνου τῆς Μολδαβίας, 1664 μαρτίῳ μηνί.' The first Dositheos must refer to Dositheos (1641-1707),[58] archdeacon of Jerusalem (1661-66), later archbishop of Caesarea in Palestine (1666-69), and Patriarch of Jerusalem (1669-1707). An ardent defender of Orthodoxy against the proselytising activities of the Roman Catholic and Protestant churches in the East, Dositheos published several volumes with editions of Byzantine anti-Latin treatises.[59] The Jerusalem MS was evidently used by him and his friends while he was archdeacon, and was donated in March 1664 to the celebrated Romanian scholar, poet and translator Dimitrie Barila (1624-93), better known by his ecclesiastical name Dositheos (Dosoftei), Bishop of Huşi (1658-60), subsequently Bishop of Roman (1660-71) and Metropolitan of Moldavia (1671-74, 1675-86).[60] In 1667 Dositheos of Jerusalem, still an archdeacon, was sent to Romania by Patriarch of

---

[57] This MS was inaccessible to me. Brief description of the codex by A. PAPADOPOULOS-KERAMEUS, *Ἱεροσολυμιτικὴ βιβλιοθήκη, ἤτοι κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων ἑλληνικῶν κωδίκων*, v. 1 (St Petersburg, 1891; repr. Brussels 1963), p. 254.

[58] On Patriarch Dositheos II of Jerusalem, see G. PODSKALSKY, *Griechische Theologie in der Zeit der Türkenherrschaft (1453-1821) Die Orthodoxie im Spannungsfeld der nachreformatorischen Konfessionen des Westens* (Munich, 1998), Greek trans. G. Metallinos, *Ἡ Ἑλληνικὴ Θεολογία ἐπὶ Τουρκοκρατίας: 1453-1821* (Athens, 2005), esp. pp. 357-372. Also see K.-P. TODT, 'Dositheos II von Jerusalem', in: *La théologie Byzantine et sa tradition*, ed. C.F. Conticello and V. Conticello (Turnhout, 2002), pp. 659-720.

[59] PODSKALSKY, *Griechische Theologie*, esp. pp. 360-372.

[60] On Dosoftei, who was canonised by the Romanian Orthodox Church in 2005, see F. ABRAMAV (Ф. АБРАМОВ), 'Митрополит Сучавский Досифей', *Журнал Московской Патриархии* 3 (1974), 50-52; M. CIMPOI, 'Dosoftei, sfântul învăţat', *Jurnalul Naţional* (17 July 2006), which I have been unable to consult.

Jerusalem Nektarios (1660-1669)[61] to settle issues concerning the Patriarchate's estate property there.[62] It is possible that this MS was donated, if not presented, to Dosoftei during his travel to Moldavia on this occasion.

Interestingly, on f. 1 there is an earlier *ex libris* referring to the previous owner of the MS: 'ἐκ τῶν Γαβριὴλ ἱερομονάχου Βλασίου τοῦ Κερκυραίου'. This person is no other than the hieromonk scholar and theologian Gabriel Vlasios from Corfu (fl. 1618-31), later bishop of Naupaktos and Arta (1647-1660).[63] It appears that our codex was studied by Dositheos of Jerusalem after the death of Gabriel (1660), who was highly esteemed by Dositheos. This also explains the use by Dositheos of the phrase 'πρὸς χρῆσιν' and not of another denoting ownership in the previous note.

**Contents**

**Prochoros Cydones**, *Greek translation of Thomas Aquinas*, *Quaestiones de potentia Dei*. Ζητήματά τινα Θωμᾶ τοῦ Ἀκουΐνου διδασκάλου τῶν Λατίνων cod. Inc. Πότερον ἔστιν τῷ Θεῷ δύναμις ἢ οὔ; Κεφ. α'. Ζήτησίς ἐστι περὶ τῆς τοῦ Θεοῦ δυνάμεως...'. Papadopoulos-Kerameus does not specify the end of the text contained (ed. below, pp. 60-730).

**M** ***Atheniensis, EBE, Metochion Panagiou Taphou* 331**[64] (examined *in situ*)

The manuscript consists of three unnumbered folios <I-III> and 501 numbered pages on Western paper measuring 210 x 153 mm. The codex, bound in brown leather, is in good condition with a few scratches on the front board, with a worn upper corner and a damaged bottom one. The back board is in a better condition with only light wear and a long horizontal scratch across the upper side. The spine is in very good condition and has

[61] For Nektarios, see PODSKALSKY, *Griechische Theologie*, esp. pp. 70-71, 313-318, 325-327, 358-359.

[62] I. DOURAS, *Ὁ Δοσίθεος Ἱεροσολύμων καὶ ἡ προσφορὰ αὐτοῦ εἰς τὰς Ρουμανικὰς χώρας καὶ τὴν ἐκκλησίαν αὐτῶν* (Athens, 1977), p. 18; A. KARATHANASIS, *Οι Έλληνες λόγιοι στη Βλαχία (1670-1714). Συμβολή στη μελέτη της ελληνικής πνευματικής κίνησης στις Παραδουνάβιες ηγεμονίες κατά την προφαναριωτική περίοδο* (Thessaloniki, 1982), p. 111.

[63] T.A. GRITSOPOULOS, 'Γαβριήλ, Ὁ Βλάσιος', in *Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαίδεια*, ed. A. Martinos, vol. 4 (Athens, ), col. 114-115.

[64] A. PAPADOPOULOS-KERAMEUS, *Ἱεροσολυμιτικὴ βιβλιοθήκη*, vol. 4 (St Petersburg, 1899; repr. Brussels, 1963), p. 305. V. TZOGA, *Ο ιατροφιλόσοφος Νικόλαος Κεραμεύς (τέλη ιστ'/ιζ' αιώνα–1663). Βιογραφία – Εργογραφία – Μελέτη και έρευνα του ιδεολογικού του προβληματισμού σε συνάρτηση με τα κυρίαρχα πνευματικά ρεύματα της εποχής του* (Athens, 2015), pp. 9-10, 12.

three labels: the top one has been removed; the middle reads ‘Θωμᾶ τοῦ Ἀ-|κουίνου ζη-|τήματα. | Χ’ written by a 18th-19th c. hand; the bottom label is modern and contains the current library shelf number (331).

A 17th-18th century hand has added Hindu-Arabic numerals (1-151) in the upper right-hand margin. However, the number of pages is in fact 491 and not 501, as catalogued, because of certain mistakes: page number 132 is missing; after page 239 the scribe continues with the number 230; the pages 442 and 461 have been numbered twice and page number 466 is missing. A blank leaf following p. 501 and part of the 24th gathering is not numbered (pp. 501-503). Pages 305-306 and 426-433 are also blank.

The first two unnumbered folios <Ir-IIr> contain the table of contents of *Quaestiones disputatae de potentia Dei* (*QDPD*), Books 1-6 (Plates 3-5) and on the recto of the third unnumbered folium <IIIr> a note by the hand of the Patriarch of Jerusalem Dositheos (1669-1707), gives information on the provenance of the codex. It originally belonged to his friend (and possibly teacher), the *iatrophilosophos* and theologian Nikolaos Kerameus from Old Epirus:[65] ‘Τὸ παρὸν ἦν Νικολάου Κεραμέως ἐκ τῆς Παλαιᾶς Ἠπείρου· οὗ κοιμηθέντος ἐν τῇ μονῇ τοῦ Γαλατᾶ ἐν Μολδοβλαχίᾳ α,χξγ’ [=1663] ὁ Ἱεροσολύμων Νεκτάριος μετεκόμισεν ἐκεῖθεν, καὶ ἔστι τοῦ Ἁγίου Τάφου κτῆμα αἰώνιον· οὗ ὁ ἀποξενώσας εἴη ἐπικατάρατος. 1669. + Ὁ Ἱεροσολύμων Δοσίθεος’ (Plate 6). So far, this note is the only secure piece of evidence on the date of Nikolaos’ death.[66] According to this note, when Nikolaos died in the Monastery of Galata in Moldavia-Wallachia in 1663 (his close friend) Patriarch of Jerusalem Nektarios (1660-1669), moved there. After Nikolaos’ death, his personal library, including our MS, was donated to and housed in the monastery of the Holy Apostles in Cetățuia, Jasi, a metochion of the Patriarchate of

---

[65] On Nikolaos Kerameus see PODSKALSKY, *Griechische Theologie*, pp . 254-256, 358, 369-370 ; V. TZOGA, *Ο ιατροφιλόσοφος Νικόλαος Κεραμεύς (τέλη ιστ’/ιζ’ αιώνα–1663). Βιογραφία – Εργογραφία – Μελέτη και έρευνα του ιδεολογικού του προβληματισμού σε συνάρτηση με τα κυρίαρχα πνευματικά ρεύματα της εποχής του* (Athens, 2015) (on this MS see pp. 9-10), published online at: http://www.arch.uoa.gr/ fileadmin/arch.uoa.gr/uploads/metaptyxiakes_spoudes/metadidaktorika/metadidaktoriko_tzoga.pdf.

[66] See TZOGA, *Ο ιατροφιλόσοφος Νικόλαος Κεραμεύς*, p. 9, following A.K. DEMETRACOPOULOS, *Ὀρθόδοξος Ἑλλάς, ἤτοι περὶ τῶν Ἑλλήνων τῶν γραψάντων κατὰ Λατίνων καὶ περὶ τῶν συγγραμμάτων αὐτῶν* (Leipzig, 1872; repr. Athens, 1968), p. 15, contra PODSKALSKY, *Griechische Theologie*, p. 255 with note 66 (who gives the date ‘1670/1672?’).

Jerusalem,[67] before the collection was eventually transferred to the Metochion of the Holy Sepulchre in Constantinople and thereafter to the National Library in Athens.

The codex consists of 24 uneven gatherings numbered on the last page: 1x12 (<I-III>+1-21), 2x12 (22-45), 3x12 (46-49), 4x12 (50-69) 5x14 (70-93), 6x12 (94-121), 7x12 (122-146), 8x10 (147-170), 9x12 (171-190), 10x12 (191-214), 11x12 (215-238), 12x12 (239-252), 13x12 (253-276), 14x14 (277-305), 15x8 (305-320), 16x8 (321-336), 17x8 (337-352), 18x12 (353-376), 19x12 (377-400), 20x12 (401-424), 21x4 (425-432), 22x12 (433-456), 23x11 (456-479), 24x12 (480-503).

The MS was copied by Nikolaos Kerameus (pp. 1-304) and an anonymous hand (B) (pp. 307–501)[68] who also corrected some of Nikolaos’ scribal errors and omissions.[69] It contains the largest part of Prochoros Cydones’ both translations. In the case of *QDPD*, only Books 1-5 are copied. Each of the first four books ends in a regular fashion, while Book 5 ends in V-shaped text (p. 425). This shows an intention by hand B to mark the end of the text. In contrast, *QDSC* lacks the first article ([1.1]-[1.61]) and part of the second ([2.1]-[2.23].217) which must have been originally contained in the preceding pages, most likely in the same hand (approximately a single quaternium, judging from the number of words contained per quaternium). The existing text of *QDSC* in **M** (pp. 434-501) corresponds to articles [2.23].218-[11.46].

**Contents**

1. (pp. 1-33) **Prochoros Cydones**, *Greek translation of Thomas Aquinas*, *Quaestiones de potentia Dei*, *Ζητήματά τινα Θωμᾶ τοῦ Ἀκουίνου, διδασκάλου τῶν Λατίνων* cod. | Inc. Πότερον, ἐστὶν ἐν τῷ Θ(ε)ῷ δύναμις, ἢ οὐ, κ<εφάλαι>(ον) α’ον. (raise endings throughout) | Ζήτησίς ἐστι περὶ τῆς τοῦ Θ(ε)οῦ δυνάμεως. καὶ δὴ πρῶτον ζητεῖται. πρό-|τερον (join throughout) ἔστιν ἐν τῷ Θ(ε)ῷ δύναμις…, des. … ὁ Θ(εὸ)ς οὐ δύναται λέγεσθαι παντοθελής:~

[67] Tzoga, *Ο ιατροφιλόσοφος Νικόλαος Κεραμεύς*, p. 10.
[68] See Tzoga, *Ο ιατροφιλόσοφος Νικόλαος Κεραμεύς*, pp. 9-10.
[69] See below, p. 39.

i. (pp. 33-63) Βιβλίον Β. Ζήτησις ἐστὶ περὶ τῆς γεννητικῆς δυνάμεως ἐν τοῖς θείοις· cod. Inc. κ(αὶ) περὶ τοῦ-|το ζητεῖται α'ον κε(φ)ά(λαιον) α'ον …, des. … ἓν εἰσὶ καὶ οὐκ ἔστιν αὐταῖς τάξις.

ii. (pp. 63-218) Ζήτησις ἐστὶ περὶ τῆς δημιουργί(ας) ἥτις ἐστὶ πρῶτον ἀποτέλεσμα τῆς θείας δυ-|νάμεως. cod. Inc. κ(αὶ) δὴ πρῶτον ζητεῖται πότερον ὁ Θ(εὸ)ς δύναταί τι ποιεῖν ἐκ τοῦ μηδαμῆ | μηδαμῶς, καὶ δοκεῖ μη πανυ: κε<φάλαιον> α'ω βιβλίον γ'ον …, des. … Τέλος τοῦ γ'ου βιβλίου:~

iii. (pp. 219-238) Ἀρχὴ τοῦ δ'ου βιβλίου:~ cod. Inc. Σκέψις ἐστί, πότερον ἡ δημιουργία τῆς ἀνειδέου ὕλης, ἡγήσατο τῶ χρονω τῆς δη-|μιουργίας τῶν ὄντων, κ(αὶ δοκεῖ οὐ δῆτα:~ κε<φάλαιον> α'ον …, des. … Τέλος τοῦ τετάρτου βιβλίου

iv. (pp. 238-304) Ἀρχὴ Ε'ου βιβλίου:~ | Ζήτησις περὶ τῆς τῶν ὄντων συντηρήσεως εἰς τὸ εἶναι, παρὰ Θ(εο)ῦ, κ(αὶ) δῆ πρῶτον ζητεῖται. cod. Inc. Πότερον τὰ ὄντα συντηρηθείη ἂν εἰς τὸ εἶναι ἐπιτοσοῦτον, ὅτι καὶ περιαιρεθείσης πάσης τῆς τοῦ Θ(εο)ῦ ἐνεργείας, καθ' αὐτὰ εἰς τὸ εἶναι διαμενεὶ. κ(αὶ) δοκεῖ τάυτη. κε<φάλαιον> α'ον …, des. … Τέλος τοῦ πέμπτου βιβλίου :~

blanc 305-306, 426-433, 502-503

v. (pp. 308-378) Ζητήματά τινὰ τοῦ Θωμᾶ τοῦ Ἀκουίνου διδασκάλου τῶν Λατίνων. Βιβλίον στ΄. cod. Inc. Πότερον δύναται ὁ Θ(εὸ)ς τὶ ποιεῖν παρὰ τὰς φυσικὰς αἰτίας ἐν τοῖς κτιστοῖς, ἢ παρὰ | τὴν φύσιν ἢ παρὰ τὸν τῆς φύσεως δρόμον …, des. … καὶ πλείστους ἐπάγεσθαι δύναντ(αι):~

vi. (pp. 380-425) Πότερον ὁ Θ(εὸ)ς ἐστὶν ἁπλοῦς, ἢ οὔ. Κεφάλαιον α'ον. cod. Inc. Ἡ ζήτησις ἔστι περὶ τῆς ἁπλότητος τῆς θείας οὐσίας …, des. … ὁ Θ(εὸ)ς πάντα ἐπίσταται:~

2. (pp. 434-501) **Prochoros Cydones**, <Βιβλίον τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Θωμᾶ καὶ πραιδικάτορος ἤτοι κήρυκος, περὶ τῶν ἀΰλων κτισμάτων τοῦ Θεοῦ. Κεφάλαιον α'. Πότερον ἡ νοητὴ κτιστὴ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους ἢ οὐ. Ἡ ζήτησις ἐστί, περὶ τῶν νοητῶν δημιουργημάτων> (ex **P**) cod. Inc. mut. ὑπερεκπίπτουσαι τοῖς ὅλοις τὴν σωματικὴν ὕλην, ἢ οὐ γίνεται διοργάνου σωματικοῦ ἀλλὰ νοῦ …, des. mut. … σύνθεσις τοῦ ἐνεργεία καὶ τοῦ δυνάμει, ὡς προείρηται:~

**P** *Parisinus Coislinus graecus* **96 (olim anc. 312), National Library of France, Paris** (examined through microfilm)[70]

The codex (formerly MS Ancien Grecque 312) consists of 315 folios of Western paper measuring 378x283 mm. The codex, bound in brown calf leather in the end of the 17$^{th}$ century, is slightly damaged at the beginning and at the end. A 16$^{th}$-17$^{th}$-century Western hand, probably of the librarian, added a short description of the contents on the top of the front pastedown leaf in Latin: 'Quaestiones Sancti Thomae ordinis Praedicatorum ut videntur ea quae dicuntur disputata | atte CCCXII. prosa | Codex Graecus Bombycinus decimi quarti habentis aut decimi | quinti ineuntis saeculi | In quo S. Thomae Aquinatis ordinis Praedicatorum quaestiones disputatae | duae, de Potentia, et de Spiritualibus creaturis'. A stamp imprinted in black ink in the middle the first blank leaf reads: ss. S. Thomae Aquinatis quaestio de potentia, libris IX. (1), | – et de spiritualibus creaturis Dei, cap. XI. (262 v$^{o}$). | XIV s. Pap. 315 fol. G.' In the upper margin of f. 1$^{r}$ a 16$^{th}$-17$^{th}$-century Greek hand wrote γρόσ<ι>α ἕξη, possibly to indicate the price of the codex. An earlier (15$^{th}$-16$^{th}$-century) Greek hand, which belongs to a certain person, added in the bottom margin of the same folio an invocation: Ἵλασθί μοι, [Κ(ύριε)], Γρηγόριος σὸς ἐπιβοᾶ λάτρις:-[71] The damaged upper corners and sides of ff. 1$^{r}$-2$^{v}$ have been restored without affecting the text. At the bottom of f. 315$^{r}$ the stamp of the BIBLIOTHEQUE NATIONALE is imprinted in blue ink.

The 16$^{th}$-17$^{th}$-century hand of the librarian numbered each recto folio using Hindu-Arabic numerals in the upper right-hand margin. The codex consists of 31 gatherings of uneven size, mostly *quaternia*. Most signatures in the gatherings have been trimmed and therefore it is impossible to reconstruct their sequence from the printed facsimiles. Those signatures that are visible include gatherings γ'-γ' and ε'-ε'. Though a few folia seem to be missing, a collation of the Greek text in the entire codex against the Leonina edition showed that no text is missing from the translation. This indicates

[70] For a brief description of the MS, see B. de MONTFAUCON, *Bibliotheca Coisliniana, olim Segueriana...* (Paris, 1715), p. 150 (though Montfaucon accurately identified the work of Aquinas, he rendered Prochoros' Greek translation 'ἀύλων κτισμάτων' in the title as 'immaterialibus creaturis' against the original 'spiritualibus creaturis'). See also R. DEVREESE, *Bibliothèque Nationale, Département de Manuscrits, Catalogue des manuscrits grecs*, vol. II: Le fonds Coislin (Paris, 1945), p. 83.

[71] The contracted form of Κ(ύριε) is hardly visible in the printed facsimile.

that the missing folia must have been removed before Prochoros' text was copied by a single anonymous hand.

**Contents**

1. (ff. 1$^{r}$-262$^{v}$) **Prochoros Cydones**, *Greek translation of Thomas Aquinas*, *Quaestiones de potentia*. Titulus deest cod. Inc. Πότερον ἐστὶν ἐν τῷ Θ(ε)ῷ δύναμις, ἢ οὐ | Ζήτησίς ἐστι περὶ τῆς τοῦ Θ(ε)οῦ δυνάμεως. καὶ δὴ πρῶτον ζητεῖται. | πότερον ἔστιν ἐν τῷ Θ(ε)ῷ δύναμις..., des. καὶ διατοῦτο ὁ Θ(εὸ)ς οὐ δύναται λέγεσθαι παντοθελής Ed. below, pp. 60.

i. (ff. 3$^{v}$-28$^{v}$) Βιβλίον, Β. +Πότερον ἐν τοῖς θείοις ἔστι γεννητικὴ δύναμις, ἢ οὔ+ Κε(φ)ά(λαιον) Α | Ἡ ζήτησις ἐστὶ, περὶ τῆς γεννητικῆς δυνάμεως ἐν τοῖς θείοις· καὶ περὶ τοῦτο ζητεῖτ(αι). cod. Inc. Ἡ ζήτησις ἐστὶ περὶ τῆς γεννητικῆς δυνάμεως ἐν τοῖς θείοις…, des. Τέλος τοῦ β'ου βιβλίου.

ii. (ff. 28$^{v}$-95$^{v}$) +Πότερον ὁ Θ(εὸ)ς δύναταί τι ποιεῖν ἐκ τοῦ μηδαμῆ μηδαμῶς, ἢ οὔ+ Βιβλίον Γ. | Ἡ ζήτησις ἐστὶ περὶ τῆς δημιουργίας, ἥτις ἐστὶ πρῶτον ἀποτέλεσμα τῆς θείας δυνάμεως. cod. Inc. Ἡ ζήτησις ἐστὶ περὶ τῆς δημιουργίας, des. Τέλος τοῦ γ'ου βιβλίου.

iii. (ff. 96$^{r}$-109$^{r}$) +Πότερον ἡ δημιουργία τῆς ἀνειδέου ὕλης ἡγήσατο τῶ χρονω τῆς δημι- | ουργίας τῶν ὄντων, ἢ οὔ Βιβλίον Γ (for Δ). cod. Inc. Σκέψις ἐστί, πότερον ἡ δημιουργία τῆς ἀνειδέου ὕλης…, des. Τέλος τοῦ τετάρτου βιβλίου.

iv. (ff. 109$^{r}$-138$^{v}$) +Βιβλίον Δ (for Ε)+ | +Πότερον τὰ ὄντα συντηρηθείη ἂν εἰς τὸ εἶναι ἐπι τοσοῦτον: ὅτι καὶ περιαιρε- | θείσης πάσης τῆς τοῦ Θ(εο)ῦ ἐνεργείας, καθ' αὑτὰ εἰς τὸ εἶναι διαμενεῖ:· + cod. Inc. Ἡ ζήτησις ἐστὶ περὶ τῆς τῶν ὄντων συντηρήσεως…, des. Τέλος τοῦ πέμπτου βιβλίου.

v. (ff. 138$^{v}$-173$^{v}$) +Πότερον ὁ Θ(εὸ)ς δύναται τὶ ποιεῖν παρὰ τὰς φυσικὰς αἰτίας ἐν | τοῖς κτιστοῖς, ἢ παρὰ τὴν φύσιν ἢ παρὰ τὸν τῆς φύσεως | δρόμον, ἢ οὔ + Βιβλίον Ε$^{ον}$ (for Ζ$^{ον}$). cod. Inc. Ἡ ζήτησις ἐστί, περὶ τῶν θαυμάτων. des. καὶ πλείστους ἐπάγεσθαι δύνανται.

vi. (ff. 173v-201v) +Πότερον ὁ Θ(εὸ)ς ἐστὶν ἁπλοῦς [...] | Ἡ ζήτησις ἔστι περὶ τῆς ἁπλότητος τῆς θείας οὐσίας. cod. Inc. Ἡ ζήτησις ἔστι περὶ τῆς ἁπλότητος τῆς θείας οὐσίας. des. δι᾽ ἧς ὁ Θεὸς πάντα ἐπίσταται.

vii. (ff. 201v-214r) +Πότερον αἱ ἀναφοραὶ αἱ περὶ τοῦ Θ(εο)ῦ λεγόμεναι ἐξ ἀϊδίου ἂν προτείνονται ἐν τῷ τοῦ Π(ατ)ρ(ὸ)ς ὀνόματι καὶ Υἱοῦ εἰσὶν ἀναφοραὶ πραγματικαί, ἢ κατ᾽ ἐπίνοιαν μόνον+ βιβλίον Ζ (for Η). cod. Inc. Ἡ ζήτησίς ἐστι περὶ τῶν ἀναφορικῶς…, des… οὐ μενεῖ ἡ ὑπόστασις.

viii. (ff. 214r-244r) +πῶς καὶ τίνα τρόπον ἔχει πρὸς τὴν οὐσίαν | καὶ αὐθυπόστασιν, καὶ ὑπόστασιν+ | Βιβλίον Η (for Θ). cod. Inc. Ἡ ζήτησις ἔστι, περὶ τῶν θείων προσώπων. des. τοῖς δὲ λοιποῖς λογισμοῖς συμβαίνομ(εν).

ix. (ff. 244r-262v) Πότερον ἔστι πρόοδος ἐν τοῖς θείοις προσώποις, ἢ οὔ + | + Βιβλίον Θ + (for Ι). cod. Inc. Ἡ ζήτησις ἐστὶ τῆς προόδου, des. ὅθεν οὐ πειστέον τῇ γνώμῃ τοῦ Δαμασκηνοῦ.

2. (ff. 262v-315r) **Prochoros Cydones**, Greek translation of Thomas Aquinas, *Quaestio disputata de spiritualibus creaturis*.[72] + Βιβλίον τοῦ σοφωτάτου καὶ λογιωτάτου κυ(ρ)οῦ Θωμᾶ καὶ πραιδικάτορος | ἤτοι κήρυκος, περὶ τῶν ἀΰλων κτισμάτων τοῦ Θεοῦ+ |+Κεφάλαιον α+ | +πότερον ἡ νοητὴ κτιστὴ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους | ἢ οὐ+ | Ἡ ζήτησις ἐστί, περὶ τῶν νοητῶν δημιουργημάτων. cod. Inc. Ἡ ζήτησις ἐστὶ, περὶ τῶν νοητ(ῶν)…, des. καὶ τοῦ δυνάμει, ὡς προείρηται. Ed. below, pp. 731-915.

[72] Ed. J. Cos, *Sancti Thomae De Aquino, Opera Omnia. Iussu Leonis XIII P. M. edita cura et studio fratrum praedicatorum. Quaestio disputata de spiritualibus creaturis,* vol. 24.2 (Rome/Paris, 2000).

## 2. Textual and palaeographical examination of the translations

Both Prochoros' translations of Aquinas' *QDP* and *QDSC* are trasmitted in **P**, while **M** preserves a large section of the first part of *QDP* (pp. 4-306) and the second part of *QDSC* (pp. 427-501). The two translations are examined palaeographically and textually together below.

The title of *QDP* in **P** is missing and only the subtitle appears: Πότερον ἐστὶν ἐν τῷ Θεῷ δύναμις, ἢ οὔ. It is not clear whether originally the title did exist in the MS, most probably in a previous page, which was torn, giving the author and the work as in the case of *QDSC* in the same MS. (f. 262v). Similarly, the title of *QDP* in **M** omits the work and simply identifies the author adding his appelation as 'teacher of the Latins': Ζητήματά τινα Θωμᾶ τοῦ Ἀκουΐνου, διδασκάλου τῶν Λατίνων. cod. Inc. Πότερον, ἔστιν τῷ Θεῷ δύναμις ἢ οὔ, κεφάλαιον α'ον.

The title of *QDSC* in **P**, as mentioned above, appears in full: + Βιβλίον τοῦ σοφωτάτου καὶ λογιωτάτου κυ(ρ)οῦ Θωμᾶ καὶ πραιδικάτορος | ἤτοι κήρυκος, περὶ τῶν ἀΰλων κτισμάτων τοῦ Θεοῦ+. The fact that *QDSC* in M begins mid-phrase ('ὑπερεκπίπτουσαν τοῖς ὅλοις...', [2.23].218) explains why it does not have a title, as this must have been given in the beginning of article 1, which is missing.

The entire text of the Greek translation of *QDSC* and *QDP* in **P**, together with the marginal notes, were copied by a single hand in dark brown ink, on single columns of approximately 32 lines per page. No colophon of the MS exists. The anonymous scribe used mixed minuscule script reminding of the 'Metochites style'.[73] In **M** two scribes have contributed. Most of the text of Prochoros' translation of *QDPD* (as far as p. 306:

[73] For the 'Metochites' style, named after the MSS copied by the scholar and official Theodore Metochites (ca. 1270-1332), see H. HUNGER, Griechische Paläographie, in H. HUNGER [et al.] *Geschichte der Textüberlieferung der antiken und mittelalterlichen Literatur. 1: Antikes und mittelalterliches Buch- und Schriftwesen. Überlieferungsgeschichte der antiken Literatur* (Zurich, 1961); cf. in L. PERIA, *Γραφίς. Per una storia della scrittura greca libraria*, Quaderni di Νέα Ῥώμη 1 (Rome/Vatican City, 2011), p. 152 with notes 211-212. Cf. the hand of Michael Klostomallis in cod. *Vindob. Phil. gr.* 95, f. 260r, reproduced in E. LITSAS, *Σύντομη Εἰσαγωγὴ στὴν Ἑλληνικὴ Παλαιογραφία καὶ Κωδικολογία*, parts I-II (Thessalonica, 2001), Plate 53, p. 117; cf. E. LAMBERTZ, 'Das Geschenk des Kaisers Manuel II. an das Kloster Saint-Denis und der «Metochitesschreiber» Michael Klostomalles', in *Λιθόστρωτον. Studien zur byzantinischen Kunst und Geschichte. Festschrift für Marcell Restle*, eds. B. Borkopp and T. Steppan (Stuttgart, 2000), pp. 155-165.

Τέλος τοῦ πέμπτου βιβλίου) was copied by Nikolaos Kerameus using dark brown ink, on single columns of approximately 26 lines per page. Nikolaos, with the help of a second hand (B) supplemented omissions caused by *homoioteleuta* and added corrections to the text. **M**, or at least its first part, should have been completed some time before Kerameus' death in 1663 and 1669 when Dositheos added his *ex libris*.

The first work (*QDP*) consists of ten books (1-10), each one divided into chapters. The division of books, articles and paragraphs in both **P** and **M** is the same and closely follows the division of Aquinas' text as published in the Leonina and Turin editions. In **P**, however, the book numbering of *QDP* from Book 4 onwards is erroneous, as both the third and fourth books are entitled Βιβλίον Γ. The second work (*QDSC*), as mentioned above, consists of eleven articles (1-11). Books, chapters and articles throughout **P** and **M** seem to have been numbered by the scribes themselves (and not the rubricators). The decoration in both MSS is limited to the use of rubrics for titles and initial letters at the beginning of chapters, articles and paragraphs, and to the use of small-sized crosses to mark the beginning and end of each Book (Plates 3-7). In both MSS, paragraph division is indicated by a blank space of ca. 3-5 letters followed by a majuscule initial letter introducing the text. The scribes also tend to number the first few paragraphs of each article – namely the *argumenta pro* and *contra* before each *responsio* – in either left- or right-hand margin of the folio; in **M** it is scribe B who seems to have added these numbers. It is noteworthy that in certain cases there is disagreement in the order of paragraphs between both MSS and Aquinas' Latin text. For example, paragraph [3.6.21].99-104 (Ἔτι – Θεόν) appears after [3.6.23].111-113 (Ἔτι – δημιουργοῦ) in the Latin edited text. This reflects the paragraph structure of the Latin MS/MSS Prochoros consulted. This cannot be ascertained at this stage, as it would need extensive (and expensive) research on the Latin extant MSS, which is beyond the scope of the thesis.

The single hand that copied **P** is regular, very legible and rather disciplined, employing a thin *ductus* (Plate 1). The letterforms, of medium size and sloping slightly to the right, are clearly shaped. The use of abbreviations is frequent but not extensive, with the most common being: ας ( ), εν ( ), ης ( ), and ὸν ( ). Other abbreviations include

κ(α)τ(ὰ) and μ(ε)τ(ὰ). *Nomina sacra* appear in their contracted form with their accents and breathings: e.g., ἄν(θρωπ)ος (and its adjectives, ἀν(θρώπ)ινος and ἀν(θρώπ)ειος), θ(εό)ς, κ(ύριο)ς οὐ(ρα)νὸς, πν(εῦ)μα and χ(ριστὸ)ς. An idiosyncracy of the hand in **P** is the placement of a single instead of a double dot over *iota* and *upsilon* when forming ligatures (e.g., f. 315r, l. 4: οὐσιῶδες; lin. 21: ὅτι ... ἔστι ... βασιλείου δυνάμεως) (Plate 2). In contrast, both hands in **M** employ the usual double dot (p. 24, l. 12: συνϊζικὼς; ll. 18-19: δϊ-|χῆ).

Both scribes in **M** used mixed minuscule script. Nikolaos' hand is regular and legible, using medium *ductus* (Plate 4) and letterforms of medium size, slightly slopping to the right. The same limited range of abbreviations was employed by Nikolaos, namely ας(), ον () and ως (), as well as the same contracted *nomina sacra*. Hand B is more disciplined and its *ductus* is thinner. The letterforms, clearly shaped and of smaller size, allow more space for text, which is more dense and also sloping slightly to the right. The use of abbreviations is limited to the abbreviation of κ(αὶ) and to the usual contracted *nomina sacra*. A fingerprint, more likely of Scribe B (judging from the lighter shade of ink) survives on p. 24 in the margin of l. 16 (Plate 7).

In **M**, the text of *QDP* from the beginning of book 6 (p. 308), as well as the text of *QDSC* was copied by the second hand (B), also datable to the 17th c., in dark brown ink, on single columns of approximately 26 lines per page. The same scribe (B) introduced corrections and supplemented the omissions from *homoioteleuta*. Scribe B's hand is neater. There are not as many spelling mistakes as those from Nikolaos and only a few *homoioteleuta*.

**P** and **M** share a considerable number of spelling errors together with words and phrases that are missing from the modern Latin editions of Aquinas' texts, which points to their close relation. The vast majority of errors against the Latin text were most likely introduced during the copying of Prochoros' text rather than originating from the translator's autograph (e.g., 'ἀνῆκεν' instead of 'ἀφῆκεν' for 'reliquit', an eyeskip error). There are however certain cases which point to the opposite (see below, p. 919). A full list of errors and omissions follows below:

*QDP*

**Errors due to confusion of sounds**

**i. itacism (affecting ι, ει, η, οι, υ):**

**M** against **P**: αἰνύττεται for αἰνίττεται [5.3.20].176; ἄλλοις for ἅλις (satis Aq.) [4.1.37].359*; ἀποτιχίζει for ἀποτοιχίζειν [3.16.30].266*; δύναμεις for δύναμις [2.2.11].49; εἰς for ἧς [4.1.37].347*; ἔστην for ἔστιν [3.5.1].8; ἐστὶ τοῖς for ἐστί τις [5.3.17].144*; ἡγίσατο for ἡγήσατο [4.1.1].5; ἡγησθαι for ἡγεῖσθαι [3.15.23].140; ἤδη for εἴδη M [4.1.9].58; ἱ for Ἡ [3.16.21].107; οἷς for ἧς [3.1.22].157*; πρόησιν for πρόεισιν [2.1.25].207; προσειμένει for προσημαίνει [2.2.7].38; προσῆναι for προσεῖναι [3.4.22].174; ὑπουργείᾳ for ὑπουργίᾳ [3.4.22].200;

**P** against **M**: ἀκαρειαῖον for ἀκαριαῖον [3.17.50].388*; ἡ for Εἰ [4.1.20].128; πίσις for πεῖσις [2.1.28].212

**P** and **M**: κιρτότητος for κυρτότητος [3.6.51].378*; οἱ for ἡ [3.17.9].59*; Πιθαγόρου for Πυθαγόρου [3.6.40].302*;

**ii. isochronism (affecting ο and ω):**

**M** against **P**: ἄλλος for ἄλλως; αὐτῶν for αὐτὸν [4.1.37].379; τῷ for τὸ [3.3.14].125, [3.16.2].8; ἑωρᾶτω for ἑωρᾶτο (apparebat Aq.) [3.8.9].62; ὃ for Ὦ [3.19.8].42; ὅσων for ὅσον [3.18.12].80*;

**P** and **M**: οὗτος for οὕτως [3.16.30].259*

**Errors due to *lapsus calami*:**

**M** against **P**: ἀλοιώσι for ἀλοιώσεσι [3.6.30]217; ἀναθυμιώμενα for ἀναθυώμενα [4.1.9].58*; ἀνείδος for ἀνείδεος [4.1.1].7*; ἀνυσικώτερον for ἀνυστικώτερον [3.5.1].4; ἀποτελέσμα for ἀποτελέσματα [3.16.8].40*; ἀποτέλεσμαμα for ἀποτέλεσμα [3.16.34].304*; ἀποφάσεται for ἀποφάσκεται [3.16.31].287, 288*; ἐδύνα ὑποσχέσθαι for ἐδύνατο ἀποσχέσθαι [5.3.18].115*; ἐπιτάνεται for ἐπιτείνεται (intenditur Aq.) [3.9.24].132; ἐστὶ τοῖς for ἐστί τις [5.3.17].144*; ἔτι for ἔστι

[3.18.19].106*; κα for κατὰ [3.17.35].287; καθαφεὶς for καθυφεὶς [5.3.29].262*; καπόν for καρπόν [3.9.39].309; μεντὸν for μενετὸν [5.1.29].265*; ὅπα for ὅπως [3.10.4].31; πρακτικῶς for πραγματικῶς [2.1.30].233; προπροενεγκεῖν for προενεγκεῖν [3.16.14].67*; σεχείαν for συνέχειαν [5.1.26].223; τάπασιν for παντάπασιν [3.14.10].62*; τατὶ for ταυτὶ [3.6.30].220; τινος εἶν for τι νοεῖν [3.5.1].7; ὕδωρ for ὕδρω [4.1.20].124; χεῖραν ἔχει for χεὶρ ἀνέχοι [5.1.21].141-142*

**P** against **M**: μέμπτην for πέμπτην [4.1.32].297;

**Attractions:**

**M** against **P**: αὐτῆς for αὐτοῦ (εἴδους) [5.1.23].173*

**P** against **M**: ἐκεῖνος for ἐκεῖνο (illum Aq.) [3.9.4].28; τοῦ for τὸν (αὐτοῦ σκοπὸν);

**P** and **M**: εἰδοποιός for εἰδοποιόν (attraction from ψυχή) [3.18].101*

**Varriants shared between P and M**

ἀνῆκεν for ἀφῆκεν (reliquit Aq.) [3.7.13].75; Ἀριστοτέλους for Origenes (Aq.) [5.3.16].104; γάννος for γάνος [5.5.2].14; ἕνα for ἕναν [3.11.24]; εἰς for ἧς [4.1.37].347*; ἐνειδέου for ἀνειδέου (corrected to ἀνειδέου P) [4.1.2].11; ἐννοήσω P and ἐνενοήσω M for ἐνενοήθης (cogitasti Aq.) [4.2.1].5; κιρτότητος for κυρτότητος [3.6.51].378*; λογίων for Maurorum [3.7.22].124; οἱ for ἡ [3.17.9].59*; οὐ κἂν εἴη for οὐκ ἂν εἴη [3.10.5].37; οὗτος for οὕτως [3.16.30].259*; Πιθαγόρου for Πυθαγόρου [3.6.40].302*; Στράβον for Στράβωνα [3.18.26].200; Στράβου for Στράβωνος [3.18.24]

**Variant forms of the same words**

**M** against **P**: αἰώνιον for αἰώνιος [3.14.12].70; ἄλλου for ἄλλο [3.3.10].98; ἄλλον for ἄλλου [3.13.1].5; ἀναθυμιώμενα for ἀναθυώμενα [4.1.9].58*; ἀνείδος for ἀνείδεος M [4.1.1].7*; ἀποσεληµένη for ἀποσεσυληµένη [3.17.9].68; ἀποτελέσμα for ἀποτελέσματα [3.16.8].40*; ἀποτιχίζει for ἀποτοιχίζειν [3.16.30].266*; αὐτῆς for αὐτοῦ [3.18.38].321, 322, [5.5.9].67; αὐτῆς for αὐτοῦ (εἴδους) [5.1.23].173*; αὐτὸ for

αὐτοῦ [5.1.1].1; αὐτοῦ for αὐτὴ [3.17.47].367; ἄφθαρτὸν for φθαρτὸν [4.1.37].382; βουλήσιν for βουλήσει [5.3.12].78; γεγόνασιν for γεγονόσιν [5.3.19].130; γέγονεν for γέγονε [3.17.40].326; γέγονεν for γεγονώς [3.14.7].45; γενέσθαι for γίνεσθαι [5.1.29].267; δέον for δέοντος [5.3.2].15; διακεκριμένη for διακεκριμένα [4.1.13].80; διάκρισις for διάκρισιν [3.16.30].206; δίδονται for δίδοται [3.13.19].111; δύναντο for δύναιντο [3.19.1].3; ἑαυτῆς for ἑαυτῶν [3.18.19].108; ἑαυτῆς for ἑαυτοῦ [3.13.7].70, [3.17.2].9; ἑαυτὸ for ἑαυτὸν [5.4.13].89; ἐγένετο for ἐγένοντο [4.2.41].245; ἐδύναται for ἐδύνατο [4.2.24].144; εἶδος for εἴδει [3.8.37].247; εἴδωλον for εἴδωλα [5.3.3].28 19-25; ἐκεῖνο for ἐκείνου [5.4.13].87; ἐκεῖνος for ἐκεῖνο [3.19.13].66; ἐλάττων for ἐλάττω [3.11.35].266; ἐμφελιχωρεῖ for ἐμφιλοχωρεῖ [3.11.39].293; ἐνάκαρή for ἐν ἀκαρεῖ [4.2.45.]272; ἐπακουλουθῆσαι for ἐπακολουθῆσαι [3.16.30].243; ἐπεκλύζειν for ἐπικλύζειν [4.1.17].112; ἔσται for ἔστι [5.1.22].143-144; ἔσται for ἔστιν [3.18.35].380; ἔχει for εἶχεν [3.17.44].356; ἤργει for ἄργει [4.2.5].42; ἡτινοσοῦν for ἡστινοσοῦν [4.2.39].226; ἰδίαν for ἰδίων [3.16.5].27; ἴσχει for ἔχει [4.2.44].262; κινάται for κινεῖται [3.31.0].84; μεντὸν for μενετὸν [5.1.29].265*; ὃ for ὃς [4.1.44].459; ὅλην for ὅλη [5.3.19].154; ὅν τι ... ὅν τι for ὅντι ... ὅντι [3.1.15].91-92; ὅσων for ὅσον [3.18.12].80*; παρισοῖτο for παροισοῦτο [3.14.2].18; παραχηκότι for παρωχηκότι [5.5.10].74; πλῆθος for πλήθους [3.16.46].366; πολλὰ for πολλαί [3.16.44].353; ποσότης for ποσότητα [3.17.35].239; πρᾶγμα for πράγματι [3.3.9].51; προπροενεγκεῖν for προενεγκεῖν [3.16.14].67*; προσήκον for προσήκειν (creari Aq.) [3.8.32].231; προσκειμένης for προσκειμένη [3.15.44].284; προτέροις for πρότερον (prius Aq.) [3.8.16].105; συντηρητικοῦ for συντηρικοῦ [5.1.2].18; τὰ for τὸ [3.16.30].169; ταῦτα for ταύτας [5.1.3].30; ταύτη for ταύτην [5.4.13].91; τέλος for τέλους [5.5.6].52; τῆς διαμονῆς for τῇ διαμονῇ [3.13.11].90; τῇ ζῷον for τοῦ ζῴου [3.9.39].391; τὸ for τοῦ [5.3.19173]; τρίτον for τρίτῳ [3.4.4].43; ὕπαρξις for ὕπαρξιν [3.11.11].65; ὑποβεβηκυῖα αἰτία for ὑποβεβηκυῖαι αἰτίαι [5.1.6].59; χεῖραν ἔχει for χεὶρ ἀνέχοι [5.1.21].141-142*

**P** against **M**: ἄλλον for ἄλλου [3.13.7].67; ἁμαρτάνοντα for ἁμαρτῶντα [3.16.30].250; ἀναμφισβήτως for ἀναμφισβητήτως [4.2.45.]272; αὐτοῦ for αὐτῆς [3.17.39].317; αὐτοὺς for αὐτοῖς] (eis Aq.) [3.4.22].194; αὐτῶν for αὐτοῖς [5.4.13].104;

γενέσθαι for γίνεσθαι [5.3.30].266; διδόμενον for δεδομένον [3.13.19].136; ἔσται for ἔστι [3.15.20].110; θρυαλίδος for θρυαλλίδος [4.2.21].128, 129; οἳ for ὃν [3.18.19].106; τέταρτον for τετάρτῳ [4.1.5].36

**Different readings**

**M** against **P**: αἰλίσσεται for λίσσεται [5.3.20].176; ἄλλοις for ἄλις (satis Aq.) [4.1.37].359*; ἀλόγου for τελέου (bruti Aq.) [3.8.14].92; ἀνάγειν for ἀνάγκη [3.16.49]; ἀναδέχεται for διαδέχεται [3.17.35].234; Ἀπόκρισις πρὸς for Πρὸς [3.15.24].188; ἀπόφασις for ἀπόφανσις (enuntiabile Aq.) [3.14.19].105; ἀποφάσεται for ἀποφάσκεται [3.16.31].287, 288*; ἀποφεύγειν for φεύγειν [4.1.32].239; ἃς for αἳ (quae Aq.) [3.5.5].39, [3.6.30].171; αὐτῆς for τοιαύτης [3.9.36].274; αὐτὸ for τὸ [5.3.19].130; αὐτὸν for αὐτὴν (ipsam Aq.) [3.4.2].15; γεγράφησαν for γεγράφασι (scribunt Aq.) [3.9.39].335; γίγνονται for γίγνοιτο (sint Aq.) [3.8.7].53; γινώσκεσθαι for γίνεσθαι [5.1.29].268; δέ τεινα for δὲ τείνει [4.1.27].170; διὰ for ἀπὸ (per Aq.) [3.6.47].359; διὰ τον for διάγον (differens Aq.) [4.2.42].248; διχῇ for διττή [3.16.54].398; ἐδύνα ὑποσχέσθαι for ἐδύνατο ἀποσχέσθαι [5.3.18].115*; εἶ for εἶναι [4.2.41].242; εἰσελθῶν for εἰσελθεῖν [3.9.4].25; εἴτε for οὔτε [3.1.15].89; ἐκτελῶν for ἐκτελεῖν [3.9.39].323-324; ἐνεργείας for ἐνέργειαι [3.7.4].24; ἐνίσι for ἐνίησι] [3.6.53].383; ἐνόμισάντες for ἐνόμισάν τινες [4.1.37].330; ἔν τι for ἔτι [3.17.23].136; ἐνυρυμένην for ἐνιανευμένην [3.17.35]; ἔπεσεν for ἔπεστιν (sit Aq.) [3.9.4].24; ἐπινοοῦντες for ὑπονοοῦντες [4.1.32].267; ἔτι for ἔστι [3.18.19].106*; Ἔτι for ὅτι (quod Aq.) [3.12.19].110, [3.12.20].1143, [3.12.22].131, [3.12.2].134, [3.14.21].125, [3.14.22].128, [3.14.23].131, [3.14.25].135; ἔχειν for ἀνέχειν [5.3.20].192; ἕως for ἔω [4.2.14].90; ἣν for ἓν [3.7.7].53, [3.18.38].306; καθαφεὶς for καθυφεὶς [5.3.29].262*; καὶ κατὰ for καὶ [5.3.22].184; καὶ νοῦ for καινοῦ (novae Aq.) [3.4.28].274; καὶ νοεῖν for καὶ [3.15.13].77; καὶ περὶ for καίπερ δὲ [3.17.59].445; κενοῦν for κινοῦν [5.5.8].64; κιννᾶν for κιρνᾶν (temperandum Aq.) [4.1.37].346; λέγεσθαι for λέγεται [3.1.27].215; μᾶλλον for μέλλον [3.17.37].307; μένων for μόνον [3.17.51].399; μή τι for μήτε [13.14.11].64; μίαν for μηδεμίαν (nulla Aq.) [3.4.5].51; οἴησιν δόξαν for οἴησιν [5.1.7].78; οἷς for ἧς [3.1.22].157*; ὃν τὸ τὸν Θεὸν for ὅλον [5.3.18].109; ὅπερ for ὅ τε [3.17.37].305; ὀρεκτικὸν for ὀρεκτὸν [3.11.29].233; ὅτι for ὅτε [3.14.19].116,

[4.1.14].95; οὐ προσήκει for οὐ [3.18.33].234; πάντῃ for πάντων [3.7.9].61; παρέχεται for παρέχει (importet Aq.) [3.8.4].32; περίεισιν for προίεισιν (inducatur Aq.) [3.9.39].401; προελθῶν for προελθεῖν (procedat Aq.) [3.9.39].323-324; προοιμένοις for προοιμίοις [4.1.44].460; πρόσιν for πρόεισιν [3.9.31].224; πρὸς πεφυκὸς for προσπεφυκός [3.3.12].115; προύσιν for πρόεισιν [3.17.41].337; συνεργείν for συντηρεῖν (conservare Aq.) [3.4.20].134; τάπασιν for παντάπασιν [3.14.10].62*; τε for τι (quid Aq.) [3.9.39].338; τι for τε [3.4.22].134; τὸν πολλῶν for πολλῶν [3.16.38].323; πρότερος ἐστὶ προτερεῖ for προτερεῖ [3.17.52].413; τάξεσιν for πάρεστιν [3.18.43].336; τοῦ τοῖς for τούτοις [3.11.35].268; τούτου for τούτην [3.5.1].8; ὑποστᾶναι for ὑποστῆναι (subsistant Aq.) [3.9.31].192; ὥρμηται for ὥρμηνται [3.7.22].123; ὡς δυνάμεως for ὡς [5.3.22].186; ὥσπερ γενομένου for παραγενομένου [3.17.35];

**P** against **M**: ἀποκλαίει for ἀποκλείει (excludit Aq.) [3.8.43].273; βέβαιον for βίαιον (violenta Aq.); βεβιωμένων for βεβαιομένων [3.18.26].150; εἶπε for ἐπεὶ [3.17.35].310; ἐκεῖνος for ἐκεῖνο (εἶδος) [3.7.22].140; ἔνι for Ἔνιοι [4.1.32].266; ἔχοι for ἔχει (habent Aq.) [3.7.31].328; καὶ ταῦτα for Κατὰ ταῦτα [4.2.27].172; κατατεθῆναι for προσκατατεθῆναι [3.7.29].319; λέγεται for φαίνεται [3.15.11].59; οὕτω for τοῦτο (hoc Aq.) [3.7.22].143; περιελθεῖν for προελθεῖν (procedebat Aq.) [3.4.22].147; προκειμένης for προϋποκειμένης (praesupposita Aq.) [3.4.29].287; τὸ for τὶ (aliquod Aq.)*; προσκομιδὴ for κομιδὴ (appositio Aq.) [3.7.22].149; προχεῖται for προχεῖ τὰς [3.15.24].190; τοσογκότητα for ποσότητα [3.17.35].239; τὸ for τὶ [4.2.42].247; τοῦτο for τότε P [4.1.13].76;

**Different word order:**

**M** against **P**: δύναται νοεῖσθαι κυρίως for κυρίως δύναται νοεῖσθαι [4.2.3].19; ἐκ τῆς ποιητικῆς δυνάμεως for ἐκ δυνάμεως παθητικῆς (de potentia activa Aq.) [3.2.10]83.84; ἔχει κατόπιν τὸ εἶναι for ἔχει τὸ εἶναι κατόπιν (habet esse post Aq.) [3.1.10]50-51; ὅλου τοῦ χρόνου for ὅλον τὸν χρόνον [13.17.60].449-450; τοῦ λόγου πρὸ for πρὸ τοῦ λόγου [13.17.60].451

**Words/text in P missing in M**

ἀποδίδοται [4.2.12].84; ἔστιν [3.15.23].150; Ἔτι – ἀνάλυσις [5.3.3].19-25; ἔχει [3.13.6].39; ἡ [3.5.1].8; ἰδίου [5.1.5].41; καίπερ [3.6.3].16; κατέχουσαν [3.9.27].152; καὶ – πλῆθος [3.16.14].68-69; μηδαμῇ (ex nihilo Aq.) [3.1.13].72; νοητοῖς [4.2.3].22; ὅτι [13.15.31].211; οὐχ – ἐνεργείᾳ [3.5.8].88-89; πρώτην [3.18.32]; ῥητέον [3.12.20].114, [3.12.22].131, [3.12.23].134, [3.12.26].144, [3.14.21].125, [3.14.22].128, [3.14.23].131, [3.14.25].135; τὰ [3.11.21].130; τὴν [3.15.41].264; τινά [4.1.18].114; τοῦ [3.4.4].42; τοῦ – μέρους [5.3.14].116; ὕλης [4.1.15].99

**Added in the margins by Hand B or Kerameus:** ἀλλ' – ἄλλου [3.17.51].397-398; Ἀλλ' – κίνησιν [5.5.9].68-69; ἄλλοι – ἀνάγκης [3.16.30].208-209; ἀλλ' – σωμάτων [5.1.5].56-57; ἄλλῳ – τρόπῳ [3.15.43].277; ἀπὸ – πυρός [5.1.23].167; αὐτῶν – οὐσίας [5.3.10].59-62; γενόμενα – ὕλης [3.16.50].383-384; διὰ – οὐρανὸς [4.1.44].472-473; δυνάμει – ἡ [3.11.14].83-85; εἰ λέγει [5.2.6].33; εἰς τὸ εἶναι [3.11.9].59; ἐκ-καταληπτικὴ [3.11.17]; ἐκ – φύσεως [3.15.1].13-[3.15.2].16; ἐνέργεια – τῆς [4.1.30].201-202; ἔστι – πάντα [3.16.45].360-362; Ἔτι – αἰώνιον [3.14.13].71-72; ἔχει αἰώνιον [3.13.6].23; ᾗ – δύναμις [5.3.19].161-162; ἢ – φύσις [3.13.6].39-40; ἵνα – ἔχεσθαι [4.1.32].217-218; καὶ – ἀεὶ [3.17.2].15-16; καὶ – κινεῖν [3.15.24].190; καὶ – σώματα [4.1.37].383-385; λέγομεν – ἐστί [4.1.39].411-412; ὅθεν – εἶναι [5.1.5].37-39; ὅπερ-κινήσεως [3.13.6].55-56; ὅπερ – ἀμεταβλήτως [3.15.31]213-214; ὅτι – θελήσει [3.13.6].34-35; οὐκ – εἴδη [5.1.5].42-43; πράγματος – τοῦ [5.1.23].163-165; οὐχ – ποιοῦντος [5.1.30].271-272; ποιητικόν [3.11.10].61; ποιοτήτων – προειρημέναι [3.11.23].176-177; πρόεισι – ἐν [3.11.4].25-26; σκοπουμένου – προενεγκεῖν [3.16.30].190-191; τῆς – εἶναι] [5.3.19].158-159; τὰ – συμβεβηκὸς [5.3.16].139

**Words/text in M missing in P**

αἰτία [5.3.19].160; αὐτοῦ [3.17.9]; ἐμπόδιον [13.17.60].450; μὴ [3.15.12].71; τὸ – πρὸς [3.15.18].99*; τὰ [3.16.30].261

**QDSC**

**Errors due to confusion of sounds**

**i. itacism (affecting ι, ει, η, οι, υ):**

**M** against **P**: εἴδοιμεν for ἴδοιμεν [10.28]/378; εἴ τις for ἥτις [11.22]132; ἐνῶσι for ἑνώσει [2.28].258*; κοινεῖν for κοινήν [3.28].222*; κριτικὴ for κριτικῇ [10.28].349; οἱ for εἰ [9.21].184; πρηνὶ for πρεινὶ [5.15].98; σὺ for σή [4.35].267

**P** against **M**: ἀσθενῆ for ἀσθενεῖ [10.27].340; γενέσι for γενέσει [8.21].208; διαφέροι] διαφέρει P [10.5].25; εἰδωλολατρείας for εἰδωλολατρίας [6.50].323; εἰκόνησιν for εἰκόνισιν [9.27].298; εἴτοι for ἤτοι [7.7].72, [10.28].370*; εὐχερίας for εὐχερείας [3.6].45; ἥτις for εἴ τις [5.4].14; μαγνίτις for μαγνῆτις [2.23].207; νοεῖται for νοῆται [11.33].277; παρείκει for παρήκει [10.28].343; περίησι for περίεισι [6.50].327; πικνῶν for πυκνῶν] [7.13].89*; προγράφοι for προγράφει [8.38].379*; προϋπάρχειεν for προϋπάρχοιεν [3.20].126; τοι for τι (aliquid Aq.) [5.17].167; ψευδῆ for ψευδεῖ [10.28].348

**P** and **M**: ἔγγυον for ἔγγιον (propinqius Aq.) [11.39].302*; ἐκσφράγησιν for ἐκσφράγισιν [9.27].298*; τέθηκεν for τέθεικεν [9.21].168*; τοῖς for τῆς (εἰδόσιν) [7.7].67*; τέλει for τέλη [6.21].183*; ὑγειάζει for ὑγιάζει] [9.28].337*

**ii. isochronism (affecting ο and ω):**

**M** against **P**: καθορισμένον for καθωρισμένον [4.30].235

**P** against **M**: ἀκολουθήσομεν for ἀκολουθήσωμεν [6.49].316; αὐτό for αὐτῷ [3.28].209; ὁλικώτηταν for ὁλικότητα [4.22].182; ὁπωτέρῳ for ὁποτέρῳ [3.19].121; 193 ὁτινιοῦν for ᾡτινιοῦν [4.23].193; τούτῳ for τοῦτο [6.41].269; τῷ for τὸ [4.11].77, [6.8].64

**P** and **M:** ἀφέλκων for ἀφέλκον [10.17].117*; ἑαυτῷ for ἑαυτό [10.4].18*; ἐγκαθορμίσαντο for ἐγκαθωρμίσαντο [5.15].92*; ὃ for ᾧ [10.19].135*

**iii. ε for αι**

**M** against **P**: γέγοναι for γέγονε [10.22].139*; σφέρα for σφαῖρα (*passim*)

**Errors due to *lapsus calami*:**

**M** against **P**: ἐπιστήμον for ἐπιστητόν [9.21].218*; ἐφ' for ἀφ' [5.25].224*; οὐσίαν for οὐσίας [5.15].93*; τῇ for τίς [2.28].231*; τῷ for νῷ [10.20].225*; φυσικὴ for φυτική (vegetabilis A) [3.1].8*; φυσικῆς for φυτικῆς [3.42].405*;

**P** against **M**: ἀλόγως for εὐλόγως [5.12].92*; διατοῦ τοῦτο for διατοῦτο [6.39].240; ἐκτομότητι for ἀτομότητι (individuationem Aq.) [9.27].271*; ὀνοματο for ὀνόματι (lapsus calami) [9.30].371*; περιφανείας for περιφερείας [4.9].59*; πολλὸς for πολλοὶ (multi Aq.) [9.27].279*

**Attractions:**

**M** against **P**: ἑνοῦσα for ἑνοῦσθαι [3.28].168

**P** against **M**: ἡνωμένα for ἡνωμένοι [5.5].27*;

**P** and **M**: ἀσύναπται for ἀσύναπτοι [6.21].184*; αὐτῇ for αὐτῆς (attraction from eius)

**Errors shared between P and M:**

**Variants shared between P and M:** Ἀλλ' for Ἄρ' (Sed Aq.) [4.16].96; ἁμαρτῶντας for ἁμαρτόντας [6.49].317; ἀναλοίωτον for ἀναλλοίωτον [10.20].157; ἀλοιούσης for ἀλλοιούσης [10.20].172; ἀπογενότων for ἀπογεγονότων [9.21].213; ἀπόρημα for ἀπόρρημα [9.27].284; ἀσύναπται for ἀσύναπτοι [6.21].184*; αὐτήν for αὐτῆς [11.5].31; ἀφελεῖ for ἀφηλοῖ (abstrahit Aq.) [10.23].312; ἄυλαι for ἄυλοι [5.19].187; ἀφέλκων for ἀφέλκον [10.17].117*; Βουλουσιανὸν for Valusianum (L) / Volusianum (T) [4.6].33; δύναται for δύνασθαι [10.17].120; ἑαυτῷ for ἑαυτό [10.4].18*; ἔγγυον for ἔγγιον (propinqius Aq.) [11.39].302*; ἐγκαθορμίσαντο for

ἐγκαθωρμίσαντο [5.15].92*; Eἰ for Ἀλλ' (Sed Aq.) [4.6].31; 238 εἰ for ᾗ (ubi Aq.) [4.30].238; εἰδοποιός for εἰδοποιόν (attractio ex ψυχή) [3.18].101*; εἴτε (sed Aq.) [5.15].107; εἴτοι for ἤτοι [7.7].72, [10.28].370*; ἐκσφράγησιν for ἐκσφράγισιν [9.27].298*; ἑτέρου for ἑτέρῳ [11.39].302; ἐψυχῶσθαι for ἐμψυχῶσθαι [6.21].192, 195, 196, [6.42].283; ἐψύχωται for ἐμψύχωται [6.2].10, 13, 15, [6.48].310; intellige ἦν for ἥν (quam Aq.) [5.17].139; κατὰ for παρὰ [2.7].41 καταλαμπόμενον for καταλαμπόμενα [10.28].371; κινούμενον for κινούμενος [6.6].52; μένει for μένειν [5.25].227; μετέσχει for μετέσχε? (participaverunt Aq.) [5.24].218; ὃ for ᾧ [10.19].135*; οὐράνιον for corporalis Aq. [6.39].248; περιειλημμένας for περιειλημμένα [11.26].191; πηλικότητος for πηλικότητα [8.21].164; πικνῶν for πυκνῶν] [7.13].89*; ῥᾷον P, ῥάων M for ῥᾴω [3.19].116; συμβατικὴ for συμβα<μα>τικὴ [11.26].196, 203; σώμασι (animalibus Aq.) [6.47].305; ταυτησὶ (spiritualis Aq.) [6.43].291; τέθηκεν for τέθεικεν [9.21].168*; τέλει for τέλη [6.21].183*; τινῶν for τῶν [3.28].201; τινος for του [2.28].375; τὸ for τῷ [8.27].279; τοῖς for τῆς (εἰδόσιν) [7.7].67*; τούτων for τούτου (hoc Aq.) [9.27].284; ὑγειάζει for ὑγιάζει] [9.28].337*; ὑπῆρχον for ὑπῆρχεν [4.11].70

**Variant forms of the same words**

**M** against **P**: αἰσθητικῷ for αἰσθητῷ (sensibili Aq.) [3.43].427*; ἀναμιμνῆσθαι for ἀναμιμνήσκεσθαι [9.21].219; ἀνθρώπινον for ἀνθρώπειον [3.27].161 ἀνθρωπίνῳ for ἀνθρωπείῳ [2.29].273; ἀπεναντίως for ἀπεναντίας [10.20].232; ἀποτετειχεῖσθαι for ἀποτειχίζεσθαι [11.17].105; ἀποφέρονται for ἀποφέρεται [8.31].323; ἅπτεσθαι αὐτῆς for ἅπτοιτο αὐτοῦ [2.23].222; αὐτῇ for αὐτή [2.30].280; αὐτοῦ for αὐτῆς [2.31].300; γέγοναι for γέγονε [10.22].139*; διαφέρειεν for διαφέροιεν [8.26].269; διηλέχθησαν for διειλέχθησαν [8.21].132; ἐδύνατο for ἐδύναντο (poterant Aq.) [5.21].200; ἕκαστον for ἕκαστος [10.28].360; ἓν εἶδος for ἑνὸς εἴδους [8.21].133; ενενόηκε for ἐνενόησε [9.28].349; ἑνῶσι for ἑνώσει [2.28].258*; ἕπετ' for εἵπετο] [2.26].250; ἐπιστήμον for ἐπιστητόν [9.21].218*; ἔστι σχηματισμένον for ἔστιν ἐσχηματισμένον [7.6].36; εὑρίσκεσθαι for εὑρίσκεται (invenitur Aq.) [11.26].174; εὑρίσκεται for εὑρίσκωνται [5.12].67; ἔχειν for ἔχον (haberet Aq.) [10.23].314; ἡνωμένα for ἡνωμένοι [5.5].27*; ἡνῶσθαι for ἑνοῦσθαι [7.7].62;

ἥστινωσοῦν for ἡντιναοῦν [10.20].194; κίνησιν for κίνησις [6.5].43; κοινωνεῖν for κοινωνοῦσιν [9.21].206; μόνον for μόνην (solam Aq.) [5.21].201; νοεῖται for νοεῖ τι [9.30].371; νόημα for νοητὸν [9.21].182; ὁ ἄγγελος for οἱ ἄγγελοι [8.7].49; ὄρεξις for ὄρεξιν [6.41].271; ὅτινοσοῦν for οὑτινοσοῦν [2.23].219; οὐδένα for οὐδενὶ [7.7].62; οὐσίαν for οὐσίας [5.15].93*; παραπλησίως for παραπλησίον [2.25].244; πεπερασμένον for πεπερασμένης [10.7].36; πεπληθύνεται for πεπλήθυνται [10.5].25; προλαβόντα for προλαμβάνοντα (praecedentes Aq.) [3.50].467; στρατευμένῃ for στρατευομένῃ [8.11].75; ταὐτὰ for ταὐτὸν [6.41].264; τοιαύτης for τοιαύτη [5.17].150; τὸν πλάνον for τὴν πλάνην [5.18].183; τοῦ σώματος for τῷ σώματι [11.40].310; τῷ σώματι for τὸ σῶμα [2.26].250; ὑπεξεργάσθαι for ἐπεξεργάσθαι [10.23].297; ὑφεστῶσας for ὑφεστάναι [10.22].140;

**P** against **M**: ἀδιόρθωτα for ἀδιορθωτὶ [8.1].8; ἀναδραμὼν for ἀναδραμόν [2.26].247; ἀνθρώπ<ε>ιος for ἀνθρωπίνη [2.23].229; ἀνωτάτω for ἀνωτέρω] [11.36].285; ἀποδίδοται for ἀποδέδοται (attribuitur A) [2.42].353; ἀποταχθέντος for ἀποταχθέντας [6.49].320; ἀσώμαται for ἀσώματοι [4.16].107; αὐτὴ for αὐτῆς [11.11].69; αὐτὸ for αὐτὰ] [10.20].142; ἐκτομότητι for ἀτομότητι (individuationem Aq.) [9.27].271*; αὐτῇ for αὐτῷ [6.42].286; αὐτῆς for αὐτῇ [9.24].256; αὐτοῦ for αὐτῆς [2.26].246; αὐτοὺς for αὐτοῖς] (eis Aq.) [3.4.22].194; γίνεται for γίνεσθαι] [10.13].88; διαφέρειν for διαφέρει (different Aq.) [9.22].243; διαφέρειν for διαφέροιεν (differant Aq.) [8.22].235; δοθοίη for δοθείη [4.36].270; δυνάμει for δύναμις [2.28].258; ἑκατέροις for ἑκάτερος [9.21].182; ἑκατέρου for ἑκάτερον [3.28].349; ἐξάλονται for ἐξάλλονται] [10.28].386; ἑπόμενοι for ἑπόμενος (sequens Aq.) [5.18].183; ἐπινοίᾳ for ἐπίνοιαν [3.43].436; ἑπομένου for ἑπομένως [10.8].42; ἐσαφήνισθαι for ἐσαφήνισται [10.32].418; εὐθύνοις for εὐθύναις [10.9].54; ἡ ... κίνησις ... μετρεῖται for αἱ ... κινήσεις ... μετροῦνται (motus … mensurentur Aq.) [5.21].195-196; μηδὲν for μηδενὶ [10.23].297; καθὸ for καθὼς [11.42].320; κινοῦσαι for κινοῦσα [6.22].209; μόνη for μόνον (solum Aq.) [6.23].216; νοοῦντος for νοῦν (intellectus Aq.) [9.36].418; νοῦς for νοῦ [9.21].183; οἴησιν for οἴκησιν [9.31].378; ὀνοματο for ὀνόματι (lapsus calami)* [9.30].371; πολλὸς for πολλοὶ (multi Aq.) [9.27].279*; προγράφοι for προγράφει [8.38].379*; προείρηνται for προείρηται [10.25].320; ταύτης for ταύτῃ [8.26].261; τὸ

for τὸν [10.14].94; τῇ for τῷ [11.11].66; φυσικὸν for φυσικὴν [6.4].33; ὑπάγει for ἐπάγει [10.23].288; ὑπερβέβηκε for ὑποβέβηκε [8.38].375; ὑποκειμένου for ὑποκειμένων (substantiis Aq.) [9.27].323

**Different readings**

**M** against **P**: ἀίδια for ἴδια [7.7].66; ἄλλον for μᾶλλον [10.7].31; ἀμέθεκτον for μεθεκτόν (participatum Aq.) [5.15].99; ἀνθρωπίνῳ for ἀνθρωπείῳ [3.14].89; αἰσθητικῷ for αἰσθητῷ (sensibili Aq.) [3.43].427*; αὐτοῖς for ἑκάστοις [4.16].97; ἀχώριστον for ἄριστον (optima Aq.) [6.10].76; ἀψύχων for ψυχῶν (animis Aq.) [6.17].110; διαφορᾶς for διαφανὲς (diaphanum Aq.) [10.23].314; ἑαυτοῦ for αὐτοῦ [2.23].220; ἐνὶ ἔνιοι [6.49].320; ἐπίσης for ἐπιέναι [3.28].223; Ἔτι for ὅτι [3.28].199; ζωὴν καὶ for ζωὴν [3.2].12; ἡ ἐν τὸ ζὴν for ὅσό τις (quanto aliqua Aq) [2.28].284; ἐφ' for ἀφ' [5.25].224*; 18 ἴσου for ὅλου (totum Aq.) [7.3].18; καὶ τοῦ σώματος for πρὸς τὸ σῶμα (ad corpus Aq.) [3.28].309; καὶ for αἵ [5.21].194; κοινεῖν for κοινήν [3. 28].222*; κινοῦν μόνον for κινούμενον [6.51].325-326; λέγειν for λογικόν (rationale A) [2.35].314; 255 λέγεται for ὁ Φιλόσοφος διαγορεύει (ut dicit philosophus Aq.) [4.33].255; μὲν δὴ for μέντοι [9.21].177; μέρος for μέρει [3.28].225; μεταβάλλει for μεταβαλεῖν [4.27].216; νοερά for νοητά (intelligibiles A) [2.42].354; ὃ for ᾗ (ubi Aq.) [4.33.257]; ὀδικότης for ὀλικότης [4.21].160; οὐδενῖ for οὐ δηλοῖ (non significat Aq.) [11.26].195; πράγματι ἐξενεγκεῖν for ἔν τινι εἰκὼν [6.21].175; ταῦτα for πάντα [6.48].313; προκατάληψιν for πρὸς κατάληψιν [11.27]216; συνέβαινεν ἂν for συνέβαινεν μέν [6.21].170; τελειοτέρα δοκεῖ ἔχουσι for τελειότερον δὲ μετέχουσι [8.21].174; τὴν for αὐτὴν [4.5].27; τὴν κινοῦσαν τὸν οὐρανὸν ψυχήν for τὸν κινοῦντα οὐρανόν (motor celi Aq.) [4.9].58; τὸ τῆς φύσεως for τῇ φύσει [2.34]311; τοιάσδε for τοιαύτης [5.15].113; τῇ for τίς [2.28].231*; circumferentiae Aq.; τῷ for νῷ [10.20].225*; ὑπὸ τὴν for ὑπάτην [6.40].259; φυσικὴ for φυτική (vegetabilis A) [3.1].8*; φυσικῆς for φυτικῆς [3.42].405*; φυσικῶς for κυκλικῶς (circulariter Aq.) [6.13].93; ὡσανεὶ for ἐς ἀεὶ [6.5].46; ὥσπερ for ὡς [4.34].262

**P** against **M**: αἰσθητὴ for αἰσθητικὴ (sensitiva Aq) [3.3].26; αἰσθητὴς for αἰσθητικῆς [3.28].308; αἰτίᾳ for οὐσίᾳ (essentiam Aq.) [11.5].28; ἀλόγως for εὐλόγως

[5.12].92*; ἀπαρχῆς for ἀπ' ἀρχῆς [11.12].71; ἑαυτοῦ for μετ' αὐτοῦ [3.11].37; εἰ μὲν εἴη τὶ ὃ for ῥητέον ἂν εἴη ὅτι (dicendum est quod Aq.) [6.21].204; ἐν for ἀεί (semper Aq.) [5.15]. 107; ἔνι for ἔνιοι (quidam Aq) [3.28].201; μέλλει for μένει (remanet Aq.) [8.21].142; ὅπερ for ὅπου (unde Aq.) [4.11].70; οὐ for νοῦ [10.28].405; πάντων for Πλάτων [10.28].364; παραγίνεται for παραδίδοται (traditur Aq.) [3.49].459; περιφανείας for περιφερείας [4.9].59*; συμβατικὸν for συμβεβηκός (accidentalis Aq.) [11.36].288; τὴν for αὐτὴν [11.8].54; τὶ for τὸ (quod Aq.) [8.31].304; τὸ for τῇ [4.21].164; τὸ for τὴν [11.27].219

**Different word order:**

**M** against **P**: ἀσώματον οὐσίαν for οὐσίαν ἀσώματον (substantiam incorpoream Aq.) [5.16].119; κρεῖττον ἐστὶ for ἐστὶ κρεῖττον (est nobilior) [7.4].22; 255 ἔστι μὲν ἴδιον for μὲν ἔστιν ἴδιον [10.21].255; ὅλον ... πρῶτον for πρῶτον ... ὅλον [4.30].243

**P** against **M**: δύο λέγειν for λέγειν δύο (dicere duo Aq.) [3.43].319

**Words/text in P missing in M (mostly due to *homoioteleuta*)**

αἱ – νοητὸν [9.36].409-412; αὐτῶν [5.25].225; δέ [2.39].338; δεκάτῳ – κεφαλαίῳ [8.31].314; εἰδοποιόν [4.25].206; εἴδους [3.28].191; εἰκόνα [10.20].235; ἐπεὶ [9.21].162; ἕπεται [10.27].330; ἔστι – εἴτουν [11.40].311; ἔχειν [4.8].52; ἡ [8.31].319; καί [5.15].99; μετὰ–ἀναλαβεῖν [10.15].100; πέρας [3.28].247; περὶ– ὁλότητι [4.21].175-177; πολλῷ μᾶλλον [3.23].144; σωμάτων [9.21].224; τὰ φυσικά [3.15].90; τοὺς [10.22].256;τῷ – οὐσία [7.7].59-60; τὸ δ'– αὐτό [9.27].308-310

**Words/text in M missing in P**

ἀλλ' [3.5].40; ἐν [2.23].227; αὐτοῦ [3.23].140; ἀνάγκη [10.20].163; ἀνάγκη – κινήσεως [5.15].105-106; εἰ [6.21].201; ἐκεῖνο (illa Aq.) [3.41].388; ἓν [2.23].232; ἕνα [10.21].254; ἐν τῷ [2.30].283; ἐν – πρώτῳ [10.1].6; ἡ [4.27].213, [7.6].37, [9.28].343; ἥτις [3.8].58; καὶ [2.24].236; οὐσίας [3.28].247; οὐχ [4.26].209; πότερον [8.1].3;

σώματι [5.13].77; τὴν [7.7].79; τὶ [10.15].95; τινὶ (aliquam Aq.) [10.6].23; τὸ [2.28].224, [9.21].187; τοῦ [6.35].223, [8.5].40; ψυχή [3.3].25; χωρισταὶ καὶ [6.21].184

Finally, **P** and **M** share a large number of words, phrases and often whole passages missing from the Latin edited text. These readings – which survive only in the Greek translation – show that Prochoros Cydones used a variant version of the text. These readings range from variants of minor importance including conjunctions, such as 'καὶ', 'δὲ' and 'γὰρ', to longer sections of 1-2 lines. The Greek version of *QDP* transmits a large passage missing from the Latin edited text ([7.7.16].139-161). It must be stressed that the Greek version of *QDSC* as transmitted in **P** and **M** records a considerable number of references to book titles of classical authors and Latin and Greek Fathers that are missing from the Latin edited text. The same happens with *QDP*. However, the editor of the Turin edition has successfully supplemented the missing references placing them in square brackets ( [ ] ). A list of the readings, except the latter references, follows below:

*QDP*

ἀγαθότης – ἐξαίρετον [9.9.29].167-168; ἀγγελικῇ [3.4.26].260; ἀλλ' [2.3.19].103; ἀναμφισβητήτως [4.2.45].276; ἀντικείμενος [3.2.2].13; δεύτερον ὅτι [3.7.22].216; διὰ – ἀναφορᾶς [2.2.16].114-115; διανοητὸν ἐστίν [1.3.28].195; θείου [2.3.3].19; Ἐν – κτισμάτων [7.7.16].139-161; ἐν – αὐτοῖς [1.1.16].70, [1.1.17].73; ἑνούσης [3.9.11].63; ἴσας [2.5.4].18; καὶ – ἀναφέρεται [7.7.16].131-133; καὶ – ἑαυτοὺς [3.18.26].174; καὶ – εἰδέναι [5.6.15].139; καὶ – ὄν [3.1.15].93; καὶ – σώματος [3.9.9].55; κἀκεῖνο – εἰπεῖν [3.10.21].115; κατὰ – πρόεισιν [3.4.22].233-235; λέγω [3.4.22].150, [3.4.31].295; ὁ λόγος [2.1.29].232; ὅπερ ἄτοπον [5.2.1].13; ὅπέρ – ἀνθρώπῳ [5.10.6].27; οὐ [3.2.7].40; οὐκ ἐνίησι [3.4.22].191; Οὐκ – ὕπαρξις [5.2.2]14-15; πάντες ἥμαρτον [3.9.4].27; παρὰ Θεοῦ [3.9.30].175; τῇ ἀρχῇ [5.6.2].13; τὴν – θέλησις [2.3.2].16; τῆς – δόξης [3.1].119; τι [2.3.6].40, [3.1.30].230; τὸν ἡμέτερον [3.4.13].95; τὸν – μισθόν [5.9.9].45-46; τῷ δημιουργῷ [3.4.22].157; τῶν ἁγίων [5.6.4].21; ὑποκείμενον [3.2.7].56; χρὴ λέγειν [2.4.17].92.

ἄγγελον [5.24].218; ἀλλ’ [11.14].83; ἀλλὰ [9.21].233; ἀλλὰ – ἐναντίου [2.15].86-87; ἄλλο [5.15].87; ἄλλοις [10.6].27; ἀμηγέπῃ [3.28].253; ἀναλεγόμενοι [9.21].218; ἀντὶ πάντων [2.23].192; ἁπλῶς [1.45].380; ἀπὸ [9.28].332; ἀποτέλεσμα [3.49].464; αὔξονται καὶ [6.21].193; αὐτὴ [2.27].253; αὐτὸ [9.27].293; αὐτὸς [3.28].262; ἀὐτοῦ [2.5].31, [10.15].101, [11.26].185; αυτῷ [10.22].141; αὐτῶν [3.35].353; γὰρ [3.49].460, [8.1].4, [8.11].311, [9.26].265, [11.29].245; δὲ [3.28].291, [4.39].288; δὲ$^2$ [2.39].341; διὰ [6.21].140; διὰ ταύτας [8.1].6; διὰ τὴν ὕλην [2.7].41; διατοῦτο [9.21].141; διδόασι [3.28].291; διοισόμεθα [10.28].393; δυνάμεθα [10.28].359; εἰ – βάθους [6.21]. 161; εἶδος [2.2].12; Εἰ [2.15].100; εἰ μὴ [4.16].97, [8.1].6; εἶναι [3.28].300, [8.21].139; εἴτουν – δύναμιν [6.8].95; ἐκ – αἰσθητοῖς [1.36].250; ἐκεῖνο [6.33].219; εἰσὶ – ἣ [4.24].202; εἴτουν – εἶναι [9.7].48-50; ἐν ἄλλῳ [10.20].281; ἐνειλεῖται [2.23].188; ἔνια – εἴδη [8.21].186-187; ἐν – ψυχή [11.14].85; ἔχει – ἀρχῶν [11.26].21; ἐξαίρετον [11.26].161; ἔστι – διαφορά [2.35].315-317; ἔστιν [4.29].233; ἐφιστᾶσι [9.21].234; ἡ - εἶναι [1.28].161-163; ἣ – ἐνέργεια [1.36].286-287; ἥ – ποιητική [11.20].123-124; ἧττον [3.28].295; ἴδιον [10.28].388; ἴσχειν [9.21].219; καθ’ – σῶμα [1.45].371; καὶ [4.21].149, [6.21].175, [8.21].180, [8.22].231, [8.27].279, [8.34].343, [8.36].370, [9.15].114, [9.21].241, [9.27].281, [9.27].311, [10.27].340, [10.28].359, [11.13].78; καὶ – ἀεὶ [10.28].359; καὶ – Διονύσιος [1.29].168-169; καὶ ἕν [3.28].281; καὶ θέλοντος [3.43].340; καὶ– μέρη [4.21].141-142; καὶ – οὐσίας [1.34].196; καὶ – σπουδαζόμενον [2.4].23; καὶ τοῦτο [9.6].36; κατὰ – βιβλίῳ [1.15].86-87; κοινόν [9.6].35; λέγεται [2.2].10; λόγου χάριν [6.39].239; λόγῳ [3.34].343; μέν [3.35].350; μετέχεται– αὐτοῦ [10.28].394; μὴ [2.41].348, [9.28].322, [10.20].289; μία [2.12].63; μίαν [5.10].56; νοεῖ [10.20].288; νοῦς [9.21].238; νοῦν [10.11].76, [11.27].216; νῦν [5.15].110; ὅλον [4.21].134; ὁμοίου – ἁπλοῦ

[7.7].46-47; ὅπερ ἄτοπον [4.10].66; ὅπερ εἴη [2.4].24; ὅς – ἐνέργεια [1.36].230; ὅτι [8.1].7; ὅτι – ἡτισοῦν [1.23].122-123; οὐδ – αὐτῷ [2.1].7-8; οὐδὲ – τομῆς [4.17].110; οὐκ [10.27].339; οὐκ – καὶ [8.30].308; οὕτως [6.33].221; οὐχ [4.21].178; πάντα [5.15].95; πάντα ἄνθρωπον [10.1].6; παντὶ [8.22].232, [11.28].238; πάντων [4.17].105; πασῶν [4.39].282; πρὸς [8.36].373; πρῶτον [3.28].233, [3.28].290; σύμπασα [8.1].5; σῶμα [4.21].143; σώματι [7.11].84; σωματικὴν [2.23].218; σωματικῆς [3.22].137; τὰ – διατελοῦντα [10.28].392; τὰ νοητά [3.11].71, [5.17].171; τέως [2.30].276; τῆς ἀληθείας [10.9].62; τῆς – ἐνεργεῖν [4.41].296-297; τῆς ψυχῆς [11.9].61, [11.31].256; τι [10.8].43; τινὰ [3.39].372; τινες [10.20].174; τινος [5.22].205, [6.5].44; τισι [8.8].56; τὸ – ἔχον [3.28].262; τὸ – ψυχήν [2.7].43; τοῖς σώμασιν [1.56].444; τὸ σῶμα [3.12].76; τοῦ ἀγγέλου [8.11].77; τοῦ γιγνομένου [3.34].344; τοῦ – νοοῦντος [10.20].246; τοῦ πεφυκότος [2.7].41-42; τοῦς [10.28].359; τι [8.29].289; τινῶν [9.6].34; τίς [4.21].149; τοῦ – καὶ [10.24].316; τοῦ οὐρανοῦ [6.8].68; τοῦ σώματος [2.13].68, [4.21].188; τοῦτο [10.24].308; τοῦτο – ἐνενόησε [9.29].349; τῷ – καὶ [9.10].83; τῷ – ὑπερβολῆς [6.21].157; τῶν ἀντιληπτικῶν [10.35].435; τῶν εἰδῶν [9.27].281; τῶν – καὶ [9.21].213-214; ὑπερφυεῖ [6.8].67; φθαρτοῖς [4.21].149; χείρ [4.21].137; ψυχὴ [3.2].11, [6.40].254-255; ᾧ [3.41].391; ὡς2 [1.36].281; ὡς εἶδος [7.1].5; ὡς εἴδους [11.26].201; ὡς – μόνον [9.21].233; ὥστε – πνεύμασιν [5.3].13-14.

So far this different Latin transmission has not survived (or waits patiently to be discovered) and has therefore not been used in the *stemmata* of the modern editors of the two *Quaestiones*. This makes our edition of Prochoros' translations of *QDP* and *QDSC*, together with editions of other translations of Thomistic texts in Byzantium, a point of reference for the modern editors of Aquinas' works.

## 2. Printed editions of the Latin text

The original Latin text of Thomas Aquinas' *QDSC* and *QDPD* has been published in a number of editions. For our edition of Prochoros Cydones' translation of these texts, we have consulted the Turin (1949)[74] and Leonine (2000) editions.

### L Editio Leonina

*QDSC* was first published by an anonymous editor in Venice, at an unknown date, *Incipiunt questiones de spiritualibus creaturis sancti Thome e Aquino ordinis predicatorum. Questio prima vtrum substantia spiritualis creata sit composita ex materia et forma. <Q>Uestio est de spiritualibus creaturis. Et primo queritur … Expliciunt questiones de spiritualibus creaturis Sanctissimi et clarissimi Doctoris Thome de aquino ordinis predicatorum*. There have been no less than 24 subsequent editions, dated between 1500 and 1980. In the latest Leonina edition by J. COS, *Sancti Thomae De Aquino opera omnia iussu Leonis XIII P.M. edita cura et studio fratrum Praedicatorum. Quaestio disputata de spiritualibus creaturis*, t. 24, 2 (Rome/Paris, 2000), 174 pp. (see Plate 8), the editor gives a full list of all printed editions (Part One, pp. 14*-16*) along with a description of 66 extant Latin MSS consulted for the edition (pp. 1*-14*). Cos adds a critical survey of the MS and printed tradition (pp. 15*-32*). In their severely critical review, G. Guldentops and C.G. Steel pointed out a number of flaws and shortcomings of the edition, in terms of the evaluation of the MS and printed tradition, errors in the critical *apparatus*, the lack of certain sources and the overuse of Latin Aristotelian ones in the *apparatus fontium*.[75] In our case, the deficiencies of the *apparatus criticus* makes it impossible to draw conclusions on the Latin MS/S Prochoros may have consulted for his translation.

[74] So far I have been unable to trace the 10th Turin edition (1965).

[75] G. GULDENTOPS and C. STEEL, 'Critical Study: the Leonine edition of *De spiritualibus creaturis*', in *Recherches de théologie et philosophie médiévales* 68 (2001), 180-203.

**T Editio Taurina**

The *QDP* was first published by Jaume (Iacobus) Bergadà, Hieronymus Pastor Duran, Héritiers de Jacques Giunta et al., *Quaestiones disputatae S. Thomae Aquinatis doctoris angelici De potentia Dei, De malo, De spiritualibus creaturis, De anima, De daemonibus, De angelis, De veritate et pluribus aliis quaestionibus ut in tabula continetur*... (Lugduni: apud heredes Iacobi Iunctae, 1569). For our edition we have consulted the best available modern Turin edition by Paul M. Pession (ed.), *S. Thomae Aquinatis doctoris angelici, Quaestiones disputatae*, t. 2: *Quaestiones disputatae de potentia* (Marietti: Turin/Rome, 1949; editio VIII revisa), pp. 1-276 (see Plate 9). The edition is preceded by an introduction briefly mentioning historical information (p. 1) on the text and presenting its structure and argumentation (pp. 1-4) and a list of abbreviations (pp. 5-6). Though the edited text is of good quality, the *apparatus fontium* is only partial, in the sense that it does not provide sufficient information on Aquinas' sources, and there is no *apparatus criticus* to offer us any information on textual differences and palaeographical phenomena.

## 3. Relation of the Greek manuscripts and *stemmata codicum*

The textual and palaeographical examination of the two translations show the following relations between the extant MSS we have consulted. Prochoros' translation of Aquinas' *QDP* (edited below, pp. 731-915) is transmitted in three MSS (**P**, **M**, and **H**). So far Prochoros' autograph (**α**) has not been found, if it survives. The entire text of the translation is preserved solely in the 14th-15th-century codex **P**, which is the principal MS., as it also transmits a text to a large extent free of errors and omissions from the edited Latin text. **H**, datable to the 15th century, has not been accessible to us, and therefore cannot be at this stage included in the *stemma*. **M**, copied in the 17th century, preserves the largest part of the text ([1.1]-[6.10]). **M** is closely linked with **P**, though they also share a considerable number of differences, mainly spelling and grammatical errors, variant readings, and omissions of words and passages. For this reason, they must be related through an intermediary tradition (**β**).

Thus the relation between the MSS (with the exception of **H**) is represented by the following *stemma*:




Prochoros' translation of Aquinas' *QDSC* is preserved in two MSS (**P**, **M**). As in the case of the previous text, so far the autograph (**α**) has not been discovered, unless it does not exist anymore. **P** is the principal MS. as it transmits the complete translation and the best text in terms of grammar and spelling. **M** preserves most of the text ([2.23].219-[11.46].346). It contains a large number of spelling errors, mostly due to

itacism and isochronism (the latter involving o and ω) and grammatical mistakes, which are not found in **P**, and, more importantly, variant and different readings, as well as omissions of words and passages. These differences indicate that **P** and **M** are closely linked through an intermediary transmission (**β**).

Thus the relation between the MSS is represented by the following *stemma*:



## Part II: Edition of the translations of the *Quaestiones disputatae*

### 1. Editorial conventions

The present edition of Prochoros Cydones' translations of Aquinas' *QDSC* and *QDPD* is based on the principal codex **P**, which transmits the best text in terms of orthography. **M** has been used in a few cases in both texts where **P** either omitted words or phrases or contained illegible words or phrases.

Adopting the editorial conventions set by the Corpus Christianorum, Series Graeca (CCSG), our punctuation largely follows **P**. However, certain adjustments in order to enhance the clarity of the text have been introduced on the basis of the punctuation used in the Turin and Leonine editions. Thus, upper point (˙) has often been replaced by full stop (.) at the end of paragraphs and premises. The frequent use of commas and upper stops by the scribes has been largely preserved, with the exception of instances where commas would hamper the understanding of the text. In a few cases commas have been introduced, especially in long sentences, to facilitate the reader.

Concerning accentuation, we have placed acute accents on oxytones followed by punctuation marks even though in the majority of cases the scribes have used grave accents; in this we have departed from the current CCSG conventions, as scribes do not seem to be consistent. The same has been applied to enclitics, including ἑστι, the indefinite pronoun τις, τι and the conjunction τε. Joint forms of words used adverbially in the text (e.g. διατοῦτο) have been retained, while words separated in their component parts (e.g., μὴ δὲ(ν)) have been merged (μηδὲ); we have retained ὡσὰν when it translates *sicut*, and we have opted for ὡς ἂν when it introduces consecutive clauses. Moreover, we have restored the correct accentuation to distinguish between *existential* ἔστιν and *copular* ἐστιν, to elucidate the text. Mute *iota* usually omitted by the scribe/s has been tacitly introduced when necessary. The *monē* or *diplē stigmē* has been retained only as a *diairesis* sign over the second of two consecutive vowels not forming a diphthong.

The Greek text appears in **bold** characters. *Verbatim* quotations of Scriptural, patristic and classical words, phrases and passages in the text appear in normal (non-bold) characters. Greek words supplied in the text by the editor are including in pointing brackets < >, while Latin words from Aquinas' text which are not present in the Greek text, are included in the *apparatus criticus*.

Paragraph division follows **P**, which in the vast majority of cases corresponds to that in the Latin text in the Turin and Leonine editions. Each articulus begins on a fresh page. Every paragraph is marked by Hindu-Arabic numerals in bold characters placed within square brackets (e.g., **[1.1.1]**, **[1.1.2]** etc. in *QDP* and **[1.1]**, **[1.2]** etc. in *QDSC*).

Finally, the apparatus is divided into two sections:

**a.** *Apparatus fontium* with references to classical, Scriptural and patristic quotations cited in, or alluded to, the text. Passages of Greek and Latin texts are often cited in the *apparatus* to facilitate the reader in comparing them to Cydones' translation. Patristic quotations usually refer to PL and PG (quoting passages for easy comparison), and not to modern critical editions, as the Greek text is not original but a translation of Latin texts; those interested in the tradition of the Latin texts should consult modern critical editions, most of which include references to PL and PG.

**b.** Negative *apparatus criticus* recording all variant readings, emendations, corrections, additions, omissions, erasures, deletions, lacunae, marginal glosses and signs appearing in the MSS, as well as words or passages not appearing in the Latin edited text.

## Sigla & abbreviations

**Aq** Thomas d’Aquino, editiones Leonina (2000) et Taurina (1949)

**M** Atheniensis, Bibliotheca Nationalis, Metochiou Panagiou Taphou 331, ff. 1-501 (xvii s.)

**P** Parisinus Coislinus graecus 96, ff. 262$^{v}$-315$^{r}$ (xiv-xv s.)

| | | | |
|---|---|---|---|
| acc. | accentuavit | intell. | intellige |
| a. corr. | ante correctionem | marg. | margine |
| add. | addidit | om. | omisit |
| al. m. | alia manus | scr. | scripsit |
| cod. | codex | sin. | sinistra |
| dex. | dextra | sup. | supra |
| inf. | infra | | |

## Sigla sacrae Scripturae

| | | | |
|---|---|---|---|
| Act. | Actus Apostolorum | Iud. | Iudicum |
| Am. | Amos | Lev. | Leviticus |
| Apoc. | Apocalypsis | Lc. | Evangelium secundum Lucam |
| Cant. | Canticum | Mc. | Evangelium secundum Marcum |
| I Cor. | I ad Corinthios Epistula | Mt. | Evangelium secundum Matthaeum |
| II Cor. | II ad Corinthios Epistula | Os. | Osee |
| Dan. | Daniel | I Petr. | I Petri Epistula |
| Deut. | Deuteronomium | II Petr. | II Petri Epistula |
| Eccl. | Ecclesiastes | Prov. | Proverbia |
| Eph. | ad Ephesios Epistula | Phil. | ad Philippenses Epistula |
| Ex. | Exodus | Ps. | Psalmorum liber |
| Ez. | Ezechiel | II Regn. | II Regnorum liber |
| Gal. | ad Galatas Epistula | III Regn. | III Regnorum liber |
| Gen. | Genesis | Rom. | ad Romanos Epistula |
| Hebr. | ad Hebraeos Epistula | Sap. | Sapientia |
| Iac. | Iacobi Epistula | I Thess. | I ad Thessalonicenses Epistula |
| Ier. | Ieremias | II Thess. | II ad Thessalonicenses Epistula |
| Io. | Evangelium secundum Iohannem | I Timoth. | I ad Timotheum Epistula |
| I Io. | I Iohannis Epistula | II Timoth. | I ad Timotheum Epistula |
| Ios. | Iosue | Tob. | Tobit |
| Is. | Isaias | Zach. | Zacharias |

## Abbreviations used in the *apparatus fontium*

| | |
|---|---|
| Al., De Art. | Alanus De Insulis, *De arte seu articulis catholicae fidei libri quinque*, PL 210, cols 595-618 |
| Ar., Anal. pr. et post. | Aristoteles, *Analytica priora et posteriora* |
| Ar., De an. | Aristoteles, *De anima* |
| Ar., De coel. | Aristoteles, *De coelo* |
| Ar., De gen. an. | Aristoteles, *De generatione animalium* |
| Ar., De gen. et corr. | Aristoteles, *De generatione et corruptione* |
| Ar., De mot. anim. | Aristoteles, *De motu animalium* |
| Ar., De part. anim. | Aristoteles, *De partibus animalium* |
| Ar. De som. et vig. | Aristoteles, *De somno et vigilia* |
| Ar. Eth. nic. | Aristoteles, *Ethica Nicomachea* |
| Ar., Metaph. | Aristoteles, *Metaphysica* |
| Ar., Phys. | Aristoteles, *Physica* |
| Ar., Pol. | Aristoteles, *Politica* |
| Ar., Soph. el. | Aristoteles, *Sophistici Elenchi* |
| Ar. Top. | Aristoteles, *Topica* |
| Aug., De civ. | Augustinus Hipponensis, *De civitate Dei*, PL 41, cols 0013-0804 |
| Aug., Conf. | Augustinus Hipponensis, *Confessiones*, ed. J. J. O'Donnell, Augustine. Confessions (Oxford, 1992) |
| Aug., Contra Max. | Augustinus Hipponensis, *Contra Maximinum Haereticum Arianorum Episcopum*, PL 42, cols 734 – 814 |
| Aug., De div. | Augustinus Hipponensis, *De divinatione daemonum*, PL 40, cols 581-592 |
| Aug., De doct. chr. | Augustinus Hipponensis, *De Doctrina Christiana Libri Quatuor*, PL 34, cols 15-122 |
| Aug., De gen. ad litt. | Augustinus Hipponensis, *De Genesi ad litteram*, PL 34, cols 245-486 |
| Aug., De haer. | Augustinus Hipponensis, *De haeresibus*, PL 42, cols 21-50 |
| Aug., De immort. an. | Augustinus Hipponensis, *De immortalitate animae liber unus*, PL 32, cols 1021-1034 |
| Aug. De lib. arb. | Augustinus Hipponensis, *De libero arbitrio*, PL 1219 - 1310 |

| | |
|---|---|
| Aug., De quant. an. | Augustinus Hipponensis, *De quantitate animae*, PL 32, cols 1033-1080 |
| Ps.-Aug., De spir. | Pseudo-Augustinus Hipponensis, *De spiritu et anima*, PL 40, cols 779-832 |
| Aug. De ver. rel. | Pseudo-Augustinus Hipponensis, *De vera religione liber unus*, PL 34, cols 121-172; ed. J. Lössl in Augustinus, De vera religione – die wahre Religion (Paderborn/Munich/Vienna/Zurich, 2007) |
| Aug., Enchir. | Pseudo-Augustinus Hipponensis, *Enchiridion, sive de fide, spe et charitate*, PL 40, cols 231-290 |
| Aug., Ep. | Augustinus Hipponensis, *Epistolae*, PL 33, cols 61-1094 |
| Aug. Ioh. | Augustinus Hipponensis, *Tractatus in Evangelium Iohannis*, PL 35, cols 1379-1976 |
| Ps.-Aug., De spir. et an. | Pseudo-Augustinus Hipponensis, *De spiritu et anima*, PL 40, cols 779-832 |
| Aug. Trinit. | Augustinus Hipponensis, *De Trinitate*, eds. W.J. Mountain and F. Glorie, *Aurelii Augustini De Trinitate libri XV,* vols. I-II, CCSL $50^{A-B}$ (Turnhout, 1968) |
| Avenc., Fons | Avencebrol (Solomon Ibn Gabirol), *Fons vitae translatio Dominici Gundissalini ex arabico* …, ed. C. Baeumker, *Avencebrolis Fons vitae* (Münster, 1892) |
| Av., Comm. Metaph. | Averroes, *De substantia orbis*, ed. Marco Antonio Zimara, *Averrois Cordubensis Sermo de Substantia Orbis*, Aristotelis omnia quæ extant Opera, vol. IX (Giunta: Venice, 1562) |
| Av., Comm. De an. | Averroes, *Commentarium Magnum in Aristoteles De anima Libros*, ed. F. Crawford, Corpus Commentariorum Averrois in Aristotelem, vol. VI (Cambridge, MA, 1953) |
| Av., De subst. orb. | Averroes, *De substantia orbis*, ed. Marco Antonio Zimara, *Averrois Cordubensis Sermo de Substantia Orbis*, Aristotelis omnia quæ extant Opera, vol. IX (Giunta: Venice, 1562) |
| Bas., Hom. in Hex. | Basilius Caesariensis, *Homiliae IX in Hexaemeron*, PG 29; ed. S. Giet, *Basile de Césarée. Homélies sur l'hexaéméron*, Sources chrétiennes 26 bis. (Paris, $1968^2$) |
| Bern., Cantic. | Bernardus Claraevallensis Abbas, *Sermones in Cantica canticorum*, PL 183, cols 0785-1198A |
| Boet., Arithm. | Boethius Severinus, *De Arithmetica Libri Duo*, PL 63, cols 1079 – 1167A |
| Boet., Cons. Phil. | Boethius Severinus, *Consolatio philosophiae*, PL 63, cols 579-870A; ed. Moreschini in Boethius, *Opuscula theologica* (Leipzig: Teubner, 2000) |
| Boet., De div. | Boethius Severinus, *De divisione*, PL 64., cols 0875 - 0892A |
| Boet., De hebd. | Boethius Severinus, *De hebdomadibus* (*Quomodo substantiae in eo, quod sint, bonae sint cum non sint substantialia sint*), PL 64, cols 1311-1314C; ed. Moreschini in Boethius, *Opuscula theologica* (Leipzig: Teubner, 2000) |

| | |
|---|---|
| Boet., De Trin. | Boethius Severinus, *De Trinitate*, PL 64, cols 1247-1256A; ed. Moreschini in Boethius, *Opuscula theologica* (Leipzig: Teubner, 2000) |
| Boet., In cat. Ar. | Boethius Severinus, *In Categorias Aristotelis libri quatuor*, PL 64 0159 - 0294C |
| Boet., In Porph. | Boethius Severinus, *Commentarii in Porphyrium a se translatum*, PL 0071-0158D |
| Bon. Epist. | Bonifacius II Papa, *Epistola II ad Eulalium Alexandrinum Episcopum*, PL 65, cols 41-45B |
| Concil. Anquir., Decr. Mag. Grat. | Concilium Anquirense, *Decretum Magistri Gratiani*, ed. Aem. Friedberg, *Corpus Iuris Canonici.* Editio Lipsiensis secunda (post Aem. L. Richter), vol. I (Graz, 1959) |
| CPL | Ed. E. Dekkers, *Clavis patrum latinorum … editio altera, aucta et emendata* (Steenbrugis, in Abbatia Sancti Petri, 1961) |
| Ioh. Dam., De fid. orth. | Iohanes Damascenus, *De fide orthodoxa,* PG 94, ed. P.B. Kotter, *Die Schriften des Johannes von Damaskos*, vol. 2, Patristische Texte und Studien 12 (Berlin, 1973) |
| Dem. Olynth. | Demosthenes, *Oratio Olynthiaca* |
| Dem., Phil. | Demosthenes, *Orationes Philippicae* |
| Ps.-Dion., De cael. hier. | Pseudo-Dionysius Areopagita, *De caelesti hierarchia*, ; 120B-337B; eds. G. Heil et A.M. Ritter, Corpus Dionysiacum, vol. II: Pseudo-Dionysius Areopagita. De coelesti hierarchia, de ecclesiastica hierarchia, de mystica theologia, epistulae (Patristische Texte und Studien 36; (Berlin, 1991), pp. 7-59 |
| Ps.-Dion., De div. nom. | Pseudo-Dionysius Areopagita, *De divinis nominibus*, PG 3, cols 585B-984A; ed. B.R. Suchla, Corpus Dionysiacum, vol. I: Pseudo-Dionysius Areopagita. De divinis nominibus (Patristische Texte und Studien 33; Berlin, 1990), pp. 107-231 |
| Dom. Gund., De un. | Dominicus Gundissalinus, *De unitate et uno*, ed. et Germ. transl. A. Fidora et D. Werner (Freiburg im Breisgau, 2007) |
| Genn., De eccl. dogm. | Gennadius Massiliensis, *De ecclesiasticis dogmatibus*, PL 42, cols 1211-1222; PL 58, cols 979-1000B |
| Greg., Dialog. | (Ps.?)-Gregorius Magnus, *Dialogorum libri quatuor de vita et de miraculis patrum italicorum*, PL 77, cols 149-430A |
| Fulg., Ad mon. | Fulgentius Ruspensis Episcopus, *Ad Monimum Libri Tres*, PL 65, cols 151 - 206B |
| Ps.-Greg., Homil. | (Pseudo-)Gregorius Magnus, *Homiliarum in Evangelia libri duo*, PL 76, cols 1075-1312C |
| Hier., Eccless. | Hieronymus, *Commentarius in Ecclesiasten*, PL 23, cols 1009 – 1116C |
| Hier., Matth. | Hieronymus, *Commentariorum in evangelium Matthei libri quattuor*, PL 26, cols 15-218D |
| Hilar., De syn. | Hilarius Pictaviensis, *Liber de Synodis seu de Fide Orientalium*, PL 10, cols 479 – 546B |
| Hilar., De Trin. | Hilarius Pictaviensis, *De Trinitate Libri Duodecim*, PL 10, cols 25 – 472A |

| | |
|---|---|
| Lomb., Sent. | Petrus Lombardus, *Sententiae in IV libris distinctae* (Grottaferrata: Editiones Collegii S. Bonaverturae Ad Claras Aquas, 1981[3]) |
| Macr. In somn. Scip. | Macrobius, *Commentarium in somnium Scipionis*, ed. J. Willis, vol. VII (Stuttgart, Leipzig 1994) |
| Maimon., Dux neutrorum | Moises Maimonides, *Dux seu director dubitantium aut perplexorum*, ed. A. Justinianus (Paris, 1520) |
| Or., De princ. | Origenes, *De principiis*, PG 11; ed. H. Görgemanns et H. Karpp, *Origenes vier Bücher von den Prinzipien* (Darmstad, 1976) |
| Pl., Tim. | Plato, *Timaeus* |
| Procl., Inst. theol. | Proclus, *Institutio Theologica*, ed. E.R. Dodds, *Proclus. The elements of theology* (Oxford, 1963[2]; repr. 1977) |
| Rich., Trinit. | Richardus de Sancto Victore, *De Trinitate*, PL 96, cols 0887-0992B, ed. G. Salet, *La Trinité: texte latin, introduction, traduction et notes*, Sources chrétiennes 63 (Paris, 1959) |
| Simpl., In Ar. cat. comm. | Simplicius, *In Aristotelis Categorias commentarium*, ed. K. Kalbfleisch, *Simplicii in Aristotelis categorias commentarium,* Commentaria in Aristotelem Graeca 8 (Berlin, 1907) |

## Editio princeps Prochori Cydonis versionis graecae S. Thomae Aquinatis *Quaestionum disputatarum de potentia*

P 1r

## Ζητήματά τινα Θωμᾶ τοῦ Ἀκουίνου, διδασκάλου τῶν Λατίνων.

### Κεφάλαιον πρῶτον

### Πότερον ἔστιν ἐν τῷ Θεῷ δύναμις ἢ οὔ.

[1.1.1] Ζήτησις ἔστι περὶ τῆς τοῦ Θεοῦ δυνάμεως. Καὶ δὴ πρῶτον ζητεῖται πότερον ἔστιν ἐν τῷ Θεῷ δύναμις. Καὶ δοκεῖ οὐ δῆτα. Ἡ γὰρ δύναμίς ἐστιν ἐνεργείας ἀρχή. Ἀλλ' ἡ τοῦ Θεοῦ ἐνέργεια, ἥτις ἐστὶν ἡ οὐσία αὐτοῦ, ἄναρχος ἐστίν· οὔτε γὰρ γεγέννηται οὔτε ἐκπεπόρευται. Ἐν τῷ Θεῷ ἄρα οὐκ ἔστι δύναμις.

[1.1.2] Ἔτι, πᾶν ὅπέρ ἐστι τελειότατον, ἀπονεμητέον ἐστὶ τῷ Θεῷ κατὰ τὸν Ἄνσελμον. Ὃ τοίνυν σκοπεῖ τι ἑαυτοῦ τελειότερον, οὐκ ὀφείλει ἀνατίθεσθαι τῷ Θεῷ. Ἀλλὰ πᾶσα δύναμις σκοπεῖ τι τελειότερον ἑαυτῆς, δηλονότι ἡ μὲν παθητικὴ τὸ εἶδος, ἡ δὲ ποιητικὴ τὴν ἐνέργειαν. Τῷ Θεῷ ἄρα δύναμις οὐ προσήκει ἀποδίδοσθαι.

[1.1.3] Παρὰ ταῦτα, ἡ δύναμίς ἐστιν ἀρχὴ μεταβολῆς εἰς ἄλλο καθὸ ἄλλο· κατὰ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ἡ δὲ ἀρχὴ ἀναφορά τις ἐστιν. Ἔστι δὲ τῷ Θεῷ ἀναφορὰ πρὸς τὰ δημιουργήματα, καθὸ δηλοῦται ἐν δυνάμει τὸ δημιουργεῖν ἢ κινεῖν. Ἀλλ' οὐδεμία δὲ τοιαύτη ἀναφορὰ ἔστιν ἐν τῷ Θεῷ πραγματικῶς, ἀλλὰ μόνον κατὰ τὸν λόγον. Οὐδεμία ἄρα δύναμις ἔστιν ἐν τῷ Θεῷ ᾗ πρᾶγμα.

[1.1.4] Ἔτι, ἡ ἕξις ἐστὶ τελειοτέρα τῆς δυνάμεως, ὡσὰν ἐγγύτερον οὖσα τοῦ ἐνεργεῖν. Ἀλλ' ἕξις ἐν τῷ Θεῷ οὐ τίθεται. Οὐδ' ἄρα δύναμις.

[1.1.5] Ἔτι οὐδὲν δεῖ ἀποδιδόναι τῷ Θεῷ, δι' οὗ καθαιρεθήσεται τὸ τούτου πρωτεῖον ἢ καὶ ἡ ἁπλότης. Ἀλλ' ὁ Θεός, ἐφόσον ἐστὶν ἁπλοῦν καὶ πρώτως ποιοῦν, ποιεῖ τῇ ἑαυτοῦ οὐσίᾳ. Οὐκ ὀφείλει ἄρα ἀνατίθεσθαί οἱ τὸ ποιεῖν διὰ δυνάμεως, ἣν τῷ γοῦν τῆς σημασίας τρόπῳ προστίθησιν ἐπὶ τὴν οὐσίαν.

**9** πᾶν – Θεῷ] cf. Ans., Monol., cap. 15 (PL 158, 161-164). **14-15** ἡ – φυσικά] Ar., Metaph. VII, 1019a.15-16: Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἡ ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον. **20** ἡ – δυνάμεως] Aug., De Trin. V, cap. 8, no. 9 (PL 42, cols 916-917).

**5** πότερον] πρότερον M

**[1.1.6] Ἄνευ δὲ τούτων, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῆς Φυσικῆς,** ἐν τοῖς ἀιδίοις οὐ διαφέρει **τὸ** εἶναι **καὶ το δύνασθαι· πολλῷ ἄρα ἥκιστα ἐν τοῖς θείοις. Ἀλλ’ ἔνθα ἐστὶ τὸ αὐτὸ πρᾶγμα, δεῖ κεῖσθαι καὶ ταὐτὸν ὄνομα, παρὰ τοῦ τιμιωτέρου ληφθέν. Τιμιώτερον δὲ οὐσία δυνάμεως, ἐπεὶ τῇ οὐσίᾳ ἡ δύναμις ἐπιγίνεται. Ἐπὶ Θεοῦ ἄρα οὐσία δεῖ καλεῖσθαι μόνον οὔκουν γε μὴν καὶ δύναμις.**

**[1.1.7] Ἔτι, ὥσπερ ἡ πρώτη ὕλη ἐστὶ καθαρὰ δύναμις, οὕτως ὁ Θεὸς καθαρὰ ἐνέργεια. Ἀλλ’ ἡ πρώτη ὕλη κατὰ τὴν ἑαυτῆς οὐσίαν ἐπινοουμένη ἐψίλωται πάσης ἐνεργείας. Ὁ Θεὸς ἄρα ἐπὶ τῆς ἑαυτοῦ οὐσίας θεωρούμενός ἐστιν ἀμιγὴς πάσης δυνάμεως.**

**[1.8] Χωρὶς δὲ τούτων, πᾶσα δύναμις ἐνεργείας περιαιρεθείσης ἐστὶν ἀτελής. Ταῦτ’ ἄρα, κἀπειδὴ οὐδὲν ἀτελὲς διαφέρει τῷ Θεῷ, τοιαύτη δύναμις ἐν τῷ Θεῷ οὐ δύναται εἶναι. Εἰ ἄρα ἔστιν ἐν τῷ Θεῷ δύναμις, δεῖ ταύτην ἀεὶ συνῆφθαι ἐνεργείᾳ· καὶ ταύτῃ ἡ τοῦ ἐνεργεῖν δύναμις ἔσται ἀειδήποτε ἐνεργείᾳ συζευγμένη· ὡδὶ δὲ ἕψεται ἐξ ἀιδίου δημιουργῆσαι τὰ ὄντα Θεόν· ὅπέρ ἐστιν αἱρετικόν. |**

P 1v **[1.1.9] Ἔτι, ἐπάν τί ἀρκῇ πρὸς τὸ ποιῆσαί τι, περιττῶς προστίθεταί τι αὐτῷ. Ἀλλ’ ἡ τοῦ Θεοῦ οὐσία ἀπόχρη πρὸς τὸ δι’ ἑαυτῆς ποιῆσαι τι. Περιέργως ἄρα τίθεται ἐν αὐτῇ δύναμις, δι’ ἧς ἂν ποιοῖ.**

**[1.1.10] Ἀλλ’ ἔφασκεν ὅτι ἡ δύναμις οὐκ ἔστιν ἄλλο ἢ ἡ οὐσία κατὰ τὸ πρᾶγμα, ἀλλὰ μόνον κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον. Ἀλλ’ ἀπὸ τοῦ ἐναντίου· πᾶν νόημα, ᾧ μὴ ἀποκρίνεταί τι πρᾶγμα, ἐστὶ μάταιόν τι καὶ κενόν.**

**26-27** κατὰ – δύνασθαι] Ar., Phys. VIII, 203b30: ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις.

**26** ἐν – Φυσικῆς] deest Aq.    **27** τὸ] καὶ P    **32** ἐστὶ] ἔστι P    **45** ἡ] deest P

[1.1.11] Ἔτι. ἡ οὐσιώδης κατηγορία, ἔστι περιφανεστέρα τῶν ἄλλων κατηγοριῶν. Ἀλλὰ τῷ Θεῷ οὐκ ἀπονέμεται οὐσιώδης κατηγορία, ὡς ὁ Αὐγουστῖνος φησί. Πολλῷ μᾶλλον τοίνυν ἔλαττον κατηγορία ποιότητος. Ἡ δὲ δύναμίς ἐστιν ἐν τῷ δευτέρῳ εἴδει τῆς ποιότητος. Τῷ Θεῷ ἄρα ἐξαιρεῖσθαι οὐκ ὀφείλει.

[1.1.12] Ἀλλ’ ἔλεγεν, ὅτι ἡ δύναμις ἡ τῷ Θεῷ ἀποδιδομένη, οὐκ ἔστι ποιότης, ἀλλ’ ἔστιν αὐτὴ ἡ οὐσία, λόγῳ μόνῳ διενηνοχυῖα. Ἀλλὰ ἀπὸ τοῦ ἐναντίου· ἢ τούτῳ τῷ λόγῳ τὶ ἀποκρινεῖται πρᾶγμα ἢ οὐδέν. Εἰ μηδέν, λόγος μάταιος ἐστίν· ἢ δέ τι πρᾶγμα ἀποκρίνηται, ἕψεται ἄλλό τι ἐν Θεῷ εἶναι δύναμιν παρὰ τὴν οὐσίαν, ὥσπερ ὁ λόγος τῆς δυνάμεώς ἐστι παρὰ τὸν λόγον τῆς οὐσίας.

[1.1.13] Ἔτι, κατὰ τὸν Φιλόσοφον, πᾶσα δύναμις καὶ πᾶν ποιητικόν, εἰσὶ διά τι αἱρετόν. Οὐδὲν δὲ τοιοῦτον τῷ Θεῷ προσήκει· ὁ γὰρ αὐτὸς οὐκ ἔστι διά τι. Τῷ Θεῷ ἄρα δύναμις οὐ περίεστιν.

[1.1.14] Ἔτι, ὑπὲρ ταῦτα, ἡ ἐν τῷ πράττειν δύναμις παρὰ τοῦ Διονυσίου, ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῆς Οὐρανίου ἱεραρχίας, τίθεται μέση τῆς τε οὐσίας καὶ ἐνεργείας. Ἀλλ’ ὁ Θεὸς οὐδὲν ποιεῖ διά τινος μέσου. Οὐ ποιεῖ ἄρα διὰ τῆς ἐν τῷ πράττειν δυνάμεως· καὶ οὕτως οὐδὲ διὰ δυνάμεως. Καὶ ταύτῃ δύναμις οὐκ ἔστιν ἐν Θεῷ.

[1.1.15] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ἡ δύναμις ἡ ποιητική, ἣ μόνη προσήκοι ἂν τῷ Θεῷ, ἔστιν ἀρχὴ μεταβολῆς, εἴς τι καθὸ τί. Ἀλλ’ ὁ Θεὸς ποιεῖ ἄνευ του τί μεταβάλλειν, καθάπερ φαίνεται ἐν τῇ κτίσει. Τῷ Θεῷ ἄρα δύναμις ποιητικὴ οὐ δύναται ἀποδίδοσθαι.

**48-50** ἡ – φησί] Aug., De trin. VII, cap. 5 (PL 42, col. 942): In Deo substantia abusive dicitur, essentia proprie. **50-51** Ἡ – ποιότητος] Ar., Cat., 9a14-28: Ἕτερον – τούτου. **58-60** κατὰ – αἱρετόν] Ar., Top. IV, 126b.5-6: πᾶσα γὰρ δύναμις καὶ πᾶν τὸ δυνατὸν ἢ τὸ ποιητικὸν δι' ἄλλο αἱρετόν. **60-62** ἐν – ἱεραρχίας] deest Aq. **66-68** κατὰ – τι] Ar., Metaph. VII, 1046a.19-22: φανερὸν οὖν ὅτι ἔστι μὲν ὡς μία δύναμις τοῦ ποιεῖν καὶ πάσχειν (δυνατὸν γάρ ἐστι καὶ τῷ ἔχειν αὐτὸ δύναμιν τοῦ παθεῖν καὶ τῷ ἄλλο ὑπ' αὐτοῦ), ἔστι δὲ ὡς ἄλλη.

**51** εἴδει] εἴδη M **62** μέσης] μέση P **66** φυσικά] ἠθικά M, P

**[1.1.16] Παρὰ ταῦτα ὁ Φιλόσοφος φησὶν ἐν τοῖς αὐτοῖς, ὅτι** τοῦ αὐτοῦ **ἐστιν** ἡ δύναμις **ἡ ποιητικὴ καὶ ἡ παθητική. Ἀλλὰ τῷ Θεῷ δύναμις παθητικὴ οὐ συμβαίνει. Οὐδ’ ἄρα δύναμις ποιητική.**

**[1.1.17] Παρὰ ταῦτα, ὁ Φιλόσοφός φησιν ἐν τοῖς αὐτοῖς, ὅτι** τῇ δυνάμει **τῇ ποιητικῇ, ἔστιν** ἡ στέρησις ἐναντί**ον. Ἀλλὰ τἀναντία πεφύκασι γίνεσθαι περὶ τὸ αὐτό. Ἐπεὶ τοίνυν ἐν τῷ Θεῷ οὐδεμία στέρησις λαμβάνεται, οὐδὲ ἄρα ἔστιν ἐκεῖ δύναμις.**

**[1.1.18] Ἔτι, ὁ διδάσκαλός φησιν ἐν τῷ δευτέρῳ τμήματι τοῦ δευτέρου βιβλίου, ὅτι τὸ ποιεῖν οὐκ ἰδίως πρέπει τῷ Θεῷ. Ἀλλ’ ἔνθα μὴ ἔστιν ἐνέργεια, ἐκεῖ οὐχ οἷόν τε εἶναι δύναμιν ποιητικήν. Ἀλλ’ οὐδὲ παθητικήν, ὡς δέδεικται. Οὐδεμία ἄρα.**

**[1.1.19] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ ἐν τοῖς Ψαλμοῖς [LXXXVIII, 9] λεγόμενον,** δυνατὸς εἶ Κύριε**, καὶ τὰ λοιπά.**

**[1.1.20] Ἔτι, ἐν τῷ τρίτῳ τοῦ Κατὰ Μάρκον κεφαλαίῳ˙** δυνατ**ός ἐστιν** ὁ Θεός, καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. |

P 2r **[1.1.21] Παρὰ ταῦτα, πᾶσα ἐνέργεια, ἀπό τινος δυνάμεως πρόεισι. Τῷ δὲ Θεῷ μάλιστα προσήκει ἐνέργεια. Ἄρα τῷ Θεῷ προσήκει δύναμις.**

**[1.1.22] Ἀπόκρισις πρὸς παράστασιν ταυτησὶ τῆς ζητήσεως. Ἰστέον, δύναμις λέγεται πρὸς τὴν ἐνέργειαν· ἡ δὲ ἐνέργεια διττή, δηλαδὴ ἡ πρώτη, ἥτις ἐστὶν εἶδος, καὶ ἡ δευτέρα, ἥτις ἐστὶ ποίησις. Καὶ ταύτῃ δοκεῖ. Ἐκ τῆς κοινῆς τῶν ἀνθρώπων ἐννοίας τὸ τῆς ἐνεργείας ὄνομα πρῶτον ἀπονενεμῆσθαι τῇ δράσει (μονονουχὶ γὰρ οὕτως ἅπαντες ἐκλαμβάνουσι τὴν ἐνέργειαν), μετὰ δὲ ταῦτα ἐκ ταύτης μετενηνέχθαι καὶ ἐπὶ τὸ εἶδος, ἐφόσον τὸ εἶδός ἐστιν ἀρχὴ καὶ τέλος τῆς ποιήσεως. Ὅθεν διττή ἐστι καὶ ἡ δύναμις· μία μὲν ἡ ποιητική, ᾗ ἀντίκειται ἡ ἐνέργεια, ἥτις ἐστὶ ποίησις,**

**70-71** ὁ – παθητική] vide supra in apparatu fontium [1.15].64-66. **73-74** ὁ – ἐναντίον] Ar., Metaph. VII, 1046a.30: ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν. **81-82** ἐν – Κύριε] Ps. 88, 9: Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. **83-84** ἐν – Ἀβραάμ] Mt. 3, 9: καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ; Matth. III, 9 Aq.

**70** ἐν – αὐτοῖς] deest Aq. **72** παθητική[2]] παθητηκὴ M **73** ἐν – αὐτοῖς] deest Aq. **77** τῷ] τὸ M **77-78** ἐν – βιβλίου] deest Aq. **90** ἐννοίας] ἐννοίων [a. corr.1] **91** ἀπονενεμῆσθαι] ἀπονενεμεῖσθαι P, M

καὶ ταύτῃ πρώτῃ δοκεῖ ἐξηρῆσθαι τὸ τῆς δυνάμεως ὄνομα, ἑτέρα δὲ δύναμίς ἐστιν ἡ παθητική, ᾗ ἀνταποκρίνεται ἡ πρώτη ἐνέργεια, ἥτις ἐστὶ τὸ εἶδος, πρὸς ἣν δοκεῖ δευτέρῳ λόγῳ τὸ τῆς δυνάμεως μεταπεσεῖν ὄνομα. Καθάπερ οὖν οὐδὲν πάσχει ὅτι μὴ τῷ λόγῳ τῆς παθητικῆς δυνάμεως, οὕτω γοῦν οὐδὲν ποιεῖ ὅτι μὴ τῷ λόγῳ τῆς πρώτης ἐνεργείας, ὅπερ ἐστὶ τὸ εἶδος· Εἴρηται γὰρ ὅτι πρὸς ἐκεῖνο πρῶτον τὸ τῆς ἐνεργείας ὄνομα ἐκ τῆς δευτέρας ἐνεργείας, ἥτις ἐστὶ ποίησις, κάτεισι. Τῷ Θεῷ δὲ προσήκει εἶναι ἐνέργειαν ἀμιγῆ καὶ πρώτην. Ὅθεν δὴ μάλιστα τοῦτο συμβαίνει ἐνεργεῖν. Καὶ τὴν ἑαυτοῦ ὁμοιότητα είς τὰ ἄλλα προχεῖν, διὰ δὴ τοῦτο καὶ μάλιστα αὐτῷ καθήκει ἡ ποιητικὴ δύναμις· καὶ γὰρ δύναμις ποιητικὴ λέγεται, καθό ἐστιν ἀρχὴ ποιήσεως. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ὁ ἡμέτερος νοῦς παριστᾶν ἐπιχειρεῖ τὸν Θεὸν οἷόν τι τελειότητα. Κἀπειδὴ πρὸς αὐτὸν διαβαίνειν οὐχ οἷός τε γίνεται εἰ μὴ ἐκ τῶν ποιημάτων ὡς εἰκόνων, ἐκ δὲ τῶν ποιημάτων ὁ νοῦς οὐχ εὑρίσκεταί τι ἄκρως τέλειον, ὃ τὸ παράπαν τοῦ ἀτελοῦς στέροιτο, διατοῦτο ἐκ διαφόρων τελειοτήτων ἐν τοῖς κτίσμασιν εὑρισκομένων αὐτὸν πειρᾶται ἀποδιδόναι, εἰ καὶ ᾑτινιοῦν αὐτῶν τῶν τελειοτήτων ἐλλείπει τι, οὕτω μέντοιγε, ὡς ὅπερ ὁτιοῦν τινι τούτων τῶν τελειοτήτων ἐνδείας συνέζευκται, ἅπαν τοῦ Θεοῦ ἐκβάλλεσθαι. Λόγου χάριν, τὸ εἶναι σημαίνει τι πλῆρες καὶ ἁπλοῦν, ἀλλ’ οὐχ ὑφεστός· ἡ δ’ οὐσία σημαίνει τὶ ὑφεστός, ἀλλ’ ἄλλῳ ὑποκείμενον. Τιθέαμεν οὖν ἐν τῷ Θεῷ τὴν οὐσίαν καὶ τὸ εἶναι, ἀλλὰ τὴν μὲν οὐσίαν τῷ λόγῳ τοῦ ὑφεστάναι, οὐ τῷ λόγῳ τοῦ ὑποκεῖσθαι, τὸ δ’ εἶναι τῷ λόγῳ τῆς ἁπλότητος καὶ τοῦ πλήρους, οὐ τῷ λόγῳ τοῦ προσφύεσθαι, ᾧ λόγῳ ἄλλῳ ἐνίσχεται. Παραπλησίως δὴ ἀποδιδόαμεν τῷ Θεῷ ἐνέργειαν τῷ λόγῳ τοῦ ἄκρως πλήρους, οὐ τῷ λόγῳ τοῦ ἀπογίνεσθαι. Τὴν δὲ δύναμιν ἀποφέρομεν καὶ τῷ λόγῳ τοῦ διαμένειν καὶ τῷ λόγῳ τοῦ εἶναι ἀρχὴν τῆς ἐνεργείας, οὐ τῷ λόγῳ τοῦ δι’ ἐνεργείας τελειοῦσθαι.

**100-101** ἐκ – ποίησις] ex actione Aq

P 2v **[1.1.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ δύναμις | οὐ μόνον ἐστὶν ἀρχὴ τῆς ἐνεργείας, ἀλλὰ καὶ τοῦ ἀποτελέσματος· ὅθεν οὐκ ἀνάγκη, εἰ τίθεταί τις ἐν τῷ Θεῷ δύναμις ἀρχὴ γινομένη τοῦ ἀποτελέσματος, εἶναι τινὰ καὶ τῆς θείας οὐσίας ἀρχήν, ἥτις ἐστὶν ἡ ἐνέργεια. Ἢ ῥητέον, ὃ καὶ κρεῖττον, ὅτι ἐν τοῖς θείοις εὑρίσκεται διττὴ ἀναφορά· μία μὲν πραγματική, ἐκείνη δηλαδή, ᾗ τὰ πρόσωπα ἀπ' ἀλλήλων διακρίνεται, ὥσπερ ἡ πατρότης, καὶ ἡ υἱότης (ἄλλως γὰρ τὰ θεῖα πρόσωπα οὐ πράγματι, ἀλλ' ἐπινοίᾳ διακρίνοιντ' ἄν, ὡς ὁ Σαβέλλιος εἴρηκεν), ἑτέρα δὲ ἡ κατ' ἐπίνοιαν μόνον, ἣ δηλοῦται, ἡνίκα φαμέν, ὅτι ἡ θεία ἐνέργειά ἐστιν ἐκ τῆς θείας οὐσίας ἢ ὅτι ὁ Θεὸς ἐνεργεῖ διὰ τῆς ἑαυτοῦ οὐσίας. Αἱ προθέσεις γὰρ σχέσεις τινὰς ἐμφαίνουσι. Καὶ τοῦτ' ἐντεῦθεν συμβαίνει, ὅτι, ἐπειδὰν ἀποδιδῶται ἐνέργεια τῷ Θεῷ κατὰ τὸν ἑαυτῆς λόγον, ᾧ ζητεῖ ἀρχήν τινα, ἀποδίδοται αὐτῇ καὶ ἀναφορά, ὄντος τινὸς ἔκ τινος ἀρχῆς. Ὅθεν αὕτη ἡ ἀναφορὰ οὐκ ἔστιν ὅτι μὴ ἐπινοίᾳ μόνον. Ἔστι δὲ ἐκ τοῦ λόγου τῆς ἐνεργείας, οὐκ ἐκ τοῦ λόγου τῆς οὐσίας. Ὅθεν, εἰ καὶ ἡ θεία οὐσία οὐκ ἴσχει τινὰ ἀρχὴν οὔτε λόγῳ οὔτε πράγματι, ἡ θεία ὅμως ἐνέργεια ἴσχει τινὰ ἀρχὴν κατ' ἐπίνοιαν.**

**[1.1.24] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι, εἰ καὶ πᾶν τελειότατον ἐξαιρετέον ἐστὶ τῷ Θεῷ, οὐκ ἀνάγκη ὅμως πᾶν ὁτιοῦν τὸ τῷ Θεῷ ἀποδιδόμενον εἶναι τελειότατον, ἀλλ' ἐξ ἀνάγκης συνιέναι πρὸς ἀπόδοσιν τελειοτάτου, ᾧ προσήκει τῷ λόγῳ τῆς αὐτοῦ τελειότητος ἔχειν τι ἑαυτοῦ τελειότερον, ᾧ μέντοι γε ἄπεστιν ἐκείνῃ, ἣν θάτερον ἐκέκτητο.**

**[1.1.25] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ δύναμις λέγεται ἀρχή, οὐχ ὅτι ἐστὶν αὐτὴ ἡ ἀναφορά, ἣν σημαίνει τὸ τῆς ἀρχῆς ὄνομα, ἀλλ' ὅτι ἐστὶ τοῦτο ὅπέρ ἐστιν ἀρχή.**

**[1.1.26] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἕξις οὐδέποτέ ἐστιν ἐν τῇ ποιητικῇ δυνάμει, ἀλλὰ μόνον ἐν τῇ παθητικῇ, καὶ ταύτης ἐστὶ τελειοτέρα. Δύναμις δὲ τοιαύτη τῷ Θεῷ οὐκ ἀποδίδοται.**

**127** ἄν] bis acc. P, M **146** ἀποδίδοται] ἀποδίδοτε M

[1.1.27] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἀδύνατα τυγχάνει ὄντα ταῦτα, τό τε ὑποθέσθαι τὸν Θεὸν ἐνεργεῖν διὰ τῆς ἑαυτοῦ οὐσίας, καὶ τὸ μὴ εἶναι ἐν αὐτῷ δύναμιν. Τὸ γὰρ ὂν ἀρχὴ ἐνεργείας δύναμίς ἐστιν· ὅθεν ἡ οὐσία τοῦ Θεοῦ, ἐξ αὐτοῦ τοῦ ἀξιοῦσθαι, δι’ αὐτῆς ποιεῖν τὸν Θεὸν τίθεται εἶναι δύναμις. Καὶ οὕτως ὁ τῆς δυνάμεως λόγος ἐν τῷ Θεῷ οὐ λυμαίνεται οὔτε τῇ ἁπλότητι οὔτε τοῖς πρωτείοις αὐτοῦ, ἐπεὶ οὐχ ὑποτίθεται ὥσπέρ τις παρενθήκη.

[1.1.28] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι, ὅταν λέγηται ἐν τοῖς ἀιδίοις μηδὲν διενηνοχέναι τὸ εἶναι καὶ τὸ δύνασθαι, τῆς παθητικῆς πέρι δυνάμεως λέγεται. Καὶ τούτῳ γε τῷ τρόπῳ πρὸς τὸ προκείμενον οὐδὲν διαφέρει, ὅτι δύναμις τοιαύτη οὐκ ἔστιν ἐν τῷ Θεῷ. Ὅμως, ἐπεὶ ἀληθὲς ὑπάρχει τὸ τὴν ποιητικὴν δύναμιν τοῦ Θεοῦ ταυτὸν εἶναι τῇ οὐσίᾳ αὐτοῦ, διατοῦτο ῥητέον ὅτι, εἰ καὶ ἡ
P 3r θεία δύναμις καὶ ἡ οὐσία ἐστὶ τὸ | αὐτὸ πρᾶγμά τι, ὅμως ἡ δύναμις μάλιστα τῷ γε τρόπῳ τοῦ σημαίνειν προστίθησι, καὶ διατοῦτο ὄνομα ἰδικὸν ζητεῖ· τὰ γὰρ ὀνόματα τοῖς νοήμασι ἀποκρίνεται κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ ἑρμηνείας.

[1.1.29] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ἀποδείκνυσι μὴ εἶναι ἐν τῷ Θεῷ δύναμιν παθητικήν· καὶ τούτῳ συγχωροῦμεν.

[1.1.30] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ δύναμις τοῦ Θεοῦ ἔστιν ἀεὶ συνεζευγμένη ἐνεργείᾳ, εἴτουν δράσει (ἡ γὰρ ἐνέργεια ἐστὶν ἡ θεία οὐσία), τὰ δ’ ἀποτελέσματα ἕπεται κατὰ τὸ ἐπίταγμα τῆς θελήσεως καὶ ὡς αὐτὴ τάξειεν ἡ σοφία. Ὅθεν καὶ οὐκ ἀνάγκη ἀεὶ εἶναι συνεζευγμένην ἀποτελέσματι· οὕτω τοίνυν οὐδὲ τὰ ὄντα γέγονεν ἐξ ἀιδίου.

[1.1.31] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ οὐσία τοῦ Θεοῦ, ἀπόχρη πρὸς τὸ δι’ ἑαυτῆς τὸν Θεὸν ἐνεργεῖν, οὔκουν μέντοιγε παρέλκει ἡ δύναμις· οὐ γὰρ νοεῖται ἡ δύναμις ὡσανεὶ παρενθήκη τις ἐπὶ τὴν οὐσίαν, ἀλλὰ προστίθησι κατὰ τὴν ἐπίνοιαν μόνην ἀναφορὰν ἀρχῆς. Αὐτὴ γὰρ ἡ οὐσία, ᾗ δὴ ἀρχή τις ἐστι τοῦ δρᾶν, λόγον ἔχει δυνάμεως.

**160** τὰ – ἑρμηνείας] Ar., De interpr., 16a1-8: Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα.

**150** δύναμις] δυνάμεις M (potentia Aq) **158** πρᾶγμά τι] πράγματι P, M (rem Aq.) **160-161** τὰ – ἑρμηνείας] deest M

[1.1.32] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τῷ ἐπινοίᾳ ἀποκρίνεταί τι πράγματι, διχῇ. Ἑνὶ μὲν τρόπῳ ἀμέσως, ὁπηνίκα ὁ νοῦς ἀναμάττεται εἶδος, ὄντος ὁτουοῦν ἔξω τῆς ψυχῆς ὑφεστῶτος, οἷον, ἀνθρώπου, ἢ λίθου. Ἑτέρῳ τρόπῳ, ἐμμέσως· ἡνίκα δηλαδή, ἕπεταί τι τῇ τοῦ νοεῖν ἐνεργείᾳ καὶ ὁ νοῦς ἀνακάμπτων θεωρεῖ τοῦτο· ὅθεν ἀποκρίνεται ταύτῃ τῇ θεωρίᾳ ὁ νοῦς ἐμμέσως, τουτέστι μεσιτευούσης τῆς νοήσεως τοῦ πράγματος· οἷον, φέρε εἰπεῖν, ὁ νοῦς νοεῖ τὴν φύσιν τοῦ ζῴου, ἐν τῷ ἀνθρώπῳ καὶ τῷ ἵππῳ καὶ πολλοῖς ἄλλοις εἴδεσιν· ἀφ᾽ οὗ ἕπεται νοεῖν αὐτὴν ὥσπερ γένος. Ταύτῃ μὲν οὖν τῇ ἐπινοίᾳ, ᾗ ἐπινοεῖ ὁ νοῦς τὸ γένος, οὐκ ἀποκρίνεταί τι πρᾶγμα ἔξω ἀμέσως, ὅπέρ ἐστι γένος, ἀλλ᾽ ἐκείνῃ τῇ ἐπινοίᾳ, ἐξ ἧς ἕπεται αὕτη ἡ ἐπιβολὴ ἀποκρίνεταί τι ἀμέσως. Ταύτῃ τοι καὶ περὶ τῆς ἀναφορᾶς ῥητέον ἂν εἴη τῆς ἀρχῆς, ἣν προστίθησιν ἡ δύναμις τῇ οὐσίᾳ. Καὶ γὰρ ταύτῃ ἀποκρίνεταί τι πράγματι ἐμμέσως καὶ οὐκ ἀμέσως. Ὁ νοῦς γὰρ ὁ ἡμέτερος ἐννοεῖ τὴν κτίσιν, σὺν δέ τινι ἀναφορᾷ καὶ ἀνάγκῃ πρὸς τὸν Δημιουργόν· ἐξ αὐτοῦ δὲ τούτου τοῦ μὴ δύνασθαι νοεῖν τι πρός τι ἀναφερόμενον, εἰ μὴ ἐκ τοῦ ἀνάπαλιν ἀντεπινοοῖτο ἀναφορὰ ἐκ τοῦ ἀντικειμένου, διὰ τοῦτο ἐπινοεῖ τινα ἀναφορὰν ἀρχῆς, ᾗ ἕπεται τῷ τρόπῳ τοῦ ἐπινοεῖν καὶ οὐκ ἀναφέρεται πρὸς πρᾶγμα ἀμέσως.

[1.1.33] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ δύναμις ἡ οὖσα ἐν τῷ δευτέρῳ εἴδει τῆς ποιότητος ἀποφέρεται μὲν τῷ Θεῷ (τοῦτο δέ ἐστι τῶν δημιουργημάτων, τὸ μὴ ἀμέσως διὰ τῶν ἰδίων οὐσιωδῶν εἰδῶν ἐνεργεῖν, ἀλλὰ μεσιτευόντων τῶν συμβατικῶν εἰδῶν), ὁ δὲ Θεὸς ἀμέσως ἐνεργεῖ κατὰ τὴν αὐτοῦ οὐσίαν.

[1.1.34] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τοῖς διαφόροις λόγοις τῶν
P 3v ἀποδιδομένων ἀποκρίνεταί τι χρῆμα ἐν Θεῷ, ἓν δηλαδὴ καὶ τὸ αὐτό· καὶ γὰρ χρῆμα | ἁπλούστατον, ὅπέρ ἐστιν ὁ Θεός, διὰ τὸ ἑαυτοῦ ἀπερίληπτον ὁ ἡμέτερος νοῦς ἀναγκάζεται διαφόροις εἴδεσι παριστάνειν. Καὶ οὕτω τὰ διάφορα εἴδη ταυτί, ἅπερ ὁ νοῦς ἀναλέγεται περὶ τοῦ Θεοῦ, εἰσὶ μὲν ἐν τῷ Θεῷ ὥσπερ ἐν αἰτίᾳ καθολικοτέρᾳ, ἐφόσον αὐτὸ τὸ πρᾶγμα ὅπέρ ἐστιν ὁ Θεός, παρίσταται διὰ πάντων τούτων τῶν εἰδῶν εἰσὶ μέντοι ἐν τῷ ἡμετέρω νῷ, ὥσπερ ἐν ὑποκειμένῳ.

**187** τι] deest P **198** οὕτω] οὕτως M **200** καθολικοτέρᾳ] veritatis Aq; Prochoros legit universalitatis aut totalitatis?

**[1.1.35] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ Φιλόσοφος νοεῖ, περὶ τῶν ποιητικῶν καὶ τῶν δυνάμεων καὶ τῶν τοιούτων, ὅσα εἰσὶν ἐν τοῖς τεχνητοῖς καὶ τοῖς ἀνθρωπίνοις πράγμασιν. Οὐδὲ γὰρ ἐν τοῖς φυσικοῖς ἀληθές ἐστι τὸ τὴν ποιητικὴν δύναμιν ἀεὶ εἶναι διὰ τὸ αὐτῆς ἀποτέλεσμα· γελοῖον γάρ ἐστι λέγειν τὴν τοῦ ἡλίου δύναμιν εἶναι διὰ τοὺς σέας, ἐπεὶ τῇ τούτου δυνάμει γεννῶνται. Πολλῷ τοίνυν ἔλαττόν ἐστιν ἡ τοῦ Θεοῦ δύναμις διὰ τὰ αὐτῆς ἀποτελέσματα.**

**[1.1.36] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι διττή ἐστιν ἡ ἐνέργεια· μία ἥτις ἐστὶ σὺν μεταβολῇ τῆς ὕλης, ἄλλη, ἥτις ὕλην οὐ προϋποτίθησιν, ὡς φαίνεται ἐν τῇ δημιουργίᾳ. Ἑκατέρῳ δὲ τρόπῳ ὁ Θεὸς ποιεῖν δύναται, ὡς μετὰ ταῦτα δειχθήσεται. Ὅθεν δοκεῖ τῷ Θεῷ δύναμις ποιητικὴ ἀποδίδοσθαι δύνασθαι, εἰ καὶ μὴ ἀεὶ ποιεῖ κατὰ τὸ μεταβάλλειν.**

**[1.1.37] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ὁ Φιλόσοφος οὐ διαλέγεται καθόλου, ἀλλὰ μερικῶς, ὅταν δηλαδή τι κινῇ αὐτὸ ἑαυτό· ὥσπερ τὸ ζῷον. Ἡνίκα δὲ ἕτερον κινεῖται παρ’ ἑτέρου, τότ’ ἤδη οὐκ ἔστιν ἐν τῷ αὐτῷ ἡ δύναμις τοῦ τε ποιεῖν καὶ πάσχειν.**

**[1.1.38] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ δύναμις ἡ ποιητική, λέγεται εἶναι ἐναντίον τῇ στερήσει τῆς δυνάμεως, εἴτουν τῇ ἀδυναμίᾳ. Οὐ μέντοι ἐναντιότητος πέρι ἐμνήσθη, ὡς τεθῆναι ταύτην ἐν Θεῷ, ὅτι οὐδὲν τῶν ἐν Θεῷ ἔχειν ἐναντίον, ἐφόσον μὴ ἔστιν ὑπὸ γένος.**

**[1.1.39] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι τὸ ποιεῖν οὐκ ἀπαγορεύεται τοῦ Θεοῦ ἁπλῶς, ἀλλὰ κατὰ τὸν τρόπον τῶν φυσικῶν πραγμάτων, ἃ πάσχει καὶ ποιεῖ ὁμοῦ.**

**208** δύναμις] δύναμεις M **208** Hic post ἀποτελέσματα Aq. habet: Ad decimumquartum dicendum quod potentia Dei est media secundum rem, quia non distinguitur ab essentia, nisi ratione; et ex hoc habetur quod significetur ut medium. Deus autem non agit per medium realiter differens a se ipso: unde ratio non sequitur. **209** τεσσαρεσκαιδέκατον] intellige decimumquintum **214** πεντεκαιδέκατον] intellige decimumsextum **218** ἑκκαιδέκατον] intellige decimumseptimum **222** ἑπτακαιδέκατον] intellige decimumoctavum

## Κεφάλαιον δεύτερον

## Πότερόν ἐστιν ἡ τοῦ Θεοῦ δύναμις ἄπειρος ἢ οὔ.

**[1.2.1] Δεύτερον ζητεῖται περὶ τῆς δυνάμεως τοῦ Θεοῦ πότερόν ἐστιν ἄπειρος. Καὶ δοκεῖ ὅτι οὐκ ἔστιν, ἐπεί, ὡς λέγεται ἐν τῷ δεκάτῳ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά, μάτην ἂν εἴη ἐν τῇ φύσει τις** δύναμις ποι**ητική, ᾗ μὴ ἀποκρίνοιτο** παθητική. **Ἀλλὰ τῇ ἀπείρῳ δυνάμει τοῦ Θεοῦ οὐκ ἀποκρίνεταί τις ἐν τῇ φύσει παθητική. Εἰκῇ τοίνυν ἂν εἴη ἡ θεία δύναμις ἄπειρος.**

**[1.2.2] Ἔτι, ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν μὴ** εἶναι δύναμιν ἄπειρον ἐν μεγέθει πεπερασμένῳ· **καὶ γὰρ ἔψεται ποιεῖν ἄνευ χρόνου. Ἡ γὰρ μείζων δύναμις ποιεῖ ἐλάσσονι χρόνῳ· ἀμέλει καὶ ὅσον ἡ δύναμίς ἐστι μείζων, τοσοῦτον ὁ χρόνος ἐστὶ μείων. Ἀλλὰ τῇ ἀπείρῳ δυνάμει πρὸς τὴν πεπερασμένην |** P 4r **οὔκ ἔστι τις ἀναλογία. Οὐδ’ ἄρα τοῦ χρόνου, ἐν ᾧ ποιεῖ ἡ ἄπειρος δύναμις. Ὁτουοῦν δὲ χρόνου πρὸς ὁντιναοῦν χρόνον ἔστιν ἀναλογία. Τῆς ἄρα πεπερασμένης δυνάμεως κινούσης ἐν χρόνῳ ἡ ἄπειρος δύναμις ἀχρόνως κινήσει. Τῷ δ’ αὐτῷ λόγῳ, εἰ ἡ δύναμις τοῦ Θεοῦ ἐστιν ἄπειρος, ἀεὶ ἐνεργήσει ἀχρόνως· ὅπέρ ἐστι ψεῦδος.**

**[1.2.3] Ἀλλ’ ἔλεγεν ὅτι ἡ θεία θέλησις ὁρίζεται τὸν χρόνον, ᾧ βούλεται τὸ ἑαυτῆς ἀποτέλεσμα ἀπαρτισθῆναι. Καὶ ταύτῃ οὐκ ἀνάγκη τὴν θείαν δύναμιν ἀεὶ ποιεῖν, ἄνευ διαστήματος χρονικοῦ.**

**[1.2.4] Ἀλλ’ ἐκ τοῦ ἐναντίου, ἡ τοῦ Θεοῦ θέλησις οὐ δύναται ἀλλοιοῦν τὴν αὐτοῦ δύναμιν. Ἐκ δὲ τοῦ τῆς ἀπείρου δυνάμεως λόγου ἐστί, μὴ ποιεῖν ἐν χρόνῳ. Αὕτη τοίνυν διὰ τῆς θείας θελήσεως μεταβάλλειν οὐχ οἵα τε.**

**[2.5] Παρὰ ταῦτα πᾶσα δύναμις φαίνεται διὰ τοῦ ἑαυτῆς ἀποτελέσματος. Ἀλλ’ ὁ Θεὸς οὐ δύναται ποιεῖν ἔργον ἄπειρον. Ἡ δύναμις ἄρα τοῦ Θεοῦ οὐκ ἔστιν ἄπειρος.**

**[1.2.6] Ἄνευ δὲ τούτων, ἡ δύναμις ἀναλογεῖ τῇ ἐνεργείᾳ· ἀλλ’ ἡ ἐνέργεια τοῦ Θεοῦ ἐστιν ἁπλῆ· καὶ ἡ δύναμις ἄρα. Τὸ ἁπλοῦν δὲ καὶ τὸ ἤγουν ἀτελές, ὡς πέρατος στερόμενον, ἄπειρον πρὸς ἄλληλα πολεμεῖ. Ἄρα ὡς πρότερον.**

**4-6** ὡς – παθητική] vide supra in apparatu fontium [1.15].64-66. **8-9** ὁ – πεπερασμένῳ] Ar., Phys. VIII, 266a.24-25: φανερόν· ὅτι δ' ὅλως οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν.

**2** δύναμις] δύναμεις M **27-28** ἤγουν – στερόμενον] deest M

**[1.2.7] Χωρὶς δὲ τούτων, τὸ ἄπειρόν ἐστι** πάθος ποσ**ότητος, ὡς ὁ Φιλόσοφός φησιν ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Φυσικῶν. Ἀλλ' ὁ Θεός ἐστιν ἄποσος καὶ πηλικότητος ἀπηλλαγμένος. Ἡ δύναμις αὐτοῦ ἄρα οὐ δύναται εἶναι ἄπειρος.**

**[1.2.8] Ἔτι, πᾶν τὸ διακεκριμένον ἐστὶ πεπερασμένον. Ἀλλ' ἡ δύναμις τοῦ Θεοῦ διαστέλλεται τῶν ἄλλων ὄντων. Ἄρα καὶ πεπέρανται.**

**[1.2.9] Ἔτι, τὸ ἄπειρον λέγεται κατὰ ἄρνησιν πέρατος. Τὸ δὲ πέρας ἐστὶ τριπλοῦν, δηλαδὴ μεγέθους ὡς τὸ σημεῖον, τελειότητος ὡς τὸ εἶδος, σκοποῦ ὡς τὸ τελικὸν αἴτιον. Ταῦτα δὲ τὰ τελευταῖα δύο, τελειότητος ὄντα, τοῦ Θεοῦ ἀποφάσκεσθαι οὐχ' οἷα τέ εἰσιν. Ἄρ' ἡ θεία δύναμις οὐκ ὀφείλει λέγεσθαι ἄπειρος.**

**[1.2.10] Ἄνευ δὲ τούτων, εἰ ἡ δύναμις τοῦ Θεοῦ ἐστιν ἄπειρος, τοῦτο οὐχ οἷόν τε εἶναι, εἰ μὴ ἀπείρων ὅτι ποιητικὴ εἴη. Ἀλλὰ καὶ ἄλλ' ἄττα τυγχάνει ὄντα συχνὰ ἔχοντα ἄπειρα ἀποτελέσματα ἐν τῇ καὶ δὴ καὶ ὁ ἥλιος· καὶ γὰρ δύναται προάγειν ἄπειρα ἀποτελέσματα. Εἰ τοίνυν ἡ δύναμις τοῦ Θεοῦ ῥηθείη ἄπειρος, τῷ ἴσῳ λόγῳ καὶ ἄλλα πολλὰ ἔσονται ἄπειρα· ὅπέρ ἐστιν ἀδύνατον.**

**[2.11] Παρὰ ταῦτα, τὸ πέρας ἐστί τι πρὸς εὐγένειαν τεῖνον. Ἀλλὰ πᾶν τὸ τοιοῦτον, ὀφείλει τοῖς θείοις πράγμασιν ἐξαιρεῖσθαι. Ἡ θεία δύναμις ἄρα ἁρμόττει λέγεσθαι πεπερασμένη.**

**[1.2.12] Χωρὶς δὲ τούτων, τὸ ἄπειρον κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῆς Φυσικῆς ἐστι τοῦ μέρους καὶ τῆς ὕλης· ἃ τοῦ ἀτελοῦς εἰσι καὶ τῷ Θεῷ οὐ γίγνονται. Οὔκ ἔστιν ἄρα τὸ ἄπειρον ἐν τῇ τοῦ Θεοῦ δυνάμει.**

**[1.2.13] Ὑπὲρ ταῦτα, ἔτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ πρώτῳ τῆς Φυσικῆς τὸ πέρας οὔτε ἄπειρον οὔτε περασμένον ἐστίν. Ἀλλ' ἡ θεία δύναμίς ἐστι πάντων τῶν ὄντων πέρας. Οὐκ ἄρα ἐστὶν ἄπειρος.**

**[1.2.14] Χωρὶς δὲ τούτων, ὁ Θεὸς ποιεῖ ὅλη τῇ αὐτοῦ δυνάμει. Εἰ τοίνυν ἐστὶν ἡ αὐτοῦ** P 4v **δύναμις ἄπειρος, ἀεὶ ἔσται τὸ ἀποτέλεσμα αὐτοῦ | ἄπειρον· ὅπερ οὐχ οἷόν τε.**

**29-30** τὸ – Φυσικῶν] Ar., Phys., 185a20-b33: ἀρχὴ – μέρη. 4**7-48** τὸ – ὕλης] Ar., Phys., 207a.26-27: ὥστε φανερὸν ὅτι μᾶλλον ἐν μορίου λόγῳ τὸ ἄπειρον ἢ ἐν ὅλου. **50-51** κατὰ – ἐστίν] Ar., Phys., 185b17-19: οὐδὲ δὴ ἄπειρον τὸ ὄν, ὥσπερ Μέλισσός φησιν, οὐδὲ πεπερασμένον, ὥσπερ Παρμενίδης· τὸ γὰρ πέρας ἀδιαίρετον, οὐ τὸ πεπερασμένον.

**31** πηλικότητος] πολικότητος M (magnitudinis Aq.) **40** Hic post δυνάμει Aq. habet: ut intellectus, qui potest intelligere infinita in potentia. **40-41** ut – potentia] deest P, M

**[1.2.15] Ἀλλ' ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Δαμασκηνοῦ λεγόμενον, ὅτι ἄπειρον** ἐστίν, **ὃ μήτε** χρόνῳ **μήτε** τόπῳ, **μήτε** καταλήψει **ὑποπίπτει. Τοῦτο δὲ καθήκει τῇ θείᾳ δυνάμει. Ἡ θεῖα ἄρα δύναμις ἐστὶν ἄπειρος.**

**[1.2.16] Ἔτι, ὁ Ἱλάριος·** ὁ Θεὸς ἀμέτρητος τῇ δυνάμει, ζῶσα ἐξουσία, ᾗ οὐδέποτε οὐ πάρεστιν οὔτέ ποτε ἄπεστι. **Πᾶν δὲ ἀμέτρητόν ἐστιν ἄπειρον. Ἡ δύναμις ἄρα τοῦ Θεοῦ ἐστιν ἄπειρος.**

**[1.2.17] Ἀπόκρισις. Ῥητέον ὅτι τὸ ἄπειρον λέγεται διττῶς. Ἑνὶ μὲν τρόπῳ, στερητικῶς· καὶ ταύτῃ λέγεται ἄπειρον τὸ πεφυκὸς ἔχειν πέρας καὶ μὴ ἔχον· τοιοῦτον δὲ ἄπειρον οὐχ εὑρίσκεται ὅτι μὴ ἐν ταῖς ποσότησιν. Ἑτέρῳ τρόπῳ λέγεται ἄπειρον ἀποφατικῶς, εἴτουν τὸ μὴ ἔχον πέρας. Τὸ τοίνυν ἄπειρον τῷ μὲν προτέρῳ τρόπῳ ληφθὲν τῷ Θεῷ προσήκειν οὐ δύναται, τοῦτο μὲν ὅτι ὁ Θεός ἐστιν ἄποσον, τοῦτο δ' ὅτι πᾶσα στέρησις τοῦ ἀτελοῦς ἐστι σημεῖον, ὃ πόρρω που ἐλαύνει Θεοῦ. Τὸ ἄπειρον δὲ λεγόμενον ἀποφατικῶς διαφέρει τῷ Θεῷ, τό γε ἧκον εἰς πάντα τὰ ὄντα ἐν αὐτῷ, ἐπεὶ μήτε αὐτὸς ὁρίζεται ὑπό του οὔτε ἡ αὐτοῦ οὐσία ἢ ἡ σοφία οὔτε ἡ δύναμις οὔτε ἡ ἀγαθότης· ὅθεν πάντα <ἐν> αὐτῷ εἰσιν ἄπειρα. Τῆς ἀπειρίας δὲ πέρι τῆς αὐτοῦ δυνάμεως εἰδικῶς ἰστέον ἂν εἴη ὅτι, ἐφόσον ἡ ποιητικὴ δύναμις ἕπεται τῷ ἐνεργείᾳ, ἡ ποσότης τῆς δυνάμεως ἕπεται τῇ ποσότητι τοῦ ἐνεργείᾳ· ἕκαστον γὰρ τοσοῦτο περιγίγνεται ἐν τῇ τοῦ ποιεῖν δυνάμει, ὅσον ἐστὶν ἐνεργείᾳ. Ὁ Θεὸς δέ ἐστιν ἄπειρον ἐνεργείᾳ. Ὃ δῆλόν ἐστιν ἐκ τούτου, ὅτι τὸ ἐνεργείᾳ οὐ περαίνεται ὅτι μὴ διχῇ· ἑνὶ μὲν τρόπῳ τῷ γε τοῦ ποιοῦντος μέρει, ὥσπερ τῇ θελήσει τοῦ τεχνητοῦ ἐνδέχεται ποσότητα καὶ ὅρον τὸ κάλλος τῆς οἰκίας· ἑτέρῳ τρόπῳ τῷ γε τοῦ λαμβάνοντος μέρει, ὥσπερ ἡ θερμότης ἐν τοῖς ξύλοις ὁρίζεται καὶ τὴν ποσότητα λαμβάνει κατὰ τὴν τῶν ξύλων παρασκευήν. Τὸ δὲ τοῦ Θεοῦ ἐνεργείᾳ οὐ περαίνεται ἔκ τινος δρῶντος, ὅτι οὐκ ἔστιν ἐξ ἄλλου, ἀλλ' ἀφ' ἑαυτοῦ· οὔτε μὴν περαίνεται ἔκ τινος δεχομένου, ἐπεὶ μηδεμιᾶς αὐτῷ παθητικῆς δυνάμεως ἐπιμιγνυμένης ἐστὶν αὐτὸς ἐνέργεια καθαρά, οὐκ εἰλημμένη ἐν ἄλλῳ· ἔστι γὰρ ὁ Θεὸς αὐτὸ τὸ εἶναι αὐτοῦ ἐν οὐδενὶ**

**55-56** τὸ – ὑποπίπτει] Dam., De fid. orth. I, 4 (PG 94, col. 853B): Περιγραπτόν μέν ἐστι τὸ τόπῳ ἢ χρόνῳ ἢ καταλήψει περιλαμβανόμενον, ἀπερίγραπτον δὲ τὸ μηδενὶ τούτων περιεχόμενον. **58-59** ὁ – ἄπεστι] Hilar., De trin. VIII, 24 (PL 10, col. 253B):Deus autem immensae virtutis vivens potestas, quae nusquam non adsit, nec desit usquam.

**58** Hic post Ἱλάριος Aq. habet: dicit. **68** τὸ] τῷ P, M **72** τῷ] τῶν M

**ἐγγινόμενον. Ὅθεν φαίνεται τὸν Θεὸν εἶναι ἄπειρον ὅπερ ἐκείνως δοκεῖν δύναται. Τὸ εἶναι γὰρ τοῦ ἀνθρώπου ὁρίζεται πρὸς τὸ τοῦ ἀνθρώπου εἶδος, ὅτι εἴληπται ἐν τῇ φύσει τοῦ ἀνθρωπείου εἴδους, καὶ ὅμοιόν ἐστι περὶ τοῦ εἶναι τοῦ ἵππου ἢ οὑτινοσοῦν δημιουργήματος. Τὸ εἶναι δὲ τοῦ Θεοῦ ἐν οὐδενὶ ἄλλῳ λαμβανόμενον, ἀλλ' ὂν καθαρὸν εἶναι, οὐ περιίσχεται κατά τινα τρόπον εἶναι τινὸς τελειότητος, ἀλλ'** ὅλον τὸ εἶναι ἐν ἑαυτῷ **περι**έχει· **καὶ οὕτω, καθάπερ τὸ ἐν τῇ ψυχῇ ἐνεργείᾳ εἶναι πρὸς ἄπειρα ἑαυτὸ ἐκτείνειν δύναται ἄτομα, οὕτω τὸ θεῖον εἶναι πρὸς ἄπειρα ἑαυτὸ εἴδη ἐκτείνειν δύναται· κἀκ** P 5r **τούτου | φαίνεται ὅτι ἡ θεία ἰσχὺς ἢ ἡ δύναμις ἡ ποιητικὴ αὐτοῦ ἐστιν ἄπειρος. Εἰδέναι δὲ ἄξιον ὅτι, εἰ καὶ ἡ δύναμις ἔχει τινὰ ἀπειρίαν ἐκ τῆς οὐσίας, ἐξ αὐτοῦ μέντοιγε τούτου τοῦ παραβάλλεσθαι πρὸς ταῦθ' ὧν ἐστὶν ἀρχή, δέχεταί τινα τρόπον ἀπειρίας, ὅνπερ ἡ οὐσία οὐκ ἔχει. Καὶ γὰρ ἐν ἡμῖν, δυνάμεώς τε πλῆθος εὑρίσκεται ἐν τῇ ἐνεργείᾳ τε εὑρίσκεται ἐπίτασίς τις, κατὰ τὴν τοῦ ποιεῖν δραστηριότητα, καὶ οὕτω δυνατὸν τῇ ποιητικῇ δυνάμει ἀποδίδοσθαί τινα ἀπειρίαν κατὰ τὴν αὐτῆς ὁμοιότητα πρὸς τὴν τοῦ ποσοῦ ἀπειρίαν, καὶ τοῦ συνεχοῦς καὶ τοῦ διακεκριμένου· τοῦ μὲν οὖν διακεκριμένου, καθὸ ἡ τῆς δυνάμεως ποσότης θεωρεῖται πρὸς πολλὰ ἢ ὀλίγα ἀντικείμενα, καὶ αὕτη καλεῖται ἐκτατική· τοῦ δὲ συνεχοῦς, καθὸ ἡ ποσότης τῆς δυνάμεως θεωρεῖται ἐν τῷ ἀνειμένως ἢ ἐπιτεταμένως ποιεῖν, καὶ καλεῖται αὕτη ποσότης ἐπιτατική. Ἀλλ' ἡ μὲν πρώτη ποσότης, προσήκει τῇ δυνάμει ἀποσκοποῦντι πρὸς τὰ ἀντικείμενα, ἡ δὲ δευτέρα, ὅταν ἀπίδῃ τις πρὸς τὴν ἐνέργειαν. Δυοῖν γὰρ τούτοιν ἡ ποιητικὴ δύναμίς ἐστιν ἀρχή. Ἑκατέρῳ δὲ τρόπῳ ἡ θεία δύναμίς ἐστιν ἄπειρος. Καὶ γὰρ οὐδεπώποτε τοσαῦτα ἀποτελέσματα ποιεῖ, ὡς μὴ δύνασθαι πλείω ποιῆσαι, οὔτέ ποτε οὕτως ἐπιτεταμένως ποιεῖ, ὡς μηδέποτε μᾶλλον ἐπιτεταμένως ἐνεργῆσαι δυνήσεσθαι. Δεῖ δὲ θεωρεῖν τὴν ἐπίτασιν ἐν τῇ θείᾳ ἐνεργείᾳ, οὐχ ᾗ ἐστιν ἐνέργεια ἐν τῷ ἐνεργοῦντι (οὕτω γάρ ἐστιν ἄπειρος ἀεί, ἐπειδήπερ ἡ ἐνέργειά ἐστιν ἡ τοῦ Θεοῦ οὐσία), θεωρητέα δ' ἂν εἴη, καθὸ ἀποτελέσματος ἅπτεται τινός. Ταύτῃ δὲ ὑπὸ τοῦ Θεοῦ τινα μὲν κινοῦνται δραστικώτερον, τινὰ δὲ ἧττον δραστηρίως.**

**86-88** Τὸ – περιέχει] Dam., De fid. orth. (PG 94 col. 836B): Ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον.

**83** δοκεῖν] lacuna ca 4 inter δο- et -κεῖν **85** εἴδους] εἴδος M **89-90** ἐν – θεῖον] in universali acceptum Aq. **90** πρὸς] deest M **95** ἡμῖν] sic P, M; obiectis Aq. **101** ἀνειμένως] ἀνειμμένως P **104** τούτοιν] τοῦτοιν M **105** οὐδεπώποτε] οὐδὲ πώποτε P **107** ἐπιτεταμένως] ἐπισταμένος M **109** ἄπειρος] ἄπειρον M **110** ἂν] bis acc. P, M **111** δὲ] γὰρ M

[1.2.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι εἰκῇ ἐστι τὸ τέλους μὲν ἕνεκά του, ἀντιλαβέσθαι δὲ αὐτοῦ μὴ δυνάμενον. Ὁ δὲ Θεὸς καὶ τὰ ἐν αὐτῷ οὐκ εἰσὶ πρός τι τέλος, ἀλλ’ εἰσὶ τέλος· ἢ ῥητέον, ὅτι ὁ Φιλόσοφος διαλέγεται περὶ δυνάμεως ποιητικῆς φυσικῆς. Τὰ γὰρ φυσικὰ πράγματα συντέτακται πρὸς ἄλληλα, καὶ ἔτι πάντα τὰ δημιουργήματα. Ὁ δὲ Θεὸς ἔστι παρὰ ταύτην τὴν τάξιν· αὐτὸς γὰρ ἐστὶ πρὸς ὃν τοῦ παντὸς ἥδε ἡ τάξις τέτακται, ὡς πρὸς ἀγαθὸν ἐξωτερικὸν, ὥσπερ ὁ στρατὸς πρὸς τὸν ἡγεμόνα, κατὰ τὸν Φιλόσοφον ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά. Διά τοι τοῦτο καὶ οὐκ ἀναγκαῖον εἶναί τι ἐν Θεῷ, ᾧ ἀποκρίνεταί τι ἐν τῇ κτίσει.

[1.2.19] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι κατὰ τὸ Ὑπόμνημα ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν, ἡ ἀπόδειξις ἐκείνη ἢ περὶ τῆς ἀναλογίας τοῦ χρόνου καὶ τῆς δυνάμεως τοῦ κινοῦντος πρόεισιν ἐκ τῆς ἐν μεγέθει ἀπείρου δυνάμεως, ἀναλόγως τῷ ἀπείρῳ τοῦ χρόνου, ἐφόσον ἐστὶν ἑνὸς γένους ὡρισμένου, δηλαδὴ τοῦ συνεχοῦς ποσοῦ, οὐκ ἰσχύει δὲ ἐν τῷ ἔξω μεγέθους ἀπείρῳ, ὃ μή ἐστιν ἀνάλογον τῷ ἀπείρῳ τοῦ χρόνου, ὡσὰν ἑτέρου λόγου ὄν· ἢ τὸ αὐτό, ὡς
P 5v εἴρηται ἐν τῇ ἀντιθέσει, ὅτι ὁ Θεός, ἐπεὶ θελήσει ποιεῖ, | μετρεῖται τὴν κίνησιν τοῦ κινουμένου ὑπ’ αὐτοῦ, ὡς βούλεται.

[1.2.20] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, εἰ καὶ ἡ βούλησις τοῦ Θεοῦ οὐ δύναται μεταβάλλειν τὴν αὐτοῦ δύναμιν, δύναται ὅμως ὁρίζειν τὸ αὐτοῦ ἀποτέλεσμα. Ἡ γὰρ βούλησις τὴν δύναμιν κινεῖ.

[1.2.21] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι αὐτὸς ὁ τοῦ γενητοῦ λόγος καὶ τοῦ κτιστοῦ πολεμεῖ τῷ ἀπείρῳ. Ἐξ αὐτοῦ γὰρ τούτου, ὅτι γίνεται ἐκ τοῦ μηδενός, ἔχει τινὰ ἔνδειαν καὶ ἔστιν ἐν δυνάμει, οὐκ ἐνέργεια καθαρά. Καὶ διατοῦτο οὐ δύναται παρισοῦσθαι τῷ πρώτῳ ἀπείρῳ, ἵν’ ᾖ ἄπειρον.

[1.2.22] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ ἄπειρον, στερητικῶς λεγόμενον, ὅπέρ ἐστι πάθος ποσότητος, διαμάχεται τῇ ἁπλότητι, οὔκουν γε μὴν τὸ ἄπειρον τὸ ἀποφατικῶς λεγόμενον.

**117-119** Ὁ – φυσικά] Ar., Metaph. VII, 1075a.11-15: Ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ὅλου φύσις τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ καθ' αὑτό, ἢ τὴν τάξιν. ἢ ἀμφοτέρως ὥσπερ στράτευμα; καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον οὗτος· οὐ γὰρ οὗτος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ τοῦτόν ἐστιν. **121-122** κατὰ – φυσικῶν] cf. Ar., Phys. VIII, 266a.24-b5.

**112** Hic post ὅτι Aq. habet: nihil quod est in Deo, potest dici frustra, quia. **126** ἂν] bis acc. P, M **130** ὁρίζειν] ὁρίζει M

[1.2.23] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐκεῖνος ὁ λόγος πρόεισιν ἐκ τοῦ ἀπείρου τοῦ στερητικῶς λεγομένου.

[1.2.24] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι διακεκριμένον δύναταί τι εἶναι διττῶς. Ἑνὶ μὲν τρόπῳ κατά τι ἑαυτῷ συνεζευγμένον, ὥσπερ ὁ ἄνθρωπος διακρίνεται κατὰ τὴν τοῦ λογικοῦ διαφορὰν τῆς ὄνου· καὶ τὸ ταύτῃ διῃρημένον, δύναται εἶναι πεπερασμένον, ὅτι αὐτὸ τὸ συνεζευγμένον διορίζει αὐτὸ πρός τι. Ἑτέρῳ τρόπῳ καθ' αὑτό· καὶ οὕτως ὁ Θεός ἐστι διακεκριμένος ἀπὸ πάντων τῶν ὄντων· καὶ τοῦτο διατοῦτο, ὅτι οὐδὲν ἔστι προστίθεσθαι αὐτῷ οἷόν τε· ὅθεν ἀναγκαῖον εἶναι πεπερασμένον, οὔτε αὐτὸν οὔτέ τι ὃ λέγεται ἐν αὐτῷ.

[1.2.25] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ πέρας, ἐφόσον ἐστὶ τελειότητος, τῷ Θεῷ τῷ βελτίστῳ τρόπῳ ἀποδίδοται, δηλαδὴ ὥστε αὐτὸν εἶναι πέρας οὐσιωδῶς, οὐ παρωνύμως πεπερασμένον.

[1.2.26] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, ὥσπερ ἐν ταῖς ποσότησι δύναται θεωρεῖσθαι τὸ ἄπειρον κατὰ μίαν διάστασιν καὶ οὐ κατ' ἄλλην, καὶ πάλιν τὸ ἄπειρον κατὰ πᾶν διάστημα, οὕτω κἂν τοῖς ἀποτελέσμασι, δυνατόν ἐστι καὶ γὰρ κτίσμά τι προάγειν δύναται ἐξ ἑαυτοῦ ἄπειρα ἀποτελέσματα κατά τι, οἷον, φέρε εἰπεῖν, κατὰ ἀριθμὸν ἐν τῷ αὐτῷ εἴδει. Καὶ ταύτῃ πάντων ἐκείνων τῶν ἀποτελεσμάτων ἐστὶν ἡ φύσις πεπερασμένη, ὡσὰν εἰς ἓν εἶδος ὡρισμένη· οἷον εἰ λάβοιμεν ἀνθρώπους ἢ ὄνους ἀπείρους. Οὐχ οἷόν τε δὲ εἶναι ἄλλην τινὰ φύσιν, ἣ δύναιτ' ἂν εἰς ἄπειρα ἀποτελέσματα, πᾶσι τρόποις, καὶ κατ' ἀριθμὸν καὶ κατ' εἴδη καὶ γένη, ἀλλὰ τοῦτό ἐστι μόνου Θεοῦ, διά τοι τοῦτο, καὶ μόνη ἡ τούτου δύναμίς ἐστιν ἁπλῶς ἄπειρος.

[1.2.27] Πρὸς τὸ δέκατον ῥητέον, ὡς κἀν τῷ ἐνάτῳ.

[1.2.28] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐκ τοῦ στερητικῶς ἀπείρου λεγομένου.

[1.2.29] Τὸ δ' αὐτὸ καὶ πρὸς τὸ δωδέκατον.

[1.2.30] Πρὸς δὲ τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ Θεὸς ποιεῖ μὲν ἀεὶ ὅλῃ τῇ αὐτοῦ δυνάμει, ἀλλὰ τὸ ἀποτέλεσμα ὁρίζεται, κατὰ τὸ σύνθημα τῆς αὐτοῦ θελήσεως καὶ τὴν τάξιν τοῦ λόγου.

**146** οἷόν τε] οἷοντες M **151** ποσότησι] ποσότητος M **200** ἂν] bis acc. P, M **202** φύσιν] creatura; Prochoros legit natura? | ἂν] bis acc. P, M **203** γένη] γέννη M

## Κεφάλαιον τρίτον

## Πότερον τὰ τῇ φύσει ἀδύνατα δυνατά εἰσι τῷ Θεῷ.

**[1.3.1] Τρίτον ζητεῖται πότερον τὰ τῇ φύσει ἀδύνατα δυνατά εἰσι τῷ Θεῷ. Καὶ** P 6r **δοκεῖ | μὴ δῆτα. Λέγει γάρ τις Ἐξήγησις ἐν τῷ ἑνδεκάτῳ τῆς Πρὸς Ῥωμαίους, ὅτι** ὁ Θεός, Δημιουργὸς ὢν τῆς φύσεως, οὐ δύναται ἀπεναντίας τῇ φύσει ποιεῖν. **Ὁ Θεὸς ἄρα τῇ φύσει ἀδύνατα ποιεῖν οὐ δύναται.**

**[1.3.2] Ἔτι, ὥσπερ πᾶν τὸ τῇ φύσει ἀναγκαῖόν ἐστιν ἀποδεικτόν, οὕτω καὶ πᾶν τὸ τῇ φύσει ἀδύνατόν ἐστιν ἄδοξον ἀποδεικτῶς. Ἀλλ’ ἐν πάσῃ ἐπιστήμῃ ἀποδεικτικῇ ἔνεισιν ἀρχαὶ ἀποδεικτικαί, ἐν πάσῃ δὲ ἀποδεικτικῇ ἀρχῇ ἐμπεριέχεται τὸ ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν μὴ εἶναι δὲ τῶν ἅμα μὴ δὲ ἀληθῆ. Αὕτη ἄρα ἡ ἀρχή ἐστιν ἐν παντὶ ἀδυνάτῳ. Ὁ δὲ Θεὸς οὐ δύναται ποιεῖν τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα καὶ ἀληθῆ, ὡς ὁ ἀποκρινόμενος ἔλεγεν. Οὐδὲν ἄρα ἀδύνατον ἐν τῇ φύσει ποιεῖν δύναται.**

**[1.3.3] Ἔτι, ὑπὸ τῷ Θεῷ εἰσὶ δύο ἀρχαί, λόγος καὶ φύσις. Ἀλλ’ ὁ Θεὸς τὰ ἀδύνατα τῷ λόγῳ ποιεῖν οὐ δύναται· ὥσπερ τὸ γένος μὴ κατηγορεῖσθαι τοῦ εἴδους. Ἆρ’ οὐδὲ τὰ ἀδύνατα τῇ φύσει.**

**[1.3.4] Ἔτι, ὥσπερ ἔχει τὸ ψεῦδος καὶ ἡ ἀλήθεια ὡς πρὸς τὴν ἐπιστήμην, οὕτως ἔχει τὸ δυνατὸν καὶ ἀδύνατον πρὸς τὴν ἐνέργειαν. Ἀλλὰ τὸ ὂν ἐν τῇ φύσει ψεῦδος ὁ Θεὸς γινώσκειν οὐ δύναται. Ἆρα καὶ ὅπερ ἐστὶν ἐν τῇ φύσει ἀδύνατον, ποιεῖν οὐ δύναται.**

**[1.3.5] Χωρὶς δὲ τούτων, ὅταν ᾖ ὅμοιον καθ’ ἑνὸς καὶ κατὰ παντός, ὅπερ ἀποδείκνυται κατὰ τοῦ ἑνός, καὶ κατὰ παντὸς ἀποδειχθήσεται· ὥσπερ τὸ ἀποδείκνυσθαι καθ’ ἑνὸς τριγώνου τὰς τρεῖς γωνίας δυοῖν ὀρθῶς ἴσας ἔχειν, καὶ κατὰ παντὸς τριγώνου νοεῖται ἀποδείκνυσθαι. Ὅμοιος δὲ λόγος φαίνεται καὶ περὶ παντὸς ἀδυνάτου, ὅτι δύναται τοῦτο ἢ οὐ δύναται, ἄρτι μὲν τῷ μέρει τοῦ ποιοῦντος, ὅτι ἡ θεία δύναμις ἄπειρος ἐστίν. ἄρτι δὲ τῷ μέρει τοῦ ποιήματος, ὅτι πάντα τὰ ποιήματα ἔχει δύναμιν ὑπακοῆς πρὸς τὸν Θεόν. Εἰ δή ἐστί τι ἀδύνατον τῇ φύσει, ὅπερ οὐ δύναται ποιεῖν ὁ Θεός, ὡς ὁ ἀποκρινόμενος ἔλεγε, δοκεῖ ὅτι οὐδὲν ἀδύνατον ποιεῖν δύναιτο.**

**5-7** Λέγει – ποιεῖν] Vide textum in [6.1.1]: ὅτι ὁ πάντων Δημιουργὸς Θεὸς τῶν φύσεων, οὐδὲν παρὰ τὴν φύσιν ποιεῖ; cf. Rom. 11, 24: εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ.

**2** δυνατὰ] deest M **5** Hic post Ῥωμαίους Aq. habet: XI, vers. 24. **12** μήδε] μὴ δὲ **15** ὑπὸ] ἐν M (sub Aq) | εἰσὶ δύο] δύο εἰσὶν P (sunt duo Aq) **16** κατηγορεῖσθαι] κατηγορίσθαι M **23-24** κατὰ – ἀποδείκνυσθαι] om. (homoioteleuton?) et al. man. add. in marg. dex. M **24** ὀρθῶς] ὀρθῆς M **25** τριγώνου] deest Aq **27** δύναμις] δύναμιν M

**[1.3.6] Ἄνευ δὲ τούτων, ἐν τῷ πέμπτῳ τῆς Πρὸς Τιμόθεον λέγεται·** πιστὸς ὁ **Θεός,** ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. **Ἀρνήσαιτο δ' ἂν ἑαυτόν, ὡς ἡ Ἐξήγησις ὑπαγορεύει, εἰ τὴν ἐπαγγελίαν μὴ ἐξέπραξεν· ὥσπερ δὲ ἡ ἐπαγγελία προελήλυθε παρὰ τοῦ Θεοῦ, οὕτω πᾶν τἀληθές ἐστι παρὰ τοῦ Θεοῦ, ὅτι, ὥς φησιν ἡ πρὸς τὸ δωδέκατον τῆς Πρὸς Κορινθίους Ἐξήγησις Ἀμβροσίου, ἐπ' ἐκείνῳ τὸ** οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, **πᾶν ἀληθὲς παρ' ὁτουδήποτε ῥηθὲν παρὰ τοῦ Ἁγίου Πνεύματος ἐστίν. Ὥστ' οὐ δύναται ποιῆσαι παρ' ὁτιοῦν ἀληθές, ποιήσειε δ' ἂν παρὰ τὸ ἀληθές, εἰ ποιήσειέ τι ἀδύνατον.**

**[1.3.7] Πρὸς τούτοις φησὶν ὁ Ἄνσελμος, ὅτι καὶ τὸ** ἐλάχιστον ἄτοπόν ἐστι τῷ Θεῷ ἀδύνατον. **Ἀλλ' ἄτοπόν ἐστι τὸ τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα καὶ ἀληθῆ, ὅτι ὁ νοῦς συνδοῖτο ἂν καὶ ἀπρακτοῖ. Ὁ Θεὸς ἄρα οὐ δύναται ποιεῖν**
P 6v **τοῦτο. Καὶ ταύτῃ | οὐ δύναται ποιεῖν πάντα τὰ ἀδύνατα τῇ φύσει.**

**[1.3.8] Ἔτι, οὐδεὶς τεχνίτης δύναται ποιεῖν ἀπεναντίας τῇ αὐτοῦ τέχνῃ· ἡ γὰρ ἀρχὴ τῆς αὐτοῦ ποιήσεώς ἐστιν ἡ τέχνη. Ἀλλ' ὁ Θεὸς ποιήσειεν ἂν ἀπεναντίας τῇ ἐπιστήμῃ, εἴ τι ποιήσειεν ἀδύνατον ἐν τῇ φύσει· ἡ γὰρ τάξις τῆς φύσεως, καθ' ἣν ἐκεῖνο ἐστὶν ἀδύνατον, ἔστι κατὰ τὴν τοῦ Θεοῦ ἐπιστήμην. Ἄρ' ὁ Θεὸς καὶ τὰ λοιπά.**

**[1.3.9] Ἔτι, μᾶλλον ἐστὶν ἀδύνατον τὸ καθ' αὐτὸ ἀδύνατον ἢ τὸ κατὰ συμβεβηκός. Ἀλλ' ὁ Θεὸς οὐ δύναται ποιεῖν τὸ κατὰ συμβεβηκὸς ἀδύνατον, οἷον τὸ γεγονὸς μή γεγονέναι, ὡς φαίνεται διὰ τοῦ Ἱερωνύμου, ὅταν λέγῃ,** τἆλλα δυνάμενος ὁ Θεός, οὐ δύναται ποιῆσαι παρθένον τὴν διάκορον, **ἤγουν τὴν φθαρεῖσαν· καὶ δι' Αὐγουστίνου ἐν τοῖς Κατὰ Φαύστου καὶ διὰ τοῦ Φιλοσόφου ἐν τῷ ἕκτῳ τῶν Φυσικῶν. Ἄρ' ὁ Θεὸς οὐ δύναται ποιεῖν τὸ καθ' αὐτὸ ἀδύνατον ἐν τῇ φύσει.**

**30-31** ἐν – ἑαυτόν] II Timoth., non 5 sed 2, 13: εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. **34-35** ὡς – Ἰησοῦν] cf. Ambrosiaster (Ps.-Ambrosius), ed. F Cayré, *Patrologie*, vol. 1, Desclée 1938, p. 590; cf. I Cor. 12, 3: Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. **40-41** ὁ – ἀδύνατον] Ans., Cur Deus I, cap. 20 (PL 158, col. 392A): parvum inconveniens Deo impossibile est. **51-53** διὰ – φθαρεῖσαν] Vide textum in [6.1.16] **52-54** τἆλλα – Φυσικῶν] cf. Ar., Eth. nic. I, 1139b.10-11 (commemoratio Agathoni): μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.

**30** πέμπτῳ – Τιμόθεον] II Timoth. 2, 13 Aq **31** ἂν] bis acc. P, M **33** τοῦ] deest M **34** Κορινθίους] Κορυνθίους M **37** Ὥστ'] ὥς τ' P, M **38** ἂν] bis acc. P, M **39** Hic post ἀδύνατον Aq. habet: Ergo Deus non potest facere aliquid impossibile in natura. **49-50** κατὰ συμβεβηκός] κατασυμβεβηκός M **52-53** τὴν – φθαρεῖσαν] de corrupta Aq | ἤγουν – φθαρεῖσαν] deest P **53** ἐν Φαύστου] deest Aq **54** ἕκτῳ] intellige πέμπτῳ; deest Aq

**[1.3.10] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ εἰρημένον ἐν τῷ πρώτῳ τοῦ Κατὰ Λουκᾶν·** οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

**[1.3.11] Ἔτι, πᾶσα δύναμις δυναμένη ποιεῖν τοδὶ καὶ οὐκ ἐκεῖνο ἐστὶ δύναμις ὡρισμένη. Εἰ οὖν ὁ Θεὸς δύναται ποιεῖν τὰ τῇ φύσει δυνατὰ καὶ οὐ τὰ ἀδύνατα, ἢ ταῦτα τὰ ἀδύνατα καὶ οὐκ ἐκεῖνα, δοκεῖ ὅτι ἡ δύναμις τοῦ Θεοῦ περιίσχεται. Ὅπέρ ἐστι παρὰ τὰ προδιωρισμένα.**

**[1.3.12] Ἐπὶ δὲ τούτοις, πᾶν ὃ μὴ ὁρίζεται διά τινος ὄντος πράγματι δι’ ἑνός, οὐδενὸς ὄντος πράγματι ἐπισχεθήσεται. Ἀλλ’ ὁ Θεὸς ὑπ’ οὐδενὸς περιείργεται ὄντος ὑπάρξει. Δι’ οὐδενὸς ἄρα ὄντος ὑπάρξει ἐπισχεθήσεται· καὶ οὕτως ἡ ἀλήθεια τοῦδε τοῦ ἀξιώματος, ἐπὶ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν οὐδέποτε δὲ ἅμα καὶ ἀληθῆ εἶναι, οὐχ οἷά τε ἔσται ἐμποδὼν γενέσθαι τῷ δύνασθαι ποιεῖν τὸν Θεόν. Καὶ τῷ ἴσῳ λόγῳ περὶ πάντων τῶν ἄλλων.**

**[1.3.13] Ἔτι, αἱ στερήσεις οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον. Τὸ δ’ ἀδύνατον λέγεται κατὰ στέρησιν δυνάμεως. Εἰ τοίνυν ἐστὶν ἓν ἀδύνατον, ὅπερ ὁ Θεὸς δύναται ποιεῖν, ὡς τὸ τυφλοὺς φωτίζειν, δι’ ἴσου λόγου δοκεῖ δύνασθαι ποιεῖν καὶ πάντα.**

**[1.3.14] Ἔτι, ὅπερ ἀνθέστηκε τινί, ἀνθεστήξει λόγῳ τινὸς ἀντιθέσεως. Ἀλλὰ τῇ δυνάμει τοῦ Θεοῦ οὐδὲν ἀντικείμενόν ἐστιν, ὡς ἐξ ὧν ὑπείπομεν φαίνεται. Οὐδὲν ἄρα δύναιτο ἀνθίστασθαι αὐτῷ. Καὶ ταύτῃ δύναται πάντα ποιεῖν τὰ ἀδύνατα.**

**[1.3.15] Ἔτι, ὥσπερ ἡ τυφλότης ἀντίκειται τῇ ὄψει, οὕτως ἡ παρθενία τῇ ὠδίνι. Ἀλλ’ ὁ Θεὸς πεποίηκε παρθένον τεκεῖν μένουσαν παρθένον. Ἆρ’ ὁ Θεὸς δύναται τῷ ἴσῳ λόγῳ ποιῆσαι τυφλὸν μένοντά τινα ὁρᾶν, καὶ δύναται ποιῆσαι τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι ἀληθῆ ὁμοῦ, καὶ κατὰ τὸ εἰκὸς πάντα τὰ ἀδύνατα.**

**[1.3.16] Ἔτι, ἐργωδέστερόν ἐστι συνάπτειν τὰ διεστῶτα εἴδη τῶν οὐσιῶν ἢ τὰ εἴδη τὰ συμβεβηκότα. Ἀλλ’ ὁ Θεὸς συνῆψεν εἰς ἓν εἴδη οὐσιώδη τὰ μάλιστα** P 7r **διέχοντα, εἴτουν τὸ θεῖον καὶ ἀνθρώπινον, ἃ διενήνοχε κατὰ | τὸ κτιστὸν καὶ ἄκτιστον. Πολλῷ ἄρα μᾶλλον δύναται συνάπτειν δύο εἴδη συμβεβηκότα εἰς ἕν, ὥστε ποιεῖν ταυτὸν εἶναι λευκὸν καὶ μέλαν. Καὶ οὕτω ταὐτό, ὅπερ πρότερον.**

**56-57** ἐν – ῥῆμα] Lc. 1, 37: οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

**58** ἐκεῖνο] ἐκεινοΐ P **63** ἐπισχεθήσεται] ἐπισχεθήσκεται M **65** ἐπὶ παντὸς] deest Aq **66** καὶ ἀληθῆ] deest Aq | οὐχ – γενέσθαι] non potest impedire Aq **72** ὅπερ] omne quod Aq **76-77** πεποίηκε – λόγῳ] om. et al. man. add. in marg. inf. M

[1.3.17] Ἔτι, ὑποτεθέντος ἀποφάσκεσθαί τι τοῦ ὁριζομένου, ὃ πίπτει ὑπὸ τὸν τούτου ὅρον, ἕπεται τἀναντία εἶναι ἅμα· οἷον ὅτι ὁ ἄνθρωπος οὐκ ἔστι λογικόν. Ἀλλὰ τὸ λήγειν εἰς δύο σημεῖα ὅρος ἐστὶ τῆς εὐθείας γραμμῆς. Εἴ τις ἄρα ἀποφήσειε τοῦτο τῆς εὐθείας γραμμῆς, ἕπεται δύο ἐναντία εἶναι ἅμα. Ἀλλ' ὁ Θεὸς τοῦτο πεποίηκεν, ἡνίκα εἰσῆλθε τῶν θυρῶν κεκλεισμένων ὡς τοὺς μαθητάς· τότε γὰρ γεγόνασι δύο σώματα ὁμοῦ, καὶ οὕτως ἕπεται δύο γραμμὰς εἰς δύο λῆξαι σημεῖα, καὶ οὐχ ἑκάστην εἰς δύο. Ἄρα ὁ Θεὸς δύναται ποιεῖν τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι ἀληθῆ ὁμοῦ, καὶ ὡς εἰκὸς ποιεῖν πάντα τὰ ἀδύνατα.

[1.3.18] Ἀπόκρισις. Ῥητέον ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ δυνατὸν καὶ τὸ ἀδύνατον, τριχῇ λέγεται. Ἑνὶ μὲν τρόπῳ κατά τινα δύναμιν ποιητικὴν ἢ παθητικήν· ὥσπερ λέγεται τῷ ἀνθρώπῳ τὸ μὲν βαδίζειν δυνατὸν κατὰ τὴν βαδιστικὴν δύναμιν, τὸ πέτασθαι δὲ ἀδύνατον. Ἑτέρῳ τρόπῳ οὐ κατά τινα δύναμιν, ἀλλὰ καθ' αὑτό, ὥσπερ φαμὲν δυνατὸν ὅπερ οὐκ ἔστιν ἀδύνατον εἶναι καὶ ἀδύνατον ὅπερ ἀναγκαῖον μὴ εἶναι. Τρίτῳ τρόπῳ λέγεται δυνατὸν κατὰ τὴν μαθηματικὴν δύναμιν τὴν ἐν τοῖς γεωμετρικοῖς· καθὸ λέγεται ἡ γραμμὴ δυνάμει σύμμετρος, ὅτι τὸ ἀπ' αὐτῆς τετράγωνόν ἐστι σύμμετρον. Τούτου δὲ τοῦ δυνατοῦ ἀποτεθέντος περὶ τοῖς δυσὶν ἄλλοις θεωρῶμεν. Ἰστέον τοίνυν ὅτι τὸ ἀδύνατον, ὃ κατὰ μηδεμίαν δύναμιν λέγεται, ἀλλὰ καθ' αὑτό, λέγεται ἀκαταλληλίᾳ τινὶ τῶν ὅρων· πᾶσα δὲ ὅρων ἀκαταλληλία λέγεται λόγῳ τινὸς ἀντιθέσεως. Ἐν πάσῃ δὲ ἀντιθέσει ἐμπεριείληπται ἀπόφασις καὶ κατάφασις, ὡς δείκνυται ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά· ὅθεν ἐν παντὶ οὕτως ἀδυνάτῳ συμπλέκεται τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι ὁμοῦ. Ὅπερ οὐδεμιᾶς ἐνεργητικῆς δυνάμεως ἐστίν· ἡ γὰρ ἐνέργεια τῆς ποιητικῆς δυνάμεως, ὥρισται πρὸς τὸ εἶναι· καὶ ταύτη οὐδεπώποτε γίνεται δι' ἐνεργείας τι μὴ εἶναι, ὡς ἐν τῇ φθορᾷ φαίνεται˙ οὐ γὰρ συμβαίνει ἡ φθορά, εἰ μὴ ἐφόσον τὸ εἶναι τοῦ ἑνὸς οὐ στέγει τὸ εἶναι τοῦ ἑτέρου· ὥσπερ τὸ εἶναι τῆς θερμότητος οὐκ ἀνέχεται τὸ εἶναι τῆς ψυχρότητος.

**92-93** ἐν – λέγεται] Ar., Metaph. V, 1019b.22-1020a.6: δυνατόν τε καὶ ἀδύνατον – ἢ ᾖ ἄλλο. **103-104** Ἐν – φυσικά] Ar., Metaph. V, 1005b.18.

**90** ἑκάστην] ἑκάστο M **92** ῥητέον] deest M **93** φυσικά] ἠθικὰ P, M **94-95** δύναμιν – δύναμιν] om. et al. man. add. in marg. sin. M **101** ὅτι] ὅτε M **107** Hic post ἐστίν Aq. habet: quod sic patet. Omnis activa potentia consequitur actualitatem et entitatem eius cuius est. Unumquodque autem agens est natum agere sibi simile.

**Καὶ διατοῦτο ἡ θέρμη κατὰ μὲν πρώτην ἐπιβολὴν ποιεῖ θερμόν, εἰ δὲ φθείρει τὴν ψυχρότητα, κατὰ συμβεβηκὸς ἐπιγίνεται. Τὸ δὲ τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα, οὔτε λόγον ὄντος ἔχειν οἷόν τε οὔτε μὴν μὴ ὄντος. Τὸ γὰρ εἶναι ἀναιρεῖ τὸ μὴ εἶναι καὶ τὸ μὴ εἶναι ἀναιρεῖ τὸ εἶναι· ὅθεν οὔτε προηγουμένως οὔτε ἑπομένως δύναται εἶναι πέρας τινὸς ἐνεργείας. Τὸ δὲ** P 7v **ἀδύνατον, ὃ λέγεται κατά τινα δύναμιν, | δύναται θεωρεῖσθαι δισσῶς. Ἑνὶ μὲν τρόπῳ ἐνδείᾳ αὐτῆς τῆς δυνάμεως καθ’ αὐτήν, ἡνίκα δηλαδὴ πρὸς τὸ ἀποτέλεσμα αὐτῆς οὐ δύναται ἐκτείνεσθαι· οἷον, ὅταν μὴ δύναται τὸ κατὰ φύσιν ποιοῦν μεταβάλλειν τινὰ ὕλην. Ἑτέρῳ τρόπῳ ἐξωτερικῷ, οἷον, φέρε εἰπεῖν, ἡνίκα ἡ δύναμίς τινος εἵργεται ἢ συνδεῖται. Οὕτω γοῦν λέγεταί τι ἀδύνατον εἶναι τρισὶ τρόποις. Ἑνὶ μέν, ἐνδείᾳ τῆς ποιητικῆς δυνάμεως, εἴτε ἐν τῷ μεταποιεῖν ὕλην εἴτε ὁτῳδήποτε τρόπῳ ἄλλῳ. Ἑτέρῳ τρόπῳ, διά τι ἀνθιστάμενον ἢ ἐμποδὼν γινόμενον. Τρίτῳ τρόπῳ, ἡνίκα τὸ λεγόμενον ἀδύνατον οὐ δύναται εἶναι τέλος ἐνεργείας. Τὰ μὲν οὖν ἐν τῇ φύσει ἀδύνατα, τῷ πρώτῳ καὶ δευτέρῳ τρόπῳ ὁ Θεὸς ποιεῖν δύναται. Ἐπεὶ γὰρ ἄπειρός ἐστιν ἡ δύναμις αὐτοῦ, ἐν οὐδενὶ ὑποδίδωσιν, οὔτε ἔστι τις ὕλη, ἣν ἀλλοιοῦν οὐ δύναται πρὸς τὸ ἡδόμενον, τῇ τε αὐτοῦ δυνάμει οὐχ οἷόν τε ἐνστῆναί τι. Τῷ δὲ τρίτῳ τρόπῳ λεγόμενον ἀδύνατον ὁ Θεὸς ποιεῖν οὐ δύναται, ἐφόσον ὁ Θεός ἐστιν ἀκραιφνὴς ἐνέργεια καὶ πρῶτον ὄν. Ὅθεν ἡ αὐτοῦ ἐνέργεια οὔκουν εἰ μὴ πρὸς ὂν ὁρίζεσθαι δύναται προηγουμένως, καὶ πρὸς τὸ μὴ ὂν ἑπομένως. Καὶ διατοῦτο οὐ δύναται τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ποιεῖν εἶναι τῶν ἅμα καὶ ἀληθῆ οὔτέ τι τούτων, ἐν οἷς τὸ ἀδύνατον τοῦτο περικλείεται. Ἀλλ’ οὐδὲ τοῦτο λέγεται μὴ δύνασθαι, διά τινα ἔκλειψιν τῆς ἑαυτοῦ δυνάμεως, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀσθένειαν, ὃ πρὸς τὸν τοῦ δυνάμει λόγον ἀδυνάτως ἔχει· διὸ καὶ παρά του λέγεται, ὅτι ὁ Θεὸς δύναται ποιεῖν, ἀλλ’ οὐ δύναται γίνεσθαι.**

**127** ἔστι] ἔσται M (est Aq)

**[1.3.19] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ τοῦ Αὐγουστίνου λόγος ἐν τῇ Ἐξηγήσει ἐκείνῃ οὐ νοεῖ ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν ἄλλως ἢ ἡ φύσις ποιεῖ (καὶ γὰρ ποιεῖ θαμὰ παρὰ τὸν εἰωθότα δρόμον τῆς φύσεως), ἀλλ' ὅτι ὅπερ ποιεῖ ἐν τοῖς οὖσιν, οὐκ ἔστι πολέμιον τῇ φύσει, ἀλλ' ἔστιν αὐτοῖς φύσις, ὅτι αὐτός ἐστι Δημιουργὸς καὶ διαθέτης αὐτῆς. Οὕτω γὰρ ἐν τοῖς φυσικοῖς πράγμασι φαίνεται, ὅτάν τι σῶμα ὑποβεβηκὸς παρά του τῶν μετεώρων κινεῖται, ἡ κίνησις ἐκείνη ἐστὶ φυσική, εἰ καὶ μὴ δοκεῖ συμβαίνειν τῇ κινήσει ἣν ἔχει φυσικῶς ἐξ ἑαυτοῦ· ὥσπερ ἡ θάλαττα κινουμένη σύρταις καὶ ἀμπώτισιν ὑπὸ τῆς σελήνης φυσικῶς λέγεται κινεῖσθαι, ὥς φησι τὸ Ὑπόμνημα ἐν τῷ τρίτῳ τοῦ Περὶ οὐρανοῦ καὶ κόσμου, εἰ καὶ ἡ φυσικὴ κίνησις τοῦ ὕδατος καθ' αὐτήν ἐστι κατωφερής, καὶ τούτῳ δὴ τῷ τρόπῳ πάντα τὰ ὄντα, ὥσπερ ἀντὶ φύσεως ἔχει πᾶν τὸ παρὰ Θεοῦ αὐτοῖς ὑπάρχον. Καὶ διατοῦτο δισσαὶ δυνάμεις αὐτοῖς νέμονται, μία ἡ κατὰ τὴν φύσιν πρὸς τὰς ἰδίας ἐνεργείας ἢ κινήσεις, ἑτέρα, ἥτις ὑπακοῆς λέγεται πρὸς ταῦθ' ἃ παρὰ Θεοῦ ὑποδέχεται.**

**[1.3.20] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐν ὁτῳδήποτε ἀδυνάτῳ συμπλέκεται** P 8r **τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν εἶναι | ὁμοῦ, ᾗ ἐστὶν ἀδύνατον. Ἃ τοίνυν τυγχάνει ὄντα ἀδύνατα δι' ἀρρωστίαν φυσικῆς δυνάμεως, ὡς τὸ τὸν τυφλὸν ἀποκαθίστασθαι τὰς ὄψεις, ἤ τι τῶν ὁμολόγων, μὴ ὄντα ἀδύνατα καθ' αὐτά, οὐ παρεισάγουσι τὸ ἀδύνατον καθ' αὐτό, ἀλλὰ τῇ πρὸς τὴν φύσιν παραθέσει, ᾗ εἰσιν ἀδύνατα· οἷον, εἰ λέγοιμεν, ἡ φύσις δύναται ποιεῖν τὸν τυφλὸν ὁρᾶν, παρενείρεται τὸ προειρημένον ἀδύνατον, ὅτι ἡ δύναμις τῆς φύσεως ὁρισθήσεται πρὸς ἄλλο παρὰ τὸ αὐτῇ ἀποδιδόμενον.**

**[1.3.21] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὰ ἀδύνατα τῇ λογικῇ φιλοσοφίᾳ, οὐκ εἰσὶ κατά τινα δύναμιν, ἀλλὰ καθ' αὐτά, ὅτι τὰ ὄντα ἐν τῇ λογικῇ φιλοσοφίᾳ, οὐ παρενείρεται τῇ φύσει ἢ τοῖς ἄλλοις μέρεσι τοῖς φυσικοῖς.**

**[1.3.22] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ ἐν τῇ φύσει ψεῦδος ἐστὶ ψεῦδος ἁπλῶς. Καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.**

**139** νοεῖ] intelligendum est **140** θαμὰ] θαμᾶ P; θαυμᾶ M **145** ἀμπώτισιν] ἀμπότησιν P; ἀμπότισιν M **150** μία] om. et al. man. add. in marg. sup. M **152** ὅτι] ὅτε[a. corr.] M **155** ἀποκαθίστασθαι – ὄψεις] videntem fieri Aq

[1.3.23] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οὐκ ἔστιν ὁ αὐτὸς λόγος περὶ παντὸς ἀδυνάτου, ἀλλὰ τινὰ μέν εἰσιν ἀδύνατα καθ’ αὑτά, τινὰ δὲ κατ’ ἀναφοράν, πρός τινα δύναμιν, ὡς εἴρηται. Ἀλλ’ οὐδὲ τοῦτο τὸ ἀνομοίως ἔχειν ταῦτα πρὸς τὴν θείαν δύναμιν ἐμποδὼν γίνεται τῇ ἀπειρίᾳ τῆς θείας δυνάμεως ἢ τῇ ὑπακοῇ τῆς κτίσεως, ἀλλ’ ὃν τρόπον εἴρηται.

[1.3.24] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ Θεὸς τοῦτο ὅπερ ἦν ἤδη ἀληθὲς οὐκ ἀνατρέπει· οὐ γὰρ ποιεῖ ὅπερ ἀληθὲς ἦν, ὅτι οὐκ ἦν ἀληθές· ἀλλὰ ποιεῖ τὶ μὴ εἶναι ἀληθές, ὅπερ ἄλλοτε ἀληθὲς ἦν. Ὥσπερ ὅταν ἐγείρῃ νεκρόν, ποιεῖ μὴ εἶναι ἀληθὲς εἶναι νεκρόν· ὅπερ ἄλλοτε ἀληθὲς ἦν. Ἢ καὶ ἄλλως ῥητέον, ὅτι οὐκ ἔστιν ὅμοιον· ἐκ γὰρ τοῦ μὴ ποιῆσαι τὸν Θεὸν τὴν ἐπαγγελίαν ἕπεται αὐτὸν μὴ εἶναι ἀληθῆ, ἐκ δὲ τοῦ τι ἀποτέλεσμα αὐτοῦ ἀνατρέψαι τοῦτο οὐχ ἕπεται· οὐ γὰρ ἐπαγγελίαν τεταγμένην παρεστήσατο.

[1.3.25] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι οὐ δύναται τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν εἶναι ὁμοῦ οὐχ ὅτι ἐστὶν ἄτοπον, ἀλλὰ τῷ προειρημένῳ τρόπῳ.

[1.3.26] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸν Σωκράτην, μὴ δραμεῖν, εἰ δεδραμήκει, λέγεται ἀδύνατον κατὰ συμβεβηκός· τὸ γὰρ τὸν Σωκράτην τρέχειν ἢ μὴ τρέχειν καθ’ αὑτό ἐστιν ἐνδεχόμενον, ἀλλὰ διὰ τὴν συμπλοκὴν ἐνταῦθα, ἥτις ἐστὶ τὸ παρελθὸν μὴ γενέσθαι, καθίσταται ἀδύνατον. Καὶ διατοῦτο λέγεται κατὰ συμβεβηκὸς ἀδύνατον, ὡσὰν διά τι ἐπιγινόμενον. Τοῦτο μέντοι τὸ ἐπιγιγνόμενόν ἐστι καθ’ αὑτὸ ἀτεχνῶς ἀδύνατον· καὶ γὰρ παρενείρει ἀντίφασιν. Τὸ γὰρ λέγειν, ἐγένετο καὶ οὐκ ἐγένετο, εἰσὶν ἀντιφατικά· ὃ ἕπεται, εἰ λέγοιτο τὸ παρελθὸν μὴ γενέσθαι.

**169** ἀλλ – εἴρηται] deest Aq. **178** Hic post τρόπῳ Aq. habet: Ad octavum dicendum, quod ars Dei non solum se extendit ad ea quae facta sunt, sed ad multa alia. Unde quando in aliquo mutat cursum naturae, non propter hoc contra artem suam facit. **182-183** παρελθόν – ὡσὰν] om. et add. in marg. sup. M **183** ὡσὰν] ὡσᾶν P, M

**[1.3.27] Πρὸς δὲ τὸ πρῶτον τὸ ἐκ τοῦ ἐναντίου ἀνθυποφερόμενον ῥητέον, ὅτι ῥῆμα λέγεται οὐ μόνον ἐπὶ τοῦ διὰ στόματος προφερομένου, ἀλλὰ καὶ τὸ τῇ διανοίᾳ συλλαμβανόμενον· ὃ καὶ ἐνταῦθα βούλεται ἡ χρῆσις.** Τὸ **οὖν τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν εἶναι τῶν** ἅμα **καὶ ἀληθῆ, ἀνεπινόητόν ἐστι τῇ** P 8v **διανοίᾳ, ὡς ἀποδέδεικται ἐν τῷ τετάρτῳ τῶν | Μετὰ τὰ φυσικὰ καὶ διὰ τοῦ εἰκότος οὐδέ τι τῶν ἄλλων ἐν οἷς τοῦτο περιέχεται διανοητὸν ἐστίν. Ἐπεὶ γὰρ δόξαι ἐναντίαι εἰσὶν οὐχὶ αἱ τῶν ἐναντίων ἀλλ’ αἱ ἐναντίως, ἕψεται τὸν αὐτὸν τὰς ἐναντίας ἅμα δόξας ἔχειν· καὶ οὕτως οὐκ ἀντιβαίνει τῷ λόγῳ τοῦ ἀγγέλου, εἰ λέγοιτο μὴ δύνασθαι τὸν Θεὸν τὸ προειρημένον ἀδύνατον.**

**[1.3.28] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Θεὸς οὐ δύναται τὸ προειρημένον ἀδύνατον· διὰ τὸ ἀδυνατεῖν αὐτὸ πρὸς τὸν τοῦ δυνάμει λόγον. Καὶ διὰ τοῦτο οὐ λέγεται ἡ δύναμις τοῦ Θεοῦ ὁρίζεσθαι, εἰ καί τι μὴ δύνασθαι λέγεται.**

**[1.3.29] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Θεὸς λέγεται τοῦτο μὴ δύνασθαι, οὐχ ὡσὰν εἰργόμενος, ὡς εἴρηται. Ἀλλ’ ὅτι τοῦτο οὐκ ἔστι τέλος ποιητικῆς ἐνεργείας τινός.**

**[1.3.30] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι ἡ στέρησις οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον καθ’ αὑτήν, δύναται μέντοι κατὰ τὴν αἰτίαν ἐπιδέχεσθαι αὐτό· ὥσπέρ τις μᾶλλον λέγεται τυφλός, ὅταν ἔχῃ τὸν ὀφθαλμὸν ἐκκεκομμένον, ἢ ὅταν τις χυμὸς ὑποδραμὼν ἐπιπροσθῇ τῇ ὄψει. Ταύτῃ δὴ λέγεται καὶ μᾶλλον ἀδύνατον τὸ καθ’ αὑτὸ ἀδύνατον τοῦ ἁπλῶς ἀδυνάτου.**

**[1.3.31] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, ὥσπερ εἴρηται, ὁ Θεὸς οὐ λέγεται τοῦτο μὴ δύνασθαι, ὅτι κωλύεται παρ’ ἄλλου, ἀλλὰ τοῖς προειρημένοις λόγοις.**

**[1.3.32] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ παρθενία οὐκ ἀντίκειται τῇ ὠδῖνι ὥσπερ ἡ τυφλότης τῇ ὄψει, ἀλλ’ ἀντίκειται τῇ συνουσίᾳ τοῦ ἀνδρός, ἧς ἄνευ τεκεῖν ἡ φύσις οὐ δύναται.**

**192-194** Τὸ – ἠθικά] Ar., Metaph. IV, 1005b.19-24: τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό … ἀδύνατον γὰρ ὁντινοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι.

**187** ῥητέον] deest M **189** ὃ – χρῆσις] deest Aq **190** τῶν – ἀληθῆ] deest P **191** φυσικὰ] ἠθικὰ P, M **192** διανοητὸν ἐστί] om. et al. man. add. in marg. sup. M; deest Aq. **195** ἀλλ’ – ἐναντίως] sic P, M; secundum Philosophum Aq **203** λέγεται – τίς] om. et al. man. add. in marg. sup. M **208** ὠδῖνι] ὠδίνι P **209-210** ἡ φύσις] deest P (natura Aq.)

**[1.3.34] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἐκείνη ἡ ἀντίθεσις, τὸ κτιστόν φημι καὶ τὸ ἄκτιστον, οὐκ ἐγένοντο ἐν τῷ Χριστῷ κατὰ τὸ αὐτό, ἀλλὰ κατὰ διαφόρους φύσεις. Ὅθεν οὐχ ἕπεται τὸν Θεὸν δύνασθαι ποιεῖν τὰ ἀντικείμενα, ἐνεῖναι τῷ αὐτῷ κατὰ τὸ αὐτό.**

**[1.3.35] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, ἡνίκα** ὁ **Χριστὸς εἰσῆλθε** τῶν θυρῶν κεκλεισμένων **καὶ δύο σώματα γεγόνασιν ὁμοῦ, οὐ γέγονέ τι παρὰ τὰς γεωμετρικὰς ἀρχάς· καὶ γὰρ εἰς δύο σημεῖα διαφόρων σωμάτων ἐξ ἑνὸς μέρους οὐκ ἔληγε μία γραμμή, ἀλλὰ δύο. Εἰ γὰρ καὶ αἱ δύο γραμμαὶ αἱ μαθηματικαὶ οὐκ εἰσὶ διακεκριμέναι ὅτι μὴ κατὰ τὴν θέσιν, οὕτως ὡς συντεθείσας μὴ νοεῖσθαι δύνασθαι δύο τοιαύτας γραμμὰς εἶναι ὁμοῦ, ὅμως αἱ δύο γραμμαὶ αἱ φυσικαὶ διαιροῦνται ἐν τῷ ὑποκειμένῳ οὕτως, ὥσθ' ὑποτεθέντος δύο σώματα εἶναι ὁμοῦ ἕπεσθαι καὶ δύο γραμμὰς εἶναι και δύο σημεῖα, καὶ δύο ἐπιφανείας.**

**[1.3.36] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι ἡ τοῦ Θεοῦ τέχνη οὐ μόνον ἐκτείνεται πρὸς τὰ γεγονότα, ἀλλὰ καὶ πρὸς πόλλ' ἕτερα. Ὅθεν, ἡνίκα ἔν τινι μεταμείβει τὸν δρόμον τῆς φύσεως, οὐ διατοῦτο παρὰ τὴν αὐτοῦ ἐπιστήμην ποιεῖ.**

**218-219** ὁ – κεκλεισμένων] cf. Io. 20.26: Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· εἰρήνη ὑμῖν.

**221-222** δύο – τὴν] om. et al. man. add. in marg. sin. M **225** γραμμάς] γραμάς [a. corr. ab al. m.] **226** ἐπιφανείας] ἐπειφανείας M **227** τοῦ] τὸ M **227-230** Πρὸς – ποιεῖ] deest Aq

## Κεφάλαιον τέταρτον

## Πότερον τὸ δυνατὸν καὶ τὸ ἀδύνατον ἐν τοῖς θείοις ζητεῖται κατὰ τὰς ὑπερκειμένας αἰτίας ἢ κατὰ τὰς ὑποκειμένας.

[1.4.1] Τέταρτον ζητεῖται, πότερον τὸ δυνατὸν καὶ ἀδύνατον ζητεῖται κατὰ τὰς ὑποκειμένας αἰτίας, ἢ κατὰ τὰς ὑπερκειμένας. Καὶ δοκεῖ ὅτι κατὰ τὰς
P 9r ὑπερκειμένας. | Φησὶ γάρ τις Ἐξήγησις ἐν τῇ πρώτῃ τῆς Πρὸς Κορινθίους· ἡ μωρία τῶν σοφῶν τοῦ κόσμου γέγονεν ὅτι κεκρίκασι τὸ δυνατὸν καὶ ἀδύνατον, κατὰ τὸ ὁρώμενον ἐν τῇ φύσει τῶν ὄντων. Οὐκ ἄρα δεῖ κρίνειν τὸ δυνατὸν καὶ ἀδύνατον, κατὰ τὰς προσεχεῖς αἰτίας, ἀλλὰ κατὰ τὰς πόρρω.

[1.4.2] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ πρῶτον ἐν παντὶ γένει ἐστὶ μέτρον τῶν ὄντων τοῦ αὐτοῦ γένους. Ἀλλ’ ἡ θεία δύναμίς ἐστι πρώτη δύναμις. Κατὰ ταύτην ἄρα διαιτητέον τὸ δυνατὸν καὶ ἀδύνατον.

[1.4.3] Ἔτι, ὅσον ἡ αἰτία μᾶλλον ἐγχεῖται εἰς τὸ ἀποτέλεσμα, τοσοῦτο μᾶλλον κατ’ αὐτὴν χρὴ τὴν κρίσιν λαμβάνεσθαι. Ἀλλ’ ἡ πρώτη αἰτία μᾶλλον ἐπιρρεῖ εἰς τὰ ἀποτελέσματα ἢ ἡ δευτέρα. Κατὰ ταύτην ἄρα μᾶλλον διαιτητέον ἂν εἴη περὶ τοῦ ἀποτελέσματος, εἰ δυνατὸν ἢ ἀδύνατον.

[1.4.4] Ἔτι, τὸ φωτίζειν τυφλούς ἐστιν ἀδύνατον κατὰ τὰς πρὸς ἡμᾶς αἰτίας· καὶ ὅμως τοῦτ’ ἐστὶ δυνατόν, ἐφόσον ἐνίοτε γέγονεν. Οὐ δεῖ ἄρα κρίνειν, εἴ τι ἀδύνατόν ἐστι, κατὰ τὰς προσεχεῖς αἰτίας, ἀλλὰ κατὰ τὰς ὑπὲρ ἡμᾶς.

[1.4.5] Παρὰ ταῦτα τὸ τὸν κόσμον εἶναι δυνατὸν ἦν καὶ πρὶν γένηται. Οὐκ ἦν δὲ δυνατὸν κατὰ τὰς ὑποβεβηκυίας αἰτίας. Ἄρα ταυτό, ὅπερ πρότερον.

[1.4.6] Ἀλλὰ τοὐναντίον, κατ’ ἐκείνην τὴν αἰτίαν δεῖ τὰ ἀποτελέσματα δυνατὰ κρίνειν, καθ’ ἣν λαμβάνουσι τὸ δύνασθαι. Τὸ δ’ ἀποτέλεσμα λαμβάνει τὸ δύνασθαι ἢ ἐνδέχεσθαι ἢ ἐξ ἀνάγκης εἶναι, ἀπὸ τῆς προσεχοῦς αἰτίας. Οὔκουν γε μὴν ἀπὸ τοῦ θείου προορισμοῦ, ὅς ἐστι πορρωτάτω αἰτίᾳ· ὥσπερ τὰ γέρα λαμβάνει τὸ ἐνδέχεσθαι ἀπὸ τῆς αὐτεξουσιότητος ὅπερ ἐστὶν αἰτία προσεχής, οὐ τὴν ἀνάγκην δὲ ἀπὸ τοῦ προορισμοῦ, ἥτις ἐστι πόρρω αἰτία. Κατὰ τὰς ὑποβεβηκυίας ἄρα αἰτίας προσήκει τι κρίνεσθαι δυνατὸν ἢ ἀδύνατον.

**6-8** ἡ – ὄντων] cf. I Cor. 1, 20: Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; **10-11** ἐν – γένους] Ar., Metaph. X, 1052b18-19: τὸ μέτρῳ εἶναι πρώτῳ ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ.

**2** ἐν – θείοις] deest M, Aq **6** τις] τῆς M (quaedam) **23** τοὐναντίον] τοὐναντίου M

[1.4.7] Ἔτι, ὅπέρ ἐστι δυνατὸν κατὰ τὰς ὑποβεβηκυίας αἰτίας, ἐστὶ δυνατὸν καὶ κατὰ τὰς ὑπερκειμένας αἰτίας· καὶ οὕτως ἐστὶ δυνατὸν παντὶ τρόπῳ. Καθὸ δέ ἐστι δυνατὸν κατὰ πάντα τρόπον, ἔστιν ἁπλῶς. Ἄρα κατὰ τὰς ὑποβεβηκυίας δυνάμεις ὑποληπτέον ἐστὶ τὸ δυνατὸν ἁπλῶς.

[1.4.8] Ἔτι, αἱ ὑπερκείμεναι αἰτίαι εἰσὶν ἀναγκαῖαι. Εἰ τοίνυν κατὰ ταύτας δεῖ κρίνειν τὰ ἀποτελέσματα, πάντ᾽ ἔσεται ἀναγκαῖα. Ὅπερ ἐστὶν ἀδύνατον.

[1.4.9] Ἄνευ δὲ τούτων, πάντ᾽ ἐστὶ δυνατὰ τῷ Θεῷ. Εἰ δὴ κατ᾽ αὐτὸν ὑποθετέον ἐστὶ τὸ δυνατὸν καὶ ἀδύνατον καθόλου, οὐδὲν ἔσται ἀδύνατον. Ὅπερ ἄτοπον τυγχάνει ὄν.

[1.4.10] Χωρὶς τὲ τούτων, τοῖς ὀνόμασι χρηστέον, ὡς ὁ πολὺς χρῆται. Ἀλλὰ περὶ τῆς δυνάμεως τούτῳ τῷ τρόπῳ οἱ ἄνθρωποι διαλέγονται, ὅτι τέτακται οὕτως· δύναμις, διάθεσις, φύσις, καὶ τὸ ἐνεργείᾳ. Ταῦτα δὲ εὑρίσκεται ἐν τοῖς ὑποβεβηκόσιν αἰτίοις, οὐκ ἐν τοῖς ἀνέχουσιν. Ἄρ᾽ οὐ δεῖ κρίνειν περὶ τοῦ κατὰ τὰ ὄντα δυνατοῦ κατὰ τὰς ὑπερκειμένας αἰτίας, ἀλλὰ κατὰ τὰς ὑποκειμένας.

[1.4.11] Ἀπόκρισις. Ῥητέον ὅτι ἡ περὶ τοῦ δυνατοῦ καὶ τοῦ ἀδυνάτου κρίσις
P 9v διχῇ θεωρεῖσθαι δύναται· ἑνὶ μὲν τρόπῳ, | τῷ μέρει τῶν κρινόντων, ἑτέρῳ δὲ τῷ μέρει τοῦ περὶ οὗ ἡ κρίσις ἐστίν. Ὅσο πρὸς τὸ πρῶτον ἰστέον ὅτι, εἰ δύο εἰσὶν ἐπιστῆμαι, ὧν ἡ μὲν μία θεωρεῖ τὰς αἰτίας τὰς ἀνωτέρω, ἡ δὲ τὰς ἧττον ἄνω, ἡ κρίσις ἑκατέρα οὐ τῷ αὐτῷ τρόπῳ ληφθήσεται, ἀλλὰ κατὰ τὰς αἰτίας, ἃς ἑκατέρα σκοπεῖται. Ὡς φαίνεται ἔν τε τῷ ἰατρῷ καὶ ἀστρολόγῳ· ὧν ὁ μὲν ἀστρολόγος θεωρεῖ τὰς ὑπερεχούσας αἰτίας, ὁ δὲ ἰατρὸς τὰς προσεχεῖς· ὅθεν ὁ μὲν ἰατρὸς παρέξεται τὴν κρίσιν ὑγείας τε περὶ καὶ θανάτου τοῦ κάμνοντος κατὰ τὰς ἐκ τοῦ σύνεγγυς αἰτίας, τουτέστι τὴν ἰσχὺν τῆς φύσεως καὶ τὴν ἰσχὺν τοῦ νοσήματος, ὁ δὲ ἀστρολόγος κατὰ τὰ πόρρω αἴτια, εἴτουν κατὰ τὴν θέσιν τῶν ἀστέρων. Ὁ δ᾽ αὐτὸς τρόπος ἐστὶ καὶ ἐπὶ τῶν προκειμένων. Ἔστι γὰρ διττὴ ἡ σοφία, δηλαδὴ ἡ κοσμική, ἥτις καλεῖται φιλοσοφία, ἣ σκοπεῖ τὰς ὑποβεβηκυίας αἰτίας, εἴτουν τὰς μερικάς, καὶ κατὰ ταύτας κρίνει, καὶ ἡ θεία, ἥτις λέγεται θεολογία, ἣ θεωρεῖ τὰς ὑπερκειμένας αἰτίας, εἴτουν τὰς θείας, καθ᾽ ἃς κρίνει. Λέγονται δὲ ὑπερκείμεναι αἰτίαι, ὅσα τῷ Θεῷ ἀνατιθέαμεν, οἷον ἡ σοφία, ἡ ἀγαθότης, ἡ θέλησις, καὶ τὰ ὁμόστοιχα.

**44** ῥητέον] deest et ζητητέον al. man. add. in marg. sup. M **44-45** τοῦ[2] – κρινόντων] om. et al. man. add. in marg. sin. M **46** ἰστέον] ἰστέων M **53** εἴτουν] ἤτουν P; ἤγουν M (scilicet Aq) **56** εἴτουν] ἤγουν M (scilicet Aq) | μερικὰς] sic P, M; causatas Aq.

Ἰστέον δὲ ὅτι ἥδε ἡ ζήτησις μάτην κινεῖται περὶ τῶν δημιουργημάτων, ὅσα οὐχ οἷόν τε εἶναι εἰ μὴ τῶν ὑπερκειμένων αἰτιῶν, ἃ ὁ Θεὸς δηλαδὴ μόνος ποιεῖ (ἐκεῖνα γὰρ ἀπέοικε λέγειν δυνατὰ κατὰ τὰς ὑφειμένας αἰτίας), ἀλλ' αὕτη ἡ ζήτησις κινεῖται περὶ τῶν ἀποτελεσμάτων ἐκείνων, ὅσα τῶν ὑποβεβηκυιῶν αἰτιῶν εἰσί. Ταῦτα γὰρ εἰσὶ καὶ τῶν ὑπερεχουσῶν· οὕτω γὰρ ὑπὸ ἀπορίαν δύναται πίπτειν. Παραπλησίως τε καὶ αὕτη ἡ ζήτησις οὐκ ἔχει χώραν ἐν τοῖς δυνατοῖς ἢ ἀδυνάτοις, ὅσα μὴ λέγεται κατά τινα δύναμιν, ἀλλὰ καθ' αὑτά, ἀλλὰ τὰ ἀποτελέσματα τῶν δευτέρων αἰτιῶν, περὶ ὧν ἐστι καὶ ἡ ζήτησις, κατὰ μὲν τὴν τοῦ θεολόγου κρίσιν λέγονται δυνατὰ ἢ ἀδύνατα κατὰ τὰς ὑπερεχούσας αἰτίας, κατὰ δὲ τὴν τοῦ φιλοσόφου κρίσιν δυνατὰ ἢ ἀδύνατα κατὰ τὰς προσεχεῖς αἰτίας. Εἰ δὲ ἡ κρίσις θεωρεῖται ὅσον πρὸς τὴν φύσιν τοῦ περὶ οὗ ἡ κρίσις ἐστίν, ὡδὶ δοκεῖ ὅτι τὰ ἀποτελέσματα ὀφείλει κρίνεσθαι δυνατὰ ἢ ἀδύνατα κατὰ τὰς προσεχεῖς αἰτίας, ἐφόσον ἡ ἐνέργεια τῶν ὑπερβεβηκυιῶν διορίζεται κατὰ τὰ προσεχῆ αἴτια, ἃ ἐξόχως τὰ ἀποτελέσματα μιμεῖται. Οὕτω δὲ φαίνεται διὰ τοῦ ὁμοίου, καὶ ἐκ τῆς παθητικῆς δυνάμεως. Ἡ γὰρ ὕλη οὐ λέγεται κατὰ τὸν ἀκριβῆ τρόπον τῆς διαλέξεως πρός τι οὖσα πόρρω, ὥσπερ ἡ γῆ πρὸς τὸν σκῦφον· ἀλλὰ πρὸς τὴν δύναμιν τὴν ἐγγὺς καὶ δι' ἑνὸς κινοῦντος δυναμένην ἐκβῆναι εἰς ἐνέργειαν, ὥσπερ φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά· καθάπερ ὁ χρυσός ἐστι δυνάμει σκῦφος μόνης τῆς τέχνης ἐκφερούσης εἰς ἐνέργειαν. | P 10r Ὁμοίως οὖν καὶ τὰ ἀποτελέσματα, οὔκουν εἰ μὴ κατὰ τὰς προσεχεῖς αἰτίας δυνατὰ ἢ ἀδύνατα λέγονται.

[1.4.12] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι οἱ σοφοὶ τοῦ κόσμου διατοῦτο μωροὶ διαφέρουσι τὸν βίον, ὅτι τὰ κατὰ τὰς ὑποβεβηκυίας δυνάμεις ἀδύνατα ἁπλῶς καὶ ἀπολελυμένως ἀδύνατα ἔκριναν καὶ τῷ Θεῷ.

[1.4.13] Πρὸς δεύτερον ῥητέον, ὅτι ἡ παράθεσις τοῦ δυνατοῦ πρὸς τὴν δύναμιν, οὐκ ἔστιν ὥσπερ τοῦ μετρίου πρὸς τὸ μέτρον, ἀλλ' ὥσπερ ἀντικειμένου τῇ δυνάμει. Προσήκει μέντοι τῇ θείᾳ δυνάμει πασῶν τῶν δυνάμεων εἶναι μέτρον.

[1.4.14] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ καὶ ἡ πρώτη αἰτία μᾶλλον ἐπιρρεῖ εἰς τὰ ἀποτελέσματα, ὅμως ἡ αὐτῆς ἐπίρροια διὰ τῆς προσεχοῦς ὁρίζεται καὶ εἰδοποιεῖται. Καὶ διατοῦτο τὴν ταύτης ὁμοιότητα μιμεῖται τὸ ἀποτέλεσμα.

**77-78** ἐν – φυσικά] Ar., Metaph. IX, 1046a.11-13: ἡ μὲν γὰρ τοῦ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλου ἢ ᾗ ἄλλο·

**61** ποιεῖ] facere potest Aq **74** διὰ] δειὰ a. corr. M **74-75** ἐκ – διαλέξεως] om. et al. man. add. in marg. sin. M **77-78** ἐν – φυσικά] deest Aq **81** οὖν ῥητέον] deest M **83** καὶ] deest P (etiam Aq) **84** ῥητέον] deest M **86** τῇ – εἶναι] om. et al. man. add. in marg. sin. M **88** ῥητέον] deest M

**[1.4.15] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, εἰ καὶ τὸ φωτίζειν τυφλοὺς ἔστι τῷ Θεῷ δυνατόν, οὐ δύναται ὅμως λέγεσθαι καθόλου δυνατόν.**

**[1.4.16] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ εἶναι τὸν κόσμον, ἐστὶν ἀποτέλεσμα τῶν πρώτων αἰτιῶν· ὅθεν οὐ διαφέρει τοῦτο, ταῖς ἐπὶ τάδε αἰτίαις. Καὶ πρὸς τούτοις τουτὶ τὸ ἔπος τὸ τὸν κόσμον εἶναι, ἐστὶ δυνατὸν οὐ μόνον κατὰ τὴν θείαν δύναμιν τὴν ποιητικήν, ἀλλὰ καὶ καθ' αὐτό· οὐ γὰρ ἔχουσιν οἱ ὅροι ἀκαταλληλίαν.**

**[1.4.17] Πρὸς δὲ τὸ πρῶτον τὸ ἐκ τοῦ ἐναντίου ἀντιφερόμενον ῥητέον, ὅτι ὁ λόγος πρόεισιν ὅσον πρὸς τὴν φύσιν τοῦ ἀποτελέσματος περὶ οὗ ἡ κρίσις.**

**[1.4.18] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι, εἰ καὶ ὅπερ ἐστὶ δυνατὸν κατὰ τὰς ὑφειμένας αἰτίας, ἐστὶ καὶ κατὰ τὰς ὑπερκειμένας, ὅμως οὐκ ἔστιν οὕτω καὶ περὶ τοῦ ἀδυνάτου, μᾶλλον μὲν οὖν τὸ ἐναντίον. Ὅθεν οὐχ ἕπεται τὴν κρίσιν ὀφείλειν λαμβάνεσθαι καθόλου κατὰ τὰς ὑφειμένας αἰτίας δυνατοῦ τε πέρι καὶ ἀδυνάτου.**

**[1.4.19] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι οὐ κρίνονταί τινα δυνατὰ ἢ ἀδύνατα, κατά τινας αἰτίας, ὅτι εἰσὶν ὅμοια ταῖς αἰτίαις ἐκείναις τῷ δυνατῷ καὶ ἀδυνάτῳ, ἀλλ' ὅτι ἐκείναις ταῖς αἰτίαις εἰσὶ δυνατὰ ἢ ἀδύνατα.**

**[1.4.20] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι κατὰ τὴν τοῦ θεολόγου ἐπιστήμην πάνθ' ὅσα οὐκ εἰσὶ καθ' αὐτὰ ἀδύνατα δυνατὰ λέγονται, κατ' ἐκεῖνο,** πάντα δυνατὰ τῷ πιστεύοντι· **καὶ** οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα**.**

**[1.4.21] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, εἰ καὶ πάντ' ἐκεῖνα ἐν ταῖς ὑπερκειμέναις αἰτίαις οὐχ εὑρίσκεται, ὅμως αὐταῖς ὑπόκειται. Χωρὶς δὲ τούτων, ἡ ἀντίθεσις ἐκείνη πρόεισιν ἐκ τῆς δυνάμεως τῆς παθητικῆς, οὐκ ἐκ τῆς ποιητικῆς, ἧς περὶ νῦν διαλεγόμεθα.**

**108-109** κατ' – πιστεύοντι] Mc. 9, 23 (non 22): πάντα δυνατὰ τῷ πιστεύοντι. **109-110** πᾶν – ῥῆμα] Lc. 1, 37: ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ρῆμα.

**13** ἧς] om. et al. man. add. in marg. sup. M

## Κεφάλαιον πέμπτον

## Πότερον ὁ Θεὸς δύναται ποιεῖν ἃ μὴ ποιεῖ καὶ λιπεῖν ἃ ποιεῖ.

**[1.5.1] Πέμπτον ζητεῖται, πότερον ὁ Θεὸς δύναται ποιεῖν ἃ μὴ ποιεῖ καὶ λιπεῖν ἃ ποιεῖ. Καὶ δοκεῖ μή. Ὁ γὰρ Θεὸς οὐ δύναται ποιεῖν, εἰ μὴ ἃ προεῖδεν ἑαυτὸν ποιήσοντα. Ἀλλ' οὐ προεῖδεν ἑαυτὸν ποιήσοντα, εἰ μὴ ἃ ποιεῖ. Ὁ Θεὸς ἄρα οὐ δύναται ποιεῖν, εἰ μὴ ἃ ποιεῖ.**

**[1.5.2] Ἀλλ' ἔλεγεν ὁ ἀποκρινόμενος, ὅτι ὁ λόγος οὗτος πρόεισιν ἐκ τῆς |** P 10v **δυνάμεως ταττομένης πρὸς τὴν πρόγνωσιν, οὐ περὶ τῆς ἁπλῶς δυνάμεως. Ἀλλὰ τοὐναντίον· ἀμεταβλητότερα τὰ θεῖα τῶν ἀνθρωπίνων ἐστίν. Ἀλλὰ παρ' ἡμῖν τὰ γεγονότα οὐχ οἷά τε μὴ γενέσθαι. Πολλῷ τοίνυν ἔλαττον τὰ προεγνωσμένα τῷ Θεῷ, οὐ δύναται μὴ προεγνῶσθαι. Τῆς δὲ προγνώσεως μενούσης οὐ δύναται ἄλλα ποιεῖν. Ἆρ' ὁ Θεὸς ἀπολύτως οὐ δύναται ποιεῖν ἄλλα ἢ ἃ ποιεῖ.**

**[1.5.3] Ἔτι, ὥσπερ ἡ θεία φύσις ἐστὶν ἀμετάβλητος, οὕτω καὶ ἡ θεία σοφία. Ἀλλ' οἱ τιθέντες τὸν Θεὸν ποιεῖν ἀνάγκῃ φύσεως ἠξίουν αὐτὸν μὴ δύνασθαι ἄλλα ποιεῖν ἢ ἃ ποιεῖ. Τὸ ὅμοιον τοίνυν καὶ ἡμᾶς ὑποτίθεσθαι χρή, οἵ φαμεν τὸν Θεὸν ποιεῖν τῇ τάξει τῆς σοφίας.**

**[1.5.4] Ἀλλ' ἔλεγεν ὁ ἀποκρινόμενος, ὅτι ὁ λόγος οὗτος πρόεισιν ἐκ τῆς δυνάμεως, ἣν ἡ σοφία κανονίζει, οὐκ ἐκ τῆς ἀπολύτου δυνάμεως. Ἀλλὰ τοὐναντίον· τοῦθ' ὅπερ οὐ δύναται γενέσθαι ἀποσκοποῦσιν εἰς τὴν σοφίαν, ἀπολελυμένως τῷ θεανθρώπῳ Χριστῷ ἀδύνατον λέγεται, εἰ καὶ τοῦτ' ἐδύνατο ἐκ τῆς ἁπλῶς δυνάμεως. Λέγεται γὰρ ἐν τῷ Κατὰ Ἰωάννην·** καὶ ἐὰν εἴπῳ ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῖν ψεύστης. **Ἠδύνατο γὰρ ὁ Χριστὸς ταῦτα τὰ ῥήματα εἰπεῖν, ἀλλ' ὅτι παρὰ τὴν πρὸς τὴν σοφίαν τάξιν ἦν, λέγεται ἀπολελυμένως ὅτι ὁ Χριστὸς οὐκ ἠδύνατο ψεύσασθαι. Πολλῷ ἄρα μᾶλλον ὅπερ οὐκ ἔστιν ἐκ τοῦ μέρους τοῦ πρὸς τὴν σοφίαν ἁπλῶς διαλεγομένοις ὁ Θεὸς οὐ δύναται.**

**[1.5.5] Παρὰ ταῦτα, ἐν τῷ Θεῷ δύο ἀντιφάσεις οὐ δύνανται εἶναι. Ἀλλὰ τὸ ἀπολελυμένον καὶ κεκανονισμένον ἀντίφασιν συνεισάγει· ἀπολελυμένον γάρ ἐστιν, ὃ καθ' αὐτὸ νοεῖται, τὸ δὲ κεκανονισμένον τάξιν ἔχει πρὸς ἄλλο. Οὐ δεῖ ἄρα τίθεσθαι δύναμιν ἀπολελυμένην καὶ κεκανονισμένην.**

**21-22** ἐν – ψεύστης] Io. 8, 55: καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης.

**13-14** φύσις – ποιεῖν] om. et al. man. add. in marg. sin. M

**[1.5.6] Χωρὶς δὲ τούτων, ἡ δύναμις καὶ ἡ σοφία τοῦ Θεοῦ εἰσὶν ἴσα καὶ ἀτέρα τὴν ἑτέραν οὐχ ὑπερβαίνει. Δύναμις τοίνυν ἄνευ σοφίας οὐ δύναται εἶναι. Ὡδὶ δὲ ἡ θεία δύναμις κανονίζεται, ἀλλὰ ὑπὸ τῆς θείας σοφίας.**

**[1.5.7] Ἐπὶ δὲ τούτοις, ὅπερ ὁ Θεὸς ποιεῖ, δίκαιον ἐστίν. Ἀλλ' οὐδὲ ποιῆσαι δύνατ' ἄν, ὅ τι μὴ δίκαιον. Ἄρα οὐ δύναται ποιεῖν εἰ μὴ ὃ πεποίηκεν, οὐδὲ ποιήσει.**

**[1.5.8] Ἔτι, τῆς θείας ἀγαθότητός ἐστι μὴ μόνον κοινωνεῖν ἑαυτῆς τοῖς οὖσιν, ἀλλὰ καὶ σὺν ὅτι μάλιστα τάξει κοινωνεῖν. Οὕτω τοίνυν τὰ ὑπὸ τοῦ Θεοῦ γενόμενα μετὰ τοῦ τεταγμένου γίνεται. Ἀλλὰ παρὰ τὴν τάξιν ὁ Θεὸς οὐ δύναται. Καὶ ταύτῃ οὐ δύναται ποιεῖν ἄλλα ἢ ἃ ποιεῖ.**

**[1.5.9] Πρὸς τούτοις, ὁ Θεὸς οὐ δύναται ποιεῖν εἰ μὴ ἃ βούλεται· ἐν γὰρ τοῖς ποιοῦσι κατὰ θέλησιν ἡ δύναμις ἕπεται τῇ θελήσει ὡσανεὶ ἐπιταττούσῃ. Ἀλλ' οὐ θέλει εἰ μὴ ἃ ποιεῖ. Ἄρ' οὐ δύναται ποιεῖν, εἰ μὴ ἃ ποιεῖ.**

**[1.5.10] Ἔτι, ἐφόσον ὁ Θεός ἐστι σοφώτατος δημιουργός, οὐδὲν ποιεῖ ἄνευ λόγου. Τοὺς δὲ λόγους οἷς ὁ Θεὸς δημιουργεῖ, φησὶν ὁ Διονύσιος ἐν τῷ πέμπτῳ τοῦ Περὶ θείων ὀνομάτων, εἶναι παρακτικοὺς τῶν ὄντων. Ὄντα δέ εἰσιν ἃ ἐστί. Καὶ ταύτῃ ὁ Θεὸς οὐκ ἔχει τοὺς λόγους εἰ μὴ τῶν ὄντων. Ἄρα οὐ |**
P 11r **δύναται εἰ μὴ ἃ ποιεῖ.**

**[1.5.11] Ἔτι, κατὰ τοὺς φιλοσόφους τὰ φυσικὰ πράγματα ἔστιν ἐν τῷ πρώτως κινοῦντι, ὅς ἐστιν ὁ Θεός, καθάπερ τὰ τεχνητὰ ἐν τῷ τεχνίτῃ· καὶ οὕτως ὁ Θεὸς ποιεῖ καθάπερ τεχνίτης. Ἀλλ' ὁ τεχνίτης οὐ ποιεῖ ἄνευ παραδειγμάτων, ἢ ἰδέας τοῦ ἰδίου ἔργου· ὁ γὰρ οἶκος ὁ ἐν τῇ ὕλῃ ἔστιν ἐκ τοῦ οἴκου τοῦ ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου, κατὰ τὸν Φιλόσοφον. Ἀλλ' ὁ Θεὸς οὐκ ἔχει ἰδέας ὅτι μὴ ὧν κατεσκεύασεν ἢ κατασκευάζει ἢ κατασκευάσει. Ἄρα παρὰ ταῦτα ὁ Θεὸς οὐδὲν ποιεῖν δύναται.**

**[5.12] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ τοῦ συμβόλου βιβλίῳ φησί·** τοῦτο μόνον ὁ Θεὸς οὐ δύναται, ὅπερ οὐ θέλει. **Ἀλλ' οὐ θέλει εἰ μὴ ἃ ποιεῖ. Ἄρ' οὐ δύναται εἰ μὴ ἃ ποιεῖ.**

**[1.5.13] Χωρὶς δὲ τούτων, ὁ Θεὸς μεταβάλλειν οὐ δύναται. Ἄρ' οὐδὲ ἔχει πρὸς ὁπότερον τῶν ἐναντίων. Καὶ οὕτως ἡ δύναμις αὐτοῦ ἔστιν, ὡρισμένη πρὸς ἕν. Ἄρ' οὐ δύναται ποιεῖν, εἰ μὴ ἃ ποιεῖ.**

**44-45** τοὺς – ὄντων] Ps.-Dion., De div. nom., cap 1, n. 5 (PG 3, col. 593D, Ritter p. 117): Ἐπειδὴ δὲ ὡς ἀγαθότητος ὕπαρξις αὐτῷ τῷ εἶναι πάντων ἐστὶ τῶν ὄντων αἰτία, τὴν ἀγαθαρχικὴν τῆς θεαρχίας πρόνοιαν ἐκ πάντων τῶν αἰτιατῶν ὑμνητέον. Ἐπεὶ καὶ περὶ αὐτὴν πάντα καὶ αὐτῆς ἕνεκα, καὶ αὐτή ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῇ συνέστη κενῆ. **50-52** ὁ -- Φιλόσοφον] Ar., De gen. an. II. **54-55** ὁ -- θέλει] Aug., De fid. et symb. II.

**33** ἀλλὰ] ἀμὴ scr. et del. M; semper Aq **35** ἄν] bis acc. P, M **44-45** ἐν – ὀνομάτων] deest Aq **45-46** ὄντα – ὄντων] om. et al. man. add. in marg. dex. M **53-54** ὧν – οὐδὲν] om. et al. man. add. in marg. dex. M 55-57 Ἄρ' – δύναται] om. et al. man. add. in marg. sin. M

**[1.5.14] Ἔτι, ὅπερ ὁ Θεὸς ποιεῖ ἢ μεθίησι, τῷ ἀρίστῳ λόγῳ ποιεῖ ἢ μεθίησιν. Ἀλλ’ οὐδὲ δύναται ποιεῖν ἢ μεθιέναι εἰ μὴ τῷ ἀρίστῳ λόγῳ. Οὐ δύναται ποιεῖν ἄρα ἢ μεθιέναι εἰ μὴ ἃ ποιεῖ ἢ μεθίησιν.**

**[1.5.15] Ἔξω δὲ τούτων, τοῦ ἀρίστου ἐστὶ τὸ ἄριστα παράγειν κατὰ Πλάτωνα. Καὶ οὕτως, ἐπεὶ ὁ Θεὸς ἄριστος ἐστί, τὸ ἄριστον ποιεῖ. Ἀλλὰ τὸ ἄριστον ὑπερθετικὸν ὄν, ἑνί γε τρόπῳ ἐστίν. Ὁ Θεὸς ἄρα οὐ δύναται ποιεῖν ἑτέρῳ τρόπῳ, ἢ ἄλλα, ἢ ἃ ποιεῖ. Ἀλλ’ ἐναντίον ἐστίν, ὅ φησιν ὁ θεάνθρωπος Χριστὸς ἐν τῷ Κατὰ Ματθαῖον εἰκοστῷ καὶ ἕκτῳ·** ἢ οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα **καὶ τὰ λοιπά. Ἠδύνατο τοίνυν ὁ Χριστὸς ὅπερ οὐκ ἐποίει.**

**[1.5.16] Ἔτι, ἐν τῷ τρίτῳ τῆς Πρὸς Ἐφεσίους λέγεται·** τῷ δὲ δυναμένῳ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν νοοῦμεν ἢ αἰτούμεθα. **Καὶ μὲν δὴ οὐ πάντα ποιεῖ. Ὥστε δύναται ποιεῖν ἄλλα ὧν ποιεῖ.**

**[1.5.17] Ἄνευ δὲ τούτων, ἡ τοῦ Θεοῦ δύναμίς ἐστιν ἄπειρος. Τοῦτο δὲ οὐκ ἂν εἴη, εἰ ὁρίζοιτο πρὸς ἃ μόνον ποιεῖ. Ἄρα δύναται ποιεῖν ἄλλα ἢ ἃ ποιεῖ.**

**[1.5.18] Ἔτι, ὁ Οὖγγος ὁ ἐκ τοῦ Ἁγίου Βίκτορος λέγει ὅτι τῇ παντοδυναμότητι τοῦ Θεοῦ οὐ παρισοῦται τὸ ἔργον. Ἄρα ἡ δύναμις ὑπερεκπίπτει τὸ ἔργον. Καὶ ταύτῃ δύναται πλείω ποιεῖν ὧν ποιεῖ.**

**[1.5.19] Ἔτι, ἡ δύναμις τοῦ Θεοῦ ἐστιν ἄπειρος· οὐδὲ γὰρ περαίνεταί τι. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ ὁρίζοιτο ὑπὸ τοῖς γινομένοις δι’ αὐτοῦ. Ἄρα ταυτό, ὅπερ πρῴην.**

**[1.5.20] Ἀπόκρισις. Ῥητέον ὅτι αὕτη ἡ πλάνη, δηλαδὴ τὸν Θεὸν μὴ δύνασθαι ποιεῖν, εἰ μὴ ἃ ποιεῖ, δυοῖν γέγονε. Πρῶτον μὲν φιλοσόφων τινῶν ἀξιούντων τὸν Θεὸν ποιεῖν ἀνάγκῃ φύσεως· ὅπερ εἰ εἴη, τῆς φύσεως ἐνεργούσης ὡρισμένως πρὸς ἓν ἡ θεία φύσις ἐκτείνειν ἑαυτὴν πρὸς ἄλλα ποιήματα οὐκ ἂν δύναιτο ἢ πρὸς ταῦθ’ ἃ ποιεῖ. Ἔπειτα γέγονε θεολόγων τινῶν κατανοούντων τὴν τάξιν τῆς θείας δικαιοσύνης καὶ τῆς σοφίας, καθ’ ἣν εἰσὶν ἐκ τοῦ Θεοῦ τὰ ὄντα, ἣν παραβαθῆναι οὐχ οἷόν τε ἔφασαν· διά τοι τοῦτο κατηνέχθησαν εἰς τὸ λέγειν ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν εἰ μὴ ἃ ποιεῖ. Καὶ προσ|τρίβονται τήνδε**
P 11v **τὴν ἀπάτην τῷ διδασκάλῳ Πέτρῳ τῷ Λωμπάρδῳ.**

**63** τοῦ – Πλάτωνα] Vide [5.1.14]. **67-68** ἢ – Πατέρα] Mt. 26, 53: Ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου **69-70** ἐν – αἰτούμεθα] Eph. 3, 20: Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν. **74-75** ὁ – ἔργον] locum non inveni.

**61** ἄρα] deest M (ergo Aq) **67** Ματθαῖον] Ματθαίου M **70** α(ἰτούμεθα)] κ a. corr. M **74** Οὖγγος] ὁ οὖν λόγος M (Hugo Aq) | ὁ ἐκ] deest M **77** τι] τῷ M **83** γέγονε] γέγονεν M **85** παραβαθῆναι] παραβαθῦναι P **87** Πέτρῳ] Πειέρῳ P | Λωμπάρδῳ] Petrus Lombardus (1095/1100-21/22 Iulii 1160), theologus, episcopus Parisiensis (die 29 Iulii 1159 consecratus); Almalareo Aq [Abaelardo?]

**Τούτων δὲ τῶν λόγων τήν τε ἀλήθειαν καὶ τὸ ψεῦδος ἴθι δὴ ἐπιζητήσωμεν. Καὶ πρῶτον μὲν τὸ πρῶτον. Ὅτι μὲν γὰρ ὁ Θεὸς οὐ ποιεῖ ἀνάγκῃ φύσεως σαφὲς διιδεῖν. Πᾶν γὰρ τὸ ποιοῦν ποιεῖ ἕνεκα τέλους (τοῦ γὰρ** ἀγαθοῦ πάντα ἐφίεται)**· ἡ δὲ ποίησις τοῦ ποιοῦντος ὡσὰν γένοιτο προσήκουσα τῷ τέλει, δεῖ προσαρμόζεσθαι αὐτῷ καὶ ἀναλογεῖν. Ὅπερ οὐχ οἷόν τε γενέσθαι, εἰ μὴ ὑπό τινος νοῦ, ὃς τὸ τέλος καὶ τὸν λόγον τοῦ τέλους οἶδε, καὶ τὴν ἀναλογίαν τοῦ τέλους πρὸς τὸ πρὸς τὸ τέλος· ἄλλως γὰρ ἡ πρόσφυσις τοῦ τέλους πρὸς τὴν ἐνέργειαν ἀπὸ ταυτομάτου γένοιτ’ ἄν. Ἀλλ’ ὁ νοῦς ὁ τὸ τέλος σκοπῶν ἐνίοτε μὲν συνέζευκται τῷ ποιοῦντι ἢ τῷ κινοῦντι, ὡς τῷ ἀνθρώπῳ ἐν ταῖς ἑαυτοῦ πράξεσιν· ἐνίοτε δὲ ἀπήρτηται, ὡς φαίνεται ἐν τῷ βέλει, ὃ πρὸς ὡρισμένον τείνει τέλος οὐ διὰ νοῦ συνημμένου αὐτῷ, ἀλλὰ διὰ τοῦ ἀνθρωπείου νοῦ, ἰθύνοντος αὐτό. Ἀδύνατον δέ ἐστι τὸ ποιοῦν τι ἀνάγκῃ φύσεως ὁρίζειν ἑαυτῷ τέλος, ὅτι πᾶν ὅπέρ ἐστι τοιοῦτον, οἷον ὁρίζειν ἑαυτῷ τέλος, ἀφ’ ἑαυτοῦ ποιεῖ· ὃ δὲ ἀφ’ ἑαυτοῦ ποιεῖ ἢ κινεῖται, ἐπ’ αὐτῷ ἐστι τὸ ποιεῖν καὶ μὴ ποιεῖν καὶ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν. Τὸ τοιοῦτον δὲ οὐ δύναται προσήκειν τῷ ἐξ ἀνάγκης κινουμένῳ, ἐφόσον ἐστὶ πρὸς ἓν ὡρισμένον. Ὅθεν χρὴ παντὶ τῷ ἐξ ἀνάγκης ποιοῦντι ὁρίζεσθαι τέλος παρ’ ἄλλου, ὅπέρ ἐστιν νοῦς. Διά τοι τοῦτο καὶ παρὰ τοῖς φυσικοῖς λέγεται ὅτι τὸ τῆς φύσεως ἔργόν ἐστιν νοήσεως ἔργον. Ὅθεν ἀνάγκη, εἴ ποτέ τι φυσικὸν σῶμα συζεύγνυται νῷ τινί, ὥσπερ τὸ ἀνθρώπινον φαίνεται ὅσον πρὸς ἐκείνας τὰς ἐνεργείας, αἷς ὁ νοῦς αὐτῷ τὸ τέλος ὁρίζεται, εἴκει τῇ θελήσει ἡ φύσις, ὥσπερ ἐκ τῆς κατὰ τόπον κινήσεως τοῦ ἀνθρώπου προφανὲς γίνεται· ὅσον δὲ πρὸς τὰς ἐνεργείας ἐκείνας, ἐν αἷς τέλος αὐτῷ μὴ ὁρίζεται, ὁ νοῦς οὐκ εἴκει, ᾗ δὴ φαίνεται ἐν τῇ ἐνεργείᾳ τῆς θρέψεως καὶ αὐξήσεως. Ἐκ τούτων τοίνυν ἀξιοῦται πᾶν τὸ ποιοῦν ἀνάγκῃ φύσεως μὴ δύνασθαι εἶναι πρώτως ποιοῦν, ἐφόσον ὁρίζεται αὐτῷ τέλος παρ’ ἄλλου. Καὶ οὕτω φαίνεται ἀδύνατον ὂν τὸν Θεὸν ἀνάγκῃ φύσεως ποιεῖν. Καὶ οὕτω τοι ἡ ῥίζα τῆς πρώτης θέσεως ψευδής ἐστί. Μετὰ δὲ τοῦτο λείπεται εἰς ἴχνος βαίνειν περὶ τῆς δευτέρας ὑποθέσεως. Περὶ ὃ ἐπιστητέον ἂν εἴη, ὅτι διττῶς λέγεταί τις μὴ δύνασθαί τι. Ἑνὶ μὲν τρόπῳ ἀπολελυμένως, ὅταν δηλαδή τι τῶν ἀναγκαίων ἀρχῶν τῇ ἐνεργείᾳ πρὸς αὐτὴν τὴν ἐνέργειαν οὐ πάρεστιν· οἷον φέρε εἰπεῖν, ὁ τὼ πόδε συνιζηκὼς ἄνθρωπος, οὐ**

**90-91** τοῦ – ἐφίεται] Ar., Eth. nic. I, 1094a2-3 προαίρεσις, ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ· διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντ' ἐφίεται. **100-102** ὃ – Φυσικῶν] Ar., Phys. VIII: locum non inveni.

**91** ὡσὰν] ὡσᾂν P **93-94** καὶ – τέλος] om. et al. man. add. in marg. sin. M **95** ἄν] bis acc. P, M **98** συνημμένου] συνημμαίνου M **105** φυσικοῖς] philosophis Aq **111** αὐξησεως] αὐξήσει P **117** δηλαδὴ] δηλωδὴ M **118** συνιζηκὼς] συνιζικὼς P

δύναται βαδίζειν. Ἑτέρῳ τρόπῳ ἐξ ὑποθέσεως· τεθέντος γὰρ τοῦ ἀντικειμένου τινὶ ἐνεργείᾳ ἡ ἐνέργεια γίνεσθαι οὐ δύναται· οὐ γὰρ δύναμαι βαδίζειν καθήμενος. Ἐπεὶ τοίνυν ὁ Θεός ἐστι ποιοῦν θελήσει, καὶ νῷ ὡς ἀποδέδεικται, ἀναγκαῖον τρεῖς ἐπινοεῖν ἀρχὰς ἐν αὐτῷ· πρῶτον, νοῦν· δεύτερον, θέλησιν· τρίτον, δύναμιν
P 11v φύσεως. Ὁ νοῦς τοίνυν | τὴν θέλησιν ἰθύνει, ἡ δὲ θέλησις τῇ δυνάμει ἐπιτάττει, αὕτη δὲ διαπράττεται. Ἀλλ’ ὁ νοῦς οὐ κινεῖ εἰ μὴ ἐφόσον τῇ θελήσει τὸ ὀρεκτὸν αὐτῇ προτίθεται. Ὅθεν τὸ ὅλον κινεῖται νῷ καὶ θελήσει. Ἀλλὰ τὸν Θεόν φαμεν διχῇ τὸ μὴ δύνασθαι. Ἑνὶ μὲν τρόπῳ ἀπολελυμένως, ὅταν ἡ δύναμις τοῦ Θεοῦ οὐκ ἐξικνῆται πρὸς ἐκεῖνο· ὥσπερ φαμὲν ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα καὶ ἀληθῆ, ὡς ἐκ τῶν ὑπηγορευμένων φαίνεται. Οὕτω δὲ οὐ δύναται ῥηθῆναι, ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν εἰ μὴ ἃ ποιεῖ· ἔστι γὰρ τὴν δύναμιν τοῦ Θεοῦ δύνασθαι, καὶ εἰς ἄλλα διίσχειν. Ἑτέρῳ τρόπῳ, ἡνίκα ἡ βούλησις τοῦ Θεοῦ πρὸς ἐκεῖνο ἐκτείνεσθαι οὐ δύναται. Ἀναγκαῖον γὰρ ἡντιναοῦν θέλησιν ἔχειν τι τέλος ὃ φυσικῶς θέλει καὶ ἐνεργείας, τὸ ἐναντίον δὲ θέλειν μὴ δύνασθαι· καθάπερ δὴ ὁ ἄνθρωπος φύσει, καὶ ἐξ ἀνάγκης θέλει τὴν μακαριότητα καὶ τὴν ἀθλιότητα οὐ βούλεται. Ἐφόσον δὲ ἡ θέλησις θέλει ἀνάγκῃ τὸ φύσει ἴδιον τέλος, θέλει κἀκεῖνα ἐξ ἀνάγκης, ὧν ἄνευ τοῦ τέλους ἐφικέσθαι οὐ δύναται εἴ γε τοῦτο συμβαίνει, καὶ ταῦτ’ ἐστὶ τὰ συμμετρούμενα τῷ τέλει· ὥσπερ εἰ θέλω τὴν ζωήν, θέλω τὸν σῖτον· ὧν δ’ ἄνευ τοῦ τέλους τυγχάνειν δύναται, καὶ ἃ μὴ συμμετρεῖται τῷ τέλει, οὐκ ἐξ ἀνάγκης θέλει ταῦτα. Τέλος τοίνυν φυσικὸν τῆς τοῦ Θεοῦ θελήσεώς ἐστιν ἡ ἀγαθότης αὐτοῦ, ἣν μὴ θέλειν οὐ δύναται. Ἀλλὰ τούτῳ τῷ τέλει οὐκ εἰς ἴσον ἥκουσι τὰ κτίσματα, ὥστε τούτων ἄνευ τὴν θείαν ἀγαθότητα φανερὰν γίνεσθαι μὴ δύνασθαι· ὅπερ ὁ Θεὸς ἐκ τῶν κτισμάτων σκοπεῖ. Καθάπερ γὰρ ἡ τοῦ Θεοῦ ἀγαθότης φαίνεται διὰ τῶν ὄντων δημιουργημάτων καὶ τῆσδε τῶν ὄντων τάξεως, ὡς δὲ καὶ δι’ ἄλλων κτισμάτων δύναται φαίνεσθαι καὶ ἄλλῳ τρόπῳ τεταγμένων· καὶ οὕτως ἡ θεία θέλησις ἄνευ ἡστινοσοῦν διαβολῆς τῆς δικαιοσύνης καὶ σοφίας δύναται καὶ εἰς ἕτερα τῶν γεγονότων μεταβαίνειν. Ὅθεν παρήχθησαν οἱ πλανηθέντες· ᾠήθησαν καὶ γὰρ τὴν τάξιν τῶν κτισμάτων οὕτω συμμετρεῖσθαι τῇ θείᾳ ἀγαθότητι, ὡς ἄνευ ἐκείνης ταύτην δείκνυσθαι μὴ δύνασθαι. Φαίνεται

**119** ὑποθέσεως] ὑποθήσεως M **124** Ἀλλ’] om. et al. man. add. in marg. sup. M **127** ἐξικνῆται] ἐξικνεῖται P, M **128-129** ὡς – Θεὸς] om. et al. man. add. in marg. sin. M **134** μακαριότητα] μακαριώτητα M **136** τέλος] om. et al. man. add. in marg. sup. M **144** δημιουργημάτων] δημιουργιμάτων M

τοίνυν, ὅτι ὁ Θεὸς ἀπολύτως δύναται ποιεῖν ἄλλα τῶν πεποιημένων. Εἰ καὶ ὁ Θεὸς τοίνυν οὐ δύναται ποιεῖν τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα καὶ ἀληθῆ, ἐξ ὑποθέσεως μέντοι δύναται λέγεσθαι ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν ἄλλα ἢ ἃ πεποίηκεν. Ὑποτεθέντος γὰρ ὅτι οὐ βούλεται ἄλλα ποιεῖν ἢ ὅτι οὐ προέγνω ἑαυτὸν ἄλλα ποιήσοντα, οὐ δύναται ἄλλα ποιεῖν, ὡς νοεῖσθαι κατὰ σύνθεσιν καὶ οὐ διελόντα.

[1.5.21] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ λόγος ὁ λέγων ὅτι ὁ Θεὸς οὐ δύναται ποιεῖν εἰ μὴ ἃ προέγνω ἑαυτὸν ποιήσοντα, ἐστὶ διττός· ὁ γὰρ προσδιορισμὸς δύναται ἀναφέρεσθαι πρὸς τὴν δύναμιν ἣν παρέχεται νοεῖν τὸ ἀπολύτως δύνασθαι, ἢ πρὸς τὴν ἐνέργειαν, ἣν δίδωσι νοεῖν ἁπλῶς τὸ
P 12v ποιεῖν. Εἰ τῷ πρώτῳ τρόπῳ, τότε ὁ λόγος τυγχάνει ὢν ψευδής· | πλείω γὰρ ὁ Θεὸς δύναται ποιεῖν, ὧν ἔγνω ἑαυτὸν ποιήσοντα, καὶ κατὰ τοῦτον τὸν νοῦν ὁ λόγος προείη. Εἰ δὲ τῷ δευτέρῳ τρόπῳ, ὁ λόγος ἐστὶν ἀληθής, καί ἐστιν ὁ νοῦς, ὅτι δύναταί τι γενέσθαι μὴ ὂν προεγνωσμένον τῷ Θεῷ. Ἀλλ’ οὗτος ὁ νοῦς, οὐκ ἔστι πρὸς τὸ προκείμενον.

[1.5.22] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐν τῷ Θεῷ χώραν οὐκ ἔχει, τό τε παρεληλυθὸς καὶ τὸ μέλλον, ἀλλ’ ὅπέρ ἐστιν ἐν αὐτῷ, ἔστιν ἐν αἰωνιότητι ἐνεστῶτος, οὐδὲ τὸ παρεληλυθὸς καὶ τὸ μέλλον ὄνομα ἐν αὐτῷ δηλοῦται εἰ μὴ κατὰ ἀναφορὰν ὡς πρὸς ἡμᾶς. Ὅθεν οὐκ ἔχει ἐνταῦθα χώραν ἡ ἀνθυποφορὰ ἐκ τῆς ἀνάγκης τοῦ παρωχηκότος. Οὐχ ἧττον τὲ ῥητέον, ὅτι ἡ ἀνθυποφορά, οὐκ ἔστι πρὸς τὸ προκείμενον· ἡ γὰρ πρόγνωσις οὐκ ἰσομήκης ἐστὶ τῇ τοῦ ποιεῖν δυνάμει, περὶ ἧς διαλεγόμεθα, ἀλλὰ μόνον τῇ θείᾳ ποιήσει, ὡς εἴρηται.

[1.5.23] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι οἱ φάσκοντες τὸν Θεὸν ποιεῖν ἀνάγκῃ φύσεως ἐτίθεσαν τὴν ὑπόθεσιν, περὶ ἧς πραγματευόμεθα, οὐ μόνον τῷ λόγῳ τοῦ ἀμεταβλήτου, ἀλλὰ καὶ τῷ λόγῳ τοῦ ὡρίσθαι πρὸς ἕν. Ἡ θεία δὲ σοφία οὐχ ὁρίζεται πρὸς ἕν, ἀλλ’ ἔχει πρὸς πολλὰ ποιητέα. Ὅθεν οὐκ ἔστιν ὅμοιον.

[1.5.24] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὁ Χριστὸς οὐκ ἠδύνατο λέγειν τὰ ῥήματα ἐκεῖνα ἀπολύτως, ἃ τὸ ψεῦδος προὔτεινον, μηδεμίαν λαβὴν παρέχων κατὰ τῆς αὐτοῦ ἀγαθότητος. Οὕτω δὲ οὐκ ἔστι πρὸς τὸ προκείμενον. Καὶ διατοῦτο οὐχ’ ἕπεται.

**150-151** ποιεῖν – δύναται] deest Aq **153** ποιήσοντα] ποιήσαντα M **156** ποιήσοντα] ποιήσωντα M **162** Hic post γενέσθαι Aq. habet: a Deo. **173** δὲ] om. et al. man. add. in marg. sup. M **175** ἠδύνατο] ἐδύνατο M (poterat Aq)

**[1.5.25] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ ἀπολελυμένον καὶ ἀναφερόμενον οὐκ ἀνατίθεται τῇ θείᾳ δυνάμει εἰ μὴ ἐκ τῆς ἡμετέρας κατανοήσεως, ἢ τῇ τοῦ Θεοῦ δυνάμει καθ' αὐτὴν θεωρουμένη, ἢ ἀπολύτως λέγεται, ἀποδίδωσίν τι, ὅπερ οὐκ ἀποδίδωσιν αὐτῇ καθὸ πρὸς τὴν σοφίαν παραβάλλεται, καθὸ λέγεται τεταγμένη.**

**[1.5.26] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ δύναμις τοῦ Θεοῦ, οὐδέποτέ ἐστι πραγματικῶς χωρὶς τῆς σοφίας· ὑφ' ἡμῶν δὲ νοεῖται ἄνευ τοῦ τῆς σοφίας λόγου.**

**[1.5.27] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Θεὸς πεποίηκεν, ὅτι ποτέ ἐστι δίκαιον ἐνεργείᾳ, οὔκουν γε μὴν πᾶν τὸ ὂν δίκαιον δυνάμει· δύναται γὰρ ποιῆσαι τι, ὃ ἄρτι μὲν οὐκ ἔστι δίκαιον, ἐπεί μὴ δὲ ἔστι· πλὴν εἰ ἔσται, γενήσεται δίκαιον.**

**[1.5.28] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ θεία ἀγαθότης, δύναται κοινωνεῖν ἑαυτῆς τοῖς οὖσι σὺν τάξει, οὐ τούτῳ μόνον τῷ τρόπῳ, ᾧ τὰ ὄντα δημιουργεῖ, ἀλλὰ καὶ πολλοῖς ἄλλοις.**

**[1.5.29] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι εἰ καὶ ὁ Θεὸς οὐ θέλει ποιεῖν εἰ μὴ ἃ ποιεῖ, δύναται μέντοι ἄλλα θέλειν· καὶ διατοῦτο ἁπλῶς λέγουσι, δύναται ἄλλα ποιεῖν.**

**[1.5.30] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τοὺς λόγους ἐκείνους περὶ ὧν ὁ Διονύσιος διαλέγεται βούλεται εἶναι παρακτικοὺς τῶν ὄντων ἁπλῶς, οὐ μόνον δὲ τῶν νῦν ὄντων ἐνεργείᾳ.**

**[1.5.31] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐν ταύτῃ τῇ ζητήσει ἀπορεῖται πότερον τῶν μήτε ὄντων μήτε γεγονότων μήτε ἐσομένων, ἃ μέντοι ὁ Θεὸς ποιεῖν δύναται, ἔστιν ἰδέα. Δοκεῖ τοίνυν ῥητέον ὅτι, εἰ ἰδέα ληφθείη κατὰ πλήρη λόγον, δηλαδὴ καθὸ ἡ ἰδέα σημαίνει εἶδος τέχνης | καὶ οὐ μόνον ἐπίνοιαν διανοητήν, ἀλλὰ καὶ τὴν πρὸς τὸ ἔργον τεταγμένην θέλησιν, οὕτω τὰ προειρημένα οὐκ ἔχει ἰδέαν· εἰ δὲ κατὰ ἀτελῆ ληφθείη λόγον, καθὸ δηλαδὴ ἔστι μόνον διανοητὴ ἐν τῷ τοῦ τεχνήτου νῷ, οὕτως ἰδέας ἔχει καὶ τῶν μὴ ὄντων. Φαίνεται γὰρ ἐν τῷ τεχνήτῃ ὅτι διανοεῖται τινὰς ἐνεργείας, ἃς οὐδέποτε ἐργάσασθαι σκοπεῖται. Ἐν δὲ τῷ Θεῷ ὅπερ ἂν αὐτὸς γινώσκῃ, ἔστιν ἐν αὐτῷ κατὰ τὸν τοῦ διανοητοῦ τρόπον· ἐφόσον μηδὲν διαφέρει ἐν αὐτῷ, τὸ νοεῖν ἐνεργείᾳ καὶ ἔξει. Αὐτὸς γὰρ ἔγνω ὅλην τὴν ἑαυτοῦ δύναμιν, καὶ ὅτί ποτε δύναται· ὅθεν πάντων, ἃ δύναται ἔχει τοὺς λόγους ὥσπερ διανενοημένους.** (P 13r)

**189** οὖσι] οὗ M **202** καὶ – ὄντων] deest Aq **204-205** κατὰ – αὐτῷ] deest M **207** διανενοημένους] διανοημένους M

**[1.5.32] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι νοητέον ἐστὶ τοῦτο μὴ δύνασθαι τὸν Θεόν, ὃ μὴ βούλεται ἑαυτὸν δύνασθαι· καὶ οὕτως οὐ δρᾷ πρὸς τὸ προκείμενον.**

**[1.5.33] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ Θεὸς ἔστιν ἀμετάβλητος, ὅμως ἡ αὐτοῦ βούλησις οὐχ ὁρίζεται πρὸς τὸ ἓν ποιητέον· καὶ δια τοῦτο ἔχει αὐτεξουσιότητα.**

**[1.5.34] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ ἄριστος λόγος ᾧ πάντα ὁ Θεὸς ποιεῖ, ἔστιν ἡ αὐτοῦ ἀγαθότης, καὶ ἡ αὐτοῦ σοφία· ἃ μένουσιν εἰ καὶ ἕτερα τῶν νῦν ποιεῖ.**

**[1.5.35] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ποιεῖ ἔστιν ἄριστον, τῷ τετάχθαι πρὸς τὴν αὐτοῦ ἀγαθότητα· διὸ καὶ πᾶν ὅτι ποτέ ἐστιν, οἷον τάττεσθαι πρὸς τὴν αὐτοῦ ἀγαθότητα τῇ τάξει τῆς σοφίας αὐτοῦ ἔστιν ἄριστον.**

**209** βούλεται] βούλετε M **211** τὸ] deest M

## Κεφάλαιον ἕκτον

## Πότερον ὁ Θεὸς δύναται ποιεῖν τὰ τοῖς ἄλλοις δυνατά.

**[1.6.1]Ἕκτον ζητεῖται, πότερον ὁ Θεὸς δύναται ποιεῖν τὰ τοῖς ἄλλοις δυνατά, οἷον ἁμαρτάνειν, βαδίζειν, καὶ τὰ ὁμόλογα. Καὶ δοκεῖ ὅτι ἔστιν. Ὁ γὰρ Αὐγουστῖνός φησι κρείττω εἶναι φύσιν τὴν δυναμένην ἁμαρτάνειν, ἢ τὴν μὴ δυναμένην ἁμαρτάνειν. Ἀλλὰ πᾶν ὅπέρ ἐστιν ἄριστον, ἀνίεσθαι δεῖ τῷ Θεῷ. Ὁ Θεὸς ἄρα δύναται ἁμαρτάνειν.**

**[1.6.2]Ἔτι, πᾶν ἐπαινετὸν οὐχ ὑφαιρεῖσθαι δεῖ τοῦ Θεοῦ, ἀλλ' ἀντ ἐγκωμίου λέγεται ἐν τῷ τριακοστῷ πρώτῳ τοῦ Ἐκκλησιαστοῦ τἀνδρί, ὃς** δυνά**μενος** παραβῆναι οὐ παραβέβη**κε. Τὸ δύνασθαι ἄρα παριέναι καὶ μὴ παριέναι, τῷ Θεῷ προσήκει ἀπονέμεσθαι.**

**[1.6.3] Μετὰ δὲ ταῦτα ὁ Φιλόσοφός φησι·** δύναται ὁ Θεὸς καὶ σπουδαῖος τὰ φαῦλα **πράσσειν.Ἄρ' ὁ Θεὸς δύναται ἁμαρτάνειν.**

**[1.6.4] Ἔτι, ὁ σύμψηφος γενόμενος ἐν ἁμαρτίᾳ πρὸς θάνατον, ἁμαρτάνει πρὸς θάνατον. Ὁ δὲ ἐπιτάττων ἁμαρτίαν πρὸς θάνατον συμψηφίζεται, μᾶλλον μὲν οὖν κατά τινα τρόπον ἀρχοειδῶς διαπράττεται. Ἐπεὶ τοίνυν ὁ Θεὸς ἁμαρτίαν πρὸς θάνατον, ἐφεῖτο τὸ Ἰεφθάε, δηλαδὴ τὴν ἀθῶον διαχειρίσασθαι θυγατέρα· καὶ τῷ Ὀσιέ,** πόρν**ην** γυναῖκα **ἀγαγέσθαι, καὶ υἱέας ἐκ ταύτης ποιῆσαι· καὶ τῷ Σεμεΐ, κακηγορῆσαι τὸν Δαυίδ, ὡς φέρεται ἐν τῷ δευτέρῳ τῶν Βασιλειῶν. Δοκεῖ ἄρα αὐτὸν | ἁμαρτεῖν πρὸς**

P 13v **θάνατον.**

**[1.6.5] Ἔτι, ὁ συνεπιλαμβανόμενος τῷ ἁμαρτάνοντι πρὸς θάνατον, αὐτὸς πρὸς θάνατον ἁμαρτάνει. Ἀλλ' ὁ Θεὸς συνεπιλαμβάνεται τῷ πρὸς θάνατον ἁμαρτάνοντι· αὐτὸς γὰρ ἐνεργεῖ ἐν ταῖς πάντων ἐνεργείαις, καὶ κατὰ τὸ εἰκὸς ἐν ταῖς τῶν πρὸς θάνατον ἁμαρτανόντων.Ὁ Θεὸς ἄρα ἁμαρτάνει.**

**4-6** Ὁ – ἁμαρτάνειν] Aug., Enchir., cap. 105 (PL 40, col. 281): Sed ordo praetermittendus non fuit, in quo Deus voluit ostendere quam bonum sit animal rationale quod etiam non peccare possit, quamvis sit melius quod peccare non possit. **9-10** ἐν – παρέβηκε] Ecclesiasticus 31, 10: τίς ἐδύνατο παραβῆναι καὶ οὐ παρέβη. **11-13** ὁ – πράσσειν] Ar., Top. IV, 126a.34-35: δύναται μὲν γὰρ καὶ ὁ θεὸς καὶ ὁ σπουδαῖος τὰ φαῦλα δρᾶν **17-18** ἐφεῖτο – θυγατέρα] cf. Iud. 11, 30-40. **18-19** τῷ – ποιῆσαι] cf. Os. 1, 2: Ἀρχὴ λόγου Κυρίου εἰς Ὡσηέ. καὶ εἶπε Κύριος πρὸς Ὡσηέ· βάδιζε, λαβὲ σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας, διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ Κυρίου. **19** τῷ – Βασιλειῶν] cf. II Reg. 16, 7: καὶ οὕτως ἔλεγε Σεμεΐ ἐν τῷ καταρᾶσθαι αὐτόν· ἔξελθε, ἔξελθε ἀνὴρ αἱμάτων καὶ ἀνὴρ ὁ παράνομος.

**3** Ἕκτον ζητεῖται] deest M **6-7** ὁ – ἁμαρτάνειν] om. et al. man. add. in marg. sin. M **17-18** Ἰεφθάε … θυγατέρα] Abrahae … filium Aq; cf. Gen. 22, 2 **19** Δαυὶδ] Δάδη M (David Aq) **20** Hic post Βασιλειῶν Aq. habet: quem constat peccasse ex poena sibi inflicta III Reg. II, 36.

**[1.6.6] Ἔτι, φησὶν ὁ Αὐγουστῖνος, ἐν τῷ Περὶ φύσεως βιβλίῳ, καὶ ἐν τῷ Περὶ αὐτεξουσιότητος, καὶ ἐν τῷ πρώτῳ τῆς Πρὸς Ῥωμαίους, ἐν τῇ Ἐξηγήσει περιέχεται, ὅτι ὁ Θεὸς ἐνεργεῖ ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις, ὑποκατακλίνων τὰς βουλήσεις αὐτῶν, ἐφ᾽ ὅποτε βούλεται, ἢ εἰς τὸ ἀγαθόν, ἢ εἰς τὸ κακόν. Ἀλλὰ τὸ κλίνειν τὴν τοῦ ἀνθρώπου βούλησιν εἰς τὸ κακόν, ἔστιν ἁμαρτία. Ὁ Θεὸς ἄρα ἁμαρτάνει.**

**[1.6.7] Παρὰ ταῦτα, ὁ ἄνθρωπος γέγονε κατ᾽ εἰκόνα Θεοῦ, ὡς φέρεται ἐν τῇ Γενέσει, ἐν τῷ πρώτῳ. Ἀλλ᾽ ὅπερ εὑρίσκεται ἐν τῇ εικόνι, δεῖ εὑρίσκεσθαι κἂν τῷ ἀρχετύπῳ. Ἀλλ᾽ ἡ τοῦ ἀνθρώπου θέλησις ἔστι πρὸς ὁπότερον. Καὶ ἡ τοῦ Θεοῦ ἄρα θέλησις· ὡδὶ δὲ δύναται, καὶ ἁμαρτάνειν καὶ μὴ ἁμαρτάνειν.**

**[1.6.8] Ἔτι, ὃ δύναται ἡ ὑποβεβηκυῖα δύναμις, δύναται καὶ ἡ ὑπερβεβηκυῖα. Ἀλλ᾽ ἡ τοῦ ἀνθρώπου δύναμις, ἔστι δύναμις, ἔστι δύναμις ὑποδεεστέρα τῇ τοῦ Θεοῦ δυνάμει, δυναμένη βαδίζειν καὶ ἁμαρτάνειν, καὶ τὰ ἄλλα τὰ τοιάδε ποιεῖν. Ἄρα καὶ ὁ Θεός.**

**[1.6.9] Χωρὶς δὲ τούτων, τότε τὶς ἀμελεῖ, ἡνίκα μὴ ποιεῖ ἃ δύναται ἀγαθά. Ἀλλ᾽ ὁ Θεὸς δύναται πολλὰ ἀγαθὰ ποιεῖν, ἃ μὴ ποιεῖ. Ἄρ᾽ ὀλιγωρεῖ, καὶ οὕτως ἁμαρτάνει.**

**[1.6.10] Ἔτι, ὁ δυνάμενος ἐπέχειν ἁμαρτίαν καὶ μὴ ἐπέχων, δοκεῖ ἁμαρτάνειν. Ἀλλ᾽ ὁ Θεὸς δύναται κωλύειν πάντα τὰ ἁμαρτήματα. Ἐφόσον τοίνυν μὴ κωλύει, δοκεῖ ἁμαρτάνειν.**

**[1.6.11] Ἄνευ δὲ τούτων ἐν τῷ τρίτῳ τοῦ Ἀμὼς περιέχεται, οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ Κύριος οὐκ ἐποίησε. Τοῦτο δὲ οὐ δύναται νοεῖσθαι περὶ τοῦ τῆς τιμωρίας κακοῦ· λέγεται γὰρ ἐν τῷ πρώτῳ τῆς Σοφίας, ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν. Ἄρα ἐκληπτέον ἐστὶ περὶ τοῦ τῆς ἁμαρτίας κακοῦ· δημιουργὸς ἄρα ὁ Θεὸς τοῦ κακοῦ καὶ τῆς ἁμαρτίας.**

**[1.6.12] Ἀλλὰ τοὐναντίον ἐν τῇ πρώτῃ τοῦ Ἰωάννου ἐπιστολῇ λέγεται, ὁ Θεὸς φῶς ἐστι καὶ σκοτία οὐδεμία ἐν αὐτῷ. Ἀλλ᾽ ἡ ἁμαρτία, σκότος ἐστὶ νοητόν. Ἐν τῷ Θεῷ ἄρα ἁμαρτία οὐ δύναται εἶναι.**

**[1.6.13] Ἔτι· τοῖς ἰδίοις νόμοις, ὁ Θεὸς οὐκ ἐνέχεται. Ἀλλὰ πᾶν ἁμάρτημα ἔστιν ἀπεναντίας τῶν θείων νόμων, ὡς ὁ Αὐγουστῖνος φησίν. Ὁ Θεὸς ἄρα ἁμαρτίαις ἐνέχεσθαι οὐχ οἷος τε.**

**26-29** Ὁ – κακόν] cf. Aug., De grat. et lib. arb., cap. 21 (col. 909): …agit Deus in cordibus etiam malorum hominum quidquid vult etc. **31-32** ὁ – πρώτῳ] cf. Gen. 1, 26: καὶ εἶπεν ὁ Θεός˙ ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ γῆς γῆς. **44-45** ἐν – ἐποίησε] cf. Am. 3, 6: εἰ ἔσται κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε;

**43** δυνάμενος] ἀδυνάμενος M

**[1.6.14] Ἀπόκρισις. Ῥητέον ὅτι ὡσπερ προείρηται τὸ τὸν Θεὸν ἁπλῶς μὴ δύνασθαι ποιεῖν τι, διττῶς λέγεται· ἑνὶ μὲν τρόπῳ τῷ γε τῆς θελήσεως μέρει, ἑτέρῳ τρόπῳ, τῷ μέρει τῆς δυνάμεως. Καὶ ἐκ μὲν τοῦ μέρους τῆς θελήσεως ὁ Θεὸς λέγεται μὴ δύνασθαι τὶ ποιεῖν, ὅπερ οὐ δύναται θέλειν. Ἐπεὶ μηδεμία θέλησις δύναται θέλειν τὸ ἐναντίον αὐτῆς, ὃ φυσικῶς θέλει, ὥσπερ ἡ τοῦ ἀνθρώπου θέλησις, οὐ δύναται θέλειν τὴν δυσπραγίαν· ἐφόσον ἡ θέλησις οὐ δύναται θέλειν τὸ ἐναντίον | τῆς αὐτῆς εὐπραγίας, ἣν φυσικῶς θέλει. Ἡ ἁμαρτία δὲ ἔστιν ἔκπτωσις ἀπὸ τῆς θείας ἀγαθότητος· ὅθεν ὁ Θεὸς οὐ δύναται θέλει ἁμαρτάνειν. Καὶ διατοῦτο ἁπλῶς ὁμολογητέον ἐστί, τὸν Θεὸν μὴ δύνασθαι ἁμαρτάνειν. Ἐκ τοῦ μέρους δὲ τῆς δυνάμεως, λέγεται τὸν Θεόν, μὴ δύνασθαί τι διχῶς· ἑνὶ μὲν τρόπῳ, τῷ λόγῳ αὐτῆς τῆς δυνάμεως· ἑτέρῳ τρόπῳ, τῷ λόγῳ τοῦ δυνατοῦ. Ἡ μὲν οὖν δύναμις ἐφόσον καθ' ἑαυτὴν ἐστὶν ἐπείπερ ἄπειρος τυγχάνει οὖσα, ἐν οὐδενὶ ἀποκάμνουσα εὑρίσκεται, ὅσον εἰς τὴν δύναμιν ἥκει. Ἀλλ' εἰσὶ τινά, ἃ κατὰ μὲν τοὔνομα, δυνάμεως ὑπόνοιαν παρέχεται· κατὰ δὲ τὸ πρᾶγμα, στέρησις ἐστὶ δυνάμεως· ὥσπερ αὖ πολλαὶ εἰσὶν ἀποφάσεις καταφάσεσιν ἐμπεριειλημέναι· καὶ γὰρ ὅταν λέγηται δύνασθαι ἀσθενεῖν, τῷ τῆς διαλέξεως ἔθει, δοκεῖ δύναμίν τινα ὑπάγειν, ἐφόσον μάλιστα δυνάμεως στέρησις εἰσάγεται. Καὶ διατοῦτο δύναμίς τις λέγεται εἶναι ἀτελὴς κατὰ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, ᾗ ταῦτα οὐ δύναται. Ὥσπερ δὲ αὗται αἱ καταφάσεις δύναμιν ἔχουσιν ἀποφάσεων κατὰ τὸ πρᾶγμα, οὕτως αὗται αἱ ἀποφάσεις, δύναμιν ἔχουσι καταφάσεων. Καὶ διατοῦτο φαμὲν τὸν Θεόν, μὴ δύνασθαι ἀσθενεῖν, καὶ κατὰ τὸ εἰκὸς μὴ δύνασθαι κινεῖσθαι (ὅτι ἡ κίνησις στέρησιν τινὸς ἀτελοῦς παρέχεται), καὶ συμβαινόντως τὸ μὴ δύνασθαι αὐτὸν βαδίζειν, μήτε ἄλλας σωματικὰς ἐνεργείας ἐπιτελεῖν, αἳ ἄνευ κινήσεως οὐ γίνονται. Τῷ λόγῳ δὲ τοῦ δυνατοῦ λέγεταί τι μὴ δύνασθαι ποιεῖν, ἡνίκα ἀντίφασιν εἰσάγει, ὡς ἐκ τῶν προειρημένων δῆλον καθέστηκε· καθ' ὃν δὴ τρόπον λέγεται μὴ δύνασθαι ἄλλον Θεὸν ποιεῖν ἴσον ἑαυτῷ. Παρενείρεται γὰρ ἀντίφασις· τὸ μὲν γὰρ γεγονὸς δεῖ εἶναι ἔν τινι δυνάμει ἀμηγέπη, ἐνδεχόμενον τὸ εἶναι ἀπ' ἄλλου· ταύτῃ δέ, οὐ δύναται εἶναι καθαρὰ ἐνέργεια, ὅπέρ ἐστιν ἐξαίρετον αὐτῷ τῷ Θεῷ.**

P 14r

**72-73** δύναμις – δύναται] Ar., Metaph. V, 1021b.24: ταῦτα λέγεται τέλεια.

**57** μέρους] μέρος M **58-59** Ἐπεὶ – θέλει] om. et al. man. add. in marg. sin. M **61-62** ἡ – θέλειν] om. et al. man. add. in marg. sin. M **64** μέρους] μέρος M **66** ἐπείπερ] ἐπείπερα M **72** ἀτελής] perfecta Aq **73** φυσικὰ] ἠθικὰ P, M **74-75** κατὰ -- καταφάσεων] om. et al. man. add. in marg. sin. (ἀποφάσεων et non καταφάσεων) M

P 14v [1.6.15] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὴν δύναμιν ἐκείνην, οὐχ ὑποληπτέον καθόλου νοεῖσθαι, ἀλλὰ μόνον ἐν τῷ ἀνθρώπῳ καὶ τοῖς ἄλλοις κτίσμασι.

[1.6.16] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ λεγόμενον ἐπ᾽ ευφημίᾳ ἀνθρώπου, οὐκ ἀεὶ συνάδει τοῖς θείοις ὕμνοις· μάλιστα μὲν οὖν ἄν, καὶ εἰς βλασφημίαν τελείη· ὡσἂν εἰ λέγοιμι τὸν Θεόν, μετανοεῖν, καὶ τὰ τοιαῦτα· ἔστι γάρ τι ὡς ὁ Διονύσιός φησιν ἐν τῇ ὑποβεβηκυῖα φύσει ἐπαινετόν, ὅπερ ἐν τῇ ὑπερκειμένῃ ἐπιτιμῷτο ἄν.

[1.6.17] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸν τοῦ Φιλοσόφου λόγον, νοητέον τῇ ὑποθέσει τῆς θελήσεως. Αὕτη γὰρ ἡ πρότασις, ὑποθετικῶς ἐστὶν ἀληθής· οἷον ὁ Θεὸς δύναται τὰ φαῦλα ποιεῖν, εἰ θέλει· οὐδὲν γὰρ κωλύει τὴν ὑποθετικὴν εἶναι ἀληθῆ, καὶ τῆς προηγουμένης καὶ τῆς ἑπομένης οὔσης ἀδυνάτου· ὡς φαίνεται ἐν τῇδε, εἰ ὁ ἄνθρωπος πέτεται, ἔχει πτέρυγας.

[1.6.18] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι οὐδὲν προσίσταται πρᾶξιν τινὰ ψυχῆς, ἁμαρτίαν οὖσαν καθ᾽ αὑτὴν | πρὸς θάνατον, αἰτία τινὶ γίνεσθαι σπουδαῖαν· τὸ γὰρ αὐτόχειρα γενέσθαι τινός, ἁπλῶς ἁμαρτία πρὸς θάνατον ἐστί, τὸ δὲ τὸν δημόκοινον ἀνελεῖν ἄνθρωπον, ψήφῳ τοῦ δικαστοῦ διὰ τὸ δίκαιον οὐκ ἔστιν ἁμάρτημα, ἀλλὰ δικαιοσύνης ἔργον. Ὥσπερ δὲ ὁ τῆς πόλεως ἄρχων διοικεῖται τὰ κατὰ τοὺς ἀνθρώπους ὅσον πρὸς ζωὴν καὶ θάνατον καὶ τὰ ἄλλα τὰ τοιάδε, ἀποσκοπούμενος πρὸς τὸ τέλος τῆς αὐτοῦ διοικήσεως, ὅπέρ ἐστιν ἡ δικαιοσύνη, οὕτω καὶ ὁ Θεός, πάντα τὰ ὑπὸ τὴν αὐτοῦ διοίκησιν ἰθύνει πρὸς τὸ τέλος τῆς αὐτοῦ δεσποτείας, ὅπέρ ἐστιν ἡ ἀγαθότης αὐτοῦ. Διατοῦτο εἰ καὶ τὸ διαπράξασθαι ἀθῶον παῖδα, καθ᾽ αὑτὸ δύναται εἶναι ἁμάρτημα πρὸς θάνατον, ὅμως εἰ τοῦτο γένοιτο θείᾳ ψήφῳ, δι᾽ ὃ τέλος ὁ Θεὸς προεῖδε καὶ ἔταξεν, εἰ καὶ τοῖς ἀνθρώποις ἄγνωστον εἴη, οὐκ ἔστιν ἁμάρτημα, ἀλλ᾽ ἔκτισιν. Τὸ δ᾽ αὐτὸ ῥητέον, καὶ τῆς πορνείας πέρι Ὡσιέ, τοῦ Θεοῦ τυγχάνοντος ὁριστοῦ, πάσης τῆς ἀνθρωπείας γεννήσεως· εἰ καί τινες φαῖεν, μὴ κατὰ τὴν τοῦ πράγματος ἀλήθειαν ἀπαντῆσαι τοῦτο, ἀλλὰ κατὰ προφητικὴν ὅρασιν. Περὶ δὲ τοῦ προσταχθέντος τῷ Σεμεΐ, ῥητέον ἐστὶν ἄλλως· δοκεῖ γὰρ ὁ Θεός, δισσῷ τρόπῳ ἐπιτάττειν. Ἑνὶ μὲν λόγοις, ἢ ἀσωμάτως ἢ σωματικῶς, δι᾽ οὐσίας κτιστῆς· ᾗ δὴ τῷ Ἀβραὰμ καὶ τοῖς προφήταις ἐπετέλετο. Ἑτέρῳ τρόπῳ τῷ κλίνειν, ὥσπερ λέγεται ἐντείλασθαι τῷ σκώληκι, φαγεῖν τὸν κιττὸν ἐν τῷ Ἰωννᾷ. Καθ᾽ ὃν δὴ τρόπον ἐπέσκηψε τῷ Σεμεΐ, κακῶς εἰπεῖν τὸν Δαυίδ, κλίνας τὴν τούτου καρδίαν, εἰς τὰς ἐκείνου κωμῳδίας· καὶ τοῦτο, τρόπῳ τῷ μεταταῦτα ῥηθησομένῳ.

**89-90** ἔστι – ἐπαινετόν] Ps.-Dion., De div. nom., cap 4, n. 35 (PG 3, col. 736A, Ritter p. 179): Εἰ δὲ ἐκ τἀγαθοῦ τὸ δύνασθαι τοῦ διδόντος κατὰ τὰ λόγια τὰ προσήκοντα πᾶσιν ἁπλῶς, οὐκ ἐπαινετὸν ἡ τῆς ἐκ τἀγαθοῦ τῶν οἰκείων ἀγαθῶν ἕξεως ἁμαρτία καὶ παρατροπὴ καὶ ἀποφυγὴ καὶ ἀπόπτωσις.

**87** εὐφημίᾳ] εὐφημίαις P **99** ἁμάρτημα] ἁμάρτιμα M **114** Δαυίδ] Δάδ M **115** μεταταῦτα] ταῦτα om. et al. man. add. in marg. sup. M

**[1.6.19] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ τῆς ἁμαρτίας πρᾶξις, ὅσον πρὸς τοῦθ' ὅπερ ἔχει διαπρεπὲς κατὰ τὸ δρᾶν, εἰς Θεὸν ἀναφέρεται ὥσπερ εἰς αἰτίαν· ὅσον δὲ εἰδεχθίας ἔχει ἐκ τῆς ἁμαρτίας, εἰς τὸ αὐτεξούσιον ἀνάγεται οὐκ εἰς τὸν Θεόν· ὥσπερ ὅσον μὲν κινήσεώς ἐστιν ἐν τῇ χωλάνσει, ἔστιν ἐκ τῆς βαδιστικῆς δυνάμεως· ὅσον δὲ αἴσχους ἐστὶν αὐτῇ, ἐκ τῆς τοῦ σκέλους κιροτότητος.**

**[1.6.20] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ Θεὸς οὐ λέγεται κλίνειν τὰς θελήσεις τῶν ἀνθρώπων εἰς τὸ κακόν, τῷ μεταβάλλειν ἢ συνελαύνειν εἰς τὸ κακόν, ἀλλὰ τῷ ἀφιέναι καὶ τάττειν, ἵνα δηλαδὴ ὁ τὴν ἀπήνειαν μετιών, εἰς ἐκείνους μετίῃ, οὓς ὁ Θεὸς ἀξίους ψηφίζεται.**

**[1.6.21] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι οὐκ ἔστιν ἀναγκαῖον, τὸ τὸ εὑρισκόμενον ἐν τῷ ἀνθρώπῳ, εἰ καὶ κατ' εἰκόνα εἴη, κἀν τῷ Θεῷ εὑρίσκεσθαι· τέως μέντοι ἐν τῷ προκειμένῳ, εἰ καὶ ἡ θέλησις τοῦ Θεοῦ ἔστι πρὸς ὁπότερον, ἐπεὶ μὴ ἔστι πρὸς ἕν, ἀντικείμενον ὡρισμένη. Δύναται γὰρ τοῦτο ποιῆσαι, ἢ μὴ ποιῆσαι· ἢ ποιῆσαι τοῦτο ἢ ἐκεῖνο, ὅμως οὐχ ἕπεται τὶ τούτων δύνασθαι κακῶς ποιεῖν, ὅπέρ ἐστι τὸ ἁμαρτάνειν.**

**[1.6.22] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη, ἰσχύει ἐν τοῖς τείνουσι πρὸς τὴν τῆς δυνάμεως τελειότητα, ἀλλ' οὐκ ἐν τοῖς παρέχουσι δυνάμεως στέρησιν.**

**[1.6.22] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι εἰ καὶ ὁ Θεὸς δύναται πολλὰ ποιεῖν ἀγαθὰ ἃ μὴ ποιεῖ, ὅμως οὐκ ἀμελεῖ· ὅτι οὐ προσήκει ποιεῖν ἐκεῖνα ἅτινα ἀφίενται, ὃ ζητεῖται πρὸς τὸν λόγον τῆς ἀμελείας. |**

P 15r **[1.6.23] Ὁμοίως ῥητέον καὶ πρὸς τὸ δέκατον· οὐ γάρ ἐστιν ὑπεύθυνος ἁμαρτίας, ὃς τὴν ἁμαρτίαν οὐ κωλύει, εἰ μὴ ἡνίκα κωλύειν ὀφείλει.**

**[1.6.24] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ τοῦ Ἀμὼς λόγος ἐστί, περὶ τοῦ τῆς τιμωρίας κακοῦ· ὅτι δὲ λέγεται ἐν τῇ Σοφίᾳ ἐν τῷ πρώτῳ,** ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, **οὐ νοεῖται ὅσον πρὸς τὴν πρώτην αἰτίαν τοῦ θανάτου, ἥτις ἐστὶν ἁμαρτίας ἔκτισις, ἀλλ' ὅσον πρὸς τὴν πρώτην δημιουργίαν τῆς φύσεως, καθ' ἣν ἐποίησε τὸν ἄνθρωπον τῷ ἑαυτοῦ τρόπῳ ἀθάνατον.**

**139-140** ἐν – ἐποίησεν] Sap. 1, 13: ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν.

**121** κιροτότητος] sic P; κιροτόττητος M; intellige κυρτότητος (curvitate Aq) **121** θελήσεις] θελήσις M **124** οὓς] ἅς M **127-128** εἰ καὶ] deest Aq **136** ἁμαρτίας] ἁμαρτία P **140** οὐ] om. et al. man. add. in marg. sup. M

## Κεφάλαιον ἕβδομον

## Τίνι τρόπῳ ὁ Θεὸς λέγεται παντοδύναμος.

**[1.7.1] Ἕβδομον ζητεῖται τῷ τρόπῳ ὁ Θεὸς ῥηθείη ἂν παντοδύναμος. Καὶ δοκεῖ λέγεσθαι παντοδύναμος, διὰ τὸ τὰ πάντα ἁπλῶς δύνασθαι. Καθάπερ γὰρ ὁ πάντων Θεὸς λέγεται παντοδύναμος, οὕτω ῥηθείη ἂν καὶ παντογνώστης. Ἀλλὰ λέγεται παντογνώστης ὅτι ἁπλῶς πάντα γινώσκει. Καὶ παντοδύναμος ἄρα ὅτι πάντα ἁπλῶς δύναται.**

**[1.7.2] Ἔτι, εἰ μὴ διατοῦτο ῥηθείη παντοδύναμος ὅτι ἁπλῶς πάντα δύναται, αὕτη ἡ ἀπόδοσις, οὐκ ἔστιν ἀπολελυμένη, ἀλλὰ μερική. Ἡ τοιαύτη δὲ ἀπόδοσις, οὐκ ἔστι καθόλου, ἀλλὰ ὡρισμένως, πρός τι. Ἡ θεῖα ἄρα** P 3r **παντοδυναμότης, εἴη ἂν πρός τι ὡρισμένη, καὶ οὐκ ἂν εἴη ἄπειρος.**

**[1.7.3] Ἀλλὰ τοὐναντίον, ὁ Θεὸς οὐ δύναται ποιεῖν, ὥσπερ εἰρήκαμεν, τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι ὁμοῦ ἀληθῆ· ἀλλ' οὐδὲ ἁμαρτάνειν δύναται, οὐδ' ἀποθνήσκειν. Ταῦτα δὲ περιίσχεται ἐν τῇ τοιαύτῃ ἀποδόσει, εἰ ὁ ἀπολελυμένως ληφθείη. Ἄρ' οὐ δεῖ ἀπολελυμένως λαμβάνεσθαι· καὶ ταύτῃ ὁ Θεὸς οὐ καθήκει παντοδύναμος λέγεσθαι, ὅτι πάντα ἀπολελυμένως δύναται.**

**[1.7.4] Πάλιν δοκεῖ λέγεσθαι παντοδύναμος, ὅτι δύναται πάντα ἃ θέλει. Φησὶ γὰρ ὁ Αὐγουστῖνος,** οὐ δι' ἄλλό τι καλεῖται ἀληθῶς παντοδύναμος, εἰ μὴ ὅτι πᾶν ὃ βούλεται, δύναται.

**[1.7.5] Ἀλλὰ τοὐναντίον, οἱ μακαρίται δύνανται, ὅτί ποτε βούλονται· ἄλλως γὰρ ἡ θέλησις αὐτῶν, οὐκ ἂν εἴη τελέα· καὶ ὅμως οὐ λέγονται παντοδύναμοι. Οὐκ ἄρα ἀπόχρη πρὸς τὸν τῆς παντοδυναμότητος λόγον, τὸ τὸν Θεὸν δύνασθαι, ὃ βούλεται.**

**[1.7.6] Παρὰ ταῦτα ἡ τοῦ σοφοῦ θέλησις, οὐκ ἔστι περὶ τοῦ ἀδυνάτου· ἀμέλει, καὶ σοφὸς οὐδεὶς θέλει, ὅτι μὴ ὃ δύναται· ὅμως μέντοιγε, οὐδ' ὁστισοῦν σοφὸς ἔστι παντοδύναμος. Ἄρα τὸ αὐτό, ὅπερ πρωτοῦ.**

**[1.7.7] Χωρὶς δὲ τούτων δόξειεν ἄν, διατοῦτο λέγεσθαι παντοδύναμος, ὅτι δύναται πάντα τὰ δυνατά. Λέγεται γὰρ παντογνώστης, ὅτι ἐπίσταται πάντα τὰ ἐπιστητά. Τῷ ἴσῳ ἄρα λόγῳ λέγεται παντοδύναμος, ὅτι δύναται πάντα τὰ δυνατά.**

**19-20** ὁ -- δύναται] Aug., Enchir., cap. 96 (PL 40, col. 276): Neque enim ob aliud veraciter vocatur omnipotens, nisi quoniam quidquid vult potest.

**4** ἁπλῶς δύνασθαι] δύνασθαι ἁπλῶς P (simpliciter ... possit Aq) **6-7** ἁπλῶς] bis scripsit M (homoioteleuton) **9** Hic post ἀπόδοσις Aq. habet: importata. **12** ὁ α'ος λόγος in marg. dex. **18** ὁ β'ος λόγος in marg. dex. **21** σοφοῦ] Θεοῦ P (sapientis Aq) **24** ὁ γ'ος λόγος in marg. dex.

[1.7.8] Ἀλλὰ τοὐναντίον· εἰ λέγεται παντοδύναμος, ὅτι δύναται πάντα τὰ δυνατά, ἤτοι τοῦτο ἐστὶν ὅτι δύναται πάντα τὰ δυνατὰ ἑαυτῷ, ἢ ὅτι δύναται πάντα τὰ δυνατὰ τῇ φύσει. Εἰ μὲν οὖν ὅτι δύναται πάντα τὰ δυνατᾶ τῇ φύσει, P 15v τότε ἡ αὐτοῦ παντοδυναμότης τῆς φύσεως τὴν δύναμιν οὐχ ὑπερβάλλεται, ὅπέρ ἐστιν ἀσύνετον. Εἰδ’ ἄρα ὅτι | δύναται πάντα τὰ ἑαυτῷ δυνατά, ἐνταῦθα τῷ ἴσῳ λόγῳ, πᾶς τὶς ὁστισοῦν, ὑποληφθείη παντοδύναμος, ἐπείπερ ἕκαστος δύναται πάντα τὰ ἑαυτῷ δυνατά, καὶ παρὰ ταῦτα ἔστιν ἐκεῖ, ἔκθεσις τίς.

[1.7.9] Πάλιν ζητεῖται· τί δή ποθ’ ὁ Θεὸς λέγεται παντοδύναμος, καὶ παντογνώστης, καὶ οὐ παντοθελής.

Ἀπόκρισις. Ῥητέον, ὅτι τινὲς βουλόμενοι τὸν λόγον τῆς παντοδυναμότητος ἀποδοῦναι, εἰλήφασί τινα, ἃ πρὸς μὲν τὸν λόγον αὐτῆς, οὐ τείνει· μᾶλλον δ’ εἰσὶ τῆς παντοδυναμότητος αἴτια, ἢ συμβαίνοντα τῇ τελειότητι ταύτης, ἢ τῷ τρόπῳ, τοῦ ἔχειν αὐτήν. Τινὲς γὰρ ἔφασαν, ὅτι ὁ Θεὸς διατοῦτο λέγεται παντοδύναμος, ὅτι ἔχει δύναμιν ἄπειρον. Οἵ, οὔ φασι τὸν τῆς παντοδυναμότητος λόγον, ἀλλὰ τὴν αἰτίαν· ὥσπερ ἡ λογικὴ ψυχὴ ἔστιν αἰτία τοῦ λογίζεσθαι τὸν ἄνθρωπον, ἀλλ’ οὐκ ἔστιν ὅρος αὐτοῦ. Τινὲς δὲ εἰρήκασι διατοῦτο παντοδύναμον, ὅτι μὴ δύναταί τις πάσχειν, οὐδὲ δύναται ἀπαγορεύειν, οὐδέ τι δύναται εἰς αὐτόν, καὶ ἄλλ’ ἄττα τοιαῦτα, ἃ πρὸς τὴν τελειότητα τοῦ παντοδυνάμου χωρεῖ. Τινὲς δέ φασιν, ὅτι διατοῦτο ὁ Θεὸς παντοδύναμος λέγεται, ὅτι δύναται ὅπερ ἐθέλει· καὶ τοῦτ’ ἔχει ἀφ’ ἑαυτοῦ καὶ καθ’ αὐτόν· ὃ γίνεται τῷ τρόπῳ τοῦ ἔχειν δύναμιν. Οὗτοι δ’ οἱ λόγοι πάντες ταῦτ’ ἄρ’ εἰσὶν ἐλλιπεῖς, ὅτι παραλείπουσι τὴν πρὸς τὰ ἀντικείμενα ἐνέργειαν, ἣν ἐγείρει, ἤγουν ἁρμόττει ἡ παντοδυναμότης. Καὶ διατοῦτο ῥητέον ἐστίν, ὅτι ληπτέα ἐστὶ μία τῶν τριῶν ὁδῶν, ὧν ἠψάμεθα ἐν ταῖς ἀντιθέσεσι, καὶ τῶν παράθεσιν δηλουσῶν πρὸς τὰ ἀντικείμενα.

[1.7.10] Ῥητέον τοίνυν, ὅτι καθάπερ ὑπείπομεν ἡ δύναμις τοῦ Θεοῦ, τό γε ἀφ’ ἑαυτῆς, πρὸς πάντα ἐκεῖνα τὰ ἀντικείμενα ἐκτείνεται, ὅσα μὴ ἀντίφασιν εἰσάγει. Μὴ δὲ ἔστιν ἔνστασις περὶ αὐτῶν, καὶ ἃ μὴ στέρησιν εἰσάγει, ὥσπερ τὸ δύναται ἀποθνήσκειν, ἢ σωματικὴν κίνησιν· τὸ μὲν γὰρ δύνασθαι ταῦτα, τῷ Θεῷ μὴ δύνασθαι ἐστί. Τὰ δὲ ἀντίφασιν εἰσάγοντα, ὁ Θεὸς οὐ δύναται· ἔστι γὰρ ἀδύνατα καθ’ αὐτά. Λείπεται τοίνυν ὅτι τοῦ Θεοῦ ἡ δύναμις, πρὸς ταῦτ’ ἐκτεινεται ἅ ἐστι δυνατὰ καθ’ αὐτά. Ταῦτα δ’ ἐστί, μὴ ἀντίφασιν εἰσάγοντα·

**33** δύναται] δύναιτα M **46** Hic post διατοῦτο Aq. habet: Deum. **51** τρόπῳ] τρόπου M | ἔχειν] ἔχει M **53** ληπτέα] ληπτέε M **54** ἀντιθέσεσι] ἀντιθέσιν M **59-60** δύναται – Θεοῦ] om. et al. man. add. in marg. dex. M

συνάγεται τοίνυν διατοῦτο τὸν Θεὸν, παντοδύναμον λέγεσθαι, ὅτι δύναται πάντα, ἅ ἐστι δυνατὰ καθ’ αὐτά.

[1.7.11] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Θεὸς λέγεται παντογνώστης, ὅτι γινώσκει πάντα τὰ γνωστά· τὰ ψευδῆ δὲ ἃ τυγχάνει ὄντα ἄγνωστα, ἀγνοεῖ. Τὰ δὲ καθ’ αὑτὰ ἀδύνατα, παραβάλλονται πρὸς τὴν δύναμιν, ὥσπερ τὰ ψευδῆ πρὸς τὴν γνῶσιν.

[1.7.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος προχωρήσειεν, εἰ ἡ ἀπόδοσις ὁρίζοιτο περὶ τὸ γένος τῶν δυνατῶν, τῷ τρόπῳ τῷδε, ὅτι παντοδύναμος ἐστί, διὰ τὸ ἐκτείνειν ἑαυτὸν πρὸς πάντα τὰ δυνατὰ καθ’ αὑτά.

[1.7.13] Πρὸς ἐκεῖνο δὲ ὃ ζητεῖται, ἐκ θατέρου λόγου τῆς παντοδυναμότητος, ῥητέον, ὅτι τὸ δύνασθαι ὅπερ βούλεται ποιεῖν, οὐκ ἔστιν αὐτάρκης λόγος τῆς παντοδυναμότητος, ἀλλ’ ἔστιν ἀποχρῶν τεκμήριον, τῆς αἰτίας τῆς παντοδυναμότητος· καὶ οὕτως ἐκληπτέον τὸν τοῦ Αὐγουστίνου λόγον. |

P 16r [1.7.14] Πρὸς δὲ τὸ ζητούμενον ἐκ τοῦ τρίτου λόγου, ῥητέον, ὅτι ὁ Θεὸς λέγεται παντοδύναμος, ὅτι δύναται πάντα ἀπολύτως τὰ δυνατά· καὶ διατοῦτο ἡ ἀντίθεσις οὐκ ὀρθῶς πρόεισι περὶ τῶν δυνατῶν τῷ Θεῷ καὶ τῇ φύσει.

[1.7.15] Πρὸς δὲ ἐκεῖνο ὃ τελευτῶν ζητεῖται, ῥητέον ὅτι, ἐν τοῖς ἐνεργοῦσι κατὰ θέλησιν, ὡς λέγεται ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά, ἡ δύναμις καὶ ἡ ἐπιστήμη ὁρίζονται, διὰ τῆς θελήσεως πρὸς τὸ ἔργον· καὶ διατοῦτο ἡ γνῶσις καὶ ἡ δύναμις ἐν τῷ Θεῷ ὡσανεὶ ἀόριστα καθόλου ἀπαγγέλλονται, οἷον, ὅταν λέγηται παντογνώστης ἢ καὶ παντοδύναμος· ἀλλ’ ἡ ὁρίζουσα θέλησις, οὐ δύναται εἶναι πάντων, ἡ τούτων μόνον ἐστὶ πρὸς ἃ ἡ δύναμις καὶ ἡ γνῶσις ὁρίζεται· καὶ διατοῦτο ὁ Θεὸς οὐ δύναται λέγεσθαι παντοθελής.

**78-80** ἐν-ἔργον] Ar., Metaph. IX, 1048a.10.

**62-63** τοίνυν – αὐτά] scriptor om. et add. in marg. sin. P (homoioteleuton) **76** ἀπολύτως] ἀπολύστως M **83** ἡ] εἰ M; Sed Aq (intellige ἀλλ’)

## Βιβλίον δεύτερον

## Κεφάλαιον πρῶτον

## Πότερον ἐν τοῖς θείοις ἔστι γεννητικὴ δύναμις ἢ οὔ.

[2.1.1] Ἡ ζήτησις ἐστὶ περὶ τῆς γεννητικῆς δυνάμεως ἐν τοῖς θείοις. Καὶ περὶ τοῦτο ζητεῖται πρῶτον πότερον ἐν τοῖς θείοις ἔστι γεννητικὴ δύναμις. Καὶ δοκεῖ μὴ πάνυ. Πᾶσα γὰρ δύναμις ἢ ποιητική ἐστιν ἢ παθητική. Ἀλλ' ἐν τοῖς θείοις οὐχ οἷόν τε παθητικὴν εἶναι δύναμιν τινά. Οὐδ' αὖ ἐκεῖ ἡ γεννητικὴ δύναμις ποιητικὴ δύναται εἶναι· ὅτι ὁ υἱὸς εἴη ἂν ἐνέργεια ἢ ποίημα, ὅπέρ ἐστι πολέμιον τῇ πίστει. Ἐν τοῖς θείοις ἄρα οὐκ ἔστι γεννητικὴ δύναμις.

[2.1.2] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ ὕπνου καὶ γρηγόρσεως οὗπέρ ἐστιν ἡ δύναμις, τοῦ αὐτοῦ ἐστι καὶ ἡ ἐνέργεια. Ἀλλὰ γέννησις, οὐκ ἔστιν ἐν τοῖς θείοις. Οὐδ' ἄρα γεννητικὴ δύναμις. Ἀπόδειξις τῆς μέσης. Ὁπηδήποτέ ἐστι κοινωνία φύσεως, ἐκεῖ ἐστὶ καὶ μετάληψις τῆς αὐτῆς. Ἀλλ' ἐπεὶ τὸ δέχεσθαι ἐστὶ τῆς τε ὕλης καὶ τῆς παθητικῆς δυνάμεως, ὧν οὐδέτερον ἐν τοῖς θείοις ἐστί, μετάληψις τῷ Θεῷ προσήκειν οὐχ οἷα τε. Ἐν τοῖς θείοις ἄρα, οὐ δύναται εἶναι γέννησις.

[2.1.3] Ἔτι, τὸ γεννῶν χρὴ διακεκρίσθαι ἀπὸ τοῦ γεννωμένου· οὐ μὴν κατ' ἐκεῖνο, καθ' ὃ τὸ γεννῶν κοινωνεῖ τῷ γεγεννημένῳ· ἐν γὰρ τούτῳ μάλιστα συνίασι. Δεῖ ἄρ' εἶναι ἐν τῷ γεννητῷ ἄλλό τι, παρὰ τὸ κεκοινωμένον κατὰ τὴν γέννησιν· καὶ οὕτῳ πᾶν τὸ γεγεννημένον, δεῖ εἶναι σύνθετον. Δοκεῖ γάρ, ἐν δὲ τοῖς θείοις, οὐκ ἔστι τις σύνθεσις. Οὐκ ἄρα δύναται εἶναι Θεὸς γεννητός· καὶ οὕτως οὐκ ἔστιν ἐκεῖ γέννησις· ὅθεν ταυτό, ὃ καὶ πρότερον.

[2.1.4] Χωρὶς δὲ τούτων, ἀτελές τι τῷ Θεῷ οὐ δεῖ ἀπονέμειν. Ἀλλὰ πᾶσα δύναμις ἀποσκοποῦσι πρὸς τὴν αὐτῆς ἐνέργειαν, ἀτελής ἐστι, τοσοῦτον ἡ ποιητική, ὅσον ἡ παθητική. Ἐν τῷ Θεῷ ἄρα δύναμις γεννητική, οὐχ ὑποθετέα ἐστίν.

[2.1.5] Ἀλλ' ἔλεγεν ὁ ἀποκρινόμενος, ὅτι τοῦτο ἐστὶν ἀληθές, περὶ τῆς δυνάμεως τῆς μὴ συνεζευγμένης ἐνεργείᾳ. Ἀλλὰ τοὐναντίον· ὃ γὰρ δι' ἄλλου τελειοῦται, ἧττον τέλειον ἐστί, τοῦ δι' οὗ τελειοῦται. Ἀλλ' ἡ δύναμις ἡ P 16v ἐνεργείᾳ συνημμένη, τελειοῦται διὰ τῆς ἐνεργείας. Ἡ ἐνέργεια ταύτης, | ἄρα ἐστὶ τελειοτέρα· καὶ οὕτω καὶ ἡ συνηρτημένη δύναμις ἐνεργείᾳ, ἀποσκοποῦσιν εἰς τὴν ἐνέργειαν, ἔστιν ἀτελής.

**10-11** ἐν – ἐνέργεια] Ar., De som. et vig., 454a.8: οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια.

**9** πίστει] φύσει P (fidem Aq) **14** ὧν οὐδέτερον] quae in divinis non est Aq **18** κεκοινωμένον] κεκοινωνημένον M (communicatum Aq)

[2.1.6] Ἔτι, ἡ θεία φύσις, ἔστι δραστικοτέρα ἐν τῷ ποιεῖν ἢ ἡ κτιστὴ φύσις. Ἀλλ' ἐν τοῖς κτιστοῖς εὑρίσκεταί τις φύσις, ἥτις δρᾷ, οὐ δυνάμεως ἡστινοσοῦν μεσιτευούσης, ἀλλὰ δι' ἑαυτῆς, ὥσπερ ὁ ἥλιος φωτίζει τὸν ἀέρα, καὶ ἡ ψυχὴ ζωὴν παρέχεται τῷ σώματι. Πολλῷ ἄρα ἰσχυρότερον ἡ θεία φύσις, οὐ διά τινος δυνάμεως, ἀλλὰ καθ' αὐτὴν ἔστιν ἀρχὴ γεννήσεως· ὡδὶ δὲ ἐν τοῖς θείοις οὐκ ἔστι θετέον δύναμιν γεννητικήν.

[2.1.7] Ἔτι, ἡ γεννητικὴ δύναμις ἢ προσμαρτυρεῖ φύσεως ἀξίωμα ἢ ταπεινότητα, ἀλλ' οὐ προσμαρτυρεῖ φύσεως ἀξίωμα. Ταύτη γὰρ ἂν ἦν ἐν ταῖς ὑπερεχούσαις φύσεσι μᾶλλον ἢ ἐν ταῖς χαμαιζήλοις, οἷον ἐν ἀγγέλοις καὶ τοῖς οὐρανίοις σώμασι μᾶλλον ἢ ἐν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς. Δυσγένειαν ἄρα φύσεως ἐλέγχει, καὶ οὕτως οὐκ ἔστι θετέα ἐν τῷ Θεῷ.

[2.1.8] Πρὸς δὲ τούτοις, ἐν τοῖς ὑποβεβηκόσι πράγμασι διττὴ γεννητικὴ δύναμις εὑρίσκεται, δηλαδὴ ἡ τελεία, ἥτις ἐστὶ συνουσία τῶν γενῶν, οἷον ἄρρενος καὶ θήλεος καὶ ἡ ἀτελής, ἥτις ἄνευ κοινωνίας τούτων ἐπιτελεῖται, ὡς ἐν τοῖς φυτοῖς. Εἰ δὴ οὖν ἡ τελεία οὐκ ἀποφέρεται τῷ Θεῷ, οὐ γὰρ θέμις τίθεσθαι ἐν τῷ Θεῷ συνάφειαν γενῶν, δοκεῖ ὅτι οὐδενὶ γέ τω τρόπῳ ἔστιν ἐκεῖ γεννητικὴ δύναμις.

[2.1.9] Χωρὶς δὲ τούτων ὑπὸ τῇ δυνάμει οὐδὲν ἕτερον πίπτει, ὅτι μὴ τὸ δυνατόν· ἀποσκοποῦντι γὰρ εἰς τὰ δυνατά, λέγεται δύναμις· ἡ γέννησις δέ ἐστιν ἐν τοῖς θείοις, οὐ δυνατόν, οὐδὲ ἐνδεχόμενον· καὶ γὰρ ἀίδιον· ὁρῶσι τοίνυν εἰς τὴν γέννησιν, δύναμιν ἐν τοῖς θείοις λέγεσθαι, οὐχ οἷόν τε· ὡδὶ δέ, οὐκ ἔστιν ἐνταῦθα γεννητικὴ δύναμις.

[2.1.10] Ἔτι, τῆς τοῦ Θεοῦ δυνάμεως οὔσης ἀπείρου, οὔτε κατὰ τὴν ἐνέργειαν οἷόν τε ταύτην περαίνεσθαι, οὔτε κατά τὰ ἀντικείμενα. Ἀλλ' εἰ ἔστιν ἐν τῷ Θεῷ γεννητικὴ δύναμις, ἡ ταύτης ἐνέργεια ἔστι γέννησις· ἀποτέλεσμα δὲ Υἱός. Ἡ τοῦ Πατρὸς ἄρα δύναμις, οὐκ ἔχει πρὸς ἕνα μόνον υἱόν, κατὰ τὸ γεννᾶν· ἀλλὰ πρὸς πολλούς· ὅπέρ ἐστιν ἔωλον.

[2.1.11] Παρὰ ταῦτα, κατὰ τὸν Ἀβίκενον, ἡνίκα τὶ ὃν ἔχει τὶ μόνον παρ' ἄλλου, τούτῳ καθ' αὑτὸ θεωρουμένῳ, ἀποδίδοται τὸ ἀντικείμενον ἐκείνῳ, ὥσπερ ὁ ἀὴρ μὴ ἔχων ἄλλοθεν τὸ φῶς, εἰ μὴ παρὰ τοῦ ἡλίου, καθ' αὑτὸν θεωρούμενος, ἔστι σκοτώδης· καὶ κατὰ τοῦτον τὸν τρόπον, πάντα τὰ ὄντα ὅσα ἔχει παρ' ἄλλου

**38** ταπεινότητα] indignitati Aq **43-44** οἷον – θήλεος] deest Aq **44** τούτων] sexuum Aq. **46** συνάφειαν] συνάφειν M **53** οἷον τε] deest Aq **55** Πατρὸς] Θεοῦ Πατρὸς M **62** δύναται εἶναι] εἶναι δύναται M

τὸ εἶναι, τὸ ἀληθές, τὸ ἀναγκαῖον, καθ’ αὑτὰ θεωρούμενα, εἰσὶ μὴ ὄντα ψευδῆ καὶ ἀδύνατα. Ἀλλ’ οὐδὲν τοιοῦτον ἐν τοῖς θείοις δύναται εἶναι. Οὐκ ἄρα δύναταί τι εἶναι ἐκεῖ, ἔχον τὸ εἶναι μόνον παρ’ ἄλλου· καὶ ταύτῃ οὐ δύναται εἶναι ἐκεῖ γεννητὸς τίς· καὶ διὰ τοῦ ἀναλόγου, οὔτε γέννησις, οὔτε δύναμις γεννητική.

P 17r [2.1.12] Ἄνευ δὲ τούτων ἐν τοῖς θείοις | ὁ Υἱὸς οὐκ ἔχει τί, εἰ μὴ ὃ παρὰ τοῦ Πατρὸς λαμβάνει· ἄλλως γάρ, ἕψεται εἶναι σύνθεσιν ἐκεῖ. Ἀλλὰ παρὰ τοῦ Πατρὸς λαμβάνει τὴν οὐσίαν. Ἐν τῷ Υἱῷ ἄρα οὐκ ἔστιν εἰ μὴ οὐσία. Εἰ τοίνυν ἔστι γέννησις ἐκεῖ, ἢ Υἱὸς γεννητός, δεήσει τὴν οὐσίαν εἶναι γεννητήν· ὅπέρ ἐστι ψεῦδος, ταύτη γὰρ ἡ οὐσία διακριθήσεται ἐν τοῖς θείοις.

[2.1.13] Ἔτι, εἰ ὁ Πατὴρ γεννᾷ ἐν τοῖς θείοις, δεῖ δὴ διαφέρειν τοῦτο αὐτῷ κατὰ τὴν αὐτοῦ φύσιν. Ἀλλ’ ἡ αὐτὴ τυγχάνει οὖσα φύσις Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Τῷ αὐτῷ ἄρα λόγῳ, καὶ ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα γεννήσουσιν· ὅπέρ ἐστιν ἀντίξον τῇ τῆς πίστεως διδασκαλίᾳ.

[2.1.14] Ἔτι, φύσις ἡ ἀιδίως καὶ τελείως ἐν μιᾷ ὑποστάσει εὑρισκομένη οὐ μετέχεται ἄλλῃ ὑποστάσει. Ἀλλ’ ἡ θεία φύσις τελείως εὑρίσκεται ἐν τῷ Πατρὶ καὶ ἀιδίως· ἄφθαρτος γάρ. Ἄρα ἑτέρα ὑποστάσει, οὐκ εἰς κοινωνίαν ἥκει· καὶ οὕτως οὐκ ἔστι γέννησις ἐνταῦθα.

[2.1.15] Ἄλλως τε· ἡ γέννησις, ἔστιν εἶδος μεταβολῆς. Ἀλλ’ ἐν τοῖς θείοις, οὐκ ἔστι τις μεταβολή· οὐκ ἄρα οὐδὲ γέννησις. Ἄρ’ οὐδὲ γεννητικὴ δύναμις. Ἀλλ’ ἐναντίον ἐστί, τὸ ἐν τῷ πρώτῳ τοῦ Ἰωάννου· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Εἰ γὰρ μονογενής, γεγένηται.

[2.1.16] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά, τέλειον ἕκαστον ἐστίν, ἡνίκα δύναται ἕτερον τοιοῦτο, οἷον ἔστιν αὐτὸ προάγειν. Ἀλλ’ ὁ Θεὸς καὶ Πατὴρ ἔστι τοιοῦτος. Ἄρα δύναται ἕτερον τοιοῦτον προάγειν οἷον αὐτὸς ἐστί, καὶ οὕτως δύναται γεννᾶν Υἱόν.

[2.1.17] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, εἰ γεννᾶν ὁ Πατὴρ οὐκ ἐδύνατο, ἀδύνατος ἂν ἦν. Ἀλλ’ ἐν τῷ Θεῷ, οὐδ’ ὁπητιοῦν ἔστιν ἀδυναμία. Ἄρα γεννᾶν ἐδύνατο· καὶ οὕτως ἔστιν ἐκεῖ δύναμις τοῦ γεννᾶν.

**79-81** Ἀλλ’ – γεγένηται] Io. 1, 18: ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός 82-83 ἐν – προάγειν] Ar., Metaph. V, 1021b30-1022a3: τὰ μὲν οὖν – λεγόμενα τέλεια. **86-87** ὁ – ἦν] cf. Aug., Cont. Max. II, cap. 7 (cols 761-762)

**70** διαφέρειν] διαφούρειν M **79-81** Ἀλλ’ – γεγένηται] deest Aq **80** ἐναντίον] ἐναντίου M **82** ἐν – φυσικά] deest Aq. **84-85** ἕτερον – γεννᾶν] om. et al. man. add. in marg. sin. M

[2.1.18] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡ φύσις οὑτινοσοῦν, ἐνεργείᾳ ἐστί, τὸ κοινωνοῦν ἑαυτοῦ τισίν, ὅσον οἷόν τε. Ὅθεν ὁτιοῦν ποιοῦν, ποιεῖ καθὸ ἐνεργείᾳ ἐστίν. Ὅθεν οὐδὲν ἄλλο τὸ ποιεῖν ἐστίν, ἢ κοινωνεῖν τούτου, καθ' ὃ τὸ ποιοῦν ἔστιν, ἐνεργείᾳ κατὰ τὸ ἐνδεχόμενον. Ἡ θεῖα δὲ φύσις μάλιστα, καὶ εἰλικρινέστατα ἐνέργεια ἐστίν. Ἀμέλει καὶ αὐτὴ ἑαυτῆς κοινωνεῖ τοῖς ἄλλοις, ὅσον οἷόν τε ἐστί. Κοινωνεῖ μὲν δὴ ἑαυτῆς, καθ' ὁμοιότητα μόνην τῆς δημιουργήμασιν, ὃ πᾶσιν εὔδηλόν ἐστι· καὶ γὰρ ἅπαν κτίσμα, ἔστιν ὄν, καθ' ὁμοιότητα πρὸς ἐκείνην. Ἀλλ' ἡ καθολικὴ πίστις, καὶ ἑτέραν αὐτῆς κοινωνίαν παρεισάγει· καθὸ αὐτὴ μεταλαμβάνεται μετουσίᾳ ὡσανεὶ φυσικῇ· οἷον καθάπερ ὃ μετέχεται ἡ ἀνθρωπότης, ἔστιν ἄνθρωπος, οὕτως ἐκεῖνο ᾧ μετέχεται ἡ θεότης, οὐ μόνον ἐστὶν ὅμοιον τῷ Θεῷ, ἀλλ' ἀληθῶς Θεός. Δεῖ δὲ ἐνταῦθα ἐνθυμεῖσθαι ὅτι ἡ θεία φύσις ἀπὸ τῶν ὑλικῶν εἰδῶν, δυοῖν διαφέρει. Πρῶτον μέν, καθὸ τὰ ὑλικὰ εἴδη, οὐχ ὑφέστηκε καθ' ἑαυτά· ἀμέλει καὶ ἡ ἀνθρωπότης ἐν τῷ ἀνθρώπῳ, οὐκ ἔστι ταυτὸ ὅπερ ὁ ἄνθρωπος ὃς ὑφέστηκε καθ' αὐτόν· ἡ δὲ θεότης ἔστι τὸ αὐτό, ὅπερ ὁ Θεός·
P 17v ὅθεν αὐτὴ ἡ θεία φύσις, ἔστιν ἀνθυφεστώς. | Ἕτερόν ἐστιν ὅτι οὐδὲν εἶδος ἢ φύσις κτιστή, ἔστι τὸ εἶναι αὐτῆς· ἀλλ' αὐτὸ τὸ εἶναι τοῦ Θεοῦ, ἔστιν ἡ φύσις αὐτοῦ, καὶ τὸ τί ἐστί· κἀντεῦθεν ἴδιον εἴληχεν ὄνομα τὸ ὃ ὤν, ὡς φαίνεται ἐν τῷ τῆς Ἐξόδου τρίτῳ, καὶ γὰρ οὕτω παρωνόμασται, ὥσπερ ἀπὸ ἰδίου εἴδους αὐτοῦ. Τὸ εἶδος τοίνυν ἐν τούτοις τοῖς ὑποβεβηκόσι διὰ τὸ μὴ καθ' αὑτὸ ὑφεστηκέναι, δεῖ ἐν τῷ κοινωνοῦντι εἶναι, τὶ ἐν ἄλλῳ, δι' ὃ τὸ εἶδος ἢ ἡ φύσις, τὸ ὑφεστάναι λαμβάνει· καὶ τοῦτό ἐστιν ἡ ὑποκειμένη ὕλη τοῖς ὑλικοῖς εἴδεσι καὶ ταῖς φύσεσιν. Ὅτι δὲ ἡ φύσις ἡ ὑλικὴ ἢ τὸ εἶδος οὐκ ἔστι τὸ εἶναι αὐτῆς, ἀναλαμβάνει τὸ εἶναι, καθὸ παρ' ἄλλου ὑπολαμβάνεται· ἀμέλει καθὸ ἐν διαφόροις ἐστίν, ἐξ ἀνάγκης καὶ τὸ εἶναι διάφορον ἔχει· ὅθεν ἡ ἀνθρωπότης, οὐκ ἔστι μία, ἐν τῷ Σωκράτει καὶ τῷ Πλάτωνι κατὰ τὸ εἶναι, εἰ καὶ μία εἴη κατὰ τὸν ἴδιον λόγον. Ἐν τῇ κοινωνίᾳ δὲ ᾗ ἡ θεία φύσις μεταλαμβάνεται, ὅτι αὐτὴ καθ' αὑτὴν ἐστὶν ὑφεστηκυῖα, οὐ ζητεῖται τὶ ὑλικόν, δι' οὗ τὸ ὑφεστάναι ἀναλήψεται· ὅθεν οὐκ ἐγγίνεται ἔν τινι ὥσπερ ἐν ὕλῃ· ἵν' οὕτω ὁ γεννώμενος ἐξ ὕλης καὶ εἴδους,

**90** κοινωνοῦν] κοινωνεῖν M **97** αὐτὴ] αὐτῇ M **98** φυσικῇ] φύσιν M (naturali Aq.) **108** εἴδους] εἶδος M **111** εἴδεσι] εἴδισι M **114** Σωκράτει] Σωκράτη P, M

**εὑρίσκοιτο σύνθετος. Κἀπειδὴ πάλιν αὐτὴ ἡ οὐσία αὐτοῦ ἔστι τὸ εἶναι αὐτοῦ, οὐ κομίζεται τὸ εἶναι δι᾽ ὑποκειμένων, ἐν οἷς ἐστί· τοιγάρτοι καθ᾽ ἓν καὶ τὸ αὐτὸ εἶναι ἐν τῷ μεταδιδόντι καὶ ἐν τῷ μεταλαμβάνοντι ἐστί· καὶ διατοῦτο μένει ἡ αὐτή, κατὰ τὸν ἀριθμὸν ὁποτέρῳ. Ταύτης δὲ τῆς κοινωνίας παράδειγμα, ὅταν ὁ νοῦς ἐνεργῇ, συμφωνότατα εὑρίσκεται. Αὐτὴ γὰρ ἡ θεία φύσις, ἀσώματος ἐστίν, ὅθεν καὶ διὰ παραδειγμάτων ἀσωμάτων, κρεῖττον δείκνυται. Ἡνίκα γὰρ πράγματος τινὸς ἔξω τῆς ψυχῆς ὑφεστῶτος καθ᾽ αὑτό, ὁ ἡμέτερος νοῦς ἀπομάττεται τὸ τί ἐστί, γίνεταί τις κοινωνία τοῦ καθ᾽ αὑτὸ ὑφεστῶτος πράγματος, καθὸ δὴ ἀπὸ τοῦ ἐξωτερικοῦ πράγματος ὁ ἡμέτερος νοῦς τὸ εἶδος αὐτοῦ, τρόπῳ γέ τω ἀναιρεῖται· ὃ δὴ νοητὸν εἶδος, ἐν τῷ ἡμετέρῳ νῷ ὄν, ἁμωσγέπως ἀπὸ τοῦ ἐξωτερικοῦ πρόεισι πράγματος. Ἀλλ᾽ ἐπεὶ τὸ ἐξωτερικὸν πρᾶγμα διάφορον τῇ φύσει τοῦ νοοῦντος ἐστίν, ἕτερον ἐστὶ τὸ εἶναι τοῦ εἴδους, ὃ νοῦς συνελὼν ἔχει, καὶ τοῦ πράγματος ὃ καθ᾽ αὑτὸ ἔξω ὑφεστῶς τυγχάνει ὄν. Ὅταν δὲ ὁ ἡμέτερος νοῦς τὸ τί ἐστιν ἑαυτοῦ συνίησιν, ἑκάτερον συντηρεῖται· ὅτι δηλαδή, καὶ αὐτὸ τὸ νοηθὲν εἶδος, ἀπὸ τοῦ νοοῦντος νοῦ, τρόπῳ γέ τῳ πρόεισιν, ἐφόσον ὁ νοῦς αὐτομορφεῖ· καί τις ἑνότης τηρεῖται, ἔν τε τῷ νοουμένῳ εἴδει, ὃ πρόεισι, καὶ τῷ πράγματι ὅθεν πρόεισιν, ἑκατέρου γὰρ τὸ εἶναι νοητόν· τὸ μέν, γάρ ἐστιν ὁ νοῦς, θάτερον δὲ τὸ νοητὸν εἶδος, ὃ καλεῖται τοῦ νοῦ ὁ λόγος. Ὅτι μέντοι ὁ νοῦς οὐκ ἔστι κατὰ τὴν αὐτοῦ οὐσίαν αὐτονοητόν, οὔτε ἔστι ταυτὸ ὁ νοῦς τοῦ ἀνθρώπου, ὅπερ ἡ ψυχὴ τῇ φύσει· ἕπεται τὸν προειρημένον λόγον, καὶ εἰ εἴη ἐν τῷ νῷ, καί τινι τρόπῳ**
P 18r **ὁμοειδής, μὴ εἶναι ὅμως | τὸν αὐτόν, ὅπερ αὐτὴ ἡ οὐσία τοῦ νοῦ, ἀλλά τις ἐκπεσοῦσα αὐτοῦ ὁμοιότης· οὔτε μὴν πάλιν ἐν τῇ ἀναλήψει τοῦ τοιούτου νοητοῦ εἴδους, ἡ ἀνθρωπίνη φύσις μεταλαμβάνεται, ὥστε γέννησις ἰδίως δύνασθαι λέγεσθαι, ἣ δὴ γέννησις τὴν κοινωνίαν τῆς φύσεως δηλοῖ. Ἀλλὰ γὰρ καθάπερ ἐν τῷ ἡμετέρῳ νῷ ἑαυτὸν νοοῦντι εὑρίσκεταί τις λόγος προϊὼν ἀπ᾽ αὐτοῦ, οὗ τὴν ὁμοιότητα φέρει προϊών· οὕτω κἀν τοῖς θείοις εὑρίσκεται λόγος, τὴν ὁμοιότητα φέρων ἀφ᾽ οὗ πρόεισιν. Οὗ δὴ πρόοδος, δυοῖν τοῦ ἡμετέρου λόγου τῆς προόδου πλεονεκτεῖ. Πρῶτον μέν, ὅτι ὁ ἡμέτερος λόγος**

**138** ὁ] deest M. Post νοῦς Aq. habet: noster. **139** αὐτονοητόν] deest M; in acto perfecto intellectualitatis Aq **147** εὑρίσκεται] εὑρίσκηται P (invenitur Aq.)

διαλλάττει ἀπὸ τῆς οὐσίας τοῦ νοῦ, ὥσπερ εἴρηται· ὁ δὲ θεῖος νοῦς ὅς ἐστιν αὐτονοητόν, κατὰ τὴν ἑαυτοῦ οὐσίαν, οὐχ οἷος τε ἕτερον εἶδος ἀναλέγεσθαι, ὃ μὴ ἔστιν ἡ αὐτοῦ οὐσία· ὅθεν λόγος ἐστὶ μιᾶς οὐσίας σὺν αὐτῷ, καὶ πάλιν ἡ θεία φύσις αὐτή, ἔστιν ἡ αὐτῆς νοερότης· καὶ οὕτως ἡ γενομένη κοινωνία κατὰ τὸν τοῦ νοεῖν τρόπον, ἔστι καὶ κατὰ τὸν τῆς φύσεως, καὶ διατοῦτο γέννησις δύναται λέγεσθαι· ὅθεν κἀν τῷ δευτέρῳ, τὴν πρόοδον τοῦ ἡμετέρου λόγου, ὁ τοῦ Θεοῦ λόγος ὑπερβαίνει. Τοῦτον δὲ τὸν τρόπον τῆς γεννήσεως, ὁ Αὐγουστῖνος ἀποδίδωσιν, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ.

Ἐπεὶ δὲ τῶν θείων πέρι διαλεγόμεθα κατὰ τὸν εἰωθότα τρόπον, ὃν ὁ ἡμέτερος νοῦς λαμβάνει ἐκ τῶν χαμαιζήλων πραγμάτων, ἐξ ὧν τὰς δόξας ἀναλέγεται, δι’ ἄρα τοῦτο καθάπερ ἐν τοῖς καθ’ ἡμᾶς ᾧ ἀποδίδοται ἐνέργεια, ἀποδίδοται καί τις ἐνεργείας ἀρχή, ὃ δύναμις καλεῖται· οὕτω κἀν τοῖς θείοις, εἰ καὶ ἐν τῷ Θεῷ μὴ ἔστι τις διαφορότης δυνάμεως καὶ ἐνεργείας, ὥσπερ ἐν τοῖς κτιστοῖς πράγμασι. Καὶ διατοῦτο ἐν τῇ γεννήσει ἥτις ἐν αὐτῷ τίθεται κατά τινα τρόπον ἐνεργείας σημαινομένη, δεῖ συγχωρεῖν δύναμιν τοῦ γεννᾶν, ἢ γεννητικὴν δύναμιν.

[2.1.19] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ ἐν τῷ Θεῷ τιθεμένη δύναμις, οὔτε ἰδίως ποιητικὴ λέγεται, οὔτε παθητική, οὐδὲ γάρ ἐστιν ἐν αὐτῷ δράσεως ἢ πίσεως κατηγορία, εἴπερ ἡ αὐτοῦ ἐνέργεια ἔστιν ἡ οὐσία αὐτοῦ· ἀλλ’ ἔστιν ἡ ἐκεῖ δύναμις, ὡς δύναμις δράσεως σημαινομένη. Διὸ οὐδὲ προσῆκε τὸν Υἱὸν, ἐνέργειαν εἶναι ἢ ποίημα, ὥσπερ μὴ δὲ προσήκει δράσιν ἢ πίσιν ἰδίως εἶναι ἐκεῖ.

[2.1.20] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦ λαμβάνειν ὁριζομένου, καθάπερ πρὸς τέλος τὸ ἔχειν· διχῇ λέγεταί τι λαμβάνειν, ὥσπερ καὶ τὸ ἔχειν ἔστι δισσόν. ἢ γὰρ ὁπῃδήποτε ἔξει ἔχει παρὰ τὴν οὐσίαν τὴν ἑαυτοῦ ὁ ἔχων· ἢ ἑτέρῳ τρόπῳ ἔχει, καθάπερ τὸ ἄτομον τὴν φύσιν, ᾗ δή, ὁδὶ ὁ ἄνθρωπος τὴν ἀνθρωπότητα, ἥτις οὐκ ἔστι παρὰ τὴν οὐσίαν τοῦ ἔχοντος, μᾶλλον μὲν οὖν ἔστιν οὐσία αὐτοῦ. Ὁ γὰρ Σωκράτης ἔστιν ἀληθῶς ὅπερ ὁ ἄνθρωπος. Ὁ γεννηθεὶς ἄρα ἄνθρωπος οὐ λαμβάνει τὸ εἶδος τοῦ γεννῶντος, ὥσπερ ἡ ὕλη τὸ εἶδος, ἢ ὥσπερ ὑποκείμενον, ἀλλ’ ὥσπερ ὑπόστασις, ἢ ἄτομον ἔχει τὴν φύσιν τοῦ εἴδους· ὡς δέ, κἀν τοῖς θείοις ἔχει. Ὅθεν οὐ δεῖ ἐν τῷ Θεῷ τιθέναι τινὰ ὕλην ἢ παθητικὴν δύναμιν ὑποκειμένην τῇ θείᾳ φύσει, ἀλλὰ τὸν Υἱὸν
P 18v αὐτόν, ὑφεστη|κέναι καθ’ αὐτόν, ὃς τὴν θείαν φύσιν οὐκ ἔχει, ἀλλ’ ἔστιν αὐτή.

**150** αὐτονοητόν] deest P; in perfecto actu intellectualitatis Aq **166** πίσεως] sic P, M; passionis Aq. | ἐνέργεια] ἐνέργει M **169** ἐνέργειαν – εἶναι] om. et al. man. add. in marg. sin. M **170** τι] deest P (aliquid Aq.) **171** Hic post δισσόν Aq. habet: Habet enim uno modo materia formam suam, et subiectum accidens.

**[2.1.21] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ γεννητὸς Θεός, οὐ διακρίνεται ἀπὸ τοῦ γεννῶντος Θεοῦ κατά τινα οὐσίας προσθήκην· εἴρηται καὶ γὰρ μὴ ζητεῖσθαί τινα ὕλην, μεθ' ἧς ἂν γίγνοιτο ἡ θεία φύσις. Διακρίνεται δὲ κατὰ μόνην ἀναφοράν, ἥτίς ἐστι τὸ ἀπ' ἄλλου ἔχειν τὴν φύσιν, οὕτως ὥστε ἐν τῷ Υἱῷ ταύτην τῆς υἱότητος τὴν ἀναφορὰν τόπον ἐπέχειν πασῶν τῶν ἀρχῶν, δι' ὧν τὰ ἄτομα ἐν τοῖς κτιστοῖς γίνεται· διὰ γάρ τοι τοῦτο λέγεται προσωπικὴ ἰδιότης, αὐτὴ δὲ ἡ θεία φύσις ἐπέχει τόπον τῆς φύσεως τοῦ εἴδους. Αὐτῆς δὲ τῆς ἀναφορᾶς κατὰ τὸ πρᾶγμα τῇ θείᾳ φύσει μὴ διαφερούσης, οὐκ ἔστιν ἐκεῖ τις συνθήκη, καθάπερ παρ' ἡμῖν ἐκ τῶν ἀρχῶν τοῦ εἴδους, καὶ ἐξ ὧν τὰ ἄτομα σύνθεσις καταλείπεται.**

**[2.1.22] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν, ἡνίχ' ἡ δύναμις ἐκείνη διαφέρει τῆς ἐνεργείας, εἴτε ἔστι συνημμένη ἐνεργείᾳ, ἢ μή· ταῦτα δὲ οὐκ ἔχει χώραν ἐν τοῖς θείοις.**

**[2.1.23] Καὶ οὕτως ἀνέωγε λύσις καὶ πρὸς τὸ πέμπτον.**

**[2.1.24] Πρὸς δὲ τὸ ἕκτον ῥητέον, ὅτι πᾶν ὅπέρ ἐστιν ἀρχὴ ἐνεργείας, ὡς ᾧ γίνεταί τι, λόγον ἔχει δυνάμεως· εἴτε ἔστι δύναμις, εἴτε μέσον συμβεβηκός, εἴτε ποιότης τὶς μεταξὺ οὐσίας καὶ ἐνεργείας. Ἐν τοῖς κτιστοῖς μέντοιγε σώμασιν ἢ σπανίως ἢ οὐδεπώποτε εὑρίσκεταί τις ἐνέργεια οὐσιώδης φύσεως τινὸς μὴ μεσιτεύοντός τινος συμβεβηκότος· ὁ γὰρ ἥλιος μεσιτεύοντος τοῦ ἐν αὐτῷ φωτὸς φωτίζει. Ὅτι δὲ ἡ ψυχὴ ζωὴν παρέχεται τῷ σώματι, ἔστι διὰ τῆς οὐσίας αὐτῆς. Ὃ δή, τὸ ζωὴν παρέχεσθαι τῷ σώματι, εἰ καὶ ὥσπέρ τις ἐνέργεια λέγεται, ὅμως οὐκ ἔστιν ἐν τῷ τῆς ἐνεργείας γένει, ἐφόσον μᾶλλον ἐστὶν ἐνέργεια, πρώτη ἢ δευτέρα.**

**[2.1.25] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι ἐν τοῖς κτιστοῖς οὐ δύναται εἶναι γέννησις ἄνευ διαιρέσεως τῆς οὐσίας ἢ τῆς φύσεως κατὰ τὸ εἶναι· οὐ γάρ ἐστιν ἡ φύσις, τὸ αὐτῆς εἶναι· καὶ διατοῦτο ἐν τοῖς κτίσμασι δυσγένειαν προστρίβεται τῇ φύσει ἡ γέννησις· διὸ καὶ τοῖς ἀμείνοσι κτίσμασιν οὐ προσήκει γέννησις. Ἀλλ' ἐν τῷ Θεῷ δύναται εἶναι ἄνευ τούτου ἤ τινος ἄλλου ἀτελοῦς· καὶ διατοῦτο οὐδὲν προσίσταται γέννησιν ἐκεῖ τιθέναι.**

**[2.1.26] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐκ τῆς ὑλικῆς γεννήσεως. Ὅθεν πρὸς τὸ προκείμενον λόγον οὐκ ἔχει.**

**190** μὴ] bis acc. P **198-199** τὸ -- παρέχεσθαι] verificare Aq. **205** δυσγένειαν – τῇ φύσει] est generatio cum aliqua indignitate **207** πρόεισιν] πρόησιν] M

[2.1.27] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὸ ἀντικείμενον τῇ ποιητικῇ δυνάμει ἢ τῇ παθητικῇ, οὗτινος ἢ δράσις ἢ πεῖσις ἐστὶ μετὰ κινήσεως, δεῖ εἶναι δυνατὸν καὶ ἐνδεχόμενον, ἐφόσον πᾶν κινητὸν ἔστι τοιοῦτον. Τοιαύτη δὲ δύναμις γεννητικὴ οὐκ ἔστιν ἐν τῷ Θεῷ, ὡς εἴρηται· ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[2.1.28] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς οὐκ ἔχει πρὸς τὴν γεννητικὴν δύναμιν ὥσπερ ἀποτέλεσμα, τῆς ἐκκλησίας γεγεννημένον, οὐ πεποιημένον αὐτὸν ὁμολογούσης. Εἰ μέντοι εἴη καὶ ἀποτέλεσμα, ἡ τοῦ γεννῶντος δύναμις οὐκ ἂν περανθείη πρὸς αὐτόν, εἰ καὶ ἄλλον υἱὸν |
P 19r γεννᾶσθαι οὐχ οἷόν τε, ὅτι αὐτὸς ἄπειρος ἐστίν. Ὅτι δὲ ἐν τοῖς θείοις ἄλλος υἱὸς εἶναι οὐ δύναται, συνᾴδει· αὐτὴ γὰρ ἡ υἱότης ἐστὶν ἰδιότης προσωπικὴ αὐτοῦ ἐπὶ τοσοῦτον, καθάπερ οὖν ὑποκατιόντες ἐροῦμεν, ὡς διὰ ταύτης ἄτομον γίνεσθαι. Ὁτῳδήποτε δὲ ἀτόμῳ αἱ ἄτομον αὐτὸ ποιοῦσαι ἀρχαί, μόνῳ εἰσὶν αὐτῷ· ἄλλως γὰρ ἕψεται τὸ πρόσωπον ἢ τὸ ἄτομον οἷόν τε μετέχεσθαι εἶναι κατ᾽ ἐπίνοιαν.

[2.1.29] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος τοῦ Ἀβικένου χώραν ἔχει, ἡνίκα τὸ λαμβανόμενον παρ᾽ ἄλλου οὐκ ἔστι ταὐτὸ τῷ ἀριθμῷ ἐν τῷ διδόντι καὶ τῷ λαμβάνοντι, ὥσπερ ἐν τοῖς κτίσμασι συμβαίνει ἀποσκοποῦσιν εἰς τὸν Θεόν. Ὅθεν τὸ εἶναι ὃ λαμβάνει τὰ δημιουργήματα κατὰ παράθεσιν, ἐστὶν ὡσανεὶ ματαιότης ἀποσκοποῦσιν εἰς τὸ τοῦ Θεοῦ εἶναι· ἡ γὰρ κτίσις οὐ δύναται μεταλαβεῖν τοῦ εἶναι τὴν τελειότητα ἐκείνην, καθ᾽ ἣν ἐστὶν ἐν τῷ Θεῷ. Ὁ δὲ Υἱὸς ἐν τοῖς θείοις λαμβάνει παρὰ τοῦ Πατρὸς τὴν αὐτὴν φύσιν, καὶ τῷ ἀριθμῷ, ἣν ὁ Πατὴρ ἔχει. Καὶ διατοῦτο ὁ λόγος οὐ προβαίνει.

[2.1.30] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ὁ Υἱὸς οὐκ ἔχει τι πραγματικῶς διῃρημένον ἀπὸ τῆς οὐσίας, ἣν παρὰ τοῦ Πατρὸς λαμβάνει· ἀλλὰ τοῦτ᾽ αὐτὸ τὸ παρὰ τοῦ Πατρὸς λαμβάνειν δεῖ εἶναι καὶ ἀναφορὰν ἐν αὐτῷ, ᾗ πρὸς τὸν Πατέρα ἀναφέρεται, καὶ δι᾽ ἧς ἀπ᾽ αὐτοῦ διακρίνεται. Καὶ μὲν δὴ αὕτη ἡ ἀναφορὰ πραγματικῶς ἀπὸ τῆς οὐσίας οὐ διενήνοχε.

[2.1.31] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ αὐτὴ φύσις ἐστὶν ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἔστι μέντοι κατ᾽ ἄλλον τρόπον ὑπάρξεως, εἴτουν σὺν ἄλλῃ ἀναφορᾷ, καὶ διατοῦτο οὐκ ἀναγκαῖον ὅτι, εἴ τι προσήκει τῷ Πατρὶ κατὰ τὴν φύσιν αὐτοῦ, προσήκει καὶ τῷ Υἱῷ.

**216-217** γεγεννημένον – πεποιημένον] Symb. Fid.

**212** πεῖσις] πίσις P **217** αὐτὸν ὁμολογούσης] confiteamur Aq. **221-222** καθάπερ – γίνεσθαι] et hoc quo, ut ita dicam, individuatur Aq. | γίνεσθαι] γενέσθαι P **223** ἄλλως] ἄλλος M **232** ὁ λόγος] deest Aq. **233** πραγματικῶς] πρακτικῶς M **235** καὶ] deest M, Aq **238** ἡ] deest P **240** εἴ τι] deest P (quidquid Aq.)

**[2.1.32] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὰ δημιουργήματα διὰ τοῦ μετέχειν τῆς φύσεως τοῦ εἴδους τυγχάνουσι τῆς θείας ὁμοιότητος· ὅθεν, ἡνίκα ὑπόστασίς τις κτιστὴ ὑφέστηκεν ἐν τῇ φύσει τῇ κτιστῇ, ἔχει τάξιν πρὸς ἄλλο ὥσπερ πρὸς τέλος· καὶ διατοῦτο ἡνίκα ἀποχρώντως ἔφοδός ἐστι πρὸς τὸ τέλος ἑνὸς ἀτόμου διὰ τελείαν καὶ ἰδίαν μετουσίαν τῆς φύσεως τοῦ εἴδους, οὐ δεῖ ἕτερον ἄτομον ἐν ἐκείνῃ τῇ φύσει ὑφεστάναι. Ἀλλ' ἡ θεία φύσις ἐστὶ τέλος καὶ οὐ διά τι τέλος. Τῷ δὲ τέλει προσήκει μετέχεσθαι κατὰ πάντα τὸν δυνατὸν τρόπον. Ὅθεν κἂν εἰ ἐν μιᾷ ὑποστάσει τελείως καὶ ἀιδίως εὑρίσκεται ἡ φύσις, οὐδὲν ἐνίσταται καὶ ἐν ἄλλῃ εὑρίσκεσθαι.**

**[2.1.34] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἡ γέννησίς ἐστιν εἶδος μεταβολῆς ἐκ τοῦ μέρους ἐκείνου, ᾧ ἡ φύσις κατὰ τὴν γέννησιν μετεχομένη μεταλαμβάνεται ἐν ἑτέρᾳ ὕλῃ, ἥτις ἐστὶ μεταβολῆς ὑποκείμενον. Τοῦτο δὲ ἐν τῇ θείᾳ φύσει οὐ συμβαίνει· ἀμέλει καὶ ὁ λόγος οὐ προβαίνει. |**

**245** πρὸς] πρὸ M **246** τελείαν] τελεῖαν P | τοῦ εἴδους] deest P (speciei Aq.) **248** τι] deest P

P 19v

## Κεφάλαιον δεύτερον

### Πότερον ἡ δύναμις ἡ γεννητικὴ [in divinis] ἐν τοῖς οὐσιώδεσιν ἐξετάζεται ἢ ἐν τοῖς γνωριστικοῖς.

[2.2.1] Δεύτερον ζητεῖται πότερον ἡ δύναμις ἡ γεννητικὴ [in divinis] ἐν τοῖς οὐσιώδεσιν ἐξετάζεται ἢ ἐν τοῖς γνωριστικοῖς. Καὶ δοκεῖ ὅτι ἐν τούτοις μόνοις. Ἡ γὰρ δύναμις λόγον ἀρχῆς ἐπέχει, ὡς φαίνεται διὰ τῶν κειμένων ὅρων αὐτῆς ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλ' ἐν τοῖς θείοις ἡ ἀρχὴ ἀποσκοποῦσιν εἰς τὰ θεῖα πρόσωπα εἰς τὰ γνωριστικὰ τελεῖ. Ἐπεὶ τοίνυν ἡ τοῦ γεννᾶν δύναμις ἀρχὴν παρέχεται τούτῳ τῷ τρόπῳ, δοκεῖ ἐν τοῖς γνωριστικοῖς λέγεσθαι.

[2.2.2] Ἀλλ' ἔλεγεν ὅτι ὁμοῦ σημαίνει οὐσίαν καὶ γνώρισμα. Ἀλλὰ τοὐναντίον, ἐν τοῖς θείοις κατὰ τὸν Βοήτιον, δύο εὑρίσκονται κατηγορίαι· ἥ τε τῆς ὑπάρξεως, ἣ προσήκει τῇ οὐσίᾳ, καὶ ἡ τῶν πρός τι, οἷς προσήκει τὰ γνωριστικά. Οὐ δύναται δέ τι εἶναι ἐν δυοῖν κατηγορίαιν· ὁ γὰρ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ἕν, εἰ μὴ κατὰ συμβεβηκός, ὡς ἔγκειται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ἄρ' ἡ τοῦ γεννᾶν δύναμις, οὐ δύναται τῷ ἰδίῳ λόγῳ ἑκατέρων περιέχεσθαι, οἷον οὐσίας καὶ γνωρισμάτων.

[2.2.3] Ἔτι, ἐν τοῖς θείοις ἡ ἀρχὴ διακρίνεται τοῦ οὗ ἐστιν ἀρχή. Ἡ δὲ οὐσία οὐ διακρίνεται. Οὐκ ἄρ' αὐτῇ συμβαίνει ὁ τῆς ἀρχῆς λόγος. Καὶ οὕτως ἡ δύναμις, ἣ τοῦ λόγου τῆς ἀρχῆς προσήκει, οὐκ οὐσίαν σημαίνει.

[2.2.4] Χωρὶς δὲ τούτων, ἐν τοῖς θείοις ὅπέρ ἐστιν ἴδιον, ἀναφορικὸν καὶ γνωριστικὸν ἐστίν· ὃ δὲ κοινόν, ἐστὶν οὐσιῶδες καὶ ἀπολελυμένον. Ἡ δὲ τοῦ γεννᾶν δύναμις οὐκ ἔστι κοινὴ Πατρὶ καὶ Υἱῷ, ἀλλ' ἰδία τοῦ Πατρός. Ἄρα λέγεται ἀναφορικῶς ἢ γνωριστικῶς, ἀλλ' οὐκ οὐσιωδῶς οὐδὲ ἀπολύτως.

[2.2.5] Ἔτι, τῆς ἰδίας ἐνεργείας ἐστὶν ἀρχὴ τὸ ἴδιον εἶδος, οὐ τὸ κοινόν· καθάπερ ἔχει κἀπὶ τοῦ διὰ νοῦ νοοῦντος ἀνθρώπου· ἡ γὰρ ἐνέργεια αὕτη ἐστὶν ἰδία αὐτοῦ ἀποσκοποῦσι πρὸς τὰ ἄλλα ζῷα, ὥσπερ καὶ τὸ τῆς λογικότητος ἢ τῆς νοερότητος εἶδος ἴδιόν ἐστιν αὐτῷ. Ἀλλ' ἡ γέννησίς ἐστιν ἰδία τοῦ Πατρὸς ἐνέργεια, ἐφόσον ἐστὶ Πατήρ. Ἀρχὴ ταύτης ἄρα ἐστὶν ἡ πατρότης, ἥτις ἐστὶν ἴδιον εἶδος τοῦ Πατρός, καὶ οὐχ ἡ θεότης, ἥτις ἐστὶ κοινὸν εἶδος. Ἡ δὲ πατρότης

**5-7** Ἡ -- φυσικά] Ar., Metaph. V, 1019a.15-16: Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἡ ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον **10-12** ἐν – γνωριστικά] cf. Boet., De Trin., cap. IV: Decem omnino praedicamenta traduntur quae de rebus omnibus universaliter praedicantur, id est substantia, qualitas, quantitas, ad aliquid, ubi, quando, habere, situm esse, facere, pati. **13-14** ὁ -- φυσικά] Ar., Metaph. V, 1017a.13-16: τὸν γὰρ ἄνθρωπον ὅταν μουσικὸν λέγωμεν καὶ τὸν μουσικὸν ἄνθρωπον, ἢ τὸν λευκὸν μουσικὸν ἢ τοῦτον λευκόν, τὸ μὲν ὅτι ἄμφω τῷ αὐτῷ συμβεβήκασι, τὸ δ' ὅτι τῷ ὄντι συμβέβηκε...

**7** πρώτῳ] V Aq **18** τοῦ λόγου] intellige τῷ λόγῳ | ἣ] ᾗ P **25** ἀποσκοποῦσι] respectu Aq.

πρός τι λέγεται. Ἡ τοῦ γεννᾶν ἄρα δύναμις οὐχ ὅπως τῷ γε τῆς ἀρχῆς λόγῳ, ἀλλὰ καὶ ὅσον πρὸς τοῦθ' ὃ λέγεται ἀρχὴ αὐτῆς, τῶν πρός τι ἐστίν.

[2.2.6] Ἄνευ δὲ τούτων, ὥσπερ ἡ δύναμις ἡ γεννητικὴ πράγματι τῆς θείας οὐσίας οὐ διενήνοχεν, οὕτως οὐδ' ἡ πατρότης. Ἀλλὰ μηδενὸς αὕτη ἐναντιουμένου ἡ πατρότης, λέγεται μόνον πρός τι. Καὶ ἡ γεννητικὴ ἄρα δύναμις οὐκ ὀφείλει μετὰ τῆς ἀναφορᾶς οὐσίαν προσημαίνειν.

[2.2.7] Ἔτι, ἐν τοῖς θείοις τρία εὑρίσκομεν τὸ κράτος τῆς ἀρχῆς ἔχοντα, δύναμιν, γνῶσιν, καὶ θέλησιν, οὐσιωδῶς λεγόμενα ἐν τῷ Θεῷ. Ἀλλ' ἡ γνῶσις καὶ ἡ θέλησις οὐ προσημαίνουσί τινα ἀναφορὰν ἢ γνώρισμα ἐν τοῖς θείοις. Δι' ἴσου
P 20r ἄρα οὐδὲ ἡ δύναμις προσημαίνει τι· καὶ ταύτῃ γε οὐχ οἷόν τε | λέγεσθαι, ὡς ἡ τοῦ γεννᾶν δύναμις τῷ μὲν τῆς δυνάμεως μέρει οὐσίαν ἐμφαίνει, τῷ δὲ τῆς γεννήσεως ἀναφοράν, ἀλλὰ δοκεῖ μόνον ἀναφοράν, δι' ὧν ὑπείπομεν λόγων.

[2.2.8] Ἀλλ' ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Διδασκάλου λεγόμενον ἐν τῷ δευτέρῳ τμήματι, τοῦ πρώτου τῶν Ἀξιωμάτων, ὅτι ἡ τοῦ γεννᾶν δύναμις ἐν τῷ Πατρὶ ἔστιν αὐτὴ ἡ θεία οὐσία.

[2.2.9] Ἔτι τε καὶ ὁ Ἱλάριος φησίν, ὅτι ὁ Πατὴρ γεννᾷ δυνάμει φύσεως. Αὕτη ἄρα ἡ φύσις ἐστὶ τῆς γεννήσεως ἀρχή· καὶ διατοῦτο λόγον ἔχει δυνάμεως.

[2.2.10] Πρὸς δὲ τούτοις, ὅ τε Δαμασκηνὸς εἴρηκεν, ὅτι ἡ γέννησις ἐστίν, ἔργον φύσεως ἐνύπαρκτον. Καὶ οὕτω ταὐτόν, ὅπερ πρῴην.

[2.2.11] Ἔτι, ἐν τοῖς θείοις ἔστι μόνον μία δύναμις. Ἀλλ' ἡ τοῦ δημιουργεῖν δύναμις λέγεται οὐσιωδῶς. Ἄρα καὶ ἡ τοῦ γεννᾶν δύναμις.

[2.2.12] Ἀπόκρισις. Ῥητέον ὅτι περὶ τοῦτο πολυσχεδὴς ἔστι δόξα. Τινὲς μὲν γὰρ ἔφασαν, ὅτι ἡ τοῦ γεννᾶν δύναμις ἐν τοῖς θείοις λέγεται μόνον πρός τι. Καὶ ὑπήγοντο ταῦτα φρονεῖν τῷδε τῷ λόγῳ, ὅτι ἡ δύναμις κατὰ τὸν ἑαυτῆς λόγον, ἐστὶν ἀρχή τις· ἡ δ' ἀρχὴ ἀναφορικῶς λέγεται καὶ ἐστὶ γνωριστικόν, εἴ γε ἀναφέροιτο πρὸς θεῖον πρόσωπον καὶ μὴ πρὸς τὰ κτίσματα. Ἀλλ' ἐν τούτῳ τῷ λόγῳ δοκοῦσι παρῆχθαι διχόθεν. Πρῶτον μέν· εἰ γὰρ καὶ ἡ θεία δύναμις οἰκειοῦται τῷ λόγῳ τῆς ἀρχῆς, ἥτις δὴ ἀρχὴ ὑπὸ τῷ τῶν πρός τι λόγῳ τελεῖ, ὅμως ἡ τῆς ἐνεργείας ἀρχὴ ἢ τοῦ πάθους οὐκ ἐστὶ πρός τι, ἀλλά τι εἶδος ἀπολελυμένον· καὶ τοῦτό ἐστι τὸ τῆς δυνάμεως περιόν τοι γάρ τοι καὶ ὁ

**41-43** ἐν – οὐσία] Lomb., Sent I, dist. 7, 6 (PL 192 col. 542): Pater non est potens nisi natura; ejus enim potentia natura est vel essentia. **44** ὁ -- divinae] Hilar., De syn., 58 (col. 520C): Omnibus creaturis substantiam voluntas Dei attulit ... voluntatis essentiam. **46-47** ἡ -- ἐνύπαρκτον] Dam., De fid. orth. I, 3 (PG 94, 813A): ἡ μὲν γέννησις ἄναρχος καὶ ἀΐδιος, φύσεως ἔργον οὖσα.

**32** αὕτη] ἄν τι M **38** προσημαίνει] προσειμένει M **39** γεννᾶν – τῆς] om. et al. man. add. in marg. dex. M **44** δυνάμει] bis acc. P. Post φύσεως Aq. habet divinae. **49** δύναμις] δυνάμεις M **56** θεῖα] deest Aq **60** δὲ] bis acc. P

Φιλόσοφος οὐ τίθησιν αὐτὴν ἐν τῷ τῶν πρός τι γένει, ἀλλ’ ἐν τῷ τῆς ποιότητος, ὡς δὲ καὶ τὴν ἐπιστήμην, εἰ καὶ ἀμφοῖν συμβαίνει τις ἀναφορά. Δεύτερον, ὅτι τὰ ἐν τοῖς θείοις ἀρχὴν σημαίνοντα ἀποσκοποῦσι πρὸς τὰς ἐνεργείας, οὐ λέγεται ἀρχαὶ γνωριστικαί· ἀλλ’ ὅσα μόνον ἀρχὴν ἐνδείκνυται, ἀποσκοποῦσιν εἰς τὸ τῆς ἐνεργείας πέρας. Ἡ γὰρ λεγομένη γνωριστικῶς ἀρχὴ ἐν τοῖς θείοις, ἀποσκοποῦσιν εἰς τὸ ὑφεστὼς πρόσωπον λέγεται, ἡ δὲ ἐνέργεια οὐ δηλοῦται ὡς ὑφεστώς· ἀμέλει καὶ ὅσα ἀποσκοποῦσιν εἰς τὰς ἐνεργείας λόγον ἀρχῆς ἔχει, οὐ δεῖ γνωριστικῶς ἐν τοῖς θείοις λέγεσθαι· ἐπεὶ καὶ ἡ θέλησις καὶ ἡ ἐπιστήμη καὶ ἡ νόησις ἀντὶ γνωρισμάτων λέγοιτ’ ἄν, καὶ τὰ ἄλλα τὰ ὁμόστοιχα.

Ἡ δὲ δύναμις, εἰ καί ἐστιν ἀρχὴ καὶ τῆς ἐνεργείας καὶ τοῦ διὰ τῆς ἐνεργείας προηγμένου, ὅμως θάτερον μὲν αὐτῇ συμβαίνει, τὸ δ’ ἕτερον καθ’ αὑτὴν αὐτῇ προσήκει. Οὐ γὰρ ἡ ἐνεργητικὴ δύναμις ἀεὶ διὰ τῆς αὐτῆς ἐνεργείας ὄν τι παράγει, ὅπέρ ἐστι πέρας τῆς ἐνεργείας (καὶ γάρ εἰσι πολλαὶ ἐνέργειαι μὴ ἔχουσαί τι πεποιημένον, ὡς ὁ Φιλόσοφος φησὶν ἔν τε τῷ πρώτῳ τῶν Ἠθικῶν καὶ ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά), αἰεὶ δὲ ἡ δύναμίς ἐστιν ἐνεργείας ἢ πράξεως ἀρχή. Ὅθεν οὐδὲ δεῖ διὰ τὴν τῆς ἀρχῆς ἀναφοράν, ἣν τὸ ὄνομα τῇ P 20v δυνάμει πρυτανεύεται, ἀναφορικῶς λέγεσθαι ἐν τοῖς θείοις. | Αὐτή τε ἡ θέσις οὐ σύμφωνος τῇ ἀληθείᾳ δοκεῖ. Εἰ γὰρ τοῦτό ἐστι δύναμις, ὅπέρ ἐστιν αὐτὸ τὸ πρᾶγμα τὸ ὂν ἐνεργείας ἀρχή, δεῖ τὴν θείαν φύσιν εἶναι τοῦτο, ὅπέρ ἐστιν ἡ ἀρχὴ ἐν τοῖς θείοις. Ἐπεὶ γὰρ πᾶν τὸ ποιοῦν, ἐφόσον τοιοῦτον, ποιεῖ ὅμοιον ἑαυτῷ, ἐκεῖνο ἐστὶν ἀρχὴ γεννήσεως ἐν τῷ γεννῶντι, καθὸ ὁ γεννώμενος ἀφομοιοῦται τῷ γεννῶντι· ὁ γὰρ ἄνθρωπος δυνάμει φύσεως γεννᾷ υἱόν, ὃς ὅμοιος αὐτῷ ἐν τῇ ἀνθρωπείᾳ φύσει εὑρίσκεται. Τῷ δὲ γεννῶντι Πατρὶ σύμμορφός ἐστιν ὁ γεννώμενος Υἱὸς ἐν τῇ θείᾳ φύσει. Ὅθεν ἡ θεία φύσις ἐστὶ γεννήσεως ἀρχή, ὡς τῇ ταύτης δυνάμει γεννῶντος τοῦ Πατρός, ὡς ὁ Ἱλάριος φησί. Καὶ διατοῦτο ἕτεροι ἔφασαν τὴν τοῦ γεννᾶν δύναμιν οὐσίαν σημαίνειν μόνον. Ἀλλὰ καὶ τοῦτο ἀπᾷδον δοκεῖ. Ἡ γὰρ γενομένη ἐνέργεια κοινῆς φύσεως, κατά τινα ὑπὸ τῇ κοινῇ φύσει διάκρισιν τρόπον τινὰ λαμβάνει ἐκ τῶν ἰδίων ἀρχῶν· ὥσπερ ἡ ἐνέργεια, ἥτις ὀφείλεται τῇ φύσει τοῦ ζῴου, γίνεται ἐν τῷ ἀνθρώπῳ,

**71-73** καὶ -- φυσικά] Ar., Eth. nic. I., 1094a.3-5: διαφορὰ δέ τις φαίνεται τῶν τελῶν· τὰ μὲν γάρ εἰσιν ἐνέργειαι, τὰ δὲ παρ' αὐτὰς ἔργα τινά.; Ar., Metaph. IX, 1050a.2-3: ἀλλ' οὖν καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον.

**67** ἄν] bis acc. M **69** αὐτῇ] αὐτὴ M (ei Aq.) **86** γενομένη] γινομένη M

καθὸ προσήκει τῇ ἀρχῇ τοῦ εἴδους τῆς ἀνθρωπείας φύσεως. Ὅθεν ὁ ἄνθρωπος τελεώτερον ἔχει τὰς ἐνεργείας τῆς φανταστικῆς δυνάμεως ἢ τὰ ἄλλα ζῷα, καθὸ προσήκουσι τῇ λογικότητι αὐτοῦ. Ὁμοίως τὲ ἡ ἐνέργεια τοῦ ἀνθρώπου εὑρίσκεται ἐν τῷδε ἢ τῷδε τῷ ἀνθρώπῳ, καθὸ προσήκει ταῖς ἀρχαῖς ταῖς τοδὶ ἢ τοδὶ ποιούσαις τὸ ἄτομον, ἐξ ὧν συμβαίνει ἄλλον ἄλλου ἄνθρωπον ἄμεινον νοεῖν. Διὸ δή, εἰ καὶ ἡ κοινὴ φύσις ἐστὶν ἀρχὴ τινὸς ἐνεργείας, ἣ δὴ ἐνέργεια προσήκει μόνῳ τῷ Πατρί, δεῖ εἶναι ἀρχήν, καθὸ προσήκει τῇ ὑποτακτικῇ τοῦ Πατρὸς ἰδιότητι. Καὶ διατοῦτο ἐν τῷ τῆς γεννητικῆς δυνάμεως λόγῳ περιέχεται τρόπῳ γέ τῳ κατηγορία ἡ τοῦ πρός τι, ὅσον πρὸς τοῦθ᾽ ὅ ἐστιν ἀρχὴ γεννήσεως. Καὶ διατοῦτο σὺν τοῖς ἄλλοις ῥητέον, τὴν γεννητικὴν δύναμιν προσημαίνειν ἀναφορὰν καὶ γνώρισμα.

[2.2.13] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ δύναμις ἐπιφέρει λόγον ἀρχῆς, ἀποσκοποῦσιν εἰς τὴν ἐνέργειαν· ἣ δὴ ἀρχὴ γνωριστικῶς οὐ λέγεται ἐν τοῖς θείοις, ὥσπερ εἴρηται.

[2.2.14] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐν τοῖς κτιστοῖς οὖσιν ἡ μία κατηγορία συμβαίνει τῇ ἑτέρᾳ, διότι οὐ δύναται γίνεσθαι ἓν ὅτι μὴ κατὰ συμβεβηκός. Ἀλλ᾽ ἐν τοῖς θείοις ἡ ἀναφορὰ πράγματι ἐστὶν αὐτὴ ἡ οὐσία. Καὶ διατοῦτο οὐχ ὅμοιον ἐστί.

[2.2.15] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν τοῖς θείοις ἀρχὴ γεννήσεως ἐστὶ τὸ γεννῶν καὶ ᾧ ἡ γέννησις ἐπιτελεῖται. Τὸ μὲν οὖν γεννῶν, τῇ γεννήσει διακρίνεται, ἐφόσον οὐδὲ γεννᾷ ἑαυτῷ. Τοῦτο δὲ ᾧ γεννᾷ τὸ γεννῶν οὐ διακρίνεται, ἀλλ᾽ ἔστι κοινὸν ἑκατέρων, ὡς εἴρηται. Ὅθεν οὐ δεῖ τὴν ἀνθρωπείαν φύσιν διακρίνεσθαι, εἰ ἔστι δύναμις τοῦ γεννᾶν, ἐφόσον ἡ δύναμίς ἐστιν ἀρχή ὡς ᾗ.

[2.2.16] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τῷ λόγῳ τῆς ἀναφορᾶς τῆς συμπλεκομένης ἡ γεννητικὴ δύναμις οὐκ ἔστι κοινή, ἀλλ᾽ ἰδία διὰ τὴν συμπλοκὴν τοῦ λόγου τῆς ἀναφορᾶς.

**91** λογικότητι] λογιότητι P, M **98** προσημαίνειν] πρὸς σημαίνειν P, M (significat Aq.) **104** Post δύναται Aq. habet: ex duobus. **107** θείοις] rebus creatis Aq. Post ἐστὶ Aq. habet: duplex, scilicet. **108** ᾧ] ὡν M (quo Aq.) **109** Post διακρίνεται Aq. habet: a genito. **114-115** διὰ -- ἀναφορᾶς] deest Aq.

P 21r [2.2.17] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν ἡτινιοῦν | γεννήσει ἐστὶν ἀρχὴ γεννήσεως προηγουμένως μορφή τις ἄτομος, καθὸ τείνει είς τὸ κοινὸν εἶδος. Οὐκ ἀνάγκη μέντοι τὸ γεννώμενον ἀφομοιοῦσθαι τῷ γεννῶντι κατὰ τὰς ἀτομιζούσας διαθέσεις, ἀλλ’ ὅσον πρὸς τὴν φύσιν τοῦ εἴδους. Ἡ πατρότης δὲ οὐκ ἔστιν ἐν τῷ Πατρὶ τῷ τρόπῳ τῆς φύσεως τοῦ εἴδους, ὥσπερ ἡ ἀνθρωπότης ἐν τῷ ἀνθρώπῳ (οὕτω γάρ ἐστιν ἐν αὐτῷ ἡ θεία φύσις), ἀλλ’ ἐν τούτῳ ἐστὶν ὡς ἔπος εἰπεῖν, ὥσπερ ἀρχὴ ἀτομίζουσα· ἔστι γὰρ ἰδιότης προσωπική. Καὶ διατοῦτο οὐκ ἀνάγκη εἶναι γεννήσεως ἀρχὴν ἀρχοειδῶς, ἀλλὰ τρόπῳ γέ τω συνεπινοεῖσθαι τῷ προειρημένῳ λόγῳ. Ἄλλως γὰρ ἕψεται τὸν Πατέρα μὴ τῆς δυνάμεως μόνον διὰ γεννήσεως, ἀλλὰ καὶ τῆς πατρότητος κοινωνεῖν· ὅπερ ἄτοπον.

[2.2.18] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ τοῦ γεννᾶν δύναμίς ἐστι τὸ αὐτὸ πραγματικῶς τῇ θείᾳ φύσει οὕτως, ὥστε τὴν φύσιν περιειλῆφθαι τῷ λόγῳ αὐτῆς τῆς δυνάμεως. Ἀλλ’ οὐχ οὕτω περὶ τῆς πατρότητος ἔχει. Ὅθεν οὐχ ὅμοιον.

[2.2.19] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ σοφία καὶ ἡ βούλησις οὐ συσσημαίνουσιν ἀρχὴν. Ἀλλ’ ἐπεὶ ἡ γέννησις ἐστὶ τῆς φύσεως, ἥτις ἐστὶν ἐνεργείας ἀρχή, λόγον δυνάμεως ἔχει, ἐντεῦθεν ἐστὶν ὅτι τῇ μὲν δυνάμει συσσημαίνεταί τι πρός τι, οὔκουν γε μὴν τῇ σοφίᾳ ἢ τῇ θελήσει.

Πρὸς δὲ τὰ ἐκ τοῦ ἐναντίου ἐκ τοῦ προχείρου φαίνεται ἡ ἀπόκρισις.

**117** Hic post προηγουμένως Aq. habet: non est; post ἄτομος Aq. habet: sed forma. **118** κοινὸν] naturam Aq **131** συσσημαίνουσιν] σσημαίνουσι M (est Aq.); post ἀρχὴν Aq. habet: generationis. **132** ἥτις] ἥτις ἐφόσον M

**Κεφάλαιον τρίτον**

**Πότερον ἡ γεννητικὴ δύναμις εἰς τὴν τῆς γεννήσεως πρόεισιν ἐνέργειαν ἐπιτάγματι τῆς θείας θελήσεως ἢ οὔ.**

**[2.3.1] Τρίτον ζητεῖται, πότερον ἡ γεννητικὴ δύναμις εἰς τὴν τῆς γεννήσεως πρόεισιν ἐνέργειαν ἐπιτάγματι τῆς θείας θελήσεως. Καὶ δοκεῖ ταύτῃ. Φησὶ γὰρ ὁ Ἱλάριος, ὅτι οὐ φυσικῇ ἀγόμενος ἀνάγκῃ ὁ Πατὴρ ἐγέννησε τὸν Υἱόν. Ἀλλ’ εἰ μὴ φυσικῇ ἀνάγκῃ, θελήσει γεγέννηκε· τὸ γὰρ ποιοῦν ἢ θελήσει ἢ φύσει ποιεῖ. Θελήσει ἄρα ὁ Πατὴρ γεγέννηκε τὸν Υἱόν.**

**[2.3.2] Ἧ δ’ ὅς φησιν οὗτος, ὅτι ὁ Πατὴρ γεγέννηκε τὸν Υἱὸν οὔτε ἡγησαμένης θελήσεως οὔτε μετιούσης, ἀλλὰ κοινωνούσης. Ἀλλὰ τοὐναντίον· δοκεῖ γὰρ ὅτι οὗτος ὁ λόγος οὐκ ἔστιν ἀποχρῶν. Εἰ γὰρ καὶ πᾶν ὅτί ποτέ ἐστιν ἐν τῷ Θεῷ ἐστὶν αἰώνιον, οὐδὲ δύναταί τι χρόνῳ πρεσβεύειν ἄλλου, ὄντος καὶ αὐτοῦ ἐν τῷ Θεῷ, ἀλλ’ ὅμως εὑρίσκεται ἄλλο πρὸς ἄλλο λόγον ἔχον ἀρχῆς, ὥσπερ ἡ τοῦ Θεοῦ θέλησις πρὸς τὴν ἐκλογήν, ᾗ τοὺς δικαίους ἐκλέγεται, καθὸ μόνον ἐν τῷ νῷ φθάνει τὴν ἐκλογὴν ἡ θέλησις. Ἆρα, εἰ μὴ καὶ τῷ χρόνῳ πρόεισιν ἡ θέλησις τῆς γεννήσεως, οὐχ ἥκιστα, ὡς δοκεῖ, δύναται ἡ θέλησις ἀρχὴν τιθέναι τῇ γεννήσει τοῦ Υἱοῦ, καθὸ προτερεῖ ἐν τῷ νῷ.**

**[2.3.3] Ἔτι, ὁ Υἱὸς πρόεισι διὰ τῆς ἐνεργείας τοῦ θείου νοῦ, ἐφόσον πρόεισιν ὡς Λόγος· ὁ γὰρ Λόγος οὐκ ἔστι νοητόν, εἰ μὴ ἐφόσον νοοῦμέν τι διανοούμενοι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ ἐνάτῳ Περὶ Τριάδος βιβλίῳ. Ἀλλ’ ἡ θέλησίς ἐστιν ἀρχὴ τῆς ἐν τῷ νῷ ἐνεργείας· ἐπιτάττει γὰρ ταῖς ἐνεργείαις ἡ θέλησις τοῦ νοῦ· ὥσπερ δὴ καὶ ἄλλαις δυνάμεσιν, ὡς Ἄνσελμος φησί· νοῷ γὰρ ἐπεὶ θέλω, καὶ**
P 21v **βαδίζω, ὅτι θέλω. | Ἡ θέλησις ἄρα ἐστὶν ἀρχὴ τῆς προόδου τοῦ Υἱοῦ.**

**[2.3.4] Ἀλλ’ ἔλεγεν ὅτι ἐν μὲν τοῖς ἀνθρωπείοις ἀληθὲς ὂν τυγχάνει, τὴν βούλησιν ἐφιέναι τῷ νῷ τὴν ἐνέργειαν, οὔκουν γε μὴν κἀν τοῖς θείοις. Ἀλλὰ τοὐναντίον· ὁ γὰρ προορισμὸς τρόπῳ γέ τῳ ἐνέργειά ἐστι τοῦ νοῦ. Φαμὲν δὲ ὅτι ὁ Θεὸς**

**6** ὁ -- Υἱόν] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Cum non ex voluntaate, ut caetera, Filius subsistere doceretur, ne secundum voluntatem tantum, non etiam secundum naturam haberet essentiam; data haereticis occasio videbatur, ut necessitatem Deo patri gignendi ex se Filii adscriberent. **20-21** ὁ -- βιβλίῳ] Aug., De Trin. IX, cap. 7 (PL 42, col. 967) **22-23** ἐπιτάττει – δυνάμεσι] Eadmerus Monachus Cantuariensis, Liber de Sancti Anselmi Similitudinibus, cap. 2 (col. 605).

**9** Post Υἱόν Aq. habet: et sic potentia generativa per imperium voluntatis exit in actum generandi. **10** Ἧ – οὗτος] Sed dicebat Aq. **11** μετιούσης] μετούσης M **12** Εἰ] ἡ M **14** αἰώνιον Aq. habet: nihil quod est in Deo. **16** τὴν – θέλησις] deest Aq. **18** προτερεῖ – νῷ] procedit ab intellectu Aq. **19** θείου] deest Aq. **20** ὡς] ὁ P (ut Aq.) **21** ἐν – βιβλίῳ] deest Aq. **25** ἀληθὲς] ἀληθεὶς M

**προώρισε τὴν ἁμαρτίαν, ὅτι ἠθέλησε, κατ' ἐκεῖνο τῆς Πρὸς Ῥωμαίους ἐν τῷ ἐνάτῳ·** ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. **Οὐκ ἄρα ἐν τοῖς ἀνθρωπείοις μόνον, ἀλλὰ κἀν τοῖς θείοις ἡ θέλησις ἐπιτάττει ταῖς τοῦ νοῦ ἐνεργείαις.**

**[2.3.5] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν** τὸ κινούμενον **ἀφ' ἑαυτοῦ δύναται καὶ** κινεῖσθαι **καὶ** μὴ κινεῖσθαι· **τῷ δ' αὐτῷ λόγῳ τὸ ποιοῦν ἐξ ἑαυτοῦ καὶ ποιεῖν καὶ μὴ ποιεῖν. Ἀλλ' ἡ φύσις οὐ δύναται ποιεῖν καὶ μὴ ποιεῖν· ὥρισται γὰρ πρὸς ἕν. Οὐκ ἄρα ποιεῖ ἀφ' ἑαυτῆς, ἀλλ' ὡσανεὶ κινουμένη παρ' ἄλλου. Τοῦτο δὲ ἐν τοῖς θείοις εἶναι οὐ δύναται. Οὐδεμία τοίνυν ἐνέργεια ἐν τοῖς θείοις ἐστὶν ἀπὸ τῆς φύσεως· καὶ οὕτως οὐδὲ ἡ γέννησις. Ταύτῃ δὲ ἡ γέννησίς ἐστιν ἀπὸ τῆς βουλήσεως, ἐφόσον πάντα ἀναφέρονται ἢ εἰς τὴν φύσιν ἢ εἰς τὴν βούλησιν, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου.**

**[2.3.6] Ἔτι, εἰ ἡ ἐνέργεια τῆς φύσεως ἡγεῖται τῆς ἐνεργείας τῆς θελήσεως, ἕπεταί τι ἄτοπον, ὅτι δηλαδὴ ὁ λόγος τῆς θελήσεως ἀνατραπήσεται. Τῆς γὰρ φύσεως ὁριζομένης πρὸς ἕν, εἰ ἡ φύσις τὴν βούλησιν κινοίη, πρὸς ἓν μόνον κινήσει· ὅπέρ ἐστιν ἀντιβαῖνον τῷ λόγῳ τῆς βουλήσεως, ἥπερ, ᾗ δὴ τοιοῦτον, αὐτεξούσιός ἐστιν. Εἰ δὲ ἡ θέλησις τὴν φύσιν κινήσειεν, οὕτως οὔτε ὁ τῆς φύσεως λόγος οἰχήσεται οὔτε ὁ τῆς θελήσεως· τὸ γὰρ ἔχον πρὸς πολλά, οὐδὲν κωλύει πρὸς ἓν κινεῖν. Εὐλόγως ἄρα ἡ ἐνέργεια τῆς θελήσεως ἄρχει τῆς ἐνεργείας τῆς φύσεως μᾶλλον ἢ τὸ ἀνάπαλιν. Εἰ οὖν ἐνέργεια φυσικὴ ἡ τοῦ Υἱοῦ γέννησις ἐστίν, ἔστιν ἄρα ἀπὸ τῆς θελήσεως.**

**[2.3.7] Ἔτι, ἐν τοῖς Ψαλμοῖς λέγεται·** αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· **ὅπερ ὁ Αὐγουστῖνος ἑρμηνεύει λέγων· λόγον γεγέννηκεν· οὗ δὴ λόγου γέννησις ἦν αἰτία τοῦ τἆλλα γενέσθαι. Οὕτω τοίνυν ἡ τοῦ Υἱοῦ πρόοδος παρὰ τοῦ Πατρός ἦν αἰτία τῆς τῶν δημιουργημάτων παραγωγῆς. Εἰ τοίνυν ὁ Υἱὸς μὴ πρόεισι παρὰ τοῦ Πατρὸς ἀπὸ συνθήματος τῆς βουλήσεως ἀλλὰ φύσει, δοκεῖ ἁπάσας τὰς δημιουργίας φυσικῶς καὶ οὐκ ἐθελοντὶ τοῦ Πατρὸς προϊέναι· ὅπερ οὐκ ἄπο πλάνης ἐστίν.**

**[2.3.8] Ἔτι, ὁ Ἱλάριός φησιν ἐν τῷ Περὶ συνόδῳ βιβλίῳ·** εἴ τις μὴ θέλοντος τοῦ Πατρὸς φῦναι τὸν Υἱὸν εἴπῃ, ἀνάθεμα εἴη. **Οὐκ ἄρα γεγέννηκεν ὁ Πατὴρ οὐχ**

**28-29** τῆς – σκληρύνει] Rom. 9, 18: ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει **31-32** κατὰ – κινεῖσθαι] Ar., Phys. VIII, 256a.13-15: πᾶν τὸ κινούμενον ὑπό τινός τε κινεῖσθαι, καὶ ἢ ὑπὸ κινουμένου ὑπ' ἄλλου ἢ μή, καὶ εἰ μὲν ὑπ' ἄλλου [κινουμένου] **55-56** εἰ – εἴη] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Si quis, nolente Patre, natum dicat Filium : anathema sit. **48** αὐτὸς – ἐγεννήθησαν] Ps. 148, 5: εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. **49-50** λόγον – γενέσθαι] cf. Aug., De gen. ad litt. VI, cap. 12, n. 22 (PL 34, col. 348): et hunc enim et illa per Verbum suum fecit, per quod facta sunt omnia.

**28** ἁμαρτίαν] Petrum Aq. (Prochoros legit peccatum?) **31** ἐν – Φυσικῶν] deest Aq. **36** οὐδὲ] ἡ δὲ P **39** εἰ] deest P **40** τι] deest Aq.

**ἑκὼν εἶναι τὸν Υἱόν. Ἐθελοντὴς ἄρα· καὶ οὕτως ὅπερ πρότερον.**

**[2.3.9] Ἔτι, ὁ Ἰωάννης ἐν τῷ τρίτῳ φησίν·** ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ πάντα δέδωκεν εἰς τὰς χεῖρας αὐτοῦ· **ὃ κατὰ μίαν ἑρμηνείαν ἑρμηνεύεται περὶ τῆς δόσεως τῆς ἀιδίου γεννήσεως. Ἡ ἀγάπη τοίνυν τοῦ Πατρὸς πρὸς τὸν Υἱόν ἐστιν αἰτία τῆς αἰωνίου γεννήσεως. Ἡ δ' ἀγάπη ἐκ τῆς θελήσεως. Ἡ θέλησις ἄρα ἐστὶ τῆς γεννήσεως ἀρχὴ τοῦ Υἱοῦ.**

P 22r

**[2.3.10] Ἔτι, ὁ Διονύσιος ἐν τῷ βιβλίῳ τῷ Περὶ θείων ὀνομάτων, φησίν, ὅτι** ὁ **θεῖος** ἔρως οὐκ εἴασεν αὐτὸν ἄγονον **εἶναι. | Ἐξ οὗ δοκεῖ ταυτό, δηλαδὴ τὸ τὴν ἀγάπην εἶναι λόγον τῆς γεννήσεως.**

**[2.3.11] Ἔτι, ἡ θέσις, ᾗ μηδὲν ἕπεταί τι ἄτοπον ὥσπερ πλάνη, δύναται ἀξιοῦσθαι ἐν τοῖς θείοις. Ἀλλ' εἰ τεθείη τὸν Πατέρα γεννᾶν τὸν Υἱὸν θελήσει, οὐδὲν ἕπεται ἄτοπον· οὐ γὰρ ἕπεται τὸν Υἱὸν μὴ εἶναι ἀίδιον, ὡς δοκεῖ, μήτε μὴν μὴ εἶναι ὁμοούσιον ἢ ἴσον τῷ Πατρί· τὸ γὰρ Πνεῦμα τὸ ἅγιον, δίκην θελήσεως προϊόν, ἐστὶ συναΐδιον, ἴσον καὶ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Δοκεῖ ἄρα μὴ εἶναι πλάνη τὸ λέγειν θελήσει τὸν Πατέρα γεννᾶν τὸν Υἱόν.**

**[2.3.12] Ἔτι, ἡ ἀνθρωπεία γέννησις ἐκ τῆς θείας ὡς ἀπὸ ἀρχετύπου πρόεισι, κατ' ἐκεῖνο τὸ τῆς Πρὸς Ἐφεσίους τρίτον·** ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῦ καὶ ἐπὶ γῆς ὀνομαζομένη. **Ἀλλ' ἡ ἀνθρωπίνη γέννησις ὑπόκειται τῷ τῆς θελήσεως κελεύσματι· ἄλλως γὰρ ἐν τῇ τῆς γεννήσεως πράξει οὐκ ἂν ἦν ἁμαρτία. Καὶ ἡ θεία ἄρα. Καὶ οὕτω τὸ πρότερον.**

**[2.3.13] Ἔτι, πᾶσα ἐνέργεια φύσεως ἀμεταβλήτου ἐστὶν ἀναγκαία. Ἀλλ' ἡ θεία φύσις ἔστι πάντῃ ἀμετάβλητος. Εἰ τοίνυν ἡ γένεσίς ἐστιν ἔργον φύσεως καὶ οὐ θελήσεως, ἕπεται εἶναι ἀναγκαίαν, οὕτως ὥστε τὸν Πατέρα γεγεννηκέναι τὸν Υἱὸν ἀνάγκῃ. Ὅπέρ ἐστιν ἀντίπαλον τοῖς Αὐγουστίνου πρὸς Ὀρ<σ>ίσιον.**

**58-59** ὁ – αὐτοῦ] Io. 3, 35: ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. **65** ὁ – εἶναι] Ps.-Dion., De div. nom., cap. 4, n. 10 (PG 3, col. 708B, Ritter p. 155): ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως ἐν τἀγαθῷ καθ' ὑπερβολὴν προϋπάρχων οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν. **75-76** ἐξ –ὀνομαζομένη] Eph. 3, 15: ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται. **81-83** ἡ – ἀνάγκη] cf. Ps.-Aug., Dial. quest., q. 7 (PL 40, col. 736). Voluntate genuit Pater Filium, an necessitate? RESP. Nec voluntate, nec necessitate: quia necessitas in Deo non est: praeire autem voluntas sapientiam non potest, quod est Filius.

**64** ἐν – ὀνομάτων] deest Aq. **67** ὥσπερ] sive Aq (Prochoros legit sicut?) **69** οὐδέν] non … aliquod **71** Post Υἱὸν Aq. habet: Praeterea, voluntas quaelibet non potest non velle suum ultimum finem, Sed finis divinae voluntatis est communicatio suae bonitatis, quae maxime fit per generationem. Ergo voluntas Patris non potest non velle generationem Filii : voluntate ergo genuit Filium. **76** ἀνθρωπίνη] ἀνθρωπία M **84** πρὸς Ὀρίσιον] deest Aq.

[2.3.15] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι ὁ Υἱός ἐστι βουλὴ ἐκ βουλῆς, καὶ θέλησις ἐκ θελήσεως. Ἀλλ’ αὕτη ἡ πρόθεσις ἀρχὴν ἐμφαίνει. Ἡ θέλησις ἄρα ἐστὶν ἀρχὴ τῆς γεννήσεως τοῦ Υἱοῦ. Καὶ οὕτω ταὐτὸν τοῖς πρότερον.

[2.3.16] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ παρὰ τοῦ Αὐγουστίνου λεγόμενον ἐν τῷ πρὸς Ὀρ<σ>ίσιον βιβλίῳ· ὁ Πατὴρ οὔτε θελήσει οὔτε ἀνάγκῃ γεγέννηκε τὸν Υἱόν.

[2.3.17] Ἔτι, ἡ τελειοτάτη χύσις τῆς θελήσεώς ἐστι κατὰ τὸν τοῦ ἔρωτος τρόπον. Ὁ Υἱὸς δὲ οὐ πρόεισιν ὡς ἔρως, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα τὸ ἅγιον. Οὐκ ἄρα ἡ θέλησίς ἐστιν ἀρχὴ τῆς γεννήσεως τοῦ Υἱοῦ.

[2.3.18] Ἔτι, ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρός, ἀπαύγασμα ἀπὸ φωτός, κατ’ ἐκεῖνο τὸ πρῶτον τῆς Πρὸς Ἑβραίους· ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως, καὶ τὰ λοιπά. Ἀλλὰ τὸ ἀπαύγασμα, οὐκ ἐξάλλεται τοῦ φωτὸς μεσιτευούσης θελήσεως. Οὐδ’ ἄρα ὁ Υἱὸς ἐκ τοῦ Πατρός.

[2.3.19] Ἀπόκρισις. Ῥητέον ὅτι ἡ γέννησις τοῦ Υἱοῦ δύναται ἔχειν πρὸς τὴν θέλησιν, ὡς ταύτῃ ἀντικείμενον. Ὁ γὰρ Πατὴρ καὶ τὸν Υἱὸν τεθέληκε, καὶ τὴν Αὐτοῦ γέννησιν ἐξ ἀιδίου. Οὐδενὶ δὲ τρόπῳ ἡ θέλησις εἶναι δύναται τῆς θείας γεννήσεως ἀρχή. Ὃ οὕτω φαίνεται. Ἡ γὰρ θέλησις, ἐφόσον θέλησις ἐστίν, αὐτεξούσιος οὖσα πρὸς ὁπότερον ἔχει. Δύναται γὰρ ἡ θέλησις ποιεῖν καὶ μὴ ποιεῖν, καὶ τῇ ἢ τῇ ποιεῖν, θέλειν τε καὶ μὴ θέλειν. Κἂν ἀποσκοπῶσιν εἴς τι τῇ θελήσει τοῦτο μὴ προσήκει, συμβήσεται τοῦτο τῇ θελήσει, ἀλλ’ οὐκ ἐφόσον θέλησις, ἀλλ’ ἐκ τῆς φυσικῆς ῥοπῆς, ἣν ἔχει πρός τι ὥσπερ πρὸς τέλος ἔσχατον, ὃ μὴ θέλειν οὐ δύναται. Καθάπερ ἡ τοῦ ἀνθρώπου θέλησις οὐ δύναται μὴ θέλειν τὴν μακαριότητα, ἢ οὐ δύναται θέλειν τὴν ἀθλιότητα. Ἐκ δὴ τούτων φαίνεται ὅτι πᾶν ὅτουπερ ἡ θέλησίς ἐστιν ἀρχή, καθὸ θέλησίς ἐστι, δυνατὸν
P 22v εἶναι καὶ μὴ εἶναι καὶ τοιόνδε ἢ τοιόνδε, | καὶ τότε ἢ νῦν. Πᾶν δὲ τὸ οὕτως ἔχον ἐστὶ κτιστόν· παντὶ γὰρ ἀκτίστῳ οὐκ ἔστι δύναμις εἰς τὸ εἶναι καὶ μὴ εἶναι, ἀλλὰ καθ’ αὐτὸ ἀναγκαῖον ἐστίν, ὡς ὁ Ἀβίκενος δείκνυσιν. Εἰ τοίνυν δοθείη ὁ Υἱὸς θελήσει τοιαύτῃ γεννηθῆναι, ἕψεται ἀναγκαίως εἶναι αὐτὸν κτιστόν. Διὰ γάρ τοι τοῦτο καὶ οἱ Ἀρειανοὶ ἀξιοῦντες αὐτὸν εἶναι κτίσμα, ἔφασαν αὐτὸν γεννηθῆναι θελήσει. Οἱ δὲ Καθολικοί φασι τὸν Υἱὸν γεγεννῆσθαι οὐ θελήσει,

**85-86** ὁ – θελήσεως] Aug., De Trin. XV, cap. 20 (PL 42, col. 1087): ...dicitur consilium de consilio, et voluntas de voluntate, sicut substantia de substantia, sapientia de sapientia. **89** ὁ – Υἱόν] vide supra in apparatu fontium [2.3.14].82-84 **94-95** ὃς – ὑποστάσεως] Hebr. I, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ **109-110** παντὶ – δείκνυσιν] cf. Avic., Metaph. VIII, cap. 4

**85** ἐκ βουλῆς] ἐκβολῆς M **86** ἐμφαίνει] οὐ φαίνει M (denotat Aq.) **95** Post ὑποστάσεως Aq. habet eius. **96** ἐξάλλεται] ἐξάλεται P **103** ἀλλ’] deest Aq. **107** θέλησις] in se Aq. **110** Υἱὸς] Θεὸς P (Filius Aq.) **113** γεγεννῆσθαι] γεννῆσθαι M

**ἀλλὰ φύσει. Ἡ γὰρ φύσις ὥρισται πρὸς ἕν. Καθὸ δὲ φύσει γεγεννημένος παρὰ τοῦ Πατρός, ἀνάγκη μὴ δύνασθαι τρόπον ἕτερον ἤ ἐστιν εἶναι, ἢ μὴ ὁμοούσιος τῷ Πατρί, ἢ ἄνισος· τὸ γὰρ φυσικῶς προϊόν, πρόεισιν ὁμοίᾳ τῇ φύσει τῷ προβάλλοντι. Τοῦτο δὴ καὶ Ἱλάριος φησὶν ἐν τῷ Περὶ συνόδων βιβλίῳ·** πᾶσι τοῖς κτίσμασι τὴν οὐσίαν ἡ τοῦ Θεοῦ θέλησις προὔτεινεν· ἡ δὲ φύσις ἔδωκε τῷ Υἱῷ τελείαν γέννησιν. **Καὶ διατοῦτο ἐκεῖνα μέν ἐστι τοιαῦτα, οἷα ὁ Θεὸς ἠθέλησεν, ὁ δὲ Υἱός ἐστι τοιοῦτος, οἷος ὁ Πατήρ. Καθάπερ οὖν εἴρηται, εἰ καί τισι τὸν νοῦν ἡμῖν προσέχουσιν ἡ θέλησίς ἐστι πρὸς ὁπότερον, ὅμως πρὸς τὸ ἔσχατον τέλος ἀποβλέπουσι φυσικὴν ἔχει τὴν ῥοπήν. Ὡς δὲ καὶ ὁ νοῦς· καὶ γὰρ ἀποσκοποῦσι πρὸς τὰς πρώτας ἀρχὰς φυσικήν τινα κίνησιν ἔχει. Ἀρχὴ δὲ τῆς θείας γνώσεως αὐτός ἐστιν ὁ Θεός, ὅς ἐστι καὶ τῆς αὐτοῦ θελήσεως τέλος. Ὅθεν καὶ τὸ προϊὸν ἐκ τοῦ Θεοῦ κατὰ τὴν ἐνέργειαν τοῦ νοῦ τοῦ νοοῦντος ἑαυτὸν φυσικῶς πρόεισιν· ὡς δὲ καὶ τὸ προϊὸν κατὰ τὴν ἐνέργειαν τῆς θελήσεως, τοῦ ἀγαπῶντος ἑαυτόν. Καὶ διατοῦτο, ἐπεὶ ὁ μὲν Υἱὸς πρόεισιν ὡς Λόγος κατὰ τὴν ἐνέργειαν τοῦ θείου νοῦ, ἐφόσον ὁ Πατὴρ νοεῖ ἑαυτόν, τὸ δὲ ἅγιον Πνεῦμα τῇ ἐνεργείᾳ τῆς θελήσεως, ἐφόσον ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, ἕπεται οὕτω τὸν Υἱὸν ὥσπερ τὸ Πνεῦμα φυσικῶς προβάλλεσθαι, κἀντεῦθεν ἔτι εἶναι ὁμοούσια καὶ ἴσα καὶ συναΐδια τῷ Πατρὶ καὶ ἀλλήλοις.**

**[2.3.20] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Ἱλάριός φησι περὶ ἀνάγκης βίαν ἐπιτιθείσης, ὡς φαίνεται ἐκ τῶν σύνεγγυς. Ὑπάγει γάρ·** οὐκ ἀνάγκῃ φύσεως ἀγόμενος, ἐφόσον θέλων γεγέννηκε τὸν Υἱόν**.**

**[2.3.21] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι πρὸς οὐδὲν ἀποσκοποῦσι τῶν ὄντων, ἐπιγίνεται θέλησις τῷ Θεῷ· καὶ γὰρ ὁτιδήποτε ὁ Θεὸς θέλει, ἐξ ἀιδίου τοῦτο θέλει. Κοινωνεῖ δὲ ἡ θέλησις, εἴ γε προσέχοιμεν τὸν νοῦν, νῦν μὲν τοῖς οὖσιν ἐν Θεῷ, νῦν δὲ τοῖς οὖσιν ἐν τοῖς οὖσι πᾶσιν ἀγαθοῖς· θέλει γὰρ καὶ ἑαυτὸν εἶναι καὶ τὴν κτίσιν. Προηγεῖται δὲ τῷ μὲν χρόνῳ οὐδαμῶς εἰ μὴ ἀποσκοποῦσιν εἰς τὴν κτίσιν, ἢ μὴ ἔστιν ἐξ ἀιδίου, ἐπινοίᾳ δὲ ἀποσκοποῦσιν εἰς τὰς θείας ἐνεργείας αὐτοῦ, αἳ δηλοῦνται ὁρίζεσθαι πρὸς τὰ δημιουργήματα· ὥσπερ ἡ πρόνοια, καὶ ὁ προορισμός, καὶ τὰ παραπλήσια. Ἡ γέννησις δὲ τοῦ Υἱοῦ οὔτε ἔστι κτιστὸν οὔτε ὥρισται πρὸς τὰ κτιστά. Ὅθεν**

**117-119** Ἱλάριος – γέννησιν] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Omnibus creaturis substantiam voluntas Dei attulit: sed naturam Filio dedit ex impassibili ac non nata substantia perfecta nativitas. **134-135** οὐκ – Υἱόν] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Non enim nolente patre coactus Pater, vel naturali necessitate ductus, cum nollet genuit Filium; sed mox voluit…

**115** Post δύνασθαι Aq. habet: esse non genitus, et quod non possit esse. **118** ἐν – βιβλίῳ] deest Aq. **132** ἀλλήλοις] sibi invicem **136** τῶν ὄντων rei Aq.

ἀποβλέπουσιν εἰς αὐτήν, οὐχ ἡγεῖται ἡ θέλησις οὔτε χρόνῳ οὔτε ἐπινοίᾳ, ἀλλὰ μόνον κοινωνεῖ.

[2.3.22] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, ὥσπερ ἡ ἐνέργεια τοῦ νοῦ ἕπεσθαι δοκεῖ τῇ ἐνεργείᾳ τῆς θελήσεως, ἐφόσον λαμβάνει τὸ σύνθημα παρὰ τῆς θελήσεως, οὕτω τὸ ἀνάπαλιν | P 23r ἡ ἐνέργεια τῆς θελήσεως δοκεῖ ἀκολουθεῖν τῇ ἐνεργείᾳ τοῦ νοῦ· ἐφόσον διὰ τοῦ νοῦ προτίθεται τῇ θελήσει τὸ ἴδιον ἀντικείμενον· ὅπέρ ἐστι τὸ ἀγαθὸν νόημα. Ἀφ’ οὗ δὴ περιγίνεται ἐπ’ ἄπειρον προϊέναι, εἰ μή τις θείη στάσιν ἢ ἐν τῇ τοῦ νοῦ ἐνεργείᾳ ἢ ἐν τῇ ἐνεργείᾳ τῆς θελήσεως. Οὐκ ἐνδέχεται δὲ τὴν στάσιν θεῖναι ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ, ἐφόσον τὸ ἀντικείμενον ὑποτίθεται πρὸς ἐνέργειαν· ἀφ’ οὗ δεῖ τὴν στάσιν τίθεσθαι ἐν τῇ τοῦ νοῦ ἐνεργείᾳ, ὃς φυσικῶς μεταδιώκει τὸ νόημα οὕτως, ὡς μὴ προστάσσεσθαι παρὰ τῆς θελήσεως. Καὶ κατὰ τοῦτον τὸν τρόπον πρόεισιν ὁ Υἱὸς τοῦ Θεοῦ ὡς Λόγος, κατὰ τὴν ἐνέργειαν τοῦ θείου νοῦ, ὡς εἴρηται.

[2.3.23] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ φυσικὴ ἐνέργεια τοῦ θείου νοῦ ἐστιν, ᾗ δὴ πρὸς αὐτὸν ὥρισται τὸν Θεόν, ἀρχὴν ὄντα τῆς αὐτοῦ γνώσεως· καθὸ δὲ λέγεται πρὸς τὰ ὄντα ὁρίζεσθαι, πρὸς ἃ οὕτως ἔχει ἀμηγέπη, ὥσπερ ὁ ἡμέτερος νοῦς πρὸς τὰ συμπεράσματα, οὐ φυσικῶς λέγεται προϊέναι, ἀλλὰ κατὰ θέλησιν. Καὶ οὕτω κἀν τοῖς θείοις ἐνέργειαί τινες τοῦ νοῦ ἕπονται, ὁπώσποτε ὡς τῇ θελήσει προσταττόμενοι.

[2.3.24] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι πρὸς ταῦθ’ ἃ ἡ φύσις ἐκτείνεσθαι πέφυκε κατὰ τὰς ἰδίας ἀρχὰς καὶ οὐσιώδεις, οὐ δεῖ παρ’ ἄλλου ὁρίζεσθαι, ἀλλὰ πρὸς ἃ μόνον οὐκ ἀποχρῶσιν αἱ ἴδιαι ἀρχαί. Ὅθεν οἱ φυσικοὶ οὐ προήχθησαν θέσθαι τὸ ἔργον τῆς φύσεως εἶναι ἔργον νοήσεως ἐκ τῶν ἐπιβαλόντων ἔργων τῷ τε θερμῷ καὶ τῷ ψυχρῷ καθ’ αὑτά· ἐπεὶ εἰς ταύτας τὰς ἐνεργείας ἀνῆγον πάντα ταῦτα τῆς φύσεως τὰ ἔργα, καὶ οἱ τιθέντες τὰ φυσικὰ πράγματα ἐξ ἀνάγκης τῆς ὕλης συμβῆναι [omnia naturae opera reducebant], ἀλλὰ προήχθησαν ἐξ ἐκείνων τῶν ἐνεργειῶν, πρὸς ἃ οὐ δύναται ἀρκεῖν ἡ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ δύναμις καὶ τῶν τοιῶνδε ποιοτήτων· ὥσπερ ἐκ τῶν μελῶν τῶν τεταγμένων ἐν τῷ τοῦ ζῴου σώματι τρόπῳ τοιῳδί, ᾧ ἡ φύσις σῴζεται. Ἐπεὶ τοίνυν τῇ θείᾳ φύσει ἔργον ἐστὶ καθ’ αὐτὴν ἡ γέννησις, οὐ δεῖ πρὸς ταύτην τὴν ἐνέργειαν παρά τινος θελήσεως ὁρίζεσθαι· ἢ ῥητέον ἐστὶν ὅτι ἡ φύσις ὁρίζεται παρ’ ἄλλου ὡς εἰς τέλος. Ἐκείνη δὲ ἥ ἐστι τέλος καὶ οὐ πρὸς τέλος οὐ προσήκει τὸ παρ’ ἄλλου ὁρίζεσθαι.

**154** δεῖ] deest M **166** Φυσικοὶ] Philosophi Aq. **168** ταυτὰ] ταυτὶ M

**[2.3.25] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐν διαφόροις θεωροῦντι ἡ ἐνέργεια τῆς θελήσεως τὴν ἐνέργειαν τῆς φύσεως φθάνει. Ὅθεν πάσης τῆς ὑποβεβηκυίας φύσεως ἡ ἐνέργεια ἐκ τῆς θελήσεως τοῦ τὴν οἰκονομίαν λαχόντος αὐτῆς πρόεισιν. Ἀλλ᾽ ἐν τῷ αὐτῷ ἡ ἐνέργεια τῆς φύσεως ἄρχει τῆς ἐνεργείας τῆς θελήσεως. Ἡ γὰρ φύσις κατ᾽ ἐπίνοιαν προεπινοεῖται τῆς θελήσεως, ἐφόσον ἡ μὲν φύσις ἐστὶν ἀρχή, ᾗ τὸ πρᾶγμα ὑφέστηκεν, ἡ δὲ θέλησις τελευταῖον, ᾗ ὁ,τιοῦν πρὸς τὸ τέλος τάττεται, οὐχ ἕπεταί γε μὴν ἀναιρεῖσθαι τὸν λόγον τῆς θελήσεως. Εἰ γὰρ καὶ κατὰ τὴν τῆς φύσεως κλίσιν ἡ θέλησις πρὸς ἕν τι ὁρίζεται, ὅπερ ἐστὶ τὸ ἔσχατον τέλος ὑπὸ τῆς φύσεως |**
P 23v **σκοπούμενον, βλέπουσι μέντοιγε πρὸς τὰ ἄλλα ἀόριστος μένει· ὥσπερ φαίνεται ἐν τῷ ἀνθρώπῳ, ὃς φυσικῶς βούλεται τὴν μακαριότητα καὶ ἐξ ἀνάγκης, ἀλλ᾽ οὐ τὰ ἄλλα. Οὕτω τοίνυν κἀν τῷ Θεῷ, ἡ τῆς φύσεως ἐνέργεια τῆς ἐνεργείας τῆς θελήσεως ἡγεῖται καὶ φύσει καὶ ἐπινοίᾳ· ἡ γὰρ γέννησις τοῦ Υἱοῦ οὐκ ἔστι τῶν πάντων οὐδὲν τῶν διὰ θελήσεως γινομένων, εἴτουν τῶν κτισμάτων.**

**[2.3.26] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, εἰ καὶ ἐν τῷ Λόγῳ τοῦ Θεοῦ παρὰ τοῦ Πατρὸς γεννηθέντι γέγονε πάντα τὰ ὄντα, οὐ δεῖ ὅμως τοῦ Λόγου φυσικῶς προϊόντος καὶ τὴν κτίσιν φυσικῶς προϊέναι· ὥσπερ οὐχ ἕπεται, εἰ ὁ ἡμέτερος νοῦς τὰς ἀρχὰς φυσικῶς γινώσκει, φυσικῶς γινώσκειν καὶ τὰ ἐκ τῶν ἀρχῶν ἑπόμενα τῷ δὲ μὴ φυσικῶς ἔχειν ταῦτα ἡ θέλησις χρῆται πρὸς ἑκατέραν μοῖραν.**

**[2.3.27] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ Πατὴρ ἐθελοντὴς γεγέννηκε, πλὴν οὐχ ἡγησαμένης, οὐδ᾽ ἐπακολουθησάσης τῆς θελήσεως, ἀλλ᾽, ὡς ἐν τούτῳ τῷ λόγῳ δηλοῦται, κοινωνούσης.**

**[2.3.28] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ ὁ λόγος ἐκεῖνος περὶ τῆς ἀιδίου γεννήσεως ῥηθείη, ἡ τοῦ Πατρὸς ἀγάπη πρὸς τὸν Υἱόν, οὐ νοητέα ἐστὶν ὡς λόγος αὐτῆς τῆς γεννήσεως, ᾗ ὁ Πατὴρ οὐσιωδῶς τῷ Υἱῷ πάντα παρέχει, ἀλλ᾽ ὡς σημεῖον. Ἡ γὰρ ὁμοιότης αἰτία ἐστὶ τῆς ἀγάπης.**

**[2.3.29] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ Διονύσιος διαλέγεται περὶ τῆς τῶν ὄντων παραγωγῆς καὶ οὐ περὶ τῆς γεννήσεως τοῦ Υἱοῦ.**

**180** Post αὐτῷ Aq. habet: oportet quod. **184** μὲν] μὴν M **193** πάντα] πάντα γεγονέναι P, M **202** οὐ νοητέα] εὐνοητέα P (non intelligenda Aq.) **203** οὐσιωδῶς] aeternaliter Aq.

[2.3.30] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι λέγεται δίκην θελήσεως, ὅτι πρόεισι κατ' ἐνέργειαν φυσικῶς οὖσαν ἀπὸ τῆς θελήσεως, καθὸ ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ τὸ ἀνάπαλιν. Αὐτὸ γὰρ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν ἀγάπη, ὥσπερ ὁ Υἱός ἐστι Λόγος, ᾧ ὁ Πατὴρ εἴρηκεν ἑαυτόν.

[2.3.31] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι καὶ ἐξ ἐκείνου τοῦ Λόγου οὐχ ἕπεται ὅτι μὴ ὁ Πατὴρ τὴν γέννησιν τοῦ Υἱοῦ θέλει· ὅπερ προσήκει τῷ κοινωνεῖν τὴν θέλησιν, ἢ σκοπεῖ τὴν γέννησιν ὥσπερ ἀντικείμενον, οὐχ ὡς ἐκεῖνο δέ, οὗτινός ἐστιν ἀρχή.

[2.3.32] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ ἀνθρωπεία γέννησις γίνεται διὰ φυσικῆς δυνάμεως, εἴτουν τῆς γεννητικῆς δυνάμεως, μεσιτευούσης κινητικῆς δυνάμεως, ἥτις εἴκει τῷ ἐπιτάγματι τῆς θελήσεως, ἀλλ' οὐχ ἡ γεννητικὴ δύναμις. Τοῦτο δὲ οὐ συμβαίνει ἐν τοῖς θείοις. Καὶ διατοῦτο οὐχ ὅμοιον.

[2.3.33] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος οὐ σκοπεῖ ἀπαγορεύειν τὴν ἀνάγκην τῆς ἀμεταβλησίας, περὶ ἧς ὁ λόγος πρόεισιν, ἀλλὰ τὴν ἀνάγκην τῆς βίας.

[2.3.34] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, ἡνίκα ὁ Υἱὸς θέλησις λέγεται εἶναι ἐκ θελήσεως, νοεῖται ἐκ τοῦ Πατρός, ὅς ἐστι θέλησις. Ὅθεν αὕτη ἡ πρόθεσις παρίστησιν ἀρχήν, ἥπέρ ἐστι τὸ γεννῶν, οὐκ ἐκεῖνο ᾧ ἡ γέννησις ἔστι, περὶ οὗ ἐστιν ἡ παροῦσα ζήτησις.

## Κεφάλαιον τέταρτον

## Πότερον δύνανται εἶναι υἱεῖς πολλοὶ ἢ οὔ.

[2.4.1] Τέταρτον ζητεῖται, πότερον ἐν τοῖς θείοις δύνανται εἶναι υἱεῖς πολλοί. P 24r Καὶ δοκεῖ | ὅτι οὕτως. Ἡ γὰρ τῆς φύσεως ἐνέργεια, ἥτις προσήκει μιᾷ ὑποστάσει, διαφέρει καὶ πάσαις ταῖς ὑποστάσεσι τῆς αὐτῆς φύσεως. Ἀλλ' ἡ γέννησις, κατὰ τὸν Δαμασκηνόν ἐστιν ἔργον τῆς φύσεως, καὶ ἐπιβάλλει τῷ Πατρί. Ἄρα καὶ τῷ Υἱεῖ καὶ τῷ ἁγίῳ Πνεύματι, ὑποστάσεσιν οὖσι τῆς αὐτῆς φύσεως. Ἀλλ' ὁ Υἱὸς οὐ γεννᾷ ἑαυτόν· κατὰ γὰρ τὸν Αὐγουστῖνον, οὐδὲν χρῆμα γεννᾶν ἑαυτὸ δύναται. Ἄρα γεννᾷ ἕτερον υἱόν, καὶ οὕτως ἐν τοῖς θείοις δύνανται εἶναι πολλοὶ Υἱοί.

[2.4.2] Ἔτι, ὅλην τὴν δύναμιν Αὐτοῦ ὁ Πατὴρ ἐγχεῖ εἰς τὸν Υἱόν. Ἀλλ' ἡ τοῦ γεννᾶν δύναμις προσήκει τῇ τοῦ Πατρὸς δυνάμει. Ἄρα τὴν αὐτὴν δύναμιν ἔχει καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρός. Καὶ οὕτω ταὐτὸ ὅπερ πρότερον.

[2.4.3] Ἔτι, ὁ Υἱός ἐστι τελεία εἰκὼν τοῦ Πατρός, πρὸς ὃ ζητεῖται τελεία ἀφομοίωσις· ἥτις οὐκ ἂν εἴη, εἰ μὴ ὁ Υἱὸς διὰ πάντων μιμοῖτο τὸν Πατέρα. Ἄρ', ὥσπερ ὁ Πατὴρ Υἱὸν γεννᾷ, οὕτω καὶ ὁ Υἱός. Ταύτῃ δὲ ὅπερ πρότερον.

[2.4.4] Χωρὶς δὲ τούτων, τελεωτέρα ἐστὶ πρὸς τὸν Θεὸν ἀφομοίωσις, ἡ κατὰ τὸ ὁμοειδὲς τῶν ἐνεργειῶν ἢ ἡ κατά τι ἄλλο εἶδος ὁμοιότης, ὡς φαίνεται διὰ τοῦ Διονυσίου ἐν τῷ τρίτῳ κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας· ὥσπεροῦν καὶ τῷ ἡλίῳ μᾶλλον ἀφομοιοῦται ὃ λάμπει καὶ φωτίζει, ἢ ὃ μόνον λάμπει. Ἀλλ' ὁ Υἱὸς τελειότητι ὡμοίωται τῷ Πατρί. Ἔστιν ἄρα ὁμοειδὴς οὐ μόνον ἐν τῇ δυνάμει, ἀλλὰ κἀν τῇ ἐνεργείᾳ τοῦ γεννᾶν. Καὶ οὕτως ὡς πρότερον.

[2.4.5] Ἔτι, ἐκ τούτου συνάγεται ὅτι μιᾶς γενομένης κτίσεως ὁ Θεὸς δύναται καὶ ἑτέραν ποιεῖν, ὅτι ἡ αὐτοῦ δύναμις οὔτε κενοῦται οὔτε φθίνει ἐκ τοῦ γεννᾶν Υἱόν. Ἄρα διὰ τοῦ γεννᾶν Υἱὸν οὐκ ἐπίσχεται δύνασθαι καὶ ἕτερον υἱὸν γεννᾶν. Καὶ οὕτω δύνανται εἶναι πολλοὶ υἱεῖς ἐν τοὶς θείοις.

[2.4.6] Ἀλλ' ἔλεγεν, ὅτι διατοῦτο οὐ δύναται γεννᾶν ἕτερον υἱόν· ὅτι ἕψεταί τι ἄτοπον, ὅπερ ὁ Αὐγουστῖνος τίθησιν, ὅτι δηλαδὴ πεπερασμένη εἴη ἂν ἡ

**5-7** ἡ – Πατρί] Dam., De fid. orth. I, 8 (PG 94, 813A): ἡ μὲν γέννησις ἄναρχος καὶ ἀίδιος φύσεως ἔργον οὖσα. **8-9** κατὰ – δύναται] locum non inveni **17-19** τελεωτέρά – Ἱεραρχίας] Ps.-Dion., De cael. hier., cap. 3 (PG 3, col. 180, Ritter pp. 21-22).

**9** οὕτως] οὗτος M **19** ἐν – Ἱεραρχίας] deest Aq.

θεία γέννησις, εἰ ὁ Πατὴρ πολλοὺς υἱέας γεννῴη, ἢ εἰ ὁ Υἱὸς γεννῴη τῷ Πατρὶ πολλοὺς υἱειδοῦς, καὶ οὕτως ἐφεξῆς. Ἀλλὰ τοὐναντίον· ἐν τῷ Θεῷ οὐδέν ἐστι δυνάμει, ὅπερ οὐκ ἔστιν ἐνεργείᾳ· εἴη γὰρ ἂν ἀτελής. Εἰ τοίνυν εἴη ἐν τῇ τοῦ Πατρὸς δυνάμει πολλοὺς υἱοὺς γεννᾶν οὐδενὸς ἀτόπου ἐμποδὼν γενομένου, ἔσονται πολλοὶ υἱοὶ ἐν τοῖς θείοις.

[2.4.7] Ἄνευ δὲ τούτων, ἐκ τῆς φύσεως τοῦ γεγεννημένου ἐστὶ τὸ προελθεῖν καθ' ὁμοιότητα τοῦ γεννῶντος. Ἀλλ' ὥσπερ ὁ Υἱός ἐστιν ὅμοιος τῷ Πατρί, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα, ὥσπερ ἄρα ὁ Υἱός ἐστι γεννητός, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα. Ἄρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον Υἱός ἐστι. Καὶ οὕτως εἰσὶ πολλοὶ υἱοὶ ἐν τοῖς θείοις.

[2.4.8] Παρὰ ταῦτα, κατὰ τὸν Αὐγουστῖνον οὐδὲν ἄλλο ἐστὶ τὸ τὸν Πατέρα γεννᾶν τὸν Υἱὸν ἢ τὸν Πατέρα νοεῖν αὐτὸν ἑαυτόν. Ἀλλ' ὥσπερ ὁ Πατὴρ δύναται νοεῖν ἑαυτόν, οὕτω καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα δύνανται νοεῖν ἑαυτά. Δύνανται ἄρα υἱοὺς γεννᾶν. Καὶ οὕτω ταὐτὸν τοῖς ἄνω.

P 24v [2.4.8] Ἐπὶ τούτοις, ἐκ τούτου λέγεται ὁ Πατὴρ τὸν Υἱὸν γεννᾶν, ὅτι τὴν ἑαυτοῦ ὁμοιότητα ἐν τῷ αὐτοῦ νῷ | συλλαμβάνει. Ἀλλὰ τοῦτο δύνανται ποιεῖν καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα. Ἄρα τὸ πρότερον.

[2.4.9] Ἔτι, ἡ δύναμίς ἐστι μέση τῆς οὐσίας καὶ τῆς ἐνεργείας. Ἀλλὰ μία τυγχάνει οὖσα Πατρὸς καὶ Υἱοῦ οὐσία, ἡ αὐτὴ δὲ καὶ δύναμις. Ἄρα καὶ μία ἐνέργεια. Καὶ οὕτω γίγνεται τῷ Υἱῷ τῷ γεννᾶν. Καὶ ταύτῃ ὡς πρότερον.

[2.4.10] Μετὰ δὲ ταῦτα, ἡ ἀγαθότης ἐστὶ τῆς θείας χύσεως ἀρχή. Ἀλλ' ὡς ἔστιν οὐχ ὁρίζουσα ἀγαθότης ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, οὑτωσὶ κἀν τῷ ἁγίῳ Πνεύματι. Καθάπερ ἄρα ὁ Πατὴρ ἀπείρῳ κοινωνίᾳ τῆς ἑαυτοῦ φύσεως κοινωνεῖ τῷ Υἱῷ γεννῶν αὐτόν, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἂν ἐν τῷ πρόσωπον ἕτερον προβάλλεσθαι. Οὐ γὰρ ἀπείρως μετέχεται τῇ κτιστῇ φύσει ἡ θεία ἀγαθότης. Καὶ οὕτω δοκεῖ δύνασθαι πολλοὺς υἱοὺς εἶναι ἐν τοῖς θείοις.

[2.4.10] Ἔτι, οὐδενὸς ἀγαθοῦ κτῆσις οἷα τε εἶναι ἐπίχαρις ἄνευ κοινωνίας. Ἀλλ' ἡ υἱότης ἐστὶ τὸ ἀγαθὸν ἐν τῷ Υἱῷ. Ἄρα δοκεῖ πρὸς τέλεον γῆθος τοῦ Υἱοῦ εἶναι καὶ ἕτερον υἱὸν ἐν τοῖς θείοις.

[2.4.11] Ἔτι, ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς ἀπαύγασμα ἀπὸ φωτός, ὡς φαίνεται ἐν τῷ πρώτῳ τῆς Πρὸς Ἑβραίους. Φησὶ γάρ· ὃς ὢν ἀπαύγασμα, καὶ

**39-40** Κατὰ – Ἑαυτόν] Non Aug. sed Ans., Monol., cap. 62 (PL 158, col. 207C-208D). **59** ἐν – λοιπά] Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ

**33** γενομένου] γινομένου M **39** Αὐγουστῖνον] Anselmum Aq. **41** Ἑαυτὸν – Πνεῦμα] om. et al. man. add. in marg. dex. M **51** κοινωνίᾳ] κοινωνείᾳ M **53** μετέχεται] μετάγχεται M (communicatur Aq.) **56** τὸ] τὶ M

**τὰ λοιπά. Τὸ δ’ ἀπαύγασμα δύναται ἐκπέμπειν ἄλλο ἀπαύγασμα, κἀκεῖνο, ἄλλο· καὶ ἄλλο ἄλλο. Ὁμοίως ἄρα δοκεῖ εἶναι κἀν τῇ προόδῳ τῶν θείων προσώπων, οἷον ὅτι ὁ Υἱὸς δύναται ἄλλον υἱὸν προάγειν. Καὶ οὕτως ὡς πρότερον.**

**[2.4.12] Ἔτι, ἡ πατρότης ἐν τῷ Πατρὶ εἰς ἀξίαν αὐτοῦ τελεῖ. Ἀλλ’ ἡ αὐτὴ ἀξία Πατρὸς καὶ Υἱοῦ. Ἡ πατρότης ἄρα διαφέρει καὶ τῷ Υἱῷ· καὶ ταύτῃ εἰσὶ πολλοὶ υἱοὶ ἐν τοῖς θείοις.**

**[2.4.13] Μετὰ δὲ ταῦτα, τοῦ αὐτοῦ ἐστὶν ἡ ἐνέργεια, οὗ καὶ ἡ δύναμις. Ἀλλ’ ἡ γεννητὴ δύναμις περίεστι τῷ Υἱῷ. Ὁ Υἱὸς ἄρα γεννᾷ.**

**[2.4.14] Ἀλλὰ τοὐναντίον, ἐκεῖνα εἰσὶ τελειότατα ἐν τοῖς κτίσμασιν, ὅσα ἐξ ὅλης τῆς ἑαυτῶν ὕλης συνέστηκε, καὶ εἰσὶν ἐν τοῖς σφῶν εἴδεσι μοναχῶς μόνα. Ἀλλ’ ὥσπερ τὰ ἔνυλα κτίσματα ἄτομα γίνεται διὰ τῆς ὕλης, οὕτω τὸ τοῦ Υἱοῦ πρόσωπον γίνεται τῇ υἱότητι. Ἄρ’ ἐπεὶ ὁ θεῖος παῖς ἐστι τέλειος υἱός, δοκεῖ ὅτι ἐν αὐτῷ μόνῳ ἐν τοῖς θείοις ἡ υἱότης εὑρίσκεται.**

**[2.4.15] Ἔτι, ὁ Αὐγουστῖνός φησιν, ὅτι εἰ ὁ Πατὴρ δυνάμενος γεννᾶν μὴ γεννῴη, φθονερὸς ἂν εἴη. Ἀλλ’ ὁ Υἱὸς ἄφθονος ἐστίν. Ἄρα μὴ γεννῶν οὐ δύναται γεννᾶν. Καὶ ταύτῃ οὐ δύνανται πολλοὶ εἶναι υἱεῖς ἐν τοῖς θείοις.**

**[2.4.16] Ἔτι, ὅ τελέως εἴρηται εἰς τὸ ἅπαξ, αὖθις λέγεσθαι οὐκ ὀφείλει. Ἀλλ’ ὁ Υἱός ἐστι** Λόγος τέλειος, ᾧ μηδὲν ἐνδεῖ, **κατὰ τὸν Αὐγουστῖνον. Ἄρ’ οὐ δεῖ πλείους ἄλλους λόγους εἶναι ἐν τοῖς θείοις. Ὡς δὲ οὐδὲ υἱέας.**

**[2.4.17] Ἀπόκρισις. Ῥητέον ὅτι ἐν τοῖς θείοις ἀδύνατον πολλοὺς εἶναι υἱούς· ὅπερ οὕτως ἀποφανθείη ἄν. Τὰ γὰρ θεῖα πρόσωπα, ἐν ἅπασι κοινωνοῦντα ἀλλήλοις τοῖς ἀπολελυμένοις ὡσὰν ἀλλήλοις ὁμοούσια, διακρίνεσθαι οὐχ οἷά τε ἐστιν εἰ μὴ κατὰ τὰς ἀναφορὰς τῆς προόδου. | Τῶν γὰρ ἄλλων ἀναφορῶν** P 25r **αἱ μὲν διάκρισιν οὐ προϋποτίθενται, ὡς ἡ ἰσότης καὶ ἡ ὁμοιότης, τινὲς δὲ ἀνισότητα, ὡς κύριος δοῦλος καὶ τὰ τοιαῦτα. Αἱ δὲ τῆς προόδου ἀναφοραὶ ἐκ τοῦ καθ’ αὐτὰς λόγου ὁμοειδιάν τινα παρέχονται· ὃ γὰρ ἀπ’ ἄλλου ἀνίσχει, διασῴζει τὴν τούτου ὁμοιότητα, ἐφόσον τοιοῦτον. Οὐκ ἔστι τοίνυν τι, ὅτῳ ἂν ἐν τοῖς θείοις ὁ Υἱὸς διακριθείη τῶν ἄλλων προσώπων, εἰ μὴ μόνῃ τῇ ἀναφορᾷ τῆς υἱότητος, ἥτις ἐστὶν αὐτοῦ προσωπικὴ ἰδιότης, καὶ ᾗ ὡσανεὶ ὁ Υἱὸς οὐχ ὅπως ἐστὶν Υἱός, ἀλλ’ ἐστὶ τοδὶ τὸ ὑποκείμενον ἢ τουτὶ τὸ**

**73-74** ὁ -- εἴη] cf. Aug., Cont. Max. II, cap. 7, 8 et 23. **76-77** ὁ -- Αὐγουστῖνον] Aug., De Trin. VI, cap. 10 (PL 42, col. 932): Verbum perfectum, cui non desit aliquid.

**62** οἷον] deest Aq. **63-64** ἐν – ἄρα] om. et al. man. add. in marg. sin. M **73** γενῴη – γεννῶν] om. et al. man. add. in marg. sin. M | γενῴη] γενὼν M (homoioteleuton) **74** ἄφθονος] non individuus Aq. **79-80** πρόσωπα – ἀλλήλοις] om. et al. man. add. in marg. dex. M **82** Post προόδου Aq. habet nec.

πρόσωπον. Ἀδύνατον δέ ἐστιν ἐκεῖνο, ᾧ ὑποκείμενόν ἐστί τι, τοῦτο ἐν πλείοσιν εὑρίσκεσθαι. Ταύτῃ καὶ γὰρ ἡ ὑπόστασις ἔσται μεθεκτή· ὅπέρ ἐστιν ἐναντίον τῷ λόγῳ τοῦ ἀτόμου εἴτε ὑποκειμένου εἴτε προσώπου χρὴ λέγειν. Ὅθεν οὐδενὶ τρόπῳ δυνατὸν ἕτερον υἱὸν εἶναι ἐν τοῖς θείοις παρὰ τὸν ἕνα. Οὐ γὰρ δυνατὸν λέγειν, ὅτι μία υἱότης ποιεῖ τοῦτον τὸν Υἱὸν καὶ ἄλλη ἄλλον· τῶν γὰρ υἱοτήτων τῷ λόγῳ μὴ διαφερουσῶν ἢ ὕλῃ ἢ ὁτῳδήποτε ὑποκειμένῳ διακριθεῖεν, ἀναγκαῖον εὑρίσκεσθαί τινα ὕλην ἐν τοῖς θείοις ἢ ἄλλο τι διακρίνον ἢ τὴν ἀναφοράν. Δύναται δὲ καὶ ἄλλος λόγος ἰδικῶς ἀποδοθῆναι, τί δήποτε ὁ Πατὴρ ἕνα υἱὸν δύναται μόνον γεννᾶν. Ἡ γὰρ φύσις πρὸς ἓν μόνον ὁρίζεται. Ὅθεν κἀπειδὴ ὁ Πατὴρ φύσει γεννᾷ τὸν Υἱόν, οὐ δύναται εἰ μὴ ἕνα μόνον υἱὸν εἶναι παρὰ Πατρὸς γεννητόν. Οὐδ’ ἐνδέχεται λέγειν εἶναι πολλοὺς τῷ ἀριθμῷ, ἐν τῷ αὐτῷ εἴδει ὄντας, καθάπερ καὶ παρ’ ἡμῖν συμβαίνει· ἐπεὶ μὴ ἔστιν ἐκεῖ ὕλη, ἥτις ἐστὶν ἀρχὴ διακρίσεως κατ’ ἀριθμὸν τῶν ἐν τῷ αὐτῷ εἴδει.

[2.4.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ γέννησις ἐν τῷ Πατρί, εἰ καὶ εἴη τρόπῳ γέ τῳ ἔργον τῆς θείας φύσεως, ἔστιν ὅμως σύν γέ τινι κοινωνίᾳ τῆς προσωπικῆς ἰδιότητος αὐτοῦ τοῦ Πατρός, ὡς ἀνωτέρω εἴρηται. Ὅθεν οὐ δεῖ προσήκειν τῷ Υἱῷ, ἐν ᾧ ἡ θεία φύσις ἄνευ τινὸς τοιαύτης ἰδιότητος εὑρίσκεται.

[2.4.19] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Πατὴρ ὅλης τῆς δυνάμεως αὐτοῦ κοινωνεῖ τῷ Υἱῷ τῆς ἐκ τῆς φύσεως ἀκολουθούσης ἀπολελυμένως. Ἡ δύναμις δὲ τοῦ γεννᾶν ἕπεται τῇ θείᾳ φύσει μετά τινος συναφείας τῆς πατρικῆς ἰδιότητος, ὡς εἴρηται.

[2.4.20] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ εἰκὼν ὁμοιοῦται, τῷ οὗ ἐστιν εἰκὼν ὅσον πρὸς τὸ εἶδος, οὐχ ὅσον πρὸς τὴν ἀναφοράν. Οὐ γάρ, εἰ ἡ εἰκών ἐστιν ἀπ’ ἄλλου, χρεὼν κἀκεῖνο οὗ ἐστιν εἰκὼν ἀπ’ ἄλλου εἶναι· ὅτι ἡ ὁμοιότης οὐκ ἰδίως θεωρεῖται κατὰ τὴν ἀναφοράν, ἀλλὰ κατὰ τὸ εἶδος.

[2.4.21] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, ὥσπερ ὁ Υἱὸς ὁμοιοῦται τῷ Πατρὶ ἐν τῇ θείᾳ φύσει, οὐκ ἐν τῇ προσωπικῇ ἰδιότητι, οὕτως ἔοικε καὶ ἐν τῇ ἐνεργείᾳ τῆς φύσεως τῆς ἄνευ τῆς προειρημένης κατὰ τὴν ἰδιότητα κοινωνίας. Τοιαύτη δὲ
P 25v ἐνέργεια οὐκ ἔστιν ἡ γέννησις. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[2.4.22] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι, εἰ καὶ ἡ γεννητικὴ δύναμις τοῦ Πατρὸς μήτε κενοῦται μήτε ὑποδίδωσι διὰ τῆς | τοῦ Υἱοῦ γεννήσεως, ὅμως μέντοι γε

**92** χρὴ λέγειν] deest Aq. **95** Post διαφερουσῶν Aq. habet: oporteret quod. | ἢ] intell. εἰ (si Aq.) **98** τί δήποτε] quare Aq.

**τῇ ἀπειρίᾳ ταύτης παρισοῦται ὁ Υἱός, ὅ ἐστιν ἄπειρον νόημα, οὔκουν γε μὴν ἡ πεπερασμένη κτίσις. Ὅθεν οὐχ ὅμοιόν ἐστι.**

**[2.4.23] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐν τῷ λόγῳ τῷ τὸ ὑπάγον τι ἄτοπον, οὐ δεῖ μόνην τὴν τοῦ ἀτόπου παῦσιν εἶναι αἰτίαν τῆς ἀναιρέσεως τῆς θέσεως, ἐξ ἧς τὸ ἄτοπον ἕπεται, ἀλλὰ καὶ τὴν ἀπόδειξιν τοῦ ἀτόπου. Ὅθεν οὐ δεῖ διατοῦτο μόνον μὴ εἶναι πολλοὺς υἱοὺς ἐν τοῖς θείοις, ἵνα μὴ εἴη πεπερασμένη ἡ γέννησις.**

**[2.4.24] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ὡς ἔρως. Ὁ δ' ἔρως οὐ δηλοῦται καθάπερ τι μεμορφοπεποιημένον ἢ εἰδοπεποιημένον τῷ εἴδει τοῦ ἐρῶντος ἢ τοῦ ἐρωμένου, ὥσπερ ὁ Λόγος σημαίνεται ὡς ἔχων εἶδος τούτου, ὃ λέγεται. Καὶ διατοῦτο τοῦ Υἱοῦ προϊόντος ὡς Λόγου, ἐξ αὐτοῦ τοῦ Λόγου τῆς αὐτῆς προόδου ἔχει προϊέναι ἐν τῷ ὁμοίῳ εἴδει τοῦ γεννῶντος, καὶ διατοῦτο Υἱὸς εἶναι λέγεται καὶ ἡ τούτου πρόοδος γέννησις. Ὅπερ οὐκ ἔχει τὸ ἅγιον Πνεῦμα τῷ λόγῳ τῆς αὐτοῦ προβολῆς, ἀλλὰ μᾶλλον ἐκ τῆς ἰδιότητος τῆς θείας φύσεως, ὅτι ἐν τῷ Θεῷ οὐκ ἐφικτὸν εἶναί τι μὴ ὂν Θεός. Καὶ οὕτως αὐτὸς ὁ θεῖος ἔρως ἐστὶ Θεός, ἐφόσον μέντοι γε θεῖος, οὐκ ἐφόσον δὲ ἔρως.**

**[2.4.25] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τοῦτο τὸ ῥῆμα τὸ λέγειν, δύναται δισσῶς ἐκλαμβάνεσθαι, ἰδίᾳ καὶ κοινῇ. Ἰδίᾳ μὲν οὖν λαμβανόμενον, ταὐτόν ἐστὶ τῷ Λόγον ἀφ' ἑαυτοῦ προΐεσθαι· καὶ ταύτῃ γνωριστικόν ἐστι καὶ διαφέρει μόνον τῷ Πατρί. Καὶ οὕτως ἐχρήσατο ὁ Αὐγουστῖνος· ὅθεν τίθησιν ἐν τῷ Περὶ Τριάδος ἕκτῳ, ὅτι μόνος ὁ Πατὴρ λέγει ἑαυτόν. Ἑτέρῳ τρόπῳ δύναται ληφθῆναι κοινῶς, καθὸ τὸ λέγειν ταὐτόν ἐστι τῷ νοεῖν· καὶ οὕτως ἔστιν οὐσιῶδες. Καὶ οὕτως ὁ Ἄνσελμος ἐξείληφεν ἐν τῇ Μονολόγῳ, ᾗ δὴ φησίν, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα λέγει ἑαυτά.**

**[2.4.26] Πρὸς τὸ ἔνατον ῥητέον· ὥσπερ τὸ γεννᾶν μόνον γίγνεται τῷ Πατρί, οὕτω καὶ τὸ συλλαμβάνειν. Ὅθεν μόνος ὁ Πατὴρ τὴν ἑαυτοῦ συλλαμβάνει ὁμοιότητα ἐν τῷ νῷ, εἰ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα νοεῖ ἑαυτά· καὶ γὰρ ἐν μὲν τῷ νοεῖν οὐδεμία ἀναφορὰ ὑποφαίνεται, εἰ μὴ μόνον ἴσως που κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον. Ἀλλ' ἐν τῷ γεννᾶν καὶ συλλαμβάνειν ἐναργῶς δείκνυται πρόοδος πραγματική.**

**143-144** ὁ – ἑαυτὰ] Ans., Monol., cap. 62 (PL 158, cols 207CD). **140-143** ὁ – οὐσιῶδες] cf. Aug., De Trin. VII (et non VI), cap. 1 (PL 42, cols 931-933).

**132** λέγεται] ἤ, ὅτι τὸ λέγεται παρα Λατίνοις αν. τοῦ νοεῖται πολλαχοῦ κεῖτος add. M **138** ἰδίᾳ καὶ κοινῇ] stricte et large Aq. **138, 142** τῷ] τὸ P, M **146-147** τὴν – Πνεῦμα] om. et al. man. add. in marg. sin. M

[2.4.27] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ὀρθῶς πρόεισι περὶ τῆς ἐνεργείας τῆς ἑπομένης ἀπολύτως τῇ φύσει, μήδ' ὁπωστιοῦν ἀποσκοποῦσι πρὸς τὰς ἰδιότητας. Τοιαύτη δὲ οὐκ ἔστιν ἡ γέννησις. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[2.4.28] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐν τοῖς θείοις οὐχ οἷόν τε εἶναι εἰ μὴ δισσὴ πρόοδος, ἥτις καὶ ἔστι μόνον κατὰ νοῦν καὶ βούλησιν. Τοιγάρτοι καὶ παρὰ τοῦ Ἁγίου Πνεύματος, οὐ δύναται εἶναι ἄλλο πρόσωπον προβαλλόμενον· αὐτὸ μὲν γὰρ πρόεισι κατὰ τὸν τῆς θελήσεως τρόπον ὡς
P 26r ἀγάπη, ὁ δὲ Υἱὸς κατά γε τὸν τοῦ νοῦ τρόπον ὡς Λόγος.

[2.4.29] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ προσωπικὴ ἰδιότης δεῖ εἶναι ἀκοινώνητος, ὡς προείρηται. Ἀμέλει καὶ κοινωνίαν γενέσθαι κατὰ ταύτην | οὐδεμία τέρψις ζητεῖ.

[2.4.30] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ ὁμοιότης ἐκείνη οὐ δεῖ κρατεῖν διὰ πάντων.

[2.4.31] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι, ὥσπερ ἡ πατρότης ἐν τῷ Πατρί, καὶ ἡ υιότης ἐν τῷ Υἱῷ εἰσί μία ουσία, οὕτω καὶ ἀξίωμα ἕν, καὶ μία ἀγαθότης.

[2.4.32] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἐφόσον λέγεταί γε γεννητέα δύναμις, τοῦτο τὸ θεϊκὸν τὸ γεννητὸν φημί, τριχῶς λαμβάνεσθαι ἐφικτόν ἐστιν. Ἑνὶ μὲν δὴ τρόπῳ, ἐφόσον ἐστὶν ἐπακτικὸν ῥήματος ἐνεργητικοῦ· καὶ ταύτῃ ἐκεῖνος ἔχει δύναμιν γεννητέαν, ὃς ἔχει δύναμιν πρὸς τὸ γεννᾶν. Ἑτέρῳ δὲ τρόπῳ, καθὸ πάλιν ἐπενεκτικόν ἐστι ῥήματος παθητικοῦ· καὶ οὕτως ἔχει δύναμιν γεννητέαν, ὃς ἔχει δύναμιν πρὸς τοῦτο, ὅτι γεννᾶται. Τρίτῳ τρόπῳ, καθό ἐστιν ἐπακτικὸν ῥήματος ἀπροσώπου· καὶ οὕτως ἐκεῖνος λέγεται δύναμιν ἔχειν γεννητέαν, ὃς τὴν δύναμιν ἐκείνην ἔχει, ᾗ ἀπ' ἄλλου γεννᾶται. Ἡ πρώτη τοίνυν γεννητέα δύναμις οὐ καθήκει τῷ Υἱῷ, ἀλλὰ τῷ δευτέρῳ καὶ τρίτῳ τρόπῳ. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.

**161** τέρψις] τρέψις M (iucunditas Aq.) **168** θεϊκόν] gerundium Aq.

## Κεφάλαιον πέμπτον

## Πότερον ἡ τοῦ γεννᾶν δύναμις ἐμπεριέχεται τῇ παντοδυναμότητι ἢ οὔ.

**[2.5.1] Πέμπτον ζητεῖται, πότερον ἡ τοῦ γεννᾶν δύναμις ἐμπεριέχεται τῇ παντοδυναμότητι. Καὶ δοκεῖ μὴ πάνυ. Ἡ γὰρ παντοδυναμότης ἀνήκει τῷ Υἱῷ, κατ' ἐκεῖνο τὸ τοῦ Συμβόλου·** παντοδύναμος ὁ Πατήρ, παντοδύναμος ὁ Υἱός, παντοδύναμον τὸ Πνεῦμα τὸ ἅγιον. **Οὐκ ἐπιβάλλει δὲ αὐτῷ καὶ ἡ τοῦ γεννᾶν δύναμις. Ἄρ' ὑπὸ τῆς παντοδυναμότητος οὐ περιέχεται.**

**[2.5.2] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι ὁ Θεὸς** λέγεται παντοδύναμος, ὅτι δύναται πάντα ἃ θέλει. **Ἐξ οὗ δοκεῖ ὅτι ἡ παντοδυναμότης αὕτη πρὸς τὴν δύναμιν ἐκείνην τείνει, ᾗπερ ἡ θέλησις ἐπιτάττει. Ἡ δὲ τοῦ γεννᾶν δύναμις οὐκ ἔχει οὖσα τοιαύτη· οὐ γὰρ γεγέννηκε τὸν Υἱὸν θελήσει, ὡς ἐν τοῖς ἄνω εἴληπται. Ἄρ' ἡ τοῦ γεννᾶν δύναμις οὐχ ἥκει εἰς τὴν παντοδυναμότητα.**

**[2.5.3] Ἔτι, τῷ Θεῷ παντοδυναμότης ἀνατίθεται, ἐφόσον πρὸς πάντα τὰ καθ' αὑτὰ δυνατὰ ἐκτείνεται ἡ τούτου παντοδυναμότης. Ἀλλ' ἡ τοῦ Υἱοῦ γέννησις, ἢ καὶ αὐτὸς ὁ Υἱός, οὐκ ἔστιν ἐκ τῶν δυνατῶν, ἀλλ' ἐκ τῶν ἀναγκαίων. Ἄρ' ἡ τοῦ γεννᾶν δύναμις οὐκ ἀναφέρεται ὑπὸ τῇ παντοδυναμότητι.**

**[2.5.4] Ἔτι, τὸ πλείοσι προσῆκον κοινῇ προσήκει αὐτοῖς κατά τι αὐτοῖς κοινόν· ὥσπερ τὸ ἔχειν τὰς τρεῖς δυσὶν ὀρθαῖς ἴσας τῷ ἰσοπλεύρῳ καὶ τῷ σκαληνῷ, καθὸ τρίγωνα εἰσίν. Ἄρ' ὃ προσήκει μόνῳ τινὶ ἄλλῳ, προσήκει αὐτῷ, καθὸ ἴδιόν ἐστιν αὐτῷ. Ἡ παντοδυναμότης δὲ οὐκ ἔστιν ἰδία τοῦ Πατρός· ἐπεὶ τοίνυν ἡ τοῦ γεννᾶν δύναμις μόνῳ προσήκει ἐν τῷ Πατρὶ ἐν τοῖς θείοις, οὐ προσήκει αὐτῷ, καθὸ παντοδύναμος ἐστί. Καὶ ταύτῃ οὐκ ἀνάγεται ὑπὸ τὴν παντοδυναμότητα.**

**[2.5.5] Ἔτι, ὥσπερ ἐστὶ μία οὐσία Πατρὸς καὶ Υἱοῦ, οὕτω καὶ μία παντοδυναμότης. Ἀλλὰ πρὸς τὴν τοῦ Υἱοῦ παντοδυναμότητα οὐκ ἀναφέρεται τὸ δύνασθαι γεννᾶν. Οὐδὲ πρὸς τὴν τοῦ Πατρὸς ἄρα. Καὶ ταύτῃ οὐδενὶ |** P 26v **τρόπῳ ἡ τοῦ γεννᾶν δύναμις εἰς τὴν παντοδυναμότητα ἀναφέρεται.**

**[2.5.6] Ἄνευ δὲ τούτων, ὅσα μή ἐστιν ἑνὸς λόγου, ὑπὸ μίαν οὐ πίπτει ἀπόδοσιν· οὐ γάρ, ἡνίκα λέγεται πᾶς κύων, ἡ ἀπόδοσις λαμβάνεται ὑπὲρ τοῦ ὑλακτικοῦ καὶ τοῦ οὐρανίου. Ἀλλ' ἡ τοῦ Υἱοῦ γέννησις καὶ ἡ πρόοδος τῶν ἄλλων τῶν ὑποκειμένων τῇ παντοδυναμότητι οὐκ εἰσὶ λόγου ταὐτοῦ. Τοῦ Θεοῦ ἄρα**

**5-6** Συμβόλου -- ἅγιον] Symbolum Athanasianum. **8-9** ὁ -- θέλει] Aug., Enchir., cap. 96 (PL 40 col. 276): Non ob aliud veraciter vocatur omnipotens, nisi quoniam quidquid vult potest.

**2** δύναμις] δύναμεις M **7** περιέχεται] comprehenditur Aq. **11** Hic post γὰρ Aq. habet Pater. **14** Υἱοῦ] Θεοῦ P (Filii Aq.) **18** δυσὶν] φυσὶν in litura M; [angulos] complevi editor Aq. **18** ὀρθαῖς] ὀρθαὶ M; deest Aq. | ἴσας] deest Aq. **24** Πρὸς – Υἱοῦ] om. et al. man. add. in marg. sin. M **25** ταύτῃ] ταύτης M (sic Aq.) **29** ὑλακτικοῦ] ὑλατικοῦ M

λεγομένου παντοδυνάμου οὐ περιέχεται ἐκεῖ ἡ τοῦ γεννᾶν δύναμις.

[2.5.7] Ἔτι, πρὸς ὃ ἐκτείνεται ἡ παντοδυναμότης, ἐστὶν ὑποκείμενον τῇ παντοδυναμότητι. Ἀλλ' ἐν τοῖς θείοις οὐδέν ἐστιν ὑποκείμενον, ὡς ὁ Ἱερώνυμος φησίν. Οὔτε ἡ τοῦ Υἱοῦ ἄρα γέννησις, οὔτε μὴν ὁ Υἱὸς ὑπάγεται τῇ παντοδυναμότητι. Ὡδὶ δὲ τὸ πρότερον.

[2.5.8] Χωρὶς δὲ τούτων, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἕκτῳ τῶν Φυσικῶν, ἡ ἀναφορὰ οὐ δύναται εἶναι πέρας κινήσεως καθ' αὑτήν, καὶ κατὰ τὸ εἰκὸς οὔτε ἐνεργείας. Καὶ οὕτως οὐδὲ δυνάμεως ἀντικείμενον τῆς λεγομένης ἀποσκοποῦσιν εἰς τὴν ἐνέργειαν. Ἀλλὰ ἡ γέννησις καὶ ἡ υἱότης ἐν τοῖς θείοις ἀναφορικῶς λέγονται. Ἡ τοῦ Θεοῦ ἄρα δύναμις πρὸς ταῦτα οὐκ ἐκτείνεται. Καὶ οὕτω τὸ δύνασθαι γεννᾶν οὐκ ἔνεστι τῇ παντοδυναμότητι.

[2.5.9] Ἀλλ' ἀντιβαίνει τὸ ὑπὸ τοῦ Αὐγουστίνου λεγόμενον Κατὰ Μαξίμου· εἰ ὁ Πατὴρ μὴ δύναται γεννᾶν Υἱὸν ὅμοιον ἑαυτῷ, ποῦ ἐστὶν ἡ αὐτοῦ παντοδυναμότης; Ἡ παντοδυναμότης ἄρα ἐπιλαμβάνεται τῆς γεννήσεως.

[2.5.10] Ἔτι, ἡ παντοδυναμότης ἐν τῷ Θεῷ λέγεται οὐχ ὅπως τὸν νοῦν προσέχουσι ταῖς πρὸς τὰ ἐκτὸς ἐνεργείαις, ὡς τὸ δημιουργεῖν καὶ κυβερνᾶν καὶ τὰ ὁμόστοιχα, αἳ πρὸς τὰ ἔξω ἀποτελέσματα ἀπαριθμεῖσθαι δύνανται, ἀλλὰ καὶ πρὸς τὰς ἐντὸς ἐνεργείας ἀποσκοποῦσιν, ὥσπερ τὸ νοεῖν καὶ θέλειν. Ὁ γὰρ τὸν Θεὸν λέγων μὴ δύνασθαι νοεῖν τὴν αὐτοῦ παντοδυναμότητα ὑποτέμνεται. Ἀλλ' ὁ Υἱὸς πρόεισιν ὡς Λόγος δι' ἐνεργείας τοῦ νοῦ. Ἀποβλέπουσιν ἄρα εἰς τὴν τοῦ Υἱοῦ γέννησιν ἡ τοῦ Θεοῦ παντοδυναμότης νοεῖται.

[2.5.11] Ἔξω δὲ τούτων, μεῖζον ὂν τυγχάνει γεννᾶν τὸν Υἱὸν ἢ τὴν γῆν καὶ τὸν οὐρανὸν ποιεῖν. Ἀλλὰ τὸ δύνασθαι τὸν οὐρανὸν καὶ τὴν γῆν ποιεῖν τῆς παντοδυναμότητός ἐστι. Πολλῷ ἄρα μᾶλλον τὸν Υἱὸν γεννᾶν.

[2.5.11] Ἔτι, ἐν ὁτῳδήποτε γένει ἔστι μία ἀρχή, πρὸς ἣν πάνθ' ὅσα εἰσὶ τοῦ αὐτοῦ γένους ἀναφέρονται. Ἐν δὲ τῷ τῶν δυνάμεων γένει ἡ παντοδυναμότης ἐστὶν ἀρχή. Πᾶσα τοίνυν δύναμις ὑπὸ τὴν παντοδυναμότητα ἀνάγεται. Καὶ ἡ τοῦ γεννᾶν ἄρα δύναμις, ἢ περιέχεται ὑπὸ τῇ παντοδυναμότητι, ἢ ἐν τῷ τῶν δυνάμεων γένει ἔσονται ἀρχαὶ δύο, ὅπερ ἀδύνατον ὂν τυγχάνει.

**36-38** κατὰ – ἐνεργείας] Ar., Phys. (non VI sed V), 225b.10-13: Κατ' οὐσίαν δ' οὐκ ἔστιν κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ τῶν ὄντων ἐναντίον. οὐδὲ δὴ τοῦ πρός τι· ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος <ἀληθεύεσθαι καὶ μὴ> ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον. **42-44** Εἰ – παντοδυναμότης] Aug., Cont. Max. III, caps. 7, 17 et 18.

**36** ἐν – Φυσικῶν] deest Aq. **42** κατὰ Μαξίμου] deest Aq.; intellige Μαξιμίνου **51** σημείωσαι add. in marg. sin. **53-54** ἔστι – ἔστι] om. et al. man. add. in marg. sin. M

**[2.5.12] Ἀπόκρισις. Ῥητέον ὅτι ἡ τοῦ γεννᾶν δύναμις διαβαίνει πρὸς τὴν τοῦ Πατρὸς παντοδυναμότητα, οὐχ ἁπλῶς δὲ πρὸς τὴν παντοδυναμότητα· ὅπερ οὕτω φαίνεται. Τῆς γὰρ δυνάμεως ἐπὶ τῆς οὐσίας ἐρριζῶσθαι νοουμένης,** P 27r **ἀρχῆς τε οὔσης τῆς ἐνεργείας, | τὴν αὐτὴν δεῖ κρίσιν εἶναι δυνάμεως πέρι καὶ ἐνεργείας, ἣν καὶ περὶ οὐσίας, ἐν τῇ θείᾳ οὐσίᾳ. Ἰστέον δὲ ὅτι διὰ τὴν τοῦ Θεοῦ ἄκραν ἁπλότητα, πᾶν ὅπέρ ἐστιν ἐν αὐτῷ, ἐστὶν ἡ θεία οὐσία· ὅθεν καὶ αἱ ἀναφοραὶ αὐταί, αἷς τὰ πρόσωπα διακρίνεται πρὸς ἄλληλα, εἰσὶν αὐτὴ ἡ θεία οὐσία κατὰ τὸ πρᾶγμα. Ἀλλ' εἰ καὶ μία καὶ ἡ αὐτὴ οὐσία ἐστὶν ἐν τοῖς τρισὶ προσώποις, ὅμως οὐχ ἡ αὐτὴ ἀναφορὰ τοῦ ἑνὸς προσώπου κοινὴ τοῖς τρισὶν ἐστί, διὰ τὴν τῶν ἀναφορῶν ἀντίθεσιν πρὸς ἀλλήλας. Αὕτη γὰρ ἡ πατρότης ἐστὶν ἡ θεία οὐσία, οὐ μέντοι ἐστὶ πατρότης τῷ Υἱῷ διὰ τὴν ἀντίθεσιν τῆς πατρότητος καὶ τῆς υἱότητος. Ὅθεν οἷόν τε λέγεσθαι ὅτι ἡ πατρότης ἐστὶν ἡ θεία οὐσία, καθὸ ἐστὶν ἐν τῷ Πατρί, οὐχ' ᾗ ἐν τῷ Υἱῷ· ἔστι μὲν γὰρ ἐν τῷ Υἱῷ ὡς παρ' ἄλλου ληφθεῖσα, ἐν δὲ τῷ Πατρὶ οὔ. Πλὴν οὐχ ἕπεται, εἰ καὶ ἡ πατρότης μὴ ἔστιν ἐν τῷ Υἱῷ, ἣν ὁ Πατὴρ ἔχει, ἔχειν τι τὸν Πατέρα, ὃ μὴ ἔχει ὁ Υἱός· αὐτὴ γὰρ ἡ ἀναφορὰ κατὰ τὸν τοῦ αὐτοῦ γένους λόγον, εἴτουν ἐφόσον ἐστὶν ἀναφορά, οὐκ ἔχει τὸ εἶναι τι, ἀλλὰ μόνον εἶναι πρός τι. Ὅτι δέ ἔστι τι κατὰ τὸ πρᾶγμα, ἐξ ἐκείνου τοῦ μέρους ἔχει, ᾧ δὴ ἔνεστιν, ἢ ὡς τὸ αὐτὸ κατὰ τὸ πρᾶγμα, ὡς ἐν τοῖς θείοις, ἢ ὡς ἔχον τὴν αἰτίαν ἐν τῷ ὑποκειμένῳ, ὡς ἐν τοῖς κτίσμασιν. Ἀμέλει δὴ καὶ τοῦ ἀπολελυμένου κοινῇ τοῦ τυγχάνοντος ἔν τε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, οὐ διακρίνεται κατά τι, ἀλλὰ κατὰ πρός τι μόνον. Ὅθεν οὐδὲ χρὴ λέγεσθαι ἔχειν τι τὸν Πατέρα, ὃ μὴ ἔχει ὁ Υἱός, ἀλλ' ὅτι τι κατὰ μίαν μὲν ἀπόβλεψιν προσήκει τῷ Πατρί, καθ' ἑτέραν δὲ τῷ Υἱῷ. Τὸ δ' αὐτὸ ῥητέον ἐνεργείας τε πέρι καὶ δυνάμεως. Ἡ γὰρ γέννησις, ἐνέργειάν τινα σημαίνει μετὰ ἀναφορᾶς· ὅθεν αὐτὴ ἡ γέννησίς ἐστιν ἐνέργεια Θεοῦ, ἀλλὰ καθὸ Πατὴρ ἐστὶ μόνον. Οὔκουν γε μὴν ἕπεται δύνασθαί τι τὸν Πατέρα, ὃ μὴ δύναται ὁ Υἱός, ἀλλὰ πάνθ' ὅσα ὁ Πατὴρ δύναται, δύναται καὶ ὁ Υἱός, εἰ καὶ γεννᾶν μὴ δύναται· τὸ γὰρ γεννᾶν πρός τι λέγεται.**

**[2.5.13] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ δύνασθαι γεννᾶν τῇ παντοδυναμότητι προσήκει, ἀλλ' οὐχ ᾗ ἐστιν ἐν τῷ Υἱῷ, ὡς εἴρηται.**

**65** ἐν – ὅτι] In essentia autem divina hoc considerandum est Aq. **72** υἱότητος] ἁγιότητος M (filiationis Aq.) **78** ἐκείνου] ἐκεῖνον M

[2.5.14] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος οὐ σκοπεῖ ἀποδιδόναι σύμπαντα τὸν τῆς παντοδυναμότητος λόγον ἐν τοῖς ῥήμασι τούτοις, ἀλλά τι τῆς παντοδυναμότητος σημεῖον. Οὔτε μὴν διαλέγεται περὶ τῆς παντοδυναμότητος, ὅτι μὴ καθὸ πρὸς τὰ κτίσματα ἐκτείνεται.

[2.5.15] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ δυνατὸν πρὸς ὃ τείνει ἡ παντοδυναμότης οὐ ληπτέον μόνον ἀντὶ τοῦ ἐνδεχομένου· ὅτι καὶ τὰ ἀναγκαῖα τῇ θείᾳ δυνάμει πρὸς τὸ εἶναι παρῆκται. Καὶ οὕτως οὐδὲν ἐνίσταται τὴν γέννησιν καταλέγεσθαι ἐν δυνατῶν τῇ θείᾳ δυνάμει.

[2.5.16] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, εἰ καὶ ἡ παντοδυναμότης ἀνειμένως θεωρουμένη οὐκ ἐστὶν ἰδία τοῦ Πατρός, ὅμως ᾗ δὴ συνεπινοεῖται αὐτῇ ὡρισμένος τρόπος τοῦ εἶναι ἢ ὡρισμένη ἀναφορά, ἔστιν ἰδία τοῦ Πατρός.
P 27v καθὰ δὴ ὃ φαμὲν Θεὸς Πατήρ, ἴδιόν ἐστι τοῦ Πατρός, | εἰ καὶ τὸ Θεός, κοινόν ἐστι τοῖς τρισί.

[2.5.17] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, ὥσπερ μία καὶ ἡ αὐτή ἐστιν οὐσία τῶν τριῶν προσώπων, οὐκ ἔστι δὲ ἡ αὐτὴ τῇ ἀναφορᾷ ἢ κατὰ τὸν αὐτὸν τοῦ εἶναι τρόπον ἐν τοῖς τρισὶ προσώποις, οὕτως ἐστὶ καὶ περὶ τῆς παντοδυναμότητος.

[2.5.18] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ γέννησις τοῦ Υἱοῦ καὶ ἡ τῶν δημιουργημάτων παραγωγὴ οὐκ εἰσὶν ἑνὸς λόγου κατὰ τὴν ἑνότητα, ἀλλὰ κατὰ ἀναλογίαν μόνον. Φησὶ γὰρ ὁ Βασίλειος, ὅτι τὸ λαμβάνειν ἔχει κοινὸν ὁ Υἱὸ μετὰ τῆς ἄλλης κτίσεως· καὶ τῷ λόγῳ τούτῳ λέγεται πρωτότοκος πάσης κτίσεως, ἐν τῷ δευτέρῳ τῆς Πρὸς Κολασαεῖς· καὶ τούτῳ τῷ λόγῳ δύναται ἡ τοῦ τούτου γέννησις τῇ παραγωγῇ τῶν ὄντων συναριθμεῖσθαι ὑπὸ μιᾷ ἀποδόσει.

[2.5.19] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ τοῦ Υἱοῦ γέννησις, ὑπόκειται τῇ παντοδυναμότητι οὐχ ᾧ τρόπῳ τῷ ὑποκειμένῳ ἐμπεπηγέναι τὸ κατηγορούμενον δηλοῦται, ἀλλ' ᾧ μόνον τῆς δυνάμεως ἀντικείμενον ἐστί.

[2.5.20] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ γέννησις ἀναφορὰν σημαίνει κατὰ τὸν τῆς ἐνεργείας τρόπον· καὶ ὁ Υἱὸς κατὰ τὸν τῆς ὑφεστηκυίας ὑποστάσεως τρόπον. Καὶ διατοῦτο οὐδὲν ἐμποδὼν γίνεται ἀποσκοποῦσιν εἰς ταῦτα τὴν παντοδυναμότητα λέγεσθαι. Οἱ δ' ἄλλοι λόγοι οὐ συμπεραίνουσιν ὅτι μὴ τὸ δύνασθαι γεννᾶν τῆς τοῦ Πατρὸς παντοδυναμότητος ἐξέχεται.

**111-112** πρωτότοκος – Κολασαεῖς] Bas., Ad Col., 1.15: Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

**99** ἐν δυνατῶν] sic P, M; intellige ἐν δυνατοῖς (inter possibilia Aq.) **106** προσώπων] προσώπου M | τῇ] deest M **111** πάσης] πάσης τῆς M **112** Κολασαεῖς] Κολοσσεῖς M

## Κεφάλαιον ἕκτον

## Πότερον ἡ τοῦ γεννᾶν δύναμις καὶ ἡ τοῦ κτίζειν ταὐτόν εἰσιν ἢ οὔ.

**[2.6.1] Ἕκτον ζητεῖται, πότερον ἡ τοῦ γεννᾶν δύναμις καὶ ἡ τοῦ κτίζειν, ταὐτόν εἰσί. Καὶ δοκεῖ οὐ δῆτα.** Ἡ **γὰρ** γέννησις **ἐνέργεια ἐστίν ἢ** ἔργον φύσεως, **ὥσπερ ὁ Δαμασκηνός φησιν, ἡ δὲ κτίσις ἐστὶν ἔργον θελήσεως κατὰ Ἱλάριον ἐν τῷ βιβλίῳ τῷ Περὶ συνόδων. Ἀλλ' ἡ θέλησις καὶ ἡ φύσις οὐκ εἰσὶν ἡ αὐτὴ ἀρχή, ἀλλ' ἀντιδιῄρηνται, ὡς ἐν τῷ δευτέρῳ φαίνεται τῆς Φυσικῆς. Ἄρ' ἡ τοῦ γεννᾶν καὶ κτίζειν δύναμις οὐκ ἔστι τὸ αὐτό.**

**[2.6.2] Ἔτι, αἱ δυνάμεις διακρίνονται κατὰ τὰς ἐνεργείας, ὡς φέρεται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ. Ἀλλ' ἡ γέννησις καὶ ἡ δημιουργία εἰσὶν ἐνέργειαι, παρατοσοῦτο διαφέρουσαι. Καὶ ἡ τοῦ γεννᾶν ἄρα καὶ δημιουργεῖν δύναμις οὐκ εἰσὶ μία δύναμις.**

**[2.6.3] Ἐπὶ δὲ τούτοις, μείων ἕνωσίς ἐστι κατά τι συνωνυμουμένων, ἢ ὧν ἐστὶ τὸ εἶναι ταὐτόν. Ἀλλ' ἡ τοῦ γεννᾶν καὶ κτίζειν δύναμις ἐν οὐδενὶ συνωνυμοῦνται, ὥσπερ οὔτε ἡ γέννησις καὶ ἡ κτίσις, οὔτε ὁ Υἱὸς καὶ τὰ κτίσματα. Ἡ τοῦ γεννᾶν ἄρα καὶ κτίζειν δύναμις οὐκ εἰσὶ τὸ αὐτὸ κατὰ τὸ εἶναι.**

**[2.6.4] Ἔτι, ἐν τοῖς οὖσι τοῖς αὐτοῖς οὐ πίπτει τάξις. Ἀλλ' ἡ τοῦ κτίζειν δύναμίς ἐστι πρεσβυτέρα κατ' ἐπίνοιαν ἢ ἡ τοῦ γεννᾶν, ὥσπερ τὸ οὐσιῶδες τοῦ γνωριστικοῦ. Αἱ προειρημέναι ἄρα δυνάμεις οὐκ εἰσὶ τὸ αὐτό.**

**[2.6.5] Ἀλλὰ τοὐναντίον· ἐν τῷ Θεῷ οὐ διαφέρει ἡ δύναμις καὶ ἡ οὐσία, ἀλλ' ἔστι μία μόνον θεῖα οὐσία. Ὥστε καὶ μία δύναμις μόνον. Οὐκ ἄρα** P 28r **διενηνόχασιν αἱ προειρημέναι | δυνάμεις.**

**[2.6.6] Ἄλλως δέ, ὁ Θεὸς οὐ ποιεῖ διὰ πλειόνων, ἃ δύναται ποιεῖν δι' ἑνός. Ἀλλὰ κατὰ μίαν ὁ Θεὸς δύναμιν δύναται ποιεῖν καὶ γεννᾶν, μάλιστα τῆς τοῦ Υἱοῦ γεννήσεως λόγου τῆς τῶν ὄντων παραγωγῆς οὔσης, κατὰ τὰ προεκτεθειμένα ἐκεῖνα τοῦ Αὐγουστίνου·** αὐτὸς εἶπε καὶ ἐγεννήθησαν, τουτέστι Λόγον γεγέννηκεν, ἐν ᾧ ἦν γενέσθαι πάντα**. Μία ἄρα μόνον δύναμις ἔστι τοῦ γεννᾶν καὶ κτίζειν.**

**4-5** Ἡ – φησίν] vide supra in apparatu fontium [2.4.1].5-7. **5-6** Ἡ – συνόδων] Hilar., De syn.: locum non inveni. **6-7** ἡ – Φυσικῆς] cf. Ar., Phys. II, 196a.28-31 λέ- γοντες γὰρ τὰ μὲν ζῷα καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι μήτε γίγνεσθαι, ἀλλ' ἤτοι φύσιν ἢ νοῦν ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον et 196a.18-19: τούτων δὲ τὰ μὲν κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ προαίρεσιν, ἄμφω δ' ἐν τοῖς ἕνεκά του. **25-27** κατὰ – πάντα] Aug., De gen. ad litt. II, cap. 6, n. 13 (PL 34, col. 268): Et dixit Deus. Unum quippe Verbum ille genuit, in quo dixit omnia, priusquam facta sunt singula.

**4** εἰσὶ] εἰσὶ[a. corr.] **20** δύναμις] δύναμεις M **21** μόνον] posterior man. scr. in marg. sin. ἀλλ' οὐ καλῶς φησὶν | ὦ Θωμᾶ. οὐκ ἔστιν | ἡ δύναμις ταυτὸν τῇ οὐσίᾳ

[2.6.7] Ἀπόκρισις. Ῥητέον ὅτι, καθάπερ ὑπείπομεν, τὰ λεγόμενα περὶ τῆς δυνάμεως καταληπτέα ἐστὶν ἐκ τῆς οὐσίας αὐτῆς. Ἐν οὖν τοῖς θείοις, εἰ καὶ μία ἀναφορὰ διέχει τῆς ἑτέρας πραγματωδῶς διὰ τὴν ἀντίθεσιν αὐτῶν πράγματα P 15v οὐσῶν ἐν τῷ Θεῷ, αὐτὴ ὅμως ἡ ἀναφορὰ οὐκ ἔστιν ἄλλο κατὰ τὸ πρᾶγμα ἢ αὐτὴ ἡ οὐσία, τῷ λόγῳ μόνον διαφέρουσα· ἡ γὰρ ἀναφορὰ πρὸς τὴν οὐσίαν οὐκ ἔχει ἀντίθεσιν. Καὶ διατοῦτο οὐ συγχωρητέον τι τῶν ἀπολελυμένων ἐν τοῖς θείοις πληθύνεσθαι, ὥς φασί τινες, ὅτι ἐν τοῖς θείοις ἔστι δισσὸν τὸ εἶναι, οὐσιῶδες καὶ προσωπικόν. Πᾶν γὰρ τὸ εἶναι ἐν τοῖς θείοις ἐστὶν οὐσιῶδες, οὐδὲ ἔστι πρόσωπον εἰ μὴ κατὰ τὸ τῆς οὐσίας εἶναι. Ἔχει δ᾽ ὡς κἀν τῇ δυνάμει. Ἐν αὐτῇ γὰρ ἄνευ τούτου ὅπέρ ἐστιν αὐτὴ ἡ δύναμις, θεωρεῖται ἀποσκόπησίς τις ἢ τάξις πρὸς τὸ τῇ δυνάμει ὑποκείμενον. Εἰ οὖν ἡ δύναμις ἥτις ἐστὶν ἀποσκοποῦσιν εἰς τὴν ἐνέργειαν οὐσιώδης, ὥσπερ ἡ τοῦ κτίζειν νοεῖται δύναμις, παραβάλλοιτο πρὸς τὴν δύναμιν, ἥτίς ἐστιν ἀποβλέπουσιν εἰς τὴν ἐνέργειαν γνωριστική, ὁποῖά ποτέ ἐστιν ἡ τοῦ γεννᾶν δύναμις, ᾗ δὴ ἐστὶν αὐτὸ δύναμις, εὑρίσκεται μία καὶ ἡ αὐτὴ δύναμις, καθάπερ ἐστὶν ἓν καὶ τὸ αὐτὸ τὸ εἶναι τῆς φύσεως καὶ τοῦ προσώπου. Ἀλλ᾽ ἐπεὶ ἑκατέρᾳ δυνάμει συνεπινοεῖται πρὸς ἄλλο καὶ ἄλλο ἀπόβλεψις κατὰ τὰς διαφόρους ἐνεργείας, πρὸς ἃς αἱ δυνάμεις λέγονται, οὕτω δὴ ἡ τοῦ γεννᾶν καὶ κτίζειν δύναμίς ἐστι μία μὲν καὶ ἡ αὐτή, εἰ θεωροῖτο τοῦθ᾽ ὅπερ ἐστὶ δύναμις, διαλλάττει δ᾽ ὅμως κατὰ τὰς διαφόρους ἀποβλέψεις πρὸς τὰς διαφόρους ἐνεργείας.

[2.6.8] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, κἂν ἐν τοῖς κτιστοῖς διαφέρῃ ἡ φύσις καὶ ἡ βούλησις, ἐν τοῖς θείοις ὅμως ἐστὶ ταὐτὸ κατὰ τὸ πρᾶγμα. Ἢ δύναται λέγεσθαι, ὅτι ἡ τοῦ κτίζειν δύναμις οὐ σημαίνει δύναμιν ἄνευ θελήσεως, ἀλλὰ δύναμιν παρὰ τῆς θελήσεως ἐπιταττομένην. Ἡ δὲ τοῦ γεννᾶν δύναμις δηλοῦται ᾗ δὴ ἡ φύσις ποιεῖ. Τοῦτο δὲ οὐ παρεισάγει διαφορότητα δυνάμεως· καὶ γὰρ οὐδὲν προσίσταται τὴν αὐτὴν δύναμιν πρὸς ἄλλην μὲν ἐνέργειαν ἐπιτρέπεσθαι παρὰ τῆς θελήσεως, πρὸς δ᾽ ἄλλην κλίνεσθαι παρὰ τῆς φύσεως. Καθάπερ ἀμέλει καὶ ὁ ἡμέτερος νοῦς πρὸς μὲν τὸ πιστεύειν κάμπτεται θελήσει, πρὸς δὲ τὸ τὰς πρώτας ἀρχὰς νοεῖν, ὑπάγεται ἐκ τῆς φύσεως.

**34** διατοῦτο] διατούτου οὐ M **54** ἐπιτρέπεσθαι] ἐπιτρέλει M **54-55** ἐπιτρέπεσθαι – ἀμέλει] om. et al. man. add. in marg. sin. M

**[2.6.9] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι, ὅσο τὶς δύναμίς ἐστιν ὑψηλοτέρα, τοσοῦτο πλειόνων ἐπιλαμβάνεται· ὅθεν ἥκιστα πληθύνεται τῇ** P 28v **δια|φορότητι τῶν ἀντικειμένων. Καὶ γὰρ ἡ φαντασία μία δύναμίς ἐστι τῶν αἰσθητῶν πολλῶν ὄντων, πρὸς ἃ ἔχει, καίτοι τῶν πρὸς ταῦτα αἰσθήσεων διακεκριμένων οὐσῶν. Ἡ δὲ θεία δύναμις πάντων ἄκρως ἀνέχει· ὅθεν ἡ διαφορὰ τῶν ἐνεργειῶν αὐτῇ τῇ δυνάμει τῷ γε αὐτῆς λόγῳ ἑτερότητα οὐδ’ ἡντιναοῦν ἐπάγει, ἀλλὰ κατὰ μίαν δύναμιν πάνθ’ ὁ Θεὸς δύναται.**

**[2.6.10] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ τοῦ γεννᾶν καὶ κτίζειν δύναμις, ὅσον πρὸς αὐτήν, ἵν’ οὕτως εἴποιμι, τῆς δυνάμεως ὕπαρξιν, οὐ μόνον εἰσὶ συνώνυμα, ἀλλὰ καὶ ἕν. Τὸ δὲ ἀναλογικῶς λέγεσθαί ἐστι τῆς κατὰ τὴν ἐνέργειαν τάξεως.**

**[2.6.11] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι αἱ προειρημέναι δυνάμεις οὐ τάττονται κατὰ τὸ πρῶτον καὶ ὕστερον, εἰ μὴ καθὸ διακρίνονται. Διά τοι τοῦτο ἡ τάξις αὐτῶν οὐ νοεῖται, εἰ μὴ κατ’ ἀπόβλεψιν πρός γε τὰς ἐνεργείας. Κἀκ τούτου φαίνεται ὅτι ἡ τοῦ γεννᾶν δύναμις ἔστι προτέρα, ὥσπέρ ἐστιν ἡ γέννησις τῆς δημιουργίας. Ὅσον δὲ πρὸς αὐτὸ τὸ περιὸν ἑκάστης παραβαλλόμεναι, ἕν εἰσι καὶ οὐκ ἔστιν αὐταῖς τάξις.**

**Τέλος τοῦ δευτέρου βιβλίου.**

**59** πληθύνεται] πληθῆναιται M **61** αἰσθητῶν] αἰστητῶν M **74-75** Τέλος – βιβλίου] deest P, Aq.

## Βιβλίον τρίτον

### Πότερον ὁ Θεὸς δύναταί τι ποιεῖν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ἢ οὔ.

**[3.1.1] Ἡ ζήτησίς ἐστι περὶ τῆς δημιουργίας, ἥτις ἐστὶ πρῶτον ἀποτέλεσμα τῆς θείας δυνάμεως. Καὶ δὴ πρῶτον ζητεῖται, πότερον ὁ Θεὸς δύναταί τι ποιεῖν ἐκ τοῦ μηδαμῇ μηδαμῶς. Καὶ δοκεῖ μὴ πάνυ. Ὁ γὰρ Θεὸς οὐ δύναται ποιεῖν παρὰ τὰς κοινὰς ἐννοίας, ὥσπερ τὸ τὸ ὅλον μὴ εἶναι μεῖζον τοῦ ἰδίου μέρους. Ἀλλ' ὡς ὁ Φιλόσοφος χρηματίζει ἐν τῷ τῆς Φυσικῆς πρώτῳ,** κοινὴ **ἔννοια καὶ ἀξίωμα τῶν φιλοσόφων γέγονεν** ἐκ **μηδενὸς** μη**δὲν γίνεσθαι. Ὁ Θεὸς ἄρ' οὐ δύναται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ποιεῖν.**

**[3.1.2] Ἔτι, πᾶν τὸ γενόμενον, πρὶν ἂν γένηται, δυνατὸν ἦν εἶναι. Εἰ γὰρ ἀδύνατον ἦν εἶναι, οὐκ ἂν ἦν δυνατὸν γενέσθαι· οὐδὲν γὰρ μεταβάλλει ἐκ τοῦ ἀδυνάτου πρὸς τὸ δυνατόν. Ἀλλ' ἡ δύναμις, ᾗ δύναταί τι εἶναι, οὐχ οἷά τε εἶναι εἰ μὴ ἔν τινι ὑποκειμένῳ, εἰ μή που αὐτὴ εἴη ὑποκείμενον· τὸ γὰρ συμβεβηκὸς ἄνευ ὑποκειμένου εἶναι οὐ δύναται. Ἄρα πᾶν ὃ γίνεται, ἐξ ὕλης γοῦν ὑποκειμένης γίνεται. Ἀδύνατον ἄρα ἐκ τοῦ μηδαμῇ μηδαμῶς γενέσθαί τι.**

**[3.1.3] Ἔτι, τὸ ἄπειρον διάστημα οὐκ ἐνδέχεται διιέναι. Ἀλλὰ τοῦ ἁπλῶς μὴ ὄντος πρὸς τὸ ὂν ἄπειρόν ἐστι τὸ μεταξύ. Τόδε, προὖπτόν ἐστιν ἐντεῦθεν, ὅτι, ὅσον ἂν ἡ δύναμις ἧττον διακέηται πρὸς τὴν ἐνέργειαν, τοσοῦτο μᾶλλον τοῦ ἐνεργείᾳ διέχει· ὅθεν καὶ εἰ το ἅπαξ ἡ δύναμις ὑφαιρεθείη, ἐστὶν ἄπειρος ἡ διάστασις. Ἀδύνατον ἄρά ἐστι παραγένεσθαί τι ἐκ τοῦ ἁπλῶς μὴ ὄντος εἰς τὸ εἶναι.**

**[3.1.4] Χωρὶς δὲ τούτων, ὁ Φιλόσοφος λέγει ἐν τῷ Περὶ γενέσεως πρώτῳ, ὅτι τὰ πάντῃ ἀνόμοια οὐ δρᾷ εἰς τὰ πάντῃ ἀνόμοια· δεῖ γὰρ τὸ ποιοῦν καὶ πάσχον**
P 29r **| συνιέναι εἴς τε τὸ γένος καὶ τὴν ὕλην. Ἀλλὰ τὸ ἁπλῶς μὴ ὂν καὶ ὁ Θεὸς ἐν οὐδενὶ συμφέρουσιν. Ἄρ' ὁ Θεὸς οὐ δύναται δρᾶν εἰς τὸ ἁπλῶς μὴ ὄν. Καὶ ταύτῃ οὐ δύναταί τι ποιεῖν ἐκ τοῦ μηδενός.**

**[3.1.5] Ἀλλ' ἔλεγεν, ὅτι ὁ λόγος οὗτος πρόεισι περὶ τοῦ ποιοῦντος, οὗ ἡ ἐνέργεια διαφέρει τῆς οὐσίας αὐτοῦ, ἣν ἀναγκαῖον ἔν τινι ὑποκειμένῳ εἰλῆφθαι. Ἀλλὰ τοὐναντίον ὁ Ἀβίκενός φησιν· εἴ τις τὴν θερμότητα τῆς ὕλης**

**7-8** ὁ – γίνεσθαι] Ar., Phys. I, 187a.26-29 ἔοικε δὲ Ἀναξαγόρας ἄπειρα οὕτως οἰηθῆναι διὰ τὸ ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσικῶν εἶναι ἀληθῆ, ὡς οὐ γιγνομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄντος. **21-22** ὁ – ἀνόμοια] cf. Ar., De gen. et corr. I, 327a.34-35: ἀδύνατον γάρ ἐστι μιχθῆναί τι ἕτερον ἑτέρῳ ; 327b.3-4: τὴν δὲ μίξιν ὁμοίως ἐχόντων εἶναι τὸν αὐτὸν δὲ τρόπον ; 327b.11: τὴν ὕλην τῷ πυρὶ μεμίχθαι φαμὲν οὐδὲ μίγνυσθαι καιομένην. **28-29** ὁ – ὕλης] Avic., Metaph. IX, cap. 2.

10 γενόμενον] γινόμενον M 21 λέγει] λέγειν M

ἀποσυλήσειε καθ' αὑτὴν ἐνεργήσει χωρὶς ὕλης· καὶ ὅμως ἡ ἐνέργεια αὐτῆς οὐκ ἔστιν ἡ οὐσία αὐτῆς. Ὥστε τό γε εἶναι τὴν ἐνέργειαν τοῦ Θεοῦ τὴν οὐσίαν αὐτὴν ἑαυτοῦ οὐκ ἔστι λόγος τοῦ μὴ δεῖσθαι ὕλης.

[3.1.6] Ἔτι, ἐκ τοῦ μηδενὸς οὐδὲν συμπεραίνεται· ὅπέρ ἐστί τι γενέσθαι, οἷον λόγον. Ἀλλὰ τῷ τοῦ λόγου εἶναι ἕπεται τὸ τῆς φύσεως. Κἀν τῇ φύσει ἄρα ἐκ τοῦ μηδενὸς οὐδὲν γίνεται.

[3.1.7] Ἄνευ δὲ τούτων, εἰ ἐκ τοῦ μηδενὸς γίνεταί τι, αὕτη ἡ ἐξ πρόθεσις ἢ αἰτίαν σημαίνει, ἢ τάξιν. Αἰτίαν δέ, οὐ δοκεῖ δηλοῦν, εἰ μὴ ποιητικήν, ἢ ὑλικήν. Τὸ οὐδὲν δὲ οὐ δύναται εἶναι αἰτία ποιητικὴ τοῦ ὄντος, ἀλλ' οὐδὲ ὑλική· καὶ οὕτως ἡ ἐκ πρόθεσις αἰτίαν οὐ δηλοῖ. Ὡσαύτως δὲ οὐδὲ τάξιν· ὡς γάρ φησὶν ὁ Βοήτιος, τοῦ ὄντος πρὸς τὸ μὴ ὂν οὐκ ἔστι τις τάξις. Οὐδενὶ ἄρα τρόπῳ ἐκ τοῦ μηδενὸς δύναταί τι γενέσθαι.

[3.1.8] Ἐπὶ δὲ τούτοις, ἡ ποιητικὴ δύναμις κατὰ τὸν Φιλόσοφον ἐν τῷ Μετὰ τὰ φυσικὰ πέμπτῳ ἐστὶν ἀρχὴ μεταβολῆς εἰς ἄλλο καθὸ ἄλλο. Ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἔστιν εἰ μὴ δύναμις ποιητική. Ἄρα ζητεῖ τὸ ὑποκείμενον μεταβολῆς, καὶ οὕτως οὐ δύναται ἐκ τοῦ μηδόλως τι γίνεσθαι.

[3.1.9] Ἔτι, ἐν τοῖς οὖσιν εὑρίσκεται ἑτερότης, καθὸ τὶ ὂν ἔστιν ἄλλου τελεώτερον. Ταύτης δὲ τῆς ἑτερότητος αἰτία οὐκ ἔστι τῷ γε τοῦ Θεοῦ μέρει, ὅς ἐστιν εἷς καὶ ἁπλοῦς. Ἀνάγκη ἄρα τῆς τοιαύτης ἑτερότητος αἰτίαν ἀποδιδόναι τῷ γε τῆς ὕλης γιγνομένῳ. Δεῖ δὴ ἄρα τιθέναι τὰ γεγονότα εἶναι ἐκ τῆς ὕλης καὶ οὐκ ἐκ τοῦ μηδενός.

[3.1.10] Πρὸς δέ τούτοις, τὸ ἐκ τοῦ μηδαμῇ μηδαμῶς γεγονὸς ἔχει τὸ εἶναι κατόπιν τοῦ μὴ εἶναι. Ἔξεστι τοίνυν ἐννοεῖν τι ἀκαριαῖον, ἐν ᾧ ἐσχάτῳ οὐκ ἔστιν, ἀφ' οὗ μὴ εἶναι ἐπαύσατο, καὶ ἄλλο πάλιν, ἐν ᾧ πρώτῳ ἐστίν, ἀφ' οὗ εἶναι ἤρξατο. Ἢ τοίνυν ἐστὶν ἓν καὶ ταυτὸ ἀκαριαῖον ἢ διάφορον. Εἰ τὸ αὐτό, ἕπεται δύο ἀντιφατικὰ εἶναι ἐν τῷ αὐτῷ ἀκαριαίῳ. Εἰ διάφορα, ἐφόσον δύο μεταξὺ ἀκαριαίων ἔστι τις χρόνος μέσος, ἕπεταί τι εἶναι μέσον καταφάσεως καὶ ἀποφάσεως· οὐ γὰρ οἷόν τε λέγειν μὴ εἶναί τινα χρόνον μετὰ τὸ ἔσχατον ἄτομον, ὑφ' ᾧ μὴ ἦν, μήτε μὴν πρότερον τοῦ ἐν ᾧ πρῶτον ἀκαριαῖον γέγονεν.

**38-39** ὡς – τάξις] locum non inveni. **41-42** ἡ – ἄλλο] Ar., Metaph., 1019a15-16: Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἡ ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον.

**38-39** ὡς – τάξις] om et al. man. scr. in marg. sin. M **41-42** ἐν – πέμπτῳ] deest Aq. **44** τι] τὸ P **45** ἔστιν ἄλλου] om et al. man. scr. in marg. dex. M **50-51** ἔχει – εἶναι] κατόπιν post ἔχει scripsit P (habet esse post non esse Aq.) **55** τι] deest P (aliquid Aq.)

Ἑκάτερον δέ ἐστιν ἀδύνατον, δηλαδὴ καὶ τὸ τὴν ἀντίφασιν εἶναι τῶν ἅμα, καὶ τὸ ταύτην ἔχειν τὶ μέσον. Ἀδύνατον ἄρα τι γενέσθαι, ἐκ τοῦ μηδενός.

P 29v [3.1.11] Ἔτι, τὸ γεγονὸς ἀναγκαῖόν ἐστί ποτε | γίνεσθαι, τὸ δὲ κτισθέν ποτε γενέσθαι. Ἢ τοίνυν ὁμοῦ γίνεται καὶ γέγονε τὸ κτιζόμενον ἢ οὐχ ὁμοῦ. Ἀλλ' οὐ δύναται λέγεσθαι ὁμοῦ· ἡ γὰρ κτίσις οὐκ ἔστι πρὶν ἢ γέγονεν. Εἰ οὖν τὸ γίνεσθαι αὐτῆς ἐστι τοῦ γενέσθαι ἀρχαιότερον, δεήσει εἶναί τι ὑποκείμενον ποιήσεως, ὅπερ ἔστι σοι παρὰ τὸν λόγον τῆς κτίσεως. Εἰ δὲ ὁμοῦ γένεται καὶ γέγονεν, ἕπεται ὁμοῦ εἶναι καὶ μὴ εἶναι· τὸ μὲν γὰρ γεγονός, ἔστιν ἐν τοῖς ἤδη ὑφεστῶσι· τὸ δὲ γινόμενον, οὐκ ἔστι. Τοῦτο δέ ἐστιν ἀδύνατον. Ἀδύνατον ἄρα τὶ ἐκ τοῦ μηδενὸς γίνεσθαι ἢ κτίζεσθαι.

[3.1.12] Ἔτι, πᾶν τὸ ποιοῦν, ποιεῖ ὅμοιον ἑαυτῷ. Πᾶν δὲ τὸ ποιοῦν ποιεῖ καθό ἐστιν ἐνεργείᾳ. Οὐδὲν ἄρα γίνεται, εἰ μὴ καθὸ ἐστὶν ἐνεργείᾳ. Ἀλλ' ἡ πρώτη ὕλη οὐκ ἔστιν ἐνεργείᾳ. Γενέσθαι ἄρα οὐχ οἷα τε, μάλιστα παρὰ τοῦ Θεοῦ, ὅς ἐστιν ἐνέργεια ψιλή. Καὶ οὕτω τὰ γινόμενα γίνονται ἐξ ὑποκειμένης τῆς ὕλης, καὶ ἐκ τοῦ μηδαμῇ μηδαμῶς <ὄντος>.

[3.1.13] Ἔτι, πάνθ' ἃ ποιεῖ ὁ Θεός, διὰ τῶν ἰδεῶν ποιεῖ, καθάπερ δὴ καὶ ὁ τεχνίτης τὰ τεχνητὰ ποιεῖ διὰ τῶν τῆς τέχνης ἰδεῶν. Ἀλλ' ἡ πρώτη ὕλη, ἰδέαν οὐκ ἔχει ἐν τῷ Θεῷ· ἡ μὲν γὰρ ἰδέα μορφή ἐστι τοῦ εἰδοπεποιημένου καὶ ὁμοιότης, τῆς δὲ πρώτης ὕλης νοουμένης κατὰ τὴν αὐτῆς οὐσίαν ἄνευ ὁτουοῦν εἴδους οὐ δύναται εἶδος αὐτῆς καὶ ὁμοιότης εἶναί τις. Ἡ πρώτη ἄρα ὕλη παρὰ τοῦ Θεοῦ γενέσθαι οὐ δύναται. Καὶ οὕτω ταὐτό, ὅπερ πρότερον.

[3.1.14] Παρὰ ταῦτα, οὐ δύναται ταὐτὸ τελειότητος καὶ ἀτελείας εἶναι ἀρχή. Ἐν δὲ τοῖς οὖσιν ἀτέλεια εὑρίσκεται, ἐφόσον τινὰ τῶν ὄντων εἰσὶ κρείττω· ὅπερ οὐχ οἷόν τε εἶναι ὅτι μὴ τῷ τῶν ὑποβεβηκότων ἀτελεῖ. Ἐπεὶ τοίνυν ὁ Θεός ἐστι τελειότητος ἀρχή, δεῖ τὸ ἀτελὲς ὑπό τινα ἄλλην ἀρχὴν ἀναγαγεῖν. Ἀλλ' οὐκ ἂν εἰ μὴ ὑπὸ τὴν ὕλην. Ἀνάγκη ἄρα τὰ ὄντα ἔκ τινος ὕλης εἶναι γεγενημένα, καὶ οὐκ ἐκ τοῦ μηδενός.

[3.1.15] Ἔτι, εἰ γίνεταί τι ἐκ τοῦ μηδαμῶς, ἢ γίνεται ἐξ αὐτοῦ καθάπερ ἐξ ὑποκειμένου, ὥσπερ ὁ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ, ἢ ὡς ἐξ ἀντικειμένου, ὥσπερ τὸ ἐνείδεον ἐκ τοῦ ἀνειδέου, ἢ ἐκ συνθέτου, ὥσπερ ἂν ὁ ἀνδριὰς ἐξ ἀνειδέου τοῦ

**66** γινόμενον] γενόμενον M (quod fit Aq.) **72** μηδαμῇ μηδαμῶς] μηδαμῇ deest M (non ex nihilo Aq)

χαλκοῦ. Ἀλλ’ οὐ δύναταί τι γενέσθαι ὡς ἐξ ὑποκειμένου τοῦ μηδαμῶς· ὅτι τὸ μὴ ὄν, οὐ δύναται εἶναι τοῦ ὄντος ὕλη· οὔτε μὴν ὡς ἐκ συνθέτου· ταύτῃ γὰρ τὸ μὴ ὂν μεταβαλεῖ εἰς τὸ ὄν, ὥσπερ ὁ ἀσχημάτιστος χαλκός, μεταβάλλει εἰς τὸν ἐσχηματισμένον χαλκόν· καὶ αὖθις δεήσει εἶναί τι κοινόν, τῷ τε ὄντι καὶ τῷ μὴ ὄντι, ὅπέρ ἐστιν ἀδύνατον· οὔτε μὴν ὡς ἐξ ἀντικειμένου· ἐπεὶ πλεῖον διενήνοχεν ἁπλῶς τό τε ὂν καὶ τὸ μὴ ὄν, ἢ ὄντα διαφόρων γενῶν, ὧν ἐκθατέρου, οὐ γίνεται θάτερον, ᾗ δὴ τὸ σχῆμα οὐ γίνεται χρῶμα, εἰ μή που κατὰ συμβεβηκός. Οὐδενὶ ἄρα τρόπῳ γίνεταί τι ἐκ τοῦ μηδαμῇ.

[3.1.16] Ἔτι, πᾶν ὅπέρ ἐστι κατὰ συμβεβηκὸς ἀναφέρεται εἰς τὸ καθ’ αὑτό.
P 30r Ἀλλ’ ἐκ μὲν τοῦ ἀντικειμένου γίνεταί τι κατὰ συμβεβηκός, | ἐκ δὲ τοῦ ὑποκειμένου καθ’ αὑτό· ὥσπερ ὁ ἀνδριὰς ἐκ μὲν τοῦ ἀμορφώτου γίνεται κατὰ συμβεβηκός, ἐκ δὲ τοῦ χαλκοῦ καθ’ αὑτό, ὅτι συμβέβηκε τῷ χαλκῷ τὸ ἀμορφώτῳ εἶναι. Εἰ δὴ οὖν τι γένοιτο ἐκ τοῦ μὴ εἶναι, τοῦτ’ ἔσται κατὰ συμβεβηκός. Δεῖ ἄρα γενέσθαι καθ’ αὑτὸ ἐξ ἄλλου ὑποκειμένου. Καὶ οὕτως οὐ γίνεται ἐκ τοῦ μήδ’ ὁπωσοῦν.

[3.1.17] Ἄλλως δὲ τῷ γινομένῳ δίδωσι τὸ ποιοῦν τὸ εἶναι. Ἢν οὖν ὁ Θεὸς ποιῇ τι ἐκ τοῦ μηδαμῶς, ὁ Θεὸς δίδωσι τὸ εἶναί οἱ αὐτῷ. Ἢ τοίνυν ἔστι τι λαμβάνον ἢ οὐδέν. Ἀλλ’ εἰ μηδέν, ἄρα οὐδὲν εἰς τὸ εἶναι καθίσταται, διὰ τῆς ἐνεργείας ἐκείνης· καὶ οὕτως οὐ γίνεταί τι. Εἰ δ’ ἔστι τι λαμβάνον καὶ λαμβανόμενον. Ὁ Θεὸς ἄρα ποιεῖ ἔκ τινος προϋφεστῶτος· καὶ οὕτως οὐδὲν ἐκ τοῦ μηδαμῶς.

[3.1.18] Ἀλλὰ τοὐναντίον, ἐν τῷ τῆς Γενέσεως πρώτῳ, εἰς τὸ ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, φησὶν ἡ Ἐξήγησις· ὅτι δημιουργεῖν ἐστὶ τὸ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ποιεῖν τι. Ὁ Θεὸς ἄρα δύναται ἐκ τοῦ μηδαμῶς ποιεῖν.

[3.1.18] Ἔτι, ὁ Ἀβίκενός φησιν ὅτι τὸ ποιοῦν ᾧ συμβέβηκε τὸ ποιεῖν, ζητεῖ ὕλην ἐν ᾗ δράσειεν. Ἀλλὰ τῷ Θεῷ οὐ συμβέβηκε τὸ ποιεῖν, μᾶλλον μὲν οὖν ἡ ἐνέργεια αὐτοῦ ἐστιν ἡ οὐσία αὐτοῦ. Οὐ ζητεῖ ἄρα ὕλην, ἐν ᾗ ποιήσειε, καὶ ταύτῃ δύναταί τι ἐκ τοῦ μηδενὸς ποιεῖν.

[3.1.19] Ἔτι, ἡ θεία δύναμίς ἐστιν ἰσχυροτέρα ἢ ἡ τῆς φύσεως δύναμις. Ἀλλ’ ἡ τῆς φύσεως δύναμις ποιεῖ ὄν τι ἐκ τοῦ δυνάμει. Ἡ θεία δύναμις ἄρα πλεῖόν τι

**109-110** ἐν – γῆν] Gen. 1, 1: Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. **112-113** ὁ -- δράσειεν] Avic., Metaph. VII, cap. 2

**89** οὔτε] εἴτε P (neque Aq.) **91-92** ὄντι ... ὄντι] ὄν τι ... ὄν τι P (enti ... enti Aq.) **93** καὶ – ὄν] deest Aq. **95** μηδαμῇ] intellige μηδενὸς **101** μὴ – ὁπωσοῦν] intellige ὄντος **111** μηδαμῶς] intellige μηδενὸς **107** Hic post λαμβάνον Aq. habet: hoc erit aliud ab eo quod est Deus; quia non est idem recipiens.

ποιεῖ, καὶ οὕτως ἐκ τοῦ μηδενὸς ποιεῖ.

[3.1.20] Ἀπόκρισις. Ῥητέον, ὅτι ἀπρὶξ ἀντιληπτέον ἐστὶ τῆς λεγούσης δόξης, ὅτι ὁ Θεὸς δύναταί τι ποιεῖν ἐκ μηδενὸς καὶ ποιεῖ. Οὗ πρὸς ἐναργῆ παράστασιν ἰστέον, ὅτι πᾶν τὸ ποιοῦν ποιεῖ, καθὸ ἐστὶν ἐνεργείᾳ· ὅθεν κατ' ἐκεῖνον τὸν τρόπον ἀναγκαῖον ἀποδίδοσθαί τινι ἐνέργειαν, ᾧ συμβαίνει εἶναι ἐνεργείᾳ. Ἔστι δὲ τὸ φυσικὸν πρᾶγμα, ἐνεργείᾳ μερικῶς· καὶ τοῦτο διχῇ· πρῶτον παραβαλλόμενον πρὸς ἑαυτό, οὐ γὰρ τοῖς ὅλοις ἡ οὐσία αὐτοῦ ἔστιν ἐνεργείᾳ, ἐφ' ὅσον τὰ τοιάδε ἐστὶ σύνθετα ἐξ ὕλης καὶ εἴδους· κἀντεῦθεν ἐστὶ τὸ τὸ φυσικὸν πρᾶγμα μὴ ποιεῖν ὅλῳ ἑαυτῷ, ἀλλὰ ποιεῖν τῷ ἑαυτοῦ εἴδει, δι' οὗ ἐστιν ἐνεργείᾳ. Δεύτερον παρεξεταζόμενον πρὸς τὰ ἄλλα τὰ ὄντα ἐνεργείᾳ. Ἐν γὰρ οὐδενὶ φυσικῷ πράγματι περιειλημμένα εἰσί, τό τε ἐνέργεια, καὶ αἱ τελειότητες πάντων τῶν ὄντων ἐνεργείᾳ· ἀλλ' ἕκαστον αὐτῶν ἔχει ὡρισμένον τὸ ἐνεργείᾳ πρὸς τόδε ἢ τόδε· ὡς φέρε εἰπεῖν, πρὸς τὸ τοῦ πυρὸς εἶδος ἢ πρὸς τὴν λευκότητα ἢ πρὸς τὰ ὁμόλογα. Καὶ διατοῦτο τὸ φυσικῶς ποιοῦν ποιεῖ κινοῦν· διὸ καὶ ζητεῖ ὕλην, ἥτις ἐστὶν ὑποκείμενον μεταβολῆς ἢ κινήσεως. Διά τοι τοῦτο οὐχ οἷόν τέ τι ἐκ τοῦ μηδενός τι ποιῆσαι. Ἀλλ' αὐτὸς ὁ Θεὸς ἐκ τοῦ ἀνάπαλιν ἐστὶ τὸ παράπαν ἐνέργεια, καὶ παραβαλλόμενος πρὸς ἑαυτόν, ὢν ἐνέργεια ψιλὴ καὶ μὴ ἔχων δύναμιν συμμιγῆ καὶ τοῖς οὖσι παραθεωρούμενος, ὅσα ἐνεργείᾳ τυγχάνει ὄντα· ἐν αὐτῷ γὰρ παρέχει πάντων τῶν ὄντων | τὰς ἀρχάς· ὅθεν καὶ τῇ
P 30v αὐτοῦ ἐνεργείᾳ παράγει πᾶν τὸ ὂν ὑφεστώς, μηδενὸς ὑποκειμένου, ὡσἂν παντὸς ὢν τοῦ εἶναι ἀρχή, καὶ καθ' αὐτὸν ὅλον. Καὶ διατοῦτο ἐκ τοῦ μηδενός τι ποιεῖν δύναται· καὶ οὗτος ὁ λόγος αὐτοῦ καλεῖται δημιουργία. Κἀντεῦθεν ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται τὸ μὲν εἶναί ἐστι διὰ τῆς δημιουργίας, τὸ δὲ ζῆν καὶ τὰ τοιαῦτα διὰ τῆς εἰδοποιήσεως. Τὰ μὲν γὰρ τοῦ ὄντος αἴτια ἀπολύτως ἀναφέρονται εἰς τὴν καθόλου πρώτην αἰτίαν, ἡ δὲ αἰτιότης τῶν ἄλλων ἃ πρὸς τὸ εἶναι προσεπιτιθέασιν, ἢ οἷς τὸ εἶναι εἰδοποιεῖται, ἐξέχεται τῶν δευτέρων αἰτιῶν, αἳ ποιοῦσι δι' εἰδοποιήσεως ὥσπερ ὑποκειμένου τοῦ ἀποτελέσματος τῆς καθόλου αἰτίας· κἀντεῦθεν ἔστιν ὅτι οὐδὲν χρῆμα δίδωσι τὸ εἶναι, εἰ μή τις

**119-120** τῆς – δόξης] deest Aq. **122** Hic post τινι Aq. habet: agenti. **130** Post ἐνεργείᾳ Aq. habet: ad unum genus et ad unam speciem; et inde est quod nulla earum est activa entis secundum quod est ens, sed eius entis secundum quod est hoc ens, determinatum. **138** παρέχει] intellige περιέχει **141** λόγος] actio Aq.

**εἴη τούτῳ μετουσία τῆς θείας δυνάμεως· τῷ τοι καὶ λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, ὅτι ἡ εὐγενὴς ψυχὴ ἔχει τὴν θείαν ἐνέργειαν, ἐφόσον δίδωσι τὸ εἶναι.**

**[3.1.21] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ ἐκ τοῦ μηδενὸς μηδὲν γίνεσθαι, οἱ φιλόσοφοι φασὶν εἶναι κοινὴν ἔννοιαν ἢ δόξαν φυσικήν· ὅτι τὸ ἐν τῇ φύσει ποιοῦν, ὡς παρ' αὐτῶν τε θεώρηται, οὐ ποιεῖ εἰ μὴ κινήσει· ὅθεν δεῖ εἶναί τι ὑποκείμενον τῇ κινήσει ἢ τῇ μεταβολῇ· ὅπερ ἐν τῷ ὑπὲρ φύσιν ποιοῦν τι οὐκ ἀναγκαῖον, ὡς φθάσαντες εἴπομεν.**

**[3.1.22] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι πρὶν ἢ τὸν κόσμον εἶναι δυνατὸν ἦν τὸν κόσμον εἶναι, οὐκ ἀναγκαῖον μέντοι ὕλην τινὰ προϋφεστάναι, ἐφ' ἧς ἐπιβαίνοι ἂν ἡ δύναμις. Λέγεται καὶ γὰρ ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, ἐνίοτε λέγεσθαι** τὸ δυνατὸν **οὐ κατὰ** δύναμιν **τινά, ἀλλ' ὅτι ἐν τοῖς αὐτοῦ ὅροις οὐκ ἔστι τις ἀποφαντικὴ διαμάχη, καθὸ δὴ** τὸ δυνατὸν **ἀντίκειται τῷ** ἀδυνάτῳ**. Οὕτω γοῦν λέγεται πρὸ τοῦ τὸν κόσμον εἶναι δυνατὸν εἶναι τὸν κόσμον γίνεσθαι, ὅτι μὴ ἔστι μάχη τὶς μεταξὺ τοῦ κατηγορουμένου καὶ τοῦ ὑποκειμένου ἀποφαντική. Ἐνδέχεται δὲ τοῦτο λέγεσθαι, ὅτι δυνατὸν ἦν διὰ τὴν δύναμιν τοῦ ποιοῦντος, οὐ διά τινα δύναμιν παθητικὴν τῆς ὕλης. Ὁ Φιλόσοφος δὲ χρῆται τῷ ἐπιχειρήματι τούτῳ ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά, ἐν ταῖς φυσικαῖς γεννήσεσι, κατὰ τῶν Πλατωνικῶν, λεγόντων τὰ χωριστὰ εἴδη εἶναι τῆς φυσικῆς γεννήσεως ἀρχάς.**

**[3.1.23] Πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι τοῦ ὄντος πρὸς τὸ μὴ ὂν ἁπλῶς ἔστιν ἀμηγέπη καὶ αἰεὶ ἄπειρον τὸ διάστημα, οὐ ταυτῷ μέντοιγε τρόπῳ· ἀλλ' ἐνίοτε μὲν ἐξ ἑκατέρου μέρους ἄπειρον, καθάπερ ὅταν παραβάλληται τὸ μὴ εἶναι τῷ θείῳ εἶναι, ὅπερ ἄπειρον τυγχάνει, ὡσᾶν εἰ καὶ παρατίθοιτο λευκότης ἄπειρος πρὸς μελανίαν ἄπειρον· ἐνίοτε δὲ πεπέρανται ἐκ θατέρου μέρους μόνον, ὥσπερ ἡνίκα παραβάλλεται τὸ μὴ ὂν ἁπλῶς πρὸς τὸ κτιστὸν εἶναι, ὅπερ πεπέρανται· ὡσᾶν εἰ καὶ παραβάλλοιτο ἄπειρος μελανία πρὸς πεπερασμένην λευκότητα. Ἐν ἐκείνῳ τοίνυν τῷ ὄντι ὃ ἔστιν ἄπειρον, οὐ**
P 31r **δύναται γενέσθαι μεταχώρησις ἐκ τοῦ μὴ ὄντος· ἀλλ' ἐν τῷ | εἶναι ἐκείνῳ ὃ γέγονε, δυνατὸν γενέσθαι τοιαύτην μεταχώρησιν, καθὸ ἡ διάστασις τοῦ μὴ εἶναι πρὸς τὸ εἶναι ἐκ θατέρου μέρους ὁρίζεται, εἰ καὶ μὴ εἴη μεταχώρησις**

**158-161** ἐν – ἀδυνάτῳ] Ar., Metaph. V, 1047a.24-26: ἔστι δὲ δυνατὸν τοῦτο ᾧ ἐὰν ὑπάρξῃ ἡ ἐνέργεια οὗ λέγεται ἔχειν τὴν δύναμιν, οὐθὲν ἔσται ἀδύνατον. **165-166** ὁ -- φυσικά] cf. Ar., Metaph. VII, 1033b.26: φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη, εἰ ἔστιν ἄττα παρὰ τὰ καθ'ἕκαστα, πρός γε τὰς γενέσεις καὶ τὰς οὐσίας οὐθὲν χρησίμη.

**151-152** οἱ φιλόσοφοι] Philosophus Aq. **155** ὡς – εἴπομεν] ut dictum est **157** ἧς] οἷς P (ὕλης) **176** μεταχώρησις] μεταχωρίασις P **176-177** ὃ γέγονε] quod est finitum

ἰδίως, ὥσπέρ ἐστιν ἐν ταῖς συνεχέσι κινήσεσι, δι’ ὧν ἔφοδός ἐστι μέρους μετὰ μέρος ἕτερον. Οὕτω γὰρ συμβαίνει μηδενὶ τρόπῳ τὸ ἄπειρον διιέναι.

[3.1.24] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, ἐφόσον τὶ ἐστὶν ἐκ τοῦ μηδενός, τὸ μὴ P 15v εἶναι ἢ τὸ μηδὲν οὐκ ἔχει κατὰ τὸν τῆς πασχούσης φύσεως τρόπον δι’ ἐνεργείας, ἀλλὰ μᾶλλον κατὰ τὸν ἀντικείμενον τρόπον πρὸς τὸ διὰ τῆς ἐνεργείας γινόμενον. Οὔτε μὴν ἐν τοῖς φυσικοῖς τὸ ἀντικείμενον ἔχει κατὰ τὸν τῆς παρασχούσης φύσεως δι’ ἐνεργείας τρόπον, ἀλλὰ μᾶλλον τὸ ὑποκείμενον.

[3.1.25] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ θέρμη, εἰ ἀποσυληθείη ἀπὸ τῆς ὕλης, δράσειε μὲν ἄνευ τῆς ὕλης ᾗ ζητεῖται ἐκ τοῦ μέρους τοῦ ποιοῦντος, ἀλλ’ οὐκ ἄνευ ὕλης, ᾗ ζητεῖται τῷ γε εἰς τὸ πάσχον ἥκοντι.

[3.1.26] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ συμπεραίνεσθαι ἐν ταῖς τῶν λόγων κατασκευαῖς ἔχει ὥσπερ τὸ κινεῖσθαι ἐν τοῖς φυσικοῖς πράγμασιν. Ἐν γὰρ τῷ συμπεραίνεσθαι ὁ λόγος ἀπὸ τῶν εἰς τὰ διαθεῖ, καὶ διατοῦτο, καθάπερ πᾶσα κίνησις φυσικὴ ἔστιν ἐξ ἄλλου, οὕτω καὶ πᾶν συμπέρασμα λόγου. Ὥσπερ δὲ τὸ νοεῖν τὰς ἀρχὰς ὅπέρ ἐστι τοῦ συμπεραίνειν ἀρχή, οὐκ ἔστιν ἐξ ἄλλου ἀφ’ οὗ συμπεραίνοιτο ἄν, οὕτω τὸ κτίζειν, ὃ πάσης ἐστὶν ἀρχὴ κινήσεως, οὐκ ἔστιν ἐξ ἄλλου.

[3.1.27] Πρὸς τὸ ἔβδομον ῥητέον ὅτι, ἡνίκα λέγεταί τι γίνεσθαι ἐκ τοῦ μηδενός, δισσὸν ἔχει τὸν νοῦν, ὡς φαίνεται διὰ τοῦ Ἀνσέλμου ἐν τῷ Μονολόγῳ αὐτοῦ. Ἡ γὰρ ὑποῦσα ἄρνησις ἐν τῷ μηδενὶ δύναται ἀπαγορεύειν τὴν ἐκ πρόθεσιν, ἢ δύναται ὑπ’αὐτὴν περιέχεσθαι. Ἀλλ’ εἰ ἀπαγορεύει τὴν πρόθεσιν, ἔτι δύναται διχῇ νοεῖσθαι· ἑνὶ μὲν τρόπῳ, εἰ ἡ ἄρνησις φέροιτο πρὸς τὸ πᾶν, καὶ ἀπαγορεύοιτο οὐ μόνον ἡ πρόθεσις, ἀλλὰ καὶ τὸ γίνεσθαι ῥῆμα, ὡς ταύτῃ λέγεσθαί τι ἐκ τοῦ μηδενὸς γίνεσθαι, ὅτι οὐ γίνεται, ὥσπερ ἐπὶ τοῦ σιωπὴν ἄγοντος λέγειν δυνάμεθα, ὅτι περ ἐκ τοῦ μηδενὸς φθέγγεται. Καθ’ ὃν δὴ τρόπον καὶ περὶ τοῦ Θεοῦ δυνάμεθα λέγειν, ὅτι ἐκ τοῦ μηδενὸς γίνεται, ὅτι τὸ παράπαν οὐ γίνεται, εἰ καὶ τῆς διαλέξεως οὐτοσὶ τρόπος ἀήθης ἐστίν. Ἑτέρῳ τρόπῳ ὁ νοῦς ἐστιν, εἰ τὸ μὲν ῥῆμα μένει καταφατικόν, εἰ δὲ ἀπαγόρευσις φέροιτο μόνον πρὸς τὴν πρόθεσιν· ὡς διατοῦτο λέγεσθαί τι ἐκ τοῦ μηδενὸς

**196-197** ἡνίκα – αὐτοῦ] Ans., Monol., cap. 19 (PL 158, col. 168B): Duplex est sensus hujus pronuntiationis : Nihil fuit ante summam essentiam. 1. Est, priusquam summa essentia esset, fuit, cum erat nihil … Duplex est sensus pariter est cum dicitur : Post summam essentiam nihil est futurum.

**180** ἕτερον] ἑτέρου M **182** Post τρόπον Aq. habet nisi. **184, 185** ἐνεργείας] accidens M (Prochoros legit actionem?)

γίνεσθαι, ὅτι γίνεται μέν, ἀλλ’ οὐδενὸς προϋφεστῶτος ὅθεν ἂν γένοιτο· ὥσπερ φαμὲν τινὰ κατηφεῖν ἐκ τοῦ μηδενός, ὅτι μὴ ἔχει τῆς ἑαυτοῦ κατηφείας αἰτίαν· καὶ τούτῳ τῷ τρόπῳ διὰ τῆς δημιουργίας λέγεταί τι ἐκ τοῦ μηδενὸς γίνεσθαι. Εἰ δὲ ἡ πρόθεσις περιέχει τοῦ μηδενὸς ἄρνησιν, τηνικαῦτα πάλιν ὥσπερ εἴπομεν, δισσός ἐστιν ὁ νοῦς· ὁ μέν, ἀληθής· ὁ δέ, ψευδής. Ὁ μὲν δὲ ψευδής, εἰ ἡ πρόθεσις παρέχοιτο σχέσιν αἰτίας· τὸ γὰρ μὴ ὂν οὐ δύναται
P 31[v] τρόπῳ γέ τῳ | εἶναι αἰτία τοῦ ὄντος· ὁ δ’ ἀληθὴς τάξιν μόνον παρέχεται· ὡς λέγεται γίνεσθαί τι ἐκ τοῦ μηδενός, ὡσἂν εἰ καὶ ῥηθείη μετὰ τὸ μηδὲν, ὅπερ ὂν ἀληθὲς τυγχάνει καὶ ἐπὶ τῆς δημιουργίας· ὃ δὲ φησὶν ὁ Βοήτιος, ὅτι τοῦ ὄντος πρὸς τὸ μὴ ὄν, οὐκ ἔστι τάξις, ληπτέον ἂν εἴη περὶ τῆς ὡρισμένης τάξεως τῆς προθέσεως, ἢ περὶ τῆς τάξεως τῆς οὔσης πραγματικῆς ἀναφορᾶς, ἢ μεταξὺ τοῦ τε ὄντος καὶ μὴ ὄντος εἶναι οὐ δύναται, ὡς ὁ Ἀβίκενός φησι.

[3.1.28] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ ὁρισμὸς ἐκεῖνος νοεῖται περὶ τῆς ἐν τῇ φύσει ποιητικῆς δυνάμεως.

[3.1.29] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ Θεὸς οὐ παράγει τὰ ὄντα ἀνάγκῃ φυσικῇ, ἀλλὰ ἐκ τῆς τάξεως τῆς αὐτοῦ σοφίας. Καὶ διατοῦτο ἡ τῶν ὄντων διαφορότης οὐκ ἀνάγκη εἶναι ἐκ τῆς ὕλης, ἀλλ’ ἐκ τῆς τοῦ Θεοῦ σοφίας, ἣ πρὸς τὴν τοῦ παντὸς συμπλήρωσιν διαφόρους φύσεις κατασκευάζεται.

[3.1.30] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὄντος τοῦ παντὸς ἐκ τοῦ μηδενός, τὸ εἶναι αὐτοῦ ᾧ ἐστιν, ἔστι πρῶτον, ἔν τινι ἀκαριαίῳ· τὸ δὲ μὴ εἶναι, οὔτε ἐν ἐκείνῳ τῷ ἀκαριαίῳ, οὔτ’ ἐν ἄλλῳ ὑφεστῶτι, ἀλλ’ ἔν τινι ὃ μόνον ἡ φαντασία ἀναπλάττειν δύναται· ὥσπερ γὰρ οὐκ ἔστιν ἔξω τοῦ παντὸς διάστημά τι πράγματι, ἀλλὰ μόνον φανταστόν, καθὸ δυνάμεθα λέγειν δύνασθαί τι ποιῆσαι τὸν Θεὸν ἔξω τοῦ παντὸς τόσον ἢ τόσον διέχον πρὸς τὸ πᾶν, οὕτω δὴ πρὸ τῆς ἀρχῆς τοῦ κόσμου οὐ γέγονέ τις χρόνος πράγματι, ἀλλὰ φανταστὸς μόνον· καὶ ἐν ἐκείνῳ δυνατὸν ἐστι φαντασθῆναί τι ἄτομον, εἰς ὃ τελευτῶν κατίσχει τὸ μὴ ὄν, οὐκ ἀνάγκη μέντοιγε μεταξὺ τουτωνὶ τῶν δύο περάτων εἶναί τινα μέσον χρόνον· ὁ γὰρ ἀληθὴς χρόνος καὶ ὁ φανταστὸς οὐ συνεχίζονται.

[3.1.31] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὸ γινόμενον ἐκ τοῦ μηδενὸς ὁμοῦ γίνεται καὶ γέγονε καὶ ἐξίσης ἔχει ἐν πάσαις ταῖς ἄνευ χρόνου μεταβολαῖς·

**216-217** ὁ – τάξις] locum non inveni. **217-219** ληπτέον – φησί] Avic., Metaph. III.

**208-209** προϋφεστῶτος – μηδενός] om. et al. man. add. in marg. dex. M **209** κατηφιοῖν] tristari Aq. **210-211** τρόπῳ – πρόθεσις] om. et al. man. add. in marg. sin. M **214-215** τοῦ – μηδενός] om. et al. man. add. in marg. sin. M **215** λέγεται] λέγεσθαι P **227, 228** ἀκαριαίῳ] ἀκαρειαίῳ[a.corr.] P; ἀκαρειαίῳ M **230** τι] deest Aq.

ὁμοῦ γὰρ ὁ ἀὴρ φωτίζεται καὶ πεφώτισται. Αὐτὸ γὰρ τὸ γεγονέναι ἐν τοῖς τοιούτοις λέγεται γίνεσθαι, καθό ἐστιν ἐν τῷ πρώτῳ σημείῳ, ἐν ᾧ γέγονεν· ἢ δύναται λέγεσθαι ὅτι τὸ γινόμενον ἐκ τοῦ μηδενός, λέγεται γίνεσθαι πηνίκα γέγονεν, οὐ κατὰ κίνησιν τὴν ἐξ ἑτέρου ὅρου εἰς ἄλλον, ἀλλὰ κατὰ τὴν ἀπόρροιαν ἀπὸ τοῦ ποιοῦντος εἰς τὸ γεγονός. Ταῦτα γὰρ τὰ δύο θεωροῦνται ἐν τῇ φυσικῇ κινήσει μεταχώρησις ἐξ ἑνὸς ὅρου εἰς ἄλλον, καὶ ἀπόρροια ἀπὸ τοῦ ποιοῦντος εἰς τὸ γεγονός· ᾧ θάτερον μόνον ἰδίως ἔστιν ἐν τῷ κτίζειν.

[3.1.32] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι οὔτε τῇ ὕλῃ οὔτε τῷ εἴδει οὔτε τῷ συμβεβηκότι ἰδίως προσήκει τὸ γίνεσθαι· τὸ γὰρ γεγονός ἐστι πρᾶγμα ὑφεστώς. Ἐπεὶ γὰρ τοῦ γίνεσθαι πέρας ἐστὶ τὸ εἶναι, ἰδίως ἐκείνῳ συμβαίνει τὸ γίνεσθαι, ᾧ συμβαίνει τὸ καθ' αὑτὸ εἶναι, δηλαδὴ τῷ ὑφεστῶτι πράγματι· ὅθεν οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος οὔτε τὸ συμβεβηκός, ἰδίως λέγονται κτίζεσθαι. Ἰδίως δὲ κτίζεται τὸ ὑφεστὼς πρᾶγμα, ὅτί ποτέ ἐστιν. Εἰ μέντοι βιάζοιτό τις τὸν λόγον, ῥητέον, ὅτι ἡ πρώτη ὕλη ἔχει ὁμοιότητα μετὰ τοῦ Θεοῦ, καθόσον
P 32r μετέχει εἶναι. Καθάπερ γὰρ ὁ | λίθος ἔοικε τῷ Θεῷ ἐφόσον ἐστὶν ὄν, εἰ καὶ μὴ νοερὸν ἐστί, καθάπερ ὁ Θεός, οὕτω καὶ ἡ πρώτη ὕλη ἔχει ὁμοιότητα πρὸς τὸν Θεόν, καθόσον ὄν, οὐ καθόσον ὂν ἐνεργείᾳ. Τὸ γὰρ ὄν, κοινόν ἐστιν ἀμηγέπη τῇ τε δυνάμει, καὶ ἐνεργείᾳ.

[3.1.33] Καὶ ταύτῃ φαίνεται ἀπόκρισις, καὶ πρὸς τὸ τρισκαιδέκατον. Καὶ γὰρ ἰδίως διαλεγομένοις, ἡ ὕλη οὐκ ἔχει ἰδέαν, ἀλλὰ τὰ σύνθετα, τῆς ἰδέας οὔσης εἴδους ποιητικοῦ. Δυνατὸν μέντοι λέγεσθαι εἶναί τινα τῆς ὕλης ἰδέαν, καθὸ ἡ ὕλη τρόπῳ τινὶ τὴν θείαν οὐσίαν μιμεῖται.

[3.1.34] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οὐ δεῖ, εἰ δύο κτισμάτων θάτερον θατέρου ἐστὶν ἐν ἀξιώσει μείζονι, τὸ ἧττον τῇ ἀξίᾳ ἔχειν τι ἀτελὲς παρὰ τῆς ὕλης· τὸ γὰρ ἀτελὲς ἔνδειαν δηλοῖ τινός, ὃ πέφυκεν ἔχεσθαι, ἢ ὀφείλει ἔχεσθαι. Ὅθεν κἂν εἷς τῶν ἁγίων ἄλλου δόξῃ προὔχει, οὐδεὶς ὅμως ἀτελής ἔσται. Ἢν μέντοι τι ἀτελὲς ἐν τοῖς κτίσμασιν ᾖ, οὐκ ἀνάγκη εἶναι ἐκ τοῦ Θεοῦ, οὐδὲ ἐκ τῆς ὕλης, ἀλλ' ἐφόσον ἔκτισται, ἐκ τοῦ μηδενός.

[3.1.35] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἐκ τοῦ μηδενὸς τὶ γίνεσθαι, ὥσπερ ἐξ ἀντικειμένου διχῇ λέγεται, καθ' ἕνα νοῦν τῶν ἀνωτέρω ἐκτεθειμένων, οὐκ ἀνάγκη μέντοιγε ἔκ τινος ὄντος ὑπὸ ὂν γένος γίνεσθαι ὂν

**246** προσήκει τὸ γίγνεσθαι] dicuntur fieri Aq. **249** Hic post κτίζεσθαι Aq. habet: sed concreari. **250** δὲ] om. et al. man. add. in marg. sup. M **251** βιάζοιτό – λόγον] in hoc vis non fiat Aq. **256-257** ἀλλὰ – μέντοι] om. et al. man. add. in marg. sin. M

**ἄλλου γένους, ὥσπερ ἐκ τῆς θέρμης σχῆμα· τὸ γὰρ ὂν καὶ τὸ μὴ ὄν, οὐχ οἷα τε ἅμα εἶναι· θερμότης δὲ καὶ σχῆμα δύνανται εἶναι ὁμοῦ· ἐξ οὗ δὲ τὶ προσήκει γίνεσθαι, δεῖ εἶναι ἀσύμβατον τῷ ἐξ αὐτοῦ γινομένῳ, ὡς λέγεται ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ, ὅπερ οὐκ ἐνδέχεται ὁμοῦ εἶναι.**

**[3.1.36] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι εἰ μὲν ἡ** ἐξ, **αἰτίαν ἐμφαίνει, οὐκ ἔστι τι ἐκ τοῦ ἀντικειμένου, εἰ μὴ κατὰ συμβεβηκός, τῷ λόγῳ δηλαδὴ τοῦ ὑποκειμένου. Εἰ δὲ τάξιν δηλοῖ, τότε γίνεταί τι ἐκ τοῦ ἀντικειμένου καὶ καθ' αὑτό· ὅθεν καὶ ἡ στέρησις λέγεται ἀρχὴ εἶναι τοῦ γίνεσθαι, οὐ τοῦ εἶναι. Τούτῳ δὲ τῷ τρόπῳ γίνεταί τι ἐκ τοῦ μηδενός, ὡς πρότερον εἴρηται.**

**[3.1.37] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ὁμοῦ ὁ Θεὸς ὀρέγων τὸ εἶναι, προάγει τὸ τὸ εἶναι ὑπολαμβάνον, καὶ οὕτως οὐκ ἀνάγκη ποιεῖν ἔκ τινος προϋφεστῶτος.**

**270-272** ἐξ – δευτέρῳ] cf. Ar., Phys. I, 188a-188b.

## Κεφάλαιον δεύτερον

## Πότερον αὐτὸ τὸ κτίζειν ἔστι μεταβολὴ ἢ οὔ.

P 32v **[3.2.1] Δεύτερον ζητεῖται, πότερον αὐτὸ τὸ κτίζειν ἔστι μεταβολή. Καὶ δοκεῖ οὕτω. Ἡ γὰρ** μεταβολὴ **κατὰ τὸ ἑαυτῆς** ὄνομα δηλοῖ τό**δε εἶναι** μετὰ **τόδε, ὡς φαίνεται ἐν τῷ πρώτῳ τῆς Φυσικῆς. Ἀλλὰ τοῦτο ἔχει ἡ κτίσις καὶ γὰρ γίνεται εἶναι μετὰ τὸ μὴ εἶναι. Ἡ κτίσις ἄρα ἔστι μεταβολή.**

**[3.2.2] Ἔτι, πᾶν ὃ γίνεται τρόπῳ γέ τω, ἐκ μὴ ὄντος γίνεται· τὸ γὰρ ὂν οὐ γίνεται. Ὥσπερ οὖν ἔχει ἡ γένεσις καθ' ἣν ἐστὶ τὸ πρᾶγμα κατά τι τῆς οὐσίας αὐτοῦ μέρος πρὸς τὴν στέρησιν τοῦ εἴδους, ἥτις ἐστὶ μὴ εἶναι κατά τι· οὕτως ἔχει ἡ κτίσις δι' ἧς | γίνεται τὸ πρᾶγμα καθ' ὅλην αὐτοῦ τὴν οὐσίαν πρὸς τὸ μὴ εἶναι ἁπλῶς. Ἀλλ' ἡ στέρησις κυρίως ὀνομάζοντι ἐστιν, ἀντικείμενος ὅρος τῆς γενέσεως. Ὥστε καὶ τὸ μὴ εἶναι ἁπλῶς ἰδίως ὀνομάζοντι ἐστὶν ὅρος τῆς δημιουργίας ἀντικείμενος· καὶ οὕτως ἡ κτίσις, κατ' ἰδίαν σημασίαν, ἔστι μεταβολή.**

**[3.2.3] Ἔτι, ὅσον ἐστὶ μεῖζον διάστημα μεταξὺ τῶν ὅρων, τοσοῦτο μείζων ἔστιν ἡ μεταβολή. Μείζων γάρ ἐστι μεταβολὴ ἀπὸ τοῦ λευκοῦ εἰς τὸ μέλαν ἢ ἀπὸ τοῦ λευκοῦ εἰς τὸ ὠχρόν. Πλέον δὲ διέχει ἁπλῶς τὸ μὴ ὂν ἀπὸ τοῦ ὄντος, ἢ τὸ ἐναντίον ἀπὸ τοῦ ἐναντίου, ἢ τὸ μὴ ὂν κατά τι ἀπὸ τοῦ ὄντος. Εἰ δὴ τοῦ ἐναντίου ἢ εἰς τὸ ἐναντίον μεταχώρησις, ἢ τοῦ πῇ μὴ ὄντος εἰς τὸ ὂν ἔστι μεταβολή, ἧπου ἡ μεταχώρησις ἐκ τοῦ μὴ ὄντος ἁπλῶς εἰς τὸ ὄν, ὅπερ δὴ τυγχάνει ὂν ἡ κτίσις, ἔστι μεταβολή.**

**[3.2.4] Χωρὶς δὲ τούτων, ὃ μὴ ὅμοιόν ἐστι νῦν καὶ πρότερον, μεταβάλλει ἢ κινεῖται. Ἀλλὰ τὸ κτιζόμενον οὐκ ἔχει ὡσαύτως νῦν καὶ τέως· πρώην μὲν γὰρ ἁπλῶς ἦν οὐκ ὄν, μετὰ ταῦτα δέ ἐστιν ἐνεργείᾳ· ὃ ἄρα κτίζεται, κινεῖται ἢ μεταβάλλει.**

**[3.2.5] Ἔτι, τὸ ἐξιὸν ἐκ δυνάμεως εἰς ἐνέργειαν μεταβάλλει. Τὸ δὲ κτιζόμενον μέτεισιν ἐκ δυνάμεως εἰς ἐνέργειαν· καὶ γὰρ καὶ πρὶν ἢ κτισθῇ, ἦν ἐν τῇ δυνάμει μόνον τοῦ ποιοῦντος· μετὰ δὲ ταῦτα ἐστὶν ἐνεργείᾳ. Ὥστε τὸ κτιζόμενον κινεῖται, ἢ μεταβάλλει. Ἡ κτίσις ἄρα ἔστι μεταβολή.**

**[3.2.6] Ἀλλὰ τοὐναντίον, τὰ τῆς** κινήσεως ἢ μεταβολῆς εἴδη ἓξ **τυγχάνει ὄντα κατὰ τὸν Φιλόσοφον, ἐν ταῖς Κατηγορίαις. Ἀλλ' οὐδὲν τούτων ἐστὶ κτίσις ὡς φαίνεται καθέκαστα ἐπάγοντι. Ἡ κτίσις ἄρα οὐκ ἔστι μεταβολή.**

**4-5** Ἡ – Φυσικῆς] Ar., Phys. V, 224b35-225a2: πᾶσα μεταβολή ἐστιν ἔκ τινος εἴς τι (δηλοῖ δὲ καὶ τοὔνομα· μετ' ἄλλο γάρ τι καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον) **28-29** τὰ – Κατηγορίαις] Ar., Cat., 15a13-14: Κινήσεως δέ ἐστιν εἴδη ἕξ· γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, κατὰ τόπον μεταβολή.

**11,12** ὀνομάζοντι] ὀνομάζον τί P **13** ἀντικείμενος] deest Aq. **23** ἐστὶν ἐνεργείᾳ] fit ens

[3.2.5] Ἀπόκρισις. Ῥητέον, ὅτι ἐν ἡτινιοῦν μεταβολῇ ζητεῖται εἶναί τι καὶ τὸ αὐτὸ κοινόν, ἑκατέρῳ τῆς μεταβολῆς ὅρῳ. Εἰ γὰρ ἐν μηδενὶ τῷ αὐτῷ συγχωροῖεν οἱ ἀντικείμενοι τῆς μεταβολῆς ὅροι, οὐδ’ ἂν δύναιτο ὀνομάζεσθαι εἶναι μεταβολὴ ἀπὸ θατέρου εἰς θάτερον. Ἐν γὰρ τῷ τῆς μεταβολῆς καὶ μεταχωρήσεως ὀνόματι δηλοῦταί τι τὸ αὐτὸ ἄλλως ἔχον νῦν ἢ πρότερον· αὐτοὶ τὲ τῆς μεταβολῆς ὅροι, οὐκ εἰσὶν ἀσύναπτοι, ὃ ζητεῖται πρὸς τὸ εἶναι αὐτοὺς μεταβολῆς ὅρους, ἐφόσον ἀναφέρονται πρὸς ταυτό. Δύο γὰρ ὅροι, εἰ
P 33r πρὸς διάφορα ὑποκείμενα φέροιντο, οὐ συμβαίνει ἅμα εἶναι. Ἐνίοτε μὲν οὖν συμβαίνει ἑκατέρου τῆς μεταβολῆς πέρατος εἶναι ἓν καὶ τὸ αὐτὸ ὑποκείμενον, ἐνεργείᾳ ὑφεστώς· πηνίκα καὶ ἰδίως κίνησις ἐστί, καθάπερ συμπίπτει ἐν τῇ ἀλλοιώσει καὶ αὔξῃ καὶ φθίσει καὶ τῇ κατὰ τόπον μεταβολῇ. Ἐν γὰρ πᾶσι τούτοις τὸ ὑποκείμενον ἓν καὶ τὸ αὐτὸ ἐνεργείᾳ ὑφεστώς, ἐκ τοῦ ἀντικειμένου εἰς τὸ ἀντικείμενον μεταβάλλει. Ἐνίοτε δέ ἐστι τὸ αὐτὸ κοινὸν ὑποκείμενον ἑκατέρῳ πέρατι, οὐχ ἁπλῶς ὄν, ἀλλ’ ὂν δυνάμει μόνον, | ὥσπερ συμβαίνει ἔν τε τῇ γενέσει καὶ φθορᾷ. Τοῦ γὰρ οὐσιώδους εἴδους καὶ τῆς στερήσεως ἔστιν ὑποκείμενον ἡ πρώτη ὕλη, ἥτις οὐκ ἔστιν ὂν ἐνεργείᾳ· ὅθεν οὔτε ἡ γένεσις οὔτε ἡ φθορὰ λέγονται ἰδίως κινήσεις, ἀλλά τινες μεταβολαί. Ἐνίοτε δέ, οὐκ ἔστι τὸ ὑποκείμενον κοινόν, οὔτε ἐνεργείᾳ, οὔτε δυνάμει ὑφεστῶς· ἀλλ’ ἔστιν εἷς καὶ ὁ αὐτὸς συνεχὴς χρόνος, οὗπερ ἐν μὲν τῇ ἀρχαίᾳ μοίρᾳ πέπηγε τὸ ἓν ἀντικείμενον, ἐν δὲ τῇ τελευταίᾳ θάτερον, ὡς ὅταν λέγωμεν τοῦτο γίνεσθαι ἀπὸ τοῦδε, τουτέστι μετὰ τόδε, ὥσπερ ἀπὸ τῆς ἕω γίνεται ἡ δείλη μεσημβρία. Ἀλλὰ τοῦτο οὐ λέγεται κυρίως μεταβολή, ἀλλ’ ὁμοιωματικῶς, καθὸ τὸν χρόνον αὐτὸν φανταζόμεθα ὥσπερ ὑποκείμενον τῶν ὑπὸ τὸν χρόνον γινομένων. Ἐν τῇ κτίσει δὲ οὐκ ἔστι τι κοινὸν τινὶ τῶν προειρημένων τρόπων· οὔτε γὰρ ἔστι κοινὸν ὑποκείμενον ἐνεργείᾳ ὑφεστώς, οὔτε δυνάμει. Χρόνός τε οὐκ ἔστι ταυτὸ ὑποκείμενον, εἰ διαλεγοίμεθα περὶ τῆς συμπάσης δημιουργίας· καὶ γὰρ πρὸ τοῦ κόσμου, χρόνος οὐκ ἦν. Εὑρίσκεται μέντοι ὑποκείμενον τὶ ὄν, κατὰ φαντασίαν μόνον, καθὸ δηλαδὴ ἀναπλάττομεν ἕνα χρόνον κοινὸν πρὸ τοῦ τὸν κόσμον εἶναι, καὶ μετὰ τὸ γενέσθαι τὸν κόσμον. Καθάπερ γὰρ ἐκ τοῦ παντὸς οὐ δύναταί τι μέγεθος

**44** Hic post ὄν Aq. habet actu. **45** Hic post φθορᾷ Aq. habet simpliciter. **49** εἷς – αὐτός] idem Aq. **50** ἀρχαίᾳ … τελευταίᾳ] prima … secunda Aq. **56** ὑποκείμενον] deest Aq. **60** οὐ δύναταί … εἶναι] non est Aq.

**πράγματι εἶναι, δυνάμεθα δ’ ὅμως αὐτὸ φαντάζεσθαι, οὕτω καὶ πρὸ τῆς ἀρχῆς τοῦ κόσμου οὐ γέγονέ τις χρόνος, εἰ καὶ δυνατὸν αὐτὸν φαντάζεσθαι· καὶ ὅσον πρὸς τοῦτο ἡ κτίσις τῷ ὄντι κυρίως ὀνομάζουσιν, οὐκ ἐπιδέχεται τὸν τῆς μεταβολῆς λόγον, ἀλλὰ κατά τινα μόνον φαντασίαν· οὐκ ἰδίως, ἀλλ’ ὁμοιωματικῶς.**

**[3.2.6] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ μεταβολὴ σημαίνει κατὰ τὸ ἑαυτῆς ὄνομα, τόδε εἶναι μετὰ τόδε περί τι τὸ αὐτό, ὡς εἴρηται πρότερον. Τοῦτο δέ, οὐκ ἔνεστι τῇ κτίσει.**

**[3.2.7] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐν τῇ γενέσει καθ’ ἣν γίνεταί τι κατά τι τῆς οὐσίας αὐτοῦ μέρος, ἔστι τι κοινὸν ὑποκείμενον τῇ στερήσει καὶ τῷ εἴδει, ὃ μὴ ἔστιν ἐνεργείᾳ ὑφεστώς· καὶ διατοῦτο, καθάπερ ἐκεῖ κυρίως λαμβάνεται ὅρος, οὕτως ἰδίως λαμβάνεται καὶ μετάβασις· ὅπερ ἐν τῇ κτίσει οὐκ ἔστιν ὡς εἴρηται.**

**[3.2.8] Πρὸς τὸ τρίτον ῥητέον· ὅτι ἔνθα μείζων περάτων διάστασις ἐστί, καὶ μείζων μεταβολή ἐστιν ὑποτιθεμένης τῆς ταυτότητος τοῦ ὑποκειμένου· ὅπερ οὐκ ἔστιν ἐν τῇ κτίσει.**

**[3.2.9] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ κτιζόμενον μὴ ὑποκειμένου τινός, οὐχ ἁπλῶς μεταβάλλει· καὶ ὃ μὴ ἁπλῶς μεταβάλλει, οὐχ ὁμοίως ἔχει νῦν καὶ πρότερον, ούτε ἀνομοίως. Ἀναγκαῖον γὰρ πρὸς τὸ μεταβάλλειν εἶναί τι ταυτὸν ἀνομοίως μεταβολῆς.**

**[3.2.10] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ παθητικὴ δύναμίς ἐστιν ὑποκείμενον μεταβολῆς, οὔκουν ἡ ποιητική· διά τοι τοῦτο καὶ τὸ προϊὸν ἐκ δυνάμεως παθητικῆς εἰς τὸ ἐνεργείᾳ μεταβάλλει· οὔκουν γε μὴν τὸ προϊὸν ἐκ δυνάμεως παθητικῆς· καὶ διατοῦτο οὐκ ἔρρωται ἡ ἀπάντησις. |**

**71** ὅρος] ὅρως M **77** Hic post οὐχ Aq. habet: similiter se habet nunc et prius, mutatur, supposita consistentia subiecti: alias non ens. **80** Hic post μεταβολῆς Aq. habet: se habens nunc et prius. **81-82** Πρὸς – μεταβολῆς] om. et al. man. add. in marg. dex. M **83-84** ἐκ – παθητικῆς] ἐκ τῆς ποιητικῆς δυνάμεως M (de potentia activa Aq.)

P 33v

## Κεφάλαιον τρίτον

### Πότερον ἡ κτίσις ἔστι τι χρῆμα ἐν τοῖς οὖσιν ἢ οὐ, καί, εἰ ἔστι, τί ἐστι.

[3.3.1] Τρίτον ζητεῖται, πότερον ἡ κτίσις ἔστι τι χρῆμα ἐν τοῖς κτίσμασι, καὶ εἰ ἔστι, τί ἐστι. Καὶ δοκεῖ μὴ εἶναι τινὰ ὕπαρξιν ταύτην ἐν τοῖς κτίσμασι. Καθάπερ λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, πᾶν ὃ ἐγγίνεταί τινι, ἔστιν ἐν αὐτῷ κατὰ τὸν τοῦ λαμβάνοντος τρόπον. Ἀλλ’ ἡ ἐνέργεια τοῦ κτίζοντος Θεοῦ λαμβάνεται ἐν τῷ ἁπλῶς μὴ ὄντι· ὁ γὰρ Θεὸς ἐν τῷ κτίζειν ἐκ τοῦ μηδενός τι ποιεῖ. Ἡ κτίσις ἄρα οὐδὲν πραγματικῶς τίθησιν ἐν τοῖς κτίσμασιν.

[3.3.2] Ἔτι, πᾶν ὅπέρ ἐστιν ἐν τῇ τῶν ὄντων φύσει, ἢ κτίστης ἐστὶν ἢ κτιστόν. Ἀλλὰ ἡ κτίσις οὐκ ἔστι κτίστης· ἦ γὰρ ἂν ἦν ἐξ ἀιδίου· κτίσμα ἄρα. Ὥστε κτίσει τινὶ ἑτέρᾳ κτίζοιτο ἄν ἡ κτίσις αὖθις, εἰ ἔστι τι κτίσεως δέοιτ’ ἂν πρὸς τὸ κτισθῆναι, καὶ οὕτως ἐπ’ ἄπειρον. Ἡ κτίσις ἄρα οὐκ ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει.

[3.3.3] Ἔτι, πᾶν ὅπέρ ἐστιν, ἢ οὐσία ἢ συμβεβηκός ἐστιν. Ἀλλ’ ἡ κτίσις, οὐκ ἔστιν οὐσία, ἐπεὶ μήτε ὕλη, μήτε εἶδος μήτε τι σύνθετον ἐστίν, ὡς ἐκ τοῦ προχείρου δειχθῆναι δυνατόν· ἀλλ’ οὐδὲ συμβεβηκός· τὸ γὰρ συμβεβηκὸς ἕπεται τῷ αὐτοῦ ὑποκειμένῳ· ἡ δὲ κτίσις ἐστὶ φύσει προτέρα τοῦ κτιστοῦ, ᾗ μηδὲν ὑποτίθεται ἑαυτῇ ὑποκείμενον. Ἡ κτίσις ἄρα οὐκ ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει.

[3.3.4] Ἔτι, ὥσπερ ἔχει ἡ γένεσις πρὸς τὸ γενητόν, οὕτως ἔχει ἡ κτίσις πρὸς τὸ κτιστόν. Τῆς δὲ γενέσεως ὑποκείμενον, οὐκ ἔστι τὸ γεγενημένον πρᾶγμα, ἀλλὰ μᾶλλον πέρας· ὑποκείμενον δὲ ταύτης τυγχάνει ὂν ἡ πρώτη ὕλη, ὡς λέγεται ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς πρώτῳ. Ἆρα καὶ τῆς κτίσεως οὐκ ἔστιν ὑποκείμενον τὸ κτιστὸν πρᾶγμα· οὐδ’ οἷόν τε λέγεσθαι ταύτης ὑποκείμενον εἶναι ὕλην τινά, ἐφόσον τὸ κτιζόμενον πρᾶγμα οὐ κτίζεται ἔκ τινος ὑποκειμένης ὕλης. Ἡ κτίσις ἄρα οὐκ ἔχει τι ὑποκείμενον· καὶ ταύτῃ συμβεβηκὸς οὐκ ἔστι. Δέδεικται δὲ ὅτι οὐδὲ οὐσία· ἄρα οὐκ ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει.

[3.3.5] Ἔτι, εἰ ἡ κτίσις ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει, ἐπεὶ μὴ ἔστι μεταβολή, ὡς προείρηται, μάλιστα δοκεῖ εἶναι ἀναφορά. Ἀλλ’ οὐκ ἔστιν ἀναφορά, ἐφόσον

**5-6** λέγεται – τρόπον] Liber de causis 10. **22-23** τῆς – πρώτῳ] Ar., De gen. et corr. I, 315a.1-2: τὸ ὑποκείμενον ἓν στοιχεῖον καὶ μία πάντων ὕλη.

**3** τὶ χρῆμα] aliquid Aq. **11** ἂν] bis acc. P **11-12** αὖθις – κτίσις] om. et al. man. add. in marg. sin. M (homoioteleuton ex κτίσις) **15** τι] al. man. add. in marg. sup. M; deest P, Aq.

ἐν μηδενὶ εἴδει ταύτης ἐμπεριέχεται· τῷ γὰρ ἁπλῶς μὴ ὄντι, ἀφ’ οὗ δὴ ἐστὶν ἡ κτίσις, τὸ ὂν ἁπλῶς οὔτε ὑποτέτακται οὔτε παρισοῦται. Ἡ κτίσις ἄρα οὐκ ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει.

P 34r [3.3.6] Ἔτι, εἰ ἡ κτίσις σημαίνει ἀναφορὰν ὄντος, εἴη ἂν πρὸς τὸν Θεό, ἀφ’ οὗ τὸ εἶναι ἔχει. Ἀλλ’ αὕτη ἡ ἀναφορά ἀεὶ διατελεῖ ἔχουσα ἐν τοῖς κτιστοῖς· οὐ μόνον ἡνίκα ἄρχεται εἶναι, ἀλλὰ καὶ ἐφ’ ὅσον ἐστὶ τὸ πρᾶγμα, καὶ οὕτως συνεχῶς ἀεὶ κτίζεταί τι· ὃ δοκεῖ εἶναι λῆρος. Ἡ κτίσις ἄρα οὐκ ἔστιν ἀναφορά, καὶ οὕτω τὸ πρότερον.

[3.3.7] Ἔτι, πᾶσα ἀναφορὰ πράγματι ἐν τοῖς οὖσιν ὑφετηκυῖα προσγίνεται ἔκ τινος, ὅπέρ ἐστι διάφορον αὐτῇ τῇ ἀναφορᾷ· ὥσπερ ἡ ἰσότης ἐκ τῆς πηλικότητος, καὶ ἡ ὁμοιότης, ἐκ τῆς ποιότητος. Εἰ δὴ οὖν ἡ κτίσις ἔστι τις ἀναφορὰ ἐν τοῖς κτιστοῖς πράγμασιν ὑφεστηκυῖα, ἀναγκαῖον διαφέρειν ἐκείνου, ἀφ’ οὗ προσγίνεται. Τοῦτο δέ ἐστι τὸ διὰ τῆς κτίσεως λαμβανόμενον. Καὶ οὕτως ἕπεται, ὅτι αὐτὴ ἡ κτίσις οὐκ ἔστι κτιστὴ δι’ αὐτῆς τῆς κτίσεως.

[3.3.8] Χωρὶς δὲ τούτων, πᾶσα μεταβολὴ ἀναφέρεται εἰς τὸ γένος ἐκεῖνο, πρὸς ὃ ὥρισται, ὥσπερ ἡ ἀλλοίωσις πρὸς τὴν ποιότητα, καὶ ἡ αὔξη πρὸς τὴν πηλικότητα· και διατοῦτο λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς ὅτι ὅσα εἰσὶ τοῦ ὄντος εἴδη, τοσαῦτα εἰσὶ τῆς κινήσεως εἴδη. Ἀλλ’ ἡ κτίσις ὁρίζεται πρὸς τὴν οὐσίαν· οὔκουν γε μὴν δύναται λέγεσθαι, ὅτι ἔστιν ἐν τῷ τῆς οὐσίας γένει, ὡς ἀνωτέρω ἔφαμεν. Δοκεῖ ἄρα μὴ εἶναί τι χρῆμα.

[3.3.9] Ἀλλ’ ἰτέον ὁμόσε. Εἰ ἡ κτίσις μὴ ἔστι τι πρᾶγμα, ἀρ’ οὐδέ τι πράγματι κτίζεται. Τοῦτο δὲ φαίνεται εἶναι ψεῦδος. Ἡ κτίσις ἄρα ἔστι τι ἐν τῇ τῶν ὄντων φύσει.

[3.3.10] Ἔτι, ὁ Θεὸς ἔστι Κύριος τῶν κτισμάτων, ὅπερ ἔχει ἐφόσον κτίζων, εἰς τὸ εἶναι παράγει. Ἀλλ’ ἡ κυριότης ἔστιν ἀναφορά τις πράγματι ἐν τοῖς κτιστοῖς οὖσα. Μείζονι ἄρα τῷ τῆς δυνάμεως περιόντι ἡ κτίσις.

[3.3.10] Ἀπόκρισις. Ῥητέον ὅτι τινὲς ἔφασαν τὴν κτίσιν εἶναί τι ἐν τῇ τῶν ὄντων φύσει, μέσον τοῦ τε κτίστου καὶ τῶν κτιστῶν. Καὶ ἐπεὶ τὸ μέσον οὐδέτερον τῶν ἄκρων ἐστί, συνέβαινε τὴν κτίσιν μήτε κτίστην εἶναι μήτε κτιστόν. Τοῦτο δὲ ὑπὸ τῶν διδασκάλων πλάνη τις εἶναι ἀποπέφανται, ἐπεὶ

**47-48** ἐν – εἴδη] Ar., Phys. III, 201a.8: κινήσεως καὶ μεταβολῆς ἔστιν εἴδη τοσαῦτα ὅσα τοῦ ὄντος.

**33-34** ὄντως – ἀναφορά] om. et al. man. add. in marg. sin. M **51** πράγματι] πρᾶγμα M (realiter Aq.) **44** Hic post κτίσεως Aq. habet: quod est impossibile.

πᾶν ὂν ὁτῳδήποτε τρόπῳ ὑφεστὼς οὐκ ἔχει τὸ εἶναι εἰ μὴ παρὰ Θεοῦ, καὶ διατοῦτο ἔστι κτιστόν. Διὸ δὴ ἕτεροι ἔφασαν, ὅτι αὐτὴ ἡ κτίσις οὐ τίθησί τι πράγματι τῷ γε τῶν κτιστῶν μέρει. Ἀλλὰ καὶ τοῦτο δοκεῖ ἀπεοικός. Καὶ γὰρ ἐν ἅπασιν ὅσα πρὸς ἄλληλα ἀναφέρεται, ὧν θάτερον θατέρου ἐξήρτηται καὶ οὐκ ἀνάπαλιν, ἐν τῷ πραγματωδῶς ἐξηρτημένῳ ἀναφορὰ πράγματι εὑρίσκεται· ἐν δὲ θατέρῳ, κατ' ἐπίνοιαν μόνον. Ὥσπερ δὴ καθορᾶται, ἔν τε τῇ ἐπιστήμῃ καὶ τῷ ἐπιστητῷ, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Τὰ κτίσματα δέ, ἕνεκά γε τοῦ ὀνόματος, ἀναφέρεται ὑπὸ τῷ κτίστῃ, καὶ ἐξήρτηται αὐτὰ μὲν τούτου, οὐκ ἀνάπαλιν δέ. Ὅθεν χρὴ τὴν ἀναφορὰν ᾗ τὰ κτίσματα πρὸς τὸν κτίστην ἀναφέρεται, εἶναι πράγματι ἐν αὐτοῖς· ἐν δὲ τῷ Θεῷ κατ' ἐπίνοιαν μόνον. Καὶ τοῦτο διαρήδην ὁ Διδάσκαλος λέγει ἐν τῷ πρώτῳ τῶν Ἀξιωμάτων. Καὶ διατοῦτο ῥητέον, ὅτι ἡ κτίσις δύναται λαμβάνεσθαι ἐνεργητικῶς καὶ παθητικῶς. Εἰ δὴ οὖν ληφθείη ἐνεργητικῶς, ταύτῃ μὲν ἐμφαίνει Θεοῦ ἐνέργειαν, ἥτις ἐστὶν ἡ οὐσία αὐτοῦ, σὺν γέ τινι ἀναφορᾷ πρὸς τὰ κτιστά. Ἥτις δὴ ἀναφορὰ οὐκ ἔστι παράγματι, ἀλλὰ κατ'
P 34v ἐπί|νοιαν μόνον. Εἰ δὲ παθητικῶς ληφθείη, ἐπεὶ ἡ κτίσις, ὡς ἀνωτέρω εἴρηται, ἰδίως ὀνομάζουσιν οὐκ ἔστι μεταβολή, οὐδ' οἷόν τε λέγεσθαι, εἶναί τι ἐν τῷ τοῦ πάθους γένει, ἀλλ' εἰς τὸ τῆς ἀναφορᾶς τελεῖ γένος. Ἔχει δὲ ὡδί. Ἐν πάσῃ γὰρ μεταβολῇ καὶ κινήσει, εὑρίσκεται πρόοδος διττή. Μία μὲν ἡ ἀπὸ θατέρου πέρατος εἰς θάτερον κίνησις, ὥσπερ ἀπὸ τῆς λευκότητος εἰς τὴν μελανίαν· ἑτέρα δέ ἡ ἀπὸ τοῦ ποιοῦντος εἰς τὸ πάσχον, ὥσπερ ἀπὸ τοῦ ποιοῦντος εἰς τὸ γινόμενον. Αἵδε δὲ αἱ πρόοδοι, οὐχ ὁμοίως ἔχουσιν ἔν τε τῷ κινεῖσθαι αὐτῷ καὶ ἐν τῷ τῆς κινήσεως πέρατι. Καὶ γὰρ ἐν τῷ κινεῖσθαι αὐτῷ, αὐτὸ ὅπερ κινεῖται, ἀνάγεται ἀπὸ θατέρου ὅρου καὶ προσβαίνει θατέρῳ· ὅπερ οὐκ ἔστιν ἐν τῷ τῆς κινήσεως πέρατι, ὡς φαίνεται ἐν τῷ ἀναλύοντι ἐκ τῆς λευκότητος εἰς τὴν μελανίαν· ἐν γὰρ αὐτῷ τῆς κινήσεως πέρατι, οὐκ ἤδη πρόσεισι τῇ μελανίᾳ, ἀλλ' ἤρξατο εἶναι μέλαν. Ὡς δέ, καὶ τὸ πάσχον, ἢ τὸ γινόμενον ἔχει· ἐν μὲν γὰρ αὐτῷ τῷ κινεῖσθαι, τὸ πάσχον ἢ τὸ γινόμενον, μεταβάλλεται ἀπὸ τοῦ ποιοῦντος· ἡνίκα δὲ ἐν τῷ πέρατι ἡ κίνησις γένηται, οὐκέτι μεταβάλλεται παρὰ τοῦ ποιοῦντος, ἀλλά τινος μεταλαμβάνει τὸ γινόμενον ἀναφορᾶς πρὸς

**67-68** ὡς – φυσικά] cf. Ar., Metaph. V, 1022b.5: τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτος ἔστι μεταξὺ ἕξις· – ταύτην μὲν οὖν φανερὸν ὅτι οὐκ ἐνδέχεται ἔχειν ἕξιν (εἰς ἄπειρον γὰρ βαδιεῖται…

**69** αὐτὰ – τούτου] creatura e creatore **84** κινεῖται] κινάται M **87** γινόμενον] γενόμενον P

τὸ ποιοῦν, ᾗ δὴ ἔχει τὸ εἶναι ἀπ' αὐτοῦ, καὶ ᾗ ἔοικεν αὐτῷ τρόπῳ γέ τῳ, ὥσπερ ἐν τῷ τῆς γεννήσεως πέρατι τῆς ἀνθρωπείας, κομίζεται τὴν υἱότητα τὸ γεννώμενον. Ἡ κτίσις δέ, καθάπερ εἴρηται, οὐ λαμβάνεται ὡς τὸ κινεῖσθαι, ὅπέρ ἐστιν ἡ πρὸ τοῦ πέρατος κίνησις, ἀλλὰ λαμβάνεται ὡς εἰς τὸ πέρας εἶναι· ἀμέλει καὶ ἐν αὐτῇ τῇ κτίσει οὐ νοεῖταί τις πρόσοδος πρὸς τὸ εἶναι οὐδέ τις μεταβολὴ παρὰ τοῦ κτίζοντος, ἀλλὰ μόνον μετουσία τοῦ εἶναι καί τις ἀναφορὰ πρὸς τὸν κτίζοντα, ἀφ' οὗ τὸ εἶναι κομίζεται· καὶ ταύτῃ ἡ κτίσις οὐδὲν ἄλλο τυγχάνει οὖσα κατὰ τὸ πρᾶγμα ἢ ἀναφορά τις πρὸς τὸν Θεὸν σὺν ἀρτιπαγεῖ εἶναι.

[3.3.11] Πρὸς τὸ πρῶτον ῥητέον, ὅτι ἐν τῇ κτίσει τὸ μὴ ὄν οὐκ ἔχει ὡς λαμβάνον τὴν θείαν ἐνέργειαν, ἀλλὰ τὸ κτισθέν, ὡς ἐν τοῖς ἄνω εἴρηται.

[3.3.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ κτίσις ὡς ἐνέργεια ληφθεῖσα δηλοῖ τὴν θείαν οὐσίαν μετά τινος ἀναφορᾶς συνεπινοουμένης, καὶ οὕτως ἐστὶν ἄκτιστος· ληφθεῖσα δὲ ὡς πάθος, καθάπερ εἴρηται, ἐνύπαρκτός ἐστί τις ἀναφορὰ δηλουμένη κατὰ τὸν τῆς μεταβολῆς τρόπον τῷ λόγῳ τῆς καινότητος, ἢ τῷ λόγῳ τῆς ἐμφαινομένης μεταλήψεως. Αὕτη δὲ ἡ ἀναφορὰ κτίσμα τί ἐστι, ληφθέντος κοινῶς τοῦ τοῦ κτίσματος ὀνόματος, κατὰ παντὸς τοῦ ὄντος ἐκ Θεοῦ. Οὐ δεῖ δὲ προϊέναι ἐπ' ἄπειρον, ὅτι ἡ τῆς κτίσεως ἀναφορὰ οὐκ ἀναφέρεται εἰς τὸν Θεόν, ἑτέρᾳ ἀναφορᾷ ἐνυπάρκτῳ, ἀλλὰ καθ' αὑτήν. Οὐδεμία γὰρ ἀναφορὰ δι' ἀναφορᾶς ἀνάγεται, ὡς ὁ Ἀβίκενός φησιν ἐν τοῖς
P 35[r] αὐτοῦ Μετὰ τὰ φυσικά. Εἰ δέ γε τὸ τοῦ κτίσματος ὄνομα | ληψόμεθα ἰδιαίτερον ἐπὶ τούτου μόνον, ὃ ὑφέστηκεν, ὃ καὶ ἰδίως γίνεται καὶ κτίζεται, ὥσπερ ἰδίως ἔχει καὶ τὸ εἶναι, τηνικαῦτα δὴ ἡ προειρημένη ἀναφορὰ οὐκ ἔστι τι κτιστόν, ἀλλὰ συνεκτισμένον, ὥσπερ μηδέ ἐστιν ὂν ἰδίως ὀνομάζουσιν, ἀλλὰ προσπεφυκός· τὸ δ' ὅμοιον καὶ περὶ πάντων τῶν συμβεβηκότων.

[3.3.13] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐκείνη ἡ ἀναφορά, συμβεβηκὸς ἐστί, καὶ κατὰ τὸ ἑαυτῆς εἶναι θεωρουμένη, ᾗ δὴ ἐνίσχεται ὑποκειμένῳ, ὀψιαίτερον ἤ ἐστιν ἢ τὸ κτισθὲν πρᾶγμα, ὥσπερ τὸ συμβεβηκὸς τοῦ ὑποκειμένου, ἐπινοίᾳ καὶ τῇ φύσει ὀψιμώτερόν ἐστιν, εἰ καὶ μὴ τοιοῦτον ἐστὶ συμβεβηκός, ὃ γίνεται ἐκ τῶν τοῦ ὑποκειμένου ἀρχῶν. Εἰ δέ γε θεωροῖτο κατὰ τὸν αὐτῆς λόγον, ᾗ δὴ

**110-111** Οὐδεμία – φυσικά] Avic. Metaph. III, cap. 10.

**91-92** εἶναι – πέρατι] om. et al. man. add. in marg. sin. M **98** ἄλλο] ἄλλου M **109** ἐνυπάρκτῳ] ἐνὐπάρκτω P **115** προσπεφυκός] πρὸς πεφυκὸς M **115-116** πεφυκὸς – ῥητέον] om. et al. man. add. in marg. dex. M **117** ἤ] γὰρ post ἤ M (deest Aq.)

**ἐκ τῆς τοῦ δρῶντος ἐνεργείας ἐμφύεται ἡ προειρημένη ἀναφορά, ταύτῃ γὲ ἐστιν ἀμηγέπη προτέρα τοῦ ὑποκειμένου, καθάπερ δὴ καὶ αὐτὴ ἡ θεία ἐνέργεια, ἥτις ἐστὶν αὐτῆς αἰτία προσεχής.**

**[3.3.14] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἐν τῇ γεννήσει ἔστι μεταβολὴ καὶ ἀναφορά, ᾗ ἀναφέρεται τὸ γεννώμενον πρὸς τὸ γεννῶν· τῷ γοῦν τῆς μεταβολῆς λόγῳ οὐκ ἔχει ὑποκείμενον αὐτὸ τὸ γεννώμενον, ἀλλὰ τὴν ὕλην· τῷ δέ γε τῆς ἀναφορᾶς λόγῳ ἔχει ὑποκείμενον αὐτὸ τὸ γεννώμενον. Ἐν δὲ τῇ κτίσει ἀναφορὰ μὲν ἔνεστι, μεταβολὴ δὲ οὐ ἰδίως, ὡς εἴρηται· καὶ διατοῦτο οὐδὲ ἔοικε.**

**[3.3.15] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ προειρημένη ἀναφορὰ οὐκ ἔστιν ὑποληπτέα εἶναι τοῦ ὄντος πρὸς τὸ μὴ ὄν· ὅτι ἡ τοιαύτη ἀναφορὰ οὐκ ἔστι χρῆμα τί, ὡς ὁ Ἀβίκενός φησιν, ἀλλ' ἔστι τοῦ κτισθέντος ὄντος πρὸς τὸν κτίστην· ὅθεν φαίνεται εἶναι ἀναφορὰ ὑποταγῆς.**

**[3.3.16] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ κτίσις προτείνεται τὴν προειρημένην ἀναφορὰν σὺν γέ τινι καινότητι τοῦ εἶναι· ὅθεν οὐκ ἀναγκαῖον τὸ ὂν κτίζεσθαι, ἐφ' ὅσον χρόνον ἐστίν, εἰ καὶ ἀεὶ ἀναφέρεται πρὸς τὸν Θεόν· εἰ καὶ μὴ ἀπεικὸς ἐστὶ λέγειν ὅτι,** καθάπερ ὁ ἀήρ, μέχρις οὗ λάμπει, φωτίζεται παρὰ τοῦ ἡλίου, οὕτω καὶ ἡ κτίσις, ἄχρις οὗ ἔχει τὸ εἶναι, γίνεται παρὰ τοῦ Θεοῦ**, ὡς καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῇ εἰς τὴν Γένεσιν Ἐξηγήσει. Ἀλλ' ἐν τούτῳ οὐδὲν διαφέρει διὰ τὸ ὄνομα, ᾗ δὴ τὸ τῆς κτίσεως ὄνομα δύναται λαμβάνεσθαι, σύν γε καινότητι, ἢ τέλει.**

**[3.3.17] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἐκεῖνο τὸ κτώμενον τὴν τῆς κτίσεως ἀναφορὰν κυρίως μέν ἐστι τὸ ὑφεστὼς πρᾶγμα, ἀφ' οὗ διαλλάττει αὐτὴ ἡ τῆς κτίσεως ἀναφορά· ἥτις καὶ αὐτή ἐστι κτιστὴ οὐ κατὰ πρῶτον λόγον, ἀλλ' ὡσανεὶ δευτέρῳ, ὥσπέρ τι συνεκτισμένον.**

**[3.3.18] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ κίνησις ἀναφέρεται πρὸς τὸ γένος τοῦ ἑαυτῆς πέρατος, ἐφόσον πρόεισιν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ· ἐν γὰρ αὐτῇ τῇ κινήσει τὸ πέρας τῆς κινήσεως ἔστιν ἐν δυνάμει· καὶ ἡ δύναμις δὲ καὶ ἡ ἐνέργεια ἀναφέρονται εἰς τὸ αὐτὸ γένος. Ἐν τῇ κτίσει δὲ | οὐκέστι πρόοδος ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ· καὶ ταύτῃ τοι οὐκ ἔστιν ὅμοιον.** P 35v

**132-134** ὅτι – κτιστήν] Avic. Metaph. III, cap. 10. **137-139** καθάπερ – Ἐξηγήσει] Aug., De gen. ad litt. VIII, cap. 12, n. 26 (PL 34, col. 383): sed potius sicut aer praesente lumine non factus est lucidus, sed fit; quia si factus esset, non autem fieret, etiam absente lumine lucidus maneret; sic homo Deo sibi praesente illuminatur.

**124** ἐστὶ] ἤ τις ἐστὶ M **125** τὸ] τῷ P **126-127** ἀλλὰ – γεννώμενον] om. et al. man. add. in marg. dex. M

**Κεφάλαιον τέταρτον**

**Πότερον ἡ δημιουργικὴ δύναμις ἔστι καὶ κατὰ τῶν ἄλλων ἢ καὶ τῇ κτίσει μεθεκτὴ ἢ οὔ, ὡς δὴ καὶ ἡ τοῦ κτίζειν ἐνέργεια.**

**[3.4.1] Τέταρτον ζητεῖται, πότερον ἡ δημιουργικὴ δύναμις ἔστι καὶ κατὰ τῶν ἄλλων ἢ καὶ τῇ κτίσει μεθεκτή, ὡς δὴ καὶ ἡ τοῦ κτίζειν ἐνέργεια. Καὶ δοκεῖ οὕτως. Τῷ γὰρ αὐτῷ τρόπῳ καὶ τῇ αὐτῇ τάξει, ᾧ τὰ ὄντα ἔξεισιν ἀπὸ τῆς πρώτης ἀρχῆς, ἐπανίασι καὶ εἰς τὸ ἔσχατον τέλος, ταυτοῦ ὄντος ἀρχῆς τε πρώτης καὶ ἐσχάτου τέλους τῶν ὄντων. Ἀλλὰ τὰ ὑποβεβηκότα τῶν δημιουργημάτων τάξιν ἔχει πρὸς τὸν Θεὸν ὥσπερ εἰς τέλος, μεσιτευόντων τῶν ὑποβεβηκότων δημιουργημάτων· ὡς γὰρ φησὶν ὁ Διονύσιος, θεῖος νόμος ἐστὶ διὰ τῶν πρώτων τὰ ἔσχατα πρὸς αὐτὸν ἀνακάμπτειν. Ἄρα καὶ προΐασι τὰ ὑποβεβηκότα κτίσματα, ἀπὸ τῆς πρώτης ἀρχῆς διὰ τῆς κτίσεως, μεσιτευόντων τῶν ὑπερκειμένων κτισμάτων· καὶ οὕτως κοινωνοῦσι τὰ κτίσματα τῆς δημιουργικῆς ἐνεργείας.**

**[3.4.2] Ἔτι, πᾶν ὃ μετεχόμενον τῇ κτίσει οὐχ ὑπεξάγει αὐτὴν τῶν τῆς κτίσεως ὅρων, ἔστι τινὶ κτίσει μεθεκτὸν τῇ τοῦ κτίστου δυνάμει. Τὸ δὲ δύνασθαι κτίζειν οὐχ ὑπεξάγει τὶ τῶν κτιστῶν τῶν τῆς κτίσεως ὅρων. Τὸ δύνασθαι ἄρα κτίζειν ἔστι τῇ κτίσει μεθεκτόν. Ἀπόδειξις τῆς μέσης. Ἐκεῖνο λέγεται ὑπὲρ τοὺς τῆς κτίσεως ὅρους κτιστόν τὶ τιθέναι, ὃ πολεμεῖ τῷ λόγῳ τῆς κτίσεως. Τὸ δὲ δύνασθαι κτίζειν οὐ πολεμεῖ τῷ ταύτης λόγῳ, εἰ μή που λέγοι τις τὴν ἀπειρίαν τῆς δυνάμεως, ἣ δοκεῖ ζητεῖσθαι πρὸς τὸ κτίζειν. Ἀλλ' οὐ ζητεῖται, οὔτε μὴν δοκεῖ· καὶ γὰρ ἕκαστον τοσοῦτον ἀποφέρεται τοῦ ἀντικειμένου, ὅσον ἐκ τῆς θατέρου φύσεως μεταλαμβάνει. Τοσοῦτο γὰρ ὁτιοῦν διέχει τοῦ μέλανος, ὅσο<ν> μετέχει τοῦ λευκοῦ. Τὸ δὲ κτιστὸν ὂν πεπερασμένως μετέχει τῆς τοῦ ὄντος φύσεως. Πεπερασμένως ἄρα διέχει καὶ τοῦ ἁπλῶς μὴ ὄντος. Προενεγκεῖν δέ τι εἰς τὸ εἶναι, ἐκ πεπερασμένου διαστήματος οὐκ ἀπείρου δεῖται δυνάμεως· καὶ ταύτῃ λείπεται δυνάμεις πεπερασμένας δύνασθαι, ἐνεργείας εἶναι δημιουργίας· καὶ οὕτω τὸ δύνασθαι κτίζειν, οὐ μάχεται τῷ λόγῳ τοῦ κτιστοῦ· οὔτε μὴν τῶν ἰδίων ὅρων ὀστρακίζει.**

**10-11** ὡς – ἀνακάμπτειν] Ps.-Dion., De cael. hier., cap. 5.

**15** αὐτὴν] αὐτὸν P (ipsam Aq.) **16** Hic post δυνάμει Aq. habet: qui potest etiam nova genera condere creaturarum. **19** τι] deest P (homoioteleuton ex τι-; rem aliquam Aq.)

**[3.4.3] Ἀλλ’ ἔλεγεν, ὅτι τὸ λεγόμενον, ἕκαστον τοσοῦτο διεστάναι ἀπὸ θατέρου τῶν ἀντικειμένων ὅσο<ν> θατέρου μεταποιεῖται, ἐν ἐκείνοις χώραν ἔχει τοῖς ἀντικειμένοις, ὧν ἑκάτερόν ἐστι φύσις τις, ὥσπερ εἰσὶ τἀναντία· ἀλλ’ οὐκ ἐν τ<ούτ>οις ἃ θάτερον μόνον ἐστὶ φύσις, ὥσπερ ἐπί τε στερήσεως ἔχει καὶ ἕξεως, καταφάσεως τε καὶ ἀποφάσεως. Ἀλλ’ ἰτέον εὐθύ, ἡ εἰρημένη πρότασις, ἐν τοῖς ἐναντίοις χώραν ἔχει, ᾗ δὴ πρὸς ἄλληλα διέστηκεν ὅπερ**
P 36r **αὐτοῖς συμβέβηκεν, ἐφόσον ἀντικείμενα τυγχάνει ὄντα. Αἰτία δὲ καὶ οἷο ῥίζα τὶς | ἐν τοῖς ἀντικειμένοις τῆς ἀντιθέσεως, ἡ τῆς καταφάσεως καὶ ἀποφάσεως ἀντίθεσις, ὡς δείκνυται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Πολλῷ ἄρα τῷ περιόντι ἐν τῇ καταφάσει καὶ ἀποφάσει χώραν ἔχει.**

**[3.4.4] Χωρὶς δὲ τούτων, κατὰ τὸν Αὐγουστῖνον ἐν τῇ εἰς τὴν Γένεσιν ἑρμηνείᾳ, τριχῇ τὰ πράγματα γίνεσθαι λέγονται. Ἑνὶ μὲν τρόπῳ, ἐν τῷ τοῦ Θεοῦ Λόγῳ· ἑτέρῳ δέ, ἐν τῇ ἀγγελικῇ διανοίᾳ· καὶ τρίτῳ, ἐν τῇ σφετέρᾳ αὐτῶν φύσει. Ὁ δὲ τρόπος καθ’ ὃν λέγονται ἐν τῇ ἀγγελικῇ διανοίᾳ γίνεσθαι, μέσος ἔστι πρὸς τοὺς παρ’ ἑκάτερα δύο. Δοκεῖ ἄρα τὰ κτιστὰ προϊέναι ὥστ’ εἶναι ἐπὶ τῆς σφῶν αὐτῶν φύσεως ἀπὸ τοῦ λόγου τοῦ Δημιουργοῦ, τῆς ἀγγελικῆς γνώσεως μεσιτευούσης· καὶ ταύτῃ δοκεῖ μεσιτευόντων τῶν ἀγγέλων κτίζεσθαί τι.**

**[3.4.5] Ἔτι, τὸ μηδὲν καὶ τὶ πλέον διέχουσιν ἢ τὸ τὶ καὶ τὸ πᾶν, ἐφόσον ἐκείνοις μὲν μηδὲν ἔστι κοινόν, τὸ δὲ τί ἐστι μέρος τοῦ παντός. Ὁ Θεὸς δὲ δημιουργῶν, ποιεῖ τὸ μηδὲν γενέσθαί τι, καὶ κατὰ τὸ εἰκός, τὴν μηδεμίαν δύναμιν γενέσθαί τινα δύναμιν. Παραπολὺ ἄρα ποιεῖν δύναται τὴν ὡρισμένην μίαν δύναμιν, οὑτινοσοῦν ποτέ ἐστι κτίσματος δύναμις, γενέσθαι παντοδυναμότητα, ἧς ἐστι τὸ κτίζειν. Καὶ οὕτω μετεῖναι δυνατὸν τοῖς κτιστοῖς τὸ κτίζειν.**

**[3.4.6] Ἄνευ δὲ τούτων, τὸ νοητὸν φῶς ἐστι κρεῖττον καὶ μᾶλλον ἔρρωται ἢ τὸ σωματικόν. Ἀλλὰ τὸ σωματικὸν ἑαυτῷ πολλαπλασιάζειν δύναται. Ὁ τοίνυν ἄγγελος, ὅς ἐστι φῶς νοητὸν κατὰ τὸν Αὐγουστῖνον ἐν τῇ εἰς τὴν Γένεσιν ἐξηγήσει, δύναται ἑαυτὸν πολλαπλασιάζειν. Τοῦτο δὲ οὐχ οἷόν τε ποιεῖν εἰ μὴ κατὰ τὸ κτίζειν. Ὁ ἄγγελος ἄρα κτίζειν δύναται.**

**37-39** Αἰτία – ἠθικά] Ar., Metaph. IV, 1011b.20-21: εἰ οὖν ἀδύνατον ἅμα καταφάναι καὶ ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τἀναντία ὑπάρχειν ἅμα… **44** Propter – est] Gen. 1.3: καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. **56-58** Ὁ – πολλαπλασιάζειν] cf. Aug., De gen. ad litt. IV, cap. 12.

**39** φυσικά] ἠθικά P **41** ἐν – ἑρμηνείᾳ] deest Aq. **42** τοῦ] deest M **43** τρίτῳ] τρίτον M (tertio Aq.) **49** πᾶν] esse Aq. **50** παντός] entis Aq. **51** μηδεμίαν] μίαν M (nulla Aq.) **54-55** Καὶ – κτίζειν] deest P (homoioteleuton e κτίζειν)

**[3.4.7] Μετὰ δὲ ταῦτα, ἐπεὶ τὰ οὐσιώδη εἴδη οὐ γίνεται διὰ τὸ σύνθετον μόνον γίνεσθαι, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά, οὐ δύνανται παραγενέσθαι εἰς τὸ εἶναι, ὅτι μὴ διὰ τῆς τοῦ κτίζειν δυνάμεως. Ἀλλὰ τὴν ὕλην φύσις κτιστὴ διατίθησι πρὸς τὸ εἶδος. Διακονουμένης ἄρα τῆς κτιστῆς φύσεως παρασκευάζεταί τι πρὸς τὸ ἐκτίσθαι· καὶ ταύτῃ μεταληπτὸν τοῖς κτίσμασι τὸ κτίζειν τοῖς πρὸς τὸ κτίζειν διακονουμένοις.**

**[3.4.8] Ἔτι, τὸ τῆς δικαιώσεως ἔργον ἐστὶν ὑπερηφανώτερον τοῦ τῆς δημιουργίας, ὑπὲρ φύσιν ὄν. Ὅθεν καὶ ὁ Αὐγουστῖνος φησίν, ὅτι μεῖζόν ἐστι δικαιῶσαι τὸν ἀσεβῆ ἢ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργῆσαι. Ἀλλ' ἐν τῇ τοῦ ἀσεβοῦς δικαιώσει, ὑπηρετεῖται ἡ κτίσις· ὁ γὰρ ἱερεὺς λέγεται ὡς διάκονος δικαιοῦν καὶ ἀπολύεσθαι τῶν ἡμαρτημένων. Πολλῷ ἄρα μεῖζον δύναται κτίσμα τι ἐν τῇ τῆς κτίσεως ποιήσει διακονῆσαι.**

**[3.4.9] Πρὸς δὲ τούτοις, δεῖ τὸ** γενόμενον **εἶναι ὅμοιον τῷ ποιοῦντι, ὡς ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικὰ ἀποδείκνυται. Ἀλλὰ τὰ σωματικὰ κτίσματα οὐχ ὅμοιά ἐστι τῷ Θεῷ, οὔτε εἴδει οὔτε γένει. Ἀρ' οὐχ οἷόν τε αἱ τοῦ Θεοῦ διὰ δημιουργίας προϊέναι ταῦτα, ὅτι μὴ μεσιτεύοντός τινος κτίσματος ὁμοίου,**
P 36v **κατὰ γοῦν τὸ γένος· καὶ ταύτῃ δοκεῖ | τὰ σωματικὰ δημιουργήματα κτίζεσθαι παρὰ τοῦ Θεοῦ μεσιτευόντων ὑπερκειμένων κτισμάτων.**

**[3.4.10] Ἔτι, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ φέρεται ὅτι** ἐκεῖνο ὅπέρ ἐστι νοῦς μόνον, οὐ λαμβάνει ἐκ τῶν πρώτων ἀγαθοτήτων ὅσα προΐασιν ἐκ τῆς πρώτης αἰτίας, εἰ μὴ μεσιτεύοντός τινος νοῦ ὑπεροχικωτέρου. **Ἀλλ' ἐκ τοῦ κύκλου τῶν πρώτων ἀγαθοτήτων ἐστὶν αὐτὸ τὸ εἶναι. Ἄρα ὁ δεύτερος νοῦς οὐ δέχεται τὸ εἶναι παρὰ Θεοῦ, ὅτι μὴ τοῦ πρώτου μεσιτεύοντος. Καὶ οὕτω φαίνεται ὅτι ἡ ἐνέργεια τοῦ κτίζειν μετέχεταί τινι κτιστῷ.**

**[3.4.11] Ἄλλως δὲ ἐν τῷ αὐτῷ βιβλίῳ λέγεται, ὅτι** ὁ νοῦς οἶδε τὸ ὑφ' ἑαυτῷ κατὰ τὸν τῆς αὐτοῦ οὐσίας τρόπον, ἐφόσον ἐστὶν αἰτία αὐτῷ. **Γινώσκει δὲ νοῦς ἕτερος ἕτερον ὑπ' αὐτὸν ὄντα. Ἔστιν ἄρα αὐτῷ αἰτία. Οὐκ ἔστι δὲ αἰτία, εἰ μὴ κατὰ τὸ**

**61-62** ἐπεὶ – φυσικά] cf. Ar., Metaph. VII, 1033b.5-1033b.16: φανερὸν ἄρα ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὁτιδήποτε χρὴ καλεῖντὴν ἐν τῷ αἰσθητῷ μορφήν, οὐ γίγνεται, οὐδ' ἔστιν αὐτοῦ γένεσις, οὐδὲ τὸ τί ἦν εἶναι… **68-69** ὁ – δημιουργῆσαι] Aug., Tract. in Io. 34. **73-74** δεῖ – ἀποδείκνυται] Ar., Metaph. VII, 1033b.29: φανερὸν ὅτι τὸ γεννῶν τοιοῦτον μὲν οἷον τὸ γεννώμενον. **79-81** ἐν – ὑπεροχικωτέρου: Liber de causis, prop. 19: Ex intelligentiis est quae est intelligentia divina, quoniam ipsa recipit ex bonitatibus primis quae procedunt ex causa prima receptione multa. **85-86** ὁ – αὐτῷ] Liber de causis, prop. 7: omnis intelligentia scit quod est supra se et quod est sub se verumtamen scit quod est sub se quoniam est causa ei et scit quod est supra se quoniam acquirit bonitates ab eo.

**62** ἐν – φυσικά] deest Aq. **63** τῆς – δυνάμεως] creationem Aq. **73-74** ὡς – φυσικά] deest Aq. **86** αὐτῷ] deest Aq.

κτίζειν, ἐφόσον μή ἐστι σύνθετον τὸ γινόμενον. Ὁ νοῦς ἄρα κτίζειν δύναται.

[3.4.12] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ ἀθανασίας ψυχῶν βιβλίῳ, ὅτι ἡ νοητὴ κτίσις κοινωνεῖ τῇ σωματικῇ τοῦ τε εἴδους καὶ τοῦ εἶναι· καὶ οὕτω δοκεῖ τὰ σωματικὰ κτίσματα κτίζεσθαι μεσιτευόντων τῶν νοητῶν.

[3.4.13] Ἔτι, διττόν ἐστι γνώσεων γένος· μία μὲν οὖν ἐστι πρὸς τὸ πρᾶγμα, ἑτέρα δὲ ἀπὸ τοῦ πράγματος. Ὁ δ' ἄγγελος γινώσκει τὰ σωματικὰ κτίσματα οὐ τῇ γνώσει τῇ ἀπὸ τῶν πραγμάτων, στερόμενος αἰσθητικῶν δυνάμεων, ὧν μεσιτευουσῶν δίεισιν ἡ γνῶσις τῶν αἰσθητῶν, ὡς τὸν νοῦν τὸν ἡμέτερον. Οἶδεν ἄρα τῇ γνώσει τῇ πρὸς τὰ ὄντα, ἥτις ἔοικε τῇ θείᾳ γνώσει. Καθάπερ τοίνυν ὁ Θεὸς κατὰ τὴν ἑαυτοῦ γνῶσιν ἐστὶν αἰτία τῶν ὄντων, ταύτῃ τοι καὶ ἡ τοῦ ἀγγέλου γνῶσις εἶναι δή τις αἰτία δοκεῖ.

[3.4.14] Ἔτι, διττός ἐστι τρόπος, ᾧ τὰ ὄντα εἰς τὸ εἶναι προχωρεῖ· εἷς μέν, καθ' ὃν ἐκ τοῦ καθαρῶς μὴ ὄντος εἰς τὸ εἶναι πρόεισιν, ὃ γίγνεται διὰ τῆς κτίσεως· ἕτερος δέ, καθ' ὃν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προβαίνει. Ἡ δὲ ὑλικὴ δύναμις τῶν φυσικῶν πραγμάτων τῷ δευτέρῳ τρόπῳ δύναταί τινα προάγειν ὄντα, δηλονότι ἀναφέρουσα ταῦτα ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Ἡ ἄυλος ἄρα δύναμις, πολλῷ ἰσχυροτέρα οὖσα, οἷα δὴ ἡ τῶν ἀγγέλων δύναμις τυγχάνει οὖσα, δύναταί τι ἐκφέρειν εἰς τὸ εἶναι τῷ πρώτῳ τρόπῳ, ὅπέρ ἐστι κρείττονος δυνάμεως, δηλαδὴ ἐκ τοῦ καθαρῶς μὴ ὄντος εἰς τὸ εἶναι, ὅπέρ ἐστι τὸ κτίζειν. Καὶ ταύτῃ δοκεῖ τὸν ἄγγελον δύνασθαι κτίζειν.

[3.4.15] Ἔτι, τοῦ ἀπείρου οὐδέν ἐστι μεῖζον. Ἀλλὰ τῆς ἀπείρου δυνάμεως ἐστὶ ποιεῖν τι ἐκ τοῦ μηδαμῶς εἶναι εἰς τὸ εἶναι· ἄλλως γὰρ οὐδὲν ἐμποδὼν ἔσται κτίζειν τὰ κτίσματα. Οὐδεμία ἄρα δυνάμει περιέσται μείζονι εἶναι ταύτης. Καὶ οὕτως οὐκ ἔστι μεῖζον ποιεῖν τὴν κτίσιν ἐκ τοῦ μηδαμῇ μηδαμῶς τοῦ παρασχεῖν αὐτῇ δύναμιν τοῦ κτίζειν. Δύναται δὲ τὸ πρῶτον ὁ Θεός. Ἄρα καὶ τὸ δεύτερον.

[3.4.16] Ἔτι, ὅσο μείζων ἐστὶν ἡ τοῦ πάσχοντος ἀντιτυπία πρὸς τὸ ποιοῦν, | P 37r τοσοῦτο μείζονά ἐστι πράγματα κατὰ τὸ ποιεῖν. Μᾶλλον δὲ ἀντιβαίνει τὸ ἐναντίον ἢ τὸ μὴ ὄν· τὸ γὰρ μὴ ὂν δρᾶν οὐ δύναται, ᾗ δὴ δρᾷ τὸ ἐναντίον. Ἐπεὶ τοίνυν κτίσμα τι δύναται ἐκ τοῦ ἐναντίου τι ποιεῖν, δοκεῖ παρὰ τοσοῦτο

**89-90** ὁ – εἶναι] Aug., De immort. an., cap. 16, n. 25 (PL 32, col. 1034): Tradunt ergo speciem a summa pulchritudine acceptam potentiora infirmioribus naturali ordine. Et utique cum tradunt, non adimunt. Eoque sunt quae infirmiora sunt, in quantum sunt, quod species eis, qua sint a potentioribus traditur: quae quidem potentiora etiam meliora sunt.

**95** τὸν ἡμέτερον] deest Aq. **105** τυγχάνει οὖσα] est Aq.

μᾶλλον δύνασθαι ποιεῖν ἐκ τοῦ μηδενός· ὅπέρ ἐστι τὸ κτίζειν. Δύναται ἄρα ἡ κτίσις κτίζειν. Ἀλλὰ τοὐναντίον, τὸ ὂν καὶ τὸ μὴ ὄν, ἐπ' ἄπειρον διέχει.

[3.4.17] Ποιεῖν δέ τι ἐξ ἀπείρου διαστήματος οὐ δύναταί τινι μετέχεσθαι κτίσει.

[3.4.18] Ἔτι, τὰ ὑπερέχοντα δημιουργήματα ὥσπερ οἱ ἄγγελοι, κατὰ τὸν Διονύσιον ἐν τῇ Οὐρανίῳ ἱεραρχίᾳ, διαιροῦνται εἰς οὐσίαν, καὶ δύναμιν καὶ ἐνέργειαν· ὅθεν οἷόν τε ὑπολαμβάνειν μηδενὸς κτίσματος δύναμιν εἶναι τὴν οὐσίαν αὐτοῦ. καὶ οὕτως οὐδὲν κτίσμα δρᾷ, ὅλῳ ἐφ' ἑαυτῷ, ἐφόσον τοῦθ' ᾧ ποιεῖ ἔστιν ἡ δύναμις αὐτοῦ. Καὶ γὰρ καθὸ τὸ ποιοῦν ποιεῖ, τὸ ἀποτέλεσμα γίνεται. Οὐδὲν ἄρα κτίσμα δύναται ἀποτέλεσμά τι ὅλον ἀπαρτύεσθαι, καὶ οὕτως οὐ δύναται κτίζειν, ἀλλ' ἀεὶ ἐν τῇ ἑαυτοῦ ἐνεργείᾳ ὕλην προϋποτίθεται.

[3.4.19] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ βιβλίῳ φησίν, ὅτι οἱ ἄγγελοι οὐ δύνανται εἶναι δημιουργοὶ οὑτινοσοῦν ὄντος, οὔτε οἱ ἀγαθοὶ οὔτε οἱ πονηροί. Πρὸς δὲ τὰ λοιπὰ κτίσματα ὁ ἄγγελος ἔστι φυῆς ἀμείνονος. Πολλῷ ἄρα ἧσσον ἑτέρα τις κτίσις κτίζειν δύναται.

[3.4.20] Ἔτι, τῆς αὐτῆς ἐστι δυνάμεως κτίζειν, καὶ τὰ κτισθέντα συντηρεῖν. Ἀλλὰ τὰ ὄντα οὐ δύνανται εἰς τὸ εἶναι συντηρεῖσθαι, ὅτι μὴ διὰ τῆς θείας δυνάμεως, καὶ γὰρ εἰ καὶ ὁσονοῦν ἔξει, οἰχήσεται πάντα κατὰ τὸν Αὐγουστῖνον ἐν τῇ εἰς τὴν Γένεσιν ἐξηγήσει. Τὰ ὄντα ἄρα οὐ δύναται κτίζεσθαι, εἰ μὴ τῇ θείᾳ δυνάμει.

[3.4.21] Πρὸς δὲ τούτοις, πᾶν ὅπέρ ἐστιν οὑτινοσοῦν ἰδιαιτέρως ἴδιον, ἑτέρῳ διαφέρειν οὐχ οἷόν τε. Ἀλλὰ τὸ κτίζειν παρὰ πάντων ἀνομολογεῖται, ἐξαίρετον εἶναι τοῦ Θεοῦ. Τὸ κτίζειν ἄρ' οὐδενὶ προσήκει.

[3.4.22] Ἀπόκρισις. Ῥητέον ὅτι φιλοσόφων γέγονέ τινων θέσις, δημιουργῆσαι τὰ ὑποβεβηκότα κτίσματα τὸν Θεόν, μεσιτευόντων τῶν ὑποκειμένων, ὡς ἔγκειται, ἔν τε τῷ Περὶ αἰτιῶν βιβλίῳ, κἂν τοῖς Μετὰ τὰ φυσικὰ τοῦ Ἀβικένου. Καὶ ὑπήγοντο πρὸς τὸ τάδε φρονεῖν, ὅτι ᾤοντο μὴ δύνασθαι ἀφ' ἑνὸς ἁπλοῦ ἀμέσως, ὅτι μὴ ἓν προϊέναι· καὶ τούτου μεσιτεύσαντος, ἐξ ἑνὸς πρώτου

**122-124** τὰ – ἐνέργειαν] Ps.-Dion., De cael. hier., cap. 11 PG 3, col. 284D, Ritter pp. 41-42): εἰς τρία διῄρηνται τῷ κατ' αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες οἱ θεῖοι νόες, εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. **130-132** ἐν – πονηροί] Aug., De Gen. Ad litt. 4, cap. 2, no. 12. **142-144** δημιουργῆσαι – βιβλίῳ] Liber de causis, prop. 10: omnis intelligentia plena est formis verumtamen ex intelligentiis sunt quae continent formas minus universales; Avic., Metaph. IX, cap. 4.

**120** Hic post διαστήματος Aq. habet: est infinitae virtutis. Ergo creare est infinitae virtutis; et ita. **125** ἐφ' ἑαυτῷ] deest M **130** ἐν – βιβλίῳ] deest Aq. **134** συντηρεῖν] συνεργείν M (conservare Aq.) **137** ἐν – ἐξηγήσει] deest Aq. **144** ἔγκειται] ἔκκειται P **147** προελθεῖν] περιελθεῖν P (procedebat Aq.)

πλῆθος προελθεῖν. Τοῦτο δὲ ἔλεγον, ὡσανεὶ καὶ ὁ Θεὸς ποιεῖ ἀνάγκῃ φύσεως, καθ' ὃν δὴ τρόπον ἐξ ἑνὸς ἁπλοῦ οὐ γίνεται εἰ μὴ ἕν. Ἡμεῖς δὲ οἰόμεθα προϊέναι ἐκ Θεοῦ τὰ ὄντα τῷ γε τῆς ἐπιστήμης καὶ νοήσεως τρόπῳ, ᾗ δὴ οὐδὲν προσίσταται ἀπό τε ἑνὸς πρώτου καὶ ἁπλοῦ, τοῦ Θεοῦ λέγω, πλῆθος προελθεῖν ἀμέσως, καθὸ δὴ ἡ σοφία αὐτοῦ πάντα περιέχει. Διά τοι τοῦτο καὶ P 37v κατὰ τὴν καθολικὴν πίστιν ἀποφαινόμεθα τὰς οὐσίας, ὅσαι | τε νοηταὶ καὶ τὰς ἐξ ὕλης σωματικάς, τὸν Θεὸν δημιουργῆσαι, διαμαχόμενοι τοῖς λέγουσι τῶν αἱρετικῶν διὰ τῶν ἀγγέλων ἤ τινος ἄλλης κτίσεως εἶναι τὶ κτιστόν. Ὅθεν ὁ Δαμασκηνός φησιν, ὅστίς ποτε φαίη ἄγγελον δημιουργῆσαί τι, ἀνάθεμα εἴη. Πλὴν τῶν καθολικῶν διδασκάλων ἔφασάν τινες, ὅτι εἰ καὶ μηδὲν κτίσμα δύναταί τι κτίζειν, συνεπιλαμβάνεσθαι μέντοι τῷ δημιουργῷ δύναται τῆς δημιουργίας, ὥστε τούτου διακονουμένου κτίζειν τὶ τὸν Θεόν. Καὶ τοῦτο τίθησιν ὁ Διδάσκαλος ἐν τῷ δευτέρῳ τμήματι τοῦ τετάρτου βιβλίου τῶν Ἀξιωμάτων. Τινὲς δὲ ἔφασαν τὸ ἀνάπαλιν, μηδενί γέ τῳ τρόπῳ μεταληφθῆναι δύνασθαι τῇ κτίσει τὸ κτίζειν τι· ὃ καὶ κοινῇ μᾶλλον πρεσβεύεται. Ὡς δὲ πάντ' εἰς προὖπτον ἔλθοι, ἰστέον ὅτι τὸ τῆς κτίσεως ὄνομα σημαίνει ἐνέργειαν ποιητικήν, ᾗ δὴ τὰ ὄντα εἰς τὸ εἶναι προχωρεῖ· καὶ διατοῦτο ἐστὶν ἄνευ προϋποθέσεως ὕλης προϋπαρχούσης καί τινος προτέρου ποιητικοῦ· αὗται γὰρ αἱ αἰτίαι μόναι προϋποτίθενται πρὸς τὴν ἐνέργειαν. Τὸ γὰρ ἐν τῷ γινομένῳ εἶδος οὐ μόνον πέρας ἔστι τῆς ποιούσης ἐνεργείας, ἀλλὰ καὶ τῆς γενέσεως αὐτῆς τέλος· καὶ γὰρ κατὰ τὸ εἶναι οὐχ ἡγεῖται, ἀλλ' ἕπεται τῇ ἐνεργείᾳ. Ὅτι δὲ ἡ κτίσις οὐ προϋποτίθησιν ὕλην, ἐξ αὐτοῦ τοῦ λόγου τοῦ ὀνόματος καταφανὲς ἐστί. Καὶ γὰρ λέγεται κτίζεσθαι τὸ ἐκ τοῦ μηδενὸς γινόμενον. Ὅτι τὲ οὐ προϋποτίθησιν ἑτέραν αἰτίαν προτέραν, καὶ τοῦτο δῆλον· φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ βιβλίῳ τοὺς ἀγγέλους μὴ εἶναι δημιουργούς, καὶ γὰρ ποιοῦσιν· ἐκ τῶν ὑπόντων τῇ φύσει σπερμάτων θεόθεν, ἃ δυνάμεις εἰσί τινες ποιητικαὶ ὑπὸ τὴν φύσιν. Οὕτω τοίνυν, ἤν τις ὡς εἰς ἐλάχιστον συνέλῃ τὸ κτίζειν, συμβαίνει

**155** Δαμασκηνὸς – εἴη] cf. Dam., De fid. orth. II, 2 (PG 94, 873B): Ὅσοι δέ φασι τοὺς ἀγγέλους δημιουργοὺς τῆς οἱασδήποτε οὐσίας, οὗτοι στόμα εἰσὶ τοῦ πατρὸς αὐτῶν, τοῦ διαβόλου. **156-159** εἰ – Ἀξιωμάτων] Pet. Lomb., Sent. IV, dist. 5, 3 (PL 192 col. 852): Item etiam posset Deus per aliquem creare aliqua, non per eum tanquam auctorem, sed ministrum cum quo et in quo operaretur, sicut in bonis operibus nostris ipse operatur et nos. **170-171** ὁ – δημιουργούς] Aug., De Trin. III, cap. 8 (PL 42, col. 876): nec bonos Angelos fas est putare creatores, si pro subtilitate sui sensus et corporis, semina rerum istarum nobis occultiora noverunt…

**150** λέγω] deest Aq. **157** τῷ δημιουργῷ] deest Aq. **173** Οὕτω – κτίζειν] si igitur sic stricte creatio accipitur Aq.

μηδενὶ τῶν ὄντων τὸ κτίζειν δύνασθαι προσεῖναι· τὸ γὰρ δεύτερον αἴτιον οὐ ποιεῖ, εἰ μὴ τῇ χορηγίᾳ τῆς πρώτης αἰτίας· καὶ ταύτῃ πᾶσα ἐνέργεια δευτέρας αἰτίας ἐστὶν ἐκ προϋποθέσεως αἰτίας ποιητικῆς. Ἀλλ’ οὐδ’ οἱ φιλοσοφίας γεγυμνασμένοι τοὺς ἀγγέλους ἔθεσαν ἢ τοὺς νοῦς κτίζειν τι, ὅτι μὴ διὰ τῆς θείας δυνάμεως ἐνούσης αὐτοῖς, ὥστε νοεῖν ἡμᾶς τὴν δευτέραν αἰτίαν, δισσὴν ἐνέργειαν ἔχειν δύνασθαι· μίαν μὲν ἐκ τῆς ἰδίας φύσεως, ἑτέραν δὲ ἐκ τῆς δυνάμεως τῆς πρώτης αἰτίας. Ἀδύνατον δὲ τυγχάνειν τὴν δευτέραν αἰτίαν ἐκ τῆς ἰδίας δυνάμεως, ἐφόσον τοιοῦτον ἀρχὴν εἶναι τοῦ εἶναι· τοῦτο γὰρ εἶναι ἴδιον τῆς πρώτης αἰτίας· ἡ γὰρ τῶν ἀποτελεσμάτων τάξις ἐστὶ κατὰ τὴν τῶν αἰτιῶν τάξιν. Πρῶτον δὲ ἀποτέλεσμά ἐστι τὸ εἶναι τὸ ὑποκείμενον, ὃ πᾶσι τοῖς ἄλλοις ἀποτελέσμασιν ὑπόκειται, αὐτὸ δὲ οὐδὲν ἄλλο προϋποτίθησιν ἀποτέλεσμα, καὶ διατοῦτο ἀνάγκη τὸ τὸ εἶναι παρέχειν τῆς πρώτης αἰτίας, ἐφόσον τοιοῦτον ἀποτέλεσμα εἶναι μόνης, κατὰ τὴν ἰδίαν αὐτῆς δύναμιν· καὶ ἥτις πολ...λλη αἰτίας, εἶναι δίδωσιν τοῦτ’ ἔχειν, ἐφόσον ἐστὶν αὐτῇ δύναμις καὶ ἐνέργεια τῆς πρώτης αἰτίας, καὶ οὐ
P 38r κατὰ τὴν δύναμιν· καθάπερ τὸ ὄργανον | ποιεῖ τὴν ὀργανικὴν ἐνέργειαν, οὐ τῇ δυνάμει τῆς ἰδίας φύσεως, ἀλλὰ τῇ τοῦ χρωμένου· ὡσπεροῦν καὶ τὸ πῦρ οὐκ ἐνίησι τὸ εἶδος τῷ σιδήρῳ ἀφ’ ἑαυτοῦ, ἀλλὰ μόνον πυροῖ καὶ μαλάσσει. Καὶ κατὰ τοῦτον τὸν τρόπον ἔθεσαν τινὲς φιλόσοφοι τοὺς πρώτους νοῦς εἶναι δημιουργοὺς τῶν δευτέρων, παρέχοντας αὐτοῖς τὸ εἶναι τῇ ἐπούσῃ σφίσι δυνάμει τῆς πρώτης αἰτίας. Τὸ μὲν γὰρ εἶναι ἐκεῖ τῇ δημιουργίᾳ, τὸ δ’ ἀγαθὸν καὶ ἡ ζωὴ καὶ ὅσα τούτων ἔχεται διὰ τῆς εἰδοποιήσεως, ὡς ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ ἔνεστι. Καὶ τοῦτο γέγονεν εἰδωλολατρίας ἀρχή, ἡνίκα αὐταῖς ταῖς κτισταῖς οὐσίαις ὡσανεὶ δημιουργοῖς τῶν ἄλλων θεραπεία λατρείας εἰσεφέρετο. Ὅ τε διδάσκαλος ἐν τῷ τετάρτῳ τῶν Ἀξιωμάτων τίθησι μεθεκτὸν εἶναι τοῦτο τοῖς κτιστοῖς, οὐχ ὅτι κτίζουσιν ἰδίᾳ δυνάμει καὶ ὡσανεὶ αὐθέκαστα, ἀλλ’ ὑπουργίᾳ, ὥσπερ ὄργανα. Ἐπιμελῶς μέντοι θεωροῦσι δοκεῖ τοῦτον εἶναι ἀδύνατον. Ἡ γὰρ ἐνέργεια τινός, εἰ καὶ ἔστι τούτου ὡς ὀργάνου, ἀναγκαῖον ὅμως ἀπὸ τῆς αὐτοῦ δυνάμεως προϊέναι. Ἐπεὶ δὲ παντὸς κτίσματος ἡ δύναμίς ἐστι πεπερασμένη,

**194-196** Τὸ – ἔνεστι] Liber de causis, prop. 3, 32: Quod est quia causa prima creavit esse animae mediante intelligentia, et propter illud facta est anima efficiens operationem divinam. 198-200 ἐν – ὄργανα] Pet. Lomb., Sent. IV, dist. 5

**174** προσεῖναι] προσῆναι M **177** φιλοσοφίας γεγυμνασμένοι] philosophi Aq. **187-189** αὐτῆς – τὴν] deest P | πολ...λλη] illegibile; quaecumque alia Aq. | ἐνέργεια] ἐνέργεος M; deest P (operatio Aq.) **190** χρωμένου] moventis Aq. **190-192** τὸ – μαλάσσει] naturalis per virtutem animae generat carnem vivam, per virtutem solummodo calefacit et dissolvit Aq. **191** οὐκ ἐνίησι] deest Aq. | τὸ – ἑαυτοῦ] per virtutem autem propriae naturae Aq. **193** αὐτοῖς] αὐτοὺς P (eis Aq.) **200** ὑπουργίᾳ] ὑπουργείᾳ M

ἀδύνατόν ἐστι κτίσματι ἐνεργεῖν πρὸς τὸ κτίζειν ὡς ὄργανον. Ἡ γὰρ κτίσις ἄπειρον ἰσχὺν ζητεῖ ἐν τῇ δυνάμει, ἀφ’ ἧς πρόεισιν· ὃ πέντε λογισμοῖς ἀποδεικτὸν ἐστίν. Ὁ μὲν οὖν πρῶτος ἐντεῦθεν· ἡ γὰρ δύναμις τοῦ ποιοῦντος ἀνάλογός ἐστι τῷ διαστήματι τῷ μεταξὺ τοῦ γινομένου καὶ τοῦ ἀντικειμένου, ἀφ’ οὗ γίνεται. Ὅσο γὰρ τὸ ψύχος ἐστὶ σφοδρότερον καὶ μᾶλλον ἀφέστηκε τῆς θέρμης, τοσοῦτο μείζονος θερμότητος δυνάμεως χρεία, ἐφ’ ᾧ θερμὸν ἐκ ψυχροῦ γενήσεται. Τὸ δὲ μὴ ὂν ἁπλῶς ἀπείρως τοῦ εἶναι ἀποκέκριται· τοῦτο δὲ φανερὸν ἐντεῦθεν· καὶ γὰρ ὁτουοῦν ὄντος ὡρισμένου πλέον διέχει τὸ μὴ ὂν ἢ ὁτιοῦν ὄν, ἡλίκον ποτε ἀπ’ ἄλλου ὄντος ἀφεστηκὸς εὑρίσκεται· διά τοι τοῦτο καὶ ἐκ τοῦ πάντῃ μὴ ὄντος τι ποιεῖν οὐχ οἷόν τε, εἰ μὴ ἀπείρῳ δυνάμει. Ὁ δὲ δεύτερος λογισμὸς τοιοῦτός ἐστί τις· ὅτι τουτωῒ τῷ τρόπῳ τὸ γινόμενον γίνεται, ὅτῳ τὸ ποιοῦν ποιεῖ. Τὸ ποιοῦν δὲ ποιεῖ, καθό ἐστιν ἐνέργεια· ὅθεν τοῦτο μόνον ὅλῳ ἑαυτῷ ποιεῖ, ὅπερ ὅλον ἐνεργείᾳ ἐστίν· ὅπερ οὐδενὸς ὂν τυγχάνει, ὅτι μὴ τοῦ ἀπείρως ἐνεργείᾳ, ὅπέρ ἐστι τὸ ἐνεργείᾳ πρῶτον. Ὅθεν καὶ τὸ ποιεῖν τι καθ ὅλην αὐτοῦ τὴν οὐσίαν μόνης τῆς ἀπείρου δυνάμεως ἐστί. Τρίτον· ἐπεὶ γὰρ πᾶν συμβεβηκὸς ἐν ὑποκειμένῳ δεῖ εἶναι, ὑποκείμενον δὲ τῆς ἐνεργείας ἐστὶ τὸ δεχόμενον τὴν ἐνέργειαν, ἐκεῖνο μόνον ἐν τῷ ποιεῖν τῆς ὑποδεχομένης ὕλης οὐδὲν προσδεῖται, οὗ συμβεβηκὸς μή ἐστιν ἡ ἐνέργεια, ἀλλ’ αὐτὴ ἡ οὐσία αὐτοῦ. Ὃ μόνον ἐστὶ τοῦ Θεοῦ. Καὶ διατοῦτο καὶ τὸ κτίζειν ἀφοσιοῦται μόνῳ τούτῳ. Τέταρτον· ἐπεὶ γὰρ πᾶσαι αἱ δεύτεραι ποιητικαὶ αἰτίαι τοῦτ’ αὐτὸ τὸ δρᾶν τῆς πρώτης ἔχουσιν αἰτίας, ὡς ἐν τῷ Περὶ αἰτιῶν
P 38v βιβλίῳ δείκνυται, ἀνάγκη ἀπ’ ἄλλου τοῦ (πρώτου λέγω) | ποιοῦντος πᾶσι τοῖς δευτέροις τὸν τρόπον καὶ τὴν τάξιν ὑπάρχειν· ἐπεὶ δὲ ὁ τῆς ἐνεργείας τρόπος τῆς δεχομένης τὴν ἐνέργειαν ὕλης ἐξήρτηται, μόνου τοῦ πρώτου ποιοῦντος ἔσται ἄνευ προϋποτεθείσης ὕλης ἀπ’ ἄλλου ποιοῦντος ποιεῖν καὶ τοῖς ἄλλοις ἅπασιν, ἃ δεύτερα ποιεῖ, τὴν ὕλην χορηγεῖν. Ὁ δὲ δὴ πέμπτος λόγος εἰς τὸ ἀδύνατον ἀπάγει. Καὶ γὰρ κατὰ τὴν ἀπόστασιν τῆς δυνάμεως πρὸς τὸ ἐνεργείᾳ, ἔστι τις τῶν δυνάμεων ἀναλογία τῶν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ τὶ ἀναλαμβανουσῶν· ὅσο γὰρ ἡ δύναμις τοῦ ἐνεργείᾳ πλέον διέχει, τοσοῦτο μείζονος δυνάμεως χρεία καθέστηκε. Καὶ ἀνάπαλιν· κατὰ γὰρ τὴν ἀναλογίαν

**223-225** ἐπεὶ – δείκνυται] Liber de causis, prop. 20, 155: causa prima regit res creatas omnes praeter quod commisceatur cum eis.

**216** ὅλον] ὅλων P

**τῶν δυνάμεων, τῶν τε ἐκ δυνάμεως εἰς τὸ ἐνεργείᾳ ἀναλαμβανουσῶν, ἔστι καὶ ἡ ἀναλογία τῶν δυνάμεων, ἐξ ὧν τὸ ἐνεργείᾳ πρόεισιν. Ἦν τοίνυν ᾗ δύναμίς τις πεπερασμένη, ἐκ μηδεμιᾶς προϋποκειμένης δυνάμεως τὶ ποιοῦσα, ἀνάγκη ταύτης εἶναί τινα ἀναλογίαν παρὰ τὴν δύναμιν ἐκείνην τὴν ποιητικὴν τὴν παράγουσάν τι ἐκ δυνάμεως εἰς τὸ ἐνεργείᾳ· καὶ ταύτῃ γ’ ἔστι τις ἀναλογία τῆς μηδεμιᾶς δυνάμεως πρὸς δύναμίν τινα. Τὸ δὲ ἀδύνατόν ἐστι. Τῷ γὰρ μηδενὶ πρὸς τὸ ὂν οὐδεμία ἐστὶν ἀναλογία, ὡς περιέχεται ἐν τῷ τετάρτῳ τῶν Φυσικῶν. Λοιπὸν ἄρα μηδεμίαν δύναμιν κτίσματος δύνασθαι κτίζειν, μήτε ἰδίᾳ ἰσχύι ἑαυτῆς μήτε ἄλλου ὡς ὄργανον.**

**[3.4.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι κατὰ τὸ ἐπανάγειν εἰς τὸ τέλος προϋφεστᾶσι τὰ ὄντα, καὶ διατοῦτο δυνατόν ἐστι διά τινος ἐνεργείας κτίσματος συναντιλαμβανομένης τῷ Θεῷ, τὰ ὄντα πρὸς τὸ ἔσχατον τέλος ἐπαναφέρειν. ‘Αλλ’ ἐν τῇ καθόλου τῶν ὄντων δημιουργίᾳ εἰς τὸ εἶναι οὐδὲν προϋποτίθεται· καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.**

**[3.4.24] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐδὲν κωλύει διάστασίν τινα ἀναπλάττειν ἐξ ἑκατέρου μέρους ἄπειρον, ἢ ἐκ μὲν θατέρου μέρους ἄπειρον, ἐκ δὲ θατέρου πεπερασμένην. Ἐξ ἑκατέρου μὲν οὖν μέρους ἄπειρον ἔξεστι φαντάζεσθαι διάστημα, πηνίκα ἑκάτερον τῶν ἀντικειμένων τίθεται ἄπειρον· οἷον τὸ τυχόν, θέρμη καὶ ψύχος ἄπειρον. Ἐκ θατέρου δὲ μέρους, ἡνίκα θάτερον μέν ἐστιν ἄπειρον, θάτερον δὲ πεπερασμένον· ὥσπερ εἰ ἡ μὲν θερμότης εἴη ἄπειρος, τὸ δὲ ψύχος πεπερασμένον. Ἡ διάστασις τοίνυν τοῦ ἀπείρου ὄντος ἀπὸ τοῦ μὴ ὄντος ἁπλῶς, ἐστὶν ἄπειρος ἐξ ἑκατέρου μέρους. Τὸ διάστημα δὲ τοῦ πεπερασμένου ὄντος πρὸς μὴ ὂν ἁπλῶς, ἐστὶν ἄπειρον ἐκ θατέρου μέρους μόνον, καὶ ζητεῖ οὐχ ἥκιστα δύναμιν ἄπειρον ποιοῦσαν.**

**[3.4.25] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, τό γ’ εἰς τοῦθ’ ἧκον, οὐ διαφέρει ἄν τε ἑκάτερον τῶν ἀντικειμένων ᾖ φύσις τις ἄν τε θάτερον μόνον.**

**[3.4.26] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὰ ὄντα γίνεσθαι ἐν τῇ ἀγγελικῇ διανοίᾳ λέγονται | κατὰ τὴν γνῶσιν μόνον, οὐ κατ’ ἐνέργειαν ποιητικῆς δυνάμεως. Ἀμέλει καὶ τὰ ὄντα οὐ πρόεισιν ἀπὸ τοῦ Θεοῦ μεσιτεύουσιν ἀγγέλοις κατὰ τὸ ποιεῖν, ἀλλὰ μόνον γινώσκουσι.**

P 39r

**233-235** κατὰ – πρόεισιν] deest Aq. **234** τε] τι M **244** τὰ ὄντα] ea quae sunt ad finem **260** ἀγγελικῇ] deest Aq.

[3.4.27] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι λέγεταί τι μὴ δύνασθαι γίνεσθαι ἀπ’ ἄλλου, οὐ μόνον τῇ διαστάσει τῶν ἄκρων, ἀλλὰ καὶ διὰ τὸ παντάπασιν ἀδύνατον εἶναι γίνεσθαι· ὡσὰν εἰ λέγοιμεν ἔκ τινος σώματος μὴ δύνασθαι Θεὸν γενέσθαι, ὅτι τὸ παράπαν Θεὸν γενέσθαι οὐχ οἷόν τε. Οὕτω τοίνυν ῥητέον δύναμίν τινα μὴ δύνασθαι γενέσθαι παντοδυναμότητα οὐχ ὅπως διὰ τὸ μεταξὺ πρὸς ἑκατέρας δυνάμεις, ἀλλ’ ὅτι καὶ ἡ παντοδυναμότης τοῖς ὅλοις γενέσθαι οὐ δύναται. Ὃ γὰρ γίνεται, εἰλικρινὴς ἐνέργεια εἶναι οὐχ οἷόν τε· αὐτῷ γὰρ τούτῳ τῷ ἐξ ἄλλου τινὸς ἔχει, μᾶλλον ἔχει τὸ ἐν ἄλλω περιέχεσθαι· καὶ διατοῦτο δύναμις εἶναι ἄπειρος οὐ δύναται.

[3.4.28] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ σωματικὸν φῶς οὐ πολλαπλασιάζει ἑαυτὸ δημιουργίᾳ φωτὸς καινοῦ, ἀλλὰ τὸ ἐπιλαμβάνεσθαι τῆς ὕλης· ὃ τῶν ἀγγέλων πέρι οὐκ ἂν ἔχοι τις λέγειν, ἐφόσον εἰσὶν οὐσίαι ἐφ’ ἑαυτῶν ἐστῶσαι.

[3.4.29] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὸ εἶδος διχῇ θεωρεῖν δυνατόν· ἑνὶ μὲν τρόπῳ, ᾗ ἐστὶ δυνάμει· καὶ ταύτῃ παρὰ Θεοῦ τῇ ὕλῃ συγκτίζεται, μηδεμιᾷ μεσιτείᾳ ἐνεργείας φύσεως διατιθείσῃ. Ἑτέρῳ τρόπῳ, καθ’ ὃν ἐστὶν ἐνεργείᾳ· καὶ οὕτως οὐ κτίζεται, ἀλλ’ ἐκ τοῦ δυνάμει τῆς ὕλης ἐκφέρεται διὰ τοῦ φυσικῶς ποιοῦντος. Ὅθεν οὐκ ἀναγκαῖον τὴν φύσιν διατιθέναι τι πρὸς τὴν κτίσιν τινός. Ἐπεὶ δ’ ὅμως ἔστι τι φυσικὸν εἶδος διὰ τῆς κτίσεως εἰς τὸ εἶναι παραγόμενον, εἴτουν ἡ λογικὴ ψυχή, ἧς τὴν ὕλην ἡ φύσις διατίθησι· ταῦτ’ ἄρα εἰδέναι ἄξιον, ὅτι τῆς κτίσεως οὐχ ὑποτιθείσης τὴν ὕλην, διχῇ τι κτίζεσθαι λέγεται. Τὰ μὲν γὰρ κτίζεται μηδεμιᾶς ὕλης προυποκειμένης, οὔτε ἐξ ἧς, οὔτε ἐν ᾗ, ὥσπερ δὴ οἱ ἄγγελοι καὶ τὰ οὐράνια σώματα· ὧν καὶ πρὸς τὴν κτίσιν ἡ φύσις οὐδὲν ποιεῖν δύναται κατά γε τὸ διατιθέναι. Ἔνια δὲ κτίζονται, εἰ καὶ μὴ ἐκ προκειμένης ὕλης, ἐξ ἧς εἰσίν, ἀλλὰ προϋποκειμένῃ ὕλῃ, ἐν ᾗ εἰσίν, ὥσπερ αἱ τῶν ἀνθρώπων ψυχαί. Εἰ γὰρ καὶ ἐκεῖνο τὸ μέρος τῆς ὕλης, ἐν ᾗ ἐστί, δύναταί τι διατιθέναι τῷ δρᾶν, ὅμως ἡ τούτου ἐνέργεια οὐκ ἄν ποτε καὶ τοῦ κτιζομένου πράγματος τῆς οὐσίας ἐπιλάβοιτο.

[3.4.30] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐν τῷ τῆς δικαιώσεως ἔργω ἐνεργεῖ τι ὑπουργίᾳ μόνον ὁ ἄνθρωπος, καθὸ δίδωσι τὸ μυστήριον· τὰ γὰρ μυστήρια λέγονται δικαιοῦν ὀργανικῶς καὶ κατὰ τὸ διατιθέναι. Ἐπάνεισι δὲ ἡ λύσις εἰς ταὐτὸ τῇ προειρημένῃ λύσει.

**274** ἑαυτὸ] ἑαυτῷ a. corr. P | καινοῦ] καὶ νοῦ M (novae Aq.) **287** προκειμένης] προϋποκειμένης M (praesupposita Aq.)

**[3.4.31] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ καὶ παρ’ ἄλληλα, τὸν Θεὸν λέγω καὶ τὴν κτίσιν, | P 39v οὐ δύναταί τις εἶναι ὁμοιότης γένους ἢ εἴδους, δυνατὸν μέντοι εἶναι ὁμοιότητα τινὰ ἀναλογικῶς, ὥσπερ ἐν τῷ δυνάμει καὶ ἐνεργείᾳ, καὶ οὐσίᾳ, καὶ συμβεβηκότι. Καὶ τοῦτο λέγεται καθ’ ἕνα τρόπον, καθόσον τὰ κτιστὰ πράγματα μιμεῖται τῷ σφετέρῳ τρόπῳ τὴν ἰδέαν τοῦ θείου νοῦ, ὥσπερ τὰ τεχνητὰ τὸ εἶδος τὸ ἐν τῇ τεχνήτου ψυχῇ. Ἑτέρῳ τρόπῳ, καθὸ δὴ τὰ κτιστὰ πράγματα αὐτῇ τῇ θείᾳ φύσει ἀμηγέπη ὁμοιοῦται, ᾗ δὴ ἀπὸ τοῦ πρώτου ὄντος τὰ ἄλλα ὄντα εἰσί, καὶ κατὰ τοσοῦτον ἀγαθά. Οὕτω δὲ καὶ περὶ τῶν ἄλλων. Αὕτη μέντοι ἡ ἀντίθεσις οὐκ ἔστι πρὸς τὸ προκείμενον· καὶ γὰρ ὑποτεθέντος ἀπὸ τοῦ Θεοῦ προϊέναι τὰ κτίσματα μεσιτευούσης τινὸς κτιστῆς δυνάμεως, ἔτι τὸ αὐτὸ ἄπορον ἐπάνεισι, τίνα τρόπον δηλαδὴ ἐκεῖνα τὰ πρῶτα κτίσματα εἶναι δύναται παρὰ Θεοῦ, τῆς ὁμοιότητος οὐκ οὔσης.**

**[3.4.32] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι οὗτος ὁ πλάνος, ἀτεχνῶς ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ εὑρίσκεται, ὅτι τῶν κτισμάτων τὰ χαμαίζηλα εἰσὶν ἐκ τοῦ Θεοῦ μεσιτευόντων τῶν ὑπεροχικωτέρων· διά τοι τοῦτο οὐ π<ε>ιστέον ὅσον εἰς τοῦτο τείνει τῷ τῆς πραγματείας ταύτης ἀξιώματι.**

**[3.4.33]Ἔχει δὲ οὕτως καὶ πρὸς τοὐνδέκατον.**

**[3.4.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐκεῖ διαλέγεται, περὶ τῆς ψυχῆς, ᾗ κοινωνεῖ τῷ σώματι τοῦ τε εἶναι καὶ τοῦ εἴδους οὐχ ὡς κτίζουσα, ἀλλ’ ὡς μορφή.**

**[3.4.34] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι <εἰ> καὶ ὁ ἄγγελος οὐ γινώσκει τὰ ὄντα τῇ γνώσει τῇ ἀπὸ τούτων ἀναλεγομένῃ, οὐκ ἀναγκαῖον ὅμως γινώσκειν τῇ γνώσει ἥτις αἰτία τῶν ὄντων ἐστίν· ἔστι γὰρ ἡ γνῶσις αὐτοῦ μέση, μεταξὺ τῶν προειρημένων δύο. Γινώσκει γὰρ τὰ ὄντα τῇ γνώσει, ἥτις ἐστὶ κατὰ τὰς τῶν πραγμάτων ὁμοιότητας ἐνρυείσας εἰς τὸν αὐτοῦ νοῦν ἀπὸ τοῦ Λόγου· ὡς τὴν τούτου γνῶσιν μὴ εἶναι πρὸς τὸ πρᾶγμα ὥσπερ αἰτίαν αὐτοῦ, ἀλλὰ εἶναί τινα ὁμοιότητα τῆς θείας γνώσεως, ᾗ τὰ ὄντα κτίζει.**

**[3.4.35] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἐν τῷ παράγειν τὰ ὄντα ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, πολλοὶ βαθμοὶ καταλαμβάνονται, ἐφόσον τὶ δύναται ἐκ τοῦ δυνάμει μᾶλλον ἢ ἔλαττόν τι ποιεῖν. Ὅθεν οὐκ ἀναγκαῖον, εἰ ἡ τοῦ**

**308-310** ἐν – ὑπεροχικωτέρων] Liber de causis, prop. 10.

**295** λέγω] deest Aq. **299-300** τὴν – ψυχῇ] om. et al. man. add. in marg. dex. M

εἰ ἡ τοῦ ἀγγέλου φύσις τῆς δυνάμεως τῆς ὑλικῆς φύσεως ὑπερέχει, δύνασθαί τι ποιεῖν ἐκ τοῦ μηδενός, τῆς φύσεως ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ τι προαγούσης· ἀλλὰ τοῦτο δύνασθαι πολλῷ τῆς φύσεως ῥᾷον, ὡσπεροῦν καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ, ὅτι τοῖς ἀπορρήτοις οἱ δαίμονες τῆς φύσεως σπέρμασιν ἀνυστικώτερον δρῶσιν ἤπερ ἡμεῖς.

**[3.4.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι οὐδεμία μὲν δύναμίς ἐστι μείζων τῆς τοῦ κτίζειν δυνάμεως· οὐκ ἀναγκαῖον δ' ὅμως τὴν τοῦ κτίστου δύναμιν εἰς τοῦθ' ἥκειν, ὥστε κοινωνεῖν ἑαυτῆς κτιστῷ τινί· οὐ γὰρ ἔστιν ὅπως** P40r **μεθεκτὴ γένοιτ' ἂν φύσει κτιστῇ. Τὸ γὰρ μὴ | δύνασθαί τι γίνεσθαι, οὐχ ὅπως ἐκ τῆς κατὰ τὴν δύναμιν ἐνδείας τοῦ ποιοῦντος συμβαίνει, ἀλλ' ἔστιν ᾗ καὶ παρὰ τὸν τοῦ πράγματος λόγον, ὃ γενέσθαι οὐχ οἷόν τε· ὥσπερ ὁ Θεὸς οὐ δύναται ποιεῖν Θεόν, οὐ δυνάμεως ἀρρωστίᾳ, ἀλλ' ὅτι Θεὸς οὐδενὶ τρόπῳ δύναται γίνεσθαι· ὁμοίως γοῦν καὶ δύναμις κτίζουσα πεπερασμένη εἶναι οὐ δύναται, οὔτε μεταληπτὴ κτιστῷ τινι ἄπειρος οὖσα.**

**[3.4.37] Πρὸς δὲ τὸ ἑκκαιδέκατον τάδε λέγειν ἔνεστιν. Ἡ γὰρ ἐν τῷ ποιεῖν δυσχέρεια διχῇ θεωρεῖσθαι δυνατόν· ἑνὶ μὲν τρόπῳ καθὸ τὸ πάσχον ἀντιβαίνει πρὸς τὸ ποιοῦν· καὶ τοῦτο οὐκ ἔστι καθόλου κατὰ πάντων, ἀλλ' ἐν τοῖς ἀμοιβαδὸν ποιοῦσι καὶ πάσχουσι πρὸς ἄλληλα· ἐν οἷς τὸ ποιοῦν πάσχει ἐκ τῆς ἐναντίας ἐνεργείας τοῦ πάσχοντος· καὶ οὕτω τὰ οὐράνια σώματα, ἃ μὴ ἔχει ἐναντίον ἐν τῷ ποιεῖν, ἐκ τῆς ἐναντίας ἐνεργείας τοῦ πάσχοντος ἥκιστα πράγματα ἔχει· πολλῷ ἄρα ἔλαττον ὁ Θεός. Ἑτέρῳ τρόπῳ, ὅς ἐστι καὶ καθόλου, καθὸ τὸ πάσχον ἀπήρτηται πρὸς τὸ ἐνεργείᾳ. Ἡλίκον γὰρ ἡ δύναμις μᾶλλον πόρρω ἐλαύνει τοῦ ἐνεργείᾳ, τηλικοῦτον ἐστὶ μείζων δυσκολία ἐν τῇ ἐνεργείᾳ τοῦ ποιοῦντος. Ὅθεν, κἀπειδὴ μᾶλλον ἀποφέρεται τοῦ ἐνεργείᾳ τὸ καθαρῶς μὴ ὄν, ἤπερ ἡ ὕλη ὁτῳδήποτε ἐναντίῳ ὑποκειμένη, ὁσονδήποτε ἀφεστηκότι, δῆλόν ἐστι μείζονος δυνάμεως εἶναι παράγειν τι ἐκ τοῦ μηδαμῇ μηδαμῶς ἢ ποιεῖν τοὐναντίον ἐκ τοῦ ἐναντίου.**

**328-330** ὁ – ἡμεῖς] Aug., De Trin. III, cap. 8 et 9 (PL 42, cols 875-879).

**327** ἐκ – μηδενὸς] de puro non esse Aq. **328** τάδε – ἔνεστιν] dicendum Aq. **329** ἐν – τρίτῳ] deest Aq. **334** ἂν] bis acc. P **340** ἔνεστιν] ἔστιν[a. corr.] M **341** θεωρεῖσθαι δυνατόν] potest attendi Aq. **342** Hic post ἀλλ' Aq. habet solum.

## Κεφάλαιον πέμπτον

## Πότερον δύναται εἶναι τί, ὃ μὴ ἔκτισται παρὰ Θεοῦ, ἢ οὔ.

[3.5.1] Πέμπτον ζητεῖται, πότερον δύναται εἶναι τὶ ὃ μὴ ἔκτισται παρὰ τοῦ Θεοῦ. Καὶ δοκεῖ εἶναι. Ἐπεὶ γὰρ ἡ αἰτία ἔστιν ἀνυστικώτερον ἐν τῷ δρᾶν τοῦ ἀποτελέσματος, τὸ δυνατὸν τῷ ἡμετέρῳ νῷ, ὃς ἀπὸ τῶν ὄντων λαμβάνει τὴν γνῶσιν, δοκεῖ μᾶλλον εἶναι δυνατὸν ἐν τῇ φύσει. Ἀλλ’ ὁ ἡμέτερος νοῦς δύναταί τι νοεῖν μὴ νοῶν αὐτὸ εἶναι ἀπὸ τοῦ Θεοῦ, ἐφόσον μὴ ἔστιν ἡ ποιητικὴ αἰτία τῆς αὐτῆς τῷ πράγματι οὐσίας, καὶ ταύτῃ τούτου ἄνευ δύναται τὸ πρᾶγμα νοεῖσθαι. Πολλῷ ἄρα μᾶλλον ἐν τῇ τῶν πραγμάτων φύσει, δύναταί τι εἶναι, ὃ μὴ ἐκ τοῦ Θεοῦ ἐστίν.

[3.5.2] Ἔτι, πάνθ’ ὅσα ἐστὶν ἐκ τοῦ Θεοῦ γεγονότα, λέγονται εἶναι κτίσματα Θεοῦ. Ἡ δὲ κτίσις ὥρισται πρὸς τὸ εἶναι· τῶν γὰρ κτιστῶν πραγμάτων, τὸ πρῶτον ἐστὶ τὸ εἶναι, ὡς ἡ Περὶ αἰτιῶν βίβλος περιέχει. Ἐπεὶ τοίνυν ἡ οὐσία καὶ τὸ τὶ ἦν εἶναι τοῦ πράγματος ἔστι χωρὶς ἀπὸ τοῦ εἶναι αὐτοῦ, δοκεῖ ὅτι τὸ τὶ ἦν εἶναι τοῦ πράγματος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ.

[3.5.3] Ἔτι, πᾶσα ἐνέργεια ὥρισται πρός τι ἐνεργείᾳ, καθάπερ γοῦν καὶ πρόεισιν ἀπό τινος ἐνεργείᾳ· πᾶν γὰρ τὸ ποιοῦν ποιεῖ, ἐφόσον ἐστὶν ἐνεργείᾳ, καὶ πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ ἐν τῇ φύσει. Ἀλλ’ ἡ πρώτη ὕλη ἐστὶ
P 40v δύναμις ψιλή. Ἡ τοῦ κτίστου ἄρα ἐνέργεια οὐ δύ|ναται ὁρίζεσθαι πρὸς αὐτήν. Καὶ ταύτῃ οὐ πάντ’ ἐστὶ παρὰ Θεοῦ κτιστά.

[3.5.4] Ἀλλ’ ἀντιφθέγγεται τὸ λεγόμενον ἐν τῇ Πρὸς Ῥωμαίους· ἐξ αὐτοῦ, καὶ δι’ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

[3.5.5] Ἀπόκρισις. Ῥητέον, ὅτι τῇ τάξει τῆς ἀνθρωπίνης καταλήψεως, προκεχωρήκασιν οἱ ἀρχαῖοι ἐν τῇ θεωρίᾳ τῆς τῶν ὄντων φύσεως. Ὅθεν κἀπειδὴ ἡ ἀνθρωπίνη διάνοια ἀπὸ τῶν αἰσθήσεων ἀφιεῖσα εἰς τὸν νοῦν ἐφορμεῖ, οἱ πρότερον φιλοσοφήσαντες διήγαγον μὲν περὶ τὰ αἰσθητά, ἐντεῦθεν δὲ σχολῇ καὶ βάδην ἐπὶ τὰ νοητὰ κατήρκασι. Κἀπειδὴ τὰ συμβεβηκότα εἴδη καθ’ αὐτά εἰσιν αἰσθητά, ἀλλ’ οὐ τὰ οὐσιώδη, διατοῦτο

**12-13** τῶν – περιέχει] Liber de causis, prop. 4: prima rerum creatarum est esse et non est ante ipsum creatum aliud. **21-22** ἐν – πάντα] Rom., 11, 36: ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

**4** ἀνυστικώτερον] ἀνυσικώτερον M **5** ὄντων] rebus Aq. **7** τι νοεῖν] τινος εἶν M **8** ἔστιν] ἔστην M | ἡ] deest M | τῆς – οὐσίας] de natura rei Aq. | τούτου] τούτην M **19** ψιλή] pura Aq. **26** πρότερον φιλοσοφήσαντες] priores philosophi Aq. **27** σχολῇ – βάδην] paulatim Aq. | κατήρκασι] intellige κατηντήκασι? (pervenerunt Aq.)

**οἱ ἀρχαίοι καὶ πρῶτοι φιλοσοφήσαντες περὶ φύσεως συμβεβηκότα πάντ᾽ εἰρήκεσαν, καὶ μόνην τὴν ὕλην εἶναι ὑποκειμένην, διὰ τὸ ἀποχρῆναι πάντων εἶναι τῶν συμβεβηκότων αἰτίαν, ἅπερ ἐκ τῆς ὕλης ἀρχοειδῶς ὑποκειμένης γίνεται. Ἐντεῦθεν οἱ παλαίτατοι τῶν φιλοσόφων οὐδεμίαν ἄλλην παρὰ τὴν ὕλην αἰτίαν ἐδόξασαν, ἀλλ᾽ ἐξ αὐτῆς πάντα κτίζεσθαι ἔφασαν, ὁπόσά γε εἰς τὰ αἰσθητὰ δοκεῖ τελεῖν· ὅθεν καὶ λέγειν συνηλαύνοντο αἰτίαν οὐκ εἶναι τῆς ὕλης καὶ ἀπαγορεύειν ἐκ περιουσίας τὴν ποιητικὴν αἰτίαν. Οἱ δ᾽ ἐπιγενόμενοι φιλόσοφοι τὰ οὐσιώδη διορᾶν ἤρξαντο ὁπηδήποτε, οὐ μὴν ἐξέσχον καὶ πρὸς τὴν τῶν καθόλου γνῶσιν, ἀλλὰ πᾶσα ἡ τούτων σκέψις περὶ τὰ ἔνυλα εἴδη ἐνειλεῖτο, διά τοι τοῦτο καὶ ἐνόμισάν τινας αἰτίας ποιητικάς, οὐ μὴν αἳ συμφέρουσι καθόλου τοῖς οὖσι τὸ εἶναι, ἀλλ᾽ ὅσα πρὸς τήνδ᾽ ἢ τήνδε τὴν μορφὴν τὴν ὕλην μεταβάλλει· ὥσπερ τὸν νοῦν, καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν, ὧν τὴν ἐνέργειαν ἐτίθεσαν ἔν τε τῷ διακρίνειν καὶ συγκρίνειν· καὶ διατοῦτο καὶ κατὰ τούτους, οὐ πάντα τὰ ὄντα ἐκ ποιητικῆς αἰτίας προΐεσαν, ἀλλ᾽ ὕλη προϋποτίθεται τῇ ἐνεργείᾳ τῆς ποιητικῆς αἰτίας. Οἱ δ᾽ ὕστατον φιλοσοφήσαντες ὥσπερ Πλάτων καὶ Ἀριστοτέλης καὶ οἱ τούτων ὀπαδοί, διεγένοντο πρὸς τὴν γνῶσιν αὐτῆς τῆς καθόλου αἰτίας. Διά τοι τοῦτο καὶ μόνοι τῶν πάντων οὗτοι ἐπρέσβευσάν τινα καθόλου αἰτίαν τῶν ὄντων πάντα τ᾽ ἄλλα εἰς τὸ εἶναι παράγουσαν, ὡς ἔστι γνώριμον δι᾽ Αὐγουστίνου ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ ὀγδόῳ. Ταύτῃ δὲ τῇ γνώμῃ καὶ ἡ καθολικὴ πίστις ὁμολογεῖ, ἣ καὶ τρισὶ λογισμοῖς ἀποδειχθείη ἄν. Ὧν ὁ πρῶτος, τοιοῦτός ἐστί τις· ἀνάγκη γάρ, εἴ τι ἓν ἐν πλείοσιν εὑρίσκεται, ἀπό τινος ἄλλης μιᾶς αἰτίας αὐτοῖς ἐνεῖναι· ἀδύνατον γὰρ τοῦτο τὸ κοινὸν ἑκατέροις προσεῖναι ἐξ ἑαυτοῖς, ἐφόσον ἑκάτερον (ᾗ ἐστὶν αὐτὸ τὸ ἀπὸ θατέρου διακρίνεται), καὶ ἡ τῶν αἰτιῶν ἑτερότης ἕτερα ἀποτελέσματα παράγει. Ἐπεὶ τοίνυν τὸ εἶναι κοινὸν εὑρίσκεται πᾶσι τοῖς οὖσιν, ἃ καθὸ εἰσὶν οὐ διακρίνεται ἀπ᾽ ἀλλήλων, ἀνάγκη τὸ εἶναι παρεῖναι τούτοις | P 41r οὐκ ἐξ ἑαυτῶν, ἀλλ᾽ ἀπ᾽ ἄλλης μιᾶς αἰτίας ἀποδίδοσθαι. Καὶ οὗτος δοκεῖ τοῦ Πλάτωνος εἶναι ὁ λόγος, ὃς εἵλετο λέγειν πρὸ παντὸς πλήθους εἶναι τινὰ μονάδα, οὐχ ὅτι ἐν ἀριθμοῖς, ἀλλὰ κἂν τῇ τῶν ὄντων φύσει. Δεύτερος**

**46-48** τινὰ -- ὀγδόῳ] Aug., De civ. VIII, 14 (PL 41, cols 227-229).

**29** οἱ – φιλοσοφήσαντες] primi philosophi Aq. **30** Hic post πάντ᾽ Aq. habet formas; post ὑποκειμένην Aq. habet: et quia substantia. **38** σκέψις] intentio Aq. **39** αἳ] ἃς M (quae Aq.) **44** ὕστατον φιλοσοφήσαντες] posteriores philosophi **46** μόνοι – πάντων] soli Aq. **47-48** ἐν – ὀγδόῳ] deest Aq. **50** Hic post ἓν Aq. habet: communiter.

λόγος ἐστὶν ὅτι, ἡνίκα εὑρίσκεταί τι πλείοσι διαφόρως μετεχόμενον, ἀναγκαῖον ἐνυπάρχειν αὐτοῖς ἀπό τινος, ἐν ᾧ τελέως εὑρίσκεται. Ὅσα γὰρ θετικῶς κατὰ τὸ μᾶλλον καὶ ἧττον λέγονται, τοῦτ᾽ ἔχει ἐκ πορρωτέρας ἢ ἐγγυτέρας προσόδου πρός τι ἕν· εἰ γὰρ ἐξ ἑαυτοῦ ἑκάστῳ τούτων προσήκει τοῦτο, οὐκ ἂν εἴη λόγος, τί δήποτε τελεώτερον ἐν τῷ ἑνὶ ἢ ἐν τῷ λοιπῷ εὑρίσκεται· ὥσπερ ὁρῶμεν τὸ πῦρ τὸ ὂν ἐν τῷ τῆς θερμότητος τέλει ὂν ἀρχῆς τῆς θερμότητος ἐν πᾶσι τοῖς θερμοῖς. Ἔστι δὲ τιθέναι τὶ ὂν ἕν, ὅπέρ ἐστι τελειότατον καὶ ἀληθέστατον ὄν· ὃ κἀντεῦθεν δείκνυται, ὅτι ἔστι τι κινοῦν ἐς τὸ ἅπαξ ἀκίνητον καὶ τελειότατον, ὡς παρὰ τοῖς φιλοσόφοις ἀποδέδεικται. Δεῖ τοίνυν τὰ ἄλλα τὰ ἧττον τέλεια παρ᾽ αὐτοῦ, τὸ εἶναι λαμβάνειν. Καὶ αὕτη ἐστὶν ἡ ἀπόδειξις τοῦ Φιλοσόφου ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά. Τρίτος λόγος ἐστὶ τὸ γὰρ ὂν δι᾽ ἄλλο ἀνάγεται εἰς τὸ καθ᾽ αὑτὸ ὥσπερ εἰς αἰτίαν· ὥσπερ εἴ τινος θέρμη καθ᾽ αὑτὴν ὑφέστηκεν, ἀναγκαῖον αὐτὴν αἰτίαν εἶναι πάντων τῶν θερμῶν, ὅσα κατὰ μέθεξιν θερμότητα ἔχει. Ἔστι δὲ τιθέναι τὶ ὄν, ὅπέρ ἐστιν αὐτὸ τὸ εἶναι αὐτοῦ. Ὅπερ ἐντεῦθεν δείκνυται· ἀναγκαῖον γὰρ εἶναί τι πρῶτον ὄν, ὅπέρ ἐστιν ἐνέργεια καθαρά, ἐν ᾧ μηδεμία σύνθεσις ἐστίν, ὅθεν δὲ ἐξ ἐκείνου τοῦ ἑνὸς ὄντος πάντα τὰ ἄλλα εἶναι, ὅσα μὴ ἔστι τὸ εἶναι αὐτῶν, ἀλλ᾽ ἔχει τὸ εἶναι ὡς κατὰ μέθεξιν. Ἔστι δ᾽ οὗτος ὁ λόγος Ἀβικένου. Οὕτω τοίνυν καὶ λογισμοῖς δείκνυται καὶ πίστει κατέχεται πάντα εἶναι ἐκ Θεοῦ.

[3.5.6] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, εἰ καὶ <ἡ> πρώτη αἰτία, ἥτις ἐστὶν ὁ Θεός, οὐχ ὕπεισι τὸ τῶν κτιστῶν πραγμάτων εἶναι, ὅμως τὸ ἐνὸν τοῖς κτιστοῖς εἶναι οὐχ οἷόν τε νοεῖσθαι εἰ μὴ ὡς παραχθὲν ἀπὸ τοῦ θείου εἶναι· ὥσπερ οὐδὲ τὸ ἴδιον ἀποτέλεσμα δύναται νοεῖσθαι, εἰ μὴ ὡς παρηγμένον ἀπὸ τῆς ἰδίας αἰτίας.

[3.5.7] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐξ αὐτοῦ τούτου, ὅτι τῇ οὐσίᾳ καὶ τῷ τὶ ἦν εἶναι, κτίζεσθαι λέγεται· πρὶν γὰρ ἔχειν τὸ εἶναι, οὐδὲν ἔστιν εἰ μὴ ἐν τῷ νῷ τοῦ κτίζοντος, ἔνθα μὴ ἔστι κτίσμα, ἀλλ᾽ οὐσία κτίστρια.

[3.5.8] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ἀποδείκνυσιν, ὅτι ἡ πρώτη ὕλη καθ᾽ αὑτὴν οὐ κτίζεται· οὐχ ἕπεται δὲ ἐκ τούτου μὴ κτίζεσθαι ὑπὸ εἴδει· οὕτω γὰρ ἔχει τὸ εἶναι ἐνεργείᾳ.

**68** Hic post τοίνυν Aq. habet: omnia. **70** φυσικά] ἠθικὰ P **78** πάντα] πάντες P **88-89** οὐχ – ἐνεργείᾳ] deest M

**Κεφάλαιον ἕκτον**

**Πότερον ἔστι μία ἀρχὴ δημιουργικὴ μόνον**

**[3.6.1] Ἕκτον ζητεῖται, πότερον ἔστι μία ἀρχὴ δημιουργικὴ μόνον. Καὶ δοκεῖ μὴ πάνυ. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων**
P 41v **ὀνομάτων | μὴ εἶναι** τὸ ἀγαθ**ὸν αἰτίαν** τοῦ κακο**ῦ, εἶναι δέ τι τὸ κακὸν ἐν τῷ κόσμῳ. Ἢ τοίνυν ἐστὶν ἀπ᾽ ἄλλης αἰτίας, ἢ μὴ εἴη ἀγαθόν, ἢ οὐδενὶ τρόπῳ ἔστιν αἰτιατόν, ἀλλ᾽ αἰτία πρώτη. Ὁποτέρῳ δὲ τρόπῳ ἀναγκαῖον τιθέναι πολλὰς δημιουργικὰς ἀρχάς· ἡ γὰρ πρώτη ἀρχὴ τῆς δημιουργίας τῶν ἀγαθῶν ἐστὶν ἀγαθή.**

**[3.6.2] Ἀλλ᾽ ἔλεγεν, ὅτι τὸ ἀγαθὸν οὐκ ἔστιν αἰτία τοῦ κακοῦ καθ᾽ αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. Ἀλλ᾽ ἐνστέον· πᾶν γὰρ ἀποτέλεσμα αἰτίας τινὸς κατὰ συμβεβηκός, ἔστιν ἑτέρας αἰτίας καθ᾽ αὑτό, ἐφόσον πᾶν συμβεβηκὸς ὑπὸ τὸ καθ᾽ αὑτὸ ἀνάγεται. Εἰ τοίνυν τὸ κακὸν εἴη κατὰ συμβεβηκὸς ἀποτέλεσμα τοῦ ἀγαθοῦ, ἔσται καθ᾽ αὑτὸ ἄλλου του ἀποτέλεσμα. Καὶ ταύτῃ ὃ πρότερον.**

**[3.6.3] Ἔτι, τὸ ἀποτέλεσμα τῆς κατὰ συμβεβηκὸς αἰτίας παρὰ τὸν τῆς αἰτίας πίπτει σκοπὸν καὶ οὐ γίνεται. Εἰ οὖν τὸ ἀγαθόν ἐστιν αἰτία τοῦ κακοῦ, καίπερ κατὰ συμβεβηκός, ἕπεται τὸ κακὸν μὴ γεγονέναι. Ἀλλ᾽ οὐδὲν ὂν τυγχάνει ἀναίτιον, εἰ μὴ ἡ τοῦ κτίζειν ἀρχή, ὡς προδέδεικται. Τὸ κακὸν ἄρα ἐστὶν ἀρχὴ δημιουργική.**

**[3.6.4] Χωρὶς δὲ τούτων, οὐδὲν βλάβος ἐπιγίγνεται ἐν τῷ ἀποτελέσματι παρὰ τὸν σκοπὸν τοῦ ποιοῦντος, εἰ μὴ ἢ δι᾽ ἄγνοιαν τοῦ ποιοῦντος, εἰ μὴ προορῷτο τὸ ἐσόμενον, ἢ δι᾽ ἀδυναμίαν, ἣν οὐκ ἔστιν ὅπως διακρούσαιτο. Ἀλλ᾽ ἐν τῷ Θεῷ, ὅς ἐστι δημιουργὸς τοῦ ἀγαθοῦ, οὐκ ἔστιν οὔτε ἀδυναμία, οὔτε ἄγνοια. Τὸ κακὸν ἄρ᾽, ὃ βλαβερόν ἐστι τοῖς τοῦ Θεοῦ ἀποτελέσμασιν, οὐ παρὰ τὸν σκοπὸν ἐπιγίνεσθαι δύναται. Καὶ γὰρ ὁ Αὐγουστῖνος φησίν, ὅτι διατοῦτο κακὸν καλεῖται, διὰ τὸ κακύνειν καὶ φθείρειν.**

**[3.6.5] Ἔτι, τὸ κατὰ συμβεβηκὸς ἔστιν ὡς ἐπ᾽ ἔλαττον, ὡς ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς φέρεται. Τὸ δὲ κακὸν ἐστὶν ὡς ἐπιτοπολύ, ὡς καὶ τοῦτο περιέχεται**

**4-5** Φησὶ – κακοῦ] Ps.-Dion., De div. nom., cap. 4, n. 19 (PG 3, col. 716C, Ritter p. 163): Τὸ κακὸν οὐκ ἔστιν ἐκ τἀγαθοῦ. **25-26** ὁ – φθείρειν] cf. Aug., Enchir., cap. 12 (PL 40, col. 237): Cum vero corrumpitur, ideo malum est eius corruptio quia eam qualicumque privat bono. Nam si nullo bono privat non nocet; nocet autem. **27-28** Ar., Phys. II, 196b.10.

**4-5** ἐν – ὀνομάτων] deest Aq. **16** καίπερ] deest M, Aq. **26** διὰ – φθείρειν] quia nocet **29-30** κατὰ – αἰτία] om. et al. man. add. in marg. sin. M

**ἐν τῷ δευτέρῳ τῶν Τοπικῶν. Τὸ κακὸν ἄρα οὐκ ἔστιν ἀπό τινος αἰτίας κατὰ συμβεβηκός. Τἀγαθὸν ἄρα οὐκ ἔστιν αἰτία τοῦ κακοῦ κατὰ συμβεβηκός.**

P 42r **[3.6.6] Ἄνευ δὲ τούτων, τὸ μὴ ὂν αἰτίαν οὐκ ἔχει· τὸ γὰρ μὴ ὂν οὔτε αἴτιον οὔτε αἰτιατὸν ἐστίν. Ἀλλὰ τὸ κακὸν οὐδέν ἐστι κατὰ τὸν Αὐγουστῖνον. Τὸ κακὸν ἄρα, οὐκ ἔχει αἰτίαν τινά, οὔτε καθαυτὸ οὔτε κατὰ συμβεβηκός. Ψεῦδος ἦν ἄρα τὸ λεγόμενον, τὸ ἀγαθὸν εἶναι αἰτίαν τοῦ κακοῦ κατὰ συμβεβηκός.**

**[3.6.7] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά, ὅτῳ ἔνεστί τι κατὰ τὸ πρότερον, ἔστιν** αἰτία **πάντων ἐν οἷς** ἐστὶ τὸ **αὐτὸ κατὰ τὸ** ὕστερον**· ὥσπερ τὸ πῦρ ἐστι πᾶσιν** αἰτία τῆς θερμότητος τοῖς θερμοῖς**. Ἀλλ’ ἡ κακία προτέρῳ γέγονε τῷ διαβόλῳ. Αὐτὸς ἄρα τυγχάνει ὢν αἰτία τῆς κακίας πᾶσι τοῖς κακοῖς· καὶ ταύτῃ ἔστιν ἀρχὴ μία πάντων τῶν κακῶν, ὡσπεροῦν καὶ τῶν ἀγαθῶν.**

**[3.6.8] Ἔτι, κατὰ τὸν Διονύσιον ἐν τῷ τετάρτῳ τοῦ Περὶ θείων ὀνομάτων, τὸ μὲν ἀγαθὸν ἑνὶ συμβαίνει τρόπῳ, τὸ δὲ κακὸν πολυσχεδῶς. Τὸ κακὸν τοίνυν ἐγγυτέρω ἐστὶ πρὸς τὸ εἶναι ἢ τὸ ἀγαθόν. Εἰ δὴ οὖν τὸ ἀγαθόν ἐστι φύσις τὶς δεομένη δημιουργοῦ, καὶ τῷ κακῷ δεήσει | δημιουργοῦ. Καὶ οὕτω ταυτὸ τοῖς πρότερον.**

**[3.6.9] Ἔτι, τὸ μὴ ὄν, οὐ δύναται γένος εἶναι ἢ εἶδος. Ἀλλὰ τὸ κακὸν γένος λέγεται. Εἴρηται γὰρ ἐν ταῖς Κατηγορίαις, ὅτι** τὸ ἀγαθὸν καὶ τὸ κακὸν οὐκ εἰσὶν ἐν γένει, ἀλλ’ αὐτὰ **ἐστὶ** γένη**. Τὸ κακὸν ἄρα ἔστιν ὂν καὶ οὕτως δεήσεταί τινος κτίζοντος· ἀμέλει κἀπειδὴ μὴ κτίζεται παρὰ τἀγαθοῦ, ἀναγκαῖον δοκεῖ τὶ κακὸν τιθέναι ἀρχὴν δημιουργικήν.**

**[3.6.10] Ἔτι, ἑκάτερον τῶν ἐναντίων, ἔστι τις φύσις θετικῶς· τὰ γὰρ ἐναντία, εἰσὶν ἐν τῷ αὐτῷ γένει. Τὸ δὲ μὴ ὄν, οὐ δύναται εἶναι ἐν γένει. Τὸ δ’ ἀγαθὸν καὶ τὸ κακόν, εἰσὶν ἐναντία. Ἔστιν ἄρα φύσις τις, καὶ ταύτῃ τὸ πρότερον.**

**29** ἐν – Τοπικῶν] cf. Ar., Top. II, 112b.11-13: οἷον εἰ ὡς ἐπὶ τὸ πολὺ φαῦλοι οἱ ἄνθρωποι, ἀγαθοὶ ἐπ' ἔλαττον, ὥστ' ἔτι μᾶλλον ἡμάρτηκεν, εἰ ἀγαθοὺς ἐξ ἀνάγκης εἴρηκεν. **31** Post συμβεβηκὸς Aq. habet: Praeterea, malum, secundum Augustinum, non habet causam efficientem sed deficientem. Sed causa per accidens est causa efficiens. Ergo bonum non est causa mali per accidens. **38-40** κατὰ – θερμοῖς] Ar., Metaph. II, 993b23-27: ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον (οἷον τὸ πῦρ θερμότατον· καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος)· ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. **43-45** κατὰ – πολυσχεδῶς] cf. Ps.-Dion., De div. nom., cap. 4, 22 (PG 3, col. 724B, Ritter p. 169). **49-50** ἐν – γένη] Ar., Cat., 14a.23-25: ἀγαθὸν δὲ καὶ κακὸν οὐκ ἔστιν ἐν γένει, ἀλλ' αὐτὰ τυγχάνει γένη τινῶν ὄντα.

**34** αἰτίαν – ἔχει] est Aq.

**[3.6.11] Ἐπὶ τούτοις, αἱ διαφοραὶ αἱ ποιητικαὶ τοῦ εἴδους δηλοῦσι φύσιν τινά· ὅθεν καθ’ ἕνα λόγον,** φύσις ἐστὶν ἡ ἕκαστον μορφοῦσα εἰδοποιὸς διαφορά**, ὡς ὁ Βοήτιός φησιν, ἐν τῷ Περὶ δύο φύσεων. Ἀλλὰ τὸ κακόν ἐστι διαφορὰ ποιητικὴ εἴδους τινός· τὸ γὰρ ἀγαθὸν καὶ κακόν εἰσι διαφοραὶ ἕξεων. Τὸ κακὸν ἄρα ἔστι φύσις τις καὶ οὕτως καθόμοιον τοῖς πρότερον.**

**[3.6.12] Ἔτι, ὁ Ἐκκλησιαστὴς ἐν τῷ τριακοστῷ τρίτῳ φησί·** τῷ κακῷ τἀγαθόν**,** ἀπεναντί**ας ἐστί, καὶ τῇ** ζωῇ **ὁ** θάνατος**· οὕτω καὶ τῷ δικαίῳ ἀνθρώπῳ** ἀπεναντί**ας** ὁ ἁμαρτωλός**. Εἰ τοίνυν ἔστι μία ἀρχὴ δημιουργικὴ τἀγαθοῦ, ἀναγκαῖον εἶναι καὶ ἄλλην τοῦ κακοῦ, ὅπερ εἴη ἂν ἐναντία αὐτῇ.**

**[3.6.13] Ἔτι, ἡ ἐπίτασις καὶ ἡ ἄνεσις λέγονται ἀποσκοποῦσι πρός τι πέρας. Ἀλλ’ εὑρίσκεταί τι ὂν ἄλλου χεῖρον. Ἀναγκαῖον ἄρα εὑρίσκεσθαί τι χείριστον, ἐν ᾧ τυγχάνει ὂν τῶν κακῶν πάντων τὸ πέρας· καὶ τοῦτ’ ἀναγκαῖον εἶναι τῶν κακῶν ἀρχήν, ὥσπερ τὸ τελευταῖον ἀγαθόν ἐστιν ἀρχὴ πάντων τῶν ἀγαθῶν.**

**[3.6.14] Ἔτι, ἐν τῷ κατὰ Ματθαῖον ἑβδόμῳ λέγεται· οὐ δύναται** τὸ ἀγαθὸν δένδρον σαπρὸν καρπὸν ποιεῖν**. Εὑρίσκεται δέ τι ὂν κακὸν ἐν τῷ κόσμῳ. Ἄρ’ οὐ δύναται εἶναι καρπός, ἤτοι ἀποτέλεσμα τῆς ἀγαθῆς αἰτίας, ἢ διὰ τοῦ ἀγαθοῦ δένδρου δηλοῦται. Καὶ ταύτῃ ἀναγκαῖον πάντων τῶν κακῶν εἶναι αἰτίαν τὶ πρῶτον κακόν.**

**[3.6.15] Ἄλλως δὲ ἐν τῇ Γενέσει λέγεται· ἐν ἀρχῇ τῆς τῶν ὄντων δημιουργίας,** ἦν σκότος ἐ**πὶ** πᾶν **τὸ πρόσωπον** τῆς ἀβύσσου**. Ἀλλ’ ἀπὸ τἀγαθοῦ, ὅπερ ἔχει τὴν φύσιν του φωτός, οὐ δύναται εἶναι ἡ τοῦ σκότους δημιουργία. Ἡ τούτου ἄρα δημιουργία, ἥτις ἐκεῖ καταγέγραπται, οὐκ ἔστιν ἀπ’ ἀρχῆς ἀγαθῆς, ἀλλὰ πονηρᾶς.**

**[3.6.16] Ἔτι, πᾶν ὃ πρόεισιν ἀπό τινος, προσμαρτυρεῖται τῷ προβάλλοντι, ἐκ τούτου ὅτι ἔστιν ὅμοιον αὐτῷ. Ἀλλὰ τὸ κακὸν οὐδὲν τρόπῳ προσμαρτυρεῖται τῷ Θεῷ· οὐ γὰρ ἔχει τινὰ ὁμοιότητα πρὸς αὐτόν. Οὐκ ἄρα οἷόν τε εἶναι ἀπ’ αὐτοῦ, ἀλλ’ ἀπ’ ἄλλης ἀρχῆς.**

**[3.6.17] Ἔτι, οὐδὲν πρόεισιν ἀπ’ ἄλλου, εἰ μὴ ἔστιν ἐν αὐτῷ δυνάμει. Ἀλλὰ τὸ κακόν οὐκ ἔστιν ἐν Θεῷ οὔτε δυνάμει οὔτε ἐνεργείᾳ. Οὐκ ἔστιν ἄρ’ ἐκ Θεοῦ.**

**58-59** φύσις – φύσεων] Boet., De duab. nat. III, (PL 64, col. 1342): natura est unam quamque rem informans specifica differentia. **62-63** ὁ – θάνατος] Ecclesiasticus 31.10: ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθὸν καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή· οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός. **70-71** ἐν – ποιεῖν] Mt. 7, 18: οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. **75-76** ἐν – ἀβύσσου] Gen. 1, 2: ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

**74** τὶ] τὸ P (aliquod Aq.)

**καὶ ταύτῃ τὸ πρότερον.**

P 42v **[3.6.18] Ἔτι, ὥσπερ ἡ γένεσίς ἐστι κίνησις φυσική, | οὕτω καὶ ἡ φθορά. Ἀλλ’ ἡ φθορὰ πεπέρανται πρὸς τὴν στέρησιν, ὥσπερ ἡ γένεσις πρὸς τὸ εἶδος. Ὥσπερ οὖν τὸ εἶδος ἐγγίνεται τῷ σκοπῷ τῆς φύσεως, οὕτω καὶ ἡ στέρησις· καὶ οὕτως ἀναγκαῖον τὸ κακόν, ὅπέρ ἐστι στέρησις, ἔχειν τινὰ αἰτίαν ποιητικὴν καθ’ αὐτό, ὥσπερ καὶ τὸ εἶδος.**

**[3.6.19] Ἔτι, ὁ σπῖλος τῆς ἁμαρτίας ἐνίησί τι τῇ ψυχῇ· εἰ γὰρ μόνον εἴη στέρησις τῆς χάριτος, τηνικαῦτα δι’ οὑτινοσοῦν πρὸς θάνατον ἁμαρτήματος, ὁ ἄνθρωπος εἶχεν ἂν τὴν κηλίδα πάντων τῶν ἁμαρτημάτων. Ἀλλ’ ἡ κηλὶς τῆς ἁμαρτίας οὐκ ἔστι παρὰ τοῦ Θεοῦ·** οὐ γάρ ἐστιν ὁ Θεὸς ταυτοῦ πράγματος αὐτουργὸς καὶ κολαστὴς **κατὰ τὸν Φουλγέντιον. Μὴ οὖσα δὲ ἐξ ἀιδίου, ἐξ ἀνάγκης ἔχει αἰτίαν. Δεῖ ἄρα ἀναφέρειν εἰς ἄλλην τινὰ αἰτίαν πρώτην, ἣ μή ἐστιν ὁ Θεός.**

**[3.6.20] Ἔτι, πᾶν τὸ ποιοῦν ποιεῖ προϋποτεθέντος πρώτου ποιητικοῦ. Ἁμαρτάνον δὲ τὸ αὐτεξούσιον, οὐ δρᾷ προϋποτεθείσης τῆς θείας ἐνεργείας· ἁμαρτία γάρ τίς ἐστιν ἡ πορνεία καὶ ἡ μοιχεία, ἃ μὴ δύναται διαιρεθῆναι τοῦ ἰδίου σφῶν αἴσχους· ὅπερ αἶσχος οὐκ ἔστιν οἷον εἶναι ἐκ Θεοῦ. Ἀναγκαῖον ἄρα τὸ αὐτεξούσιον εἶναι πρῶτον ποιητικὸν τῆς ἁμαρτίας, ἢ ἀνάγεσθαι εἰς ἄλλο πρῶτον παρὰ τὸν Θεόν.**

**[3.6.21] Ἀλλ’ ἔλεγεν, ὅτι αὐτὸ τὸ χρῆμα τῆς ἐνεργείας τῆς ἁμαρτίας ἔστι παρὰ Θεοῦ, ἀλλ’ οὐ τὸ αἶσχος. Ἀλλ’ ἐναντίον ἐστὶ τὸ ἐν τῷ Ὑπομνήματι λεγόμενον ἐν τῷ ἑβδόμῳ Μετὰ τὰ φυσικά, ὅτι ἀδύνατόν ἐστιν ἑνὸς ποιοῦντος ἐνέργειαν, ὁρίζεσθαι πρὸς τὴν ὕλην καὶ ἑτέρου πρὸς τὸ εἶδος. Τὸ δ’ αἶσχος ἐστὶν ὡσανεὶ εἶδος τῆς ἐνεργείας τῆς ἁμαρτίας. Οὐκ ἔστιν ἄρα δυνατὸν εἶναι τὸ τῆς ἁμαρτίας αἶσχος παρ’ ἄλλου καὶ τὸ ὑποκείμενον παρ’ ἄλλου.**

**[3.6.22] Ἔτι, ἀφ’ ἑνὸς ἁπλοῦ οὐ πρόεισιν εἰ μὴ ἓν ἁπλοῦν. Ἀλλ’ ὁ Θεὸς τυγχάνει ὢν παντάπασιν ἁπλοῦς. Ἄρα ταυτὶ τὰ σύνθετα, οὐκ ἔστιν ἐξ αὐτοῦ, ἀλλ’ ἐξ ἄλλου δημιουργοῦ.**

**[3.6.23] Ἔτι, ἐν τῷ τρίτῳ τοῦ Ἐκκλησιαστοῦ λέγεται· ἔμαθον** ὅτι πάντα τὰ ἔργα ὅσα πεποίηκεν ὁ Θεός, **διαμένει** εἰς τὸν αἰῶνα**. Ταδὶ δὲ τὰ ὑπὸ τὴν φθορὰν οὐ**

**95-96** οὐ – Φουλγέντιον] Fulg., Ad mon. I (PL 65, col. 166D): Deus peccati ultor est, non auctor. **106-108** ἐν – εἶδος] in VII Metaph., comm. 28: Ad solutionem … materia. **114-115** ἐν – αἰῶνα] Eccl. 3, 14: ἔγνων ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα.

**99-104** Ἔτι – Θεόν] post [3.6.23] (Ἔτι – δημιουργοῦ) Aq. **107** ἐν – Φυσικά] deest Aq.

**διαμένει εἰς τὸν αἰῶνα· οὐκ ἄρα ἔργα εἰσί τοῦ Θεοῦ, ἀλλὰ χρὴ ὑπὸ ἑτέραν ἀρχὴν ταῦτα ἀναφέρειν.**

**[3.6.24] Πρὸς τούτοις πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ. Ταυτὶ δὲ τὰ φθαρτά, οὐκ ἔστιν ὅμοια τῷ Θεῷ· καὶ γάρ, ὡς ὁ Ἰωάννης φησὶν ἐν τῷ δεκάτῳ· ὁ Θεὸς φῶς ἐστι· καὶ σκοτία ἐν αὐτῷ οὐδεμία. Ἄρα ταῦτα <τὰ> φθαρτὰ οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Καὶ οὕτως τὸ πρότερον.**

**[3.6.25] Ἔτι, ἡ φύσις ἀεὶ τὸ κρεῖττον ποιεῖ κατὰ τὸν Φιλόσοφον· καὶ τοῦτο πρόσεισιν ἐκ τῆς φύσεως ἀγαθότητος. Ἀλλ' ἡ τοῦ Θεοῦ ἀγαθότης τῆς φύσεως ἐστὶ τελειοτέρα. Ὁ Θεὸς ἄρα ποιεῖ κρείττω, ὅσο κρείττων ἐστίν. Εἰσὶ δὲ κρείττω τὰ νοητὰ τῶν αἰσθητῶν. Τὰ αἰσθητὰ ἄρα ὁ Θεὸς οὐ ποιεῖ, ἅπερ ὁ Θεὸς**
P 43r **ἐποίησε, κἂν ἔδωκε | νοητὴν ἀγαθότητα· καὶ ταύτῃ λείπεται πολλὰς τιθέναι δημιουργικὰς ἀρχάς.**

**[3.6.26] Ἀλλ' ἀντίξοόν ἐστι τὸ λεγόμενον ἐν τῷ τεσσαρακοστῷ τοῦ Ἡσαΐου· ἐγὼ Κύριος, καὶ οὐκ ἄλλος· Θεὸς πλάσσων φῶς καὶ κτίζων σκότος· ποιῶν εἰρήνην, καὶ κτίζων κακόν. Ὁ Θεὸς ἄρα πάντα ταῦτα ποιεῖ.**

**[3.6.27] Ἔτι, τὸ κακὸν οὐκ ἐρρίζωται εἰ μὴ ἐν τῇ τοῦ ἀγαθοῦ φύσει, ὡς ἐναργῶς ὁ Διονύσιος λέγει ἐν τῷ τετάρτῳ τοῦ Περὶ θείων ὀνομάτων. Τοῦτο δ' οὐκ ἂν εἴη, εἰ τὸ κακὸν ἴσχοι ἐναντίαν τῆς δημιουργίας ἀρχὴν τῷ τὰ ἀγαθὰ δημιουργοῦντι· ἄλλως γὰρ ἡ τῶν κακῶν ἀρχὴ ἰσχυροτέρα τῆς τῶν ἀγαθῶν ἀρχῆς εἴη, ὡσὰν ἐν αὐτοῖς τοῖς ἀγαθοῖς τὸ ἴδιον ἀποτέλεσμα καθιδρύουσα. Τὸ κακὸν ἄρα οὐκ ἔστιν ἀπ' ἄλλης τινὸς ἀρχῆς δημιουργικῆς ἢ τὸ ἀγαθόν.**

**[3.6.28] Ἔτι, ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν εἶναι μίαν ἀρχὴν τῶν ἐν κινήσει. Τὸ δ' οὐκ ἂν εἴη, εἰ διάφοροι εἶεν πρῶται ἀρχαί· ἀρχὴ γάρ τις οὐκ ἂν διοικοῖ καὶ κινοῖ δημιουργήματα ἑτέρας ἀρχῆς ἀντιπάλου ἑαυτῇ. Οὐκ ἔστιν ἄρα εἰ μὴ μία μόνον ἀρχὴ δημιουργική.**

**[3.6.29] Ἀπόκρισις. Ῥητέον ὅτι, καθάπερ οἱ ἀρχαῖοι φιλόσοφοι τὰς μερικὰς ἀρχὰς μόνον τῆς φύσεως κατανοοῦντες ἐκ τοῦ προσέχειν τὸν νοῦν τῇ ὕλῃ, εἰς ταύτην ἐξώλισθον τὴν πλάνην, ὡς μὴ πάντα τὰ φυσικὰ κτιστὰ πιστεύειν εἶναι,**

**119** ὁ -- δεκάτῳ] non Io. 10, sed I Io. Epist. I, 5: ὁ Θεὸς φῶς ἐστι καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. **131-132** τὸ -- ὀνομάτων] cf. Ps.-Dion., De div. nom., cap. 4, n. 20 et alibi (PG 3, col. 717C, Ritter p. 167): ἔσται τοίνυν τὸ κακὸν ... διὰ τὸ ἀγαθὸν δέ, γενεσιουργόν. **137-138** ὁ – κινήσει] Ar., Phys. VIII, 256a.15-17: ἀνάγκη τι εἶναι κινοῦν ὃ οὐχ ὑπ' ἄλλου πρῶτον, εἰ δὲ τοιοῦτο τὸ πρῶτον, οὐκ ἀνάγκη θάτερον.

**119-120** ὁ -- οὐδεμία] Deus spiritus est, ut habetur Io. 4, 24 Aq. **120** καὶ – οὐδεμία] deest Aq. | σκοτία] σκοτία P **128** τεσσαρακοστῷ] ιε'ῳ M; XLV, vers. 6 Aq. **132** ἐν – ὀνομάτων] deest Aq. **133-135** κακὸν – ἀγαθοῖς] om. et al. man. add. in marg. dex. M **137** ἐν – φυσικῶν] deest Aq. **141-142** μερικὰς – τὸν] om. et al. man. add. in marg. dex. M **142** τὸν – ὕλῃ] materiae Aq.

οὕτως ἐκ τοῦ συνθεωρεῖν τἀναντία, ἃ συνάμα τῇ ὕλῃ ἀρχαὶ τῆς φύσεως εἶναι ἀξιοῦνται, κατηνέχθησαν εἰς τὸ δύο πρώτας ἀρχὰς τοῖς οὖσιν ἐφιστᾶν· καὶ τοῦτο ἐκ τριπλῆς ἀγνοίας ἐπιπροσθούσης αὐτοῖς ἐν τῇ τῶν ἐναντίων θεωρίᾳ. Ὧν ἡ πρώτη· ἐπεὶ γὰρ τοῖς ἐναντίοις ἐπέβαλον τὴν διάνοιαν, καθὸ μόνον εἰσὶ διάφορα τῇ τῶν εἰδῶν φύσει, ἀλλ’ οὐ καθὸ ἔστι τι ἓν ἐν αὐτοῖς τῇ φύσει τοῦ γένους, εἰ καὶ τἀναντία ἐν τῷ αὐτῷ γένει εἴη· ἐντεῦθεν οὐκ ἀπεδίδοσαν αὐτοῖς αἰτίαν καθὸ συγχώρησιν ἀλλήλοις, ἀλλὰ καθὸ διαφέρουσι· καὶ διατοῦτο εἰς δύο πρῶτα ἐναντία καθάπερ εἰς δύο πρώτας αἰτίας πάντα τἀναντία ἀνενηνόχασιν, ὡς φέρεται ἐν τῷ πρώτῳ τῆς Φυσικῆς. Ἀλλ’ ἐν τούτοις Ἐμπεδοκλῆς τἀναντία πρῶτος, ὥσπερ δύο πρώτας ἀρχὰς τέθεικεν, εἴτουν τὸ νεῖκος καὶ τὴν φιλίαν, οὗτος τε, ὡς ὑπομνηματίζεται ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀρχὰς ἐδόξασε. Δευτέρα δὲ γέγονεν ἄγνοια· ἑκατέρῳ γὰρ τῶν ἐναντίων ἐπίσης εἶχον τὴν γνώμην· καίτοι δύο ἐναντίον ἀεὶ θατέρου μετὰ τῆς στερήσεως ὄντος θατέρου· διὸ καὶ τὸ μὲν ἓν τέλειον τυγχάνει, θάτερον δὲ ἀτελές, καὶ τὸ μὲν κρεῖττον, τὸ δὲ χεῖρον, ὡς ἔνεστιν ἐν τῷ πρώτῳ τῆς Φυσικῆς. Κἀντεῦθεν ἐξήχθησαν ὡς μὲν τὸ ἀγαθόν, ὡς
P 43v δὲ τὸ κακόν· ἃ δοκεῖ γενικώτερον εἶναι ἐναντία, | φύσεις τινὰς δοξάζειν διαφόρους. Κἀντεῦθεν γέγονεν ὅτι ὁ Πυθαγόρας δύο γένη τῶν ὄντων ἐθέσπισε, δηλαδὴ τό τε ἀγαθὸν καὶ τὸ κακόν· κἀν μὲν τῷ τοῦ ἀγαθοῦ γένει πάντα τὰ τέλεα τέθεικεν, ὥσπερ τὸ φῶς, τὸ ἄρρεν, τὴν ἠρεμίαν, καὶ τὰ τοιάδε· ἐν δὲ τῷ τοῦ κακοῦ πάντα τὰ ἀτελῆ, ὥσπερ τὸ σκότος, τὸ θῆλυ καὶ τὰ ὁμόστοιχα. Τρίτη ἄγνοια γέγονε· περὶ γὰρ τῶν ὄντων ἐδίκασαν, καθὸ ἐφ’ ἑαυτῶν θεωροῦνται μόνον, ἢ τῇ τάξει ἑνὸς ὄντος πρὸς ἕτερον ὂν μερικόν, ἀλλ’ οὐκ ἐν παραθέσει πρὸς τὴν τοῦ σύμπαντος ὅλην τάξιν. Κἀντεῦθεν ἔστιν ὅτι, εἰ εὕρισκον ὂν τὶ ὂν ἄλλῳ βλαβερὸν ἢ ἀτελὲς καθ’ ἑαυτὸ ἀποσκοποῦντες εἰς ἄλλα τελεώτερα, ἔκρινον ἁπλῶς εἶναι κακὸν κατὰ τὴν φύσιν αὐτοῦ καὶ μὴ ἕλκειν τὰς ἀφορμὰς ἀπὸ τῆς τοῦ ἀγαθοῦ αἰτίας. Διά τοι τοῦτο καὶ ὁ Πυθαγόρας τὸ θῆλυ, ὅπέρ ἐστι τὶ ἀτελές, ὑποβάλλει τῷ τοῦ κακοῦ γένει. Ἐκ ταύτης τὲ τῆς ῥίζης ἀνέσχεν ὅτι τὸ τὸν Μανιχαῖον τὰ φθαρτὰ ἀποσκοποῦντα εἰς τὰ ἄφθαρτα· καὶ τὰ ὁρώμενα,

**150-152** εἰς – Φυσικῆς] Ar., Phys. I, 188a.19-20: Πάντες δὴ τἀναντία ἀρχὰς ποιοῦσιν οἵ τε λέγοντες ὅτι ἓν τὸ πᾶν καὶ μὴ κινούμενον. **154-155** οὗτος – ἐδόξασε] Ar., Metaph. I, 985a.7: Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν τὸ δὲ νεῖκος τῶν κακῶν· ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα. **157-159** διὸ – Φυσικῆς] Ar., Phys. I, 189a.3-4: ὡσαύτως λέγουσι καὶ ἑτέρως, καὶ χεῖρον καὶ βέλτιον, καὶ οἱ μὲν γνωριμώτερα κατὰ τὸν λόγον.

**146** ἀγνοίας] ἄγνοιας[a. corr.] P **170** Πυθαγόρας] Πιθαγόρας P, M **171** ὅτι] ἔτι M

ἀποσκοποῦντα εἰς τὰ ἀειδῆ· καὶ τὴν Παλαιὰν Διαθήκην, πρὸς τὴν Νέαν, ἀτελῆ ὄντα, μὴ λέγειν εἶναι ἐκ τοῦ ἀγαθοῦ Θεοῦ, ἀλλ’ ἐκ τῆς ἐναντίας ἀρχῆς. Καὶ μάλισθ’ ὁρῶντα κτίσματι τινὶ ἀγαθῷ, ὡς φέρε εἰπεῖν τῷ ἀνθρώπῳ, ἁπάντων τὶ βλαβερόν, ἔκ τινων ὁρατῶν καὶ φθαρτῶν κτισμάτων. Αὕτη δὲ παντάπασιν ἀδύνατός ἐστιν ἡ πλάνη· ἀλλὰ δεῖ πάντα ἀνάγειν εἰς πρώτην ἀρχήν, ἥτίς ἐστι τὸ ἀγαθόν. Ὃ τρισὶ λογισμοῖς φανερὸν ἡμῖν ἂν γένοιτο τό γε νῦν εἶναι. Ὧν ὁ πρῶτος, τοιοῦτος ἔστι τίς. Ἡνίκα γὰρ ἐν ὁτοισοῦν διαφόροις εὑρίσκεταί τι ἓν κοινόν, δεῖ ταῦτα ἀναφέρειν εἰς μίαν αἰτίαν, ὅσον πρὸς τοῦτο τὸ κοινόν. Ἢ γὰρ θάτερόν ἐστιν αἰτία θατέρου ἢ ἀμφοῖν ἔστι τις ἄλλη αἰτία κοινή. Οὐ γὰρ οἷόν τε τοῦτο κοινὸν προσήκειν ἑκατέρῳ, καθὸ ἰδίᾳ ἑκάτερον αὐτῶν ἐστίν, ὡς ἐν τοῖς ἔμπροσθεν ζητηθεῖσι σαφὲς ἐστί. Πάντα δὲ τἀναντία καὶ τὰ διάφορα τὰ ἐν τῷ κόσμῳ εὑρίσκονται κοινωνοῦντα ἀλλήλοις κατά τι ἕν· ἢ γὰρ ἐν τῇ τοῦ εἴδους φύσει, ἢ ἐν τῇ τοῦ γένους, ἢ γοῦν τῷ γε εἶναι· ὅθεν ἀνάγκη τούτων πάντων εἶναι μίαν ἀρχήν, ἣ πᾶσιν ἐστὶν αἰτία τοῦ εἶναι. Τὸ δ’ εἶναι ἐφόσον τοιοῦτον, ἀγαθόν ἐστιν. Ὅπερ ἐντεῦθεν φανερόν. Πᾶν γὰρ ἐφίεται τοῦ εἶναι, ἐν ᾧ δὴ ὁ τοῦ ἀγαθοῦ λόγος συνέστηκε, δηλαδὴ τὸ εἶναι ἐφετόν· καὶ ταύτῃ προφανὲς δεῖν, ἐφ’ ἀσδήποτε αἰτίας διαφόρους τιθέναι ἄλλην αἰτίαν μίαν, ὥσπεροῦν καὶ παρὰ τοῖς φυσικοῖς ὑπὲρ ταῦτα τὰ ἐναντία τὰ ἐν τῇ φύσει ἐνεργοῦντα τίθεταί τι ἓν ποιητικὸν πρῶτον, φημὶ δὴ τὸν οὐρανόν, ὅς ἐστιν αἰτία τῶν διαφόρων κινήσεων ἐν τούτοις τοῖς ὑποκειμένοις. Ἀλλ’ ἐπεὶ κἂν τούτῳ τῷ οὐρανῷ εὑρίσκεται οἷόν που ἑτερότης, εἰς ἣν ὥσπερ εἰς αἰτίαν [P 44r] ἀναφέ|ρεται ἡ τῶν ὑποβεβηκότων σωμάτων ἐναντιότης, περαιτέρω δεῖ ἀνάγειν εἴς τι πρῶτον κινοῦν, ὃ μήτε καθαυτὸ μήτε κατὰ συμβεβηκὸς κινεῖται. Λόγος δεύτερος ἐστίν, ὅτι πᾶν τὸ ποιοῦν ποιεῖ καθὸ ἐνεργείᾳ ἐστι, καὶ κατὰ τὸ εἰκός, καθό ἐστι τέλεον τρόπῳ γέ τῳ. Ἧ δέ τι κακὸν ἐστίν, οὐκ ἔστι τι ἐνεργείᾳ· ἕκαστον γὰρ λέγεται κακὸν τῆς δυνάμεως στέρησιν παθούσης τοῦ ἰδίου καὶ ὀφειλομένου ἐνεργείᾳ. Ἧ δὲ ἕκαστον ἐστὶν ἐνεργείᾳ, ἀγαθὸν τυγχάνει ὄν· ἔχει γὰρ κατατοῦτο τελειότητα, ἐν ᾗ ὁ τοῦ ἀγαθοῦ λόγος συνέστηκεν. Οὐ τοίνυν οὐδὲν ποιεῖ, ἐφόσον κακὸν ἐστὶν ἄλλο ἕκαστον ποιοῦν ποιεῖ ἐφόσον, ἀγαθὸν ἐστίν. Ἀδύνατον τοίνυν ἐστὶ τιθέναι τινὰ ποιητικὴν

**181-183** κοινὴ – ὡς] om. et al. man. add. in marg. sin. M **185** γοῦν – εἶναι] saltem in ratione essendi Aq. **200** Hic post τελειότητα Aq. habet: et entitatem.

ἀρχὴν τῶν ὄντων ἄλλην παρὰ τὸ ἀγαθόν. Κἀπειδὴ πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ, οὕτως οὐδέν ἐστιν, εἰ μὴ καθὸ ἐνεργεία ἐστί, καὶ κατατοῦτο, καθὸ ἀγαθόν. Ἐξ ἑκατέρου τοίνυν μέρους ἀδύνατός ἐστιν ἡ θέσις, ᾗ τίθεται τὸ κακὸν ἀρχή τις εἶναι τῆς δημιουργίας τῶν κακῶν. Καὶ τούτῳ συγχωρεῖ τῷ λόγῳ τὰ ὑπὸ τοῦ Διονυσίου εἰρημένα· φησὶ γὰρ τὸ κακὸν μὴ ποιεῖν ὅτι μὴ τῇ δυνάμει τοῦ ἀγαθοῦ, καὶ ὅτι τὸ κακὸν ἔστιν ἄπο σκοποῦ καὶ παρὰ τὴν γένεσιν. Τρίτος λόγος ἐστίν· εἰ γὰρ διάφορα ὄντα εἴη τοπαράπαν ἐξ ἀντιπάλων ἀρχῶν εἰς μίαν ἀνωτάτω ἀρχὴν μὴ συνιουσῶν, οὐκ ἂν δύναιντο συνθεῖν εἰς μίαν τάξιν, εἰ μὴ κατὰ συμβεβηκός. Οὐ γὰρ συνίσταταί τις ἐκ τῶν πολλῶν τάξις, εἰ μὴ διά τινος αἰτίας ταττούσης, ἣν μὴ τάχα τὰ πολλὰ ἐπιταυτομάτου εἰς αὐτὸν συνδράμῃ. Ὁρῶμεν δὲ τά τε φθαρτὰ καὶ τὰ ἄφθαρτα, τά τε ἀσώματα καὶ τὰ σωματικά, τὰ τέλεια καὶ τὰ ἀτελῆ εἰς μίαν τάξιν συνθέοντα. Τὰ γὰρ ἀσώματα κινεῖ τὰ ἐν σώμασι· ὃ διαφερόντως ἐν τῷ ἀνθρώπῳ καταφαίνεται. Καὶ τὰ φθαρτὰ διὰ τῶν ἀφθάρτων διοικεῖται, ὡς ἐν ταῖς ἀλλοιώσεσι τῶν στοιχείων κατάδηλόν ἐστιν ἐκ τῶν οὐρανίων σωμάτων. Οὐδ’ ἂν ἐροίη τις ἀπὸ ταυτομάτου συμβαίνειν τοῦτο· οὐ γὰρ ἂν ἐκείνως συνέβαινεν ἀεί, καὐτῷ μείζονι μέρει, ἀλλ’ ὡς ἐπ’ ἔλαττον μόνον. Ἔστι τοίνυν ταυτὶ πάντα τὰ διάφορα εἰς μίαν ἀρχὴν ἀνάγειν, ἀφ’ ἧς καὶ εἰς ἓν τάττονται· ὅθεν ὁ Φιλόσοφος ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ συμπεραίνει ἓν εἶναι τὸ κρατοῦν.

[3.6.30] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ κακὸν ὥσπερ ἄρτι δέδεικται μὴ ὄν, ὄν, ἀλλὰ στέρησις ὄντος, οὐ δύναται εἶναι καθαυτὸ λέγουσι ποίημα· διὸ δὴ καὶ φησὶν ὁ Διονύσιος, τὸ ἀγαθὸν μὴ εἶναι αἰτίαν τοῦ κακοῦ· οὐχ’ ὡσὰν δὲ εἰς ἄλλην πρώτην αἰτίαν ἀναφερομένου.

[3.6.31] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ αὐθυποφορὰ ἐκείνη πρόεισι περὶ τοῦ ἀποτελέσματος, ὃ δύναται καθ’ αὐτὸ αἰτίαν ἔχειν. Τοιοῦτον δὲ τὸν κακὸν οὐκ ἔστιν· ὅθεν οὐδὲ ἀποτέλεσμα ἰδίως οἷόν τε λέγεσθαι.

[3.6.32] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ κακὸν παρεμπίπτει τοῖς ἀποτελέσμασιν, P 44v | ἀλλ’ οὐκ ἔστι ποίημα πρὸς τὸν ἀκριβῆ λόγον. Καὶ τοῦτ’ ἐντεῦθεν δῆλον. Καὶ γάρ ἐστι παρὰ τὸν σκοπόν, πλὴν οὐχ ἕπεται εἶναι πρώτην ἀρχήν· εἰ μὴ καὶ

**207-209** ὑπὸ – γένεσιν] vide supra in apparatu fontium [3.6.28].131-132. **219-222** ὁ – κρατοῦν] Ar., Metaph. XII, 1076a.4: οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω. **225** ὁ – κακοῦ] cf. Ps.-Dion., De div. nom., cap. 4, 20 (PG 3, col. 717D, Ritter p. 165): Καὶ οὐκ ἔστι καθόλου τὸ κακὸν οὔτε ἀγαθὸν οὔτε ἀγαθοποιόν.

**211-212** εἰς – πολλῶν] om. et al. man. add. in marg. dex. M **217** ἀλοιώσεσι] ἀλοιώσι M | κατάδηλόν ἐστιν] patet Aq. **220** ταυτὶ] τατὶ M (ista Aq.) **225** ὡσὰν] bis acc. P

τοῦτο προστίθοιτο, εἶναί τινα τὸ κακὸν φύσιν. Ὥσπερ γὰρ τὸ κακὸν ᾗ δὴ μὴ ἔστιν ὄν, ἀλλ᾽ ὄντος στέρησις, στέρεται τοῦ ἰδίου λόγου τοῦ ἀποτελέσματος, οὕτω καὶ πολλῷ μᾶλλον στέρεται τοῦ λόγου τῆς αἰτίας, ὥσπερ δέδεικται.

[3.6.33] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ Ἐγχειριδίῳ ὁ Θεὸς ἐπιτοσοῦτον ἐστὶν ἀγαθός, ὅτι οὐδέποτ᾽ ἂν εἴασε κακὸν εἶναί τι, εἰ μὴ ἐπ᾽ ἐκεῖνο εἴη δυνατός, ὡς ἐξ ὁτουδήποτε κακοῦ δύνασθαι ἀγαθόν τι ἐκσπᾶν. Ἀμέλει καὶ οὔτε δι᾽ ἀδυναμίαν, οὔτε δι᾽ ἄγνοιαν τοῦ Θεοῦ ἐστὶ τὸ τὰ κακὰ ἐπιχωριάζειν τῷ κόσμῳ, ἀλλ᾽ ἔστιν ἐκ τῆς αὐτοῦ σοφίας καὶ τῆς μεγαλειότητος τῆς χρηστότητος, ἀφ᾽ ἧς πρόεισιν ὥσπερ βαθμοὺς τινὰς διαφόρους τῆς ἀγαθότητος εἰς πλῆθος χωρεῖν ἐν τοῖς οὖσιν· ὧν οἰχήσονται πάμπολλοι, εἰ μηδὲν εἶναι κακὸν ἐπέτρεψεν· οὐ γὰρ ἦν ὀρρωδεῖν τὸ ἀγαθόν, εἰ μὴ τὰ κακὰ μετείη τοὺς ἁμαρτάνοντας, οὐδ᾽ ἂν τὸ ἀγαθὸν ἦν τῆς κατὰ τὴν ζωὴν συντηρήσεως τοῦ λέοντος, εἰ μὴ τὸ τῆς φθορᾶς εἴη κακὸν ἐν τοῖς ζῴοις, ἐξ ὧν σιτεῖται.

[3.6.34] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ κακὸν οὐδέποτε εὑρίσκεται εἰ μὴ ὡς ἐπ᾽ ἔλαττον, εἴ γε ἀναφέροιτο τὰ ἀποτελέσματα πρὸς τὰς ἰδίας αἰτίας. Ὃ μάλιστα ἐν τοῖς φυσικοῖς ἄντικρυς φαίνεται. Ἡ γὰρ ἀποτυχία καὶ τὸ κακὸν οὐ συμβαίνει ἐν τῇ τῆς φύσεως ἐνεργείᾳ, χωρὶς εἰ διὰ κώλυμά τι ἐπιὸν ἐκείνῃ τῇ αἰτίᾳ ποιούσῃ· ὅπερ οὐκ ἔστιν εἰ μὴ ὡς ἐπ᾽ ἔλαττον, ὥσπερ εἰσὶ τὰ λεγόμενα τέρατα ἐν τῇ φύσει καὶ τὰ ἄλλα τὰ τοιάδε. Ἐν δὲ τοῖς ἠρτημένοις τῇ βουλήσει, μάλιστα δοκεῖ ὡς ἐπιτοπλεῖστον εἶναι τὸ κακόν, τὸ γ᾽ ἧκον εἰς τὰ πρακτέα, ἀλλ᾽ οὐχ ὅσον ἀνήκει τοῖς ποιητοῖς· καὶ γὰρ ἡ τέχνη οὐκ ἀπολιμπάνεται ὅτι μὴ ὡς ἐλάχιστα· μιμεῖται καὶ γὰρ τὴν φύσιν. Ἐν δὲ τοῖς πρακτέοις, περὶ ἃ ἥ τε ἀρετὴ καὶ κακία στρέφεται, διπλῆ ὄρεξις κινεῖ, ἥ τε λογικὴ καὶ ἡ αἰσθητική· καὶ ὅπέρ ἐστιν ἀγαθὸν κατὰ μίαν ὄρεξιν, ἐστὶ κακὸν κατὰ τὴν ἑτέραν, ὥσπερ τὸ τὰς ἡδονὰς διώκειν ἐστὶν ἀγαθὸν τῇ αἰσθητικῇ ὀρέξει, ᾗ καὶ αἰσθητικότης ἐπικαλεῖται, εἰ καὶ ἔστι κακὸν κατὰ τὴν τοῦ λόγου ὄρεξιν. Κἀπειδὴ οἱ πλείους ἕπονται ταῖς αἰσθήσεσιν ἢ τῷ λόγῳ, διατοῦτο καὶ πλείους εὑρίσκονται φαῦλοι ἐν τοῖς ἀνθρώποις ἢ σπουδαῖοι. Ἢν δ᾽ ἕπωνται τῇ ὀρέξει τοῦ λόγου, ὡς ἐπιτοπλεῖστον μὲν εὖ ἔχουσι καὶ οὔκουν εἰ μὴ ὡς ἐλάχιστα κακῶς.

**236-239** ὅτι – ἐκσπᾶν] Aug., Enchir., cap. 11 (PL 40, col. 236): Neque enim Deus omnipotens…, cum summe bonus sit, ullo modo sineret mali aliquid esse in operibus suis, nisi usque adeo esset omnipotens et bonus, ut bene faceret et de malo.

**236** ἐν – Ἐγχειριδίῳ] deest Aq. **260** λόγῳ] λόγῳ καὶ M

**[3.6.35] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι διττή ἐστιν ἡ κατὰ συμβεβηκὸς αἰτία. Καὶ μία μὲν ἡ ποιοῦσά τι πρὸς τὸ ἀπαρτῆσαι· λέγεται δὲ αἰτία κατὰ συμβεβηκὸς αὐτοῦ, ὅτι παρὰ τὸν σκοπὸν ἐκεῖνο τὸ ἀποτέλεσμα παρὰ τῆς τοιαύτης αἰτίας συμβαίνει· ὥσπερ φαίνεται ἐν τῷ τάφον ὀρύττοντι** P 45r **καὶ | καὶ θησαυρῷ ἐντυχόντι. Ἑτέρα δὲ αἰτία κατὰ συμβεβηκός ἐστιν ἡ μηδὲν δρῶσα πρὸς ἀποτέλεσμα, ἀλλ’ ἐκ τοῦ συμβεβηκέναι τῇ ποιούσῃ αἰτίᾳ κατὰ συμβεβηκὸς ὀνομάζεται· ὥσπερ τὸ λευκόν φαμεν εἶναι αἰτίαν τοῦ οἴκου κατὰ συμβεβηκός, ὅτι συμβέβηκε τῷ οἰκοδόμῳ. Ἔχει δὲ ὁμοίως καὶ τὸ ἀποτέλεσμα· καὶ γὰρ διχῇ καὶ τοῦτο λέγεται κατὰ συμβεβηκός. Ἓν μὲν οὖν πρὸς ὃ δυνατὸν ὡρίσθαι τὴν ἐνέργειαν τοῦ ποιοῦντος αἰτίου, εἰ καὶ παρὰ τὸν αὐτοῦ σκοπὸν συμβαίνει, ὥσπέρ ἐστιν ἡ τοῦ θησαυροῦ εὕρεσις· τοῦτο δὴ τὸ ἀποτέλεσμα, εἰ καὶ ἔστι τῆς τοιᾶσδε αἰτίας κατὰ συμβεβηκός, δύναται ὅμως ἑτέρας αἰτίας εἶναι καθαυτό. Τούτῳ δὲ τῷ τρόπῳ οὐκ ἔχει τὸ κακὸν αἰτίαν κατὰ συμβεβηκός· ὡς γὰρ ἤδη εἴπομεν, τὸ κακὸν οὐχ οἷόν τε πέρας εἶναι τινὸς ἐνεργείας. Ἄλλο δὲ ἀποτέλεσμα κατὰ συμβεβηκὸς προσαγορεύεται· ὥσπερ τὸ λευκὸν τῷ συμβαίνειν τῇ οἰκίᾳ, δύναται λέγεσθαι ἀποτέλεσμα κατὰ συμβεβηκὸς τοῦ οἰκοδόμου· καὶ ταύτῃ οὐδὲν προσίσταται τὸ κακὸν ἔχειν αἰτίαν κατὰ συμβεβηκός.**

**[3.6.36] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι τὸ κακόν, εἰ καὶ μή ἔστι τις φύσις, οὐκ ἔστιν ὅμως ἀπόφασις ψιλή, ἀλλ’ ἔστι στέρησις· ἤ, κατὰ τὸν Φιλόσοφον, ἔστιν ἀπόφασις ὑποκειμένῳ τινὶ προσφυομένη· καὶ γὰρ κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά,** στέρησίς ἐστιν ἀπόφασις ἐν οὐσίᾳ· **ὅθεν ἐκ τοῦ συμβαίνειν τινὶ δυνατόν ἐστιν αἰτίαν αὐτῷ κατὰ συμβεβηκὸς ἀποδιδόναι τῷ προειρημένῳ τρόπῳ.**

**[3.6.37] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ κακὸν ἔνεστι τῷ διαβόλῳ κατὰ τὸ πρότερον ἢ τοῖς ἄλλοις χρόνῳ, οὐ φύσει, ὡσανεὶ ἡ κακία οὐσία εἴη αὐτῷ ἢ συμβεβηκὸς ἐκ τῶν ἀρχῶν τῆς φύσεως αὐτοῦ παραγομένη. Ἀλλ’ οὐδὲ τὸ κακίω τῶν ἄλλων εἶναι αὐτὸν ἐνίσταται πρὸς τὰ λεγόμενα, ἐπεὶ μὴ ἔστι διὰ τὴν τῆς κακίας συμφυΐαν πρὸς αὐτόν, ἀλλὰ κατὰ συμβεβηκός, διὰ τὸ πλεῖν ἢ**

**284-285** κατὰ – οὐσίᾳ] Ar., Metaph. IV, 1001a.10-16: ἀπόφασιν δὲ καὶ στέρησιν – ἡ στέρησις.

**272** τὸν] τοῦ M **278** Hic post συμβεβηκὸς Aq. habet: est ad quem non terminatur actio alicuius agentis; sed eo quod accidit effectui, effectus per accidens. **280-281** τοῦ – συμβεβηκὸς] om. et al. man. add. in marg. dex. M **284-285** κατὰ – φυσικά] deest Aq.

τοὺς ἄλλους ἁμαρτάνειν. Ἐκεῖνα γάρ ἐστιν ἄλλων ἀρχαί, καθ’ ὧν λέγεταί τι εἶναι μᾶλλον καθαυτὸ καὶ μὴ κατὰ συμβεβηκός.

[3.6.38] Πρὸς δὲ τὸ ἔνατον ῥητέον, ὅτι ἐκ τῆς τοῦ ἀγαθοῦ τελειότητος ἐστὶ τὸ μόνον ἑνὶ τρόπῳ συμβαίνειν· οὐ γὰρ δύναταί τι τέλειον εἶναι, ὅτι μὴ πάντων συγκεχωρηκότων, ἐξ ὧν ἡ τῆς φύσεως τελειότης ὡσανεὶ τὴν ὁλοκληρίαν ἴσχει. Ὁτουδήποτε δὲ τούτων ἀπογινομένου ἀτελὲς ἐστί, καὶ κατὰ τὸ εἰκὸς κακόν· ἀμέλει κἀκ τῆς τοῦ κακοῦ ἀτελείας ἐστὶ τὸ πολυειδῶς τὸ κακὸν συμβαίνειν· καὶ διατοῦτο τὸ κακὸν ἧττον ἔχει τὸν τοῦ εἶναι λόγον ἢ τὸ ἀγαθόν.

[3.6.39] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ τοῦ Φιλοσόφου λόγος ληπτέος ἂν εἴη κατὰ τὴν Πυθαγόρου δόξαν, ὃς τό τε ἀγαθὸν καὶ τὸ κακὸν ἐτίθει εἶναι γένη, ὡς φθάσαντες εἴπομεν. Ἔχει μέντοι ἡ θέσις, καί τι τῆς ἀληθείας. Τοῦ γὰρ ἀγαθοῦ P 45v θετικῶς λεγομένου, | τοῦ δὲ κακοῦ στερητικῶς, ὡς εἴρηται, ὥσπερ πᾶν εἶδος ἔχει λόγον ἀγαθοῦ, οὕτω καὶ πᾶσα στέρησις ἔχει λόγον κακοῦ· καὶ ταύτῃ τό τε ἀγαθὸν καὶ τὸ κακὸν ἀμηγέπη ἀντιστρέφουσι πρός τε τὸ εἶναι καὶ πρὸς τὴν τοῦ εἶναι στέρησιν. Ἐν τοῖς τυχοῦσι δὲ ἐναντίοις, ὡς ἀποδέδεικται ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ἔνεστι στέρησις καὶ ἕξις· καὶ διατοῦτο αἰεὶ τὸ μὲν ἕτερον τοῖν ἐναντίοιν, ὅπέρ ἐστι τέλειον, ἀναφέρεται εἰς τὸ ἀγαθόν· θάτερον δέ, ὅπερ ἀτελές, ἀναφέρεται εἰς τὸ κακόν. Κἀντεῦθεν ὁ Φιλόσοφος ὁρμηθεὶς ἐν τῷ πρώτῳ τῶν Φυσικῶν λέγει θάτερον μέρος τῆς ἐναντιότητος εἰς τὸ κακὸν ἀναφέρεσθαι. Καὶ διαταῦτα τό τε ἀγαθὸν καὶ τὸ κακόν, δύνανται λέγεσθαι τῶν ἐναντίων γένη.

[3.6.40] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὸ κακόν, ὅπέρ ἐστιν ἐναντίον τῷ ἀγαθῷ, οὐ λέγει στέρησιν μόνην, ἀλλά τινα ἕξιν μετὰ στερήσεως· ἡ δὲ ἕξις οὐκ ἔχει λόγον κακοῦ, ἐφόσον ἔχει τοῦ ὄντος, ἀλλ’ ἐφόσον ἔχει συνημμένην τὴν στέρησιν τῆς καθηκούσης τελειότητος.

[3.6.41] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ κακόν, ἐφόσον ἐστὶ στέρησις μόνη, οὐ λέγεται διαφορὰ ποιητικὴ τῆς ἕξεως τοῦ φαύλου, ἀλλὰ καθὸ συνάπτεται τῷ σκοπῷ τοῦ τέλους, παρὰ τὸ εἰκὸς ἐν ᾧ οὐχ εὑρίσκεται ὁ τοῦ κακοῦ λόγος ἐκ τοῦ σκοπουμένου τέλους, εἰ μὴ ἐφόσον μετὰ τούτου τοῦ τέλους, οὐ δύναται στῆναι τὸ ὀφειλόμενον τέλος· ὥσπερ μετὰ τοῦ τέλους τῆς σαρκικῆς ἡδονῆς, οὐ δύναται στῆναι τὸ ἀγαθὸν τοῦ λόγου. Διατοῦτο δὲ ἐν ταῖς τῶν ψυχῶν ἕξεσιν εἰδικῶς τὸ ἀγαθὸν καὶ τὸ κακὸν διαφοραὶ τίθενται, ὡσανεὶ

**310-312** ὁ – ἀναφέρεσθαι] Ar., Phys. I, 191b.13.

**296-297** εἶναι – τελειότης] om. et al. man. add. in marg. sin. M **302** Πυθαγόρου] Πιθαγόρου P, M **312-314** δύνανται – κακόν] om. et al. man. add. in marg. sin. M

ἠθικαὶ πράξεις καὶ κατὰ τὸ εἰκὸς πράξεις εἰδοπεποιημέναι ἐκ τοῦ τέλους, ὅπέρ ἐστιν ὡσανεὶ εἶδος τῆς θελήσεως, ἥτις ἐστὶν ἀρχὴ πρώτη τῶν θελητῶν πράξεων. Ἀγαθὸν δὲ καὶ κακὸν λέγονται κατὰ παράθεσιν πρὸς τὸ τέλος.

[3.6.42] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον· ἄλλως ἔχει ἡ φύσις πρὸς γένεσιν ἢ πρὸς φθοράν. Τὸ γὰρ εἶδος, ὅπέρ ἐστι πέρας τῆς γενέσεως, σκοπεῖται καθαυτὸ ἐπιτοσοῦτον τῇ καθόλου φύσει, ἐφόσον τῇ κατὰ μέρος, ἡ δὲ στέρησίς ἐστι παρὰ τὸν σκοπὸν τῆς κατὰ μέρος φύσεως, κατὰ σκοπὸν δὲ τῇ καθόλου φύσει οὐ καθαυτό, ἀλλ’ ὅτι στερήσεως ἄνευ εἴδους τινὸς οὐ δύναται ἄλλο εἶδος παραχθῆναι. Καὶ ταύτῃ ἡ μὲν γένεσίς ἐστι φυσικὴ πᾶσι τρόποις, ἡ δὲ φθορὰ λέγεται κατὰ φύσιν ἀποσκοποῦσιν εἰς τὴν καθόλου φύσιν ἀποσκοποῦσι δὲ πρὸς τὸ κατὰ μέρος, ἔστι παρὰ φύσιν.

[3.6.43] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οὐ βούλεται ἐναντία νοεῖν τό τε ἀγαθὸν καὶ τὸ κακόν, ὥσπερ μίαν πρώτην ἀρχὴν ἐναντίαν ἄλλη ἀρχῇ, ἀλλ’ ὥσπερ δύο προϊόντα ἐκ μιᾶς πρώτης ἀρχῆς· ὧν θάτερον μὲν καθαυτὸ πρόεισι, θάτερον δὲ κατὰ συμβεβηκός. Ὃ φαίνεται ἐκ τῶν ἐπαγομένων· φησὶ γάρ· καὶ οὕτω, Θεῷ ἐν πᾶσι τοῖς ὑπὸ τοῦ Θεοῦ πεποιημένοις, καὶ τὰ λοιπά.

[3.6.44] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὸ κακὸν οὐ θεωρεῖται κατὰ προσχώρησιν πρός τινα φύσιν, ἀλλὰ κατὰ ἀποχώρησιν ἀπό τινος πέρατος· ὥσπερ λέγεταί τι ἀγαθὸν τῇ μετουσίᾳ τοῦ ἀγαθοῦ, οὕτω λέγεται | κακόν, τῇ
P 46r ἀπὸ τοῦ ἀγαθοῦ ἀναχωρήσει.

[3.6.45] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι τὸ σκότος, οὗ πέρι λόγος ἐστὶν ἐν τοῖς προοιμίοις τῆς κτίσεως, οὐ γέγονέ τι κτίσμα, ἀλλὰ μόνον στέρησις φωτὸς ἐν τῷ ἀέρι, οὐ μὴν κακόν, ὅτι ἐκείνη μόνη ἡ τοῦ ἀγαθοῦ στέρησις, τὸν τοῦ κακοῦ λόγον εἰσάγει, ἥτις ἐστὶ τοῦ δυναμένου καὶ ὀφείλοντος ἐνεῖναι. Οὐ γάρ ἐστιν ἐν τῷ λίθῳ κακὸν ἡ ἀναισθησία, μήτε δυναμένῳ, μή τε ἔχοντι αἴσθησιν· ἢ ἐν τῷ νηπίῳ παραχρῆμα τεχθέντι, τὸ μὴ βαδίζειν. Ἀλλ’ οὐδ’ ἐκ τῆς τοῦ ποιοῦντος ἀσθενείας ἀπήντηκε φωτὸς ἄνευ τὸν ἀέρα γενέσθαι, ἀλλ’ ἐκ τῆς αὐτοῦ σοφίας· ἧς ἡ τάξις σκοπεῖ ἐκ τῶν ἀτελῶν εἰς τέλεια προάγειν τὰ δημιουργούμενα.

**340** Θεῷ – πεποιημένοις] Ecclesiasticus: 33, 15: καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ Ὑψίστου. **345** σκότος] Gen. 1, 2.

**328** Responsiones subsequentes 13-22 sunt in diverso ordine in Aq.: 19, 13, 14, 16, 15, 22, 17, 18, 20, 21. **335** παρὰ φύσιν] ad naturam Aq. **336-337** τὸ – κακόν] malum esse bonum Aq. **342** φύσιν] terminum Aq. (Prochoros legit naturam?)

[3.6.46] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ὁ Κύριος διὰ τοῦ ἀγαθοῦ δένδρου εἰσηγεῖται τὴν αἰτίαν τοῦ ἀγαθοῦ, οὐ πρώτην τινά, ἀλλὰ προσεχῆ, πρός τι τῶν καθέκαστα ἀποτελεσμάτων· τὸ δ' ὅμοιον καὶ περὶ τοῦ κακοῦ δένδρου. Ὅθεν διὰ τοῦ κακοῦ δένδρου τοὺς αἱρετικοὺς βούλεται νοεῖσθαι, οἳ ἐκ τῶν σφετέρων ἔργων γιγνώσκονται, ὥσπερ τὸ δένδρον ἀπὸ τοῦ καρποῦ. Καὶ τοῦτο ἔτι φαίνεται ἀπὸ τοῦ παραδείγματος ἐπέχοντι τὸν νοῦν· τῶν γὰρ ἀκοδρίων, οὐκ ἔστιν αἰτία πρώτη τὸ δένδρον, ἀλλ' ἡ ῥίζα. Εἰ μέντοι διὰ τοῦ δένδρου τὴν καθόλου πάντων αἰτίαν νοοῖμεν, καθάπερ δὴ καὶ Διονύσιος χρήσασθαι δοκεῖ, τηνικαῦτα ἀποκρίνασθαι ἄξιον, ὅτι τὸ ἀγαθόν, οὐκ ἔστιν αἰτία τοῦ κακοῦ καθαυτό, ὥσπερ τὸ πρῶτον εἴρηται.

[3.6.47] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐκ τοῦ ποιοῦντος ἀνάγκῃ φύσεως, ὅπερ, εἰ ἓν εἴη, ἓν ἀποτέλεσμα προάγει. Οὐκ ἀνάγκῃ δὲ τὸ ἀποτέλεσμα εἶναι ἁπλοῦν, καθάπερ καὶ ἡ αἰτία· καὶ γὰρ οὔτε ἐν τῇ ὁλικότητι, οὔτε ἐν τῇ ἁπλότητι ἀνάγκη τὸ ἀποτέλεσμα τῇ αἰτίᾳ παρισοῦσθαι. Ὁ δὲ Θεὸς οὐ ποιεῖ κατὰ ἀνάγκην φύσεως, ἀλλὰ θελήσει· ὅθεν δυνατὸς καὶ ἁπλᾶ καὶ σύνθετα, καὶ μεταβλητὰ καὶ ἀμετάβλητα ποιεῖν.

[3.6.48] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη φύεται, ὡσανεὶ καὶ τὸ κακὸν αἰτίαν εἶχε καθαυτό· ὅπερ ἐν τοῖς φθάσασι δέδεικται ψεῦδος ὄν.

[3.6.49] Τὸ δ' αὐτὸ ῥητέον καὶ πρὸς τὸ εἰκοστόν.

[3.6.50] Πρὸς δὲ τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι ἐν τῇ τοῦ κακοῦ ἐργασίᾳ, ὅ,τι μέν ἐστιν ὀντότητος ἢ ἐνεργείας, ἀναφέρεται εἰς Θεὸν ὥσπερ εἰς πρώτην αἰτίαν· ὃ δέ ἐστιν αἴσχους ἐκεῖ, παραπέμπεται ὥσπερ εἰς αἰτίαν τὸ αὐτεξούσιον· ὥσπερ ὃ μὲν τυγχάνει ὂν βαδίσεως ἐν τῇ χωλότητι, ἀναφέρεται εἰς τὴν κινητικὴν δύναμιν ὥσπερ εἰς αἰτίαν πρώτην· ὅ,τί ποτε δὲ αὐτῇ ἐστι λοξότητος, πρόεισιν ἐκ τῆς τοῦ σκέλους κυρτότητος.

[3.6.51] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ὥρμηται ἐκ τῶν δύο ποιητικῶν πάντῃ καὶ πάντως διῃρημένων, ἀλλ' οὐχ ἡνίκα θάτερον ἐν θατέρῳ δρᾷ· οὕτω γὰρ δυνατὸν μὴ ἓν αὐτῶν εἶναι ἀποτέλεσμα. Ὁ δὲ Θεὸς | P 46v ἐν πάσῃ φύσει καὶ θελήσει δρᾷ, ὅθεν ὁ λόγος οὐχ ἕπεται.

**359** ἀπὸ] διὰ M (per Aq.) **378** κυρτότητος] κιρτότητος P, M

**[3.6.52] Πρὸς τὸ εἰκοστὸν τρίτον ῥητέον, ὅτι ὁ σπῖλος οὐκ ἐνίησί τινα φύσιν, ἀλλὰ μόνην τὴν τῆς χάριτος στέρησιν μετά τινος ἀποβλέψεως τῆς προηγησαμένης ἐνεργείας τῆς ἁμαρτίας, ἣ ταύτης τῆς στερήσεως γέγονεν αἰτία ἢ εἶναι δύναται. Καὶ διατοῦτο οὐχ οἷόν τε χρασμὸν ἔχειν τινὸς ἁμαρτίας, ὃ μὴ τὴν ἐνέργειαν τῆς ἁμαρτίας ἐκείνης συσκευασάμενος.**

**[3.6.53] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον, ὅτι τὰ ἔργα τοῦ Θεοῦ** διαμένει εἰς τὸν αἰῶνα**, οὐ κατὰ τὸν ἀριθμόν, ἀλλὰ κατὰ τὸ εἶδος ἢ τὸ γένος, καὶ κατὰ τὴν οὐσίαν· οὐ κατὰ τὸν τοῦ εἶναι τρόπον.** Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου**, ὡς λέγεται ἐν τῷ ἑβδόμῳ τῆς Πρὸς Κορινθίους πρώτης.**

**[3.6.54] Πρὸς τὸ εἰκοστὸν πέμπτον ῥητέον, ὅτι ὁ Θεός, εἰ καὶ εἴη πνεῦμα, ὅμως ἔχει ἐν τῇ αὐτοῦ σοφίᾳ τοὺς λόγους τῶν σωμάτων, οἷς τὰ σώματα ὁμοιοῦνται τῷ τρόπῳ, ᾧ τὰ τεχνητὰ τοὺς τεχνησαμένους ἀπομιμεῖται, πλὴν καθόσον πρὸς τὴν αὐτῶν τέχνην· τὰ μέντοι σώματα οὐχ ἥκιστα τῷ Θεῷ ἀφομοιοῦται, καὶ τό γ' ἧκον εἰς τὴν αὐτοῦ φύσιν, ἐφόσον εἰσί, καὶ ἀγαθά εἰσι, καὶ ἑνότητος ἔχεται.**

**[3.6.55] Πρὸς τὸ εἰκοστὸν ἕκτον ῥητέον, ὅτι ἡ φύσις οὐκ ἀεὶ ποιεῖ τὸ κρεῖττον, εἴ γε τὸν νοῦν ἔχοιμεν ἐν τοῖς καταμέρος, ἀλλὰ μὴ τῷ καθόλου. Ἐπεὶ πᾶν τὸ τοῦ ἀνθρώπου σῶμα ποιήσειεν ἂν ὀφθαλμὸν ἢ καρδίαν· τούτῳ γὰρ ἑκάστῳ τῶν μερῶν ἦν ἂν κρεῖττον, ἀλλ' οὐ τῷ ὅλῳ, ἐκ τοῦ ἴσου τοίνυν, εἰ καὶ κρεῖττον ἦν ἑκάστῳ τῶν ὄντων τὴν ἀνωτάτω τάξιν ἔχειν, ὅμως οὐκ ἔστι κρεῖττον τῷ παντί· ὃ ἀτελὲς ἂν ἀπέμεινεν, εἰ πᾶσα ἡ κτίσις ὁμοταγὴς ἦν.**

**390-391** Παράγει – πρώτης] I Cor. 7, 31: καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. **392** διαμένει – αἰῶνα] Ps. 60, 8: διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;

**383** ἐνίησι] ἐνίσι M **389-390** οὐ – οὐσίαν] om. et al. man. add. in marg. sin. M **393** ὁμοιοῦνται] ὡμιοῦνται P **400** ἦν ἂν] ἂν deest P (esset Aq.)

## Κεφάλαιον ἕβδομον

## Πότερον ὁ Θεὸς ἐνεργεῖ ἐν τῇ τῆς φύσεως ἐνεργείᾳ.

**[3.7.1] Ἕβδομον ζητεῖται, πότερον ὁ Θεὸς ἐνεργεῖ ἐν τῇ τῆς φύσεως ἐνεργείᾳ. Καὶ δοκεῖ μὴ δῆτα. Ἡ γὰρ φύσις οὔτε ἐνδεῖ ἐν τοῖς ἀναγκαίοις, οὔτε περίεστιν ἐν τοῖς παρέλκουσιν. Ἀλλ' ἀπόχρη πρὸς τὴν φυσικὴν ἐνέργειαν ἡ μὲν ποιητικὴ δύναμις ἐκ τοῦ μέρους τοῦ ποιοῦντος, ἡ δὲ παθητικὴ ἐκ τοῦ μέρους τοῦ πάσχοντος. Οὐκ ἄρα ζητεῖται ἡ θεία δύναμις ἐν τοῖς οὖσιν ἐνεργεῖν.**

**[3.7.2] Ἀλλ' ἔλεγεν, ὅτι ἡ ποιητικὴ δύναμις τῆς φύσεως ἤρτηται ἐν τῇ ἑαυτῆς ἐνεργείᾳ τῆς θείας ἐνεργείας. Ἀλλ' ἰτέον ὁμόσε· ὥσπερ γὰρ ἡ ἐνέργεια τῆς κτιστῆς φύσεως ἤρτηται τῆς θείας ἐνεργείας, οὕτως ἡ ἐνέργεια τοῦ στοιχειώδους σώματος ἐξῆπται τοῦ οὐρανίου σώματος· τὸ γὰρ οὐράνιον σῶμα παραβάλλεται πρὸς τὸ στοιχειῶδες σῶμα, ὥσπερ αἰτία πρώτη πρὸς δευτέραν. Οὐ λέγεται δὲ τὸ σῶμα τὸ οὐράνιον ἐνεργεῖν ἐν ὁτῳδήποτε στοιχειώδει σώματι ποιοῦντι. Οὐκ ἄρα ῥητέον ἂν εἴη τὸν Θεὸν ἐνεργεῖν ἐν ἡτινιοῦν ἐνεργείᾳ τῆς φύσεως.**

**[3.7.3] Ἔτι, εἰ ὁ Θεὸς ἐνεργεῖ τῇ ἐνεργείᾳ τῆς φύσεως, ἢ μιᾷ καὶ τῇ αὐτῇ ἐνεργείᾳ ἐνεργεῖ ὅ τε Θεὸς καὶ ἡ φύσις ἢ διαφόροις. Ἀλλ' οὐ μιᾷ, οὐδὲ τῇ** P 47r **αὐτῇ· τὸ ἓν γὰρ τῆς ἐνεργείας προσμαρτυρεῖται | τῷ ἑνὶ τῆς φύσεως. Ὅθεν ὁ Χριστός, δύο φύσεις ὤν, ἔχει καὶ δύο ἐνεργείας· ὁ δὲ Θεὸς καὶ ἡ κτίσις οὐκ εἰσὶ φύσεως μιᾶς. Ὁμοίως τε οὐκ ἐνδέχεται διαφόρους εἶναι ἐνεργείας· αἱ γὰρ διάφοροι ἐνέργειαι οὐ δοκοῦσι πρὸς τὸ αὐτὸ ἔργον ὁρίζεσθαι· ἐπεὶ αἱ κινήσεις καὶ ἐνέργειαι παρ' ἡμῖν διακρίνονται τοῖς πέρασιν. Ἀμήχανον τοίνυν τὸν Θεὸν ἐν τῇ φύσει ἐνεργεῖν.**

**[3.7.4] Ἀλλ' ἔλεγεν, ὅτι δύο ἐνέργειαι δύνανται ὁρίζεσθαι πρὸς ταὐτό, ἔχουσαι πρὸς ἀλλήλας κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον. Ἀλλὰ τοὐναντίον, ὅσα ἀμέσως ἔχει πρός τι ἕν, οὐκ ἔχει πρὸς ἄλληλα τάξιν, ἀλλ' ἐξίσης. Ὅτι Θεὸς καὶ ἡ φύσις ἀμέσως ἐργάζονται τὸ φυσικὸν ἀποτέλεσμα. Ἆρα ἡ τοῦ Θεοῦ ἐνέργεια καὶ ἡ τῆς φύσεως οὐκ ἔχουσι κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον.**

**[3.7.5] Ἔτι, ὁ Θεός, ἡνίκα φύσιν τινὰ κατασκευάζεται, αὐτόθεν δίδωσιν αὐτῇ πάντα τὰ ἐκ τοῦ λόγου τῆς φύσεως αὐτῆς, ὥσπερ ἐκ τοῦ παραχρῆμα ποιῶν**

**22** παρ' ἡμῖν] penes Aq. **24** ἐνέργειαι] ἐνεργείας M (operationes Aq.)

τὸν ἄνθρωπον προσκαταβάλλεται αὐτῷ τὴν λογικὴν ψυχήν. Ἀλλ’ ἐκ τοῦ λόγου τῆς δυνάμεως ἐστὶ τὸ εἶναι αὐτὴν ἀρχὴν ποιητικὴν ἢ ἀρχὴν τοῦ μεταβάλλειν τι εἰς ἄλλο, καθὸ ἄλλο ἐστίν, ὡς λέγεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ὥστε ἐξ αὐτοῦ τούτου τοῦ φυσικὰς δυνάμεις παρασχέσθαι τοῖς οὖσι προὔτεινεν αὐτοῖς τὰς φυσικὰς ἐνεργείας ἀνυστικάς. Οὐ δεῖ ἄρα τὸν Θεὸν περαιτέρω ἐν τοῖς φυσικοῖς πράγμασιν ἐνεργεῖν.

[3.7.6] Ὑπολαβὼν δὲ ἔφη, ὅτι αἱ φυσικαὶ δυνάμεις οὐ δύνανται παρατείνειν καθάπερ καὶ τὰ ἄλλα ὄντα, εἰ μὴ τῇ θείᾳ δυνάμει συνέχοιντο. Ἀλλὰ τοὐναντίον, οὐκ ἔστι ταὐτὸ ἐνεργεῖν πρὸς τόδε καὶ ἐνεργεῖν ἐν τῷδε. Ἀλλ’ ἡ τοῦ Θεοῦ ἐνέργεια τὴν φυσικὴν δύναμιν ἢ ποιοῦσα ἢ συντηροῦσα εἰς τὸ εἶναι, ἔστιν ἐνέργεια πρὸς αὐτὴν τὴν δύναμιν καθισταμένην ἢ συντηρουμένην. Ἆρ’ οὐ διὰ τοῦτο οἷόν τε λέγεσθαι ὅτι ὁ Θεὸς ἐν τῇ φυσικῇ δυνάμει ἐνεργεῖ.

[3.7.7] Ἄνευ δὲ τούτων, εἰ ὁ Θεὸς ἐν τῇ φύσει ἐνεργούσῃ ἐνεργεῖ, ἀναγκαῖον ἐν τῷ ἐνεργεῖν διδόναι τι τῷ φυσικῷ πράγματι· τὸ γὰρ ποιοῦν ἐν τῷ ποιεῖν ἐνεργείᾳ τι ποιεῖ. Ἢ τοίνυν ἐκείνος ἀρκεῖ πρὸς τὸ τὴν φύσιν δύνασθαι καθ’ αὑτὴν ἐνεργεῖν ἢ οὔ. Εἰ μὲν οὖν ἀρκεῖ, ἐπεὶ καὶ τὴν φυσικὴν δύναμιν ὁ Θεὸς τῇ φύσει κατεβάλετο, τῷ αὐτῷ λόγῳ δύναται λέγεσθαι, ὅτι καὶ ἡ φυσικὴ δύναμις ἀπήρκει πρὸς τὸ ποιεῖν· καὶ οὐδὲ δεήσει μετὰ τὴν συνεισφορὰν ἐκείνην περαιτέρω τὸν Θεὸν πρὸς τὴν αὐτῆς ἐνέργειαν αὖθις ἐνεργεῖν τι. Εἰ δὲ μὴ ἀπόχρῃ, δῆλον ὅτι αὖθις ἄλλό τι ἐν αὐτῇ ποιήσει· καὶ εἰ μηδὲ ἐκεῖνος ἀποχρήσει αὖθις ἂν ἕτερον, καὶ οὕτως εἰς ἄπειρον· ὅπέρ ἐστιν ἀδύνατον. Καὶ γὰρ ἓν ἀποτέλεσμα οὐ δύναται ἀπείρων ἐνεργειῶν ἐξῆφθαι· ἐπεὶ γὰρ μὴ ἔστι
P 47[v] τὰ ἄπειρα διελθεῖν, οὐκ ἐνδέχεται ἀποτελεσθῆναι. | Ἆρα τῇ πρώτῃ π<ε>ιστέον δόξῃ, ὅτι ἡ φυσικὴ δύναμίς ἐστιν αὐτάρκης πρὸς τὴν φυσικὴν ἐνέργειαν, ὡς μηκέτι δεῖσθαι τοῦ Θεοῦ ἐνεργοῦντος ἐν αὐτῇ.

[3.7.8] Ἔτι, τεθείσης αἰτίας ἐξ ἀνάγκης φυσικῆς ἐνεργούσης ἕπεται ἡ αὐτῆς ἐνέργεια, εἰ μή που ξυντυχὸν εἴργοιτο· ἡ γὰρ φύσις ἐστὶ πρὸς ἓν ὡρισμένη. Εἰ τοίνυν ἡ τοῦ πυρὸς θερμότης ποιεῖ ἐκ φυσικῆς ἀνάγκης, ταύτης τεθείσης ἕπεται ἡ θέρμανσις, οὐδὲ ζητεῖταί τις ἑτέρα δύναμις ἀνωτέρα ποιοῦσα ἐν αὐτῇ.

**31-34** Ἀλλ’ – φυσικά] cf. Ar., Metaph. V, 1019a.15-18: ἀδυναμία δὲ ἐστὶ στέρησις δυνάμεως καὶ τῆς τοιαύτης ἀρχῆς οἷα εἴρηται, ἢ ὅλως ἢ τῷ πεφυκότι ἔχειν, ἢ καὶ ὅτε πέφυκεν ἤδη ἔχειν.

**32** Hic post ποιητικήν Aq. habet: cum virtus sit ultimum potentiae. **53** ἓν] ἣν M **57** ἡ[1]] deest M **58-60** εἰ – ἡ] om. et al. man. add. in marg. sin. M

[3.7.9] Χωρὶς δὲ τούτων, ὅσα ἐστὶ πάντῃ διακεκριμένα, δύνανται χωρὶς ἀπ’ ἀλλήλων ἐνεργεῖν. Ἀλλ’ ἥ τε τοῦ Θεοῦ καὶ τῆς φύσεως ἐνέργεια, εἰσὶ τοῖς ὅλοις χωριστά, τοῦ μὲν Θεοῦ, θελήσει ποιοῦντος, ἀνάγκῃ δὲ τῆς φύσεως. Ἡ τοῦ Θεοῦ ἄρα ἐνέργεια δύναται χωρὶς ἀπὸ τῆς ἐνεργείας τῆς φύσεως ἐνεργεῖν. καὶ ταύτῃ οὐκ ἀνάγκη τὸν Θεὸν ἐνεργεῖν, ἐν τῇ φύσει ἐνεργούσῃ.

[3.7.10] Ἔτι, ἡ φύσις καθ’ αὐτὴ<ν> θεωρουμένη ἔοικε τῷ Θεῷ, ἐφόσον καὶ ἐνεργείᾳ ἐστὶ καὶ ἐνεργείᾳ ἐνεργεῖ· καὶ κατατοῦτο ἐστὶν εὐτυχὴς θείας ἀγαθότητος. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ ἡ δύναμις αὐτῆς οὐκ ἤρκει πρὸς τὸ ποιοῦν. Ἀπαρκεῖ τοίνυν πρὸς τὸ ποιεῖν ἡ κτίσις καὶ ἔξω τοῦ τὸν Θεὸν ἐνεργεῖν ἐν αὐτῇ.

[3.7.11] Ἔτι, ἄγγελοι δύο ἐν ἑνὶ τόπῳ εἶναι οὐ δύνανται, ὡς παρά τινων εἴρηται, ἵνα μὴ τῶν ἐνεργειῶν σύγχυσις ἐπακολουθήσῃ· ὅτι ὁ ἄγγελος, ἔνθα ἐστίν, ἐκεῖ καὶ ἐνεργεῖ. Πλέον δὲ διενήνοχεν ὁ Θεὸς τῆς φύσεως ἢ ἄλλος ἄλλου ἄγγελος. Οὐκ ἄρα δυνατὸν τὸν Θεὸν ὁμοῦ ἐν τῷ αὐτῷ μετὰ τῆς φύσεως ἐνεργεῖν.

[3.7.12] Ἔτι, ὁ Ἐκκλησιαστὴς ἐν τῷ δεκάτῳ πέμπτῳ φησίν, ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ. Οὐκ ἂν δὲ εἴασεν, εἰ αἰεὶ ἐνεργεῖ ἐν τῇ θελήσει αὐτοῦ. Οὐκ ἄρα ἐνεργεῖ ἐν τῇ θελήσει ἐνεργούσῃ.

[3.7.13] Μετὰ δὲ ταῦτα, ἡ θέλησίς ἐστιν αὐτοκράτωρ τῆς ἰδίας ἐνεργείας. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ μὴ δύναιτο ποιεῖν ὅτι μὴ τοῦ Θεοῦ ἐνεργοῦντος ἐν αὐτῇ· ὅτι, ἡνίκα μάλιστα ἡ ἡμετέρα θέλησις μή ἐστι κυρία τῆς τοῦ Θεοῦ ἐνεργείας. Ὅθεν ἄρα οὐκ ἐνεργεῖ ἐν τῇ ἡμετέρᾳ θελήσει ἐνεργούσῃ.

[3.7.14] Ἔτι, ἐλεύθερον ἐστίν, ὅπέρ ἐστιν αἰτία ἑαυτοῦ, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά. Ὃ τοίνυν οὐ δύναται ποιεῖν χωρὶς μὴ αἰτίας ἄλλης ποιούσης, οὐκ ἔστιν ἐλεύθερον ἐν τῷ ποιεῖν. Ἀλλ’ ἡ θέλησις ἡμῶν ἐστιν αὐτόνομος ἐν τῷ ποιεῖν. Ἄρα δύναται ποιεῖν μηδεμιᾶς ἄλλης αἰτίας ἐνεργούσης ἐν αὐτῇ. Καὶ οὕτως ταυτό, ὃ πρότερον.

[3.7.15] Ἔτι, ἡ πρώτη αἰτία πλέον προχεῖ εἰς τὸ ἀποτέλεσμα ἢ ἡ δευτέρα. Εἰ τοίνυν ὁ Θεὸς ἐνεργεῖ ἐν τῇ θελήσει καὶ τῇ φύσει ὥσπερ αἰτία πρώτη ἐν δευτέρᾳ, ἕπεται τὰς συμβαινούσας ἀποτυχίας ἐν τῇ ἐνεργείᾳ τῆς φύσεως καὶ τῆς βουλήσεως μᾶλλον τῷ Θεῷ ἢ τῇ θελήσει καὶ τῇ φύσει ἀποδίδοσθαι. Ὅπέρ ἐστιν ἄτοπον.

**74-75** ὁ – αὐτοῦ] Ecclesiasticus 15, 14 (et non XI, 14 Aq.): αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. **81-82** ἐλεύθερον– φυσικά] Ar., Metaph. I, 982b.25: ἄνθρωπος, φαμέν, ἐλεύθερος ὁ αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου ὤν.

**61** πάντῃ] πάντων P **66** φύσις] creatura Aq. **75** ἀφῆκεν] ἀνῆκεν P, M (reliquit Aq.) **77-79** ἔστιν – θέλησις] om. et al. man. add. in marg. sin. M

[3.7.16] Ἔτι, τεθείσης αἰτίας αὐτάρκως ποιούσης, ἐφολκόν ἐστιν ἄλλης αἰτίας ἐνέργειαν τιθέναι. Ἀλλὰ συμβαίνει τὸν Θεόν, εἰ ἐνεργοίη ἐν τῇ φύσει καὶ τῇ θελήσει, ἅλις ἐνεργεῖν. Τοῦ γὰρ Θεοῦ τέλεια πάντ' ἐστὶ τὰ P 48r ἔργα. Ἄρα παρέλκει πᾶσα | ἐνέργεια φύσεως καὶ θελήσεως. Ἐπεὶ τοίνυν ἐν τῇ φύσει οὐδέν ἐστι περίεργον, δοκεῖ μήτε τὴν φύσιν μήτε τὴν θέλησίν τι ποιεῖν, μόνον δὲ τὸν Θεόν. Τοῦτο δὲ ἄτοπον. Ἄρα καὶ τὸ πρῶτον, εἴτουν τὸν Θεὸν ἐν τῇ φύσει καὶ τῇ θελήσει ἐνεργεῖν.

[3.7.17] Ἀλλ' ἐναντίον ἐστὶ τὸ λεγόμενον ἐν τῷ τοῦ Ἠσαΐου εἰκοστῷ ἕκτῳ· πάντα τὰ ἔργα ἡμῶν εἰργάσω ἐν ἡμῖν, Κύριε.

[3.7.18] Ἔτι, ὥσπερ ἡ τέχνη προϋποτίθησιν τὴν φύσιν, οὕτως ἡ φύσις προϋποτίθησιν τὸν Θεόν. Ἀλλ' ἐν τῇ ἐνεργείᾳ τῆς φύσεως ἡ τῆς τέχνης ἐνέργεια περαίνεται· ὥσπερ ὁ σίδηρος μαλάσσεται τῷ πυρί, ἐφ' ὃ ἐλαθήσεται τὸ τοῦ τέκτονος κέλευσμα. Ἄρα καὶ ὁ Θεὸς ἐν τῇ τῆς φύσεως ἐνεργείᾳ, ἐνεργεῖ.

[3.7.19] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν, ὁ ἄνθρωπος γεννᾷ ἄνθρωπον, καὶ ὁ ἥλιος. Ἀλλ' ὥσπερ ἡ ἐνέργεια τοῦ ἀνθρώπου ἐν τῇ γεννήσει ἤρτηται τῆς ἐνεργείας τοῦ ἡλίου, οὕτω καὶ πολλῷ μᾶλλον ἡ τῆς φύσεως ἐνέργεια ἤρτηται τῆς ἐνεργείας τοῦ Θεοῦ [3.7.20] ἡνίκα τῇ θείᾳ ἐνεργείᾳ φυλάττεται εἰς τὸ εἶναι, ὡς φαίνεται διὰ τοῦ Αὐγουστίνου ἐν τῇ εἰς τὸ γράμμα τῆς Γενέσεως ἐξηγήσει. Ἡ φύσις ἄρα ἐνεργεῖν οὐ δύναται ὅτι μὴ τοῦ Θεοῦ ποιοῦντος.

[3.7.21] Πρὸς δὲ τούτοις, ἡ τοῦ Θεοῦ δύναμίς ἐστιν ἐν παντὶ φυσικῷ πράγματι· καὶ γὰρ ὁ Θεὸς ἐν πᾶσι τοῖς οὖσι λέγεται εἶναι κατά τε οὐσίαν καὶ δύναμιν καὶ ἁπλῶς παρουσίαν. Ἀλλ' οὐ δίκαιον λέγειν τὴν θείαν δύναμιν ἀργὸν εἶναι ἐν τοῖς οὖσιν, ἐφόσον ἔχει διατελοῦσα ἐν αὐτοῖς. Καθὸ ἄρα ἔστιν ἐν τῇ φύσει, ἐνεργεῖ. Οὐ δεῖ μέντοι λέγειν ὅτι ἄλλό τι παρὰ τὴν φύσιν ἐργάζεται, ἐφόσον μὴ φαίνεται ἐκεῖ εἰ μὴ μία ἐνέργεια. Ἄρα ἐν ἡτινιοῦν φύσεως ἐνεργείᾳ ὁ Θεὸς ἐνεργεῖ.

[3.7.22] Ἀπόκρισις. Ῥητέον ὅτι ἁπλῶς μὲν συγχωρητέον τὸν Θεὸν ἐνεργεῖν ἐν τῇ φύσει καὶ τῇ βουλήσει ἐνεργοῦσιν. Ἀλλά τινες τοῦτο μὴ συνιέντες ὀρθῶς

**93** Τὸν – ἔργα] cf. Deut. 32, 4: Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις **98-99** ἐν – Κύριε] Is. 26, 12: Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν 104-105 ἐν – ἥλιος] Ar., Phys. II, 194b.13: ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος. **108** Hic post Θεοῦ Aq. habet: Ergo quidquid operatur natura, etiam Deus operatur. Praeterea, nihil potest operari nisi sit ens. Sed natura non potest esse nisi Deo operante; in nihilum enim decideret.

**92** ἐνεργοίη] ἐνεργείη P, M. **106-107** οὕτω – Θεοῦ] om. et al. man. add. in marg. sin. M

εἰς πλάνην ἀπήχθησαν, ἀποδιδόντες τούτῳ τῷ τρόπῳ πᾶσαν ἐνέργειαν φύσεως, ὡσανεὶ τὰ φυσικὰ πράγματα μηδὲν τοπαράπαν ποιοῖεν ἰδίᾳ δυνάμει· καὶ πρὸς τοῦτο τιθέναι διαφόροις λόγοις ὥρμηνται. Τινὲς γὰρ τῶν κατὰ τὸν νόμον λογίων, τὴν φύσιν τῶν ὄντων θεωροῦντες, ὡς ὁ Ῥαβὺ Μωυσῆς διηγεῖται, εἰρήκασι τὰ τοιάδε φυσικὰ εἴδη εἶναι συμβεβηκότα· κἀπειδὴ τὸ συμβεβηκὸς εἰς ἄλλο ὑποκείμενον μετανίστασθαι οὐ δύναται, ἀδύνατον ᾠήθησαν τὰ φυσικὰ πράγματα διὰ τοῦ σφῶν αὐτῶν εἴδους τὸ ὅμοιον εἶδος εἰσφέρειν εἰς ἄλλο ὑποκείμενον· ὅθεν ἠξίουν τὸ πῦρ μὴ θέρειν, ἀλλὰ τὸν Θεὸν ἀποτρύνειν τὴν θέρμην εἰς τὸ θερμαινόμενον πρᾶγμα. Κἂν ἀνθυπενέγκῃ τὶς κατ᾽ αὐτῶν, ὅτι τοῦ πυρὸς προσαγομένου παρὰ τὸ θερόμενον ἕπεται ἀεὶ ἡ θέρμανσις, εἰ μή τι ξυντυχὸν εἴη διεῖργον, ὃ δείκνυσι τὸ πῦρ αἰτίαν ὂν καθ᾽
P 48v αὐτὸ τῆς θερμότητος, οὕτως ἀπήντων, ὅτι ὁ Θεὸς | τοῦτον ἐθέσπισε τὸν δρόμον ἐν τῇ φύσει τηρεῖσθαι, μηδέποτε αὐτὸν θέρμην ποιεῖν, πλὴν εἰ μὴ παρατιθεμένου τοῦ πυρός, οὐχ ὅτι τὸ πῦρ προσαγόμενον δρᾷ τὶ πρὸς τὴν θέρμανσιν. Αὕτη δὲ ἡ θέσις ἐναργῶς πολεμεῖ τῇ αἰσθήσει· ἐπεὶ γὰρ ἡ αἴσθησις οὐ συναισθάνεται ὅτι μὴ καθὸ ἀπὸ τῶν αἰσθητῶν πάσχει (ὅπερ καὶ εἰ ἐν τῇ ὄψει ἀμφισβητήσιμόν ἐστι διὰ τοὺς φάσκοντας τὴν ὄψιν δρᾶν ἐν τῷ ἐκπέμπειν ἕν τε τῇ ἁφῇ καὶ ταῖς ἄλλαις αἰσθήσεσιν ἔστιν ἐναργές), ἕπεται τὸν ἄνθρωπον μὴ αἰσθάνεσθαι τῆς θέρμης τοῦ πυρός, εἰ διὰ τοῦ πυρὸς ποιοῦντος μὴ ἐγγίγνοιτο τῷ αἰσθητικῷ ὀργάνῳ ἡ τοῦ πυρὸς ὁμοιότης. Εἰ γὰρ ἐκεῖνο τὸ εἶδος τῆς θερμότητος τῷ ὀργάνῳ ἀπ᾽ ἄλλου ποιοῦντος ἐγγένοιτο, εἰ καὶ αἴσθοιτο θερμότητος τὸ ὄργανον, ὅμως οὐκ ἂν αἴσθοιτο, εἰ τοῦ πυρὸς ἐστὶν ἡ θέρμη· οὔτε τὸ πῦρ, εἰ ἔστι θερμόν, καὶ ταῦτα τῆς αἰσθήσεως τοῦτο κρινούσης, ἧς τὸ κριτήριον ἐν τῷ ἰδίῳ αἰσθητῷ ἀνεξαπάτητόν ἐστιν. Ἔτι τὲ ἀντιφέρεται τῷ λόγῳ ἐκεῖνο, δι᾽ οὗ δείκνυται ἐν τοῖς φυσικοῖς πράγμασι, μηδὲν εἶναι μάτην. Ἀλλ᾽ εἰ μή τι τὰ φυσικὰ πράγματα δρῷεν, μάτην ἂν αὐτοῖς εἴη τά τε καταβληθέντα εἴδη καὶ αἱ δυνάμεις αἱ φυσικαί· ὥσπερ ἡ μάχαιρα, εἰ μὴ τέμνει, μάτην ἂν ἔχοι τὴν ὀξύτητα. Εἰκῇ δὲ σπουδάζοιτο ἡ τοῦ πυρὸς

**124-125** ὡς – συμβεβηκότα] cf. Aver., Comm. Metaph. IX, comm. 7 et 12; cf. Contra Gent. III, 69, § 1: Ex hoc autem quidam occasionem errandi sumpserunt, putantes quod nulla creatura habet aliquam actionem in productione effectuum naturalium: ita scilicet quod ignis non calefacit, sed Deus causat calorem praesente igne; et similiter dicunt in omnibus aliis effectibus naturalibus. **144-145** ἧς – ἐστιν] Ar., De an. II, 418a.11-12: λέγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι, καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι.

**121** Hic post ἀποδιδόντες Aq. habet Deo. **123** πρὸς] πρὸς τὸ M | ὥρμηνται] ὥρμηται M **124** λογίων] Maurorum Aq. | Ῥαβὺ] Ραβὲ P (Rabbi Aq.) **140** ἐκεῖνο (εἶδος)] ἐκεῖνος P **143** τοῦτο] οὕτω P (hoc Aq.) **149** κομιδὴ] προσκομιδὴ P (appositio Aq.)

κομιδὴ πρὸς τὰ ξύλα, εἰ ὁ Θεὸς ἄνευ πυρὸς τὰ ξύλα κάοι. Ἔτι τὲ πολεμεῖ τῇ θείᾳ ἀγαθότητι, ἥτις ἐστὶ τοῦ καθ’ ἑαυτὴν κοινωνική· ἀφ’ οὗ συμβαίνει τὰ ὄντα τῷ Θεῷ μὴ ὅπως ὅμοια γίνεσθαι κατὰ τὸ εἶναι, ἀλλὰ καὶ κατὰ τὸ ἐνεργεῖν. Ὁ λόγος τὲ ὁ περὶ τοῦ συμβεβηκότος ἔστιν ὗθλος ἀτεχνῶς. Ὅταν γὰρ λέγηται περὶ τοῦ συμβεβηκότος ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μὴ μεταβαίνειν, νοεῖται περὶ τοῦ αὐτοῦ συμβεβηκότος κατὰ τὸν ἀριθμόν, οὐχ ὅτι τὸ ὅμοιον συμβεβηκὸς κατὰ τὸ εἶδος οὐ δύναται ἐνίεσθαι εἴς τι ὑποκείμενον δυνάμει συμβεβηκότος, ὃ ὑποκειμένῳ τινὶ φυσικῶς ἔνεστι. Τοῦτο γὰρ ἀναγκαῖον ἐν πάσῃ φυσικῇ ἐνεργείᾳ συμβαίνειν. Ἔτι, ψεῦδος ἐστίν, ὃ ὑποτιθέασι πάντα τὰ εἴδη εἶναι συμβεβηκότα. Ταύτῃ γὰρ οὐδὲν ἂν ᾖ, ἐν τοῖς φυσικοῖς πράγμασιν εἶναι οὐσιῶδες, οὗ ἀρχὴ τὸ συμβεβηκὸς εἶδος εἶναι οὐ δύναται· ἀλλὰ καὶ ἡ οὐσιώδης τηνικαῦτα οἰχήσεται καὶ γένεσις καὶ φθορά, καὶ πόλλ’ ἕτερ’ ἄττα ἄτοπα ἕψεται. Ὅτε ἐν τῷ βιβλίῳ τῇ πηγῇ τῆς ζωῆς φησίν, ὅτι οὐδεμία οὐσία σωματικὴ ποιεῖ, ἀλλὰ δύναμις νοητὴ διιοῦσα διὰ πάντων τῶν σωμάτων ἐνεργεῖ ἐν αὐτοῖς, καὶ τοσοῦτό τι σῶμα μᾶλλον δραστήριόν P 49r ἐστιν, ὅσο καὶ καθαρώτερον καὶ λεπτότερον καὶ κατὰ τὸ εἰκὸς τῇ νοητῇ δυνάμει εὐπορώτερον. | Καὶ πρὸς τοῦτο τρεῖς εἰσάγει λογισμούς· ὧν πρῶτος ἐστί, πᾶν γὰρ τὸ ποιοῦν μετὰ τὸν Θεὸν δεῖται ὑποκειμένης ὕλης, ἐφ’ ἧς δράσειε, τῇ σωματικῇ δὲ οὐσίᾳ οὐδεμία ὑποβάλλεται ὕλη τις, κἀντεῦθεν δοκεῖ μηδὲν δρᾶν δύνασθαι. Δεύτερον ἐστίν, ὅτι ἡ πηλικότης ἐμποδὼν γίνεται τῇ ἐνεργείᾳ καὶ τῇ κινήσει· οὗ σημεῖον τίθησι τὸ τὸν πολλαπλασιασμὸν τῆς πηλικότητος ἐπέχειν τὴν κίνησιν, καὶ προστιθέναι τῷ σώματι βραδύτητα· καὶ διατοῦτο ἡ σωματικὴ οὐσία ἡ συμπεπλεγμένη πηλικότητος, δρᾶν οὐ δύναται. Τρίτη δὲ κατασκευὴ τυγχάνει οὖσα, ὅτι ἡ σωματικὴ οὐσία μᾶλλον ἀφέστηκε τοῦ πρώτου ποιοῦντος, ὅπέρ ἐστι ποιοῦν μόνον καὶ οὐ πάσχον· αἱ δὲ μέσαι οὐσίαι, εἰ καὶ ποιοῦσαι καὶ πάσχουσαι· διὸ χρὴ τὴν σωματικὴν οὐσίαν, ἐσχάτην οὖσαν, πάσχειν μόνον καὶ μηδὲν ποιεῖν. Ὃ μάλιστα εὐφώρατόν ἐστιν ἀπάτη τις οὖσα· ἀνθ’ ὧν λαμβάνεται πᾶσα ἡ σωματικὴ οὐσία, ὡσανεὶ μία καὶ ἡ αὐτὴ οὐσία τῷ ἀριθμῷ, ὥσπερ ἂν εἰ μὴ εἴη κατὰ τὸ οὐσιῶδες εἶναι διακεκριμένη, ἀλλὰ μόνοις τοῖς συμβεβηκόσιν. Εἰ γὰρ διάφοροι ληφθεῖεν αἱ σωματικαὶ οὐσίαι οὐσιωδῶς διακεκριμέναι, τηνικαῦτα οὐχ ἡ τυχοῦσα οὐσία σωματικὴ ἔσται, τῶν ὄντων ἐσχάτη καὶ πορρωτάτω ἀπὸ τοῦ πρώτου ποιοῦντος, ἀλλ’ ἄλλης

**152** ὗθλος] et φλυαρία in marg. dex. M **161** Avicebron] lacuna ca 8 P **170** τῆς πηλικότητος] intellige τῇ πηλικότητι **171-173** οὐσία – σωματικὴ] om. et al. man. add. in marg. sin. M

ἄλλη ἔσται κρεῖττον καὶ τοῦ πρώτου ποιοῦντος ἐγγυτέρα, ὡδὶ δὲ μία πρὸς ἄλλην δρᾶν δυνήσεται. Αὖθις τε ἐν τοῖς προειρημένοις θεωρεῖται ἡ σωματικὴ οὐσία μόνον κατὰ τὸν τῆς ὕλης λόγον καὶ οὐ τῷ λόγῳ τοῦ ἰδίου εἴδους, ἐξ ἑκατέρου σύνθετος οὖσα. Τῇ γὰρ σωματικῇ οὐσίᾳ τὸ ἐσχάτην εἶναι τῶν ὄντων διαφέρει καὶ τὸ μὴ ἔχειν περαιτέρω ὑποκείμενον τῷ τῆς ὕλης λόγῳ, καὶ οὐ τοῦ εἴδους· τὸ γὰρ τοῦ εἴδους λόγῳ, ἔχει τὶ ὑποβεβηκὸς ὑποκείμενον πᾶσαν οὐσίαν, ἣ ὕλη ἔστιν ἐν δυνάμει, πρὸς τὸ εἶδος ἐκεῖνο, ὃ τοδὶ τὸ πρᾶγμα, ἔχει ἐνεργείᾳ. Κἀντεῦθεν ἕπεται εἶναι ἀμοιβαίαν τὴν ἐνέργειαν ἐν ταῖς σωματικαῖς οὐσίαις, ἐφόσον ἐν τῇ τουδὶ ὕλῃ ἔστιν ἐν δυνάμει τὸ τοῦδε εἶδος, καὶ ἀνάπαλιν. Εἰ δὲ αὐτὸ τὸ εἶδος μὴ ἔστιν ἀποχρῶν πρὸς τὸ ποιεῖν, ταὐτῷ λόγῳ οὐδὲ ἡ δύναμις τῆς νοητῆς οὐσίας, ᾗ ὑποκειμένη ἡ σωματικὴ ὕλη κατὰ τὸν αὐτῆς τρόπον ἀναγκαίως ἂν πάσχοι. Ἥ τε πηλικότης οὐκ ἀναιρεῖ τὴν κίνησιν καὶ τὴν ἐνέργειαν, ἐφόσον μηδὲν κινεῖται εἰ μὴ τὸ ποσόν, ὡς ἐν τῷ ἕκτῳ τῆς Φυσικῆς ἀποδείκνυται. Ἀλλά μὴν ούδέ ἐστιν ἀληθὲς πηλικότητα αἰτίαν εἶναι σχολαιότητος. Τοῦτο γὰρ ἀνασκευάζεται ἔν τε τῷ τετάρτῳ τοῦ <Περὶ> οὐρανοῦ καὶ τοῦ κόσμου. Πηνίκα μάλιστα ἡ πηλικότης προστίθησι τῇ ταχύτητι τῆς φυσικῆς κινήσεως· τότε γὰρ βαρὺ σῶμα, ὅσόν ἐστι μεῖζον, τοσοῦτον θᾶττον κάτω φέρεται, τό τε κοῦφον ἐπίσης ἄνω. Ἔτι τὲ εἰ καὶ ὁ ποσότης καθ’ αὑτὴν μή ἐστιν ἐνεργείας ἀρχή, ὅμως οὐ δύναται ἀπο|δοθῆναι λόγος, τί P 49[v] δήποτε ἐμποδὼν ἂν γένηται τῇ ἐνεργείᾳ ἡ ποσότης, ἡνίκα μάλιστα ὑπόθεσίς τίς ἐστι τῆς ποιητικῆς ποιότητος· ἀμηγέπη γὰρ τὰ ποιητικὰ εἴδη ἐν τῇ ὑποκειμένῃ ὕλῃ τῇ ποσότητι ἀπομορχθέντα εἶναί τι ὡρισμένον λαμβάνουσι, καὶ ἄτομα γίνονται ἐν τῇ ὕλῃ ἐκείνῃ, ὡς ταύτῃ δι’ ἐνεργείας εἰς ἄλλην ὕλην μὴ παράγεσθαι. Ἀλλ’ εἰ καὶ τὸ εἶναι ἄτομον ἐν τῇ ὕλῃ ἔχουσι, τὸν λόγον μέντοι τοῦ εἴδους οὐκ ἀποβάλλουσιν· ὅθεν καὶ ὅμοια ἑαυτοῖς τῷ εἴδει παράγειν δύνανται, εἰ καὶ αὐτὰ ἐν ἄλλῳ ὑποκειμένῳ εἶναι οὐχ οἷα τε. Οὐχ οὕτω τοίνυν οἰητέον ἂν εἴη τὸ ἐν παντὶ χρήματι φυσικῷ ἐνεργεῖν τὸν Θεόν, οἷον εἰ καὶ τὸ φυσικὸν πρᾶγμα μηδὲν ἐνεργοίη, ἀλλ’ ὅτι τοι ἐν αὐτῇ τῇ φύσει ἢ τῇ θελήσει ἐνεργούσῃ ὁ Θεὸς ἐνεργεῖ. Ὃ τίνα χρὴ τρόπον νοεῖν δεικτέον ἂν εἴη. Ἄξιον γὰρ εἰδέναι, ὅτι ἐνεργείας τινὸς πράγματος, πρᾶγμά τι αἰτία δύναται

**194-195** κινεῖται – ἀληθὲς] om. et al. man. add. in marg. sin. M **196** σχολαιότητος] gravitatis Aq.

λέγεσθαι πολλαχῶς. Ἑνὶ μὲν τρόπῳ, νέμον αὐτῷ δύναμιν τοῦ ἐνεργεῖν, ὡς ἐν τῷ ὀγδόῳ λέγεται τῶν Φυσικῶν, ὅτι τὸ γεννῶν, τὸ βαρὺ καὶ τὸ κοῦφον κινεῖ αὐτά, ἐφόσον νέμει δύναμιν, δι᾽ ἧς ἕψεται ἡ τοιάδε κίνησις· καὶ τούτῳ τῷ τρόπῳ ὁ Θεὸς ποιεῖ πάσας τὰς ἐνεργείας τῆς φύσεως, ὅτι δέδωκε τοῖς φυσικοῖς πράγμασι δυνάμεις, δι᾽ ὧν ποιεῖν δύνανται. Δεύτερον, ὅτι οὐ μόνον καθάπερ τὸ γεννῶν, τὸ βαρὺ καὶ τὸ κοῦφον δύναμιν μὲν παρέχεται αὐτοῖς, μὴ συντηρεῖ δὲ εἰς τὸ εἶναι, ἀλλ᾽ ὅτι καὶ μὴ διαλείπων εἰς τὸ εἶναι τὴν δύναμιν κατέχει· ἔστι καὶ γὰρ τῆς συνεχθείσης δυνάμεως αἰτία, οὐχ ὅπως ὅσον πρὸς τὸ γίνεσθαι, καθάπερ τὸ γεννῶν, ἀλλὰ καὶ ὅσον πρὸς τὸ διαμένειν, ὡς ταύτῃ δύνασθαι τὸν Θεὸν λέγεσθαι αἰτίαν τῆς ἐνεργείας, τῷ κτίζειν καὶ συντηρεῖν τὴν φυσικὴν δύναμιν εἰς τὸ εἶναι. Ἄλλως γὰρ τὸ συντηροῦν τὴν δύναμιν λέγεται ποιεῖν ἐνέργειαν, ὥσπερ ἡ ἰατρικὴ συντηροῦσα τὴν ὀπτικὴν δύναμιν λέγεται ποιεῖν τὴν ὄψιν. Ἀλλ᾽ ἐπεὶ οὐδὲν πρᾶγμα δι᾽ ἑαυτοῦ κινεῖται ἢ ποιεῖ, εἰ μὴ εἴη κινοῦν μὴ κινούμενον, τρίτῳ τρόπῳ ῥηθείη τι ὂν αἰτία εἶναι ἐνεργείας τινός, ἡνίκα κινεῖ αὐτὸ πρὸς τὸ ποιεῖν· ἔνθα μηδὲ νοεῖταί τις συνεισφορὰ ἢ συντήρησις τοῦ μέρους τῆς ποιητικῆς δυνάμεως, ἀλλά τις προσαγωγὴ τῆς δυνάμεως πρὸς τὴν ἐνέργειαν· καθάπέρ ἐστιν ὁ ἄνθρωπος αἰτία τῆς τομῆς τῇ μαχαίρᾳ πρὸς τὸ τέμνειν ἐπωθῶν αὐτήν. Κἀπειδὴ ἡ ὑποβεβηκυῖα φύσις ποιοῦσα οὐ ποιεῖ εἰ μὴ κινουμένη (ταῦτα γὰρ τὰ πρόσγαια σώματα ἀλλοιούμενα ἀλλοιοῖ· ὁ δ᾽ οὐρανός ἐστιν ἀλλοιῶν οὐχ ἀλλοιούμενος, μὴ κινῶν δὲ ὅμως ὅτι μὴ κινούμενος, καὶ τοῦτο οὐ παύεται, ἕως ἂν εἰς Θεὸν ἀφίκηται), ἀνάγκη πᾶσα ἕπεται τὸν Θεὸν αἰτίαν εἶναι ἐνεργείας οὑτινοσοῦν ὄντος φυσικοῦ, ὡς κινοῦντα καὶ παραβάλλοντα τὴν φυσικὴν δύναμιν πρὸς τὸ
P 50r ποιεῖν. Προσωτέρω τε χωροῦσιν εὑρίσκομεν | πρὸς τὴν τάξιν τῶν αἰτιῶν εἶναι καὶ τὴν τάξιν τῶν ἀποτελεσμάτων, ὅπερ ἀναγκαῖον τυγχάνει ὂν διὰ τὴν ὁμοιότητα τῶν τε ἀποτελεσμάτων καὶ τῶν αἰτίων. Οὔτε μὴν δύναται ἡ δευτέρα αἰτία εἰς τὸ τῆς πρώτης αἰτίας ἀποτέλεσμα ἰδίᾳ δυνάμει, εἰ καὶ ὄργανον εἴη τῆς πρώτης αἰτίας, ἀποσκοποῦσιν εἰς ἐκεῖνο τὸ ἀποτέλεσμα. Τὸ γὰρ ὄργανόν ἐστιν αἰτία τις ἀμηγέπη τοῦ ἀποτελέσματος τῆς ἀρχοειδοῦς αἰτίας, οὐ κατὰ τὸ εἶδος δὲ ἢ τὴν ἰδίαν δύναμιν, ἀλλ᾽ ᾗ μετέχει τι τῆς ἀρχοειδοῦς δυνάμεως τῆς αἰτίας τῷ κινεῖσθαι ὑπ᾽ αὐτῆς· ὥσπερ τὸ

**212-213** Ἑνὶ – Φυσικῶν] Ar., Phys. IV, 210a.14-24: Μετὰ δὲ ταῦτα – ἐν τόπῳ.

**216** δεύτερον ὅτι] deest Aq.

**λαξευτήριον οὐκ ἔστιν αἰτία τοῦ τεχνητοῦ πράγματος, κατ’ εἶδος ἢ δύναμιν ἰδίαν, ἀλλὰ τῇ δυνάμει τοῦ τεχνίτου, ἀφ’ οὗ κινεῖται, καὶ ἧς τρόπον γέ τινα μετέχει. Ὅθεν ὡς τετάρτῳ τρόπῳ, ἄλλο ἄλλου ἐστὶν αἰτία ἐνεργείας, ὥσπερ τὸ πρῶτον ποιοῦν ἐστιν αἰτία τῆς ἐνεργείας τοῦ ὀργάνου· καὶ τούτῳ ἔτι τῷ τρόπῳ ἀναγκαῖον λέγειν ὅτι ὁ Θεός ἐστι πάσης ἐνεργείας φυσικοῦ πράγματος αἰτία. Ὅσο γάρ τις αἰτία ἐστὶν ὑψηλοτέρα, τοσοῦτόν ἐστι κοινοτέρα καὶ δραστηριωτέρα, καὶ ὅσο ἐστὶ δραστηριωτέρα, τοσοῦτο εἰς τὸ βάθος καθικνεῖται τῶν ἀποτελεσμάτων κἀκ τῆς ἐσχατιᾶς τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀναφέρει. Ἐν ὁτῳδήποτε δὲ πράγματι φυσικῷ εὑρίσκεται, ὅτι τέ ἐστιν ὂν καὶ ὅτι πρᾶγμα φυσικόν, καὶ ὅτι ἔστι τοιᾶσδε ἢ τοιᾶσδε φύσεως. Τούτων δὴ τὸ μὲν πρῶτον κοινόν ἐστι πᾶσι τοῖς οὖσι, τὸ δὲ δεύτερον κοινὸν τοῖς φυσικοῖς πράγμασι, τὸ δὲ τρίτον, εἴδει ἑνί· καὶ τέταρτον, εἰ προσθείημεν τὰ συμβεβηκότα, ἴδιόν ἐστι τῳδὶ τῷ ἀτόμῳ. Τὸ τοίνυν ποιοῦν ἄτομον οὐ δύναται καθιδρύειν εἰς τὸ ὅμοιον εἶδος, εἰ μὴ ᾗ ἐστιν ὄργανον ἐκείνης τῆς αἰτίας, ᾗ σκοπεῖται πᾶν τὸ εἶδος καὶ περαιτέρω ὅλον τὸ εἶναι τῆς ὑποβεβηκυίας φύσεως. Διά τοι τοῦτο καὶ οὐδὲ ποιεῖ τι κατ’ εἶδος ἐν τούτοις τοῖς ὑποβεβηκόσιν, εἰ μὴ δυνάμει τοῦ οὐρανίου σώματος, οὐδ’ αὖ ποιεῖ τι κατὰ τὸ εἶναι, εἰ μὴ τῇ δυνάμει τοῦ Θεοῦ. Αὐτὸ γὰρ τὸ εἶναι ἰδιαίτατόν ἐστιν ἀποτέλεσμα τοῦ Θεοῦ, πρῶτον καὶ μυχαίτερον τῶν ἄλλων ἀποτελεσμάτων· καὶ διατοῦτο μόνῳ τῷ Θεῷ ἀνεῖται κατὰ δύναμιν ἰδίαν τὸ τοιόνδε ἀποτέλεσμα· ἀμέλει καὶ ὡς λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, ὅτι ὁ νοῦς, οὐ δίδωσι τὸ εἶναι, ὅτι μὴ καθό ἐστιν ἐν αὐτῷ δύναμις θεία. Οὕτω τοίνυν ὁ Θεός ἐστιν αἰτία πάσης ἐνεργείας, ἀνθ’ ὧν πᾶν τὸ ποιοῦν ἐστιν ὄργανον τῆς θείας δυνάμεως ποιούσης. Οὕτω γοῦν εἰ θεωροῖμεν τὰ ὑποβεβηκότως ποιοῦντα, πᾶν μερικὸν ποιοῦν ἐστιν ἄμεσον πρὸς τὸ ἑαυτοῦ ἀποτέλεσμα. Εἴ γε μὴν τὴν διάνοιαν ἀπερείσαιμεν εἰς τὴν δύναμιν, ᾗ γίνεται ἐνέργεια, οὕτως ἡ τῆς ὑπερκειμένης αἰτίας δύναμις ἄμεσος μᾶλλον πρὸς τὸ ἀποτέλεσμα ἔσται ἢ ἡ**
P 50v **δύναμις τῆς ὑποκειμένης· ἡ γὰρ τοῦ ὑποβεβηκότος δύναμις | οὐ συνάπτεται τῷ ἀποτελέσματι, εἰ μὴ τῇ θείᾳ δυνάμει· ὅθεν λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ τὴν δύναμιν τῆς πρώτης αἰτίας, πρότερον δρᾶν ἐν τῷ αἰτιατῷ, καὶ**

**263-264** ἐν – θεῖα] Liber de causis, prop. 8: Omnis Intelligentia fixio et essentia eius est per bonitatem puram quae est causa prima. **270-273** ἐν-καθίεσθαι] Liber de causis, prop. 1: cum ergo removet causa universalis secunda virtutem suam a re causa universalis prima non aufert virtutem suam ab ea.

**251** εὑρίσκεται] invenimus Aq. **260** ἰδιαίτατόν] ἰδιώτατον P **265-266** ὄργανον – ὑπο-(βεβηκότος)] om. et al. man. add. in marg. sin. M **270-271** δύναμις – ὅθεν] om. et al. man. add. in marg. sin. M

ῥαγδαιότερον τούτου καθίεσθαι. Ταύτῃ τοίνυν χρὴ τὴν θείαν δύναμιν παρεῖναι ὁτῳδήποτε ὄντι ποιοῦντι, ὥσπερ τὴν δύναμιν τοῦ οὐρανίου σώματος ἀνάγκη προσεῖναι ὁτῳδήποτε σώματι στοιχειώδει ποιοῦντι. Ἐν τούτῳ δὲ διαφέρει· οὗ μὲν γὰρ ἔχουσα διατελεῖ ἡ θεία δύναμις, ἐνταῦθα καὶ ἡ θεία οὐσία, τυγχάνει οὖσα· οὐ μὴν ἡ οὐσία τοῦ οὐρανίου σώματος, ἔστι πανταχοῦ· καὶ αὖθις, ὁ μὲν Θεός ἐστιν ἡ δύναμις αὐτοῦ, ἀλλ' οὐ καὶ τὸ οὐράνιον σῶμα. Διά τοι τοῦτο καὶ τὸν μὲν Θεὸν οὐδὲν πρόσαντες λέγειν ἐν ᾡδήποτε ὄντι ἐνεργεῖν, ἐφόσον ἕκαστον τῶν ὄντων τῆς Αὐτοῦ δυνάμεως ἐν χρείᾳ καθέστηκε πρὸς τὸ ποιεῖν· οὐ δύναται δὲ τὸν ἀκριβῆ τρόπον ὀνομάζοντι λέγειν τὸν οὐρανὸν ἐνεργεῖν αἰεὶ ἐν τῷ στοιχειώδει σώματι, εἰ καὶ τῇ τούτου δυνάμει τὸ στοιχειῶδες σῶμα ποιεῖ. Οὕτω τοίνυν ὁ Θεός ἐστιν αἰτία πάσης ἐνεργείας, ἐφόσον ἑκάστῳ δίδωσι δύναμιν ποιεῖν, καὶ ἐφόσον αὐτὴν συντηρεῖ, καὶ ἐφόσον παραβάλλει τῇ ἐνεργείᾳ, ὅτι τε τῇ αὐτοῦ δυνάμει πᾶσα δύναμις ἄλλη ποιεῖ. Τούτοις τε προσεπειπόντες τὸν Θεὸν εἶναι τὴν Αὐτοῦ δύναμιν, καὶ ὅτι ἔστιν ἐν παντὶ ὄντι οὐχ ὡς μέρος οὐσίας, ἀλλ' ὥσπερ κατέχων εἰς τὸ εἶναι, ἕψεται ἐν παντὶ ποιοῦντι ἀμέσως ἐνεργεῖν, μὴ διακρουομένης τῆς ἐνεργείας τῆς τε βουλήσεως καὶ τῆς φύσεως.

[3.7.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ δύναμις ἡ ποιητικὴ καὶ ἡ παθητικὴ ἐξαρκοῦσι τῷ φυσικῷ πράγματι πρὸς τὸ δρᾶν ἐν τῇ καθ' αὐτὰς τάξει· ζητεῖται μέντοι ἡ θεία δύναμις τῷ εἰρημένῳ ἤδη λόγῳ.

[3.7.24] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ παράθεσις τῆς φυσικῆς δυνάμεως πρὸς τὸν Θεὸν καὶ τοῦ στοιχειώδους σώματος πρὸς τὸ οὐράνιον σῶμα κατά τι μὲν ἐοίκασιν, ἀλλ' οὐ τοῖς πᾶσι.

[3.7.25] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν τῇ ἐνεργείᾳ, ᾗ ὁ Θεὸς ἐνεργεῖ κινῶν τὴν φύσιν, οὐκ ἐνεργεῖ ἡ φύσις, ἀλλ' αὐτὴ τῆς φύσεως ἡ ἐνέργειά ἐστιν ἐνέργεια τῆς θείας δυνάμεως· ὥσπερ ἡ τοῦ ὀργάνου ἐνέργειά ἐστι διὰ τῆς δυνάμεως τοῦ ἐνεργοῦντος ἀρχοειδῶς. Οὐδέ ἐστι κώλυμα τὴν φύσιν καὶ τὸν Θεὸν πρὸς τὸ αὐτὸ δρᾶν, διὰ τὴν τάξιν τὴν ἐν τῷ Θεῷ καὶ τῇ φύσει.

[3.7.26] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἐκ τοῦ ἴσου ὅ τε Θεὸς καὶ ἡ φύσις ἀμέσως ποιοῦσιν, εἰ καὶ τέτακται πρὸς ἄλληλα κατά τε τὸ πρῶτον καὶ τὸ ὕστερον, ὡς ἐκ τῶν προειρημένων φαίνεται.

**275-276** ποιοῦντι – δύναμις] om. et al. man. add. in marg. dex. M

**[3.7.27] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἔστιν ἐκ τοῦ λόγου τῆς ὑποβεβηκυίας δυνάμεως εἶναι τρόπῳ γέ τῳ ἀρχὴν ἐνεργείας ἐν τῇ αὐτῆς τάξει, τουτέστιν ἐφ' ᾧ ποιεῖν ὡς ὄργανον ὑπερκειμένης δυνάμεως· ὅθεν, ἀποκλεισθείσης ταύτης, ἡ ὑποβεβηκυῖα δύναμις ἐνέργειαν οὐκ ἔχει.**

**[3.7.28] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ Θεὸς οὐ μόνον ἐστὶν αἰτία τῆς ἐνεργείας τῆς φύσεως ὡς συντηρῶν | τὴν δύναμιν εἰς τὸ εἶναι, ἀλλὰ καὶ τοῖς ἄλλοις, ὡς εἴρηται, τρόποις.**

P 51r

**[3.7.29] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ δύναμις ἡ φυσικὴ ἡ οὖσα ἐν τοῖς φυσικοῖς πράγμασιν ἐν τῇ αὐτῆς δημιουργίᾳ καταβληθεῖσα, ἔνεστιν αὐτοῖς ὥς τι εἶδος, ἔχουσα τὸ εἶναι ἀκίνητον καὶ βέβαιον ἐν τῇ φύσει. Τοῦθ' ὃ γίνεται δὲ παρὰ τοῦ Θεοῦ, ᾧ ἐνεργείᾳ δράσειεν, ἔστιν ὥσπερ ἐπίνοίᾳ μόνῃ, ἔχουσα τὸ εἶναι ὅπερ ἡ αἰτία, ἀτελές, τῷ τρόπῳ ᾧ τὰ χρώματα ἐν τῷ ἀέρι εἰσίν, ἢ ὥσπερ ἔστιν ἡ δύναμις τῆς τέχνης ἐν τῷ ὀργάνῳ τοῦ τεχνίτου. Καθάπερ γοῦν τῇ ἀξίνῃ διὰ τῆς τέχνης ἐξεγένετο δοθῆναι ὀξύτης, ὡς εἶναι ταύτῃ διαμένον εἶδος, οὐκ ἐξεγένετο δὲ κἀκεῖνο δοθῆναι ὥστ' εἶναι τὴν τῆς τέχνης δύναμιν ἐν αὐτῇ ὡσανεί τι παραμένον εἶδος, ἐπεὶ μὴ νοῦν ἴσχει· ὡς δὲ καὶ τῷ φυσικῷ πράγματι καταβληθῆναι μέν τινα δύναμιν ἰδίαν ἐκγέγονε, καθάπερ εἶδος ἐν αὐτῇ διαμένουσαν, οὔκουν γε μὴν καὶ ἡ δύναμις ᾗ δρᾷ πρὸς τὸ εἶναι ὡς ὄργανον τῆς πρώτης αἰτίας, εἰ μὴ δοθείη καὶ ἀρχὴν εἶναι καθόλου τοῦ εἶναι, οὔτ' αὖθις τῇ φυσικῇ δυνάμει προσκατατεθῆναι δεδύνηται, ἤτοι κινεῖν ἑαυτὴν ἢ συντηρεῖν ἑαυτὴν εἰς τὸ εἶναι (ἀμέλει καὶ καθάπερ ἐν τοῖς ὀργάνοις φαίνεται τῶν δημιουργῶν, οὐ γὰρ συνεισφέρειν τούτοις δυνατὸν τὸ ποιεῖν ἄνευ τῆς τοῦ δημιουργοῦ κινήσεως), οὕτω καὶ τῷ φυσικῷ πράγματι οὐχ οἷόν τε γέγονε συνενεχθῆναι τὸ δρᾶν ἰδίᾳ τῆς θείας δυνάμεως.**

**[3.7.30] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ τῆς φύσεως ἀνάγκη, δι' ἧς ἡ θέρμη δρᾷ, γίνεται ἐκ τῆς πασῶν τῶν προαγουσῶν αἰτιῶν τάξεως· ὅθεν οὐκ ἐκβάλλεται ἡ πρώτη αἰτία.**

**[3.7.31] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ καὶ ἡ φύσις καὶ ἡ θέλησις εἰσὶ διακεκριμένα κατὰ τὸ εἶναι, ἐν τῷ ποιεῖν μέντοι ἔχει τινὰ τάξιν. Ὥσπερ γὰρ ἡ ἐνέργεια τῆς φύσεως προκατάρχει τῆς ἐνεργείας τῆς θελήσεως ἡμῶν, διὸ ἐν <τοῖς> τῆς τέχνης πράγμασιν, ἃ ἔχεται τῆς θελήσεως, δεῖ τῆς ἐνεργείας τῆς φύσεως, οὕτως ἡ τοῦ**

**305** Hic post δύναμιν Aq. habet naturalem. **311-312** ὥσπέρ ἐστιν] deest Aq. **319** προσκατατεθῆναι] κατατεθῆναι M **328** ἔχει] ἔχοι P (habent Aq.)

Θεοῦ θέλησις, ἥτις ἐστὶν ὑπόθεσις πάσης φυσικῆς πάσῃ φύσεως ἐνεργείᾳ ζητεῖται.

[3.7.32] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ κτίσις ἔχει τινὰ Θεοῦ ὁμοιότητα, μετέχουσα τῆς ἀγαθότητος αὐτοῦ, ἐφόσον ἐστὶ καὶ δρᾷ, πλὴν οὐχ οὕτως, ὡς τῇ τῆς
P 51v ὁμοιότητος τελειότητι εἰς ἰσότητα ἐξικνεῖσθαι· καὶ διατοῦτο, καθάπερ τὸ ἀτελὲς δεῖται τοῦ τελείου, οὕτω καὶ ἡ τῆς φύσεως δύναμις ἐν τῷ ποιεῖν ὑποδεής ἐστι τῆς θείας ἐνεργείας.

[3.7.33] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι δύο ἄγγελοι ἧττον ἀφιστᾶσι τῷ βαθμῷ τῆς φύσεως ἢ ὁ Θεὸς καὶ ἡ κτιστὴ φύσις· τῇ μέντοι τάξει τῆς αἰτίας καὶ τοῦ ἀποτελέσματος ὅ τε Θεὸς καὶ ἡ φύσις συμφέρουσιν, ἀλλ' οὐχ οἱ δύο ἄγγελοι· ταύτῃ τοι καὶ ὁ μὲν Θεὸς ἐν τῇ φύσει ἐνεργεῖ, οὐκ ἄλλος δὲ ἄγγελος ἐν ἄλλῳ.

[3.7.34] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι οὐ λέγεται ὁ Θεὸς ἀνεῖναι τὸν ἄνθρωπον ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ ὡς | μὴ ἐνεργῶν ἐν τῇ θελήσει, ἀλλ' ὅτι τῇ θελήσει τοῦ ἀνθρώπου παρέσχετο τὴν δεσποτείαν τῶν αὐτοῦ πράξεων καὶ τὸ μὴ δεδέσθαι πρὸς θάτερον μέρος τῆς ἀντιφάσεως, ἣν δὴ αὐτονομίαν τῇ φύσει οὐ προὔτεινεν, ἐφόσον κατὰ τὸ ἑαυτῆς εἶδός ἐστιν ὡρισμένη πρὸς ἕν.

[3.7.35] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ θέλησις λέγεται τὴν δεσποτείαν ἀνῃρῆσθαι τῶν ἑαυτῆς πράξεων οὐ διωσαμένη τὴν πρώτην αἰτίαν, ἀλλ' ὅτι ἡ πρώτη αἰτία οὐχ οὕτω δρᾷ ἐν τῇ θελήσει, ὡς ἐξ ἀνάγκης πρὸς ἓν συνελαύνειν, ὥσπερ πρὸς ἓν τὴν φύσιν ὁρίζει· καὶ ταύτῃ ἡ τῆς ἐνεργείας πρὸς τόδ' ἢ τόδε κλίσις ἐπιτρέπεται τῷ ἐξεῖναι τῆς τε βουλήσεως καὶ τοῦ λόγου.

[3.7.36] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οὐ πᾶσα αἰτία ἀφαιρεῖται τὴν ἐλευθερίαν, ἀλλ' ἡ βιαζομένη μόνη· ἀλλ' οὐχ οὕτως ὁ Θεός ἐστιν αἰτία τῆς ἡμετέρας ἐνεργείας.

[3.7.37] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τῆς πρώτης αἰτίας πλέον ἐνιείσης εἰς τὸ ἀποτέλεσμα παρὰ τὴν δευτέραν αἰτίαν διατοῦτο, ὅ,τι μέν ποτε τελειότητος ἐστὶν ἐν τῷ ἀποτελέσματι, ἀρχοειδῶς ἀνοιστέον ἐστὶν εἰς τὴν πρώτην αἰτίαν, ὃ δὲ ἐνδείας εἰς τὴν δευτέραν, ἣ οὐχ οὕτως δραστηρίως ἐνεργεῖ, ὥσπερ ἡ πρώτη.

[3.7.38] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ὁ Θεὸς τελείως ἐνεργεῖ, ὡς αἰτία πρώτη· ζητεῖται μέντοι ἡ ἐνέργεια τῆς φύσεως ὡς αἰτίας δευτέρας. Εἰ δὲ καὶ δύναται ὁ Θεὸς τὸ ἀποτέλεσμα τῆς φύσεως καὶ ἄνευ τῆς φύσεως ποιεῖν, βούλεται ὅμως ποιεῖν τῆς φύσεως μεσιτευούσης, ὥστε τὴν τάξιν ἐν τοῖς οὖσι τηρεῖσθαι.

345 θάτερον – ἀντιφάσεως] Ar., Anal. er. et post. I, 24a.23: ἡ μὲν ἀποδεικτικὴ λῆψις θατέρου μορίου τῆς ἀντιφάσεώς ἐστιν.

**331-332** οὕτως – ζητεῖται] om. et al. man. add. in marg. sin. M **355-356** πλέον – ποτε] om. et al. man. add. in marg. sin. M

## Κεφάλαιον ὄγδοον

## Πότερον αὐτὸ τὸ δημιουργεῖν τῷ ἔργῳ τῆς φύσεως ἐπιμίγνυται ἢ οὔ.

**[3.8.1] Ὄγδοον ζητεῖται, πότερον ὁ Θεὸς δημιουργεῖ ἐν τῷδε τῷ γινομένῳ· ὅπέρ ἐστι ζητεῖν, πότερον αὐτὸ τὸ δημιουργεῖν τῷ ἔργῳ τῆς φύσεως μίγνυται. Καὶ δοκεῖ ναί, δι᾽ ὧν φησιν ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ.** Λέγει γὰρ ὅτι ὁ ἀπόστολος Παῦλος τὸν ἐνδοτέρω δημιουργοῦντα καὶ εἰδοποιοῦντα Θεὸν διακρίνων ἀπὸ τῶν ἔξωθεν ἐπαγομένων ἔργων τῶν δημιουργημάτων, ἐκ τῆς γεωργίας παράδειγμα λαμβάνων, φησίν· Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξησεν.

**[3.8.2] Ἀλλ᾽ ἔλεγεν, ὅτι ἡ δημιουργία ἐκεῖ λαμβάνεται καταχρηστικῶς, ἀνθ᾽ ὁποιασοῦν ἐνεργείας. Ἀλλὰ τοὐναντίον· ὁ Αὐγουστῖνος ἐκ τοῦ ἀποστολικοῦ θεσπίσματος σκοπεῖται ἐν τοῖς προειρημένοις ῥήμασι διακρίνειν τὴν ἐνέργειαν τῶν δημιουργημάτων τῆς ἐνεργείας τοῦ Θεοῦ. Οὐ διακρίνεται δὲ διὰ τῆς δημιουργίας τῆς ὡς ἔπος εἰπεῖν λαμβανομένης καὶ ἀντὶ τῆς τυχούσης ἐνεργείας. Ταύτῃ γὰρ καὶ ἡ φύσις δημιουργεῖ· ποιεῖ γάρ τι, ὡς ἐν τοῖς φθάσασι δέδεικται, ἀλλὰ διὰ τῆς δημιουργίας τῆς τῷ ἀκριβεῖ λόγῳ λαμβανομένης. Δεῖ ἄρα | (P 52r) τὰ προειρημένα ῥήματα περὶ τῆς δημιουργίας τῆς ἰδίᾳ λαμβανομένης νοεῖν.**

**[3.8.3] Ἔτι, μετὰ ταῦτα ὁ Αὐγουστῖνος ἕτερόν τι ὑποβάλλει·** ὥσπερ ἐν αὐτῇ τῇ ἡμετέρᾳ ζωῇ τὴν ψυχὴν ἀναμορφοῦν τῇ δικαιώσει οὐδεὶς οἷός τε εἰ μὴ ὁ Θεός, κηρύττειν δὲ ἔξωθεν τὸ Εὐαγγέλιον καὶ οἱ ἄνθρωποι δύνανται, οὕτω τὴν μὲν δημιουργίαν τῶν ὁρωμένων ὁ Θεὸς μυστικῶς ἀπεργάζεται, τὰς δ᾽ ἐξωτερικὰς ἐνεργείας εἴτε ἀγαθῶν εἴτε κακῶν ἀγγέλων ἤ τοι ἀνθρώπων ἢ καὶ τῶν τυχόντων ζῴων οὕτω παρέχεται τῇ φύσει, ἐν ᾗ πάντα δημιουργεῖ, ὃν τρόπον τῇ γῇ τὴν γεωργίαν. **Ἀλλὰ τὴν ἡμετέραν ψυχὴν δικαιῶν διαμορφοῖ τῇ ἰδίως ληφθείσῃ δημιουργίᾳ· καὶ γὰρ διὰ τῆς δημιουργίας εἶναι λέγεται. Ἄρα καὶ τῇ δημιουργίᾳ τῇ τῷ ἀκριβεῖ λόγῳ λεγομένῃ τὰ φυσικὰ εἴδη κτίζει.**

**5-9** ὁ – αὔξησεν] Aug., De trin. II, cap. 8 (PL 42, col. 876): Itaque apostolus Paulus discernens interius Deum creantem atque formantem, ab operibus creaturae quae admoventur extrinsecus, et de agricultura similitudinem assumens ait : Ego plantavi, Apollo rigavit, sed Deus incrementum dedit. **11-13** ὁ – Θεοῦ] Aug., ibidem. **19-25** ὁ – γεωργίαν] Aug., loc. cit. (cols 876-877): Sicut ergo in ipsa vita – terrae agriculturam.

**3** ἐν τῷδε] in natura Aq. **4** αὐτὸ] deest Aq. **5** ναί] bis acc. | ἐν – τρίτῳ] deest Aq. **14** ὡς – εἰπεῖν] communiter Aq. **16** Hic post ἀλλὰ Aq. habet: non. | τῆς[2]] deest P | τῷ – λόγῳ] proprie Aq. **20-21** μὴ – τὴν] om. et al. man. add. in marg. sin. M

[3.8.4] Ἀλλ’ ἔλεγεν, ὅτι τὰ εἴδη ἔχουσι τὴν αἰτίαν ἐν τῷ ὑποκειμένῳ, ἀλλ’ οὐχ ἡ χάρις· διά τοι τοῦτο καὶ ἡ μὲν χάρις δημιουργεῖται ἰδίως, ἀλλ’ οὐ τὰ φυσικά εἴδη. Ἀλλὰ τοὐναντίον, ὡς λέγεται ἐν τῷ πρώτῳ τῆς Εἰς τὴν γένεσιν ἑρμηνείας, δημιουργεῖν ἐστὶ τὸ ἐκ μηδαμῇ μηδαμῶς τὶ ποεῖν. Ἐπεὶ δὲ αὕτη ἡ ἐκ πρόθεσις ἐνίοτε παρέχει σχέσιν ποιητικῆς αἰτίας, ὡς ἐν τῷ ἑνδεκάτῳ τῆς Πρὸς Ῥωμαίους· ἐξ οὗ τὰ πάντα, καὶ δι’οὗ τὰ πάντα, ἐνίοτε δ’ αὖθις, σχέσιν ὑλικοῦ αἰτίου, ὡς φέρεται ἐν τῷ Τωβίᾳ ἐν τῷ δεκάτῳ τρίτῳ [21-22]· πᾶς ὁ περίβολος τῶν τοίχων αὐτοῦ ἐκ λίθου λαμπροῦ καὶ μαργάρων, ἡνίκα λέγεταί τι ἐκ τοῦ μηδενὸς γίνεσθαι, οὐκ ἀπαγορεύεται ἡ σχέσις τοῦ ποιητικοῦ αἰτίου· ταύτῃ γὰρ τῶν κτιστῶν ὁ Θεὸς οὐκ ἂν εἴη αἰτία ποιητική· ἀλλ’ ἀποφανθήσεται ἡ σχέσις τοῦ ὑλικοῦ αἰτίου. Καὶ τὰ εἴδη τοίνυν τὰ φυσικὰ ἔχουσι ποιητικὰς αἰτίας, καθὸ καὶ οὐδὲν διαφέρει τῆς χάριτος· ἔχει δὲ καὶ τὴν ὕλην, ἐν ᾗ ὃ προσήκει τῇ χάριτι. Οὐκ ἄρα μᾶλλον προσήκει ὁ τῆς δημιουργίας λόγος τῇ χάριτι ἢ τοῖς φυσικοῖς εἴδεσι, καθὸ ἔχει αἰτίαν τῆς ὑπάρξεως.

[3.8.5] Ἔτι, τὰ εἴδη τὰ τεχνητὰ οὐκ ἔχουσιν αἰτίαν ἐν ὑποκειμένῳ, ἀλλ’ εἰσι τοῖς ὅλοις ἔξωθεν. Εἰ τοίνυν ἡ χάρις διατοῦτο δημιουργεῖσθαι λέγεται, ὅτι αἰτίαν οὐκ ἔχει ἐν τῷ ὑποκειμένῳ, τῷ ἴσῳ λόγῳ τὰ εἴδη τὰ τεχνητὰ δημιουργηθήσεται.

[3.8.6] Χωρὶς δὲ τούτων, ὅπερ οὐκ ἔχει ὕλην μέρος ἑαυτοῦ, οὐ δύναται ἐξ ὕλης γίνεσθαι. Ἀλλὰ τὰ εἴδη οὐκ ἔχει ὕλην μέρος ἑαυτῶν, ὅτι τὸ εἶδος διακρίνεται καὶ πρὸς τὴν ὕλην καὶ πρὸς τὸ σύνθετον, ὡς φαίνεται ἐν τῇ ἀρχῇ τοῦ Περὶ ψυχῆς δευτέρου. Ὅταν τοίνυν τὰ εἴδη γίνηται, ἐπεὶ ἐκ νέου τὸ εἶναι ἴσχει, δοκεῖ μὴ γίνεσθαι ἐκ τῆς ὕλης· καὶ ταύτῃ γίνονται, ἐκ τοῦ μηδαμῶς, καὶ κατὰ τὸ εἰκὸς κτίζονται.

[3.8.7] Ἀλλ’ ἔλεγεν ὅτι, εἰ καὶ τὰ εἴδη τὰ φυσικὰ μὴ ἔχει μέρος ἑαυτῶν τὴν ὕλην, ἐξ ἧς γίγνοιτο, ἔχει ὅμως ὕλην, ἐν ᾗ γίνεται, ἀνθ’ ὧν οὐ κτίζεται. Ἀλλ’ ἀπεναντίας, ὥσπερ τὰ ἄλλα τὰ φυσικὰ εἴδη, οὕτω καὶ ἡ λογικὴ ψυχή ἐστιν εἶδος ἐν ὕλῃ. Ἀλλ’ ἡ λογικὴ ψυχὴ κτίζεσθαι ὑποτίθεται. Ἄρα δι’ ἴσου

**30-31** ὡς – ποιεῖν] Vide supra explicationem praepositionis ex, [3.1.7]. **32-33** ὡς – πάντα] Rom. 11, 36: ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα; cf. I Cor. 8, 6: ἀλλ᾽ ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ. **34-35** ἐν – μαργάρων] Tob. 13, 16: ὅτι οἰκοδομηθήσεται Ἰερουσαλὴμ σαπφείρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ. **47-49** τὸ – δευτέρου] Ar., De an. II, 412b10:

**28** Hic post εἴδη Aq. habet: naturales. **32** παρέχει] παρέχεται M (importet Aq.) **33** ἑνδεκάτῳ – Ῥωμαίους] I Corinth., VIII, 6 Aq. | τῆς] deest P **42-44** ἀλλ’ – ὑποκειμένῳ] deest P (sed sunt – in subiecto Aq.) **49** δευτέρου] deest Aq. **53** γίγνοιτο] γίγνονται M (sint Aq.)

P 52v **ὑποληπτέον ἐστὶ | καὶ περὶ τῶν ἄλλων φυσικῶν εἰδῶν.**

**[3.8.8] Ἀλλὰ προσεῖπεν ὅτι ἡ λογικὴ ψυχὴ οὐκ ἐξάγεται ἐκ τῆς ὕλης, ὥσπερ τὰ ἄλλα τὰ φυσικὰ εἴδη. Ἀλλ' ἰτέον εὐθύς· οὐδὲν ἐξάγεται ἐξ ἄλλου μὴ ὂν ἐν αὐτῷ. Ἀλλὰ πρὸ τοῦ τέλους τῆς γενέσεως τὸ εἶδος, ὅπερ πέρας τῆς γενέσεως ἐστίν, οὐκ ἦν ἐν τῇ ὕλῃ· ἐπεὶ τὰ ἐναντία εἴδη εἶεν ἐν τῇ ὕλῃ ἅμα. Οὐκ ἄρα τὰ φυσικὰ εἴδη ἀναδύονται ἐκ τῆς ὕλης.**

**[3.8.9] Ἔτι, τὸ εἶδος, ὅπέρ ἐστι τῆς γενέσεως πέρας, οὐχ ἑωρᾶτο πρὸ τῆς γενέσεως ἀπηρτισμένης. Εἰ τοίνυν ἦν ἐκεῖ λανθάνον, ἕψεται ἡ κρύψις τοῦ τυχόντος ἐν τῷ τυχόντι, ἣν ἠξίου μὲν ὁ Ἀναξαγόρας, ἐλέγχει δὲ ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῆς Φυσικῆς.**

**[3.8.10] Ὁ** δ' ὑπολαβὼν ἔφη, **ὅτι τὸ εἶδος τὸ φυσικὸν οὐκ ἦν ἐν τῇ ὕλῃ ἐντελῶς πρὸ τῆς γενέσεως ἐντελοῦς, ὡς ὁ Ἀναξαγόρας ἐτίθει, ἀλλ' ἀτελῶς. Ἀλλὰ τοὐναντίον, εἰ τὸ εἶδος ἔστιν ἀμηγέπη ἐν τῇ ὕλῃ πρὸ τοῦ πέρατος τῆς γενέσεως, ἔστιν ἐκεῖ κατά τι αὐτοῦ. Εἰ γὰρ ἔστιν ἐκεῖ τελέως κατά τι αὐτοῦ οὐ προϋπῆρχεν. Ἔχει τοίνυν τὸ εἶδος, τί, καὶ τί, καὶ οὕτως οὐκ ἔστιν ἁπλοῦν· οὗ τὸ ἐναντίον ἐν τοῖς προοιμίοις τοῦ Περὶ τῶν ἓξ ἀρχῶν περιέχεται.**

**[3.8.11] Ἔτι, εἰ μὴ τελέως προϋπάρχει ἐν τῇ ὕλῃ, καὶ μετὰ ταῦτα ἀναπληροῦται, ἀνάγκη διὰ τῆς γενέσεως παριέναι αὐτῷ τὸ πλήρωμα. Ἐκεῖνο δὲ τὸ πλήρωμα οὐ προϋπῆρχεν ἐν τῇ ὕλῃ, ἦ γὰρ ἂν ἦν ἐκεῖ τὸ εἶδος τελέως. Τοῦτ' ἄρα τὸ πλήρωμα, διὰ τῆς δημιουργίας ἔσται τοὐλάχιστον.**

**[3.8.12]** Ἔφη οὗτος, ἦ δ' ὅς **ὅ,τι προῆν ἐν τῇ ὕλῃ ἀτελῶς, οὐ κατά τι μέρος, ἀλλ' ὅτι ἑτέρῳ τρόπῳ ἦν πρότερον, καὶ ἑτέρῳ μετὰ ταῦτα· πρὶν μὲν γὰρ ἦν δυνάμει, ἐς νέωτα δὲ ἐνεργείᾳ. Ἀλλὰ τοὐναντίον· ἐκ τοῦ τι ἄλλῳ καὶ ἄλλῳ τρόπῳ ἔχειν, ἀλλοίωσις, οὐ γένεσις γίνεται. Εἰ δὴ τὸ ἔργον τῆς φύσεως οὐ γίνεταί τι, εἰ μὴ ὅτι τὸ εἶδος τὸ δυνάμει πρότερον, ὂν μετὰ ταῦτα γίνεται ἐνεργείᾳ, ἕπεται τὴν ἐνέργειαν τῆς φύσεως μὴ εἶναί τινα γένεσιν, ἀλλὰ μόνον ἀλλοίωσιν.**

**[3.8.13] Ἄνευ δὲ τούτων, ἐν τῇ ὑποβεβηυίᾳ φύσει οὐχ εὑρίσκεταί τις ποιητικὴ ἀρχή, εἰ μὴ τὸ συμβεβηκός· τὸ γὰρ πῦρ ποιεῖ διὰ τῆς θερμότητος, ἥτις ἐστὶ συμβεβηκός· τὸ δ' ὅμοιον καὶ τῶν ἄλλων πέρι. Ἀλλὰ τὸ συμβεβηκὸς οὐ**

**63-65** Εἰ – φυσικῆς] cf. Ar., Phys. I, 187a31: ἔτι δ' ἐκ τοῦ γίγνεσθαι ἐξ ἀλλήλων τἀναντία· ἐνυπῆρχεν ἄρα.

**57** ὅτι] τοι post ὅτι P; deest M, Aq. **62** ἑωρᾶτο] ἑωρᾶτω M (apparebat Aq.) **66** ὁ – ἔφη] Sed dicet Aq. **69** Hic post γὰρ Aq. habet: non. **75** τοὐλάχιστον] deest P (ad minus Aq.) **79** ἀλλοίωσις] ἀλοίωσις passim P 82 **79** ἀλλοίωσιν] ἀλοίωσιν passim P

**δύναται εἶναι αἰτία ποιητικὴ εἴδους οὐσιώδους, ὅτι οὐδὲν ποιεῖ ὑπὲρ τὴν ἑαυτοῦ φύσιν· τὸ γὰρ ἀποτέλεσμα οὐ παρελαύνει τὴν αἰτίαν. Ἐπεὶ τοίνυν τὸ εἶδος τὸ οὐσιῶδες οὐ παράγεται διὰ τῆς ἐνεργείας τῆς ὑποβεβηκυίας φύσεως, ἀναγκαίως ἂν εἴη διὰ τῆς δημιουργίας.**

**[3.8.14] Ἔτι, τὸ ἀτελὲς αἰτία εἶναι οὐχ οἷόν τε τοῦ τελέου. Ἀλλ’ ἐν τῷ σπέρματι τοῦ τελέου ζῴου οὐκ ἔστιν ἡ τῆς ψυχῆς δύναμις εἰ μὴ ἀτελῶς. Ἡ ψυχὴ τοίνυν τοῦ ἀλογου ζῴου οὐ φύεται διὰ τῆς φυσικῆς ἐνεργείας τῆς σπερματικῆς** P 53r **δυνάμεως· ὡδὶ δὲ ἀναγκαῖον εἶναι διὰ τῆς | δημιουργίας· τῷ δ’ ἴσῳ λόγῳ, καὶ πάντα τἆλλα φυσικὰ εἴδη.**

**[3.8.15] Ἔτι, ὅ,τι μὴ ἔστιν ἔμψυχον ἢ ζῶν, οὐχ οἷόν τε εἶναι αἰτία τοῦ ἐμψύχου καὶ ζῶντος. Ἀλλὰ τὰ ἐκ τῆς σηπεδόνος γινόμενά εἰσι πράγματα ἔμψυχα καὶ ζῶντα· οὐχ εὑρίσκεται δὲ ἐν τῇ φύσει τινὰ ζῶντα σφίσι τὸ ζῆν συντελοῦντα. Ἀναγκαῖον ἄρα τὰς αὐτῶν ψυχὰς εἶναι διὰ τῆς δημιουργίας παρὰ τοῦ πρώτου ζῶντος· ὡς δὲ καὶ τοῖς ἄλλοις φυσικοῖς εἴδεσιν.**

**[3.816] Ἔτι, ἡ φύσις οὐ ποιεῖ εἰ μὴ ὅμοιον ἑαυτῇ. Ἀλλά τι ὂν εὑρίσκεται γινόμενον, οὗ ἡ ὁμοιότης ἐν τῷ ποιοῦντι οὐχ ἡγήσατο. Ἡ γὰρ ἡμίονος οὔτε τῷ ἵππῳ οὔτε τῇ ὄνῳ εὑρίσκεται ὅμοιος τῷ εἴδει. Τὸ εἶδος ἄρα τῆς ἡμιόνου οὐκ ἔστι δι’ ἐνεργείας φύσεως, ἀλλὰ διὰ δημιουργίας. Καὶ οὕτω ταυτὸ τοῖς πρότερον.**

**[3.8.17] Πρὸς δὲ τούτοις, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ φύσεως αὐτοῦ βιβλίῳ, ὅτι τὰ φυσικὰ πράγματα τοῖς εἴδεσιν αὐτῶν διαμεμορφωμένα, οὐκ ἂν εἶεν, εἰ μή τις εἴη ἀρχή, ὅθεν διακοσμηθεῖεν. Τοῦτο δέ ἐστιν αὐτὸς ὁ Θεός. Πάντα ἄρα τὰ εἴδη διὰ τῆς κτίσεως ἔστι παρὰ τοῦ Θεοῦ.**

**[3.8.18] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῇ Περὶ Τριάδος αὐτοῦ πραγματείᾳ, ὅτι ἐκ τῶν ἄνευ ὕλης εἰδῶν κατίασι τὰ ἐν τῇ ὕλῃ εἴδη. Εἴδη δὲ ἄυλα, οὐ δύνανται νοεῖσθαι ἐν τοῖς προκειμένοις, ὅτι μὴ αἱ τῶν ὄντων ἰδέαι, αἱ ἐν τῇ τοῦ Θεοῦ διανοίᾳ καθεστηκυῖαι. Οἱ γὰρ ἄγγελοι οἳ δύναιντ’ ἂν καλεῖσθαι εἴδη ἄυλα, οὐκ εἰσὶν αἰτίαι τῶν φυσικῶν εἰδῶν, ὡς δι’ Αὐγουστίνου φαίνεται ἐν τῷ Περὶ**

**106-108** ὁ – διακοσμηθεῖεν] Aug., De lib. arb. II, cap. 17 (PL 44, cols 1268-1269). **110-111** ὁ – εἴδη] Boet., De Trin, cap. 3 (PL 64, 1250D): Ex his enim formis quae praeter materiam sunt, istae formae venerunt quae sunt in materia et corpus efficiunt.

**87** φύσιν] speciem Aq. **88** Hic post οὐσιῶδες Aq. habet: praeeminat accidenti. Ergo forma substantialis. **92** τελέου] ἀλόγου M (bruti Aq.) **100** δέ] bis acc. P **105** πρότερον] προτέροις M (prius Aq.) **108** διακοσμηθεῖεν] formarentur Aq. **110** ἐν – πραγματείᾳ] deest Aq. **114-115** ἐν – τριτῳ] deest Aq.

Τριάδος τρίτῳ. Ἄρα τὰ φυσικὰ εἴδη οὐκ εἰσὶ διὰ τῶν τῆς φύσεως ἐνεργειῶν· ἀλλ' ἀπὸ πρυτάνεως τοῦ κτίστου.

[3.8.19] Ἔτι, ἐν τῇ Περὶ αἰτιῶν πραγματείᾳ λέγεται τὸ εἶναι διὰ τῆς δημιουργίας εἶναι. Τοῦτο δ' οὐκ ἂν εἴη, εἰ μὴ τὰ εἴδη δημιουργοῖτο· τὸ γὰρ εἶδός ἐστιν ἀρχὴ τοῦ εἶναι. Τὰ εἴδη ἄρα ἐστὶ διὰ τῆς δημιουργίας. Ὁ Θεὸς ἄρα ἐν τῇ φύσει ἐνεργεῖ τι κτίζων, δηλαδὴ αὐτὰ τὰ εἴδη.

[3.8.20] Ἔτι, ὅ ἐστι καθ' αὑτό ἐστιν αἰτία τοῦ μὴ καθ' αὑτό. Ἀλλὰ τὰ εἴδη τῶν φυσικῶν πραγμάτων οὐκ εἰσὶ καθ' αὑτά, ἀλλ' εἰσὶν ἐν τῇ ὕλῃ. Τούτων ἄρα αἰτία καὶ δημιουργός ἐστιν εἶδος καθ' αὑτὸ ὑφεστώς. Καὶ ταύτῃ ἀνάγκη τὰ φυσικὰ εἴδη εἶναι διὰ δημιουργίας ἀπό τινος ποιοῦντος ἔξωθεν. Ὡδὶ δὲ δοκεῖ τὸν Θεὸν ἐν τῇ φύσει ἐνεργεῖν, τὰ εἴδη δημιουργοῦντα.

[3.8.21] Ἀλλὰ τοὐναντίον. Τὸ ἔργον τῆς δημιουργίας διακρίνεται ἀπὸ τοῦ ἔργου τῆς κυβερνήσεως καὶ τῆς κατὰ διαδοχὴν προαγωγῆς τῶν ὄντων. Ὃ δὲ τῇ ἐνεργείᾳ τῆς φύσεως γίνεται, ἀνήκει πρὸς τὸ τῆς κυβερνήσεως ἔργον, καὶ τῆς κατὰ διαδοχὴν προαγωγῆς. Ἡ δημιουργία ἄρα τῷ ἔργῳ τῆς φύσεως οὐ μίγνυται.

[3.8.22] Ἔτι, οὐδὲν κτίζειν δύναται, εἰ μὴ μόνος ὁ Θεός. Εἰ τοίνυν διὰ τῆς δημιουργίας εἴη τὰ εἴδη, οὐκ ἔσονται εἰ μὴ ἀπὸ τοῦ Θεοῦ. Καὶ οὕτω πᾶσα |
P 53v φύσεως ἐνέργεια ἕωλός ἐστιν, ἧς τέλος ἐστὶ τὸ εἶδος.

[3.8.23] Ἔτι, ὥσπερ τὸ εἶδος τὸ οὐσιῶδες οὐκ ἔχει ὕλην μέρος ἑαυτοῦ, οὕτως οὐδὲ τὰ συμβεβηκότα εἴδη. Εἰ τοίνυν τὰ οὐσιώδη εἴδη διὰ τὸ μὴ ἔχειν ὕλην μέρος ἑαυτῶν ἀναγκαῖον εἶναι διὰ δημιουργίας, τῷ ἴσῳ λόγῳ καὶ <τὰ> κατὰ συμβεβηκός. Ὥσπερ δὲ τὸ γιγνόμενον πρᾶγμα τελειοῦται διὰ τοῦ οὐσιώδους εἴδους, οὕτω τοι δὴ καὶ διατίθεται διὰ τοῦ κατὰ συμβεβηκὸς εἴδους. Τὸ φυσικὸν τοίνυν ὂν οὐδενὶ τρόπῳ ποιοῦν ἔσται, οὔτε ὡς τελειοῦν, οὔτε ὡς διατιθέν· καὶ οὕτως ἕωλος ἔσται πᾶσα φύσεως ἐνέργεια.

[3.8.24] Ἔτι, ἡ φύσις ἐστὶν ἐξ ὁμοίων ὅμοια ποιοῦσα. Ἀλλὰ τὸ γεννώμενον εὑρίσκεται ὅμοιον τῷ γεννῶντι κατά τε τὸ εἶδος καὶ τὴν μορφήν. Τὸ εἶδος ἄρα αὐτὸ τὸ ἐν τῷ γεννωμένῳ γίγνεται διὰ τῆς ἐνεργείας τοῦ γεννῶντος, καὶ οὐ διὰ τῆς δημιουργίας.

**113-115** Οἱ – τρίτῳ] Aug., De Trin. III, cap. 8, n. 9 (PL 42, cols 875-879). **117-118** ἐν – εἶναι] Liber de causis, prop. 18: ens primum est quietum et est causa causarum et si ipsum dat omnibus rebus ens tunc ipsum dat eis per modum creationis.

**127** τῆς – ὄντων] propagationis Aq. **129** κατὰ διαδοχὴν] ad rerum Aq. **133** ἕωλός ἐστιν] frustrabitur Aq.

[3.8.25] Ἔτι, διαφόρων ποιητικῶν ἐνέργειαι οὐχ ὁρίζονται πρὸς ἓν ἀποτέλεσμα, ἀλλ’ ἐξ ὕλης καὶ εἴδους γίνεται ἓν ἁπλῶς. Ἀδύνατον ἄρα ἕτερον μὲν εἶναι ποιοῦν ὃ διατίθησι τὴν ὕλην καὶ ἕτερον τὸ εἰσάγον τὸ εἶδος. Τὸ διατιθὲν δὲ τὴν ὕλην ἐστὶ τὸ φυσικῶς ποιοῦν. Ἄρα καὶ τὸ τὸ εἶδος ἐνστίζον καὶ οὕτω τὰ εἴδη οὐκ εἰσὶ διὰ τῆς δημιουργίας. Καὶ οὕτω ἡ δημιουργία οὐκ ἐπιμίγνυται τοῖς ἔργοις τῆς φύσεως.

[3.8.26] Ἀπόκρισις. Ῥητέον, ὅτι περὶ ταύτην τὴν ζήτησιν διάφοροι γεγόνασι δόξαι, ὧν πασῶν δοκεῖ ῥίζα γενέσθαι μία καὶ ἡ αὐτὴ ἀρχή, δηλαδὴ τὸ μὴ δύνασθαι τὴν φύσιν ἐκ τοῦ μηδενός τι ποιεῖν. Ἐντεῦθεν γάρ τινες πεπιστεύκασιν, ὅτι οὐδὲν χρῆμα γένοιτο ἄλλως, εἰ μὴ καθὸ ἐκσπᾶται ἀπ’ ἄλλου, ἐν ᾧ ἐλάνθανεν, ὃ περὶ τοῦ Ἀναξαγόρου ἱστορεῖ ὁ Φιλόσοφος, ὃς ἐντεῦθεν δοκεῖ ἀποβουκοληθῆναι ὅτι μὴ διέκρινε τὸ δυνάμει ἀπὸ τοῦ ἐνεργείᾳ. Ὤετο γὰρ δεῖν ἐνεργείᾳ προϋπάρχειν τὸ γινόμενον. Δεῖ δὲ προϋπάρχειν μέν, δυνάμει δὲ οὐκ ἐνεργείᾳ· εἰ γὰρ μὴ προϋπάρχει δυνάμει, ἐκ τοῦ μηδενὸς ἔσται· εἰ δὲ ἐνεργείᾳ προϋπάρχει, οὐ γεννήσεται· τὸ γὰρ ὂν οὐ γίνεται. Ὅτι δ’ αὖθις τὸ γινόμενον ἔστι μὲν δυνάμει κατὰ τὴν ὕλην, ἐνεργείᾳ δὲ κατὰ τὸ αὐτοῦ εἶδος, ἠξίουν τινὲς ὅτι τὸ γινόμενον γίνεται ὅσον πρὸς τὸ εἶδος τῆς ὕλης προϋφεστηκυίας. Κἀπειδὴ ἡ ἐνέργεια τῆς φύσεως οὐχ οἵα τε δρᾶν ἐν τῷ μηδενί, καὶ κατὰ τὸ εἰκὸς χρὴ δρᾶν ἐν προϋποθέσει, οὐκ ἐνήργει κατὰ τούτους ἡ φύσις, ὅτι μὴ τῷ τῆς ὕλης μέρει διατιθεῖσα αὐτὴν πρὸς τὸ εἶδος. Τὸ δ’ εἶδος ὃ ἔδει γίνεσθαι, καὶ μὴ προϋποτίθεσθαι εἶναι ἐκ τοῦ ποιοῦντος, μηδενὸς προϋποκειμένου· δυναμένου δὲ ἐκ τοῦ μηδενὸς ποιεῖν, τὸ ὑπὲρ φύσιν λέγω ποιοῦν· ὁ Πλάτων μὲν ὀνομάζει νομέα τῶν εἰδῶν, Ἀβίκενος δὲ
P 54r εἴρηκε νοῦν τελευταῖον ἐν ταῖς χωρισταῖς οὐσίαις. | Ἔνιοι δὲ τῶν παρόντων ἐκείνοις ἑπόμενοι, φασὶ τοῦτ’ εἶναι τὸν Θεόν. Τοῦτο δὲ δοκεῖ ἀπεοικὸς εἶναι. Ἐπεὶ γὰρ ἕκαστον ὅμοιον ἑαυτοῦ πέφυκε ποιεῖν, ἕκαστον γὰρ ποιεῖ καθὸ ἐνεργείᾳ ἐστί, τούτῳ δηλαδὴ τῷ ἐν δυνάμει ὅπέρ ἐστι τὸ ποιητέον οὐ ζητηθήσεται ὁμοιότης κατὰ τὸ οὐσιῶδες εἶδος, τὸ ἐν τῷ ποιοῦντι φυσικῶς, εἰ μὴ τὸ εἶδος τὸ οὐσιῶδες τοῦ γινομένου εἴη διὰ τῆς ἐνεργείας τοῦ ποιοῦντος. Ἐξ οὗ καὶ τὸ προσληφθησόμενον ἐν τῷ γινομένῳ ἐνεργείᾳ ἐν τῷ ποιοῦντι φυσικῶς εὑρίσκεται, ᾗ ἕκαστον ποιεῖ, καθὸ ἐστὶν ἐνεργείᾳ. Καὶ διατοῦτο ἄτοπον δοκεῖ παραδρομόντας τὸ γεννῶν ἕτερον ἔξωθεν ἐπιζητεῖν. Ὅθεν

**154-157** οὐδὲν – γινόμενον] Ar., Phys. I, 187a26: ἔοικε δὲ Ἀναξαγόρας…

**169** τοῦτο] bis acc. -ο P

ἄξιον εἰδέναι ταύτας τὰς δόξας προελθεῖν, ἐκ τοῦ ἀγνοεῖσθαι τὴν τοῦ εἴδους φύσιν, ὥσπερ καὶ τὰ πρῶτα προυχώρησεν ἐκ τοῦ τὴν φύσιν τῆς ὕλης ἀγνοεῖσθαι. Τὸ γὰρ φυσικὸν εἶδος οὐ λέγεται συνωνύμως εἶναι τῷ γινομένῳ πράγματι. Τὸ γὰρ γινόμενον φυσικὸν πρᾶγμα λέγεται εἶναι καθ’ αὑτὸ καὶ ἰδίως ὡσανεὶ ἔχον τὸ εἶναι καὶ ἐν τῷ αὑτοῦ εἶναι ὑφεστώς· τὸ εἶδος δὲ οὐχ οὕτω λέγεται εἶναι, μήτε ὑφεστὼς μήτε καθ’ αὑτὸ ἔχον τὸ εἶναι, ἀλλὰ λέγεται εἶναι ᾗ ὂν διὰ τὸ εἶναί τι αὐτῷ· ὥσπερ καὶ τὰ συμβεβηκότα λέγονται ὄντα διὰ τὸ ὑποκεῖσθαι τούτοις, ᾗ ποιὰ ἢ ποσά, οὐχ ὅτι ἔστιν ἐν αὐτοῖς τι ἁπλῶς, ὥσπερ διὰ τοῦ οὐσιώδους εἴδους· ἀμέλει καὶ τὰ συμβεβηκότα μᾶλλον [proprie] λέγονται τοῦ ὄντος ἢ ὄντα, ὡς ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ φαίνεται. Ἕκαστον δὲ τῶν γενομένων τούτῳ τῷ τρόπῳ γενέσθαι λέγεται, ᾧ εἶναι λέγεται. Τὸ γὰρ εἶναι πέρας ἐστὶ τῆς γενέσεως· ὅθεν καὶ τὸ μὲν γενόμενον ἰδίως καθ’ αὑτὸ τὸ σύνθετόν ἐστι. Τὸ δ’ εἶδος οὐκ ἰδίως γίνεται, ἀλλ’ ἔστι τοῦτο, ᾧ γίνεταί τι, τουτέστιν οὗ τῷ πορισμῷ γίνεταί τι. Οὐδὲν τοίνυν ἐνίσταται τὸ λεγόμενον διὰ τῆς φύσεως ἐκ τοῦ μηδενὸς μηδὲν γίνεσθαι πρὸς τὸ τίθεσθαι τὰ οὐσιώδη εἴδη ἐξ ἐνεργείας τῆς φύσεως εἶναι λέγειν. Τὸ γὰρ γινόμενον οὐ τὸ εἶδος τυγχάνει, ἀλλὰ τὸ σύνθετον, ὅπερ ἐκ τῆς ὕλης γίνεται καὶ οὐκ ἐκ τοῦ μηδενός, καὶ οὕτω δὲ ἐκ τῆς ὕλης, ἐφόσον ἡ ὕλη ἐστὶν ἐν δυνάμει πρὸς αὐτὸ τὸ σύνθετον, καθό ἐστιν ἐν δυνάμει πρὸς τὸ εἶδος. Καὶ ταύτῃ οὐκ ἰδίως λέγεται τὸ εἶδος γίνεσθαι ἐν τῇ ὕλῃ, ἀλλὰ μᾶλλον τῇ δυνάμει τῆς ὕλης ἐκφέρεσθαι. Ἐκ δὲ τοῦ τὸ σύνθετον εἶναι καὶ μὴ τὸ εἶδος δείκνυσιν ὁ Φιλόσοφος ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι τὰ εἴδη ἐστὶν ἐκ τῶν φυσικῶς ποιούντων. Ἐπεὶ γὰρ τὸ γενόμενον δεῖ εἶναι ὅμοιον τῷ ποιοῦντι, ἐκ τοῦ τὸ γενόμενον εἶναι σύνθετον ἀνάγκη καὶ τὸ ποιοῦν εἶναι σύνθετον καὶ οὐκ εἶδος καθ’ αὑτὸ ὑφεστώς, ὡς Πλάτων ἐτερατεύετο· ἵν’ οὕτω, καθάπερ τὸ γενόμενον ἐστὶ σύνθετον, οὐκ εἶδος, ᾧ ἡ ὕλη εἰς τὸ ἐνεργείᾳ προῆλθεν, οὕτω καὶ τὸ ποιοῦν εἴη σύνθετον, οὐκ εἶδος μόνον· εἴη μέντοιγε τὸ εἶδος, ᾧ ποιεῖ, τὸ
P 54v εἶδος, ἐφόσον ἐστὶν | ἐν τῇδε τῇ ὕλῃ· καθάπερ ἐν ταύταις ταῖς σαρξὶ καὶ ἐν τοῖς ὀστοῖς καὶ ἐν τοῖς ἄλλοις τοῖς ὁμοίοις.

**197-199** Ἐκ – ποιούντων] Metaph. VII, 1033a24-b8; Ἐπεὶ – δυνάμεως; ibidem: 1034b7-16: οὐ μόνον – ἢ ζῷον.

**190** γίνεται] dicitur fieri Aq. **191** τὸ λεγόμενον] per hoc quod dicitur Aq. **193** τυγχάνει] est Aq.

[3.8.27] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐκ τῶν τοῦ Αὐγουστίνου λόγων, ἐν τοῖς φύσεως ἔργοις δημιουργία τῷ Θεῷ ἀπονέμεται τῷ λόγῳ τῶν φυσικῶν δυνάμεων, ἃς ἀπ' ἀρχῆς τῇ ὕλῃ ἀποκεκλήρωκε διὰ τοῦ τῆς δημιουργίας ἔργου, οὐκ ἐν τῷ τυχόντι δὲ τῆς φύσεως ἔργῳ δημιουργεῖταί τι.

[3.8.28] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ τῆς δημιουργίας ὄνομα, κυρίως λαμβάνεται ἐν τοῖς τοῦ Αὐγουστίνου ῥήμασιν, οὐκ ἀνακτέον δὲ ὅμως ἐστὶ πρὸς τὰ τῆς φύσεως ἀποτελέσματα, ἀλλὰ πρὸς τὰς δυνάμεις αἷς ἡ φύσις ἐνεργεῖ· αἳ τῇ φύσει καταβέβληνται διὰ τοῦ τῆς δημιουργίας ἔργου.

[3.8.29] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ χάρις, μὴ οὖσα εἶδος καθ' αὑτὸ ὑφεστῶς, οὔτε τὸ εἶναι, οὔτε τὸ γίνεσθαι ἰδίως αὐτῇ γίγνεται· ὅθεν, οὐδ' ἰδίως κτίζεται, ἐκείνῳ τῷ τρόπῳ, ὅτῳ αἱ καθ' αὑτὰς οὐσίαι κτίζονται. Ἐκείνως μέντοι συμβαίνει τῷ λόγῳ τῆς δημιουργίας, ἐφόσον ἡ χάρις μὴ ἔχει αἰτίαν ἐν ὑποκειμένῳ ποιητικήν, μήτε τοιαύτην ὕλην, ἐν ᾗ τοιῷδε τρόπῳ εἴη ἐν δυνάμει, ὥστε διὰ τοῦ φυσικῶς ποιοῦντος ἐκδύνειν δύνασθαι εἰς τὸ ἐνεργείᾳ, καθάπερ ἐστὶ περὶ τῶν ἄλλων εἰδῶν.

[3.8.30] Ὅθεν λύσις, καὶ πρὸς τὸ τέταρτον ἀνακύπτει. Καὶ γὰρ λεγομένου ἐκ τοῦ μηδενὸς γίνεσθαί τι, ἀποφάσκεται τὸ ὑλικὸν αἴτιον. Τοῦτο δὲ ἁμηγέπη καὶ πρὸς τὴν τοῦ εἴδους στέρησιν ἀναφέρεται· οὐδὲν γὰρ φυσικὸν εἶδος δύναται προϊέναι ἄνευ τῆς δυνάμεως τῆς ὕλης.

[3.8.31] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, εἰ καὶ ἐν τῇ φύσει μὴ εὑρίσκοιτο ἀρχὴ ποιητικὴ ἀποσκοποῦσιν εἰς τὰ τεχνητὰ εἴδη, ὅμως τὰ τοιάδε εἴδη οὐχ ὑπερβάλλεται τὴν τῆς φύσεως τάξιν, καθάπερ ἡ χάρις· μᾶλλον μὲν οὖν ταπεινοτέραν εἴληχε χώραν· τὸ γὰρ εἶναι τὸ φυσικὸν ἐπιφανέστερόν ἐστι τοῦ τεχνητοῦ.

[3.8.32] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐκ τοῦ μὴ ἔχειν τὸ εἶδος ὕλην μέρος ἑαυτοῦ, ἕποιτο ἂν τὸ προσήκειν αὐτῷ ὕλην, εἴ γε μὴ δύναιτο κυρίως γίνεσθαι, ὥσπερ τὰ καθ' αὑτὰ ὑφεστῶτα.

[3.8.33] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, εἰ καὶ ἡ λογικὴ ψυχὴ ἔχει ὕλην, ἐν ᾗ ἐστίν, οὐ μὴν ἀνίσχει ἐκ τοῦ τῆς ὕλης δυνάμει, ἐφόσον ἡ ταύτης φύσις ὑπέρκειται τοῦ ὑλικοῦ καταλόγου· ὅπερ ἡ νοερὰ ταύτης ἐνέργεια ἐναργῶς παρίστησι

**210** τὸ – ὄνομα] creatio Aq. **211** ἐστὶ] deest P (est Aq.) **216** ἐκείνῳ] πρέπει ἐκείνῳ M; deest Aq. | ὅτῳ καθ'] ὃ τὸ καθ' M; unde Aq. | Ἐκείνως μέντοι] Infusio tamen gratia Aq. **218** ποιητικὴν] nec efficientem Aq. **223** τοῦ εἴδους] materiae Aq. | οὐδὲν ... δύναται] quod aliqua forma de naturali materiae potentia educi non potest Aq. | φυσικὸν] de naturali materiae Aq. **231** προσήκειν] προσήκον M (creari Aq.)

τότ’ αὖθις εἶναι εἶδος καθ’ αὑτὸ ὑφεστῶς· καὶ γὰρ οἰχομένου τοῦ σώματος αὐτὴ διαμένει.

[3.8.34] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ εἶδος, ὃ πέρας ἐστὶ τῆς γενέσεως, ἦν μὲν καὶ πρὸ τῆς γενέσεως ἐν τῇ ὕλῃ πλῆρες, οὐκ ἐνεργείᾳ, δυνάμει δέ. Οὐ γάρ ἐστιν ἄτοπον, δύο ἐναντίων τὸ ἓν εἶναι ἐνεργείᾳ, θάτερον δὲ δυνάμει.

[3.8.35] Καὶ διὰ τούτου φαίνεται ἀπάντησις καὶ πρὸς τοὔνατον. Ὁ γὰρ Ἀναξαγόρας ἐτίθει τὰ εἴδη ἐνεργείᾳ ὑπάρχειν ἐν τῇ ὕλῃ, ἀλλὰ λανθανόντως.

[3.8.36] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ εἶδος προϋπάρχει ἐν τῇ ὕλῃ ἀτελῶς, οὐχ ὅτι τι μὲν αὐτοῦ μέρος πάρεστιν ἐνεργείᾳ, τὸ δ’ ἄπεστιν, ἀλλ’ ὅτι ὅλον P 55r προϋπάρχει δυνάμει | κἆτα ἐνεργείᾳ ὅλον πρόεισι.

[3.8.37] Δι’ οὗ δὴ καὶ πρὸς τὸ ἐνδέκατον ἀπόκρισις φαίνεται. Οὐ γὰρ τελειοῦται τῷ ἐν τῇ ὕλῃ εἴδει τὸ εἶναι ἐξωτερικοῦ τινὸς παρενθήκῃ, ὅπερ ἐν δυνάμει τῇ ὕλῃ μὴ εἴη.

[3.8.38] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ ἐνδυνάμει εἶναι καὶ τὸ ἐνεργείᾳ εἶναι, οὐκ εἰσάγει διαφόρους τρόπους συμβατικούς, ἐξ ὧν διαφόρως ἀλλοίωσις ἀπαντήσεται, ἀλλ’ οὐσιώδεις. Καὶ γὰρ ἡ οὐσία διαιρεῖται κατά τε δύναμιν καὶ ἐνέργειαν, ὥσπερ καὶ ἄλλο τὸ τυχὸν γένος.

[3.8.39] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι <τὸ> κατὰ τὸ συμβεβηκὸς εἶδος ποιεῖ τῇ δυνάμει τοῦ οὐσιώδους εἴδους ὥσπερ ὄργανον αὐτοῦ· ὥσπερ καὶ ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ ἡ τοῦ πυρὸς θέρμη λέγεται εἶναι ὄργανον τῆς θρεπτικῆς δυνάμεως· καὶ διατοῦτο οὐκ ἔστιν ἄτοπον, εἰ ἡ τοῦ συμβεβηκότος εἴδους ἐνέργεια ὥρισται πρὸς τὸ οὐσιῶδες εἶδος.

[3.8.40] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι κἀν τῷ σπέρματι ἡ τοῦ σπέρματος θερμότης ὡς ὄργανον ποιεῖ τῆς τῆς ψυχῆς δυνάμεως τῆς ἐν τῷ σπέρματι, ἥπερ δή, εἰ καὶ ἀτελὴς ἐστίν, ὅμως ἐστὶν ἐκσφράγισμά τι τῆς τελείας ψυχῆς· ἀπώμορκται καὶ γὰρ ἐν τῷ σπέρματι ἀπὸ τῆς τοῦ γεννῶντος ψυχῆς, ἔτι τὲ δρᾷ τῇ τοῦ οὐρανίου σώματος δυνάμει, οὗτινός ἐστι καθάπερ ὄργανον, διά τοι τοῦτο, καὶ οὐχ ὅ,τι σπέρμα γεννᾷ, ἀλλ’ ὅτι ψυχὴ καὶ ἥλιος.

[3.8.41] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὰ γεννώμενα ἐκ τῆς σηπεδόνος ζῷα εἰσὶν ἥττονος τελειότητος ἢ τὰ ἄλλα ζῷα· ὅθεν κἀν τῇ τούτων γενέσει ἡ δύναμις δρᾷ τοῦ οὐρανίου σώματος ταπεινοτέρῳ τρόπῳ παραδυομένη· ὅπερ

**254** ἐν – δυνάμεως] Ar., De an. II, 416a.9-10: ἡ τοῦ πυρὸς φύσις ἁπλῶς αἰτία τῆς τροφῆς καὶ τῆς αὐξήσεως εἶναι.

**247** εἴδει] εἶδος M **266** τρόπῳ παραδυομένη] materiae impressa Aq.

**ἐν τῇ γενέσει τῶν τελειοτέρων ζῴων, ποιεῖ ἡ αὐτὴ οὐράνιος δύναμις μετὰ τῆς τοῦ σπέρματος δυνάμεως.**

**[3.8.42] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ ἡ ἡμίονος μὴ ὁμοία εἴη τῷ ἵππῳ ἢ τῷ ὄνῳ τῷ εἴδει, ἔστι μέντοιγε ὁμοία ἐν τῷ ἐγγὺς γένει· ἧς δὴ ὁμοιότητος λόγῳ ἐκ διαφόρων εἰδῶν, ἓν εἶδος ὡσανεὶ μέσον γεννᾶται.**

**[3.8.43] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι, καθάπερ ἡ θεία δύναμις, εἴτουν τὸ πρῶτον ποιητικόν, οὐκ ἀποκλείει τὴν ἐνέργειαν τῆς φυσικῆς δυνάμεως, οὕτως οὐδὲ τὸ πρῶτον παραδειγματικὸν εἶδος, ὅπέρ ἐστιν ὁ Θεός, ἀποτειχίζει τὴν μετοχέτευσιν τῶν εἰδῶν ἀπὸ τῶν ἄλλων τῶν ὑποβεβηκότων εἰδῶν, ὅσα πρὸς ὅμοια σφίσιν αὐτοῖς εἴδη δρᾷ.**

**[3.8.44] Ὅθεν δὴ καὶ πρὸς ὀκτωκαιδέκατον ἀπόκρισις ἀνακύπτει. Εἴδη γὰρ ὁ Βοήτιος νοεῖ τὰ ἐν τῇ ὕλῃ προελθεῖν ἐκ τῶν ἀύλων εἰδῶν καθάπερ ἀπὸ πρώτων πρωτοτύπων, οὐχ ὡς ἀπὸ προσεχῶν.**

**[3.8.45] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι τὸ εἶναι τῇ δημιουργίᾳ εἶναι λέγεται, ἐφόσον πᾶν δεύτερον αἴτιον νέμον τὸ εἶναι, τοῦτ’ ἔχει ἐφόσον ποιεῖ τῇ δυνάμει τῆς πρώτης κτιζούσης αἰτίας· διὰ τὸ τὸ εἶναι, πρῶτον εἶναι ἀποτέλεσμα, οὐδὲν ἄλλο προϋποτιθέν.**

**[3.8.46] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι τὸ εἶδος τὸ φυσικὸν τὸ ὂν ἐν τῇ ὕλῃ,**
P 55v **οὐ δύναται ἀναφέρεσθαι πρὸς εἶδος καθ’ αὐτὸ ὂν | τοῦ αὐτοῦ εἴδους (καὶ γὰρ τὸ φυσικὸν εἶδος ἔχει ὕλην ἐν τῷ αὐτοῦ λόγῳ), ἀλλ’ ἀναφέρεται εἰς εἶδος καθ’ αὐτὸ ὑφεστώς, καθάπερ εἴρηται.**

**271** ἓν] sua Aq. **273** ἀποκλείει] ἀποκλαίει P (excludit Aq.) **286** εἰς] deest P (ad Aq.)

## Κεφάλαιον ἔνατον

## Πότερον ἡ λογικὴ ψυχὴ παράγεται εἰς τὸ εἶναι διὰ δημιουργίας ἢ διὰ τῆς τοῦ σπέρματος καταβολῆς.

**[3.9.1] Ἔνατον ζητεῖται, πότερον ἡ λογικὴ ψυχὴ παράγεται εἰς τὸ εἶναι διὰ τῆς δημιουργίας ἢ διὰ τῆς τοῦ σπέρματος καταβολῆς. Καὶ δοκεῖ συμπαραφύεσθαι μετὰ τοῦ σπέρματος. Λέγεται γὰρ ἐν τῷ δεκάτῳ ἕκτῳ τῆς Γενέσεως·** πᾶσαι αἱ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ **τοῦ** Ἰακὼβ εἰς Αἴγυπτον καὶ ἐξελθοῦσαι ἐκ τ**οῦ** μηρ**οῦ** αὐτοῦ **ἄνευ** τῶν γυναικῶν τῶν υἱῶν **αὐτοῦ,** ἑξήκοντα ἕξ. **Ἀλλ᾽ οὐδὲν ἔξεισιν ἐκ τοῦ μηροῦ τοῦ πατρός, εἰ μὴ διὰ τῆς τοῦ σπέρματος καταβολῆς. Ἡ λογικὴ ἄρα ψυχὴ σὺν τῷ σπέρματι καταβάλλεται.**

**[3.9.2] Ἀλλ᾽ ἔλεγεν, ὅτι τὸ μέρος τίθεται ἀντὶ τοῦ ὅλου, τουτέστιν ἡ ψυχὴ ἀντὶ τοῦ ἀνθρώπου. Ἀλλὰ τοὐναντίον· ὁ ἄνθρωπός ἐστι σύνθετόν τι ἐκ ψυχῆς καὶ σώματος. Εἰ τοίνυν ὁ πᾶς ἄνθρωπος ἐκ τοῦ μηροῦ τοῦ πατρὸς πρόεισιν, οὐχ ὅπως τὸ σῶμα, ἀλλὰ καὶ ἡ ψυχὴ τῷ σπέρματι συρρυήσεται, ὡς πρότερον.**

**[3.9.3] Ἔτι, τὸ συμβεβηκὸς μεταφέρεσθαι οὐχ οἷόν τε, μὴ τοῦ ὑποκειμένου μετενεχθέντος· τὸ γὰρ συμβεβηκὸς ἐξ ὑποκειμένου εἰς ὑποκείμενον οὐ μεταβαίνει. Ἀλλ᾽ ἡ λογικὴ ψυχή ἐστιν ὑποκείμενον τῆς ἁμαρτίας τῆς προγονικῆς. Ἐπεὶ τοίνυν ἡ τῶν προγόνων ἁμαρτία δίεισιν ἀπὸ τῶν τεκόντων εἰς τοὺς φύντας, δοκεῖ τὴν λογικὴν ψυχὴν τοῦ υἱέος ἐκ τοῦ γεγεννηκότος καταβάλλεσθαι.**

**[3.9.4] Ἀλλ᾽ ὑπολαβὼν ἔλεγεν ὅτι, εἰ καὶ ἡ προπατορικὴ ἁμαρτία, καθάπερ ἐν ὑποκειμένῳ τῇ ψυχῇ ἔπεστιν, ἔστι μέντοι ἐν τῇ σαρκὶ ὥσπερ ἐν αἰτίᾳ· ὅθεν ἐν τῇ μετακομιδῇ τῆς σαρκὸς μετακομίζεται. Ἀλλ᾽ ἰτέον ὁμόσε, ἐν τῷ πέμπτῳ τῆς Πρὸς Ῥωμαίους λέγεται τὴν ἁμαρτίαν δι᾽ ἑνὸς ἀνθρώπου εἰς τόνδε τὸν κόσμον εἰσελθεῖν, καὶ διὰ τῆς ἁμαρτίας τὸν θάνατον· καὶ οὕτω τὸν θάνατον διὰ πάντων διελθεῖν, ἐν ᾧ πάντες ἥμαρτον. Ἐκτίθεται δὲ ἡ Ἑρμηνεία·** ἔν τινι **ἀνθρώπῳ ἁμαρτωλῷ, ἢ ἔν τινι ἁμαρτήματι,** πάντες ἥμαρτον**. Οὐκ ἂν δὲ ἐν**

**5-8** ἐν – ἕξι] Gen. 46, 26: πᾶσαι δέ αἱ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ἰακώβ, πᾶσαι ψυχαὶ ἑξηκονταέξ. **23-26** ἐν – ἥμαρτον] Rom. 5, 12: Διὰ τοῦτο ὥσπερ δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ᾽ ᾧ πάντες ἥμαρτον. **26-27** ἡ – ἥμαρτον] Aug., De pecc. mer. et remis., cap. X (cols 115-116): In quo omnes peccaverunt...

**8** ἑξήκοντα ἕξι] ξε M (26 Aq.) **9-10** εἰ – σπέρματι] om. et al. man. add. in marg. sin. M **15** μὴ] nisi Aq. **21** ὑπολαβὼν] deest Aq. **22** ἔπεστιν] ἔπεσεν M (sit Aq.) **24** τὸν] bis acc. M **25** εἰσελθεῖν] εἰσελθῶν M (intravit Aq.)

ἐκείνῳ τῷ ἁμαρτήματι πάντες ἁμάρτοιεν, εἰ μὴ ἐκεῖνο τὸ ἓν ἁμάρτημα διὰ πάντων διείη. Ἐκεῖνο τοίνυν τὸ ἓν ἁμάρτημα τὸ ἐν τῷ Ἀδὰμ γεγονός, εἰς πάντας διήκει· καὶ ταύτῃ ἡ ψυχὴ ἐκείνη, ἥτις ὑποκείμενον ἦν ἐκείνης τῆς ἁμαρτίας, δίεισι διὰ πάντων.

[3.9.5] Ἔτι, πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον. Ἀλλὰ πᾶν τὸ ποιοῦν ποιεῖ τῇ δυνάμει τοῦ εἴδους. Ἄρ' ὃ ποιεῖ τὸ ποιοῦν, ἐστὶ τὸ εἶδος τοῦ γινομένου. Ἔστι δὲ τὸ γεννῶν, ποιοῦν. Τὸ εἶδος ἄρα τοῦ γεννωμένου ἐστὶ τῇ ἐνεργείᾳ τοῦ εἴδους τοῦ γεννῶντος. Ἐπεὶ τοίνυν ὁ ἄνθρωπος ἄνθρωπον γεννᾷ, ἡ δὲ λογικὴ ψυχή ἐστιν εἶδος τοῦ ἀνθρώπου, δοκεῖ ὅτι ἡ λογικὴ ψυχὴ ἔστι
P 56r γεννήσει | καὶ δημιουργίᾳ.

[3.9.6] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς ἡ ποιητικὴ αἰτία μετὰ τοῦ ἑαυτῆς ἀποτελέσματος πίπτει ὑπὸ τὸ αὐτὸ τῷ εἴδει. Ὁ δ' ἄνθρωπος λαγχάνει τὸ εἶδος διὰ τῆς λογικῆς ψυχῆς. Δοκεῖ τοίνυν ὃ ποιεῖ τὸ γεννῶν ἐν τῷ γεννωμένῳ, εἶναι τὴν λογικὴν ψυχήν.

[3.9.7] Χωρὶς δὲ τούτων, οἱ υἱεῖς ἐοίκασι τοῖς τοκεῦσι διὰ τὸ φύεσθαι ἐντεῦθεν. Ἐοίκασι δὲ τούτοις οὐ μόνον ὅσον πρὸς τὰς σωματικὰς διαθέσεις, ἀλλὰ καὶ τό γε εἰς τὰς ψυχὰς ἀνῆκον. Καθάπερ τοίνυν τὰ σώματα ἀπὸ τῶν σωμάτων, οὕτω καὶ αἱ ψυχαὶ ἀπὸ τῶν ψυχῶν φύονται.

[3.9.8] Ἔτι· ὁ Μωυσῆς φησὶν ἐν τῷ ἑβδόμῳ τοῦ Λευιτικοῦ· ἡ ψυχὴ πάσης σαρκὸς ἐν τῷ αἵματι ἐστί. Τὸ δ' αἷμα μετὰ τοῦ σπέρματος καταβάλλεται· μάλισθ' ὅταν τὸ σπέρμα οὐδὲν ἕτερον τυγχάνει ὄν, ὅτι μὴ αἷμα ὑπεροπτηθέν. Ἄρα καὶ ἡ ψυχὴ τῷ σπέρματι συγκαταβάλλεται.

[3.9.9] Ἔτι, τὸ ἔμβρυον, πρὶν ἂν ἡ λογικὴ ψυχὴ ἀποτελεσθῇ, ἔχει τινὰ ἐνέργειαν ψυχῆς, ἐπεὶ αὐξάνει καὶ τρέφεται καὶ αἰσθάνεται. Ἀλλ' ἐνέργεια ψυχῆς οὔκ ἐστιν ἄνευ ζωῆς. Ζῇ ἄρα. Ἀρχὴ δὲ τῆς τοῦ σώματος ζωῆς ἐστιν ἡ ψυχή. Ἔχει ἄρα ψυχήν. Ἀλλ' οὐχ οἷόν τε λέγειν ἐπιγίνεσθαι αὐτῷ ἄλλην ψυχήν· τηνικαῦτα γὰρ ἐν τῷ αὐτῷ σώματι ἔσονται δύο ψυχαί. Αὕτη τοίνυν ἡ ψυχή, ἡ τέως οὖσα ἐν τῷ σπέρματι καὶ μετὰ τοῦ σώματος παραβλαστήσασα, ἔστιν ἡ λογικὴ ψυχή.

**38-39** ἐν – εἴδει] cf. Ar., Phys. II, 198a25. **46-47** ἐν – ἐστί] Lev. 27, 11: ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι.

**28** ἐκεῖνο] ἐκεῖνος P (illum Aq.) **29** διείη] intellige διίοι **48** οὐδὲν – ὄν] non sit Aq. **54-55** Αὕτη – ψυχή] deest P (Ergo ipsa anima Aq.) **55** καὶ – παραβλαστήσασα] quae prius erat in semine propagata Aq. **58** ἡ] deest M

**[3.9.10] Ἄνευ δὲ τούτων, αἱ διάφοροι ψυχαὶ κατὰ τὸ εἶδος, διάφορα τῷ εἴδει ζῷα ποιοῦσιν. Εἰ δὲ τοίνυν ἐν τῷ θορῷ πρὸ τῆς λογικῆς ψυχῆς ἦν ἡ ψυχή, ἢ οὐκ ἦν λογική, ἦν ἐκεῖ ζῷον διάφορον τῷ εἴδει πρὸς τὸν ἄνθρωπον· ταύτῃ δέ, οὐχ οἷόν τε ἐξ ἐκείνου ἄνθρωπον γενέσθαι· ὅτι τὰ διάφορα εἴδη τοῦ ζῴου οὐ περισοβεῖ εἰς ἄλληλα.**

**[3.9.11] Ἀλλ᾽ ἔλεγεν, ὅτι αἱ τοιάδε ἐνέργειαι τῆς ψυχῆς, οὐ συμβαίνουσι τῷ ἐμβρύῳ δι᾽ ἐνούσης ψυχῆς, ἀλλὰ διά τινος τῆς ψυχῆς τοῦ καταβαλόντος δυνάμεως, ἣ λέγεται δύναμις μορφωτική. Ἀλλὰ τοὐναντίον· ἡ δύναμις ἐπὶ τῆς οὐσίας ἐρρίζωται· ὅθεν καὶ μέση τίθεται ἔν τε τῇ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ, ὡς ἔνεστιν ἐν τῷ Διονυσίῳ ἐν τῷ ἑνδεκάτῳ κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας. Εἰ τοίνυν ἔστιν ἐκεῖ δύναμις ψυχῆς, ἔσται καὶ ψυχῆς οὐσία.**

**[3.9.12] Ἔτι, ὁ Φιλόσοφος φησὶν ἐν τῷ ἑβδόμῳ Περὶ ζῴων, ὅτι τὸ ἔμβρυον πρῶτον μέν ἐστι ζῶν κἄπειτα ζῷον, καὶ πρότερον ζῷον ἢ ἄνθρωπος. Ἀλλὰ πᾶν ζῷον ἔχει ψυχήν. Πρότερον ἄρα ἔστιν ἐκεῖ ψυχή τις, ἢ ἐστὶ λογικὴ ψυχή, δι᾽ ἧς ὁ ἄνθρωπός ἐστιν ἄνθρωπος.**

**[3.9.13] Πρὸς δὲ τούτοις ὁ Φιλόσοφος, ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ φησίν, ἡ** ψυχή ἐστι **τὸ ἐνεργείᾳ** τοῦ ζῶντος σώματος, **ἐφόσον τοιοῦτον. Εἰ τοίνυν τὸ ἔμβρυον ζῇ καὶ ζωῆς ἐνέργειαν διαπράττεται διὰ τῆς τοιᾶσδε μορφωτικῆς**
P 56v **δυνάμεως, αὐτὴ ἡ δύναμις ἔσται τοῦ ἐνεργείᾳ αὐτοῦ, | ἐφόσον ἐστὶ ζῶν. Ἔσται ἄρα ψυχή, ὅπερ ἄτοπον.**

**[3.9.14] Ἔτι, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς πρώτῳ, τὸ ζῆν ἐστιν ἐν πᾶσι τοῖς ζῶσι διὰ τῆς φυτικῆς ψυχῆς. Ἀλλὰ δῆλόν ἐστι τὸ ἔμβρυον ζῆν, πρὶν ἂν σπασθῇ ἐν αὐτῷ ἡ ψυχὴ ἡ λογική, ἐφόσον ἐν αὐτῷ αἱ τῆς ζωῆς ἐνέργειαι εὑρίσκονται. Ἔστιν ἄρα ἐκεῖ ψυχὴ φυτική, πρὶν ἂν γένηται ἡ λογικὴ ψυχή.**

**[3.9.15] Ἔτι, ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ ἀποδείκνυσιν ὁ Φιλόσοφος, τὸ αὔξεσθαι μὴ εἶναι τοῦ πυρὸς ἐνέργειαν ὥσπερ ἀρχοειδοῦς ποιητικοῦ, ἀλλὰ μᾶλλον τῆς φυτικῆς ψυχῆς. Ἀλλὰ τὸ ἔμβρυον πρὸ τῆς παρόδου τῆς λογικῆς ψυχῆς αὐξάνει. Ἔχει ἄρα θρεπτικὴν ψυχὴν πρὸ τῆς λογικῆς.**

**65-66** ὅθεν – Ἱεραρχίας] Dion., De cael. hier., cap. 11 (PG 3, col. 284D, Ritter pp. 41-42): ἀλλ᾽ ἐπειδὴ εἰς τρία διῄρηνται τῷ κατ᾽ αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες θεῖοι νόες, εἰς οὐσιαν, καὶ δύναμιν, καὶ ἐνέργειαν… **68-69** ἐν – ἄνθρωπος] Ar., De gen. an.VII, 719b.24-28: τὰ μὲν – ὑστέραις. **72-73** ἐν – τοιοῦτον] Ar., De an. II, 415b.8: ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. **77-78** ἐν – ψυχῆς] Ar., De an. I, 411b.27-29: ἡ ἐν τοῖς φυτοῖς ἀρχὴ ψυχή τις εἶναι· μόνης γὰρ ταύτης κοι- νωνεῖ καὶ ζῷα καὶ φυτά. **81-83** ἐν – ψυχῆς] Ar., De an. II, 415a.9-13: ἡ τοῦ πυρὸς φύσις – τὸ ἐργαζόμενον.

**63** ἐνούσης] deest Aq **66** ἐν – Ἱεραρχίας] deest Aq **68** ἑβδόμῳ] XVI Aq. **72** ἐν – δευτέρῳ] deest Aq **78-79** ἂν – αὐτῷ] infusionem **84** θρεπτικὴν] vegetabilem Aq.

[3.9.16] Ἐπὶ τούτοις, εἰ μὴ ἔστιν ἐκεῖ φυτικὴ ψυχὴ πρὸ τῆς ἐπιδημίας τῆς λογικῆς ψυχῆς, ἀλλὰ δύναμις εἰδοποιός, ἐπιούσης τῆς ψυχῆς ἐκείνη ἡ δύναμις τὴν ἑαυτῆς ἐνέργειαν ἀποβαλεῖ, ἐφόσον ἀποχρώντως ἡ ἐνέργεια, ἣν ἐκείνη ἡ δύναμις ἐπετέλει ἐν τῷ ἐμβρύῳ μετὰ ταῦτα γίνεται ἐν τῷ ζῴῳ διὰ τῆς ψυχῆς. Ἔσται ἄρα ἐκεῖ ἀργός, ὃ δοκεῖ εἶναι ἄτοπον, ἐφόσον μηδέν ἐστιν ἐν τῇ φύσει ἀσυντελές.

[3.9.17] Ἀλλ᾽ ἔλεγεν, ὅτι ἐκείνη ἡ δύναμις φρούδη γίνεται ἐπιβαινούσης τῆς λογικῆς ψυχῆς. Ἀλλὰ τοὐναντίον, τὸ διατιθὲν οὐκ ἀπόλλυται ἐπιόντος τοῦ εἴδους, ἀλλὰ μένει καὶ δή πως κατέχει τὸ εἶδος ἐν τῇ ὕλῃ. Ἀλλ᾽ ἐκείνη ἡ δύναμις καθάπέρ τις διαθέτης ἐστὶ πρὸς τὴν ψυχήν. Οὐκ ἄρα τῆς ψυχῆς προσελαυνούσης ἐκείνη ἡ δύναμις ἀπόλλυται.

[3.1.18] Ἔτι, τῇ ἐνεργείᾳ ταύτης τῆς δυνάμεως πάροδος γίνεται πρὸς τὴν τῆς ψυχῆς ἐπιδημίαν. Εἰ τοίνυν τῆς ψυχῆς παραγινομένης ἐκείνη ἡ δύναμις διαπίπτει, δοκεῖ τι ποιεῖν πρὸς τὴν ἑαυτοῦ καθαίρεσιν· ὅπερ ἐστὶν ἀδύνατον.

[3.1.19] Ἔτι, ὁ ἄνθρωπός ἐστιν ἄνθρωπος διὰ τῆς λογικῆς ψυχῆς. Εἰ τοίνυν ἡ ψυχὴ μὴ πρόεισιν εἰς τὸ εἶναι διὰ γεννήσεως, οὐδ᾽ ἀληθὲς ἔσται λέγειν γεννᾶσθαι ἄνθρωπον· ὅπέρ ἐστι ψεῦδος.

[3.1.20] Ἔτι, τὸ τοῦ ἀνθρώπου σῶμα πρόεισιν εἰς τὸ εἶναι διὰ τῆς τοῦ γεννῶντος ἐνεργείας. Εἰ τοίνυν ἡ ψυχὴ μὴ προείη διὰ γεννήσεως εἰς τὸ εἶναι ἀπὸ τοῦ γεννῶντος, ἔσται δισσὸν ἐν τῷ ἀνθρώπῳ εἶναι· ἓν τοῦ σώματος, ὃ ποιεῖ τὸ γεννῶν, καὶ ἄλλο τὸ τῆς ψυχῆς, ὃ μὴ ποιεῖ· καὶ ταύτῃ ἔκ τε τῆς ψυχῆς καὶ τοῦ σώματος οὐκ ἔστιν ἓν ἁπλῶς, ἐφόσον κατὰ τὸ εἶναι διαφέρουσι.

[3.1.21] Πρὸς τούτοις, ἀδύνατόν ἐστιν ἐνέργειαν ἑνὸς ποιοῦντος ὁρίζεσθαι πρὸς τὴν ὕλην καὶ ἄλλου πρὸς τὸ εἶδος· ἄλλως γὰρ ἐξ ὕλης καὶ εἴδους οὐκ ἂν εἴη ἁπλῶς ἕν, τοῦ ἑνὸς ἀποτελέσματος διὰ μιᾶς ἐνεργείας ὄντος. Ἀλλ᾽ ἡ ἐνέργεια τῆς γεννώσης φύσεως ὁρίζεται πρὸς τὸ σῶμα. Ἄρα ὁρίζεται καὶ πρὸς τὴν ψυχήν, ἥτις ἐστὶν εἶδος αὐτοῦ.

[3.1.22] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ ζῴων δεκάτῳ ἕκτῳ, αἱ ἀρχαὶ ὧν αἱ ἐνέργειαι οὐκ εἰσὶν ἄνευ σώματος, σὺν σώμασι προάγονται. Ἀλλ᾽ ἡ τῆς λογικῆς ψυχῆς ἐνέργεια οὐκ ἔστιν ἄνευ σώματος· τὸ γὰρ νοεῖν διαφερόντως ἂν εἴη χωρὶς σώματος, ὃ φαίνεται ψεῦδος ὄν· οὐ γὰρ ἔστι νοεῖν ἄνευ

**112-113** ἐν – παράγονται] Ar., De gen. an. VI. 736b.22-24: ὅσων γάρ ἐστιν ἀρχῶν ἡ ἐνέργεια σωματική, δῆλον ὅτι ταύτας ἄνευ σώματος ἀδύνατον ὑπάρχειν.

**87** ἀποβαλεῖ] non habebit Aq. **88** Hic post ἐμβρύῳ Aq. habet sufficienter. **92** τὸ διατιθὲν] dispositiones Aq. **93** μένει] μάνει P (manent Aq.) **96** πάροδος γίνεται] pervenitur Aq.

P 57r φαντασμάτων, | ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς πρώτῳ καὶ τετάρτῳ· φαντάσματα δὲ οὐκ ἔστιν ἄνευ σώματος. Ἡ λογικὴ ἄρα ψυχή, τῷ σώματι συγκαταβάλλεται.

**[3.9.23]** Ὑπολαβὼν δὲ ἔφη, ὅτι ἡ λογικὴ ψυχὴ δεῖται φαντασμάτων ἐν τῷ νοεῖν, ὅσων πρὸς ἀντίληψιν τῶν εἰδῶν τῶν νοητῶν, ἀλλ’ οὐκ ἐπειδὰν αὐτὰ τὰ ἤδη ἀναλέξηται. Ἀλλὰ τοὐναντίον, ὁ ἄνθρωπος μετὰ τὴν τῆς ἐπιστήμης ἀνάληψιν κωλύεται ἐν τῇ τοῦ νοὸς ἐνεργείᾳ βλαφθέντος τοῦ τῆς φαντασίας ὀργάνου. Τοῦτο δ’ οὐκ ἂν εἴη, ἣν ὁ νοῦς, ἐπειδὰν ἀποσπάσας ἔχει τὴν ἐπιστήμην, μὴ δέηται τῆς φαντασίας. Δεῖται ἄρα ταύτης οὐ μόνον συλλεγόμενος τὴν ἐπιστήμην, ἀλλὰ κἀν τῷ χρῆσθαι τῇ προσκτηθείσῃ ἐπιστήμῃ.

**[3.9.24]** Ἦ δ’ ἐκεῖνος, ὅτι τὸ ἐμπόδιον τῆς νοερᾶς ἐνεργείας, ἐκ τῆς πηρώσεως τοῦ τῆς φαντασίας ὀργάνου ἀπαντᾷ οὐκ ἐκ τοῦ τὸν νοῦν δεῖσθαι φασμάτων, ἐπειδὰν χρῆται τῇ ἐπιστήμῃ, ἣν ἔχει ἀπομαξάμενος, ἀλλ’ ἐκ τοῦ τὴν φαντασίαν καὶ τὸν νοῦν ἱδρύσθαι ἐν ἑνὶ τῇ τῆς ψυχῆς οὐσίᾳ· ὅθεν τῆς φαντασίας εἰργομένης κατὰ συμβεβηκὸς καὶ ὁ νοῦς κωλύεται. Ἀλλ’ ἐνστέον ὅτι ἡ συνάφεια τῶν δυνάμεων ἐν μιᾷ τῆς ψυχῆς οὐσίᾳ ἐστὶν αἰτία, τὶ δήποτε, ἡνίκα τῶν δυνάμεων ἐπιτείνεται ἐν τῇ αὐτῆς ἐνεργείᾳ ἡ τῆς ἑτέρας ἐνέργεια ἀνίεται· ὥσπερ ὅτάν τις ὀξέως ὁρᾷ, ἧττον ὀξέως ἀκούει· καὶ ἔτι ἔστιν αἰτία τὶ δήποτε μιᾶς τῶν δυνάμεων παυσαμένης τῆς ἰδίας ἐνεργείας, ἄλλη κρατύνεται ἐν τῇ ἑαυτῆς ἐνεργείᾳ· ἀμέλει καὶ οἱ τυφλοὶ ὡς ἐπιτοπλεῖστον ὀξύτερον ἀκούουσιν. Οὔκουν τοίνυν διὰ τὴν συνάφειαν συμβαίη <ἂν> ἐπέχεσθαι τὴν τοῦ νοὸς ἐνέργειαν, εἰργομένης τῆς φαντασίας, ἀλλὰ μᾶλλον, καὶ ῥώννυτ’ ἄν.

**[3.9.25]** Ἔτι, ὁ τὴν κορωνίδα ἐπιτιθεὶς πράξει τινί, ἐκεῖνος διαφερόντως τῷ πράττοντι συμπράττει. Ἀλλ’ εἰ πᾶσαι αἱ ἀνθρώπιναι ψυχαὶ δημιουργοῦνται ἐκ τοῦ Θεοῦ καὶ παρ’ ἐκείνου τοῖς σώμασιν ἐνστάζονται, ἐκεῖνός ἐστιν ὁ τὴν κορωνίδα ἐπιτιθεὶς τῇ ἐκ μοιχείας γεννήσει. Ἐκεῖνος ἄρα τοῖς μοιχωμένοις συμπράττει· ὃ δοκεῖ ἀπονενοῆσθαι.

**[3.9.26]** Χωρὶς δὲ τούτων, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά, τέλειον ἕκαστον ἐστίν, ὃ δύναται ὅμοιον ἑαυτῷ ποιεῖν. Ὅσο δέ τι

**143-144** ἐν – ποιεῖν] cf. Ar., De An. II, 415a.26-28: φυσικώτατον γὰρ τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό; Meteor. IV, 380a.12-15: ἡ γὰρ τῆς ἐν τοῖς περικαρπίοις -- οἷον αὐτό.

**120** ἐπειδὰν] bis acc. P **123-125** μὴ – ἐπιστήμην] deest P; phantasmatibus not indigeret. Indiget ergo eis non solum in acquirendo scientiam Aq. **132** ἐπιτείνεται] ἐπιτάνεται M (intenditur Aq.) **136** συμβαίη] συμβαίνει (contingeret Aq.) **137** ἄν] bis acc. P **142** ἀπονενοῆσθαι] absurdum Aq. **143-144** ἐν – φυσικά] deest Aq. | φυσικά] ἠθικὰ P

**τελεώτερον ἐστί, τοσοῦτο μᾶλλον καὶ δύναται ὅμοιον ἑαυτῷ ποιεῖν. Ἀλλ’ αἱ λογικαὶ ψυχαὶ τελειότεραί εἰσι τῶν φυσικῶν εἰδῶν τῶν στοιχείων, ἃ ὅμοια ἑαυτοῖς εἴδη ἐκδιδόασι. Τῇ δυνάμει ἄρα τῆς λογικῆς ψυχῆς δύναιτο <ἂν> ψυχὴ λογικὴ τῷ τῆς γεννήσεως τρόπῳ προελθεῖν.**

**[3.9.27] Ἔτι, ἡ λογικὴ ψυχὴ μέσην εἴληχε χώραν πρός τε τὸν Θεὸν καὶ τὰς σωματικὰς οὐσίας· ὅθεν ἐν τῷ Περὶ αἰτιῶν λέγεται, ὅτι** ἔκτισται μέση αἰωνιότητος καὶ χρόνου**. Ἀλλ’ ἐν τῷ Θεῷ γέννησις εὑρίσκεται· ὁμοίως κἀν τοῖς σωματικοῖς πράγμασιν. Ἆρα καὶ ἡ τὴν μέσην κατέχουσα χώραν ψυχὴ διὰ γεννήσεως πρόεισιν.**

**[3.9.28] Ἔτι, ὁ Φιλόσοφος ἐν τῷ δεκάτῳ ἕκτῳ Περὶ ζῴων φησίν, ὅτι τὸ πνεῦμα**
P 57v **τὸ ἐξιὸν μετὰ τοῦ σπέρματός ἐστι δύναμις | προκαταρκτικὴ τῆς ψυχῆς καὶ ἔστι χρῆμά τι θεῖον, καὶ καλεῖται τὸ τοιόνδε νοῦς· καὶ ταύτῃ δοκεῖ τὸν νοῦν γεννᾶσθαι μετὰ τοῦ σπέρματος.**

**[3.9.29] Ἔτι, ἐν τῷ αὐτῷ βιβλίῳ ὁ Φιλόσοφός φησιν, ὅτι ἐν τῷ γεννᾶν τὸ μὲν θῆλυ ὀρέγει** τὸ σῶμα**, τὸ δ’** ἄρρεν **τὴν** ψυχήν**· ὡδὶ δὲ δοκεῖ τὴν ψυχὴν εἶναι διὰ τῆς τοῦ σπέρματος καταβολῆς, καὶ οὐ διὰ τῆς δημιουργίας. Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ λεγόμενον ἐν τῷ Ἡσαΐᾳ,** πᾶσαν πνοὴν ἐγὼ πεποίηκα**. Διὰ τῆς πνοῆς δὲ ἐκεῖ ἡ ψυχὴ νοεῖται. Δοκεῖ ἄρα τὴν ψυχὴν κτίζεσθαι παρὰ τοῦ Θεοῦ.**

**[3.9.30] Ἔτι, κἀν τοῖς Ψαλμοῖς λέγεται,** ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν**. Οὐ τοίνυν μία ψυχὴ φύεται ἐξ ἑτέρας, πᾶσαι δὲ ἀπὸ τοῦ Θεοῦ κτίζονται χωρὶς ἀπ’ ἀλλήλων.**

**[3.9.31] Ἀπόκρισις. Ῥητέον, ὅτι τούτου πέρι τοῦ προβλήματος, ἐξ ἀρχῆς διάφορα παρὰ διαφόρων εἴρηται. Τινὲς γὰρ ἔλεγον τὴν ψυχὴν τοῦ παιδὸς ἐκ τῆς τοῦ γεγεννηκότος φύεσθαι ψυχῆς, ὥσπερ καὶ τὸ σῶμα φύεται ἐκ τοῦ σώματος. Ἄλλοι δὲ ἔλεγον πάσας τὰς ψυχὰς ἰδίᾳ κτίζεσθαι, ἀλλ’ ἐτίθεντο ἐξ ἀρχῆς αὐτὰς ἔξω τῶν σωμάτων ὁμοῦ κατὰ ταυτὸν δημιουργηθῆναι, ἐπιγινομένου δὲ τοῦ χρόνου τῶν σωμάτων σπειρομένων συγγίνεσθαι τούτοις,**

**150-151** ἐν – χρόνου] Liber de causis, prop. 2, 20: esse vero quod est post aeternitatem et supra tempus est anima quoniam est in horizonte aeternitatis inferius et supra tempus. **154-156** ἐν – ψυχῆς] Ar., De gen. an. II (locum non inveni). **158-159** ἐν – ψυχήν] Ar., De gen. an. II, 738b.25—26: ἔστι δὲ τὸ μὲν σῶμα ἐκ τοῦ θήλεος ἡ δὲ ψυχὴ ἐκ τοῦ ἄρρενος. **161-161** ἐν – νοεῖται] Is. 57, 16: οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς, οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν· πνεῦμα γὰρ παρ’ ἐμοῦ ἐξελεύσεται καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. **164-165** κἀν – αὐτῶν] Ps. 32, 15: ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.

**152** ἡ – χώραν] quae est media Aq. | κατέχουσαν] deest M **159** ὀρέγει] dat Aq. | τὸ – ψυχὴν] et anima est ex mare Aq.

ἢ αὐτομολούσας κατά τινας, ἢ τοῦ Θεοῦ ἐπιτάττοντος καὶ διαπραττομένου καθ' ἑτέρους. Ἄλλοι δὲ ἠξίουν τὰς ψυχὰς ὁμοῦ κτιζομένας τοῖς σώμασιν ἐλλείβεσθαι παρὰ Θεοῦ. Αἳ δὴ δόξαι, εἰ καὶ χρόνον ἐπεκράτησάν τινα, καί τις αὐτῶν εἴη κρείττων εἰς ἀμφιβολίαν τοῖς τῶν ἀνθρώπων λογισμοῖς ἥκουσιν, ὡς δι' Αὐγουστίνου φαίνεται ἐν τῷ δεκάτῳ τῆς εἰς τὴν Γένεσιν ἐξηγήσεως καὶ ἐν τοῖς βιβλίοις, ἃ συνεγράψατο περὶ γενέσεως ψυχῶν, ὅμως αἱ μὲν δύο πρῶται τῇ τῆς ἐκκλησίας ψήφῳ κατεγνώσθησαν, τὴν δὲ τρίτην ἐδοκίμασαν· ἀμέλει κἀν τῷ περὶ τῶν Ἐκκλησιαστικῶν δογμάτων βιβλίῳ θεσπίζεται οὔτε εἶναι τὰς τῶν ἀνθρώπων ψυχὰς ἀπαρχῆς πρὸς ταῖς λοιπαῖς νοεραῖς φύσεσιν, οὔτε ἅμα ἐκτίσθαι πιστεύομεν, ὥσπερ Ὠριγένης ἐπλάσατο, οὔθ' ὅτι ὁμοῦ τοῖς σώμασι διὰ τῆς συνουσίας σπείρονται, ὥσπερ Ἑωσφοριανοὶ καὶ Κύριλλος, καί τινες ἄλλοι τῶν ἀπονενοημένων Λατίνων δισχυρίζονται, ἀλλὰ φαμὲν τὸ σῶμα μόνον διὰ τῆς τῶν γάμων συναφείας σπείρεσθαι, μορφωθέντος δὲ ἤδη τοῦ σώματος, τὴν ψυχὴν κτίζεσθαι καὶ ἐγχεῖσθαι. Διαφόρως δὲ σκοποῦσι σὺν δίκῃ φαίνονται τῆς δόξης ἐκείνης καταψηφίσασθαι, ἣ τὴν λογικὴν ψυχὴν ἠξίου τῷ σπέρματι συγκαταβάλλεσθαι, περὶ ἧς νῦν ἐστιν ἡ σκέψις. Τρισὶ δὲ λογισμοῖς δύναται δοκεῖν τά γε ἐν τῷ παρόντι. Ὧν ὁ πρῶτος· ἡ γὰρ λογικὴ ψυχὴ τοῦτο τῶν ἄλλων εἰδῶν διενήνοχεν, ὅτι ταῖς μὲν ἄλλοις ἐνύλοις εἴδεσιν, οὐ προσήκει τὸ εἶναι, ὥστε καθ' αὐτὰ ὑφεστάναι τῷ εἴδῃ, ἀλλ' ὥστε αὐτοῖς τὰ εἰδοποιούμενα πράγματα καθ' αὐτὰ ὑποστῆναι· ἡ δὲ λογικὴ ψυχὴ οὕτω τοι
P 58r δὴ | τὸ εἶναι ἔχει, ὡς ἐν αὐτῇ ὑφεστάναι· καὶ τοῦτο φανερὸν καθίστησι τὸ διάφορον τῆς κατὰ τὴν ἐνέργειαν κινήσεως. Ἐπεὶ γὰρ οὐ δύναται ποιεῖν εἰ μὴ τὸ ὄν, ἕκαστον ποιεῖ καθ' ὃν ἔχει τρόπον πρὸς τὸ εἶναι· ὅθεν, κἀπειδὴ ἐν μὲν ταῖς ἐνεργείαις τῶν ἄλλων εἰδῶν ἀνάγκη κοινωνεῖν τὸ σῶμα, οὐκ ἔχει δ' οὕτω κἀν ταῖς τῆς λογικῆς ψυχῆς ἐνεργείαις, αἵπέρ εἰσι τό τε νοεῖν καὶ βούλεσθαι, ἀναγκαῖον αὐτῇ τῇ λογικῇ ψυχῇ τὸ εἶναι ἀποφέρειν ὡσανεὶ πράγματι ὑφεστῶτι, οὔκουν γε μὴν τοῖς ἄλλοις εἴδεσι. Κἀντεῦθεν ἐστὶ τὸ τῶν ἄλλων εἰδῶν μόνην τὴν λογικὴν ψυχὴν τοῦ σώματος χωρίζεσθαι. Ἐξ οὗ δὴ προὖπτόν

**175-177** Αἳ – ἐξηγήσεως] Aug., De gen. ad litt. XII, cap. 16 (PL 34, cols 424-425). **180-186** κἀν – ἐγχεῖσθαι] Genn. Mass., De eccl. dogm., cap. 13 (PL 58, col. 984): Immortales esse credimus intellectuales naturas, quia carne carent, nec habent quo cadant, ut resurrectione egeant post ruinam necessaria.

**175** παρὰ Θεοῦ] deest Aq. **176** τοῖς – ἥκουσιν] verteretur Aq. **176** ἐν – ἐξηγήσεως] deest Aq. **182-183** ὥσπερ – σπείρονται] om. et al. man. add. in marg. sin. M **192** ὑποστῆναι] ὑποστᾶναι M (subsistant Aq.) **195-196** καθ' – ἄλλων] om. et al. man. add. in marg. sin. M

**ἐστιν εἰς τὸ εἶναι παριέναι τὴν λογικὴν ψυχήν, οὐχ ὅπως δὴ καὶ τὰ ἄλλα εἴδη, οἷς ἀκριβολογουμένοις οὐ προσήκει τὸ γίνεσθαι. Λέγονται δὲ γίνεσθαι γινομένου τινός· τὸ γὰρ κυρίως γινόμενον καθ' αὑτὸ γίνεται. Ὃ δὲ καθ' αὑτὸ γίνεται, ἢ ἐξ ὕλης γίνεται ἢ ἐκ τοῦ μηδαμῶς. Ὃ δὲ ἐκ τῆς ὕλης γίνεται, ἀναγκαῖόν ἐστιν ἐξ ὕλης γίνεσθαι ἐναντιότητι ὑποκειμένης.** Αἱ γὰρ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶ **κατὰ τὸν Φιλόσοφον. Ὅθεν, ἐπειδὴ ἡ ψυχὴ ἢ καθάπαξ ὕλην οὐκ ἔχει ἢ τοὐλάχιστον ὕλην μὴ ἐναντιότητι ὑποκειμένην, οὐχ οἷόν τε γενέσθαι ἐξ ἄλλου. Ὅθεν ὑπόλοιπόν ἐστι προϊέναι εἰς τὸ εἶναι διὰ δημιουργίας, οἱονεὶ ἐκ τοῦ μηδενὸς γεγονυῖαν. Τὸ δὲ τιθέναι ταύτην διὰ τῆς τοῦ σώματος γεννήσεως γίνεσθαι, προϋποτιθέναι ταύτην ἐστὶ μὴ ὑφεστάναι καθ' αὑτήν, καὶ κατὰ τὸ εἰκὸς οἴχεσθαι οἰχομένου τοῦ σώματος. Δευτέρα δὲ ἀπόδειξίς ἐστιν· ἀδύνατον γάρ ἐστι τὴν ἐνέργειαν τῆς σωματικῆς δυνάμεως εἰς τοσοῦτον ἀναδραμεῖν, ὥστε δύναμιν καθάπαξ νοητὴν καὶ ἀσώματον κτίζειν δύνασθαι (οὐδὲν γὰρ ποιεῖ ὑπὲρ τὰ σκάμματα τοῦ ἑαυτοῦ εἴδους), μᾶλλον μὲν οὖν** τὸ ποιοῦν ἡγεμονικώτερον εἶναι **τοῦ πάσχοντος, κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ Εἰς τὴν γένεσιν δωδεκάτῳ. Ἡ γέννησις δὲ τοῦ ἀνθρώπου γίνεται διὰ τῆς γεννητικῆς δυνάμεως, ἥτις ἔχει ὄργανον σωματικόν·** ἥ τε ἐν τῷ σπέρματι δύναμις **οὐ δρᾷ ὅτι μὴ μεσιτευούσης τῆς** θέρμης, **ὡς λέγεται ἐν τῷ δεκάτῳ ἕκτῳ Περὶ ζῴων. Ὅθεν, ἐπεὶ ἡ λογικὴ ψυχή ἐστιν εἶδος καθάπαξ νοητόν, οὐκ ἐκκρεμαμένη τοῦ σώματος μήτε κοινωνοῦσα τῷ σώματι ἐν τῷ ἐνεργεῖν, ἀμήχανόν ἐστι διὰ τῆς τοῦ σώματος γεννήσεως φύεσθαι ἢ προϊέναι εἰς τὸ εἶναι διά τινος δυνάμεως ὑπούσης τῷ σπέρματι. Τρίτη λύσις ἐστίν, ὅτι πᾶν** εἶδος **ἔνυλον εἰς τὸ εἶναι παριὸν διὰ** γεννήσε**ως** ἢ δυνάμεως φύσεως **πρόεισιν ἐκ τῆς κατὰ τὴν ὕλην** δυνάμεως, **ὡς δείκνυται ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. Ἡ δὲ λογικὴ ψυχὴ οὐ δύναται προϊέναι ἐκ τοῦ τῆς ὕλης δυνάμει. Τῶν γὰρ εἰδῶν, ὧν αἱ ἐνέργειαι οὐκ εἰσὶ μετὰ τοῦ σώματος, οὐ δύνανται ἐκ τῆς σωματικῆς ὕλης προάγεσθαι. Ὅθεν λείπεται τὴν λογικὴν** P 58v **ψυχὴν | μὴ φύεσθαι διὰ τῆς τοῦ γεννῶντος δυνάμεως· οὗτος δ' ὁ λόγος ἐστὶ τοῦ Ἀριστοτέλους ἐν τῷ Περὶ ζῴων δεκάτῳ ἕκτῳ.**

**205-206** Αἱ -- εἰσί] Ar., De gen. et corr., 335a: αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσίν. **215-216** τὸ – δωδεκάτῳ] Aug., De gen. ad litt. XII, cap. 16, n. 33 (PL 34, col. 467): Omni enim modo praestantior est qui facit. **217-219** ἥ – ζῴων] cf. Ar., De gen. an. IV, 772a.8-17: ἡ δύναμις ἡ ἐν τῷ σπέρματι – ξηρόν. **223-225** πᾶν – φυσικά] Ar., Metaph. VII, 1033b.5-7: οὐδὲ τὸ εἶδος – ἢ δυνάμεως.

**202** ἀκριβολογουμένοις] proprie Aq. **214** ὑπὲρ – σκάματα] ultra Aq. **216** ἐν – δωδεκάτῳ] deest Aq. **221-222** προϊέναι – λύσις] om. et al. man. add. in marg. dex. M | ἀμήχανόν ἐστι] nullo modo ... potest Aq. | λύσις] ratio Aq. **224** πρόεισιν] πρόσιν M **229** ἐν – δεκάτῳ] deest Aq.

**[3.9.31] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν τῷ προενεχθέντι θεσπίσματι κατὰ συνεκδοχὴν τίθεται τὸ μέρος ἀντὶ τοῦ ὅλου, εἴτουν ἡ ψυχὴ ἀντὶ τοῦ ὅλου ἀνθρώπου· καὶ τοῦτο διὰ τόδε, ὅτι ἡ ψυχὴ ἀρχικώτερον μέρος ἐστὶ τοῦ ἀνθρώπου, ἑκάστου δὲ ὅλον δοκεῖ εἶναι τὸ ἐν αὐτῷ κρεῖττον· ὅθεν** καὶ **ὅλος ὁ** ἄνθρωπος **δοκεῖ εἶναι** νοῦς, **ᾗ δὴ λέγεται ἐν τῷ τετάρτῳ τῶν Ἠθικῶν.**

**[3.9.32] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὅλος ὁ ἄνθρωπος ἔξεισιν ἐκ τοῦ μηροῦ τοῦ γεννῶντος, διὰ τὸ τὴν δύναμιν τοῦ σπέρματος ἐκ τοῦ μηροῦ προϊόντος δρᾶν πρὸς τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος συνάφειαν, ᾗ διατίθησι τὴν ὕλην τῇ ἄκρᾳ διαθέσει, ἥτις ἐστὶν ἀναγκαία πρὸς τὸ εἶδος· ᾗ δὴ συναφείᾳ, ὁ ἄνθρωπος ἔχει τὸ εἶναι ἄνθρωπος, οὐχ οὕτω δέ, ὅτι πᾶν τὸ μέρος τοῦ ἀνθρώπου διὰ τῆς τοῦ σπέρματος δυνάμεως κτίζεται.**

**[3.9.33] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ προπατορικὴ ἁμαρτία λέγεται ἁμαρτία πάσης τῆς φύσεως, ὥσπερ ἡ κατ' ἐνέργειαν ἁμαρτία λέγεται ἁμαρτία προσωπική· ὅθεν ἥτίς ποτέ ἐστι παράθεσις τῆς κατ' ἐνέργειαν ἁμαρτίας πρὸς ἓν ἰδικὸν πρόσωπον, ἡ αὐτή ἐστι καὶ τῆς προπατορικῆς ἁμαρτίας παράθεσις πρὸς τὴν φύσιν ὅλην τὴν ἀνθρωπείαν καὶ τὴν καταβαλλομένην ἀπὸ τοῦ πρώτου προγόνου, ἐφόσον γέγονεν ἀρχὴ πρώτη τῆς φύσεως, οὗ καὶ διὰ τῆς θελήσεως ἐν πᾶσιν ἡ προγονικὴ ἁμαρτία ὡσανεὶ βουλητὸν καταλογίζεται. Οὕτω τοίνυν ἡ προπατορικὴ ἁμαρτία ἔστιν ἐν τῇ ψυχῇ, ἐφόσον προσήκει τῇ ἀνθρωπείᾳ φύσει. Ἡ ἀνθρωπεία δὲ φύσις μέτεισιν ἀπὸ τοῦ πατρὸς εἰς τὸν υἱόν, διὰ τῆς τῆς σαρκὸς μεταδόσεως, ᾗ μετὰ ταῦτα ἡ ψυχὴ ἐνστάζεται, κἀκ τούτου τῇ τῆς ἁμαρτίας λώβῃ προσπταίει, καθόσον γίνεται σὺν τῇ σαρκὶ ἀνθρωπεία φύσις. Εἰ γὰρ μὴ ἑνωθείη αὐτῇ πρὸς τὸ μίαν φύσιν ποιεῖν, ἀλλ' ὥσπερ ὁ ἄγγελος τῷ ἀναλαμβανομένῳ σώματι, τὴν λώβην οὐκ ἂν ὑφίστατο.**

**[3.9.34] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, καθάπερ ἐν τῇ τοῦ Ἀδὰμ φύσει ἦν ἡ φύσις πάντων ἡμῶν σπερματικῶς, οὕτω καὶ ἡ προπατορικὴ ἁμαρτία ἡ ἐν ἡμῖν οὖσα ἦν ἐν ἐκείνῃ τῇ ἁμαρτίᾳ σπερματικῶς. Ἡ δὲ προγονικὴ ἁμαρτία, καθ' αὑτὴν σκοπεῖ τὴν φύσιν, τὴν δὲ ἡμετέραν ψυχὴν κατὰ συμβεβηκός.**

**[3.9.35] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ γεννῶν ἄνθρωπος γεννᾷ ὅμοιον ἑαυτῷ τῷ εἴδει τῇ δυνάμει τοῦ ἐν αὐτῷ εἴδους, δηλαδὴ τῆς λογικῆς ψυχῆς, οὐχ ὅτι αὐτή ἐστιν ἄμεσος ἀρχὴ ἐν τῇ ἀνθρωπείᾳ γεννήσει δρῶσα, ἀλλ' ὅτι ἡ**

**233-234** ὁ – Ἠθικῶν] Ar., Eth. nic. IV., 1112a.33: ἔτι δὲ νοῦς καὶ πᾶν τὸ δι' ἀνθρώπου.

**233-234** αὐτῷ – τετάρτῳ] om. et al. man. add. in marg. dex. M **234** Hic post εἶναι Aq. habet: anima vel. **239** τὸ] bis acc. P **246** ἀρχὴ – φύσεως] peccati initium Aq. **251** τῆς ἁμαρτίας] deest Aq. **257** τὴν] bis scripsit M

γεννητικὴ δύναμις καὶ τὰ ἐν τῷ σπέρματι δρῶντα οὐ διατιθέασι τὴν ὕλην, ὡς σῶμα γίνεσθαι, ἀπηρτισμένον τῇ συναφθησομένῃ λογικῇ ψυχῇ, εἰ μὴ ἐφόσον δρῶσιν ὡς ὄργανα λογικῆς ψυχῆς. Ἤδε μέντοι ἡ ἐνέργεια οὐ δύναται P 59r ἐξικνεῖσθαι εἰς τελειότητα | λογικῆς ψυχῆς τοῖς προειρημένοις λόγοις.

**[3.9.36] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ γεννῶν γεννᾷ ὅμοιον ἑαυτῷ τῷ εἴδει, ἐφόσον τὸ γεννώμενον τῇ ἐνεργείᾳ τοῦ γεννῶντος πρόεισι πρὸς τὸ μετέχειν τοῦ εἴδους αὐτοῦ· ὅπερ γίνεται διὰ τοῦ τὸ γεννώμενον τυγχάνειν εἴδους ὁμοίου τῷ γεννῶντι. Εἰ τοίνυν τὸ εἶδος ἐκεῖνο μὴ εἴη ὑφεστὼς καθ' αὑτό, ἀλλὰ τὸ εἶναι αὐτοῦ μόνον ἐστὶν ἐν τῷ ἑνοῦσθαι ἐκείνῳ, οὗ εἶδος ἐστί, δεήσει τὸ γεννῶν εἶναι αἰτίαν αὐτοῦ τοῦ εἴδους· ὅπερ συμβαίνει ἐν πᾶσι τοῖς φυσικοῖς εἴδεσιν. Εἰ δὲ τοιοῦτόν τι εἴη εἶδος οἷον αὐθυπόστατον καὶ οὐκ ἤρτηται τὸ εἶναι αὐτοῦ τοπαράπαν ἐκ τῆς πρὸς τὴν ὕλην ἑνώσεως, ὥσπερ ὂν τυγχάνειν τῇ λογικῇ ψυχῇ, τηνικαῦτα ἀπόχρη τὸ γεννῶν εἶναι αἰτίαν τῷ εἴδει τῆς τοιαύτης ἑνώσεως πρὸς τὴν ὕλην κατὰ τὸ διατιθέναι τὴν ὕλην πρὸς τὸ εἶδος, ἀλλ' οὐκ ἀνάγκη εἶναι αἰτίαν τοῦ τοιοῦδε εἴδους.**

**[3.9.37] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι αὐτῇ τῇ διαθέσει τοῦ σώματος ἕπεται ἡ τῆς λογικῆς ψυχῆς διάθεσις, τοῦτο μὲν ὅτι ἡ λογικὴ ψυχὴ λαμβάνει ἀπὸ τοῦ σώματος, τοῦτο δ' ὅτι κατὰ τὴν τῆς ὕλης διαφορὰν ποικίλλεται καὶ τὰ εἴδη. Κἀντεῦθεν ἐστὶν ὅτι οἱ παῖδες ἐοίκασι τοῖς πατράσι κἀν τοῖς εἰς ψυχὴν τείνουσιν, οὐχ ὅτι ψυχὴ ἐκ ψυχῆς ἔξεισι.**

**[3.9.38] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, ἐπεὶ ἡ ψυχή ἐστι τὸ ἐνεργείᾳ τοῦ ζῶντος σώματος, τὸ ζῆν δὲ ἐστὶ διά τε τοῦ θερμοῦ καὶ ὑγροῦ, ἃ ἐν τῷ ζῴῳ διὰ τοῦ αἵματος συντηρεῖται, διατοῦτο λέγεται ἡ ψυχὴ εἶναι ἐν τῷ αἵματι, πρὸς τὸ δηλοῦν τὴν ἰδίαν ἀπόδοσιν τοῦ σώματος, ἐφόσον ἐστὶ τελεία ὕλη πρὸς τὴν ψυχήν.**

**[3.9.39] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι περὶ τὰ τῶν ἐμβρύων πάθη διαφόρως τινὲς ἐδόξασαν. Τινὲς γὰρ εἴκασαν ἐν τῇ ἀνθρωπίνῃ γεννήσει τὴν πρόοδον τῆς λογικῆς ψυχῆς τῇ προόδῳ τοῦ ἀνθρωπείου σώματος, λέγοντες καθάπερ τὸ σῶμα τὸ ἀνθρώπινον ἔστιν ἐν τῷ σπέρματι δυνάμει, οὐ μέντοι ἴσχον ἐνεργείᾳ τοῦ ἀνθρωπείου σώματος τὴν τελειότητα ἐν τῇ τῶν ὀργάνων εὐκρινείᾳ συνεστηκυῖαν, ἀλλὰ καταβραχὺ διὰ τῆς τοῦ σπέρματος δυνάμεως πρὸς τὴν**

**262** ἀπηρτησμένον] perfectibile Aq. | συναφθησομένῃ] deest Aq. **263** ὄργανα] ὄργανον M (instrumenta Aq.) **271** αὐθυπόστατον] subsistentiam habeat Aq. **271-272** οἷον – ἑνώσεως] om. et al. man. add. in marg. sin. M **274** τοιαύτης] αὐτῆς M **281** Hic post ἐστι Aq. habet: proprie. **285** πάθη] vitam Aq. **286** εἴκασαν] εἴκασιν M (assimilaverunt Aq.) **290** καταβραχὺ] paulatim Aq.

τοιάνδε τελειότητα ἡ ἔφοδος γίνεται, οὕτω κἀν τῇ τῆς γεννήσεως ἀρχῇ ἔστιν ἐκεῖ ψυχὴ δύναμιν τινὰ ἴσχουσα πασῶν τῶν τελειοτήτων, ἣ μεταταῦτα φαίνεται ἐν τῷ ἀνθρώπῳ τελεωθέντι, οὐ μέντοι ἔχουσα αὐτὴν ἐνεργείᾳ, ἐφόσον μηδὲ ἔστιν ἐκεῖ φωράσαι τὰς τῆς ψυχῆς ἐνεργείας, ἀλλὰ τῇ τοῦ χρόνου προόδῳ, κατὰ μικρὸν αὐτὴν ἀγείρουσα ἀναλαμβάνει οὕτως, ὥστε πρῶτον μὲν καθορᾶσθαι ἐν αὐτῇ τὰς τῆς θρεπτικῆς καὶ αὐξητικῆς ψυχῆς ἐνεργείας κἄπειτα τῆς αἰσθητικῆς ψυχῆς, καὶ οὕτως ἤδη τῆς λογικῆς ψυχῆς. Καὶ ταύτης ἅπτεται τῆς δόξης ὁ Νυσσαεὺς Γρηγόριος ἐν τῷ Περὶ ἀνθρώπου βιβλίῳ αὐτοῦ. Ἀλλ’ αὕτη ἡ δόξα ἀσύστατός ἐστιν. Ἢ γὰρ νοεῖ ὅτι αὐτὴ ἡ ψυχὴ

P 59v κατὰ τὸ ἑαυτῆς εἶδος | ὕπεστι τῷ σπέρματι, μήπω ἔχουσα τὰς ἐνεργείας τελείας ἀμηχανίᾳ τῶν ὀργάνων, ἢ νοεῖ ἀπαρχῆς ἐν τῷ σπέρματι εἶναί τινα δύναμιν, ἢ εἶδος μήπω ἔχον τὸ τῆς ψυχῆς εἶδος, ὥσπερ οὔτε τὸ σπέρμα ἔχει τὸ τοῦ ἀνθρωπείου τοῦ σώματος εἶδος, βάδην δὲ ἵεται διὰ τῆς τῆς φύσεως ἐνεργείας πρὸς τὸ αὐτὴν ταύτην εἶναι ψυχήν, πρῶτον μὲν αὐξητικὴν καὶ θρεπτικήν, δεύτερον αἰσθητικήν, καὶ ὕστατον λογικήν. Τὸ μὲν οὖν πρῶτον μόριον ταυτησὶ τῆς διαιρέσεως ἀναιρεῖται πρῶτον μὲν τῇ τοῦ Φιλοσόφου ἀποφάσει· εἴρηται γὰρ ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ ὅτι ἡ τῆς ζωῆς δύναμις ἡ ἐν τῷ φυσικῷ ὀργανικῷ σώματι, οὗ τὸ ἐνεργείᾳ ἐστὶν ἡ ψυχή, οὐκ ἀναδίδωσι τὴν ψυχὴν ὥσπέρ τι σπέρμα καρπόν, ἐξ οὗ ὑφορμεῖ οὕτω τὸ σπέρμα ἐν δυνάμει πρὸς τὴν ψυχὴν εἶναι, ὡς ψυχῆς στέρεσθαι. Ἔπειτα, ἡνίκα τὸ σπέρμα μήπω τυγχάνει ὑστάτῃ διαρθρώσει τῶν μελῶν διηρθρωμένον, ἀλλ’ ἔστι περίττωμα τῆς τελευταίας πέψεως, ὡς λέγεται ἐν τῷ Περὶ ζῴων δεκάτῳ πέμπτῳ, οὐκ ἂν δέξαιτο, ἐν τῷ τοῦ γεννῶντος σώματι ὄν, τελέαν ψυχήν· ὅθεν οὐχ οἷόν τε ἀρχόμενον ἀποσπᾶσθαι ἔχειν ἐν αὐτῷ ψυχήν. Τρίτον, ὅτι καὶ δοθέντος συνεκπτίπτειν αὐτῷ ψυχήν, οὐχ οἷόν τε ὅμως τοῦτο λέγεσθαι περὶ τῆς λογικῆς ψυχῆς· ἣ μὴ οὖσα τὸ ἐνεργείᾳ τινὸς μέρους σώματος, οὐ δύναται περικοπτομένου τοῦ σώματος συνεκκόπτεσθαι. Τὸ δὲ προειρημένον τῆς διαιρέσεως, δεύτερον σκέλος φαίνεται εἶναι καὶ τοῦτο ψεῦδος. Ἐπεὶ γὰρ τὸ

**298-299** Καὶ – αὐτοῦ] Greg. Nyss., De an. (PG 45, col. 187). **307-309** Εἴρηται – καρπόν] Ar., De an. II, 412b.25-27: ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς τὴν ψυχὴν τὸ δυνάμει ὂν ὥστε ζῆν, ἀλλὰ τὸ ἔχον˙ τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα. **311-313** τὸ – πέμπτῳ] Ar., De gen. an. XV, 736b.26-27 τὸ γὰρ σπέρμα περίττωμα μεταβαλλούσης τῆς τροφῆς ἐστιν.

**291** ἡ – γίνεται] pervenitur Aq. **295** κατὰ μικρὸν] paulatim Aq. **296** θρεπτικῆς] vegetabilis Aq. **299-301** ἐστὶν – μήπω] om. et al. man. add. in marg. dex. M **303** βάδην] paulatim Aq. **309** καρπόν] καπόν M **311** Hic post διηρθρωμένον Aq. habet: sic enim eius resolutio esset corruptio quaedam.

**οὐσιῶδες εἶδος οὐ συνεχῶς οὐδὲ κατὰ διαδοχὴν εἰς ἐνέργειαν πρόεισιν, ἀλλ’ ἐν ἀκαρεῖ, ἐπεὶ δεήσει κίνησιν εἶναι ἐν τῷ τῆς οὐσίας γένει, ᾗ δὴ κἀν τῷ τῆς ποιότητος, οὐ δύναται ἐκείνη ὡσανεὶ ἡ δύναμις, ἥτις ἐστὶν ἀπαρχῆς ἐν τῷ σπέρματι, κατ’ ἐπιδοχὴν ἐκτελεῖν διαφόρους τῆς ψυχῆς προόδους. Οὐ γὰρ τὸ τοῦ πυρὸς εἶδος ἐν τῷ ἀέρι τούτῳ τῷ τρόπῳ ἐνίοτε ὡς ἐξῆς προελθεῖν ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον· ἐφόσον μηδὲν εἶδος οὐσιῶδες ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· μόνον δὲ ἡ ὕλη ἡγουμένης τῆς ἀλλοιώσεως ποικίλλεται, ὡς μᾶλλον ἢ ἧττον διακεῖσθαι πρὸς τὸ εἶδος. Τὸ δ’ εἶδος οὐκ ἄρχεται εἶναι ἐν τῇ ὕλῃ, εἰ μὴ τῷ ὑστάτῳ ἀτόμῳ τῆς ἀλλοιώσεως. Ἕτεροι δὲ φασίν, ὅτι ἐν τῷ σπέρματι πρῶτον ἐστὶ θρεπτικὴ καὶ αὐξητικὴ ψυχή, εἶτα ἐμβάλλεται ἡ αἰσθητικὴ ψυχὴ ἐκ τῆς τοῦ γεννῶντος δυνάμεως, καὶ ἔσχατον ἐφίσταται ἡ λογικὴ ψυχὴ διὰ τῆς δημιουργίας, οὕτως ὥστε τιθέναι ἐν τῷ ἀνθρώπῳ τρεῖς ψυχὰς τῇ οὐσίᾳ διαφερούσας. Ἀλλ’ ἐναντίως ἔχει τὸ λεγόμενον ἐν τῷ Περὶ τῶν ἐκκλησιαστικῶν δογμάτων βιβλίῳ·** οὔτε δύο ψυχὰς φαμὲν εἶναι ἐν τῷ ἑνὶ ἀνθρώπῳ, καθάπερ Ἰάκωβος καὶ ἄλλοι τῶν Σύρων γεγράφασι, μίαν ζωώδη, ᾗ ψυχοῦται τὸ σῶμα, ἣ καὶ μίγνυται τῷ αἵματι, καὶ ἑτέραν νοητὴν
P 60r χορηγοῦσαν τὸν λόγον. **Αὖθις δὲ ἀδύνατόν | ἐστιν ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος εἶναι πολλὰ εἴδη οὐσιώδη· ἐπεὶ γὰρ τὸ οὐσιῶδες εἶδος ποιεῖ εἶναι οὐ μόνον κατά τι, ἀλλὰ καὶ ἁπλῶς, καὶ καθιδρύει ἐν τῷ τῆς οὐσίας γένει, ἣν [prima forma] τοῦτο ποιήσῃ, καὶ τὸ δεύτερον ἐπιὸν εὕρηται τὸ ὑποκείμενον ἐν τῷ οὐσιώδει εἶναι ἤδη καθιδρυμένον, κατὰ συμβεβηκὸς αὐτῷ ἔπεισι· καὶ οὕτως ἕψεται τὴν αἰσθητικὴν καὶ λογικὴν ψυχὴν ἐν τῷ τοῦ ἀνθρώπου σώματι κατὰ συμβεβηκὸς ἑνοῦσθαι. Ἀλλ’ οὐδὲ οἷόν τε λέγεσθαι τὴν θρεπτικὴν καὶ αὐξητικὴν ψυχήν, ἥτις ἐν τῷ φυτῷ τυγχάνει οὖσα εἶδος οὐσιῶδες, εἶναι διαθέσεως ποιητικὴν πρὸς τὸ εἶδος· τὸ γὰρ ὂν ἐκ τοῦ τῆς οὐσίας γένους οὐδενὸς συμβεβηκὸς εἶναι δύναται, ὡς λέγεται ἐν τῷ τῆς Φυσικῆς πρώτῳ. Ὅθεν αὖθις ἄλλοι φασὶν τὴν θρεπτικὴν καὶ αὐξητικὴν ψυχὴν ἐν δυνάμει εἶναι πρὸς τὴν αἰσθητικὴν ψυχήν, καὶ τὴν αἰσθητικὴν εἶναι**

**333-336** ἐν – λόγον] Genn. Mass., De eccl. dogm., cap. 13 (PL 58, col. 984): Neque duas animas esse dicimus in uno homine, sicut Jacobus et alii Syrorum disputatores scribunt, unam animalem qua animetur corpus, et immixta sit sanguini, et alteram spiritalem quae rationem ministret. **344-346** τὸ – πρώτῳ] Ar., Phys. I, 184b.

**323** ἐκτελεῖν] ἐκτελῶν M (proficiat Aq.) **324** τούτῳ] deest M | ἐνίοτε] inducitur Aq. | προελθεῖν] προελθῶν M (procedat Aq.) **329** Hic post εἶτα Aq. habet: ea manente. **331** τιθέναι] ponunt … esse Aq. **333** ἐν – βιβλίῳ] deest Aq. **335** γεγράφασι] γεγράφησαν M (scribunt Aq.) **338** τι] τε M (quid Aq.) **343** θρεπτικὴν – αὐξητικὴν] vegetabilem Aq. | τυγχάνει οὖσα] est Aq. **346** θρεπτικὴν – αὐξητικὴν] vegetabilem Aq.

τὸ ἐνεργείᾳ αὐτῆς, ὅθεν ἡ φυτικὴ ψυχή, ἣ πρότερον οὖσα ἐν τῷ σπέρματι, διὰ τῆς ἐνεργείας τῆς φύσεως παραπέμπεται πρὸς συμπλήρωσιν τῆς αἰσθητικῆς ψυχῆς· καὶ τούτων ἐπέκεινα ἡ λογικὴ ψυχή ἐστι τὸ ἐνεργείᾳ καὶ ἡ ἐντελέχεια τῆς αἰσθητικῆς ψυχῆς, ὅθεν ἡ αἰσθητικὴ ψυχὴ ψυχαγωγεῖται ὡς εἰς ἑαυτῆς τελειότητος, δηλαδὴ τὴν λογικὴν ψυχήν, οὐ τῇ ἐνεργείᾳ τοῦ γεννῶντος, ἀλλὰ τῇ τοῦ δημιουργοῦντος. Καὶ ταύτῃ φασὶν ὅτι αὐτὴ ἡ λογικὴ ψυχὴ ἐν τῷ ἀνθρώπῳ τῇ μὲν ἔστιν ἔξωθεν ὅσον πρὸς τὴν νοερὰν φύσιν, τῇ δὲ ἔνδοθεν, τό γ' ἧκον πρὸς τὴν φυτικήν τε αἰσθητικὴν ψυχήν. Τοῦτο δ' οὐκ ἂν ἔχοι τις δεῖξαι· ὡσανεὶ γὰρ τοῦτο νοεῖται, ὅτι ἡ νοερὰ ψυχὴ ἔστι τις ψυχὴ φυτικὴ καὶ αἰσθητικὴ καὶ οὕτως ἐπάνεισιν εἰς τὸ αὐτὸ τῇ δευτέρᾳ δόξῃ, ἐφόσον οὕτω νοεῖται, ὅτι ἐκ τῶν τριῶν τούτων φύσεων ἡ τῆς ψυχῆς οὐσία συνέστηκεν, ἐν ᾗ φύσει ἡ μὲν νοερὰ ἔσται τὸ εἰδικόν, ἡ δὲ αἰσθητικὴ καὶ φυτικὴ ἔσται καθάπερ ὑλικόν. Ἀφ' οὗ ἕπεται τῆς αἰσθητικῆς φύσεως καὶ φυτικῆς φθαρτῶν οὐσῶν, ὡσὰν ἐκ τῆς ὕλης ἀναδιδομένων, τὴν τῆς ἀνθρωπίνης ψυχῆς οὐσίαν ἀίδιον μὴ δύνασθαι εἶναι. Ἔτι, ἕπεται κἀκεῖνο τὸ ἄτοπον, τὸ πρὸς τὴν πρώτην ἀνθυπενεχθέν, ἤτοι τὸ οὐσιῶδες εἶδος κατ' ἐκδοχὴν προαχθῆναι εἰς τὸ ἐνεργείᾳ. Ἄλλοι δέ φασιν ὅτι τὸ ἔμβρυον οὐκ ἔχει ψυχήν, ἄχρι οὗ ἂν ἀπαρτισθείη τῇ λογικῇ ψυχῇ· αἱ δὲ διορώμεναι ἐν αὐτῷ τῆς ζωῆς ἐνέργειαι εἰσὶν ἐκ τῆς τῆς μητρὸς ψυχῆς. Ἀλλ' οὐδὲ τοῦτο οἷόν τε εἶναι· καὶ γὰρ τοῦτο τὰ ζῶντα ἀπὸ τῶν μὴ ζώντων διενήνοχεν, ὅτι τὰ ζῶντα κινεῖ αὐτὰ ἑαυτὰ κατὰ τὰς τῆς ζωῆς ἐνεργείας, ὅπερ ἐπὶ τῶν μὴ ζώντων οὐχ οἷόν τε λέγεσθαι· ὅθεν οὐδὲ δύναται τό τε τρέφεσθαι καὶ αὐξάνεσθαι, ἅπέρ ἐστιν ἴδιαι τοῦ ζῶντος ἐνέργειαι, εἶναι
P 60v μὲν ἐν τῷ ἐμβρύῳ ἀπὸ ἀρχῆς ἐξωτερικῆς, | εἴτουν ἐκ τῆς μητρὸς ψυχῆς καὶ οὐκ ἐκ τοῦ σώματος τοῦ ἐμβρύου. Ἐπειδὰν δὲ παύσηται τρέφεσθαι τῷ ἀτόμῳ εἶναι ποιητικὰ τοῦ εἴδους. Αὖθις τὲ τὸ αἰσθάνεσθαι, οὐκ ἂν δύναιτο εἶναι ἐν τῷ ἐμβρύῳ ἐκ τῆς τῆς μητρὸς ψυχῆς. Καὶ διατοῦτο ἄλλοι φασίν, ὅτι ἐν τῷ ἐμβρύῳ οὐκ ἔστι ψυχὴ πρὸ τῆς ἐγχύσεως τῆς λογικῆς ψυχῆς, ἀλλ' ἔστιν ἐκεῖ δύναμις εἰδοποιὸς τὰς τοιάσδε τῆς ζωῆς ἐνεργείας, ἐν τῷ ἐμβρύῳ μεταχειρίζουσα. Ἀλλ' οὐδὲ τοῦτο εἶναι δύναται, ὅτι φαινομένων ἐν τῷ ἐμβρύῳ πρὸ τῆς τελευταίας συμπληρώσεως διαφόρων ἐνεργειῶν ζωῆς, οὐ

**350-351** ἔστι – ψυχὴ] om. et al. man. add. in marg. dex. M **354** ἔξωθεν … ἔσωθεν] intrinseco ... extrinseco Aq. **355** ψυχὴν] naturam Aq. **361** ὡσὰν] ὡσᾶν P **364** εἶδος] deest P (forma Aq.) **367** αὐτὰ ἑαυτὰ] ἑαυτὰ deest P; om. et al. man. add. in marg. sup. M (se ipsa Aq.) **371** Hic post ψυχῆς Aq. habet: Et praeterea virtus nutritiva matris assimilaret cibum corpori matris.

**δύνανται εἶναι ἀπὸ μιᾶς δυνάμεως· ἀμέλει καὶ ἀνάγκη εἶναι ἐκεῖ ψυχήν, ἔχουσαν διαφόρους δυνάμεις. Διά τοι τοῦτο καὶ ἄλλως ἂν εἴη ῥητέον, ὅτι ἐν τῷ σπέρματι εὐθὺς ἐκκρινομένῳ οὐκ ἔνεστι ψυχή, ἀλλὰ δύναμις ψυχῆς, ἱδρυμένη ἐν τῷ πνεύματι τῷ ἐν τῷ σπέρματι ἀπειλημμένῳ, ὃ σπέρμα ἐκ τῆς αὐτῆς φύσεως ἀφρῶδες ἐστὶ καὶ κατὰ τὸ εἰκὸς σωματικοῦ πνεύματος καθεκτικόν. Αὕτη δὲ ἡ δύναμις δρᾷ διατιθεῖσα τὴν ὕλην καὶ μορφοῦσα πρὸς ὑποδοχὴν τῆς ψυχῆς. Εἰδέναι δὲ ἄξιον ὅτι ἄλλως ἔχει ἐν τῇ τοῦ ἀνθρώπου γενέσει καὶ τοῦ ζῴου καὶ ἄλλως ἐν τῇ τοῦ ἀέρος καὶ τοῦ ὕδατος γενέσει. Ἡ μὲν γὰρ τοῦ ἀέρος γένεσίς ἐστιν ἁπλῆ· ἐν γὰρ τῇ ὅλῃ γενέσει τοῦ ἀέρος οὐ φαίνονται ὅτι μὴ δύο εἴδη οὐσιώδη, ἓν ὃ ἀπογίνεται, καὶ ἄλλο ὃ ἐπιγίνεται, ὅπερ ὅλον γίνεται ἐν ἑνὶ ἀκαριαίῳ ὁμοῦ· ὅθεν πρὸ τῆς παρόδου τοῦ εἴδους τοῦ ἀέρος ἀεὶ μένει ἐκεῖ τὸ τοῦ ὕδατος εἶδος, οὐδὲ ἔστιν ἐκεῖ παρασκευαὶ πρὸς τὸ τοῦ ἀέρος εἶδος. Ἐν δὲ τῇ τοῦ ζῴου γενέσει διάφορα καταφαίνεται εἴδη οὐσιώδη· πρῶτον γὰρ φαίνεται σπέρμα, κἄπειθ’ αἷμα, καὶ μετα ταῦθ’ οὕτως ἑξῆς, ἕως ἂν εἶδος γένηται ἀνθρώπου ἢ ζῴου. Καὶ ταύτῃ ἀνάγκη ταύτην μὴ εἶναι τὴν γέννησιν ἁπλῆν, ἀλλὰ περιληπτικὴν ἐν ἑαυτῇ πολλῶν γενέσεων καὶ φθορῶν. Οὐ γὰρ οἷόν τε τὸ αὐτὸ καὶ ἓν οὐσιῶδες εἶδος βαθμηδὸν χωρεῖν εἰς τὸ ἐνεργείᾳ, ὡς ἐν τοῖς φθάσασι δέδεικται. Οὕτω τοίνυν διὰ τῆς μορφοποιοῦ δυνάμεως τῆς ἐξ ἀφετηρίας αὐτῆς ἐνιζανούσης τῷ σπέρματι, τοῦ σπερματικοῦ εἴδους ἀποβαλλομένου ἔπεισιν εἶδος ἕτερον· οὗ πάλιν οἰχομένου ἐπάνεισιν ἄλλο, ὡς πρῶτον μὲν τὴν φυτικὴν εἰσδύνειν ψυχήν, κατόπιν δὲ ταύτης καταδυομένης τὴν αἰσθητικὴν ἀνίσχειν ψυχὴν καὶ φυτικήν· ἧς πάλιν ἀποβαλλομένης, πρόεισιν οὐ τῇ δυνάμει τῶν προειρημένων, ἀλλὰ τοῦ δημιουργοῦ ψυχή, ἣ ὁμοῦ λογική τε ἐστι καὶ αἰσθητικὴ καὶ φυτική. Καὶ ταύτῃ ῥητέον κατὰ ταύτην τὴν δόξαν τὸ ἔμβρυον**
P 61r **πρὸ τῆς λογικῆς ψυχῆς ζῆν καὶ | ψυχὴν ἔχειν. Οἷς δὴ οὐχ ἕπεται δύο ψυχὰς ἐν τῷ αὐτῷ διαιτᾶσθαι σώματι, οὔτε τὴν λογικὴν ψυχὴν συγκαταβάλλεσθαι τῷ σπέρματι.**

**[3.9.40] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ ἔμβρυον πρὶν ἂν σχῇ τὴν λογικὴν ψυχήν, οὐκ ἔστι τέλειον ὄν, ἀλλ’ ὁδῷ προϊὸν εἶσι πρὸς τὴν τελειότητα· ἀμέλει καὶ οὔτε ἐν γένει οὔτε ἐν εἴδει θεμιτὸν εἶναι λέγειν, εἰ μὴ κατὰ ἀναφοράν, καθάπερ τὸ ἀτελὲς ἀνάγεται πρὸς τὸ τοῦ τελείου γένος ἢ εἶδος.**

**391** τοῦ ζῴου] τῇ ζῷον M **383** αὐτῆς] intellige αὐτοῦ (attractio ex φύσεως) **395** βαθμηδὸν] βαθμηδῶν P (gradatim Aq.) **401** πάλιν] deest Aq. | προίεισιν] περίεισιν M (inducatur Aq.) **404** Hic post ἔχειν Aq. habet: qua abiecta, inducitur anima rationalis.

**[3.9.41] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἀπαρχῆς ἐν τῷ σπέρματι εἰ καὶ ψυχὴ μὴ εἴη, ἔστι μέντοιγε ἐκεῖ δύναμις ψυχῆς, ὡς εἴρηται, ἥ γε δύναμις ἐρρίζωται ἐν τῷ πνεύματι τῷ ἀπειλημμένῳ ἐν τῷ σπέρματι· λέγεται δὲ δύναμις ψυχῆς, ὅτι ἔστιν ἀπὸ τῆς τοῦ γεννῶντος ψυχῆς.**

**[3.9.42] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ ἔμβρυον πρὸ τῆς λογικῆς ψυχῆς ζῇ καὶ ψυχὴν ἔχει, ὡς εἴρηται· ὅθεν τούτῳ ἐν τῷ ἐπιχειρήματι συμβαίνομεν. [3.9.43] Ὁμοίως δὲ καὶ πρὸς τὸ τρισκαιδέκατον καὶ τεσσαρεσκαιδέκατον λόγον ὑφεκτέον, καὶ πεντεκαιδέκατον.**

**[3.9.44] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ εἰδοποιὸς δύναμις ἡ ἐξ ἀρχῆς ὑποῦσα τῷ σπέρματι μένει καὶ τῆς λογικῆς ψυχῆς παραβαλλούσης, ὡσπεροῦν καὶ ἡ τοῦ πνεύματος, ἐν ᾧ σχεδὸν ὅλη τοῦ σπέρματος ἡ οὐσία μεταβάλλει, μένει, κἀκείνη ἡ πρότερον οὖσα τοῦ σώματος εἰδοποιός, μεταταῦτα τῇ τοῦ σώματος ἐπιστατεῖ διοικήσει. Ὥσπερ καὶ ἡ θέρμη ἡ γινομένη διαθέτις πρὸς τὸ τοῦ πυρὸς εἶδος μένει καὶ τοῦ τοῦ πυρὸς εἴδους ἐπελθόντος, ὡς ὄργανον τοῦ εἴδους ἐν τῷ δρᾶν.**

**[3.9.45] Ὅθεν καὶ λύσις ὑπανοίγνυται πρός τε τὸ ἑπτακαιδέκατον καὶ ὀκτωκαιδέκατον.**

**[3.9.46] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ λογικὴ ψυχὴ οὐκ ἔστιν ἐκ τοῦ γεννῶντος, ἡ τοῦ σώματος μέντοι πρὸς αὐτὴν ἕνωσις ἔστιν ἐκ τοῦ γεννῶντος ἁμηγέπη. Καὶ διατοῦτο ἄνθρωπος γεννᾶσθαι λέγεται.**

**[3.9.47] Πρὸς τὸ εἰκοστὸν ῥητέον· τούτων εἵνεκα οὐκ ἔστιν ἐν τῷ ἀνθρώπῳ διττὸν τὸ εἶναι. Οὐ γὰρ οὕτως ὑποληπτέον εἶναι, τὸ σῶμα μὲν ἀπὸ τοῦ γεννῶντος, τὴν δὲ ψυχὴν ἀπὸ τοῦ δημιουργοῦντος, ὡσὰν ἰδίᾳ μὲν τῷ σώματι περιγίνεσθαι τὸ εἶναι παρὰ τοῦ γεννῶντος, ἰδίᾳ δὲ τῇ ψυχῇ ἀπὸ τοῦ δημιουργοῦντος, ἀλλ' ὅτι ὁ μὲν δημιουργὸς δίδωσι τὸ εἶναι τῇ ψυχῇ ἐν σώματι, ὁ δὲ γεννῶν διατίθησι τὸ σῶμα πρός τι μεταληπτικὸν εἶναι τοῦ τοιούτου εἶναι διὰ τῆς συναφθείσης αὐτῷ ψυχῆς.**

**[3.9.48] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι δύο ποιητικὰ παντάπασι χωριστὰ οὐ δύναται οὕτως ἔχειν, ὡς τὴν θατέρου μὲν ἐνέργειαν ὁρίζεσθαι πρὸς τὴν ὕλην, θατέρου δὲ πρὸς τὸ εἶδος· πλὴν τοῦτο συμβαίνει εἴωθεν ἐν**

**417** λόγον] λόγου M; deest Aq. **424-425** μένει – εἴδους] om. et al. man. add. in marg. dex. M

δύο ποιητικοῖς τάξιν ἔχουσιν, ὧν θάτερόν ἐστιν ὄργανον θατέρου. Ἡ γὰρ ἐνέργεια τοῦ πρώτου ποιοῦντος ἐνίοτε πρός τι ἐκτείνεται, πρὸς ὃ φθάνει ἡ τοῦ ὀργάνου ἐνέργεια οὐ δύναται. Ἡ φύσις δέ ἐστιν ὥσπερ ὄργανόν τι τῆς θείας δυνάμεως, ὡς ἀνωτέρω δέδεικται. Ὅθεν οὐδέν ἐστιν ἀπεοικός, εἰ μόνη ἡ θεία P 61v δύναμις ποιεῖ τὴν λογικὴν ψυχήν, τῆς φυσικῆς ἐνεργείας | πρὸς μόνην ἐξικνουμένης τὴν διάθεσιν τοῦ σώματος.

[3.9.47] Πρὸς δὲ τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι ὁ νοῦς ἐν τῷ σώματι διατελῶν οὐ δεῖται τινὸς σωματικοῦ ὀργάνου, ὃ πρὸς τὸ νοεῖν ὁμοῦ τῷ νῷ εἴη ἂν ἀρχή τις τῆς νοερᾶς ἐνεργείας, ὥσπερ ἐν τῇ ὄψει συμβαίνει· ἡ γὰρ τῆς ὁράσεως ἀρχὴ οὐκ ἔστιν ὄψεις μόνον, ἀλλ' ὀφθαλμὸς συνεστὼς ἔκ τε ὄψεως καὶ κόρης. Δεῖται δὲ ὁ νοῦς τοῦ σώματος καθάπερ ἀντικειμένου, ὥσπερ ἡ ὄψις δεῖται τοῦ τοίχου, ἐν ᾧ τὸ χρῶμα· τὰ γὰρ φαντάσματα παραβάλλονται πρὸς τὸν νοῦν, ὥσπερ τὰ χρώματα πρὸς τὴν ὄψιν, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Κανταῦθέν ἐστι τὸν νοῦν ἐν τῷ νοεῖν ἐμποδίζεσθαι λελυμασμένου τοῦ τῆς φαντασίας ὀργάνου, ἐφόσόν ἐστιν ἐν τῷ σώματι, δεῖται γὰρ φαντασίας οὐ μόνον ὡς εἰσδεχόμενος ἀπὸ τῶν φαντασμάτων, ἡνίκα τὰς ἐπιστήμας ἀναλέγεται, ἀλλὰ καὶ παραβάλλων τὰ εἴδη τὰ νοητὰ τοῖς φαντάσμασιν καὶ μετὰ τὴν τῆς ἐπιστήμης ἀνάληψιν. Δι' ἃ δὴ καὶ τὰ παραδείγματά ἐστιν ἐν ταῖς ἐπιστήμαις ἀναγκαῖα.

[3.9.48] Δι' οὗ λύσις ἀπαντᾷ καὶ πρὸς τὸ εἰκοστὸν τρίτον, καὶ πρὸς τὸ εἰκοστὸν τέταρτον.

[3.9.49] Πρὸς τὸ εἰκοστὸν πέμπτον ῥητέον, ὅτι ἐκεῖνος ὁ λόγος ἐστὶ Ἀπολιναρίου, ὡς ὁ Νυσσαεὺς Γρηγόριος φησί. Παρήγετο δὲ μὴ δυνάμενος διακρίνειν τὴν ἐνέργειαν τῆς φύσεως, ἥτις ἐστὶν ἡ γένεσις τῆς γονῆς, ᾗ δίδωσιν ὁ Θεὸς τὴν συμπλήρωσιν ἀπὸ τῆς κατὰ θέλησιν ἐνεργείας τῆς μοιχείας, ἐν ᾗ συνέστηκεν ἡ ἁμαρτία.

[3.9.50] Πρὸς τὸ εἰκοστὸν ἕκτον ῥητέον, ὅτι ἡ ψυχή, τελειοτέρα οὖσα τῶν ὑλικῶν εἰδῶν, δύναιτ' ἂν ὅμοιον ἑαυτῇ προφέρειν, εἰ ἡ λογικὴ ψυχὴ δύναιτ' ἂν ἄλλως προάγεσθαι ἢ ὡς διὰ δημιουργίας. Ὅπερ οὐχ οἷόν τε, καὶ τοῦτ' ἀπαντᾷ ἐκ τῆς αὐτῆς τελειότητος, ὡς ἐκ τῶν εἰρημένων δῆλον.

**445** ὡς – δέδεικται] Vide supra [3.8.39]. **453-455** τὰ – τρίτῳ] Ar., De an. III, 431b2: τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ... **464-465** ὅτι – φησί] Greg. Nyss., De an. (PG 45, col. 205).

**449** ὀργάνου] deest M, Aq.

**[3.9.51] Πρὸς τὸ εἰκοστὸν ἕβδομον ῥητέον, ὅτι ἐν τῷ Θεῷ μόνον δυνατὸν μίαν εἶναι φύσιν τῷ ἀριθμῷ, κοινὴ ταῖς ὑποστάσεσι· καὶ διατοῦτο ἐκεῖ μόνον εἶναι δυνατὸν γέννησιν ἄνευ τοῦ τῆς μεταβολῆς καὶ διαιρέσεως ἀτελοῦς· ὅθεν αἱ κρείττους φύσεις, αἳ τυγχάνουσιν ἀδιαίρετοι, οὔτε μεταβάλλουσιν οὐσιωδῶς, ὥσπερ ἥ τε λογικὴ ψυχὴ καὶ ὁ ἄγγελος, οὔτε γεννῶνται, ἀλλ' αἱ ὑποβεβηκυῖαι δημιουργίαι, ὅσαι ὑπὸ διαίρεσιν καὶ φθοράν εἰσι.**

**[3.9.52] Πρὸς δὲ τὸ εἰκοστὸν ὄγδοον ῥητέον, ὅτι ἡ δύναμις ἡ οὖσα ἐν τῷ σπέρματι, παρὰ τοῦ Φιλοσόφου προσαγορεύεται νοῦς, ὡς λέγεται ἐν τῷ ὑπομνήματι τοῦ ἑβδόμου τῶν Μετὰ τὰ φυσικά, κατά τινα ὁμοιότητα, ὅτι, καθάπερ ὁ νοῦς ἄνευ ὀργάνου ἐνεργεῖ, οὕτω κἀκείνη ἡ δύναμις.**

**[3.9.53] Πρὸς δὲ τὸ εἰκοστὸν ἔνατον λέγομεν ὡδί, ὅτι ὁ λόγος ἐκεῖνος τοῦ Φιλοσόφου νοεῖται περὶ τῆς αἰσθητικῆς ψυχῆς, ἀλλ' οὐ περὶ τῆς λογικῆς.** |

**478-480** ἡ – ὁμοιότητα] Aver., Comm. Metaph. VII, comm. 31.

**473** τῷ – ὑποστάσεσι] in pluribus suppositis Aq.

P 62[r]

## Κεφάλαιον δέκατον

## Πότερον ἡ λογικὴ ψυχὴ ἔνδον τοῦ σώματος κτίζεται ἢ ἔξω.

**[3.10.1] Δέκατον ζητεῖται πότερον ἡ λογικὴ ψυχὴ ἔνδον τοῦ σώματος κτίζεται ἢ ἔξω. Καὶ δοκεῖ ἔξω τοῦ σώματος δημιουργεῖσθαι. Τῶν γὰρ αὐτῶν κατὰ τὸ εἶδος ὁ αὐτός ἐστι καὶ τῆς προόδου τρόπος εἰς τὸ εἶναι. Ἀλλ᾽ αἱ ἡμέτεραι ψυχαί εἰσι τοῦ αὐτοῦ εἴδους τῇ τοῦ Ἀδὰμ ψυχῇ. Ἡ δὲ τούτου ψυχὴ γέγονεν ἔξω σώματος δημιουργηθεῖσα μετὰ τῶν ἀγγέλων, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῇ εἰς τὸ ἕβδομον τῆς Γενέσεως ἐξηγήσει. Ἄρα καὶ αἱ λοιπαὶ ψυχαὶ τῶν ἀνθρώπων ἐκ τῶν σωμάτων κτίζονται.**

**[3.10.2] Ἔτι, πᾶν ὅλον ἀτελές ἐστιν, ᾧ λείπει τι μέρος καθῆκον τῇ αὐτῇ τελειότητι. Ἀλλ᾽ αἱ λογικαὶ ψυχαὶ μᾶλλον προσήκουσι τῇ τοῦ παντὸς τελειότητι ἢ δὴ αἱ σωματικαὶ οὐσίαι, ἐφόσον αἱ νοεραὶ οὐσίαι κρείττους εἰσὶ τῶν σωματικῶν οὐσιῶν. Εἴ τοίνυν αἱ λογικαὶ ψυχαὶ μὴ γεγόνασιν ἐξ ἀρχῆς ὥσπερ τὰ λοιπὰ κτίσματα, ἀλλ᾽ ἑκάστης ἡμέρας κτίζονται ἐπειδὰν τὰ σώματα γεννῶνται, ἕπεται τὸ πᾶν εἶναι ἀτελὲς ἀπόντων αὐτῷ τῶν ἀριστευόντων μερῶν. Τοῦτο δὲ δοκεῖ εἶναι ἄτοπον. Αἱ λογικαὶ ἄρα ψυχαὶ εἰσὶν ἀπαρχῆς ἔξω τῶν σωμάτων δεδημιουργημέναι.**

**[3.10.3] Ἔτι, ταῖς θεατρικαῖς παιδείαις οὐδὲν διοίσει, εἴ γε τὸ μὲν σύμπαν τότε καθαιρεθήσεται, ἐπειδὰν εἰς τὴν ἐσχάτην τελειότητα ἐξίκηται, ὁ δὲ κόσμος εἰς τὸ καθῆκον ἀπαντήσεται πέρας τῆς ἀνθρωπίνης γενέσεως παυσαμένης, ὡς τότε καὶ τῆς ἐντελεστάτης τοῦ παντὸς τελειότητος ἐσομένης· καὶ διατοῦτο ὁμοῦ τῶν σωμάτων γινομένων αἱ ψυχαὶ κτίζονται. Καὶ ταῦτα τοίνυν πᾶσα ἡ κυβέρνησις, ἣ τὸν κόσμον ἰθύνει, οὐδὲν διοίσει παιδιᾶς ὃ δοκεῖ εὐήθες εἶναι.**

**[3.10.4] Ἀλλ᾽ οὐδὲν προσίστασθαι φημὶ τῇ τοῦ παντὸς τελειότητι ἀπεῖναί τι κατὰ τὸν ἀριθμόν, ἐφόσον μέντοιγε τοῖς αὐτοῦ εἴδεσι τέλειόν ἐστιν. Ἀλλὰ τοὐναντίον· τὰ μὲν τῶν ὄντων εἴδη ἐκ μὲν τοῦ μετέχειν ἀιδιότητός τινος κατὰ τὸ αὐτοῖς ἐνδεχόμενον εἰς τὴν οὐσιώδη τοῦ παντὸς τελειότητα τείνουσιν,**

**6-8** Ἡ – ἐξηγήσει] cf. Aug., De gen. ad litt. VII, cap. 28, n. 43 (PL 34, col. 372): Nunc tamen de anima … sit incorporea – sed factus a Deo.

**4** δημιουργεῖσθαι] δημιουργῆσθαι M **10** αὐτῇ] αὐτῆς M (eius Aq.) **12** νοεραὶ οὐσίαι] substantiae corporales Aq. **14** ὥσπερ – κτίσματα] omnes creatae Aq. | λοιπὰ] omnes Aq. | ἐπειδὰν] bis acc. P **18** παιδεῖαις] sic P, M; intell. παιδείαις (ludis Aq.) | οὐδὲν διοίσει] videtur esse simile Aq. **23** παιδειᾶς] sic P, M (ludo Aq.) | οὐδὲν διοίσει] erit similis Aq.

ὡσὰν καθ’ αὐτὰ σκοπούμενα παρὰ τοῦ Δημιουργοῦ, τὰ δ’ ἄτομα, ἃ μὴ ἔχει ἀιδιότητα, τείνουσιν εἴς τινα κατὰ συμβεβηκὸς τελειότητα, ὡς μὴ δι’ αὐτὰ τὰ σκοπούμενα, ἀλλὰ διὰ τὴν τῶν εἰδῶν συντήρησιν. Αἱ δὲ λογικαὶ ψυχαὶ οὐχ ὅπως κατὰ τὸ εἶδος, ἀλλὰ καὶ καθέκαστα ἄτομα ἀιδιότητος μετηλείχασιν. Εἰ μὴ ἀπαρχῆς ἄρα αἱ λογικαὶ ψυχαὶ γένοιντο, οὕτω τὸ πᾶν ἠκρωτηρίασται ὡσανεὶ καί τινα εἴδη ἀπόλωλε τῷ παντί.

**[3.10.5]** Χωρὶς δὲ τούτων ὁ Μακρόβιος ἐν τῷ τοῦ Σκηπίονος ὀνείρῳ, δύο πύλας ἐν τῷ οὐρανῷ τέθεικε· μίαν μὲν τῶν θεῶν, ἑτέραν δὲ τῶν ψυχῶν· ἔν τε τῷ καρκίνῳ δηλαδὴ καὶ τῷ αἰγοκέρῳ, ὧν διὰ τῆς ἑτέρας εἰς τὰ σώματα
P 62v καθίεσθαί φησι τὰς ψυχάς. Ταῦτα δ’ | οὐκ ἂν εἴη μὴ τῶν ψυχῶν ἔξω τῶν σωμάτων ἐν οὐρανοῦ δεδημιουργημένων. Ἄρα αἱ ψυχαὶ ἔξω ἀπὸ τῶν σωμάτων ἐκεῖ δεδημιούργηνται.

**[3.10.6]** Ἔτι, τὸ ποιητικὸν αἴτιον πρεσβεύει τῷ χρόνῳ τοῦ ἰδίου ἀποτελέσματος. Ἀλλ’ ἡ ψυχή ἐστιν αἰτία ποιητικὴ τοῦ σώματος, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ. Ὥστε, ὡς καὶ πρὸ τοῦ σώματος, καὶ οὕτως οὐ δημιουργεῖται ἐν τῷ σώματι.

**[3.10.7]** Χωρὶς δὲ τούτων, ἐν τῷ Περὶ πνεύματος καὶ ψυχῆς βιβλίῳ λέγεται ὅτι ἡ ψυχὴ πρὸ τοῦ δημιουργηθῆναι τὸ σῶμα ἔχει τό τε θυμούμενον καὶ ἐπιθυμοῦν. Ἀλλὰ τοῦτο οὐχ οἷόν τε εἶναι ἐν τῇ ψυχῇ, πρὶν ἂν ᾖ ψυχή. Ἄρα ἡ ψυχὴ ἔστι καὶ πρὸ τοῦ ἑνωθῆναι τῷ σώματι. Καὶ οὕτως οὐ κτίζεται ἐν τῷ σώματι.

**[3.10.8]** Ἔτι, ἡ οὐσία τῆς λογικῆς ψυχῆς οὐ μετρεῖται χρόνῳ· ὅτι, ὡς λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, ὑπὲρ χρόνον ἐστίν· οὔτ’ αὖθις μετρεῖται αἰωνιότητι, ὅτι τοῦτο μόνου ἐστὶ τοῦ Θεοῦ. Ἔτι τὲ ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται, ὅτι

**34-37** Ὁ – ψυχὰς] Macrob., In somn. Scip. I, 12, 2: Per has portas animae de caelo in terras meare et de terris in caelum remeare creduntur. Ideo hominum una, altera deorum uocatur: hominum, Cancer, quia per hunc in inferiora descensus est; Capricornus, deorum, quia per illum animae in propriae immortalitatis sedem et in deorum numerum reuertuntur. **41-42** Ἀλλ’ – δευτερῳ] Ar., De an. II, 415b.10-12: ἡ κίνησις καὶ οὗ ἕνεκα καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία; 425b.21-22: ὅθεν πρῶτον ἡ κατὰ τόπον κίνησις, ψυχή. **49-50** ὡς – Θεοῦ] Liber de causis, prop. 2, 20-22: esse vero quod est ante aeternitatem est causa prima quoniam est causa ei; sed esse quod est cum aeternitate est intelligentia quoniam est esse secundum. [secundum habitudinem unam, unde non patitur neque destruitur.]; esse vero quod est post aeternitatem et supra tempus est anima.

**31** ὅπως] ὅπα M **33** ὡσανεὶ] ὡς ἂν εἰ[a. corr.] **37** οὐκ ἂν εἴη] οὐ κἂν εἴη M, P **38** ἔξω ἀπὸ] om. et scr. in marg. sin. P **42** Ὥστε ὡς] Ergo est Aq.; ὡς deest P **45** δημιουργηθῆναι] uniatur Aq. (Prochoros legit creatur? cf. [3.10.7].47 ἑνωθῆναι] uniatur Aq.)

ἡ ψυχὴ ταπεινοτέραν εἴληχε χώραν πρὸς τὴν αἰωνιότητα. Καταμετρεῖται ἄρα τῇ ἰδιότητι, καθάπερ καὶ οἱ ἄγγελοι· καὶ ταύτῃ ταὐτὸ μέτρον ἐστὶ τῆς διαμονῆς ἀγγέλῳ τε καὶ ψυχῇ. Τῶν ἀγγέλων τοίνυν ἀπαρχῆς τοῦ κόσμου δεδημιουργημένων δοκεῖ καὶ τὰς ψυχὰς τηνικαῦτα κτισθῆναι καὶ οὐκ ἐν τοῖς σώμασιν.

[3.10.9] Ἔτι, ἐν τῷ ἀιδίῳ οὐκ ἔστι τὸ πρότερον καὶ τὸ ὕστερον· ἄλλως γὰρ τοῦ χρόνου οὐδὲν διοίσει, ὥς τισι δοκεῖ. Ἀλλ’ εἰ οἱ ἄγγελοι πρὸ τῶν ψυχῶν δεδημιούργηνται, ἢ ψυχὴ ψυχῆς ὑστερίζει, ἔσται ἐν τῷ ἀιδίῳ τό τε πρότερον καὶ τὸ ὕστερον, ἐφόσον μέτρον τῆς ψυχῆς ἐστι τὸ ἀίδιον, ὡς δέδεικται. Ἀνάγκη ἄρα [omnes] τὰς ψυχὰς ὁμοῦ κτίζεσθαι μετὰ τῶν ἀγγέλων.

[3.10.10] Ἄνευ δὲ τούτων, τὸ τοῦ τόπου ἓν συνηγορεῖ τῷ ἑνὶ τῆς φύσεως· ὅθεν καὶ τῶν διαφόρων σωμάτων τῇ φύσει διάφοροι καὶ οἱ τόποι. Ἀλλ’ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ συμβαίνουσι τῇ φύσει, ἐφόσον εἰσὶν οὐσίαι ἀσώματοι καὶ νοεραί. Ἄρα αἱ ψυχαὶ δεδημιούργηνται ἐν τῷ ἐμπυρίῳ οὐρανῷ, καθάπερ καὶ οἱ ἄγγελοι, καὶ οὐκ ἐν τοῖς σώμασιν.

[3.10.11] Ἔτι, ὅσόν τις οὐσία λεπτοτέρα ἐστί, τοσοῦτο καὶ ὑψηλοτέραν ἔχει τὴν λῆξιν· ὅθεν ὁ τοῦ πυρὸς χῶρος ἐστὶ μετεωρότερος ἀέρος τε καὶ ὕδατος. Ἀλλ’ ἡ ψυχὴ λεπτοτέρα οὐσία τυγχάνει οὖσα τοῦ σώματος. Δοκεῖ ἄρα κτισθῆναι ὑπὲρ πάντων τῶν σωμάτων καὶ οὐκ ἐν τῷ σώματι.

[3.10.12] Ἔτι, ἑκάστῳ τῶν ὄντων ἡ ἄκρα τελειότης ἐστί, καθὸ ἐν τῷ ἰδίῳ ἵδρυται χώρῳ· ἐφόσον οὐδέν ἐστιν ἔξω τοῦ ἰδίου χώρου, ὅτι μὴ βίᾳ τινί. Ἀλλ’ ἡ ἐσχάτη τῆς ψυχῆς τελειότης ἐστὶν ἐν τῇ οὐρανίῳ διαίτῃ. Ἐνταῦθα ἄρα ἐστὶν ἡ κατάλληλος τῇ φύσει λῆξις αὐτῆς· καὶ ταύτῃ δοκεῖ δημιουργηθῆναι ἐκεῖ.

[3.10.13] Ἔτι, ἐν τῷ τῆς Γενέσεως πρώτῳ λέγεται· καὶ κατέπαυσεν ὁ Θεὸς τῇ
P 63r ἡμέρᾳ τῇ ἑβδόμῃ | ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ. Ἀφ’ οὗ ὑπόνοιαν παρέχεται, ὅτι τότε ὁ Θεὸς ἐπαύσατο καινοτομῶν ἐν τῷ κτίζειν. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ καθημέραν δημιουργοῖντο ψυχαί. Αἱ ψυχαὶ ἄρα οὐ κτίζονται ἐν τῷ σώματι, ἀλλὰ δεδημιούργηνται ἐξ ἀρχῆς ἔξω τῶν σωμάτων.

**51-52** Ἐν – αἰωνιότητα] cf. infra, Qu. 3, art. 14, Ad 9. **75-76** ἐν – αὐτοῦ] Gen. 2, 3: καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

**52** ταπεινοτέραν – χώραν] infra est Aq. **53** ἰδιότητι] aevo Aq. | μέτρον] μήτρον M (mensura Aq.) **57** ἔστι] ἔσται M (est Aq.) **57-59** καὶ – ψυχῶν] om. et al. man. add. in marg. inf. **59** ὑστερίζει] post aliam crearetur Aq. **75** πρώτῳ] II Aq.

**[3.10.14] Ἔτι, τὸ τῆς δημιουργίας ἔργον προτερεῖ τοῦ τῆς γενέσεως ἔργου. Τοῦτο δ' οὐκ ἂν εἴη, εἰ ὁμοῦ αἱ ψυχαὶ κτίζονται, ὅτε τὰ σώματα γεννᾶται. Αἱ ψυχαὶ ἄρα πρὸ τῶν σωμάτων δεδημιούργηνται.**

**[3.10.15] Πρὸς δὲ τούτοις, ὁ Θεὸς πάντα ἐν δικαιοσύνῃ διαχειρίζει. Ἀλλὰ σὺν δίκῃ καταβάλλονται διάφορα καὶ ἄνισα, οἷς ἀνισότης τὶς πλεονεκτημάτων προϋπάρχει. Ἐπεὶ τοίνυν ἐν τῇ τῶν ἀνθρώπων γεννήσει περὶ τὰς ψυχὰς παμπόλλη ἀνισότης θεωρεῖται, ἄρτι μὲν ἐκ τοῦ τινας μὲν τῶν ψυχῶν συνάπτεσθαι σώμασι περιδεξίοις πρὸς τὰς πράξεις, ἐνίας δ' αὖ σκαιοῖς, ἄρτι δὲ ἐκ τοῦ τινας μὲν ἐξ ἀπίστων γεννᾶσθαι, τινὰς δ' αὖ ἐκ πιστῶν, οἳ δὴ καὶ τῇ τῶν ἁγιασμάτων ὑποδοχῇ σῴζονται, δοκεῖ ἀνισότης τις κατορθωμένων ἡγήσασθαι· καὶ ταύτῃ ἔοικε πρὸ τῶν σωμάτων γενέσθαι τὰς ψυχάς.**

**[3.10.16] Μετὰ δὲ ταῦτα, ὧν ἔστι μία ἡ ἔναρξις, δοκεῖ καὶ κατὰ τὸ εἶναι ἐξέχεσθαι ἀλλήλων. Ἀλλ' ἡ ψυχὴ κατὰ τὸ ἑαυτῆς εἶναι οὐκ ἐξήρτηται τοῦ σώματος· ὃ προὖπτόν ἐστιν ἐντεῦθεν καὶ διεφθορότος γὰρ τοῦ σώματος αὕτη διαμένει. Ἆρ' οὐδὲ ὁμοῦ ἄρχεται τῷ σώματι.**

**[3.10.17] Ἔτι, ὧν θατέρου ἐμποδὼν γίνεται τῷ ἑτέρῳ, οὐ συνάπτεται φυσικῶς. Ἀλλ' ἡ ψυχὴ ἐμποδίζεται εἰς τὰς οἰκείαις πράξεις παρὰ τοῦ σώματος· τὸ** γὰρ φθειρόμενον σῶμα βαρύνει τὴν ψυχήν**, ὡς ἐν τῷ ἐνάτῳ τῆς Σοφίας λέγεται. Ἡ ψυχὴ ἄρα οὐ φυσικῶς ἑνοῦται τῷ σώματι. Καὶ ταύτῃ δοκεῖ πρὶν γεγονέναι ἢ ἡνῶσθαι τῷ σώματι.**

**[3.10.18] Ἀλλ' ἐναντίον, ἀντίξοόν ἐστι τὸ λεγόμενον ἐν τῷ βιβλίῳ τῷ Περὶ ἐκκλησιαστικῶν δογμάτων, ὅτι αἱ ψυχαὶ ἀπαρχῆς σὺν ταῖς ἄλλαις νοεραῖς δημιουργίαις οὐ [simul] κτίζεται.**

**[3.10.19] Ἔτι, Γρηγόριος ὁ Νύσσης φησὶ τὴν συναίνεσιν ἑκατέρας δόξης οὐκ ἄμεμπτον εἶναι, καὶ** τῶν μυθ**ευομένων πρὸ** τῶν σωμάτων ἔν τινι καταστάσει **καὶ τάξει** τὰς ψυχὰς ἰδίᾳ **ζῆν καὶ τῶν οἰομένων ὀψὲ** τῶν σωμάτων **ἐκτίσθαι ταύτας.**

**96-97** Τὸ – λέγεται] Sap. 9, 15: φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. **100-102** ἐν – κτίζεται] Aug. (=Genn. Mass.) De eccl. dogm., cap. 14, 18 (PL 22, col. 1216). **103-105** Γρηγόριος – ταύτας] Greg. Nyss. De opif. hom., cap. 28 (PG 44, col. 229D): Οὐ γὰρ διὰ τὴν τροφὴν ἡ ψυχή, οὐδὲ τοῦ ἐνδύματος χάριν κατεσκευάσθη τὰ σώματα, ἀλλὰ ἐπεὶ οὖν ἐν ἀμφοτέραις ταῖς ὑπολήψεσιν ὁ λόγος ὑπαίτιος, τῶν τε προβιοτεύειν τὰς ψυχὰς ἐν ἰδίᾳ τινὶ καταστάσει μυθολογούντων, καὶ τῶν ὑστέρας τῶν σωμάτων κατασκευάζεσθαι νομιζόντων.

**83** διαχειρίζει] διαχωρίζει M (operatur Aq.) **84** καταβάλλονται] non dantur Aq. Post ἄνισα Aq. habet: nisi in illis. **86** πάμπολλη] multa Aq. **98** ἢ] deest M (quam Aq.) **100** ἐναντίον] om. et add. in marg. dex. P **104** ἀμέμπτον] sic P, M; intell. ἄμεμπτον **104-105** πρὸ – σωμάτων] deest Aq.

[3.10.20] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ τῆς Πίστεως συμβόλῳ· οὗ μετὰ τὴν ἔκθεσιν ἐπάγει· καταψηφιζόμεθα τῆς πλάνης τῶν λεγόντων τὰς ψυχὰς πρότερον ἁμαρτεῖν, ἢ ἐν τοῖς οὐρανοῖς συντηρεῖσθαι, κἄπειτα πεμφθῆναι εἰς τὰ σώματα.

[3.10.21] Ἐφ᾽ οἷς κἀκεῖνο ἄξιον εἰπεῖν, ὅτι τὸ ἴδιον ἐνεργείᾳ ἔστι ἐν τῇ ἰδίᾳ ὕλῃ. Ἀλλ᾽ ἡ ψυχή ἐστιν ἴδιον τοῦ σώματος ἐνεργείᾳ. Ἡ ψυχὴ ἄρα ἐν τῷ σώματι κτίζεται.

[3.10.22] Ἀπόκρισις. Ῥητέον· ὥσπερ ἐν τοῖς ἄνω εἴρηται, δόξα γέγονε τινῶν, ὅτι πᾶσαι αἱ ψυχαὶ ὁμοῦ ἔξω δεδημιούργηνται τῶν σωμάτων. Ἧς δόξης τὸ κίβδηλον δύνατ᾽ ἄν, ὡς ἔν γε τῷ παρόντι, τέτταρσι λόγοις |
P 63v
διαδείκνυσθαι. Ὧν ὁ πρῶτος ἐστίν, ὅτι τὰ ὄντα δεδημιούργηνται ἐν τῇ καθ᾽ αὑτὰ φυσικῇ τελειότητι παρὰ τοῦ Θεοῦ. Τὸ δὲ τέλειον φύσει προηγεῖται τοῦ ἀτελοῦς κατὰ τὸν Φιλόσοφον. Καὶ ὁ Βοήτιός φησιν, ὅτι ἡ φύσις ἀπὸ τῶν τελείων λαμβάνει τὴν ἀρχήν. Ἡ ψυχὴ δέ, οὐκ ἔχει τελειότητα τῆς ἑαυτῆς φύσεως ἔξω τοῦ σώματος, ἐφόσον μὴ ἔστι καθ᾽ αὑτὴν εἶδος συμπληρωτικὸν φύσεως τινός, ἀλλὰ μέρος τῆς ἀνθρωπείας φύσεως· ἐπεὶ δεήσει ἔκ τε σώματος καὶ ψυχῆς μὴ γίνεσθαι ἕν, εἰ μὴ κατὰ συμβεβηκός. Ὅθεν οὐ γέγονεν ἡ ἀνθρωπίνη ψυχὴ ἔξω τοῦ σώματος δεδημιουργημένη. Οἱ δὲ θέμενοι τὰς ψυχὰς ἔξω τῶν σωμάτων γενέσθαι πρὸ τοῦ σώμασιν ἑνωθῆναι, ᾠήθησαν αὐτὰς εἶναι φύσεις τινὰς τελείας, ὡς τῆς φυσικῆς τελειότητος μὴ συνισταμένης τῇ ψυχῇ ἐν τῇ πρὸς τὰ σώματα ἑνώσει, ἑνοῦσθαι δ᾽ αὐτῷ κατὰ συμβεβηκός, ὥσπερ τῇ ἐσθῆτι ὁ ἄνθρωπος· ταῦτ᾽ ἄρα καὶ ὁ Πλάτων ἔλεγεν, ὅτι ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ ψυχῆς καὶ σώματος, ἀλλ᾽ ἔστι ψυχὴ προσχρωμένη σώματι. Διά τοι τοῦτο καὶ πάντες οἱ τὰς ψυχὰς τιθέμενοι ἔξω τῶν σωμάτων κτίζεσθαι, συνέθεντο καὶ τὰς μετενσωματώσεις αὐτῶν, ὥσθ᾽ οὕτω τὴν ψυχὴν ὑπεξιοῦσαν τόδε τὸ σῶμα ἑτέρῳ συνάπτεσθαι, ὥσπερ ἄνθρωπος ἀποβαλὼν ἄλλην ἀναβολὴν ἄλλην περιβάλλεται. Ὁ δεύτερος λόγος ἐστὶ τοῦ Ἀβικένου. Ἐπεὶ γὰρ ἡ ψυχὴ οὐκ ἔστι σύνθετον ἐξ ὕλης καὶ εἴδους (διαιρεῖται γὰρ καὶ πρὸς τὴν ὕλην καὶ πρὸς

**107-109** Βοήτιος – σώματα] locum non inveni. Non Boethius sed Hieronymus apud Aq.: Hieronymus dicit in symbolo fidei, quem composuit: eorum condemnamus errorem qui dicunt animas ante peccasse, vel in caelis conversatas fuisse, quam in corpora immitterentur. **117-118** Τὸ – Φιλόσοφον] Ar., De coel. I, 269a.19-20: Τὸ γὰρ τέλειον πρότερον τῇ φύσει τοῦ ἀτελοῦς. **118-119** ὁ – ἀρχὴν] Boet., De cons. phil. III, prosa 10 (PL 63, col. 765A): Neque enim ab deminutis inconsummatisque natura rerum cepit exordium.

**107** Βοήτιος] Hieronymus Aq. **110** κἀκεῖνο – εἰπεῖν] deest Aq. **115** ἂν] bis acc. P | τέτταρσι] τετάρσι M **130** μετενσωματώσεις] μετ᾽ ἐνσωματώσεις P, M (transcorporationem Aq.) | αὐτῶν] animarum Aq.

πρὸς τὸ σύνθετον ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ), αἱ διακρίσεις πρὸς ἀλλήλας τῶν ψυχῶν οὐχ οἷαί τε εἶναι, εἰ μὴ κατά τινας εἰδικὰς διαφοράς, εἰ καθ' ἑαυτὰς μόνον δημιουργοῦνται. Ἀλλ' ἡ μὲν οὐσιώδης διαφορὰ ἑτερότητι εἰδῶν εἰσάγει, Ἡ δὲ κατὰ τὸν ἀριθμὸν διαφορὰ ἐν τῷ αὐτῷ εἴδει ἐκ τῆς κατὰ τὴν ὕλην διαφορᾶς πρόεισιν, ἣ τῇ ψυχῇ προσήκειν οὐ δύναται κατὰ τὴν ἐξ ἧς ἐστιν ὕλην, ἀλλὰ κατὰ τὴν ἐν ᾗ γίνεται. Εἰ τοίνυν σώμασιν ἀπαρχῆς ἑνοῖντο αἱ ψυχαὶ οὕτω μόνον αὐταῖς περιέσται ἀριθμῷ ἀπ' ἀλλήλων διακρίνεσθαι λέγειν, ὡς τὴν τούτων διάκρισιν ἐκ τῆς πρὸς τὰ σώματα ἑνώσεως ἀπαντᾶν ἀμηγέπη καθάπερ ἐξ ἀρχῆς ὑλικῆς, εἰ καὶ ἐκ τῆς ποιητικῆς ἀρχῆς εἴτουν τοῦ Θεοῦ δύναται τοιαύτη διάκρισις εἶναι. Εἰ δ' ἔξω τῶν ἀνθρωπείων σωμάτων αἱ ψυχαὶ δημιουργοῖντο, δεήσει ταύτας εἶναι εἴδη διαφέροντα, ὑφαιρεθείσης τῆς ἐκ τῆς ὑλικῆς ἀρχῆς διακρίσεως, ὡσπεροῦν καὶ πᾶσαι αἱ χωρισταὶ οὐσίαι παρὰ τῶν φιλοσόφων εἴδη τίθενται χωριστά. Τρίτος λόγος ἐστίν· ἡ γὰρ ἀνθρωπίνη λογικὴ ψυχὴ οὐ διακρίνεται κατὰ τὴν οὐσίαν τῆς τε αἰσθητικῆς καὶ φυτικῆς, ὥσπερ ἀνωτέρω εἴρηται· ἡ δὲ πρόοδος τῆς τε αἰσθητικῆς καὶ φυτικῆς ψυχῆς ἔξω τοῦ σώματος εἶναι οὐ δύναται, ἐφόσον εἰσὶν ἐντελέχειαι μορίων |
P 64r τινῶν τοῦ σώματος. Ὅθεν οὐδ' ἡ λογικὴ ψυχὴ ἔξω τοῦ σώματος δυνατή ἐστι κτίζεσθαι, ὅσον τῇ ταύτης ἐπιβάλλει φύσει, ἄνευ μέντοιγε τῆς ψήφου τῆς θείας δυνάμεως. Τέταρτος λόγος ἐστίν· εἰ γὰρ ἡ λογικὴ ψυχὴ ἔξω τοῦ σώματος ἔκτισται, κἀκεῖ τῆς καθ' αὑτὴν φύσεως ἔσχε τὴν τελειότητα, ἀδύνατόν ἐστιν εὐπρόσωπον αἰτίαν ἀποδοῦναι τῆς πρὸς τὸ σῶμα ταύτης ἑνώσεως. Οὐ γὰρ οἷόν τε λέγειν, ὅτι ἰδίᾳ ὁρμῇ τοῖς σώμασι σφᾶς συνῆψαν αὐτάς· ὁρῶμεν γὰρ μηδὲ τῇ τούτων δυνάμει τὸ ταῦτ' ἀπολείπειν ἧκον· ὃ πᾶσα ἀνάγκη εἴη, εἴ γε ἐκ τοῦ θέλειν τοῖς σώμασιν ὡμίλουν. Χωρὶς δὲ τούτων, εἴπερ παντάπασιν ἀπὸ τῶν σωμάτων δεδημιούργηνται, οὐκ ἂν ἔχοι χώραν λέγειν τὴν συνάφειαν τοῦ σώματος κηλῆσαι τὴν θέλησιν τῆς ἀσυνάπτου ψυχῆς. Οὔτ' αὖθις δυνατὸν λέγεσθαι μετά τινας ἐνιαυτῶν περιόδους φυσικούς τινας ἱμέρους εἰσιέναι ταύταις εἰς τὸ σώμασι προσφύεσθαι καὶ ὅτι τῆς ἑνώσεως ταύτης αἰτία τίς ἐστιν ἐκ

**133-135** ἡ – δευτέρῳ] Ar., De an. II.

**135** αἱ διακρίσεις] distinctio Aq. **137** οὐσιώδης] formalis Aq. **139** προσήκειν] competere Aq. **140** ὕλην] naturam Aq. **142** Post ψυχαὶ Aq. habet: humanas. **150** ἐντελέχειαι] actus Aq. **151** ἔξω – σώματος] nisi in corpore Aq.

φυσικῆς ἐνεργείας. Τὰ γὰρ ὡρισμένῳ χρόνου διαστήματι φυσικῶς [secundum naturam] γινόμενα πρὸς τὴν τοῦ οὐρανοῦ κίνησιν καθάπερ εἰς αἰτίαν ἀναφέρονται, ᾗ τὰ τῶν χρόνων διαστήματα μετρεῖται. Ἀλλ’ οὐκ ἔστιν ὅπως τὰς χωριστὰς ψυχὰς ταῖς τῶν οὐρανίων σωμάτων κινήσεσι δουλεύειν. Ὁμοίως τε λέγειν οὐχ οἷόν τε παρὰ τοῦ Θεοῦ τοῖς σώμασιν ἐνδεδέσθαι, εἰ πρότερον σωμάτων ἄνευ ταύτας ἐδημιούργησεν. Εἰ γὰρ προΐσχεταί τις πρὸς τὴν αὐτῶν τελειότητα τοῦτο γενέσθαι, οὐκ ἂν γένοιτο λόγος, τί δήποτε ἄνευ σωμάτων δεδημιούργηνται. Εἰ δ’ εἰς βάσανον αὐτῶν τοῦτο γέγονε, καθάπερ εἱρκταῖς τοῖς σώμασι κατορωρύχθαι, ὥσπερ Ὠριγένης εἴρηκε, διά τινα σκαιωρηθέντα ἁμαρτήματα, ἕψεται τὴν κατασκευὴν τῶν συνθέτων φύσεων ἔκ τε τῶν ἀσωμάτων καὶ σωματικῶν οὐσιῶν εἶναι κατὰ συμβεβηκὸς καὶ οὐκ ἐκ τοῦ πρώτου σκοποῦ τοῦ Θεοῦ· ὅπέρ ἐστιν ἐναντίον τοῖς ἐν τῇ Γενέσει ἀναγινωσκομένοις ἐν τῷ πρώτῳ, εἴτουν, καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν, ἔνθα ἐναργῶς δείκνυται τὴν τοῦ Θεοῦ ἀγαθότητα καὶ οὐ τὴν κακίαν τινὸς τῶν κτισμάτων αἰτίαν γενέσθαι πάντων τῶν ἀγαθῶν ἔργων.

[3.10.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν τῇ εἰς τὴν Γένεσιν πρὸς τὸ γράμμα ἐξηγήσει ὁ Αὐγουστῖνος καὶ μάλιστα ἐν τῇ ζητήσει τῇ περὶ τῆς τῶν ψυχῶν γενέσεως, διαλέγεται ἀπορηματικῶς μᾶλλον ἢ ἀποφαντικῶς, ὡς αὐτὸς φησί.

[3.10.24] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ σύμπαν ἐν τῇ αὐτοῦ ἀρχῇ γέγονε τέλειον ὅσον πρὸς τὰ εἴδη, καὶ οὐχ ὅσον πρὸς τὰ ἄτομα, ἢ ὅσον πρὸς τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων, ἐξ ὧν μεταταῦτα ἄλλα δύναται γίνεσθαι, ἀλλ’ οὐχ ὅσον πρὸς πάντα ἀποτελέσματα. Αἱ δὲ λογικαὶ ψυχαί, εἰ καὶ μὴ
P 64v γίγνοιντο | ἀπὸ φυσικῶν αἰτιῶν, τὰ σώματα μέντοι, οἷς θεόθεν συνάπτονται ὥσπερ συμφυέσι σφίσιν αὐταῖς, διὰ τῆς ἐνεργείας τῆς φύσεως γίνονται.

[3.10.25] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν τῇ παιδιᾷ οὐ σπουδάζεταί τι ἕτερον παρ’ αὐτήν. Ἐκ δὲ τῆς κινήσεως, ᾗ ὁ Θεὸς τὰ σωματικὰ κτίσματα κινεῖ, ζητεῖται ἕτερόν τι παρ’ αὐτὴν τὴν κίνησιν, ὅπέρ ἐστιν ὁ πλήρης τῶν ἐκλεκτῶν κατάλογος, οὗ ληφθέντος ἡ κίνησις πεπαύσεται, εἰ καὶ μὴ ἡ τοῦ κόσμου οὐσία.

**172-175** Ὠριγένης – Θεοῦ] Or., De princ. I: locum non inveni. **175-176** ἐν – ἐποίησε] Gen. 1, 31: καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

**164** διαστάματι] διαστήματος M **173** φύσεων] φυσικῶν M (naturarum Aq.) | οὐσιῶν] lacuna ca 5 P (substantiis Aq.) **182** αὐτοῦ] αὐτῆς P **189** αὐτήν] ludum Aq.

[3.10.26] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ πλῆθος τῶν ψυχῶν πρὸς τὴν τελευταίαν σωματικὴν τοῦ παντὸς τελειότητα τείνει, ἀλλ’ οὐκ εἰς τὴν πρώτην· πᾶσα γὰρ τῶν τοῦ κόσμου σωμάτων μεταβολὴ τέτακται ἁμηγέπη πρὸς τὸν τῶν ψυχῶν πληθυσμόν, πρὸς ὃν ζητεῖται πλῆθος σωμάτων, ὡς δέδεικται.

[3.10.27] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οἱ Πλατωνικοὶ ἠξίουν τὴν φύσιν τῶν ψυχῶν καθ’ αὑτὴν εἶναι πλήρη, ἑνοῦσθαι δὲ κατὰ συμβεβηκὸς τοῖς σώμασιν· ἐφ’ ἧς αἰτίας προσετίθετο ἐκ σωμάτων εἰς σώματα μετανίστασθαι τὰς ψυχάς. Ὃ πρὸς τὸ τιθέναι ἐντεῦθεν ὥρμηντο μάλιστα· καὶ γὰρ ἠξίουν τὰς ἀνθρωπίνας ψυχὰς ἀθανάτους εἶναι καὶ τὴν γένεσιν μηδέποτε λήξειν. Ὅθεν πρὸς τὸ τὴν τῶν ψυχῶν ἀπειρίαν ἀποτρέψασθαι ἠξίουν γίνεσθαί τινα περίοδον, δι’ ἧς αὖθις αἱ προϋπάρχουσαι ψυχαὶ ἐπανίασιν εἰς τὰ σώματα. Καὶ κατὰ ταύτην τὴν δόξαν, πλάνην οὖσαν ἀτεχνῶς, ὁ Μακρόβιος διαλέγεται. Ὅθεν ἡ τοῦδε ἀξιοπιστία τούτῳ τῷ μέρει οὐ ληπτέα ἂν εἴη.

[3.10.28] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ Φιλόσοφος ἐν τῷ Περὶ ψυχῆς τρίτῳ οὔ φησι τὴν ψυχὴν ποιητικὴν αἰτίαν ὑπάρχειν τοῦ σώματος, ἀλλ’ αἰτίαν μόνον, ἐφόσόν ἐστιν ἐν τῷ σώματι τῆς τε κατὰ τόπον κινήσεως ἀρχὴ καὶ αὔξης καὶ τῶν ἄλλων τῶν ὁμολόγων, ὡς αὐτὸς ἐν τοῖς αὐτοῖς διασαφεῖ.

[3.10.29] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἐν τῇ χρήσει ἐκείνῃ νοεῖται τό τε θυμούμενον καὶ ἐπιθυμοῦν ἐνυπάρχειν τῇ ψυχῇ, πρὶν ἂν τῷ σώματι συναφθῇ, τῇ φύσει, οὐ τῷ χρόνῳ, ὅτι μὴ ταῦτα ἔχει ἐκ τοῦ σώματος ἡ ψυχή, ἀλλὰ μᾶλλον ἐκ τῆς ψυχῆς τὸ σῶμα.

[3.10.30] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ ψυχὴ οὐ μετρεῖται χρόνῳ, ἀλλὰ τὸ εἶναι, ᾧ ἑνοῦται τῷ σώματι, εἰ καί, καθὸ θεωρεῖται ὡς οὐσία νοητή, καταμετρεῖται τῷ ἀιδίῳ. Οὐ μέντοι ἀναγκαῖον τότ’ ἄρξασθαι τῷ ἀιδίῳ μετρεῖσθαι, ἡνίκα καὶ οἱ ἄγγελοι.

[3.10.31] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ καὶ ἡ ἀιδιότης μὴ ἔχει τὸ πρῶτον καὶ τὸ ὕστερον, ὅσον πρὸς ἃ μετρεῖ, οὐ δὴ ὅμως κωλύει ἄλλο ἄλλου πρότερον αἰδιότητος μετέχειν.

**207-207** ὁ – μόνον] Ar., De an. II, 415b10-12: καὶ γὰρ ὅθεν ἡ κίνησις καὶ οὗ ἕνεκα καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία.

**195** πληθυσμὸν] πληθισμὸν P, M **199** ἐφ’] ἀφ’ P

**[3.10.32] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος ἀλλήλοις κοινωνοῦσι τῷ τῆς φύσεως νοερῷ, διαλλάττουσιν ὅμως, ᾗ δὴ ὁ μὲν δημιουργηθῆναι δυνατὸς γέγονεν, ἡ δὲ ψυχὴ τὴν ἑαυτῆς ἔχουσα τελειότητα,ἐν τῷ ἡνῶσθαι τῷ σώματι, οὐ καθῆκεν ἐν οὐρανοῦ, ἀλλ' ἐν τῷ σώματι, οὗτινός ἐστι τελειότης κτισθῆναι.**

**[3.10.33] Πρὸς τὸ ἐνδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ ψυχὴ παντός ἐστιν ἁπλουστέρα σώματος, ὅμως εἶδος καὶ τελειότης καθέστηκε τοῦ ἐκ στοιχείων συγκειμένου σώματος, οὗ τόπος ἐστὶ περὶ τὸ μέσον, μεθ' οὗ δεῖ ταύτην ἐνταῦθα ὁμοῦ κτίζεσθαι.**

**[3.10.34] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ πρώτη τελειότης τῆς ψυχῆς νοεῖται κατὰ τὸ φυσικὸν εἶναι αὐτῆς. Ἣ δὴ τελειότης συνέστηκεν ἐν τῇ πρὸς τὸ σῶμα αὐτῆς ἑνώσει· διὸ καὶ καταρχὰς προσῆκεν ἐν τῷ τοῦ σώματος δημιουργηθῆναι χώρῳ. Ἐσχάτη δὲ τελειότης αὐτῆς ἐστί, καθὸ κοινωνεῖ ταῖς ἄλλαις νοεραῖς οὐσίαις· κἀκείνη ἡ τελειότης παρασχεθήσεται αὐτῇ ἐν οὐρανοῦ.**

**[3.10.35] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι αἱ ἄρτι κτιζόμεναι ψυχαί, εἰ καὶ εἰσὶ καινὰ κτίσματα κατὰ τὸν ἀριθμόν, ὅμως εἰσὶν ἀρχαίτατα κατὰ τὸ σφῶν εἶδος· προκεχωρήκασι γὰρ κατὰ τὰς ἑπτὰ ἡμέρας, ἐν ταῖς ὁμοίαις αὐταῖς κατὰ τὸ εἶδος, ἐν ταῖς ψυχαῖς λέγω τῶν πρώτων προγόνων.**

**[3.10.36] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ τῆς δημιουργίας ἔργον, ᾗ τῇ φύσει αἱ ἀρχαὶ καταβάλλονται, προτερεῖν δεῖ τοῦ τῆς γενέσεως. Ἀλλ' οὐ τοιοῦτον ἔργον ἐστὶ καὶ ἡ τῶν ψυχῶν δημιουργία.**

**[3.10.37] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἐπιβάλλει μὲν τῇ δικαιοσύνῃ νέμειν τὸ κατ' ἀξίαν· τότε μέντοι παρὰ τὸ δίκαιον γίνεται, εἰ τοῖς ἴσοις ἄνισα δίδοται, ἡνίκα ὄφλεται τὰ διδόμενα, οὐχ ὅταν δὲ προῖκα καταβάλλεται, ὅπερ συμβαίνει ἐν τῇ τῶν ψυχῶν δημιουργίᾳ. Ἄλλως δὲ αὕτη ἡ διαφορὰ οὐ πρόεισιν ἐκ διαφερόντων πλεονεκτημάτων τῶν ψυχῶν, ἀλλ' ἐκ διαφόρου τῶν σωμάτων διαθέσεως· ὅθεν καὶ ὁ Πλάτων ἔλεγεν, ὅτι τὰ εἴδη ἐγχεῖται παρὰ τοῦ Θεοῦ κατὰ τὸ ἐπιβάλλον τῇ ὕλῃ.**

**239** λέγω] id est Aq. **245** δίδοται] δέδοται P (dantur Aq.) | καταβάλλεται] dantur Aq. **248** ἐγχεῖται] ἐσχεῖται M (infunduntur Aq.)

**[3.10.38] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ ψυχὴ ἐξήρτηται τοῦ σώματος ὅσον πρὸς τὴν αὐτῆς ἀρχήν, ὡς ἐν τελειότητι τῆς φύσεως αὐτῆς, ὅσον μέντοι κατὰ τὸ τέλος οὐκ ἤρτηται τοῦ σώματος, ὅτι ἐκεῖ ἐν τῷ σώματι προσγίνεται εἶναι αὐτῇ ὡς πράγματι ὑφεστῶτι· ὅθεν καὶ διαπεσόντος τοῦ σώματος ἐπέκεινα διαμένει ἐν τῷ ἑαυτῆς εἶναι, εἰ καὶ μὴ ἐν τῷ πλήρει τῆς τελειότητος τῆς φύσεως, ὃ ἔχει τῇ πρὸς τὸ σῶμα ἑνώσει.**

**[3.10.39] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ φύσις τοῦ σώματος οὐ βαρύνει τὴν ψυχήν, ἀλλ' ἡ αὐτοῦ φθορά, ὡς ἐξ αὐτῶν τῶν λογίων δείκνυται.**

**252** ὅσον – σώματος] om. et al. man. add. in marg. sin.

**Κεφάλαιον ἑνδέκατον**

**Πότερον ἡ αἰσθητικὴ καὶ ἡ φυτικὴ ψυχὴ διὰ δημιουργίας ἐστὶν ἢ διὰ τοῦ σπέρματος καταβάλλεται.**

**[3.11.1] Ἑνδέκατον ζητεῖται πότερον ἡ αἰσθητικὴ καὶ ἡ φυτικὴ ψυχὴ διὰ δημιουργίας ἐστὶν ἢ ἐκ τοῦ σπέρματος καταβάλλεται. Καὶ δοκεῖ ἐκείνως, τῷδε τῷ λόγῳ. Ὧν γάρ ἐστιν ὁ αὐτὸς λόγος, ἔστι καὶ ὁ αὐτὸς τῆς εἰς τὸ εἶναι προόδου | τρόπος. Ἀλλ' ἡ αἰσθητικὴ καὶ φυτικὴ ψυχὴ ἔν τε τῷ ἀνθρώπῳ καὶ τοῖς ἀλόγοις καὶ τοῖς φυτοῖς ἐστι τοῦ αὐτοῦ λόγου. Ἐν δὲ τῷ ἀνθρώπῳ εἰσὶ διὰ τῆς δημιουργίας τῆς αὐτῆς οὐσίας, οὖσαι τῇ λογικῇ ψυχῇ, ἥτις ἐστὶ διὰ τῆς δημιουργίας, ὡς δέδεικται. Ὥστε καὶ ἐν τοῖς ἀλόγοις καὶ τοῖς φυτοῖς, ἥ τε φυτικὴ καὶ αἰσθητική εἰσι διὰ τῆς δημιουργίας.**

**[3.11.2] Ὁ δ' ὑπολαβών, ἔλεγεν, ὅτι ἥ τε αἰσθητικὴ καὶ φυτικὴ ψυχὴ ἔστιν ἐν μὲν φυτοῖς καὶ ἀλόγοις ὡς εἶδος καὶ τελειότης, ἐν δὲ τοῖς ἀνθρώποις ὡς διάθεσις. Ἀλλ' ἰτέον εὐθύ· ὅσο τί ἐστι κρεῖττον, τοσοῦτο κρείτονι τρόπῳ πρόεισιν εἰς τὸ εἶναι. Ἀλλὰ σεμνότερόν ἐστιν εἶναι εἶδος καὶ τελειότητα ἢ διάθεσιν. Εἰ δὴ οὖν ἡ αἰσθητικὴ καὶ ἡ φυτικὴ ψυχὴ ἐν τοῖς ἀνθρώποις, ἐν οἷς γεγόνασιν ὡς διαθέσεις, ἐκδύονται εἰς τὸ εἶναι διὰ δημιουργίας, ἣ λαμπρότατός ἐστι προόδου τρόπος (καὶ γὰρ ταύτῃ τὰ περιφανέστερα τῶν δημιουργημάτων εἶναι ἄρχονται), δοκεῖ καὶ πολλῷ μᾶλλον ἐν τοῖς φυτοῖς καὶ ἀλόγοις, τὰς προειρημένας ἀνήκειν εἰς τὴν δημιουργίαν.**

**[3.11.3] Ἔτι, ἐν τῷ πρώτῳ τῆς Φυσικῆς ὁ Φιλόσοφός φησιν· τὸ ὂν ἀληθῶς οὐσία οὐδενί ἐστι συμβεβηκός. Εἰ τοίνυν ἡ φυτικὴ καὶ αἰσθητικὴ ψυχὴ κἀν τοῖς ἀλόγοις κἀν τοῖς φυτοῖς εἰσὶν ὡς οὐσιώδη εἴδη, οὐκ ἂν εἶεν ἐν τῷ ἀνθρώπῳ, [ne] ὡς διαθέσεις κατὰ συμβεβηκός.**

**[3.11.4] Αὖθις ἐκ τῆς τοῦ γεννῶντος δυνάμεως πρόεισι τὸ εἶναι ἐν τοῖς ζῶσι πράγμασι διὰ τῆς ἐν τῷ σπέρματι δυνάμεως. Ἀλλ' ἐν τῷ σπέρματι οὐκ ἔστι**
P 65v **ψυχὴ αἰσθητικὴ καὶ φυτικὴ ἐνεργείᾳ. Ἐπειδὴ τοίνυν οὐδὲν ποιεῖ εἰ μὴ καθόσον ἐστὶν ἐνεργείᾳ, δοκεῖ ἐκ τῆς τοῦ σπέρματος δυνάμεως μὴ δύνασθαι ψυχὴν ἐξανίσχειν αἰσθητικὴν ἢ φυτικήν· καὶ οὕτως οὐδὲ διὰ γεννήσεως, ἀλλὰ διὰ δημιουργίας.**

**21-22** ἐν – συμβεβηκός] Ar., Phys. I, 190a.35-190b.1: διὰ τὸ μόνην τὴν οὐσίαν μηθενὸς κατ' ἄλλου λέγεσθαι ὑποκειμένου, τὰ δ' ἄλλα πάντα κατὰ τῆς οὐσίας.

**8, 13** τοῖς ἀλόγοις] brutis Aq. **12** ὁ – ἔλεγεν] Sed dices Aq. **14** ἰτέον εὐθύ] contra Aq. **25-26** πρόεισι – ἐν] om. et al. man. add. in marg. sin. M

**[3.11.5] Ἀλλ’ ἔλεγεν ὅτι ἡ τῷ σπέρματι ὑποῦσα δύναμις, εἰ καὶ μὴ ἔστι ψυχὴ αἰσθητικὴ ἐνεργείᾳ, δρᾷ μέντοι τῇ τῆς αἰσθητικῆς ψυχῆς δυνάμει, ἥτις ἐστὶν ἐν τῷ πατρί, ἀφ’ οὗ τὸ σπέρμα ἀποπίπτει. Ἀλλὰ τοὐναντίον, ὃ ποιεῖ δυνάμει ἄλλου, ποιεῖ ὡς ὄργανον ἄλλου. Τὸ δ’ ὄργανον οὐ κινεῖ, ὅτι μὴ κινούμενον, τότε δὲ κινοῦν καὶ τὸ κινούμενον δεῖ εἶναι ὁμοῦ, ὡς ἀποδείκνυται ἐν τῷ τῆς Φυσικῆς ἑβδόμῳ. Ἐπεὶ τοίνυν ἡ ἐνοῦσα δύναμις τῷ σπέρματι οὐκ ἔχεται τῆς αἰσθητικῆς ψυχῆς τοῦ γεννῶντος, δοκεῖ μὴ δύνασθαι ποιεῖν ὡς ὄργανον αὐτῆς, ἢ τῇ αὐτῆς δυνάμει.**

**[3.11.6] Ἔτι, τὸ ὄργανον ἔχει πρὸς τὸ πρῶτον ποιοῦν, ὥσπερ δύναμις κινητικὴ καὶ ἐπιταττομένη πρὸς τὴν κινητικὴν δύναμιν καὶ προστάσσουσαν, ἥτις ἐστὶν ὀρεκτικὴ καὶ κινητικὴ δύναμις. Ἡ δὲ κινητικὴ καὶ προστασσομένη δύναμις οὐ κινεῖ ἀπορραγεῖσα ἀπὸ τῆς κινητικῆς καὶ προστασσούσης δυνάμεως, ὡς**
P 66r **φαίνεται ἐν τοῖς τοῦ ζῴου ἀκρωτηρίοις περι|κοπεῖσιν. Οὐδ’ ἄρα ἡ ἐν τῷ ἀποτμηθέντι σπέρματι δύναμις δύναται ἐνεργεῖν τῇ τοῦ γεννῶντος δυνάμει.**

**[3.11.7] Χωρὶς δὲ τούτων, ἐπειδὰν τὸ ἀποτέλεσμα λείπηται τῆς τελειότητος τῆς αἰτίας, οὐ δύναται ἐκτείνεσθαι πρὸς τὴν ἰδίαν τῆς αἰτίας ἐνέργειαν· τῇ διαφορᾷ γὰρ τῶν φύσεων διαφορὰ προσμαρτυρεῖται ἐνεργειῶν. Ἀλλ’ ἡ ἐν τῷ σπέρματι δύναμις ἀποτέλεσμα τῆς αἰσθητικῆς ψυχῆς οὖσα τοῦ γεννῶντος, λείπεται τῆς αὐτῆς τελειότητος. Οὐκ ἄρα δύναται τὴν προσήκουσαν ἰδίως τῇ αἰσθητικῇ ψυχῇ ἐνέργειαν δηλαδὴ προάγειν ψυχὴν ὁμοίαν αὐτῇ.**

**[3.11.8] Ἔτι, τῇ τοῦ ὑποκειμένου φθορᾷ ἕπεται ἡ φθορὰ τοῦ εἴδους καὶ τῆς δυνάμεως. Τὸ δέ σπέρμα ἐν τῇ τῆς γεννήσεως προόδῳ φθείρεται καὶ λαμβάνει ἕτερον εἶδος, ὡς ὁ Ἀβίκενός φησιν. Καὶ ἡ δύναμις ἄρα φθείρεται ἡ οὖσα ἐν τῷ σώματι. Οὐκ ἄρα δύναται διὰ ταύτης προάγεσθαι ψυχὴ αἰσθητικὴ εἰς τὸ εἶναι.**

**[3.11.9] Ἔτι, ἡ ὑποβεβηκυῖα φύσις οὐ δρᾷ, εἰ μὴ θέρμης μεσιτευούσης καὶ τῶν ἄλλων τῶν ποιητικῶν ποιοτήτων καὶ παθητικῶν. Ἀλλ’ ἡ θέρμη οὐ δύναται προάγειν, ψυχὰς αἰσθητικὰς εἰς τὸ εἶναι, ὅτι οὐδὲν ποιεῖ ὑπὲρ τὸ αὐτοῦ εἶδος· οὐδὲ οἷόν τε τὸ γεγονὸς εἶναι κρεῖττον τοῦ ποιοῦντος. Ἡ αἰσθητικὴ ἄρα ἢ φυτικὴ ψυχὴ οὐ δύναται προϊέναι εἰς τὸ εἶναι διά τινος φυσικῶς ποιοῦντος· καὶ ταύτῃ ἔτι κατὰ δημιουργίαν.**

**34-36** Τὸ – ἑβδόμῳ] Ar., Phys. VIII, 266b.27-267b.17: εἰ γὰρ πᾶν τὸ κινούμενον – εἰρημένον τρόπον.

**52** σπέρμα] sperma Aq. **54** σώματι] sic P, M; intellige σπέρματι (semine Aq.) **59** εἰς τὸ εἶναι] deest M

[3.11.10] Ἄνευ δὲ τούτων, τὸ φυσικὸν ποιητικὸν οὐ ποιεῖ κατὰ τὸ ἐγχεῖν, ἀλλὰ τῷ τὴν ὕλην μεταβάλλειν. Ἀλλ’ ἡ τῆς ὕλης μεταβολὴ οὐ προάγεται, ὅτι μὴ πρὸς τὸ κατὰ συμβεβηκὸς εἶδος. Ἄρα διὰ τοῦ φυσικῶς ποιοῦντος οὐ δύναται γενέσθαι ψυχὴ αἰσθητικὴ καὶ φυτική, αἳ οὐσιώδη εἰσὶν εἴδη.

[3.11.11] Ἔτι, ἡ αἰσθητικὴ καὶ φυτικὴ ψυχὴ ἔχουσι τινὰς αὐτό τι ὕπαρξιν, ἢ δὴ αὐτό τι ὕπαρξις ἔστι παρά του. Οὐδ’ ἠδύνατο πρὸ τῆς γενέσεως εἶναι ἐν τῇ ὕλῃ, ὡσἂν εἰ ἡ ὕλη ἠδύνατο αὐτὴν ἔχειν. Δεῖ τοίνυν προελθεῖν παρ’ ἄλλου ποιοῦντος, ὃ ποιοῖ ἂν οὐκ ἐξ ὕλης. Καὶ τὸ τοιοῦτον μόνος ἐστὶν ὁ Θεός.

[3.11.12] Ἔτι, τὰ ἐκ σπέρματος γινόμενα ζῷα, εἰσὶν ἀμείνονος φυῆς ἢ τὰ ἐκ σηπεδόνος. Ἀλλ’ ἐν τοῖς ἐκ σηπεδόνος ζῴοις γινομένοις αἱ ψυχαὶ εἰσὶν διὰ τῆς δημιουργίας· οὐ γάρ ἐστι προτεῖναί τι ποιοῦν ὅμοιον, δι’ οὗ εἰς τὸ εἶναι προέλθοιεν. Πολλῷ μᾶλλον ἄρα δοκεῖ τὰς ἐκ τῶν σπερμάτων γινομένας ψυχὰς τῶν ζῴων, εἶναι ἐκ τῆς δημιουργίας.

[3.11.13] Ἀλλ’ ἔλεγεν, ὅτι τῇ δυνάμει τοῦ οὐρανίου σώματος πρόεισιν ἡ αἰσθητικὴ ψυχὴ ἐν τοῖς ζῴοις τοῖς ἐκ σηπεδόνος γεγενημένοις, ὥσπερ κἀν τοῖς ἄλλοις, διὰ τῆς ἐν τῷ σπέρματι εἰδοποιοῦ δυνάμεως. Ἀλλ’ ἰτέον ὁμόσε, ὥς φησιν ὁ Αὐγουστῖνος ἐν τῷ τῆς Ἀληθοῦς θρησκείας βιβλίῳ· ἡ ζῶσα οὐσία ὑπέρκειται ἡστινοσοῦν οὐσίας μὴ ζώσης. Ἀλλὰ τὸ οὐράνιον σῶμα οὐκ ἔστιν
P 66v οὐσία ζῶσα· ἔστι γὰρ | ἄψυχον. Ἄρα τῇ τούτου δυνάμει οὐ δύναται προϊέναι ψυχὴ αἰσθητική, ἥτις ἐστὶν ἀρχὴ ζωῆς.

[3.11.14] Ἀλλ’ ἔλεγεν, ὅτι τὸ οὐράνιον σῶμα δύναται εἶναι αἰτία ψυχῆς αἰσθητικῆς, ᾗ ποιεῖ δυνάμει τῆς κινούσης αὐτῶν νοερᾶς οὐσίας. Ἀλλὰ τοὐναντίον ἐστίν· ὃ λαμβάνεται ἔν τινι, ἔστιν ἐν αὐτῷ κατὰ τὸν τοῦ λαμβάνοντος τρόπον, καὶ οὐ τῷ ἑαυτοῦ πεφυκότι. Εἰ τοίνυν ἡ δύναμις τῆς νοερᾶς οὐσίας ἐγγίνεται τῷ οὐρανίῳ σώματι μὴ ζῶντι, οὐκ ἔσται ἐκεῖ ὡς δύναμις ζωτική, ἣ δύναιτ’ ἂν εἶναι ζωῆς ἀρχή.

[3.11.15] Ἔτι, ἡ νοερὰ οὐσία οὐ μόνον ζῇ, ἀλλὰ καὶ νοεῖ. Εἴ τοίνυν διὰ τῆς αὐτῆς δυνάμεως τὸ οὐράνιον σῶμα κινούμενον δύναται ψυχὴν πορίζειν, τῷ ἴσῳ λόγῳ δύναται καὶ νοῦν συνεισφέρειν. Καὶ ταύτῃ ἡ λογικὴ ψυχὴ ἔσται ἐκ γεννῶντος· ὅπέρ ἐστι ψεῦδος.

**87-89** ὥς – ζώσης] Aug., De vera rel., cap. 55, 13 (PL 34 col. 172).

**61** φυσικὸν] materiale Aq. | ποιητικόν] deest M (agens Aq.) **64** αἳ] εἰ a. corr. P **65, 66** αὐτό τι] αὐτό τι P (quidditatem Aq.) **65** ὕπαρξιν] ὕπαρξις P **70** Hic post σηπεδόνος Aq. habet: generatis, utpote perfectiora, et sibi similium generativa. **72** δι’ οὗ] in specie a quo Aq. **83-85** δυνάμει – ἡ] om. et al. man. add. in marg. dex. M

**[3.11.16] Πρὸς δὲ τούτοις· ἡ αἰσθητικὴ ψυχὴ ἔστιν ἀπό τινος φυσικῶς ποιοῦντος, καὶ οὐ διὰ δημιουργίας, ἢ πρόεισιν ἀπὸ τοῦ σώματος, ἢ ἀπὸ τῆς ψυχῆς. Ἀλλ’ οὐκ ἐκ τοῦ σώματος· οὕτω γὰρ τὸ σῶμα δρῴη ὑπὲρ τὸ εἶδος. Ἀλλ’ οὐδ’ ἀπὸ τῆς ψυχῆς αὖθις· ἢ γὰρ δεήσει ὅλην τοῦ πατρὸς τὴν ψυχὴν εἰς τὸν υἱὸν μεταιρεῖν, καὶ ταύτῃ ψυχῆς ἔρημος ὁ πατὴρ ἀπολείπεται, ἢ μόριόν τι ταύτης, καὶ οὕτως ἐν τῷ πατρὶ οὐχ ὁλόκληρος ἀπολιμπάνεται ἡ ψυχή· ὧν ἑκάτερον ἐστι ψεῦδος. Ἡ αἰσθητικὴ ἄρα ψυχὴ οὐκ ἀπὸ γεννῶντος, ἀλλὰ δημιουργοῦντος ἐστίν.**

**[3.11.17] Ἔτι, τὸ Ὑπόμνημα φησὶν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, ὅτι οὐδεμία καταληπτικὴ δύναμις ἔστιν ἐκ τῆς τῶν μικτῶν στοιχείων ἐνεργείας. Ἀλλ’ ἡ αἰσθητικὴ ψυχή ἐστι δύναμις καταληπτική. Οὐκ ἔστιν ἄρα ἐκ τῆς τῶν στοιχείων ἐνεργείας. Καὶ οὕτως οὐ διὰ τῆς ἐνεργείας τῆς φύσεως ἐν τούτοις τοῖς ταπεινοῖς ἔσται, ἐπεὶ μὴ δρᾷ ἄνευ τῆς ἐνεργείας τῶν στοιχείων.**

**[3.11.18] Ἔτι, οὐδὲν εἶδος εἶναι δύναται κινοῦν, ὃ μὴ ἔστι καθ’ αὑτὸ ὑφεστώς. Ὅθεν τὰ εἴδη τῶν στοιχείων, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τῶν Φυσικῶν ὀγδόῳ, οὐ κινοῦσιν. Ἀλλ’ ἡ αἰσθητικὴ ψυχὴ κινεῖ· πᾶν γὰρ ζῷον κινεῖται τῇ ἑαυτοῦ ψυχῇ. Ἡ αἰσθητικὴ ἄρα ψυχὴ οὐκ ἔστιν εἶδος μόνον, ἀλλ’ ἔστιν οὐσία καθ’ αὑτὴν ὑφεστῶσα. Δῆλον τε ὅτι οὐδὲ ἔστιν ἐξ ὕλης καὶ εἴδους σύνθετος. Πᾶσα δ’ ἡ τοιαύτη οὐσία ἐξίησιν εἰς τὸ εἶναι διὰ δημιουργίας.**

**[3.11.19] Ἀλλ’ ἔλεγεν, ὅτι ἡ αἰσθητικὴ ψυχὴ οὐ κινεῖ δι’ ἑαυτῆς τὸ σῶμα, ἀλλ’ αὐτὸ τὸ ἔμψυχον σῶμα κινεῖ αὐτὸ ἑαυτό. Ἀλλ’ ἀντιληπτέον τοῦ λόγου· ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς, ὅτι ὁτῳδήποτε κινοῦντι αὐτῷ ἑαυτὸ δεῖ τὸ μὲν αὐτοῦ μέρος εἶναι κινοῦν μόνον, τὸ δὲ κινούμενον. Ἀλλὰ τὸ σῶμα οὐ δύναται κινεῖν μόνον· οὐδὲ γάρ τι σῶμα κινεῖ μὴ κινούμενον. Δεῖ ἄρα τὴν ψυχὴν εἶναι τὸ μόνον κινοῦν· ὡδὶ δὲ ἡ αἰσθητικὴ**
P 67r **ψυχὴ ἔχει ἐνέργειαν, | ἧς κοινωνεῖ ταύτῃ τὸ σῶμα καὶ τούτῳ τῷ λόγῳ ἔσται ἡ ψυχὴ οὐσία ὑφεστῶσα.**

**106-108** ὅθεν – ψυχῇ] Ar., Phys. VIII, 254b.35: τῶν γὰρ ὑπ' ἄλλου κινουμένων τὰ μὲν 254b.35 παρὰ φύσιν ἐθήκαμεν κινεῖσθαι, τὰ δὲ λείπεται ἀντιθεῖναι ὅτι φύσει ; 255a.11-12: μίαν κίνησιν κινεῖσθαι μόνην ὑφ' αὑτῶν, εἴγε αὐτὰ ἑαυτὰ κινοῦσιν.

**92** Hic post τούτοις Aq. habet: si. **100-101** ἐκ-καταληπτικὴ] om. et al. man. add. in marg. dex. M **107** Hic post κινοῦσιν Aq. habet: sed generans et removens prohibens. **110** Hic post δημιουργίας Aq. habet: et non aliter. Ergo anima sensibilis educitur in esse per creationem. **114** Ἀλλ’ – λόγου] Sed contra Aq.

[3.11.20] Ἦ δ’ ἐκεῖνος, ὅτι ἡ λογικὴ ψυχὴ κινεῖ τῷ συνθήματι τῆς ὀρεκτικῆς δυνάμεως, ἥτις ἐνέργεια κοινῇ τε τῇ ψυχῇ πρόσεστι καὶ τῷ σώματι. Ἀλλὰ τοὐναντίον· ἐν τῷ ζῴῳ οὐχ ὅπως κινεῖ ἡ δύναμις ἡ ἐπιτάττουσα τὴν κίνησιν, ἀλλ’ ἔτι ἐστὶ δύναμις ἐκεῖ ἡ διαπραττόμενη τὴν κίνησιν· ἧς ἡ ἐνέργεια οὐ δύναται κοινὴ εἶναι σώματός τε καὶ ψυχῆς, τοῖς ὑπολαβοῦσι λόγοις. Καὶ ταύτῃ δεῖ τὴν αἰσθητικὴν ψυχήν τινος ἐπιλαμβάνεσθαι καθ’ αὑτὴν ἐνεργείας. Ἄρ’ οὖν ἔστιν οὐσία καθ’ αὑτὴν ὑφεστηκυῖα. Ὡδὶ δὲ διὰ τῆς δημιουργίας εἰς τὸ εἶναι παράγεται, καὶ οὐ διὰ τῆς φυσικῆς γεννήσεως.

[3.11.21] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ λεγόμενον ἐν τῷ πρώτῳ τῆς Γενέσεως· ἐξαγαγέτω τὰ ὕδατα, ἑρπετὰ ψυχῶν ζωσῶν· ἐκ γὰρ τούτου φανερὸν ὅτι αἱ αἰσθητικαὶ ψυχαί, τῶν ἑρπετῶν καὶ τῶν ἄλλων ζῴων εἰσὶ τῇ ἐνεργείᾳ τῶν σωμάτων τῶν στοιχείων.

[3.11.22] Ἔτι, ὥσπερ ἔχει τὸ σῶμα τοῦ πατρὸς πρὸς τὴν αὐτοῦ ψυχήν, οὕτως ἔχει καὶ τὸ τοῦ παιδὸς σῶμα πρὸς τὴν αὐτοῦ ψυχήν. Ἐναλλὰξ ἄρα, ὡς τὸ τοῦ υἱοῦ σῶμα πρὸς τὸ τοῦ πατρός, οὕτως ἡ τοῦ υἱοῦ ψυχὴ πρὸς τὴν τοῦ πατρός. Ἡ τοῦ υἱοῦ ἄρα ψυχὴ πρόεισιν ἀπὸ τοῦ πατρός.

[3.11.23] Ἀπόκρισις. Ῥητέον ὅτι περὶ τὴν πρόοδον τῶν οὐσιωδῶν εἰδῶν οἱ φιλόσοφοι διηνέχθησαν. Ἔνιοι μὲν γὰρ ἔφασαν, ὅτι τὸ φυσικῶς ποιοῦν μόνον διατίθησι τὴν ὕλην, τὸ δὲ ἐν τῇ τελευταίᾳ τελειότητι εἶδος πρόεισιν ὑπὸ τῶν ὑπὲρ τὴν φύσιν ἀρχῶν. Ἣ δὴ δόξα ἐκ δυοῖν μάλιστα δειχθείη οὖσα ψευδής. Πρῶτον ἐντεῦθεν, ὅτι, ἐπειδὴ τὸ διὰ τοῦ εἴδους εἶναι τῶν φυσικῶν καὶ σωματικῶν οὐ συνέστηκεν, εἰ μὴ ἐν τῇ πρὸς τὴν ὕλην ἑνώσει, ταυτοῦ ποιοῦντος εἶναι δοκεῖ τὸ προσενεγκεῖν αὐτό, ὅτου καὶ τὸ τὴν ὕλην μεταβάλλειν. Ἔπειθ’ ὅτι, ἐπεὶ τὰ τοιαῦτα εἴδη τὴν τάξιν καὶ τὴν ἐν τῷ δρᾶν ῥαστώνην τῶν ποιητικῶν ἀρχῶν οὐχ ὑπερβαίνει, οὐδεμία δοκεῖ ἀνάγκη τὴν αὐτῶν γένεσιν εἰς ὑψηλοτέρας ἀναδεῖν ἀρχάς· ὅθεν ὁ Φιλόσοφος φησὶν ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι ἡ σὰρξ καὶ τὸ ὀστοῦν γεννᾶται ἐκ τοῦ εἴδους τῶνδε τῶν σαρκῶν καὶ τῶνδε τῶν ὀστῶν· καθ’ οὗ δὴ γνώμην, οὐ μόνον τὸ φυσικῶς ἐνεργοῦν διατίθησι τὴν ὕλην, ἀλλὰ καὶ εἰς ἐνέργειαν ἐξάγει τὸ εἶδος, ἀντιστρόφως τῇ προτέρᾳ δόξῃ. Ταύτης δὲ τῆς γενέσεως, χρὴ

**129-130** ἐν – ζωσῶν] Gen. 1, 20: Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως. **146-148** ὁ – ὀστῶν] Ar., Metaph. VII, 1034a.5: τὸ δ' ἅπαν ἤδη, τὸ τοιόνδε εἶδος ἐν ταῖσδε ταῖς σαρξὶ καὶ ὀστοῖς, Καλλίας καὶ Σωκράτης· καὶ ἕτερον μὲν διὰ τὴν ὕλην (ἑτέρα γάρ), ταὐτὸ δὲ τῷ εἴδει (ἄτομον γὰρ τὸ εἶδος).

**122** πρόσεστι] est Aq. **123** ὅπως] solum Aq. **130** τὰ] deest M **134-135** οὕτως – πατρός] om. et al. man. add. in marg. sin. M **150** Hic post γενέσεως Aq. habet: formarum.

διαστέλλειν τὴν λογικὴν ψυχήν. Αὕτη γάρ ἐστιν οὐσία καθ’ αὑτὴν ὑφεστηκυῖα· ὅθεν τὸ ταύτης εἶναι οὐ συνίσταται μόνον ἐν τῷ τῇ ὕλῃ ἡνῶσθαι, ἐπεὶ διακρίνεσθαι μὴ ἂν δύναιτο· ὅπερ οὖν καὶ ἡ ταύτης ἐνέργεια παρίστησιν, αὐτὴ καθ’ αὑτὴν οὖσα, ἔξω τῆς τοῦ σώματος κοινωνίας. Οὐ γὰρ δύναται ἄλλως ἐνεργεῖν, ἢ ἐστίν· ὃ γὰρ καθ’ αὑτὸ μὴ ἔστιν, οὐδὲ καθ’ αὑτὸ ἐνεργεῖ. Ἔτι, αὖθις ἡ νοερὰ φύσις πᾶσαν τὴν τάξιν καὶ τὴν περὶ τὸ δρᾶν εὐκολίαν τῶν φυσικῶν καὶ σωματικῶν ἀρχῶν | κατόπιν ἀπολείπει, ἐφόσον ὁ νοῦς νοῶν πᾶσαν τὴν σωματικὴν φύσιν διαβάλλειν δύναται· ὅπερ οὐκ ἂν εἴη, εἰ ἡ τούτου φύσις ἔνδον τῶν σκαμμάτων τῆς σωματικῆς φύσεως συνέχοιτο. Οὐδέτερον δὲ τούτων τῆς αἰσθητικῆς καὶ φυτικῆς ψυχῆς πέρι δύναται λέγεσθαι. Τὸ μὲν γὰρ εἶναι τούτων τῶν ψυχῶν, οὐ δύναται συνεστάναι χωρίς, εἰ μὴ τῇ πρὸς τὸ σῶμα ἑνώσει· ὅπερ αἱ τούτων ἐνέργειαι παριστᾶσιν, αἳ ἄνευ σωματικῶν ὀργάνων εἶναι οὐ δύνανται· οὔτ’ αὖθις εἰς τὸ εἶναι παρατείνειν, εἰ μὴ ἐφόσον τὸ σῶμα παραμένει. Ὅθεν, καθάπερ τὸ σῶμα πρόεισιν εἰς τὸ εἶναι τῇ ἐνεργείᾳ τῆς γεννώσης φύσεως, οὕτω καὶ αἱ προειρημέναι ψυχαί. Οἱ δὲ τιθέμενοι ταύτας διὰ τῆς δημιουργίας ἰδίᾳ γίνεσθαι, δοκοῦσι περιίστασθαι εἰς τὴν δόξαν τῶν τιθεμένων τὰς τοιαύτας ψυχὰς μετὰ τὰ σώματα διαμένειν, καίτοι ἑκατέρου τούτων ὁμοῦ, ἐν τῷ Περὶ ἐκκλησιαστικῶν δογμάτων βιβλίῳ προβολῆς γραφὴν φευγόντων. Ἔτι τὲ αἱ τοιαῦται ψυχαὶ τὴν τάξιν τῶν ὑλικῶν ἀρχῶν οὐχ ὑπερβαίνουσι. Καὶ τοῦτο δῆλον ταῖς αὐτῶν ἐνεργείαις προσέχουσι τὸν νοῦν. Κατὰ γὰρ τὴν τάξιν τῶν φύσεων καὶ ἡ τάξις ἐστὶ τῶν ἐνεργειῶν. Εὑρίσκομεν δέ τινα εἴδη μὴ ὑπερεκτεινόμενα τῶν διὰ τῶν ὑλικῶν ἀρχῶν δυναμένων γίνεσθαι· καθάπερ τὰ στοιχειώδη εἴδη καὶ τῶν μικτῶν σωμάτων, ἃ μὴ δρᾷ εἰ μὴ τῇ ἐνεργείᾳ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ· ὅθεν εἰσὶ παντάπασιν ἐν τῇ ὕλῃ κατωρυγμένα. Ἡ δὲ φυτικὴ ψυχή, εἰ καὶ μὴ δρᾷ ὅτι μὴ μεσιτευουσῶν τῶν προειρημένων ποιοτήτων, φθάνει μέντοιγε ἡ ταύτης ἐνέργεια πρός τι, οὗπερ αἱ προειρημέναι ποιότητες οὐκ ἂν ἐπιλάβοιντο, δηλαδὴ πρὸς τὸ προάγειν σάρκα καὶ ὀστοῦν, πρὸς τὸ ταῖς αὐξήσεσιν ὅρον περιβάλλειν, καὶ τἆλλα τὰ ὁμόστοιχα. Ὅθεν καὶ τοῦτο τὸ εἶδος, ἔνδον τῆς τάξεως τῶν ὑλικῶν κατέχεται

P 67v

**153** ἂν] bis acc. P. Post οὖν Aq. habet: falsum esse. **154** Hic post παρίστησιν Aq. habet: quae est animae. **157** φυσικῶν] materialium Aq. **170** ὑλικῶν] naturalium Aq. | προσέχουσι – νοῦν] considerantibus Aq. **176-177** ποιοτήτων – προειρημέναι] om. et al. man. add. in marg. sin. M

ἀρχῶν, εἰ καὶ μὴ ὅσον τὰ προειρημένα εἴδη. Ἡ δὲ αἰσθητικὴ ψυχὴ οὐ ποιεῖ τῇ τοῦ θερμοῦ καὶ ψυχροῦ δυνάμει ἐξ ἀνάγκης, ὡς ἐν τῇ τῆς ὄψεως καὶ φαντασίας ἐνεργείᾳ κατάδηλον γίνεται, εἰ καὶ πρὸς τὰς τοιαύτας ἐνεργείας ζητεῖται εὐκρασία ψυχροῦ τε καὶ θερμοῦ πρὸς τὴν τῶν ὀργάνων σύστασιν, ὧν ἄνευ αἱ προειρημέναι ἐνέργειαι γίνεσθαι οὐχ οἷαι τε· ἀμέλει καὶ καθάπαξ οὐχ ὑπερβαίνει τὴν τάξιν τῶν ὑλικῶν ἀρχῶν, εἰ καὶ μὴ τοσοῦτον εἰς ταύτας καταβαπτίζεται, ὅσον τὰ προειρημένα εἴδη. Ἡ δὲ λογικὴ ψυχὴ ἐνέργειάν τε μεταχειρίζει, πρὸς ἣν ἡ τοῦ ψυχροῦ καὶ θερμοῦ δύναμις οὐκ ἐκτείνεται· ἀνύττει τὲ ταύτην οὔτε τῇ τοῦ ψυχροῦ καὶ θερμοῦ δυνάμει οὔτ᾽ αὖ ὀργάνῳ χρῆται σωματικῷ· ὅθεν αὐτὴ μόνον ὑπὲρ τὴν τῶν ὑλικῶν ἀρχῶν τάξιν ἅττα· οὔκουν γε μήν, ἢ ἐν τοῖς ἀλόγοις ἡ αἰσθητική, ἢ ἐν τοῖς φυτοῖς ἡ φυτική.

P 68r [3.11.24] Πρὸς τὸ πρῶτον οὖν | ῥητέον ὅτι, εἰ καὶ ἡ αἰσθητικὴ ψυχὴ τοῖς τε ἀνθρώποις καὶ τοῖς ζῴοις ἐστὶ τοῦ αὐτοῦ λόγου κατὰ τὸ γένος, οὐκ ἔστι μέντοι τοῦ αὐτοῦ λόγου κατὰ τὸ εἶδος, ὥσπερ οὐδὲ τὸ αὐτὸ τῷ εἴδει ζῷον ὅ τε ἄνθρωπος καὶ ὁ κένταυρος. Ὅθεν καὶ αἱ τῆς αἰσθητικῆς ψυχῆς ἐνέργειαι, εἰσὶ πολλῷ κρείττους ἐν τῷ ἀνθρώπῳ ἢ ἐν τοῖς ἀλόγοις, ὡς φαίνεται ἔν τε τῇ ἀφῇ καὶ ἐν τοῖς ἔξωθεν καταλαμβανομένοις. Τῷ τοι οὐδὲ χρὴ τῶν τῷ γένει μὲν κοινωνούντων, τῷ δὲ εἴδει διαλλαττόντων, εἶναι ἕνα τρόπον τῆς προόδου εἰς τὸ εἶναι, ὡς δῆλον ἔν τε τοῖς ἐκ σπερμάτων καὶ τοῖς ἐκ τῶν σηπεδόνων ζῴοις γινομένοις, ἃ τῷ γένει κοινωνοῦντα τῷ εἴδει διενήνοχε.

[3.11.25] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐν τῷ ἀνθρώπῳ οὐ λέγεται ἡ αἰσθητικὴ ψυχὴ διάθεσις, ὡσὰν εἰ εἴη τὶ ἐν τῇ οὐσίᾳ παρὰ τὴν λογικὴν ψυχήν, καὶ εἴη διάθεσις πρὸς αὐτήν, ἀλλ᾽ ὅτι οὐ διακρίνεται τὸ αἰσθητικὸν ἀπὸ τοῦ λογικοῦ ἐν τῷ ἀνθρώπῳ, εἰ μὴ ὡς δύναμις ἀπὸ δυνάμεως. Ἡ δὲ ἐν τῷ ἀλόγῳ αἰσθητικὴ ψυχὴ διακρίνεται ἀπὸ τῆς λογικῆς ψυχῆς ὥσπερ ἓν εἶδος οὐσιῶδες ἀπ᾽ ἄλλου. Ὥσπερ μέντοιγε ἡ αἰσθητικὴ δύναμις καὶ ἡ φυτικὴ ἐν τῷ ἀνθρώπῳ ἐκχέονται ἀπὸ τῆς τῆς ψυχῆς οὐσίας, οὕτω κἀν τοῖς ἀλόγοις καὶ τοῖς φυτοῖς. Ἀλλ᾽ ἐν τούτῳ διαφέρουσιν, ὅτι ἐν μὲν τοῖς φυτοῖς οὐκ ἀπορρέουσιν ἀπὸ τῆς ψυχῆς οὐσίας χωρίς, εἰ μὴ αἱ φυτικαί, καὶ διατοῦτο ἀπ᾽ αὐτῶν ἡ ψυχὴ παρονομάζεται, ἐν δὲ τοῖς ἀλόγοις οὐχ αἱ φυτικαὶ μόνον, ἀλλὰ καὶ αἱ αἰσθητικαί· ἀφ᾽ ὧν κἀν τούτοις προσηγορίας αἱ ψυχαὶ τυγχάνουσιν. Ἐν δὲ τῷ

**193** τοῖς ζῴοις] brutis Aq. **195** κένταυρος] brutum Aq. **196** τοῖς ἀλόγοις] brutis Aq. **198** ἕναν] ἕνα M, P **199** σηπεδόνων] putrefactione Aq. **202** ὡσὰν] bis acc. P **209** Hic post αἱ Aq. habet: potentiae.

ἀνθρώπῳ παρὰ ταύτας ἡ νοερὰ ἐκρεῖ· ἀφ’ ἧς καὶ νοερὰ προσαγορεύεται.

**[3.11.26]** Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ οὐσία ἀφ’ ἧς τὸ αἰσθανόμενον ἀπορρεῖ, ὡς μὲν ἐν τοῖς ἀλόγοις, ὡς δὲ κἀν τοῖς ἀνθρώποις ἐστὶν εἶδος οὐσιῶδες· ἡ δὲ δύναμίς ἐστιν ἐν ἑκατέροις συμβεβηκός.

**[3.11.27]** Πρὸς δὲ τὸ τέταρτον ῥητέον, ὅτι ἡ αἰσθητικὴ καὶ φυτικὴ ψυχὴ οὐκ ἔστιν ἐνεργείᾳ ἐν τῷ σπέρματι, ἀλλ’ ὥσπερ ἐν δυνάμει ποιητικῇ· ὥσπερ ὁ ἐνεργείᾳ οἶκος ἔστιν ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου, καὶ ὥσπερ τὰ σωματικὰ εἴδη εἰσὶν ἐν ταῖς οὐρανίαις δυνάμεσι.

**[3.11.28]** Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ ὄργανον νοεῖται κινεῖσθαι ἀπὸ τοῦ πρώτου ποιοῦντος, ἐφόσον ἀντιλαμβάνεται τῆς ἀπὸ πρώτου ποιοῦντος δυνάμεως ἐνστιχθείσης· ὅθεν τὸ βέλος ἐπιτοσοῦτον κινεῖται ἀπὸ τοῦ πέμποντος, ἐφόσον μένει ἡ ἰσχὺς τῆς ἐξακοντίσεως τοῦ ῥιπτουμένου· ὥσπερ τὸ γεννώμενον ἐπιτοσοῦτον κινεῖται ἀπὸ τοῦ γεννῶντος, ἔν τε τοῖς βαρέσι καὶ τοῖς κούφοις, ἐφόσον παρακατέχει τὸ παρατεθὲν εἶδος ἀπὸ τοῦ γεννῶντος αὐτό· διά τοι τοῦτο καὶ τὸ σπέρμα ἐπιτοσοῦτον νοεῖται κινεῖσθαι ἀπὸ τῆς τοῦ γεννῶντος ψυχῆς, μέχρις ἂν ἐκεῖ διαμένοι ἡ παρὰ τοῦ γεννῶντος ἐναπομαχθεῖσα δύναμις τῆς ψυχῆς, εἰ καὶ σωματικῶς διέστηκε. Δεῖ γὰρ τὸ (P 68v) κινοῦν καὶ τὸ κινούμενον εἶναι ἅμα ὅσον πρὸς τὴν | τῆς κινήσεως ἀρχήν, ἀλλ’ οὐχ ὅσον πρὸς τὴν ὅλην κίνησιν, ὡς εὔδηλον ἐν τοῖς ἐξακοντιζομένοις.

**[3.11.29]** Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ ὀρεκτικὴ δύναμις οὐκ ἔχει τὴν δυναστείαν, εἰ μὴ πρὸς τὸ ἡνωμένον σῶμα· ὅθεν τὸ ἀποτμηθὲν μέρος οὐχ ὑπακούει τῇ ὀρεκτικῇ ψυχῇ πρὸς τὸ ὀρεκτόν. Τὸ δὲ σπέρμα οὐ κινεῖται ἀπὸ τῆς τοῦ γεννῶντος ψυχῆς δι’ ἐπιτάγματος, ἀλλὰ διά τινος μεταβαλλούσης δυνάμεως, ἣ ἐν τῷ σπέρματι μένει.

**[3.11.30]** Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ αἰσθητικὴ καὶ φυτικὴ ψυχὴ ἐκ τῆς τῆς ὕλης δυνάμεως προΐασιν, ὥσπερ καὶ τὰ ὑλικὰ εἴδη, ὧν πρὸς τὴν πρόοδον ζητεῖται δύναμις τὴν ὕλην μεταβάλλουσα. Ἡ δὲ ἐν τῷ σπέρματι δύναμις, εἰ καὶ ἠρήμωται τῶν ἄλλων τῆς ψυχῆς ἐνεργειῶν, ταύτην μέντοι τὴν ἐνέργειαν ἔχει. Καθάπερ γὰρ διὰ τῆς ψυχῆς ἡ ὕλη μεταβάλλει, ὡς μεταστραφῆναι εἰς σάρκα τῇ στρεφούσῃ ἐνεργείᾳ· οὕτω καὶ διὰ τῆς προειρημένης δυνάμεως μεταβάλλει ἡ ὕλη, ἐφ’ ᾧ γεννηθῆναι τὸ συλληφθέν·

**218** τεχνίτου] τεχνήτου passim P **223** ῥυπτουμένου] (byz.) intell. ῥιπτουμένου **226** αὐτό] αὐτῷ P, M **233** ὀρεκτὸν] ὀρεκτικὸν M (votum Aq.) **235** Hic post μένει Aq. habet: etiam postquam fuerit decisum. **237** Post ὑλικὰ Aq. habet: aliae. **241** σάρκα] totum Aq. | τῇ – ἐνεργείᾳ] in actione nutrimenti Aq.

**οὐδὲν γὰρ κωλύειν τὴν προειρημένην δύναμιν ἐνεργεῖν, ὅσον κατὰ τοῦτο πρὸς ποίησιν ψυχῆς αἰσθητικῆς τῇ αὐτῆς δυνάμει.**

**[3.11.31] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ προειρημένη δύναμις ἐρρίζωται ἐπὶ τοῦ πνεύματος τοῦ ἀπειλημμένου ἐν τῷ σπέρματι καθάπερ ἐν ὑποκειμένῳ. Σχεδὸν δέ που πᾶν τὸ σπέρμα, ὡς ὁ Ἀβίκενός φησιν, εἰς πνεῦμα μεταχωρεῖ. Ὥστ᾽ εἰ καὶ ἡ σωματουμένη ὕλη, ἀφ᾽ ἧς τὸ συλληφθὲν εἰδοποιεῖται, πλειστάκις κατὰ τὴν γένεσιν μεταβάλλει, τό γε μὴν τῆς προειρημένης δυνάμεως ὑποκείμενον οὐ καθαιρεῖται.**

**[3.11.32] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, καθάπερ ἡ θέρμη ἐνεργεῖ ὡς ὄργανον τοῦ οὐσιώδους εἴδους τοῦ πυρός, οὕτως οὐδὲν ἀνθίσταται, δρᾶν ὡς ὄργανον τῆς αἰσθητικῆς ψυχῆς πρὸς τὸ ποιεῖν αἰσθητικὴν ψυχὴν ἐνεργείᾳ, οὐχ ὅτι ἰδίᾳ δυνάμει τοῦτο δύναται.**

**[3.11.33] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ ὕλη μεταβάλλει, οὐχ ὅπως τῇ μεταβολῇ τῇ κατὰ συμβεβηκός, ἀλλὰ καὶ τῇ οὐσιώδει· τὸ γὰρ οὐσιῶδες εἶδος ἐν τῇ ὕλῃ δυνάμει προϋφέστηκεν. Ὅθεν τὸ φύσει ποιοῦν τὴν ὕλην μεταβάλλον, οὐ μόνον ἐστὶν αἰτία τοῦ εἴδους τοῦ κατὰ συμβεβηκός, ἀλλὰ καὶ τοῦ οὐσιώδους.**

**[3.11.34] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ αἰσθητικὴ ψυχὴ μὴ οὖσα τὶ ὑφεστώς, οὐκ ἔστιν αὐτό τι κινεῖναι, ὡς οὐδὲ τὰ ἄλλα ὑλικὰ εἴδη, ἀλλ᾽ ἔστιν ὂν καὶ μέρος τῆς οὐσίας καὶ τὸ εἶναι αὐτῆς, ἐν τῇ πρὸς τὴν ὕλην ἐστὶ συνόδῳ· ὅθεν οὐδὲν ἕτερον ἐστίν, αἰσθητικὴν προενεχθῆναι ψυχὴν ἢ τὴν ὕλην ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλειν.**

**[3.11.35] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, ὅσόν ἐστι τὶ ἀτελές, τοσοῦτο πρὸς τὴν αὐτοῦ σύστασιν ἔλαττω ζητεῖται. Ἀμέλει κἀπειδὴ τὰ ἐκ σηπεδόνος γινόμενα ζῷα, εἰσὶν ἀτελέστερα τῶν ζῴων τῶν ἐκ σπερμάτων γινομένων, [in animalibus** P 69[r] **ex putrefactione generatis] ἀπόχρη τούτοις μόνη ἡ τοῦ οὐρανίου | σώματος δύναμις, ἣ δὴ κἀν τοῖς σπέρμασιν ἐνεργεῖ, εἰ καὶ μὴ ἐξαρκεῖ ἄνευ ψυχικῆς δυνάμεως πρὸς τὸ προάγειν τὰ ἐκ σπερμάτων γεννώμενα ζῷα· ἡ γὰρ δύναμις τοῦ οὐρανίου σώματος ἐν τοῖς ὑποβεβηκόσι σώμασι ζητεῖται, [in quantum] ἐφ᾽ ᾧ μεταβληθῆναι, ὥσπερ ἀπὸ πρώτου ἀλλοιοῦντος. Διά τοι τοῦτο καὶ λέγεται ἐν τῷ Περὶ ζῴων βιβλίῳ, ὅτι πάντα τὰ σώματα πλήρη τυγχάνει ὄντα δυνάμεων ψυχῆς. Ὁ δ᾽ οὐρανός, εἰ καὶ μὴ ἔστι τῷ εἴδει ὅμοιος τούτοις τοῖς**

**261** αὐτό – κινεῖναι] lacuna ca 12 P; quidditas Aq. **262** τῆς οὐσιας] quiddotatis Aq. **266** ἐλάττω] ἐλάττων M; pauciora Aq. **268** τούτοις] τοῦ τοῖς M **272** ἐφ᾽ ᾧ] ἐφῶ P | ἀλλοιοῦντος] ἀλοιοῦντος P

ζῴοις τοῖς ἐκ σηπεδόνος γινομένοις, ἔστι μέντοι τὶς ὁμοιότης ὅσον εἰς τοῦτο· ὅτι τὸ ἀποτέλεσμα ἐν τῇ ποιητικῇ αἰτίᾳ κατὰ τὴν δύναμιν προϋφέστηκε ἔμψυχον καὶ ζῶν.

[3.11.36] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ οὐράνιον σῶμα, εἰ καὶ μὴ ζῇ, δρᾷ μέντοιγε δυνάμει οὐσίας ζώσης, ἀφ᾽ ἧς κινεῖται, εἴτ᾽ εἴη ἄγγελος εἴτ᾽ εἴη Θεός. Κατὰ μέντοι φιλοσόφους πιστεύεται τὸ οὐράνιον σῶμα ἔμψυχον καὶ ζῶν.

[3.11.37] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ δύναμις τῆς νοητῆς οὐσίας τῆς τὸν οὐρανὸν κινούσης, ζητεῖται ἐν τῷ οὐρανίῳ σώματι καὶ τῇ αὐτοῦ κινήσει, οὐχ ὡς εἶδος πλῆρες ἔχον τὸ εἶναι ἐν τῇ ὕλῃ, ἀλλὰ τῷ τρόπῳ τῆς ἐνθεωρήσεως, ὥσπερ ἡ δύναμις τῆς τέχνης ἐστὶν ἐν τῷ τοῦ τεχνίτου ὀργάνῳ.

[3.11.38] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἡ λογικὴ ψυχή, ὡς εἴρηται, διίσχει πᾶσαν τὴν τάξιν τῶν σωματικῶν ἀρχῶν· ὅθεν οὐδὲν σῶμα δύναται δρᾶν ὡς ὄργανον πρὸς τὴν αὐτῆς παραγωγήν.

[3.11.39] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ αἰσθητικὴ ψυχὴ πρόεισιν ἐν τῷ συλληφθέντι οὐ διὰ τῆς τοῦ σώματος ἐνεργείας, οὐδὲ κατὰ ἀποτομὴν τῆς ψυχῆς, ἀλλὰ διὰ τῆς ἐνεργείας τῆς εἰδοποιοῦ δυνάμεως, ἥτις ἐν τῷ σπέρματι ἐμφιλοχωρεῖ ἀπὸ τῆς τοῦ γεννῶντος ψυχῆς, ὡς εἴρηται.

[3.11.40] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ καταληπτικὴ δύναμις ἀπαγορεύοιτ᾽ ἂν εἶναι τῇ ἐνεργείᾳ τῶν στοιχείων, ὡσὰν εἰ αἱ δυνάμεις τῶν στοιχείων ἀποχρῷεν πρὸς τὸ κτίζειν αὐτήν, καθάπερ ἐξαρκοῦσι πρὸς τὸ ποιεῖν σκληρότητα καὶ μαλθακότητα. Οὐκ ἀπαγορεύεται δὲ μὴ ὀργανικῶς τινί γέ τῳ τρόπῳ συναντιλαμβάνεσθαι δύνασθαι.

[3.11.41] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ἡ αἰσθητικὴ ψυχὴ κινεῖ διὰ τῆς ὀρέξεως. Ἡ δὲ τῆς ὀρέξεως ἐνέργεια οὐκ ἔστι μόνον τῆς αἰσθητικῆς ψυχῆς, ἀλλὰ τοῦ συνθέτου. Ὅθεν ἡ τοιαύτη δύναμις ἔχει ὡρισμένον ὄργανον. Ὅθεν οὐ δεῖ τιθέναι τὴν αἰσθητικὴν ψυχὴν ἔχειν ἐνέργειάν τινα ἄνευ τῆς τοῦ σώματος συναφείας.

**293** ἐμφιλοχωρεῖ] ἐμφελιχωρεῖ M; est Aq. **295, 304** ὡσὰν] ὡσᾶν P

**[3.11.42] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι τὸ σῶμα δύναται κινεῖν, ὡσὰν μὴ κινούμενον ἐκείνῳ τῷ εἴδει τῆς κινήσεως, ᾧ κινεῖ, εἰ καὶ μὴ δύναται κινεῖν, εἰ μὴ ἀμηγέπη κινούμενον· τὸ γὰρ τοῦ οὐρανοῦ σῶμα ἀλλοιοῖ οὐχ ἀλλοιούμενον, ἀλλὰ κατὰ τόπον κινούμενον· ὁμοίως δὲ καὶ τὸ τῆς ὀρεκτικῆς δυνάμεως ὄργανον, κινεῖ τοπικῶς μὴ τοπικῶς κινούμενον, ἀλλά τινα τρόπον ἀλλοιούμενον. Ἡ γὰρ ἐνέργεια τῆς ὀρεκτικῆς δυνάμεως ἄνευ τῆς σωματικῆς** P 69[v] **ἀλλοιώσεως οὐ συμβαίνει, | ὥσπερ ἐν τῇ ὀργῇ φαίνεται καὶ τοῖς ἄλλοις τοῖς τοιοῖσδε πάθεσι.**

**[3.11.43] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ἡ δύναμις ἡ κινητικὴ ἡ ἐκπράττουσα τὴν κίνησίν ἐστι μᾶλλον διάθεσις τοῦ κινητοῦ ἢ ἔστι καθ’ αὑτὸ τὸ κινοῦν.**

**306** ἀλλοιοῖ] ἀλοιοῖ P **307** ἀλλοιούμενον] ἀλοιούμενον passim P **310** ἀλλοιώσεως] ἀλοιώσεως passim P

## Κεφάλαιον δωδέκατον

## Πότερον ἡ αἰσθητικὴ ψυχή, ἢ καὶ ἡ φυτικὴ εἰσὶν ἀπαρχῆς ἀποσπωμένου τοῦ σπέρματος ἢ οὔ.

**[3.12.1] Δυοκαιδέκατον ζητεῖται, πότερον ἡ αἰσθητικὴ ψυχὴ ἢ καὶ ἡ φυτικὴ εἰσὶν ἀπαρχῆς ἀποσπωμένου τοῦ σπέρματος. Καὶ δοκεῖ οὕτως. Ὅτι, ὡς ὁ Γρηγόριος Νύσσης φησίν, ἑκατέρας δόξης ἐπιχείρησις οὐκ ἔστιν ἀκατηγόρητος, καὶ τῶν λεγόντων πρότερον ζῆν τὰς ψυχὰς ἔν τινι αὐτῶν καταστάσει καὶ τάξει, καὶ τῶν διαμυθευομένων ταύτας μεθυπάρχειν τῶν σωμάτων. Ἀλλ’ εἰ ἡ ψυχὴ ἐν τῷ ἀνθρώπῳ μὴ εἴη εὐθὺς ἀρχομένῳ, ἀνάγκη ταύτην γίνεσθαι μετὰ τὸ σῶμα. Ἡ ψυχὴ ἄρα ἀπαρχῆς γέγονεν ἐν τῷ σπέρματι.**

**[3.12.2] Ἔτι, εἰ ἡ αἰσθητικὴ ψυχὴ ἀπαρχῆς μὴ γέγονεν ἐν τῷ σπέρματι, καθάπερ οὐδὲ ἡ λογική, ὁ αὐτὸς ἔσται λόγος αἰσθητικῆς τε πέρι καὶ λογικῆς. Ἀλλ’ ἡ λογικὴ ψυχὴ ἔστιν ἐκ τῆς δημιουργίας. Ἄρα καὶ ἡ αἰσθητική. Οὗ τὸ ἐναντίον δέδεικται.**

**[3.12.3] Ἔτι, ὁ Φιλόσοφός φησιν ἐν τῷ Περὶ ζῴων δεκάτῳ ἕκτῳ, ὅτι ἡ οὖσα ἐν τῷ σπέρματι δύναμίς ἐστι καθάπερ υἱὸς ἐκ τοῦ οἴκου τοῦ πατρὸς προϊών. Ἀλλ’ ὁ υἱός ἐστιν ὁ αὐτὸς τῷ εἴδει τῷ πατρί. Ἄρα καὶ ἡ ἐν τῷ σπέρματι δύναμίς ἐστιν ἡ αὐτὴ τῷ εἴδει τῇ αἰσθητικῇ ψυχῇ, ἀφ’ ἧς προέρχεται.**

**[3.12.4] Χωρὶς δὲ τούτων ὁ Φιλόσοφός φησιν ἐν τοῖς αὐτοῖς ὅτι ἡ δύναμις ἐκείνη ἐστὶν καθάπερ τέχνη, ἡ δ’ ὕλη ἐστὶ τὸ παρ’ αὐτῆς μετασκευαζόμενον πρὸς τὴν τελείωσιν τοῦ τεχνητοῦ. Ἀλλ’ ἐν τῇ τέχνῃ ἔστι τὸ εἶδος τοῦ τεχνητοῦ. Καὶ ἐν ἄρα τῇ δυνάμει ἐκείνῃ τοῦ σπέρματος ἔστι τὸ εἶδος τῆς αἰσθητικῆς ψυχῆς τῆς διὰ τοῦ σπέρματος προαγομένης.**

**[3.12.5] Ἔτι, ἡ τομὴ τοῦ σπέρματός ἐστι φυσική, ἡ δὲ τομὴ τοῦ δακτυλιώδους ζῴου ἔστι παρὰ τὴν φύσιν. Ἀλλ’ ἐν τῷ μορίῳ τοῦ δακτυλιώδους ζῴου τμηθέντος ἔστι ψυχή, ὡς ὁ Φιλόσοφός φησι. Πολλῷ μᾶλλον ἄρα ἔστιν ἐν τῷ ἀποτμηθέντι σπέρματι.**

**6-10** ὁ – σωμάτων] Greg. Nyss. De opif. hom., cap. 28 (PG 44, col. 229D): Οὐ γὰρ διὰ τὴν τροφὴν ἡ ψυχή, οὐδὲ τοῦ ἐνδύματος χάριν κατεσκευάσθη τὰ σώματα, ἀλλὰ ἐπεὶ οὖν ἐν ἀμφοτέραις ταῖς ὑπολήψεσιν ὁ λόγος ὑπαίτιος, τῶν τε προβιοτεύιν τὰς ψυχὰς ἐν ἰδίᾳ τινὶ καταστάσει μυθολογούντων, καὶ τῶν ὑστέρας τῶν σωμάτων κατασκευάζεσθαι νομιζόντων. **16-17** ὁ – προϊών] cf. Ar., De gen. an. IV, 740a.5-7: ὅταν γὰρ ἀπ' ἀμφοῖν ἀποκριθῇ δεῖ αὐτὸ αὐτὸ διοικεῖν τὸ γενόμενον καθάπερ ἀποικισθὲν τέκνον ἀπὸ πατρός.

[3.12.6] Ἔτι, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῷ Περὶ ζῴων δεκάτῳ ἕκτῳ, ὅτι τὸ ἄρρεν ἐν τῇ γεννήσει τοῦ ζῴου δίδωσι τὴν ψυχήν. Ἀλλ’ οὐδέν ἐστιν ἀπὸ τοῦ πατρὸς ἐξιόν, ὅτι μὴ τὸ σπέρμα. Ψυχὴ ἄρα ἔστιν ἐν τῷ σπέρματι.

[3.12.7] Ἔτι, τὸ συμβεβηκὸς οὐ μεταρρεῖ, εἰ μὴ τῇ μετακομιδῇ τοῦ ὑποκειμένου. Ἀλλά τινες νόσοι μεταβαίνουσιν ἀπὸ τῶν τοκέων εἰς τοὺς υἱέας, ὥσπερ λέπρα καὶ ποδάγρα καὶ τὰ τοιαδί. Ἄρα καὶ τὰ τούτων ὑποκείμενα συμμεταβαίνει. Τοῦτο δ’ οὐκ ἂν εἴη ἄνευ ψυχῆς. Ἔστιν ἄρα ἐξ ἀρχῆς ψυχὴ ἐν τῷ σπέρματι.

P 70r [3.12.8] Ἄνευ δὲ τούτων, ὁ Ἱπποκράτης διαγορεύει, ὅτι τῇ ἀποτομῇ τῆς | φλεβός, ἥτις ἔστι παρὰ τὸ οὖς, ἐπίσχεται ἡ γέννησις. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ μὴ τὸ σπέρμα ἀποσπῷτο παντὸς τοῦ σώματος, ὥσπερ ἐνεργείᾳ μόριον προϋπάρχον. Ἐπεὶ τοίνυν τὸ ὂν ἐνεργείᾳ μέρος τοῦ ζῴου ἔχει ψυχήν, δοκεῖ τὸ σπέρμα ἀπαρχῆς εὐθὺς ἔχειν ψυχήν.

[3.12.9] Ἔτι, ὁ αὐτὸς φησίν, ὅτι τις ἵππος διὰ τὴν ὑπερβάλλουσαν ὀχεῖαν εὕρηται ἄνευ ἐγκεφάλου. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ μὴ τὸ σπέρμα ἀποτέμνοιτο αὐτοῦ, ὅσπέρ ἐστιν ἐνεργείᾳ μόριον. Ταὐτὸ ἄρα ὃ πρότερον.

[3.12.10] Ἔτι, ὅπέρ ἐστι περίττωμα οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ πράγματος. Εἰ τοίνυν τὸ σπέρμα ὡς περίττωμα οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ γεννῶντος, οὐδὲ ὁ υἱὸς ὁ ὢν ἐκ τοῦ σπέρματος ἔσται ἐκ τῆς τοῦ πατρὸς οὐσίας· ὅπέρ ἐστιν ἄτοπον. Ἄρα τὸ σπέρμα ἐστὶν ἐκ τῆς τοῦ γεννῶντος οὐσίας. Καὶ ταύτῃ ἔστιν ἐκεῖ ψυχὴ ἐνεργείᾳ.

[3.12.11] Ἔτι, πᾶν τὸ ψυχῆς χηρεῦόν ἐστιν ἄψυχον. Εἰ τὸ σπέρμα τοίνυν ψυχῆς χηρεύει, ἐστὶν ἄψυχον. Καὶ ταύτῃ τὸ ἄψυχον σῶμα μεταβαλεῖ, καὶ γενήσεται ἔμψυχον· ὃ δοκεῖ ἄτοπον. Ἄρα ἡ ψυχὴ ἔστιν ἀπαρχῆς ἐν τῷ σπέρματι.

[3.12.13] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Φιλοσόφου λεγόμενον ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ, ὅτι τὸ σπέρμα καὶ ὁ καρπὸς οὐκ ἔστιν ἐν τοιαύτῃ δυνάμει πρὸς τὴν ψυχήν, ὥστε ἀνίσχειν αὐτήν.

[3.12.14] Ἔτι, εἰ τὸ σπέρμα ἀπαρχῆς ἔχει ψυχήν, τοῦτο οὐχ οἷόν τε εἶναι, πλὴν εἰ μὴ δυσὶ τρόποις, ἢ ὅτι ὅλη ἡ ψυχὴ τοῦ γεννῶντος μεταχωρεῖ, ἢ ὅτι μέρος

**29-30** ὡς – ψυχήν] cf. Ar., De gen. an., 741a.13-16: εἰ οὖν τὸ ἄρρεν ἐστὶ τὸ τῆς τοιαύτης ποιητικὸν ψυχῆς, ὅπου κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν ἀδύνατον τὸ θῆλυ αὐτὸ ἐξ αὑτοῦ γεννᾶν ζῷον· τὸ γὰρ εἰρημένον ἦν τὸ ἄρρεν εἶναι. **54-56** τὸ – αὐτήν] Ar., De an. II, 412b25: τὸ δὲ σπέρμα καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα.

**αὐτῆς. Ἑκάτερον δὲ τούτων εἶναι δοκεῖ ἄτοπον· ἐκ μὲν γὰρ τοῦ προτέρου ἕπεται ὅτι οὐκ ἀπολιμπάνεται ψυχὴ ὑπὸ τῷ πατρί, ἐκ δὲ τοῦ ὑστέρου ὅτι οὐκ ἐναπομένει ὅλη ἐκεῖ. Οὐκ ἄρα ἔστιν ἐκεῖ ψυχὴ ἐξ ἀρχῆς.**

**[3.12.15] Ἀπόκρισις. Ῥητέον, ὅτι δόξα γέγονέ τινῶν ψυχὴν ἐνεῖναι ἀπαρχῆς τῆς ἀποκρίσεως τοῦ σπέρματος ἐν αὐτῷ, βουλομένων, καθάπερ τὸ σῶμα ἀποτέμνεται ἀπὸ τοῦ σώματος, οὕτω καὶ τὴν ψυχὴν παραφύεσθαι ἀπὸ τῆς ψυχῆς, ὡς εὐθὺς σὺν τῷ τοῦ σώματος μορίῳ ἐνεῖναί τινα ἐκεῖ ψυχήν. Αὕτη δὲ ἡ δόξα οὐ πάνυ τοι ἔοικεν ἀληθίζειν· καθάπερ γὰρ ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ Περὶ ζῴων δεκάτῳ πέμπτῳ, τὸ σπέρμα οὐκ ἀποτέμνεται ἀπὸ τοῦ σώματος, ὥστ᾽ εἶναι μόριον ἐνεργείᾳ, ἀλλ᾽ ἐστὶ περίττωμα τῆς τελευταίας πέψεως· οὐ γάρ πω ἐστὶ τῇ τελευταίᾳ μορφώσει μεμορφωμένον. Οὐδὲν δὲ ἔστι σώματος μόριον ἐνεργείᾳ διὰ ψυχῆς τελείας, εἰ μὴ εἴη τῇ ἄκρᾳ μορφώσει μεμορφωμένον. Ὅθεν τὸ σπέρμα, πρὶν ἀποκριθῆναι, οὔπω τέλειόν ἐστι διὰ τῆς ψυχῆς οὕτως, ὥστε τὴν ψυχὴν εἶναι εἶδος αὐτῆς· ἔσται μέντοι ἐκεῖ δύναμίς τις, καθ᾽ ἣν ἤδη διὰ τῆς ἐνεργείας τῆς ψυχῆς τοῦ γεννῶντος ἀλλοιωθήσεται καὶ παραπεμφθήσεται πρὸς τὴν διάθεσιν τὴν ἔγγιστα τῆς τελευταίας διαμορφώσεως. Ὅθεν καὶ μετὰ τὴν αὐτοῦ διαφόρησιν οὐκ ἔστιν**
P 70v **ἐκεῖ ψυχή, ἀλλά τις ψυχῆς | δύναμις. [Et proper hoc], ὡς ἐν τῷ δεκάτῳ ἕκτῳ Περὶ ζῴων ὁ Φιλόσοφός φησιν, ὅτι ἐν τῷ σπέρματι ἔστι δύναμις ἀρχῆς ψυχῆς. Καὶ παραταῦτα, εἰ ψυχὴ ἐνείη τῷ σπέρματι ἀπαρχῆς, ἢ σχήσεται τὸ τῆς ψυχῆς εἶδος ἐνεργείᾳ ἢ οὔ. Ἀλλ᾽ ἔσται τις δύναμις, ἥτις μεταβαλεῖ εἰς τούπιὸν εἰς ψυχήν. Ἀλλὰ τὸ μὲν πρότερον εἶναι οὐ δύναται· ἐπεὶ γὰρ ἡ ψυχὴ ἔστι τὸ ἐνεργείᾳ τοῦ ὀργανικοῦ σώματος, πρὸ τῆς οἱασοῦν ὀργανώσεως τὸ σῶμα οὐχ οἷόν τε ὑποδεκτικὸν εἶναι τῆς ψυχῆς. Καὶ οὕτως ἕπεται τὸ ὅλον τοῦθ᾽, ὃ δρᾷ ἐν τοῖς σπέρμασιν, μὴ εἶναι, εἰ μή τις ἐν τῇ ὕλῃ διάθεσις κατὰ τὸ εἰκὸς τε γέννησις οὐκ ἔσται· ἡ γὰρ γέννησις οὐχ ἕπεται, ἀλλ᾽ ἡγεῖται τοῦ οὐσιώδους εἴδους, εἰ μήπου τάχα ῥηθείη ἄλλο τι εἶναι τοῦ σώματος εἶδος οὐσιῶδες παρὰ τὴν ψυχήν, ἀφ᾽οὗ ἕπεται μὴ ἐνοῦσθαι τὴν ψυχὴν τῷ σώματι οὐσιωδῶς, ὡσὰν ἐπισυμβαίνουσαν αὐτῷ, ἐπειδὰν ἤδη ἑτέρῳ εἴδει γένηται,**

**66-69** καθάπερ – πέψεως] **16-17** cf. Ar., De gen. an. XV, 766b.19-22: τὸ δὲ σπέρμα περίττωμα, τοῦτο δὲ τοῖς μὲν θερμοτέροις καὶ ἄρρεσι τῶν ἐναίμων εὔογκον τῷ πλήθει, διὸ τὰ δεκτικὰ μόρια πόροι ταύτης τῆς περιττώσεώς εἰσι τοῖς ἄρρεσιν.

**68** τοῦ σώματος] eo Aq.

τόδε τι. Ἔτι, ὑπὲρ ταῦτα ἕψεται τὴν τοῦ ζῶντος γέννησιν μὴ εἶναι γέννησιν, ἀλλὰ τομήν· ὥσπερ τὸ ξύλον τέμνεται ἀπὸ τοῦ ξύλου, ὥστ᾽ εἶναι ἐνεργείᾳ ξύλον. Ἐπάνειμι δ᾽ αὖθις ἐπὶ τὰ πρότερα. Οὐδὲ γὰρ τὸ δεύτερον σκέλος τῆς προειρημένης διαιρέσεως ἔσται· κατὰ γὰρ τοῦτο ἕψεται τὸ οὐσιῶδες εἶδος μὴ ἀθρόον, ἀλλὰ κατὰ διαδοχὴν ἐν τῇ ὕλῃ προβαίνειν· καὶ ταύτῃ ἐν τῷ τῆς οὐσίας γένει ἔσται κίνησις, ὥσπερ ἐν τῇ ποσότητι καὶ ποιότητι· ὅπέρ ἐστιν ἐναντίον τῷ Φιλοσόφῳ ἐν τῷ τῆς Φυσικῆς πέμπτῳ. Ἔτι τὲ τὰ οὐσιώδη εἴδη δέξονται τὸ μᾶλλον καὶ τὸ ἧττον· ὅπερ ἀδύνατον. Ἀφ᾽ ὧν λείπεται μὴ εἶναι τὴν ψυχὴν ἐν τῷ σπέρματι προενηνεγμένην, ἀλλά τινα δύναμιν ψυχῆς, ἣ δρᾷ πρὸς τὴν τῆς ψυχῆς πρόοδον μετοχετευθεῖσαν ἀπὸ τῆς ψυχῆς.

[3.12.16] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ σῶμα τοῦ ζῶντος, ὡς φέρε εἰπεῖν τοῦ λέοντος [vel olivae], οὐκ ἔστι πρὸ τῆς ψυχῆς· τὸ δὲ σπέρμα τοῦ σώματος ἔστιν ἄνευ ψυχῆς, οὐκ ἄνευ δὲ δυνάμεως δρώσης πρὸς τὴν ψυχήν. Ἡ αὐτὴ γὰρ ἀναλογία ἐστὶ σπέρματος πρὸς δύναμιν, ἥτις σώματος πρὸς ψυχήν.

[3.12.17] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦτό ἐστι μεταξὺ τῶν λογικῶν ψυχῶν καὶ τῶν ἄλλων, ὅτι ἐκεῖναι οὐκ εἰσὶν ἐκ δυνάμεως σπέρματος, καθάπερ καὶ αἱ ἄλλαι, εἰ καὶ μηδεμία ψυχὴ ἔστιν ἐν τῷ σπέρματι ἀπαρχῆς.

[3.12.18] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ δύναμις ἐκείνη οὐ παραβάλλεται τῷ υἱῷ τῷ οἴκοθεν ἐξιόντι τοῦ πατρὸς ὅσον πρὸς τὴν τοῦ εἴδους τελειότητα, ἀλλ᾽ ὅσον πρὸς τὴν κτῆσιν τῶν ἐνδεόντων ἑκατέρῳ πρός τινα συμπλήρωσιν. Ἡ γὰρ πρώτη τελειότης κατὰ τὸν Φιλόσοφον δηλοῦται διὰ τῆς δευτέρας τελειότητος.

[3.12.19] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ παράθεσις τῆς προειρημένης δυνάμεως πρὸς τὴν τέχνην ἔστιν ὅσον πρὸς τοῦτο, ὅτι καθάπερ τὸ τεχνητὸν προϋπάρχει ἐν τῇ τέχνῃ ὥσπερ ἐν δυνάμει ποιητικῇ, οὕτω καὶ τὸ γεννηθῆναι
P 71r ὀφεῖλον ζῶν ἐν τῇ εἰδοποιῷ δυνάμει, οὐχ ὅσον | πρὸς ἄλλο.

[3.12.20] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐξ αὐτοῦ τούτου τοῦ εἶναι τὴν τομὴν τοῦ μορίου τοῦ δακτυλιώδους ζῴου, βίαιον καὶ παραφύσιν φανερὸν τὸ ἀποτμηθὲν μόριον εἶναι ἐνεργείᾳ μόριον καὶ τέλειον διὰ ψυχῆς. Ὅθεν τῇ τομῇ

**92-94** καὶ – πέμπτῳ] Ar., Phys. V, 225b10-226a23: Κατ᾽ οὐσίαν – ἀφεῖμεν πάλαι.

**95** εἶναι] εἶναι καὶ M **110, 114** ὅτι] Ἔτι M (quod Aq.) **114** ῥητέον] deest M **115** βίαιον] βέβαιον P (violenta Aq.)

**τῆς ὕλης ἐν ἑκατέρῳ μορίῳ μένει ψυχή, ἢ ἐν τῷ παντὶ ἦν μία ἐνεργείᾳ καὶ δυνάμει πολλαί. Ὅπερ ἐντεῦθεν συμβαίνει. Τὰ γὰρ τοιαῦτα ζῷα σχεδὸν εἰσὶν ὅμοια τῷ ὅλῳ καὶ τοῖς μέρεσιν· αἱ γὰρ τούτων ψυχαὶ διὰ τὸ ἀτελέστεραι τῶν ἄλλων ψυχῶν εἶναι σμικρᾶς ἑτερότητος ὀργάνων δέονται. Κἀντεῦθέν ἐστιν ὅτι μόριον ὂν ἀποτμηθὲν δύναται ψυχῆς ὑποδεκτικὸν εἶναι, ὡσὰν ἔχον τοσόνδε ἐκ τῶν ὀργάνων, ὅσον ἀπόχρη πρὸς ὑποδοχὴν τοιαύτης ψυχῆς· ὥσπερ ἔν τισι συμβαίνει σώμασιν, ὁμοιομερέσιν ὡς φέρε εἰπεῖν, λίθοις καὶ ξύλοις καὶ ὕδατι καὶ ἀέρι. Ἐξ ὧν δὲ ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ δεκάτῳ πέμπτῳ Περὶ ζῴων, δῆλον ὅτι τὸ σπέρμα οὐ γέγονεν ἐνεργείᾳ μόριον πρὸ τῆς ἐκτομῆς· ἡ γὰρ τούτου ἀπόκρισις οὐκ ἂν ἦν φυσική, ἀλλὰ κίνησίς τινος φθορᾶς. Ὅθεν οὐκ ἀναγκαῖον ἐν τῇ τοῦ σπέρματος ἀποκρίσει ἐν αὐτῷ τὴν ψυχὴν ἐνιζάνειν.**

**[3.12.21] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ ἄρρην λέγεται διδόναι τὴν ψυχήν, ἐφόσον ἐν τῷ τοῦ ἄρρενος σπέρματι ἐνέχεται δύναμις, ἣ δρᾷ πρὸς τὴν ψυχήν.**

**[3.12.22] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι αἱ νόσοι περὶ ὧν ἔστιν ἡ ἔνστασις, οὐ καταβάλλονται μετὰ τῶν σπερμάτων, ὡσανεὶ ἐνεργείᾳ εἶεν ἐν αὐτοῖς, ἀλλ’ ὅτι εἰσὶν ἀρχαὶ αὐτῶν ἐν τῷ σπέρματι κατά τινα δυσκρασίαν.**

**[3.12.23] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ σπέρμα, περίττωμά τι ὄν, ἔχει τινὰς ἰδίους πόρους, καθάπερ καὶ τὰ ἄλλα περιττώματα, ὧν ἐντμηθέντων ἡ γένεσις ἵσταται, οὐ διὰ τοῦθ’, ὅτι τι ὂν ἐνεργείᾳ μέρος διαλύεται.**

**[3.12.24] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, καθάπερ ἡ ἀσύμμετρος τῶν ἄλλων περιττωμάτων κένωσις διαλύει τι ἐκ τοῦ πεφυκότος ἤδη τραπὲν κατὰ βίαν, καὶ οὐ φύσει, οὕτω καὶ ἡ ἀσύμμετρος ἔκκρισις τοῦ θοροῦ. Τὰ δὲ γινόμενα παραφύσιν οὐκ εἰσὶν εἰς τὸ καθῆκον τῇ φύσει παραληπτέα.**

**[3.12.25] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ σπέρμα ἐστὶ τοιοῦτον περίττωμα, ὅτι εἰ καὶ μὴ ἔστιν ἐνεργείᾳ μέρος τῆς οὐσίας τοῦ πατρός, ἔστι μέντοι δυνάμει ὅλον· καντεῦθεν ὁ υἱὸς λέγεται ἐκ τῆς τοῦ πατρὸς οὐσίας εἶναι.**

**[3.12.26] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι τὸ σπέρμα εἰ καὶ μή ἐστιν ἔμψυχον ἐνεργείᾳ, ἔστι μέντοιγε ἔμψυχον δυνάμει· διά τοι τοῦτο οὐ λέγεται παντάπασιν ἄψυχον.**

**124-126** ὁ – ἐκτομῆς] cf. Ar., De gen. an. XV, 726b1-15: Ὅτι μὲν – ὁμώνυμον.

**126** κίνησις] modus Aq. (Prochoros legit motus?) **131, 134, 144** ῥητέον] deest M **131, 134** ὅτι] Ἔτι M

## Κεφάλαιον τρισκαιδέκατον

## Πότερόν τι ὂν ἀπ’ ἄλλου δύναται εἶναι αἰώνιον ἢ οὔ.

**[3.13.1] Τρισκαιδέκατον ζητεῖται, πότερόν τι ὂν ἀπ’ ἄλλου δύναται εἶναι αἰώνιον. Καὶ δοκεῖ μὴ δῆτα. Οὐδὲν γὰρ ὂν ἀεὶ δεῖται ἄλλου πρὸς τὸ εἶναι ὃ δέ ἐστιν ἀπ’ ἄλλου, δεῖται ἄλλου ἀφ’ οὗ ἐστίν, ὥστ’ εἶναι. Οὐδὲν ἄρα ὂν ἀπ’** P 71v **ἄλλου | ἔστιν αἰώνιον.**

**[3.13.2] Ἔτι, οὐδὲν λαμβάνει ὃ ἤδη ἔχει. Μηδὲ ἔχει, ὅπερ ἐστὶ τὸ αἰώνιον· ὃ δέ ἐστιν ἀπ’ ἄλλου, λαμβάνει τὸ εἶναι ἀπὸ τοῦ ἀφ’ οὗ ἐστιν. Οὐδὲν ἄρα ὂν ἀπ’ ἄλλου αἰεὶ ἔστιν.**

**[3.13.3] Ἔτι, τὸ ὂν οὔτε γεννᾶται οὔτε γίνεται οὔτέ τῳ τρόπῳ εἰς τὸ εἶναι πρόεισι· τὸ γὰρ γινόμενον οὐκ ἔστι. Δεῖ ἄρα τὸ γινόμενον ἢ τὸ γεννώμενον ἢ τρόπῳ γέ τῳ παραγόμενόν ποτε μὴ εἶναι. Πᾶν δ’ ὅπερ ἐστὶ τοιοῦτον, ἔστιν ἀπ’ ἄλλου· πᾶν ἄρα ὅπέρ ἐστιν ἀπ’ ἄλλου, οὐκ ἔστι ποτέ. Ὃ δὲ μὴ ἔστι ποτέ, οὐκ ἔστιν ἀεί. Οὐδὲν ἄρα ὂν ἀπ’ ἄλλου ἐστὶν αἰώνιον.**

**[3.13.4] Ἔτι, ὃ μὴ ἔχει τὸ εἶναι εἰ μὴ ἀπ’ ἄλλου, καθ’ αὐτὸ θεωρούμενον, ἔστι τοιοῦτον, οἷον δεῖν ποτε μὴ εἶναι. Δεῖ ἄρα πᾶν ὅπέρ ἐστιν ἀπ’ ἄλλου ποτὲ μὴ εἶναι, καὶ κατὰ τὸ εἰκὸς μὴ εἶναι αἰώνιον.**

**[3.13.5] Χωρὶς δὲ τούτων, πᾶν ἀποτέλεσμα ἐστὶν ὕστερον τῆς ἑαυτοῦ αἰτίας. Ὃ δ’ ἀπ’ ἄλλου ἐστίν, ἐστὶν ἀποτέλεσμα τοῦ ἀφ’ οὗ. Ἄρα ἐστὶν ὕστερον τοῦ ἀφ’ οὗ. Καὶ ταύτῃ οὐ δύναται εἶναι αἰώνιον.**

**[3.13.6] Ἀλλ’ ἀντιβαίνει τὸ εἰρημένον παρὰ Ἱλαρίου·** τὸ παρὰ τοῦ αἰωνίου Πατρὸς γεγεννημένον αἰώνιον ἔχει τὸ γεγεννημένον εἶναι. **Ἀλλ’ ὁ Υἱὸς τοῦ Θεοῦ γεγέννηται ἀπὸ αἰωνίου Πατρός. Τὸ γεννώμενον ἄρα, εἶναι ἔχει αἰώνιον. Ἄρα ἔστιν αἰώνιος.**

**[3.13.7] Ἀπόκρισις. Ῥητέον ὅτι, εἰ θήσομεν τὸν Υἱὸν τοῦ Θεοῦ φυσικῶς ἀπὸ τοῦ Πατρὸς προϊόντα, δεήσει οὕτως εἶναι ἀπὸ τοῦ Πατρός, ὥστ’ εἶναι συναΐδιον. Ὅπερ τούτῳ τῷ τρόπῳ φανερὸν ἂν ἡμῖν γένοιτο. Ἡ γὰρ θέλησις καὶ ἡ φύσις τοῦτο διαφέρουσιν ἀπ’ ἀλλήλων, ὅτι ἡ μὲν φύσις ὥρισται πρὸς ἕν, ὅσον τὲ πρὸς τὸ τῇ δυνάμει τῆς φύσεως προϊὸν καὶ ὅσον πρὸς τοῦθ’ ὅπέρ ἐστι παράγειν ἢ μὴ παράγειν. Ἡ δὲ θέλησις πρὸς οὐδέτερον ὡρισμένη εὑρίσκεται.**

**21-22** τὸ – εἶναι] Hilar., De Trin. XII (PL 10, col. 433C): Filium ab aeterno Patre natum, perinde aeternum esse.

**5** ἄλλου[2]] ἄλλον M **23** ἔχει αἰώνιον] om. et al. man. add. In marg. sin. M

Δύναται γάρ τις τόδ’ ἢ τόδε διὰ θελήσεως ποιεῖν· ὥσπερ ὁ τεχνίτης, σκίμποδα ἢ κιβωτόν, καὶ αὖθις ποιῆσαι καὶ παύσασθαι ποιῶν τὸ πῦρ δ’ οὐ δύναται, εἰμὴ θέρειν, εἰ τὸ ὑποκείμενον τῇ αὐτοῦ ἐνεργείᾳ παρείη, οὐδὲ δύναταί τι ἄλλο εἰς τὴν φύσιν ἐνιέναι, ὅτι μὴ ἀποτέλεσμα ὅμοιον ἑαυτῷ. Ὅθεν, εἰ καὶ περὶ τῶν δημιουργημάτων τῶν θείᾳ θελήσει προϊόντων ἀπ’ αὐτοῦ δύναται λέγεσθαι ὅτι τοιόνδε ἢ τοιόνδε ἐδύνατο ποιῆσαι, καὶ τότε ἢ νῦν ποιῆσαι ἢ μὴ ποιῆσαι, περὶ τοῦ Υἱοῦ μέντοι τοῦ φύσει προϊόντος τοῦτο λέγεσθαι οὐχ οἷον τε. Οὐ γὰρ ἠδύνατο ὁ Υἱὸς ἀλλοίως ἔχειν κατὰ τὴν φύσιν ἢ ἡ τοῦ Πατρὸς ἔχει φύσις· ἢ ἐδύνατο πρότερον ἢ ὕστερον εἶναι ὁ Υἱός, εἰ μὴ ὅτε ἦν ἡ τοῦ Πατρὸς φύσις. Εἰ τοίνυν ὁ τοῦ Θεοῦ Υἱὸς γεγέννηται ἐξ αἰῶνος, αἰώνιον ἄρα ἔχει τὸ γεγεννημένον εἶναι, ἐφόσον ἐστὶν Υἱὸς μετὰ τῆς θείας φύσεως ἁπλοῦς καὶ ἄνευ μεταβολῆς· οὐ γὰρ δύναται λέγεσθαι τὴν τοιαύτην γένεσιν ὑπερθέσιμον γενέσθαι δι’ ἀπουσίαν ὕλης ἢ ἀνεπιτηδειότητος, ἐφόσον καθάπαξ ἡ τοιαύτη
P 72r γέννησις | ἄνευ μεταβολῆς ἐστίν. Ὅθεν λείπεται τῆς φύσεως τοῦ Πατρὸς ἐξ αἰῶνος οὔσης καὶ τὸν Υἱὸν εἶναι ἀπὸ τοῦ Πατρὸς αἰωνίως γεγεννημένον, καὶ κατὰ τὸ εἰκὸς συναΐδιον τῷ Πατρί. Οἱ δ’ Ἀρειανοί, μὴ ἀξιοῦντες τὸν Υἱὸν κατὰ φύσιν ἀπὸ τοῦ Πατρὸς προϊέναι, συνῆγον μήτε εἶναι ἴσον τῷ Πατρὶ μήτε συναΐδιον, ᾗπερ δὴ κἀν τοῖς ἄλλοις παρίσταται τοῖς ἐκ Θεοῦ προϊοῦσι τῇ ψήφῳ τῆς αὐτοῦ βουλήσεως. Ἦν δὲ τῶν χαλεπῶν θεωροῦσιν εἰς τὴν γέννησιν συναΐδιον τῷ Πατρὶ δοξάζειν τὸν Υἱόν, διὰ τὴν περὶ τὸ πεφυκὸς τῆς ἀνθρωπείας φύσεως συνήθειαν· ἐν τῇ θεωρίᾳ γὰρ τῆς προόδου τῶν φυσικῶν πραγμάτων, ἐν οἷς ἄλλο ἀπ’ ἄλλου διακινήσεως πρόεισι, τὸ διὰ κινήσεως προϊὸν εἰς τὸ εἶναι πρῶτον εἶναι ἄρχεται ἐν τῷ πέρατι τῆς κινήσεως. Ἐπεὶ δὲ ἡ τῆς κινήσεως ἀρχὴ ἀνάγκη πᾶσα τοῦ τῆς κινήσεως πέρατος προτέρα ἐστὶ κατὰ τὸ εἶναι, ὅπέρ ἐστιν ἀναγκαῖον διὰ τὴν ἀκολούθησιν τῆς κινήσεως, οὔτε τοι δύναται εἶναι κινήσεως ἀρχὴ ἄνευ αἰτίας κινούσης πρὸς τὸ προάγειν, ἀνάγκη τὴν κινοῦσαν αἰτίαν πρὸς τό τι προενεγκεῖν πρεσβεύειν τοῦ εἶναι τοῦ προϊόντος. Ἀμέλει τὸ ἀπό τινος ἄνευ κινήσεως προϊὸν ὁμοῦ ἔστι τῷ χρόνῳ τῷ ἀφ’ οὗ πρόεισι καθάπερ ἡ λαμπηδὼν ἔν τε τῷ πυρὶ ἢ καὶ τῷ ἡλίῳ· καὶ γὰρ ἡ λαμπηδὼν ἀθρόον καὶ οὐ

**34** φύσιν] materiam Aq. (Prochoros legit naturam?) **34-35** ὅτι – θελήσει] om. et al. man. add. in marg. dex. **36** τε] γε P **39** ἔχει] deest M (habet Aq.) **39-40** ἢ – φύσις] om. et al. man. add. in marg. dex. **55-56** ὅπερ-κινήσεως] om. et al. man. add. in marg. inf. **56** τοι] τι M

κατά τινα ἀκολουθίαν ἀπὸ τοῦ λάμποντος σώματος πρόεισιν, ἐφόσον ἡ λάμψις, οὐκ ἔστι κίνησις, ἀλλὰ κινήσεως πέρας. Λείπεται τοίνυν ἐν τοῖς θείοις, ᾗ δὴ χώραν ἡ κίνησις οὐκ ἔχει, τὸ προϊὸν εἶναι σύγχρονον, οἷον τῷ προβάλλοντι. Διά τοι τοῦτο καὶ τοῦ Πατρὸς ὄντος αἰωνίου ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ἐξ αὐτοῦ προϊόντα, εἰσὶ συναΐδια.

**[3.13.8]** Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, εἰ ἡ χρεία σημαίνει ἔλλειψιν καὶ στέρησιν τοῦ ἐν χρείᾳ καθεστῶτος πράγματος, τὸ ἀεὶ ὂν οὐκ ἂν δέοιτο ἄλλου πρὸς τὸ εἶναι. Εἰ δὲ τάξιν δηλοῖ μόνην τῆς προόδου πρὸς τοῦτο, ἀφ’ οὗ ἐστίν, οὕτως οὐδὲν κωλύει τὸ ὂν ἀεὶ δεῖσθαί τινος πρὸς τὸ εἶναι, ἐφόσον οὐκ ἀφ’ ἑαυτοῦ, ἀλλὰ παρ’ ἄλλου ἔχει τὸ εἶναι.

**[3.13.9]** Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ λαμβάνον τι οὐκ ἔχει τοῦτο πρὸ τῆς λήψεως· ἔχει δὲ τὸ τοιοῦτον, ὅτε ἤδη εἴληφεν. Ὅθεν ἐξ αἰῶνος λαμβάνει, ἐξ αἰῶνος ἔχει.

**[3.13.10]** Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐν τῇ γεννήσει τῇ διὰ κινήσεως· τὸ γὰρ κινούμενον εἰς τὸ εἶναι οὐκ ἔστιν. Ἀνθ’ ὧν καὶ λέγεται τὸ γινόμενον μὴ εἶναι, ἀλλὰ τὸ ὂν γεγέννηται· ὅθεν, ὅπῃ μὴ ἔστιν ἕτερον τὸ γεννᾶσθαι καὶ γεγεννῆσθαι, οὐκ ἀνάγκη ἐκεῖ τὸ γεννώμενον μὴ εἶναι ποτέ.

**[3.13.11]** Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ ἔχον τὸ εἶναι ἀπ’ ἄλλου, καθ’ αὑτὸ θεωρούμενόν ἐστιν οὐκ ὄν, εἴπέρ ἐστιν ἄλλο παρ’ αὐτὸ τὸ εἶναι, ὃ ἀπ’ ἄλλου λαμβάνει. Εἰ δέ ἐστιν αὐτὸ τὸ εἶναι, ὃ ἀπ’ ἄλλου λαμβάνει, οὕτως οὐ δύναται καθ’ αὑτὸ θεωρούμενον εἶναι μὴ ὄν· ἐν γὰρ τῷ εἶναι οὐ δύναται νοεῖσθαί τι P 72v μὴ ὄν, εἰ καὶ ἐν ἐκείνῳ, ὅπέρ ἐστιν ἕτερον παρὰ τὸ εἶναι, | νοεῖσθαι δύναταί τι μὴ ὄν. Δύναται γάρ τι ἔχειν σύμμικτον, ἀλλ’ οὐ καὶ τὸ εἶναι αὐτοῦ καθαρόν, ὡς ὁ Βοήτιός φησιν, ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ. Ἔστι δὲ τὸ μὲν πρῶτον τοῦ πεφυκότος τῶν δημιουργημάτων, τὸ δὲ δεύτερον, τοῦ Υἱοῦ τοῦ Θεοῦ.

**[3.13.12]** Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ Υἱὸς οὐ δύναται λέγεσθαι ἀποτέλεσμα. Οὐδὲ γὰρ γίνεται, ἀλλὰ γεννᾶται. Τοῦτο γὰρ γίνεται, οὗ τὸ εἶναί ἐστι διάφορον ἀπὸ τοῦ ποιοῦντος· ὅθεν οὐδὲ τὸν Πατέρα κυρίως ὀνομάζοντες αἰτίαν τοῦ Υἱοῦ φαμεν ἀλλὰ ἀρχήν. Οὔτ’ ἀναγκαῖον πᾶσαν αἰτίαν προτερεῖν τοῦ ἀποτελέσματος τῇ διαμονῇ, ἀλλὰ τῇ φύσει μόνον, ὥσπερ φαίνεται ἔν τε τῷ ἡλίῳ καὶ τῷ ἀπαυγάσματι.

**83-84** Δύναται – βιβλίῳ] Boet., De Hebd. (PL 64 col. 1326B), Omni composito aliud est esse, aliud ipsum esse.

**67** ἄλλου] ἄλλον P **70** ἑαυτοῦ] ἑαυτῆς M **90** τῇ διαμονῇ] τῆς διαμονῆς M

## Κεφάλαιον τεσσαρεσκαιδέκατον

## Πότερον τὸ ἑτερούσιον δύναται ἀεὶ εἶναι ἢ οὐ.

[3.14.1] Τεσσαρεσκαιδέκατον ζητεῖται, πότερον τὸ ἑτερούσιον ἀεὶ δύναται εἶναι. Καὶ δοκεῖ οὕτως. Οὐδὲ γάρ ἐστιν ἥττων ἡ ἰσχὺς τῆς παραγούσης αἰτίας ὅλην τὴν οὐσίαν τοῦ ἀποτελέσματος αὐτῆς ἢ τῆς αἰτίας τῆς προαγούσης τὸ εἶδος μόνον. Ἀλλ' ἡ αἰτία ἡ προάγουσα τὸ εἶδος μόνον δύναται ἐξ αἰῶνος αὐτὸ προάγειν, εἰ ἐξ αἰῶνος εἴη· καὶ γὰρ ἡ λαμπηδὼν ἡ γιγνομένη ἐκ τοῦ πυρρὸς καὶ διασκεδαννυμένη, ἡλικιώτης ἐστὶν αὐτῷ· καὶ εἴη ἂν συναΐδιος, εἰ τὸ πῦρ ἀΐδιον ἦν, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Πολλῷ ἄρα ἐρρωμενέστερον τὸ προάγον ὅλην τὴν οὐσίαν τοῦ πράγματος δύναται προάγειν ἀποτέλεσμα ἑαυτῷ συναΐδιον.

[3.14.2] Ἀλλ' ἔλεγεν τοῦτ' εἶναι ἀδύνατον. Ἕπεται γάρ τι ἄτοπον, δηλαδὴ τὸ τὰ ὄντα παρισοῦσθαι τοῦ δημιουργοῦ τῇ διαμονῇ. Ἀλλὰ τοὐναντίον· ἡ διαμονὴ ἡ μὴ οὖσα ὅλη ὁμοῦ, ἀλλὰ κατὰ διαδοχήν, οὐ δύναται παραβάλλεσθαι τῇ διαμονῇ τῇ οὔσῃ ὅλῃ ἀθρόᾳ συλλήβδην. Ἀλλ' ὁ κόσμος, εἰ ἀεὶ εἴη, ἡ αὐτοῦ διαμονὴ οὐκ ἂν ὅλη συλλήβδην ἀθρόα εἴη· χρόνῳ γὰρ μετρεῖται, ὡς καὶ ὁ Βοήτιός φησὶ πρὸς τοῖς ἐπιλόγοις ἐν τῇ Παραμυθίᾳ. Ἆρ' οὔπω παρισοῦτο ἂν τὰ δημιουργήματα τῷ Δημιουργῷ ἐν τῇ διαμονῇ.

[3.14.3] Ἔτι, ὥσπερ τὸ θεῖον πρόσωπον πρόεισιν ἀπὸ τοῦ Πατρὸς ἄνευ κινήσεως, οὕτω καὶ ἡ κτίσις. Ἀλλὰ τὸ θεῖον πρόσωπον δύναται εἶναι συναΐδιον τῷ ἀφ' οὗ πρόεισιν. Ἆρ' ὁμοίως καὶ ἡ κτίσις.

[3.14.4] Χωρὶς δὲ τούτων, ὅπερ ὡσαύτως ἔχει ἀεί, ἀεὶ δύναται τὸ αὐτὸ ποιεῖν. Ἀλλ' ὁ Θεὸς ὡσαύτως ἔχει ἀεί. Ἆρ' ἐξ αἰῶνος δύναται τὸ αὐτὸ ποιεῖν· εἰ τοίνυν ποτὲ προήνεγκε τὴν κτίσιν, καὶ ἐξ αἰῶνος ἠδύνατο προενεγκεῖν.

[3.14.5] Ἀλλ' ἀντέχων ἔλεγεν, ὅτι ὁ λόγος οὗτος πρόεισι περὶ τῶν φύσει ποιούντων, οὐ περὶ τῶν θελήσει. Ἀλλὰ τοὐναντίον· ἡ τοῦ Θεοῦ θέλησις, οὐχ ὑφαιρεῖ τῆς δυνάμεως αὐτοῦ. Ἀλλ' εἰ μὴ εἴη θελήσει ποιῶν, ἕπεται ἐξ ἀιδίου τὴν κτίσιν ποιῆσαι. Ἄρα τεθέντος διὰ θελήσεως ποιεῖν οὐκ ἀνατρέπεται τὸ ἐξ ἀιδίου δύνασθαι προάγειν. |

**15-17** ὁ – Παραμυθίᾳ] Boet., De cons. phil. V.

**8** ἡλικιώτης] ἡλικιότης P **13** διαμονῇ] μονῇ M **18** παροισοῦτο] παρισοῖτο M

P 73r **[3.14.6] Ἔτι, εἰ ὁ Θεὸς ἔν τινι χρόνῳ τὴν κτίσιν προήνεγκε καὶ ἡ δύναμις αὐτοῦ μὴ ηὔξηται, ἐδύνατο καὶ πρὸ τούτου τοῦ καιροῦ ἀκαριαῖον γοῦν προενεγκεῖν, καὶ τῷ αὐτῷ λόγῳ πρότερον ὁσονοῦν καὶ οὕτως εἰς ἄπειρον. Ἐδύνατο ἄρα ἐξ αἰῶνος προενεγκεῖν.**

**[3.14.7] Ἔτι, πλέον ὁ Θεὸς δύναται ποιεῖν ἢ ὁ ἀνθρώπειος νοῦς δύναται ἐννοεῖν· τῷ τοι καὶ λέγεται, ἐν τῷ τοῦ Λουκᾶ πρώτῳ· ὅτι** οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. **Ἀλλ' οἱ Πλατωνικοὶ ἐνενόησαν εἶναί τι γεγονὸς ἐκ τοῦ Θεοῦ, ὂν μέντοιγε ἀεί· ὅθεν καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ δεκάτῳ, ἀναγκαῖον κἀκείνων πέρι, οὓς ἐν τῷ κόσμῳ θεοὺς ἐκ Θεοῦ ὁ Πλάτων ἔγραψεν, ἐναργέστατα λέγειν ἄρξασθαι εἶναι καὶ ἔχειν ἀρχήν· καὶ μὲν δὴ πέρας οὐχ ἔξοντας, εἰ μὴ ἡ τοῦ δημιουργοῦ κραταιοτάτη βουλὴ κωλύει παραμεῖναι εἰς τὸν αἰῶνα. Τούτου δ' οὕτως εἰς ἐπίνοιαν ἦλθον, μὴ λογισάμενοι εἶναι ταύτην δηλαδὴ τὴν ἀρχὴν χρόνου, ἀλλὰ δημιουργίας· ὥσπερ γάρ φασιν, ἣν ὁ ποῦς ἐρείδηται ἐν τῇ κόνει ἐξ αἰῶνος, ἀεὶ ἂν ἦν τὸ ἴχνος, καίτοι οὐδεὶς ἂν ἀμφισβητήσειεν ἐκ τοῦ βαίνοντος μὴ εἶναι, οὕτως ὁ κόσμος ἀεὶ γέγονεν ἀεὶ ὄντος τοῦ πεποιηκότος, καίπερ γεγονώς. Ὁ Θεὸς ἄρα ἐδύνατο ποιῆσαί τι, ὅπερ ἂν εἴη ἀεί.**

**[3.14.8] Πρὸς δὲ τούτοις, ὃ μή ἐστιν ἐναντίον τῷ λόγῳ τῆς δημιουργίας, ὁ Θεὸς δύναται ἐν τοῖς δημιουργήμασι ποιεῖν. Ἄλλως γὰρ οὐκ ἂν εἴη παντοδύναμος. Ἀλλὰ τὸ ἀεὶ εἶναι οὐκ ἔστιν ἀντίπαλον τῷ λόγῳ τῆς δημιουργίας, καθόσον γέγονεν. Ἐπεὶ ταυτὸν ἂν εἴη λέγειν τὴν κτίσιν εἶναι ἀεὶ καὶ γεγονυῖαν μὴ εἶναι. Ὃ φαίνεται εἶναι ψεῦδος. Ὁ γὰρ Αὐγουστῖνος ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ ἑνδεκάτῳ διαστέλλει τὰς δύο δόξας· ὧν ἡ μέν ἐστι** τὸν κόσμον οὕτως εἶναι ἀεί, ὡς μὴ εἶναι παρὰ Θεοῦ γεγονότα, ἡ δ' ὅτι ὁ κόσμος οὕτως ἔστιν αἰεί, ὡς εἶναι μέντοιγε παρὰ Θεοῦ γεγονὼς ἀεί. **Ὁ Θεὸς ἄρα δύναται ποιεῖν τι γεγονὸς εἶναι ἀεί.**

**[3.14.9] Ἔτι, ὥσπερ ἡ φύσις δύναται ἀθρόον ποιεῖν τὸ ἑαυτῆς ἀποτέλεσμα, οὕτω καὶ τὸ θελήσει ποιοῦν, εἰ οὐκ εἴργεται. Ἀλλ' ὁ Θεός ἐστι ποιοῦν θελήσει ἀποκωλυθῆναι μὴ δυνάμενον. Ἄρα τὰ διὰ τῆς αὐτοῦ θελήσεως προαγόμενα εἰς τὸ εἶναι κτίσματα ἐξ αἰῶνος προάγεσθαι ἐδύναντο, καθαπεροῦν καὶ ὁ Υἱὸς φύσει προϊὼν ἀπὸ τοῦ Πατρός.**

**51-54** Ὁ – ἀεί] Aug., De civ. X, cap. 31 (PL 41, col. 311): in mundo deos – facti sunt. **35-36** ὅτι – ῥῆμα] Lc. 1, 37: ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα.

**42** λογισάμενοι] λογισάμενος M **45** γεγονώς] γέγονεν M

**[3.14.10] Ἀλλ’ ἀντιβαίνει τὸ λεγόμενον ὑπὸ τοῦ Αὐγουστίνου, ἐν τῇ εἰς τὸ ὄγδοον ἐξηγήσει τῆς Γενέσεως, ὅτι** παντάπασιν ἀμετάβλητός ἐστιν ἡ φύσις ἐκείνης τῆς Τριάδος.

**[3.14.11] Ἔτι τε οὕτως ἐστὶν αἰώνιος, ὡς μήτε συναΐδιον εἶναι ταύτῃ δύνασθαι, αὖθις ὁ Δαμασκηνός φησιν ἐν τῷ πρώτῳ βιβλίῳ· τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προϊόν, οὐ πέφυκεν εἶναι συναΐδιον τῷ ἀνάρχῳ καὶ ἀεὶ ὄντι. Ἀλλ’ ἡ κτίσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πρόεισιν. Ἆρ’ οὐ δύναται εἶναι ἀεί.**

**[3.14.12] Ἔτι, πᾶν αἰώνιόν ἐστιν ἀμετάβλητον. Ἀλλ’ ἡ κτίσις οὐχ οἷα τε εἶναι ἀμετάβλητος· εἰ γὰρ ἐαθείη αὐτὴ ἀφ’ ἑαυτῆς, |** P 73v **οἰχήσεται εἰς τὸ μὴ ὄν. Οὐ δύναται ἄρα εἶναι αἰώνιος.**

**[3.14.13] Ἔτι· ὃ ἄλλου ἤρτηται, οὐκ ἔστιν ἀναγκαῖον· καὶ κατὰ τὸ εἰκός, οὐδὲ αἰώνιον. Ἐπὶ τούτοις, εἰ ὁ Θεὸς ἐξ αἰῶνος προάγειν ἠδύνατο τὴν κτίσιν, ἐκ αἰῶνος προήνεγκε· κατὰ γὰρ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῆς Φυσικῆς,** ἐν τοῖς **αἰων**ίοις οὐ διαφέρει **τὸ** εἶναι **καὶ δύνασθαι. Ἀλλὰ τὸ τιθέναι τὴν κτίσιν ἐξ αἰῶνος γενέσθαι προενηνεγμένην ἐστὶν ἐναντίον τῇ πίστει. Ὥστε καὶ τὸ τιθέναι δύνασθαι.**

**[3.14.14] Ἔτι, ἡ τοῦ σοφοῦ θέλησις οὐκ ἀναβάλλεται ποιεῖν ὃ σκοπεῖται, εἰ δύναιτο, εἰ μὴ διά τινα λόγον. Ἀλλ’ οὐχ οἷόν τε ἀποδοθῆναι λόγον, τί δήποτε ὁ Θεὸς τὸν κόσμον τότε πεποίηκε καὶ οὐ πρότερον ἢ ἐξ ἀιδίου, εἰ ἐξ αἰῶνος γενέσθαι ἠδύνατο. Ἆρ’ οὐδὲ ἠδύνατο γενέσθαι ἐξ αἰῶνος.**

**[3.14.15] Ἔτι, εἰ τὰ ὄντα γέγονεν, ἢ ἔκ τινος ἐστιν ἢ ἐκ τοῦ μηδενός. Ἀλλ’ οὐκ ἔκ τινος· ἢ γὰρ ἔκ τινος, ὅπέρ ἐστιν ἡ θεία οὐσία, ὅπέρ ἐστιν ἀδύνατον, ἢ ἐξ ἄλλου τινός· ὅπερ εἰ μὴ γέγονεν, ἔσται τι παρὰ τὸν Θεὸν ὅπερ οὐκ ἔκτισται παρ’ αὐτοῦ· ὅπερ ἀποδεδοκίμασται ἐν τοῖς ἄνω. Εἰ δὲ γέγονεν ἔκ τινος, ἢ πρόεισιν ἐπ’ ἄπειρον, ὅπερ ἐστὶν ἀδύνατον, ἢ ἀπαντᾷ εἴς τι ἐκ τοῦ μηδενὸς γεγονός. Ἀδύνατον δὲ τὸ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ἀεὶ εἶναι.**

**[3.14.16] Ἔτι, ἐκ τοῦ λόγου τοῦ αἰωνίου ἔστι μὴ ἔχειν ἀρχήν, ἐκ δὲ τοῦ τῆς κτίσεως ἔχειν. Οὐδὲν ἄρα κτίσμα δύναται εἶναι αἰώνιον.**

**[3.14.17] Ἔτι, τὰ ὄντα ἢ χρόνῳ ἢ τῷ ἀιδίῳ μετρεῖται. Τὸ δὲ ἀίδιον καὶ ὁ χρόνος, διαφέρουσι τῆς αἰωνιότητος. Ἡ κτίσις ἄρα οὐ δύναται εἶναι αἰώνιος.**

**61-63** τὸ – Τριάδος] Aug., De gen. ad litt. VIII, cap. 23, n. 44 (PL 34, col. 389): Verum quia omnino incommutabilis est illa natura Trinitatis, et ob hoc ita aeterna, ut ei aliquid coaeternum esse non possit. **73-74** κατὰ – δύνασθαι] Ar., Phys. III, 203b28: ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις.

**62** παντάπασιν] τάπασιν M **64** μήτε] μή τι M **70** αἰώνιος] αἰώνιον M **71-72** Ἔτι – αἰώνιον] om. et al. man. add. in marg. sin.

**[3.14.18] Ἔτι, εἴ τί ἐστι κτιστόν, ἀνάγκη δοῦναι τι σημεῖον, ἐν ᾧ ἔκτισται. Πρὸ ἐκείνου τοίνυν οὐκ ἦν. Ἀνάγκη ἄρα τὴν κτίσιν λέγειν μὴ ἀεὶ εἶναι.**

**[3.14.19] Ἀπόκρισις. Ῥητέον, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ δυνατὸν λέγεται ἐνίοτε μὲν κατά τινα δύναμιν, ἐνίοτε δέ, κατὰ μηδεμίαν. Κατὰ μὲν οὖν δύναμιν, ἢ ποιητικὴν ἢ παθητικήν. Κατὰ μὲν ποιητικήν, ὡσᾂν εἰ λέγοιμεν δυνατὸν εἶναι τῷ τῆς οἰκίας ἐργάτῃ οἰκοδομεῖν· κατὰ δὲ παθητικήν, ὡς εἰ λέγοιμεν δυνατὸν εἶναι τῷ ξύλῳ κάεσθαι. Λέγεται δέ ποτε δυνατὸν καὶ οὐ κατὰ δύναμίν τινα, ἀλλ' οἱονεὶ μεταφορικῶς, ὥσπερ ἐν τοῖς γεωμετρικοῖς λέγεταί τις γραμμὴ δυνάμει ῥητή· ὅπερ παραληπτέον τό γε νῦν εἶναι, ἢ ἀπολελυμένως λέγεταί τι δυνατόν, ἡνίκα δηλαδὴ οἱ τῆς ἀποφάνσεως ὅροι οὐ διαμάχονται πρὸς ἀλλήλους, ἀνάπαλιν δ' αὖ ἀδύνατον, ἡνίκα πρὸς ἀλλήλους ἀντιφέρονται· ὥσπερ ἀδύνατον λέγεται τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν, εἶναι τῶν ἅμα, οὐχ ὅτι ἀδύνατόν ἐστί τινι ποιοῦντι ἢ πάσχοντι, ἀλλ' ὅτι ἐστὶ καθ' αὐτὸ ἀδύνατον, ὡς αὐτὸ πρὸς ἑαυτὸ διστασιάζον. Εἰ τοίνυν καθ' αὐτὴν ἥδε θεωροῖτο ἡ ἀπόφανσις, τό τι διάφορον ὂν τῇ οὐσίᾳ** P 74[r] **ἀπὸ τοῦ Θεοῦ γεγονέναι | ἀεὶ οὐκ ἔστιν ἀδύνατον καθ' αὑτό, ὡσᾂν αὐτὸ ἑαυτῷ μαχόμενον· τό τε γὰρ ἀπ' ἄλλου εἶναι οὐ πολεμεῖ τῷ ἀεὶ εἶναι, ὡς ἐν τοῖς ἄνω δεδείχαμεν, εἰ μὴ ἡνίκα τε ἀπ' ἄλλου πρόεισι κατὰ κίνησιν· ὅπερ οὐ παρίσταται ἐν τῇ τῶν ὄντων ἐκ Θεοῦ προόδῳ, διὰ τοῦ προσκειμένου τε εἶναι τῇ οὐσίᾳ διάφορον· οὐδεμία ἐναντιότης οὑτωσὶ διαλεγομένοις δίδοται νοεῖσθαι πρὸς τὸ εἶναι ἀεί. Εἰ δ' αὖ λάβοιμεν τὸ προειρημένον δυνατόν, κατὰ τὴν ποιητικὴν δύναμιν, οὐκ ἀμήχανόν ἐστι τῷ Θεῷ ἐξ αἰῶνος ἄλλην οὐσίαν προενεγκεῖν. Ὃ δὲ πρὸς τὴν παθητικὴν δύναμιν ἀναφέροιτο καὶ ὑποτίθοιτο τῆς καθολικῆς πίστεως ἡ ἀλήθεια, οὐ δύναται ῥηθῆναι τι προϊὸν ἐκ Θεοῦ τῇ οὐσίᾳ διάφορον δύνασθαι εἶναι ἀειδήποτε· ὑποτίθεται γὰρ ἡ καθολικὴ πίστις πᾶν τὸ ὂν παρὰ τὸν Θεὸν εἶναι ποτέ, ὅτε μὴ ἦν. Καθάπερ δὲ ἀδύνατον τὸ τιθέμενον εἶναί ποτε μηδέποτε γενέσθαι, οὕτως ἀδύνατον τὸ τιθέμενον εἶναί ποτε εἶναι ἀεί. Ἀμέλει καὶ λέγεται παρά τινων, τοῦτο εἶναι μὲν δυνατόν, τῷ γε τοῦ δημιουργοῦ μέρει. Ἀδύνατον δὲ τό γ' εἰς τὴν τῶν δημιουργουμένων παρὰ Θεοῦ τελοῦν οὐσίαν διὰ τὴν ὑπόθεσιν τοῦ ἐναντίου, ἣν ἡ πίστις δηλαδὴ ποιεῖ.**

**93-95** κατὰ – παθητικήν] cf. Ar., Metaph. V, 1019b.21-33: καὶ ἀδύνατα – εἶναι

**105** ἀπόφανσις] ἀπόφασις M (enuntiabile Aq.) **111** δίδοται] δίδονται M (datur Aq.) **116** ὅτε] ὅτι M

[3.14.20] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν, ἐκ τοῦ μέρους τῆς δυνάμεως τοῦ ποιοῦντος, ἀλλ’ οὐκ ἐκ τοῦ μέρους τοῦ γινομένου, περὶ οὖ γέγονεν ὑπόθεσις μὴ εἶναι ποτέ.

[3.14.21] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι καὶ κτίσις ἀεὶ ἦν, ἁπλῶς οὐ παρισωθήσεται τῷ Θεῷ, ἀλλὰ καθὸ αὐτὸν μιμεῖται, ὅπερ οὐκ ἔστιν ἀπᾴδον. Ὅθεν κἀκείνη ἡ ἔνστασις ἐλάχιστα δρᾷ.

[3.14.22] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν τοῖς θείοις προσώποις οὐκ ἔστι τι ὅπερ ἂν ὑποτεθείη ὁτεδήποτε μὴ γεγονέναι, ὥσπέρ ἐστιν ἐν πάσῃ οὐσίᾳ ξένη τοῦ Θεοῦ.

[3.14.23] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη πρόεισιν ἐκ τῆς δυνάμεως τοῦ ποιοῦντος, ἥτις οὐ μειοῦται διὰ τῆς θελήσεως, εἰ μὴ ἐφόσον δή πως ψήφῳ τῆς θείας θελήσεως γέγονε μὴ εἶναι ἀεὶ τὰ ὄντα.

[3.14.24] Ὅθεν ἀπόκρισις καὶ πρὸς τὸ πέμπτον ὑπανοίγνυται.

[3.14.25] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι, εἰ τεθείη καὶ ὁσονοῦν χρόνον πρότερον δεδομένον τὴν κτίσιν γενέσθαι, σῴζεται ἡ τῆς πίστεως θέσις, ᾗ τίθεται μηδὲν παρὰ τὸν Θεὸν ἀεὶ εἶναι, ἀλλ’ οὐ σῴζεται, καὶ εἰ δοθείη ταύτην ἀεὶ εἶναι· ὅθεν οὐκ ἔστιν ὅμοιον. Ἔτι, εἰδέναι ἄξιον ὅτι τὸ τοῦ ἐπιχειρεῖν εἶδος, οὐκ ἔρρωται ἐν τούτοις. Δύναται μὲν γὰρ ὁ Θεὸς κρείττω κτίσιν ποιεῖν, ἀλλ’ οὐ δύναται ἀπείρου ἀγαθότητος ποιεῖν· ἡ γὰρ ἀπειρία τῆς ἀγαθότητος διαμάχεται τῷ λόγῳ τῆς κτίσεως· οὐ μὲν ἡ ὡρισμένη ἀγαθότης ἡλίκη ποτὲ εἴη. Ἔτι, κἀκεῖνο εἰδέναι ἄξιον, ὅτι, εἰ λέγοιτο τὸν Θεὸν δύνασθαι ποιεῖν τὸν κόσμον καὶ πρὶν ἢ πεποίηκεν, αὕτη δὲ ἡ προτέρησις πρὸς τὴν δύναμιν τοῦ ποιοῦντος P 74[v] ἀναφέροιτο, ἀναμφισβητήτως | ἀληθὲς ὂν τυγχάνει· καὶ γὰρ ἐξ αἰῶνος περιεῖναί ἡ δύναμις τοῦ ποιεῖν πιστεύεται. Ἡ δὲ αἰωνιότης τοῦ χρόνου τῆς δημιουργίας πρεσβυτέρα ἐστίν. Ἢν δὲ ἀναφέρηται πρὸς τὸ εἶναι τοῦ γεγονότος, οὕτως ὥστε νοεῖσθαι πρὸ τῆς ἀφετηρίας τῆς τοῦ κόσμου δημιουργίας χρόνον πράγματι γεγονέναι, ἐν ᾧ ἠδύνατο γενέσθαι ὁ κόσμος, φαίνεται παντάπασιν εἶναι ψευδές· πρὸ γὰρ τοῦ κόσμου κίνησις οὐκ ἦν· ὅθεν οὐδὲ δυνάμεθα τότε φαντάζεσθαι εἶναι οἱονεί τινα ψευδῆ χρόνον πρὸ τοῦ κόσμου, ὥσπερ ὕψος ἢ διαστήματα ἄλλα παρὰ τὸν οὐρανόν· καθ’ ὃν δὴ καὶ

**125, 128, 131, 135** ῥητέον] deest M | ὅτι] Ἔτι M **136** δεδομένον] διδόμενον P **145** ἡ] οἱ[a. corr.]; οἱ M (ei Aq.)

ὅτι πρότερον ἠδύνατο καὶ χρόνον ὑπερμηκέστερον ποιῆσαι καὶ εἰς ὕψος μετεωρότερον.

[3.14.26] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι οἱ Πλατωνικοὶ ταῦτ᾽ ἐφρόνουν οὐχ ὑποτιθέμενοι τὴν τῆς πίστεως ἀλήθειαν, ἀλλ᾽ ἄλλα παρὰ ταύτην.

[3.14.27] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι ὁ λόγος ἐκεῖνος ἀποδείκνυσιν, ὅτι τὸ γενέσθαι καὶ εἶναι ἀεὶ οὐκ ἔχει πρὸς ἄλληλα ἐναντιότητα καθ᾽ αὐτὰ θεωρούμενα· ὅθεν πρόεισιν ἐκ τοῦ ἁπλῶς δυνατοῦ.

[3.14.28] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισι περὶ τοῦ δυνατοῦ ἐκ τοῦ μέρους τῆς ποιητικῆς δυνάμεως. Ἀλλ᾽ ἐπεὶ οἱ ἀντι<τι>θέμενοι λογισμοὶ συμπεραίνειν δοκοῦσι κατὰ μηδεμίαν ἐπιβολὴν εἶναι δυνατόν, διατοῦτο πρὸς αὐτὰς ἀποκριτέον καθόλου.

[3.14.29] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι κατὰ τὸν Βοήτιον ἐν τῷ τέλει τοῦ περὶ τῆς Παραμυθίας τῆς φιλοσοφίας βιβλίου, εἰ καὶ ὁ κόσμος ἀεὶ εἴη, οὐκ ἂν εἴη τῷ Θεῷ συναΐδιος· ἡ γὰρ αὐτοῦ διάρκεια οὐκ ἔστι πᾶσα ὁμοῦ· ὃ ζητεῖται πρὸς τὸν τῆς αἰωνιότητος λόγον. Ἔστι γὰρ αἰωνιότης ἀτελευτήτου ζωῆς ὅλη ὁμοῦ καὶ τελεῖα κτῆσις, ὡς ἐν τοῖς αὐτοῖς λέγεται. Ἡ δὲ τοῦ χρόνου φορὰ ἐκ κινήσεως γίνεται, ὡς διὰ τοῦ Φιλοσόφου φαίνεται ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς· διὸ καὶ ἐν μεταβολῇ ἐστίν· ὅθεν καί, εἰ ἀεὶ εἴη, αἰώνιος εἶναι οὐ δύναται. Διά τοι τοῦτο καὶ ὁ Αὐγουστῖνος φησί· τῇ ἀμεταβλήτῳ οὐσίᾳ τῆς Τριάδος οὐδεμία κτίσις συναιώνιος εἶναι δύναται.

[3.14.30] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Δαμασκηνὸς διαλέγεται ὑποτεθείσης τῆς τῆς πίστεως ἀληθείας· ὃ φαίνεται ἐξ ὧν φησί. Λέγει γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέν, καὶ τὰ λοιπά.

[3.14.31] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ μεταβλητὸν ἐκ τοῦ ἑαυτοῦ λόγου ἀποτειχίζει τὴν αἰωνιότητα, οὐ τὴν εἰς τὸ ἄπειρον διάρκειαν.

[3.14.32] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ ἄλλο ἐξεχόμενον οὐδέποτε εἶναι δύναται, εἰ μὴ τῇ χορηγίᾳ τοῦ ἀφ᾽ οὗ ἤρτηται, ὅ, εἰ ἀεὶ ἦν, καὶ αὐτὸ ἀεὶ ἐστί.

P 75r [3.14.33] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οὐχ ἕπεται, εἰ ὁ Θεός τι ποιεῖν δύναται, ὅτι καὶ πεποίησεν· ἔστι γὰρ κατὰ θέλησιν ποιῶν, οὐκ ἀνάγκῃ φύσεως. Ὃ δὲ λέγεται ἐν τοῖς ἀιδίοις μὴ διαφέρειν τό τε εἶναι καὶ τὸ δύνασθαι, | κατὰ τὴν παθητικὴν δύναμιν νοητέον ἂν εἴη, οὐ κατὰ τὴν ποιητικήν. Ἡ γὰρ παθητικὴ

**163-166** κατὰ – λόγον] Boet., De cons. phil. V, prosa 6 (PL 63, col. 839): Unde non – manifestum est. **167-169** Ἡ – Φυσικῆς] cf. Ar., Phys. IV, 219a.22-25: καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν. **170-171** ὁ – δύναται] vide supra in apparatu fontium [3.14.10].61-63.

**δύναμις ἐνεργείᾳ μὴ ὁμιλοῦσα, φθορᾶς ἐστιν ἀρχή· διά τοι τοῦτο καὶ τῇ ἀιδιότητι πολεμεῖ. Τὸ ἀποτέλεσμα δὲ τῆς ποιητικῆς δυνάμεως, μὴ ὂν ἐνεργείᾳ, τῇ τελειότητι τῆς ποιούσης αἰτίας οὐδένα ἔλεγχον ἐπιτρίβεται, μάλιστα ἐν τοῖς κατὰ θέλησιν αἰτίοις. Τὸ γὰρ ἀποτέλεσμα οὐκ ἔστι τελειότης τῆς ποιητικῆς δυνάμεως, ὥσπερ τὸ εἶδος τῆς παθητικῆς.**

**[3.14.34] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τῆς προόδου τῶν πρώτων δημιουργημάτων τὸν λόγον ἐρευνᾶσθαι οὐ δύναται ὁ ἡμέτερος νοῦς. Οὐ γὰρ δύναται συνιέναι τῆς τέχνης, ἣ μόνη λόγος ἐστὶ τοῦ τὰ προειρημένα δημιουργήματα τοῦτον ἔχειν τὸν τρόπον· ἀμέλει καὶ καθάπερ οὐκ ἐφικτὸν ἀποδοθῆναι παρ' ἀνθρώπου τὸν λόγον, τί δήποτε τοσοῦτός ἐστιν ὁ οὐρανὸς καὶ οὐχὶ μείζων, οὕτως οὐδ' ὁ λόγος ἀπολυθῆναι δύναται, τί δήποτε ὁ γεγονὼς ὁ κόσμος οὐ γέγονε πρότερον, καὶ ταῦθ' ἑκατέρου ἀνυσίμου τῇ θείᾳ δυνάμει τυγχάνοντος.**

**[3.14.35] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὰ πρῶτα δημιουργήματα οὐ προήχθησαν ἔκ τινος, ἀλλ' ἐκ τοῦ μηδενός. Οὐκ ἀνάγκη μέντοιγε ἐξ αὐτοῦ τοῦ λόγου τῆς προόδου μὴ εἶναι ἀεί, ἀλλ' ἐκ τῆς ἀληθείας ἣν ἡ πίστις ὑποτίθησιν, ὅτι μὴ πρότερον γεγονότα μετὰ ταῦτα γέγονε. Μία γὰρ ἐπιβολὴ τῆς προειρημένης διαλέξεως εἶναι δύναται κατὰ τὸν Ἄνσελμον ἐν τῇ Μονολόγῳ, καθ' ἥν φαμεν τὰ ὄντα ἐκ τοῦ μηδενὸς γενέσθαι, τὸ μὴ εἶναι ἔκ τινος γεγονότα, ὡς τὴν στέρησιν τὴν λέγουσαν ἐκ μηδενὸς εἶναι τὰ ὄντα περιέχειν τὴν πρόθεσιν καὶ μὴ περιέχεσθαι ὑπ' αὐτῆς, ὡς ταύτῃ τὴν στέρησιν ἀπαγορεύειν τὴν πρός τι τάξιν, ἣν ἡ πρόθεσις παρέχεται· τὴν δὲ πρόθεσιν μὴ περιέχειν τὴν πρὸς τὸ μηδὲν τάξιν. Ἀλλὰ γάρ, καὶ εἰ ἡ τάξις πρὸς τὸ μηδὲν μένει τῆς προθέσεως περιεχούσης τὴν στέρησιν, οὐδ' οὕτως ἀνάγκη τὴν κτίσιν ποτὲ γενέσθαι μηδέν. Δύναται γὰρ λέγεσθαι, ὡς καὶ ὁ Ἀβίκενός φησι, τὸ μὴ εἶναι ἡγήσασθαι τοῦ εἶναι τοῦ πράγματος οὐ χρόνῳ, ἀλλὰ φύσει, ὅτι δηλαδή, εἰ αὐτὴ ἐφ' ἑαυτῆς ἐαθείη, οὐδὲν ἂν ἦν, τὸ εἶναι δὲ μόνον παρ' ἄλλου ἔχει. Ὃ γάρ τινι ἐξ ἑαυτοῦ πέφυκε φύσει, πρότερον προσήκει αὐτῷ τοῦ πεφυκότος παρ' ἄλλου εἶναι.**

**199-200** Μία – Μονολόγῳ] cf. Ans., Monol., cap. 8 (PL 158, 169): Unus enim est ejus sensus…

**[3.14.37] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐκ τοῦ λόγου τοῦ αἰωνίου ἐστὶ μὴ ἔχειν ἀρχὴν διαμονῆς, ἐκ τοῦ λόγου δὲ τῆς δημιουργίας ἔχειν ἀρχὴν προόδου, ἀλλ' οὐ διαμονῆς, εἰ μὴ λαμβάνοιτο ἡ δημιουργία, ὡς ἡ πίστις ἐθέσπισε.**

**[3.14.38] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τό τε ἀίδιον καὶ ὁ χρόνος οὐ τῷ λόγῳ μόνον τῆς κατὰ τὸ διαμένειν ἀρχῆς, ἀλλὰ καὶ τῷ λόγῳ τῆς διαδοχῆς διαλλάττουσι πρὸς τὸν αἰῶνα. Τῷ δὲ ἀιδίῳ συνάπτεται ὁ χρόνος· ᾗ δὴ αἱ ἀίδιαι οὐσίαι, ὅσον κατά τι, μεταβληταὶ τυγχάνουσιν οὖσαι, εἰ καὶ πῇ μὴ |** P 75v **μεταβάλλουσι, καθὸ τῷ ἀιδίῳ μετροῦνται. Ἡ αἰωνιότης δὲ οὔτε κίνησιν περιέχει οὔτε κινήσει συνάπτεται.**

**[3.14.39] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ ἐνέργεια ᾗ ὁ Θεὸς εἰς τὸ εἶναι τὰ ὄντα προάγει, οὐχ οὕτως ἐστὶν ὑποληπτέα, ὥσπερ ἐνέργεια τεχνίτου, ᾗ κατασκευάσας τὴν κιβωτὸν ἀφίησιν. Ὁ γὰρ Θεὸς ἀδιαλείπτως ἐγχεῖ τὸ εἶναι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῇ εἰς τὴν Γένεσιν ἑρμηνείᾳ. Ὅθεν οὐκ ἀνάγκη ἀποδιδόναι τι σημεῖον τῆς τῶν ὄντων προόδου πρὸ τοῦ προαχθῆναι, εἰ μὴ διὰ τὴν τῆς πίστεως ὑπόθεσιν.**

**223-224** ὁ – ἑρμηνείᾳ] cf. Aug., De gen. ad litt. IV, cap. 12.

**Κεφάλαιον πεντεκαιδέκατον**

**Πότερον τὰ ὄντα προὐχώρησαν ἀπὸ τοῦ Θεοῦ ἀνάγκῃ φύσεως ἢ ψήφῳ θελήσεως.**

**[3.15.1] Πεντεκαιδέκατον ζητεῖται, πότερον τὰ ὄντα προὐχώρησαν ἀπὸ τοῦ Θεοῦ ἀνάγκῃ φύσεως ἢ ψήφῳ θελήσεως. Καὶ δοκεῖ φύσεως ἀνάγκῃ. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων·** ὥσπερ ὁ ἥλιος οὐ λογιζόμενος ἢ προαιρούμενος, ἀλλ' αὐτῷ τῷ εἶναι φωτίζει πάντα τὰ μετέχειν αὐτοῦ δυνάμενα κατὰ τὸν οἰκεῖον λόγον, οὕτω δὴ καὶ τὸ ἀγαθὸν αὐτῇ τῇ ὑπάρξει πᾶσι τοῖς οὖσιν ἀναλόγως τὰς τῆς ὅλης ἀγαθότητος ἀκτίνας ἐφίησιν. **Ἀλλ' ὁ ἥλιος ἄνευ λόγου καὶ προαιρέσεως φωτίζων τοῦτο ποιεῖ τῇ τῆς φύσεως ἀνάγκῃ. Καὶ ὁ Θεὸς ἄρα τὰ ὄντα προάγει τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνῶν αὐτοῖς ἀνάγκῃ φύσεως.**

**[3.15.2] Ἔτι, πᾶσα τελειότης τῆς ὑποβεβηκυίας φύσεως ἐκ τῆς τελειότητος τῆς θείας φύσεως μετοχεύεται. Είς δὲ τὴν τελειότητα τῆς ὑποβεβηκυίας φύσεως τείνει τὸ τῇ ἑαυτῆς δυνάμει ὅμοιόν τι ἑαυτῇ ποιεῖν ἐν τῷ προάγειν τὸ ἀποτέλεσμα. Πολλῷ ἄρα κρεῖττον ὁ Θεὸς τῆς ὁμοιότητος τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνεῖ φυσικῶς τοῖς κτιστοῖς, καὶ οὐ κατὰ θέλησιν.**

**[3.15.3] Χωρὶς δὲ τούτων, πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ. Τὸ τοίνυν ἀποτέλεσμα τοιοῦτον γίνεται ἀπὸ τῆς ποιούσης αἰτίας, ὥστ' ἴσχειν τὴν ταύτης ὁμοιότητα. Ἀλλ' ἡ κτίσις ἴσχει τὴν τοῦ Θεοῦ ὁμοιότητα, ὅσόν γε πρὸς τὰ τελοῦντα εἰς τὴν τοῦ Θεοῦ φύσιν, οἷον δὴ τὸ γ' ἧκον εἰς τὸ εἶναι, καὶ τὴν ἀγαθότητα καὶ τὸ ἓν καὶ τὰ ἐχόμενα τούτοις, οὐ μόνον ὅσον γε πρὸς τὰ ἐν τῇ θελήσει καὶ τῷ νῷ, ὥσπερ αὖθις καὶ τὰ τεχνητὰ εἰσὶν ὅμοια τῷ τεχνίτῃ, ὅσον πρὸς τὸ τῆς τέχνης εἶδος, οὐχ ὅσον πρὸς τὴν τοῦ τεχνίτου φύσιν, διὸ καὶ ἐθελοντὶ καὶ οὐ φυσικῶς προΐασιν ἀπὸ**

**6-10** ὁ – ἐφίησιν] Ps.-Dion., De div. nom., cap. 4, 1 (PG 3, col. 693B, Ritter p. 143): Καὶ γὰρ ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος, οὐ λογιζόμενος ἢ προαιρούμενος, ἀλλ' αὐτῷ τῷ εἶναι φωτίζει πάντα τὰ μετέχειν τοῦ φωτὸς αὐτοῦ κατὰ τὸν οἰκεῖον δυνάμενα λόγον· οὕτω δὴ τἀγαθὸν (ὑπὲρ ἥλιον, ὡς ὑπὲρ ἀμυδρὰν εἰκόνα τὸ ἐγῃρημένως ἀρχέτυπον αὐτῇ τῇ ὑπάρξει) πᾶσι τοῖς οὖσιν ἀναλόγως ἐφίησι τὰς τῆς ὅλης ἀγαθότητος ἀκτῖνας.

**13-16** ἐκ – φύσεως] om.et al. man. add. in marg. sin. M

τοῦ τεχνίτου. Ἄρα διὰ τῆς δυνάμεως τῆς θείας φύσεως προΐσχονται καὶ οὐ θελήσει.

[3.15.4] Ἀλλ’ ἔλεγεν, ὅτι εἴδωλα τῶν τῇ φύσει τοῦ Θεοῦ ἐξαιρουμένων μεταδίδωσι τοῖς κτίσμασιν ἡ θεία θελησις. Ἀλλ’ ἐναντίως, ἡ τῆς φύσεως
P 76r ὁμοιότης μεταλαμβάνεσθαι οὐ δύναται, εἰ μὴ τῇ τῆς φύσεως δυνάμει. | Ἡ δὲ τῆς φύσεως δύναμις ἐν οὐδενὶ χρήματι ὑπὸ τῇ θελήσει ἐστίν· ὅθεν καὶ ἡ τοῦ Υἱοῦ γέννησις ἐκ τοῦ Πατρός, οὖσα φυσική, οὐ γίνεται ἐξ ἐπιτάγματος τῆς θελήσεως, οὔτε μὴν ἐν τοῖς ἀνθρώποις αἱ δυνάμεις τῆς αὐξητικῆς καὶ θρεπτικῆς ψυχῆς φυσικαὶ λεγόμεναι, ἐπὶ τῇ θελήσει κεῖνται. Ἄρα οὐχ οἷόν τε τῇ θείᾳ θελήσει μεταδιδόναι τοῖς κτιστοῖς τῆς ὁμοιότητος τῶν φύσει ἀπονεμομένων αὐτῷ τὸν Θεόν.

[3.15.5] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῇ πραγματείᾳ τῇ Περὶ τῆς χριστιανικῆς διδασκαλίας, ὅτι ὁ Θεός ἐστι, τὸ κορυφαῖον ἀγαθόν· καὶ οὕτως ἡ τοῦ Θεοῦ ἀγαθότης εἶναι δοκεῖ αἰτία τῆς παραγωγῆς τῶν ὄντων. Ἀλλ’ ἡ ἀγαθότης ἐστὶν ἔμφυτος τῷ Θεῷ. Καὶ ὁ ῥοῦς ἄρα τῶν ὄντων ἐκ τοῦ Θεοῦ ἐστὶ φυσικός.

[3.15.6] Παρὰ ταῦτα, ἐν τῷ Θεῷ ταυτόν ἐστι φύσις καὶ θέλησις. Εἰ τοίνυν ἐθελοντὶ παράγει ὁ Θεὸς τὰ ὄντα, ἕπεται καὶ φυσικῶς παράγειν.

[3.15.7] Ἔτι, τὸ ἀναγκαῖον ἐν τῇ φύσει προΐησιν ἐκ τοῦ ἀμετακινήτως ποιεῖν τὸ αὐτό, εἰ μή τοι πρὸ ποδῶν γένοιτο. Ἀλλ’ ἐν τῷ Θεῷ μείζων ἐστὶ ἀμετακινησία ἢ ἐν τῇ ὑφειμένῃ φύσει. Μᾶλλον ἄρα ὁ Θεὸς ἐξ ἀνάγκης προάγει τὸ ἀποτέλεσμα αὐτοῦ ἢ ἡ ὑφειμένη φύσις.

[3.15.8] Ἔτι, ἡ ἐνέργεια τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ. Ἡ δὲ οὐσία αὐτοῦ ἐστιν αὐτῷ φυσική. Φυσικῶς ἄρα ποεῖ, ὃ ποιεῖ.

[3.15.9] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῶν Ἠθικῶν, ἐπεὶ ἡ μὲν θέλησις ἐστὶ τοῦ τέλους, ἡ δὲ προαίρεσις, τῶν πρὸς τὸ τέλος, ἐν δὲ τῷ Θεῷ οὐκ ἔστι τι τέλος (ἄπειρος γάρ), οὐκ ἄρα ποιεῖ θελήσει, ἀλλὰ μᾶλλον ἀνάγκῃ φύσεως.

[3.15.10] Πρὸς δὲ τούτοις ὁ Θεὸς ἐνεργεῖ, ἐφόσον ἐστὶν ἀγαθός, ὡς ὁ Αὐγουστῖνος φησίν. Ἔστι δὲ αὐτός, ἀγαθὸν ἀναγκαῖον. Ἐξ ἀνάγκης ἄρα ποιεῖ.

**39-41** ὁ – ὄντων] Aug., De doctr. chr. I, cap. 32 (PL 34, col. 32): Deus vero ad suam bonitatem usum nostrum refert. Quia enim bonus est, sumus; et in quantum sumus, boni sumus. **51-52** κατὰ – τέλος] Ar., Eth. nic. III, 1111b.27-28: ἡ μὲν βούλησις τοῦ τέλους ἐστὶ μᾶλλον, ἡδὲ προαίρεσις τῶν πρὸς τὸ τέλος **54-55** ὁ – φησίν] Vide supra in apparatu fontium [3.15.5]39-41

**33** Hic post καὶ Aq. habet: in Deo. **46** μείζων] μεῖζον[a. corr.] P

[3.15.11] Ἔτι, πᾶν τὸ ὂν ἢ ἔστιν ἐνδεχόμενον ἢ ἀναγκαῖον. Τὸ δ’ ἀναγκαῖον, τριχῇ λέγεται· τὸ βίαιον, τὸ ἐξ ὑποθέσεως καὶ τὸ ἀπολελυμένως. Οὐχ οἷόν τε δὲ λέγεσθαι εἶναι ἐν τῷ Θεῷ τι δυνατὸν ἢ ἐνδεχόμενον· τοῦτο γὰρ τοῖς μεταβλητοῖς συγγινώσκεται, ὡς διὰ τοῦ Φιλοσόφου φαίνεται ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά· ὃ γὰρ ἐνδέχεται εἶναι, ἐνδέχεται καὶ μὴ εἶναι. Ὁμοίως τὲ ἐκεῖ οὐ δύναταί τι εἶναι ἀναγκαῖον κατ’ ἔπειξιν· οὐδὲν γὰρ ἐκεῖ βίαιον οὐδὲ παρὰ φύσιν, ὡς λέγεται ἐν τῷ τῶν Μετὰ τὰ φυσικὰ πέμπτῳ. Οὐδέ τι ἐξ ὑποθέσεως ἀναγκαῖον· ὅτι τοῦτο τὸ ἀναγκαῖον ἐστὶν ἄλλων προϋποτεθέντων αἰτίων, τῷ Θεῷ δὲ αἴτιον οὐδέν. Λείπεται ἄρα ὅ,τί ποτέ ἐστιν ἐν Θεῷ εἶναι ἀναγκαῖον ἀπολύτως· τῇδε δέ πῃ δοκεῖ τὰ ὄντα ἐξ ἀνάγκης παράγειν εἰς τὸ εἶναι.

[3.15.12] Ἔτι, ἐν τῷ δευτέρῳ τῆς Πρὸς Τιμόθεον δευτέραν λέγεται· ὁ Θεὸς πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. Ἀλλ’ ἐπειδὴ αὐτός ἐστιν ἡ αὐτοῦ ἀγαθότης, ἑαυτὸν ἀρνήσαιτο, εἰς τὴν ἑαυτοῦ ἀγαθότητα ἀρνήσαιτο. Ἔξαρνος δ’ ἂν ταύτης γένοιτο, εἰ μὴ ταύτην ἐκχέοι κοινωνικῶς, | P 76v ἐφόσον τοῦτ’ ἐστὶν ἴδιον τῆς ἀγαθότητος. Ὁ Θεὸς ἄρα οὐ δύναται μὴ προάγειν τὰ ὄντα, κοινωνῶν αὐτοῖς τῆς αὐτοῦ ἀγαθότητος. Ἐξ ἀνάγκης ἄρα προάγει· ἐπεὶ τὸ οὐ δυνατὸν μὴ εἶναι καὶ τὸ ἀναγκαῖον εἶναι ἀντιστρέφουσιν, ὡς φαίνεται ἐν τῷ τοῦ Περὶ ἑρμηνείας δευτέρῳ.

[3.15.13] Αὖθις, κατὰ τὸν Αὐγουστῖνον, τὸ γεννᾶν τὸν Πατέρα τὸν Υἱόν, ἐστὶ τὸ τὸν πατέρα λέγειν ἑαυτὸν τῷ ἑαυτοῦ Λόγῳ. Ἀλλ’ ὁ Ἄνσελμος φησίν, ὅτι τῷ αὐτῷ λόγῳ λέγει ὁ Πατὴρ ἑαυτὸν καὶ τὴν κτίσιν. Ἐπεὶ τοίνυν ἡ τοῦ Υἱοῦ ἐκ Πατρὸς γέννησις ἔστι φυσικῶς καὶ οὐκ ἐνδόσιμος ὑπὸ τῆς θελήσεως, δοκεῖ ἄρα καὶ ἡ τῶν ὄντων παραγωγή. Παρὰ γὰρ τῷ Θεῷ, οὐδὲν διαφέρει τὸ ποιεῖν καὶ τὸ λέγειν, ἐφόσον γέγραπται, εἶπε καὶ ἐγένοντο.

**59-60** ὡς – εἶναι] cf. Ar., Metaph. XI, 1064b.32-36: ἀεὶ καὶ ἐξ ἀνάγκης (ἀνάγκης δ' οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης ἀλλ' ᾗ χρώμεθα ἐν τοῖς κατὰ τὰς ἀποδείξεις), τὸ δ' ὡς ἐπὶ τὸ πολύ, τὸ δ' οὔθ' ὡς ἐπὶ τὸ πολὺ οὔτ' ἀεὶ καὶ ἐξ ἀνάγκης ἀλλ' ὅπως ἔτυχεν. **60-61** οὐδὲν – πέμπτῳ] cf. Ar., Metaph. V, 1015a.26-28: ἔτι τὸ βίαιον καὶ ἡ βία· τοῦτο δ' ἐστὶ τὸ παρὰ τὴν ὁρμὴν καὶ τὴν προαίρεσιν ἐμποδίζον καὶ κωλυτικόν, τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται… **67-68** ἐν – δύναται] II Timoth. 2, 13: εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. **72-74** ἐπεὶ – δευτέρῳ] Ar., De Interpr. II, 23a.3-7 ὁμοίως – εἶναι. **76-77** ὁ – κτίσιν] Ans., Monol., cap. 31 (PL 158, cols 183-185). **80** ἐφόσον – ἐγενοντο] cf. Ps. 32, 9: ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

**59** φαίνεται] λέγεται P (patet Aq.) **71** μὴ] deest P (non Aq.) **77** καὶ] καὶ νοεῖν M

[3.15.14] Μετὰ δὲ ταῦτα, πᾶν τὸ θέλον ἀνάγκῃ θέλει τὸ ἑαυτοῦ ἔσχατον τέλος· καθάπερ ὁ ἄνθρωπος θέλει ἐξανάγκης εἶναι μακάριος. Ἀλλ' ἔσχατον τέλος τῆς θείας θελήσεώς ἐστιν ἡ τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνία. Διὰ γάρ τοι τοῦτο τὰ ὄντα προήνεγκεν, ἐφ' ᾧ μεταδοῦναι τῆς αὐτοῦ ἀγαθότητος. Ὁ Θεὸς ἄρα ἐξανάγκης τοῦτο βούλεται. Καὶ ἐξανάγκης ἄρα προάγει.

[3.15.15] Ἔτι, ὁ Θεός, καθάπερ ἐστὶ καθ' αὑτὸν ἀγαθόν, ἔστι καὶ καθ' αὑτὸν ἀναγκαῖον. Ἀλλ' ἐν αὐτῷ, καθ' αὑτὸν ὄντι ἀγαθόν, οὐδέν ἔστιν εἰ μὴ ἀγαθόν. Ἆρ' ἐν αὐτῷ, ὅς ἐστι καθ' αὑτὸν ἀναγκαῖον, οὐδέν ἐστιν εἰ μὴ ἀναγκαῖον. Καὶ ταύτῃ ἐξ ἀνάγκης δημιουργεῖ τὰ ὄντα.

[3.15.16] Ἔτι, ἡ τοῦ Θεοῦ θέλησίς ἐστιν ὡρισμένη πρὸς ἕν, εἴτουν εἰς τὸ ἀγαθόν. Ἀλλ' ἡ φύσις διατοῦτο ἐξ ἀνάγκης ποιεῖ, ὅτι ἐστὶν ὡρισμένη πρὸς ἕν. Καὶ ἡ θεία ἄρα θέλησις ἐξ ἀνάγκης ποιεῖ τὰ ὄντα.

[3.15.17] Ἔτι, ὁ Πατὴρ τῇ δυνάμει τῆς ἑαυτοῦ φύσεώς ἐστιν ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ὡς ὁ Ἱλάριος φησίν. Ἀλλ' ἡ αὐτὴ φύσις ἡ οὖσα ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἔστι καὶ ἐν τῷ ἁγίῳ Πνεύματι. Τῷ αὐτῷ ἄρα λόγῳ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν ἀρχὴ φυσικῶς. Ἀλλ' οὐκ ἔστιν ἀρχή, εἰ μὴ τῶν ὄντων. Ἡ κτίσις ἄρα φυσικῶς ἀπὸ τοῦ Θεοῦ.

[3.15.18] Ἔτι, τὸ ἀποτέλεσμα πρόεισιν ἀπὸ τῆς ποιούσης αἰτίας. Τὸ ποιοῦν ἄρα οὐ παραβάλλεται πρὸς τὸ ἀποτέλεσμα, εἰ μὴ καθὸ παραβάλλεται πρὸς τὴν ἐνέργειαν ἢ τὴν πρᾶξιν. Ἀλλ' ἡ παράθεσις τῆς θείας ἐνεργείας ἢ τῆς πράξεως πρὸς αὐτόν ἐστι φυσική, ἐφόσον ἡ τοῦ Θεοῦ ἐνέργεια ἢ πρᾶξις ἐστὶν ἡ αὐτοῦ οὐσία. Ὁμοίως ἄρα παραβάλλεται πρὸς τὸ ἀποτέλεσμα, φυσικῶς προβαλλόμενος αὐτῷ.

[3.15.19] Ἔτι, ἀπὸ τοῦ καθ' αὑτὸ ἀγαθοῦ οὐδὲν ἄλλο γίγνεται εἰ μὴ τὸ ἀγαθόν, καὶ ἀγαθῶς. Ἄρα καὶ ἀπὸ τοῦ καθ' αὑτὸ ἀναγκαίου οὐ γίνεταί τι εἰ μὴ τὸ ἀναγκαῖον καὶ ἀναγκαίως. Ἀλλ' ὁ Θεός ἐστι τοιοῦτον. Ἄρα πάντα πρόεισιν ἀπ' αὐτοῦ ἐξ ἀνάγκης.

[3.15.20] Ἄνευ δὲ τούτων, ἐπεὶ τὸ καθ' αὑτό ἐστι πρότερον τοῦ δι' ἄλλου, δεῖ τὸ πρῶτον ποιοῦν ποιεῖν κατὰ τὴν ἑαυτοῦ οὐσίαν. Ἀλλ' ἡ αὐτοῦ οὐσία καὶ ἡ αὐτοῦ φύσις ἐστὶ ταυτό. Ποιεῖ ἄρα κατὰ τὴν ἑαυτοῦ φύσιν. Καὶ οὕτω φυσικῶς ἡ κτίσις ἀπ' αὐτοῦ πρόεισιν.

**93-94** ὁ – φησίν] Hilar., De syn.: locum non inveni.

**99** τὸ – πρὸς] deest P (homoioteleuton) **110** ἔστι] ἔσται P (est Aq.)

P 77[r] [3.15.21] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Ἱλαρίου λεγόμενον | ἐν τῷ Περὶ τῶν συνόδων βιβλίῳ· τὸ ἴδιον πεφυκὸς τοῖς κτίσμασιν ἡ τοῦ Θεοῦ βούλησις, συνεισήνεγκε. Διά τοι τοῦτο καὶ τοιαῦτα εἰσίν, οἷα ὁ Θεός ἠθέλησεν. Ὁ Θεὸς ἄρα προβάλλεται τὰ κτίσματα θελήσει οὐκ ἀνάγκῃ φύσεως.

[3.15.22] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τῷ ἑνδεκάτῳ τῆς Ἐξομολογήσεως τὸν Θεὸν προσαγορεύων φησί· δύο πεποίηκας, Κύριε· ἓν ἐγγὺς Σοῦ, δηλαδὴ τὸν ἄγγελον, καὶ ἄλλο τοῦ μηδενὸς ἐγγύς, εἴτουν τὴν ὕλην. Καὶ οὐδέτερόν ἐστιν ἐκ τῆς φύσεως τῆς σῆς· οὐδέτερον γάρ ἐστιν, ὅπερ ὁ αὐτὸς εἶ. Ἀλλ’ ὁ Υἱὸς διατοῦτο φυσικῶς πρόεισιν ἀπὸ τοῦ Πατρός, ὅτι τὴν αὐτὴν ἔχει φύσιν, ἣν καὶ ὁ Πατήρ, ὡς αὐτὸς φησίν. Ἡ κτίσις ἄρα οὐ φύσει πρόεισιν ἀπὸ τοῦ Θεοῦ.

[3.15.23] Ἀπόκρισις. Ῥητέον ὅτι ἄνευ ὁτουοῦν ἐνδοιασμοῦ ἀπρὶξ ἀντιληπτέον ἐστὶ τὸν Θεὸν αὐτονομίᾳ τῆς αὐτοῦ θελήσεως τὰ δημιουργήματα εἰς τὸ εἶναι ἐκφέρειν, οὐ φυσικῇ τινι ἀνάγκῃ. Ὃ δύναται φανερὸν εἶναι ἔν γε τῷ παρόντι τέτταρσι λογισμοῖς. Ὧν ὁ πρῶτος ἐστίν· ἀνάγκη γὰρ λέγειν τὸ σύμπαν ἔχειν τέλος τι πρὸς ὅ· ἄλλως γὰρ ἕκαστα ἐν τῷ παντὶ αὐτομάτως συμβαίη ἄν, εἰ μή που τάχα λέγοιτο τὰ πρῶτα κτίσματα μὴ εἶναι διὰ τέλος, ἀλλὰ φύσεως ἀνάγκῃ, τὰ δὲ ὕστερα διά τι τέλος, καθαπεροῦν καὶ ὁ Δημόκριτος ἠξίου τὰ μὲν οὖν οὐράνια σώματα ὡς τὸ αὐτόματον ἤνεγκε συμπεῖν, τὰ δὲ χαμαίζηλα ἐξ ὡρισμένων αἰτιῶν, ὅπερ ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ ἀποδοκιμάζεται διὰ τοῦ τὰ κρείττω μὴ δύνασθαι ἧττον τετάχθαι τῶν ἐλάττονος ἀξίας ὄντων. Ἀναγκαῖον τοίνυν λέγειν ἐν τῇ δημιουργίᾳ τῶν ὄντων εἶναί τι τέλος παρὰ Θεοῦ σκοπημότατον. Εὑρίσκεται δὲ ἡ θέλησις καὶ ἡ φύσις διὰ τέλος ποιοῦσα, ἄλλη μέντοι καὶ ἄλλη. Ἡ μὲν γὰρ φύσις, μήτε τὸ τέλος ἐπισταμένη μήτε τὸν τοῦ τέλους λόγον μήτε τὴν τῶν πρὸς τὸ τέλος σχέσιν πρὸς τὸ τέλος, οὐδὲ δύναται ἑαυτῇ τέλος προστήσασθαι οὔθ’ ἑαυτὴν κινεῖν εἰς τὸ τέλος ἢ τάττειν ἢ ἰθύνειν πάνθ’ ἃ προσήκει τῷ θελήσει ποιοῦντι. Τούτου γάρ ἐστιν εἰδέναι τὸ τέλος καὶ τὰ προειρημένα πάντα. Ὅθεν τὸ θελήσει ποιοῦν οὕτω διά τι τέλος ποιεῖ, ὡς καὶ προϊστάναι τὸ τέλος καὶ ἑαυτῷ τρόπῳ γέ τινι εἰς τὸ τέλος ἡγεῖσθαι, τάττον τὰς αὐτοῦ ἐνεργείας εἰς αὐτό. Ἡ φύσις δὲ εἰς τὸ τέλος βάλλει ὥσπερ κινουμένη καὶ ὠθουμένη, παρ’ ἄλλου νοοῦντος καὶ θέλοντος, ὡς

**116-118** ὁ – ὕλην] cf. Aug., Conf. XII, cap. 7, n. 7 (PL 32, coll. 828-829): Tu eras, et aliud nihil unde fecisti coelum et terram, duo quaedam: unum prope te, alterum prope nihil; unum, quo superior tu esses; alterum, quo inferius nihil esset. **119-121** ὁ – φησίν] Aug., De Trin. XV, cap. 14, n. 23-24 (PL 42, cols 1076-1077). **128-130** τὰ – ἀποδοκιμάζεται] cf. Ar., Phys. II, 196a.28-b5: λέγοντες – γίγνεσθαι.

**126** ἄν] κἂν M [e similitudine inter (συμβαί)η et κ?] **140** ἡγεῖσθαι] ἡγησθαι M

κἀν τῷ βέλει δῆλον ἔχει, ὅπερ καταντικρὺ ἀποτείνεται τοῦ σκοποῦ παρὰ τοῦ βάλλοντος ὀρθούμενον· ἀνθ’ ὧν καὶ λέγεται παρὰ τῶν φυσικῶν τὸ τῆς φύσεως ἔργον, ἔργον εἶναι νοήσεως. Αἰεὶ δὲ τὸ δι’ ἄλλο ὄν ἐστι νεώτερον τοῦ καθ’ αὑτό. Ὅθεν ἀναγκαῖον τὸ πρῶτον πρὸς τὸ τέλος τάττον τοῦτο ποιεῖν θελήσει. Καὶ τ<οι>αύτῃ θελήσει τὰ ὄντα εἰς τὸ εἶναι ὁ Θεὸς παρήγαγεν, οὐ φύσει. Οὐδ’ ἔστιν ἐνστῆναι ἐκ τοῦ Υἱοῦ, ὃς φύσει πρόεισιν ἀπὸ τοῦ Πατρός, οὗπερ ἡ γέννησις ἡγεῖται τῆς | P 77v τῶν ὄντων δημιουργίας· οὐ γὰρ πρόεισιν ὁ Υἱὸς ὡς πρὸς τέλος τεταγμένος, ἀλλ’ ὡς πάντων τέλος. Δεύτερος λόγος ἐστίν, ὅτι ἡ φύσις ἐστὶν ὡρισμένη πρὸς ἕν. Ἐπεὶ δὲ πᾶν τὸ ποιοῦν ὅμοιον ἑαυτῷ προάγει, ἀνάγκη τὴν φύσιν εἰς ἐκείνην τὴν ὁμοιότητα τείνειν, ἐφ’ ᾧ προενέγκαι, ἥτις ὁρίζεται ὑπὸ τὸ ἕν. Ἐπεὶ δὲ καὶ ἡ ἰσότης αἰτίαν ἔχει τὴν μονάδα, ἡ δὲ ἀνισότης πολυσχεδὴς οὖσα τὸ πλῆθος, δι’ ὃν δὴ λόγον καὶ ἴσον μὲν ἴσῳ οὐκ ἔστιν εἰ μὴ ἑνὶ τρόπῳ, ἄνισον δὲ ἀνίσῳ κατὰ πολλοὺς βαθμούς, οὐκ ἂν ἡ φύσις ἄνισον ἑαυτῇ ποιοίη, εἰ μὴ ἀρρωστίᾳ τῆς ποιητικῆς δυνάμεως ἢ τῆς δεκτικῆς ἢ καὶ παθητικῆς. Ἀρρωστία δὲ παθητικῆς δυνάμεως οὐ προστρίβεται τῷ Θεῷ· οὐ γὰρ ζητεῖται ὕλη ἐκεῖ, οὐδ’ αὖ ἡ αὐτοῦ δύναμις ἐξασθενεῖ, ἔστι γὰρ ἄπειρος. Ὅθεν ἐκεῖνος μόνον πρόεισιν ἀπ’ αὐτοῦ φυσικῶς, ὅπέρ ἐστιν ἴσον αὐτῷ, ἤτουν ὁ Υἱός. Ἡ κτίσις δέ, ἄνισος οὖσα, οὐ φύσει, ἀλλὰ θελήσει πρόεισιν· ἔχει γὰρ πολλὰς ὑφέσεις καὶ ὑπεροχὰς ἀνισότητος. Οὔτε μὴν δύναται λέγεσθαι, ὅτι εἰς ἓν ὁρίζοιτο ἂν ἡ θεία δύναμις μόνον, ἄπειρος οὖσα. Ἀμέλει κἀπειδὴ ἡ θεία δύναμις εἰς διαφόρους βαθμοὺς τῆς κατασκευαζομένης κτίσεως ἀνίσους ἐκτείνεται, ὅτι πάλιν ἐν τούτῳ τῷ ὡρισμένῳ βαθμῷ τὴν κτίσιν ἵδρυσε ψήφῳ, θελήσεως γέγονεν, οὐ φυσικῇ ἀνάγκῃ. Τρίτος λόγος ἐστίν· ἐπεὶ γὰρ πᾶν τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ ἀμηγέπη, ἀνάγκη τὸ ἀποτέλεσμα προϋπάρχειν τρόπῳ γέ τῳ ἐν τῇ ἑαυτοῦ αἰτίᾳ. Πᾶν δ’ ὅπέρ ἐστιν ἐν ἄλλῳ, ἔστιν ἐν αὐτῷ κατὰ τὸν αὐτοῦ τρόπον. Ἐπεὶ τοίνυν αὐτὸς ὁ Θεός ἐστι νοῦς, τὰ κτιστὰ δῆλον ὅτι νοητῶς προϋπάρχουσιν ἐν αὐτῷ· διὸ καὶ λέγεται ἐν τῷ πρώτῳ τοῦ Κατὰ Ἰωάννην· ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν. Ὃ δὲ ἔστιν ἐν τῷ νῷ, οὐκ ἔστιν ἔκφορον εἰ μὴ θελήσει μεσιτευούσῃ· ἡ γὰρ θέλησίς ἐστιν ἐκφάντωρ τοῦ νοῦ, καὶ τὸ νοηθὲν αὐτὴν κινεῖ. Καὶ ταύτῃ δὴ τὰ κτίσματα προϊέναι ἀπὸ τοῦ Θεοῦ θελήσει.

**168-169** λέγεται – ἦν] Io. 1, 3: πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

**143** φυσικῶν] Philosophis Aq. (Prochoros legit phisicis?) **150** ἔστιν] deest M (est Aq.)

Ὁ δὲ τέταρτος, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά, δισσή ἐστιν ἡ ἐνέργεια· καὶ ἡ μὲν συνίσταται ἐν τῷ ἐνεργοῦντι καὶ ἔστι τελειότης, καὶ τὸ ἐνεργείᾳ τοῦ ποιοῦντος, ὡς τὸ νοεῖν, τὸ θέλειν, καὶ τὰ τοιαῦτα, ἄλλη δὲ ἣ πρόεισιν ἀπὸ τοῦ ποιοῦντος εἰς τὸ πάσχον ἐκτός, καὶ ἔστι τελειότης καὶ τὸ ἐνεργείᾳ τοῦ πάσχοντος, ὥσπερ τὸ θέρειν, τὸ κινεῖν καὶ τὰ τοιαδί. Ἡ δὲ τοῦ Θεοῦ ἐνέργεια οὐ δύναται νοεῖσθαι τῷ τρόπῳ τῆς δευτέρας ταυτησὶν ἐνεργείας· ἐπεὶ γὰρ ἡ ἐνέργεια αὐτοῦ ἐστιν ἡ οὐσία αὐτοῦ, οὐκ ἔξεισιν ἐκτὸς ἑαυτῆς· ὅθεν ἀνάγκη νοεῖσθαι τῷ τρόπῳ τῆς πρώτης ἐνεργείας, ἥτις οὐκ ἔστιν εἰ μὴ τὸ νοεῖν, τὸ βούλεσθαι, ἢ καὶ τὸ αἰσθάνεσθαι. Ἀλλὰ τοῦτο μὲν ἐν τῷ Θεῷ οὐ πίπτει· ἡ γὰρ ἐνέργεια τῆς αἰσθήσεως, εἰ καὶ μὴ τείνει πῃ ἔξω, ἔστι μέντοι δρώντων τῶν ἔξωθεν εἰς αὐτήν. Λείπεται τοίνυν κατατοῦτο
P 78r τὸν Θεὸν ποιεῖν, ὃ ποιεῖ ἐν τοῖς ἔξω ἑαυτοῦ, καθὸ νοεῖ | καὶ θέλει. Οὐδὲ λυμαίνεται τοῦτο τῇ τοῦ Υἱοῦ γεννήσει, ἥτις ἐστὶ φυσική. Ἡ γὰρ τοιαύτη γέννησις οὐ νοεῖται ὁρίζεσθαι πρός τι τῶν ὄντων ἔξω τῆς θείας οὐσίας. Ἀναγκαῖον ἐστὶ τοίνυν λέγειν πάντα τὰ δημιουργήματα ἀπὸ τοῦ Θεοῦ προχωρῆσαι θελήσει καὶ οὐκ ἀνάγκῃ φύσεως.

[3.15.24] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ τοῦ Διονυσίου παραβολή ἐστιν ὅσον πρὸς τὸ ἀδιάφορον τῆς προχοῆς· ὁ γὰρ ἥλιος εἰς πάντα τὰ σώματα προχεῖ τὰς ἀκτῖνας, οὐ διακρίνων ἄλλο ἀπ᾽ ἄλλου, ὡς δὲ καὶ ἡ θεία ἀγαθότης. Οὐκ ἐκλαμβάνεται δὲ ὅσον πρὸς ἀπαγόρευσιν τῆς θείας θελήσεως.

[3.15.25] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐκ τῆς τελειότητος τῆς θείας φύσεως ἐστὶ τὸ τῇ ἑνούσῃ δυνάμει εἰδώλων ἑαυτῆς μεταδιδόναι τοῖς κτιστοῖς, οὐκ ἔστι μέντοι αὕτη ἡ κοινωνία φύσεως ἀνάγκῃ, ἀλλὰ βουλήσει.

[3.15.26] Ἐκ δὲ δὴ τούτου καὶ πρὸς τὸ τρίτον ἀπόκρισις φαίνεται.

[3.15.27] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ φύσις οὐκ εἴκει τῇ θελήσει ἐν τοῖς ἔνδον τοῦ πράγματος, ἀλλ᾽ ἐν τοῖς ἔξω τοῦ πράγματος, οὐδὲν ἐνίσταται ὑποκεῖσθαι τὴν φύσιν τῇ βουλήσει· ὅθεν κἀν τῇ κατὰ τόπον κινήσει ἐν τοῖς ζῴοις, ἡ φύσις τῶν μυῶν καὶ τῶν νεύρων ἀκούει τῆς ὀρέξεως· ὅθεν οὐδ᾽ ἐξᾴδει, εἰ τῇ τῆς θείας φύσεως δυνάμει τὰ δημιουργούμενα εἰς τὸ εἶναι προΐασι κρίσει τῆς θείας θελήσεως.

**171-177** κατὰ – τοιαδί] cf. Ar., Metaph. IX, 1050a23-b2: ἐπεὶ – ἐστιν.

**175-176** καὶ – κινεῖν] om. et al. man. add. in marg. dex. M **188** Πρὸς] Ἀπόκρισις πρὸς M **190** προχεῖ τὰς] προχεῖται P | δὲ] bis acc. P **199** νεύρων] νέβρων P

**[3.15.28] [Ad quintum dicendum, quod bonum est proprium obiectum voluntantis]· διά τοι τοῦτο καὶ ἡ τοῦ Θεοῦ ἀγαθότης, ἐφόσον ἔστιν αὐτῷ θελητὴ καὶ ἐπέραστος, μεσιτευούσης τῆς θείας θελήσεώς ἐστιν αἰτία τῶν ὄντων.**

**[3.15.29] Τὸ δ’ ὅμοιον καὶ πρὸς τὸ πέμπτον.**

**[3.15.30] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι, εἰ καὶ ἡ θέλησις καὶ ἡ φύσις, ἣ δὴ εἰσὶν ἐν τῷ Θεῷ εἰσὶ πράγματι τὸ αὐτό, διαφέρουσι μέντοι τῷ λόγῳ· καθὸ διὰ τούτων διάφορος ἀποδίδοται τοῖς οὖσιν ἀπόβλεψις. Ἡ φύσις γὰρ ἔννοιαν ἐμποιεῖ πρός τι ἓν ὡρισμένον, ἀλλ’ οὐχ ἡ θέλησις.**

**[3.15.31] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι οὐκ ἔστιν ἐκ τοῦ ἀμεταβλήτου τῆς φύσεως μόνον τό τι προάγειν ἀνάγκῃ, ἀλλὰ κἀκ τοῦ πρὸς ἓν ὅτι ὡρίσθαι, ὅπερ οὐ προσήκει τῇ θείᾳ θελήσει, εἰ καὶ εἴη ἐν αὐτῇ τὸ ἄκρως ἀμεταβλήτως.**

**[3.15.32] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι εἰ καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ φυσικῶς Αὐτῷ προσήκει, φύσις οὖσα αὐτῷ ἢ οὐσίᾳ, τὸ μέντοι κατὰ τὴν δημιουργίαν ἀποτέλεσμα ἕπεται ἐνεργείᾳ, ἣ κατὰ τὸν τοῦ νοεῖν τρόπον, ὡς ἀρχὴ θελήσεως θεωρεῖται, ὥσπερ καὶ τὸ ἀποτέλεσμα τῆς θερμάνσεως ἕπεται, κατὰ τὸν τῆς θερμότητος τρόπον.**

**[3.15.33] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι εἰ καὶ ὁ Θεὸς ἄπειρος εἴη, ἔστι μέντοι πέρας οἷ πάντα τέτακται. Οὐ γάρ ἐστιν ἄπειρος στερητικῶς, καθάπερ τὸ ἄπειρόν ἐστι πάθος περὶ ποσότητος, ἣ πέφυκεν ἔχειν πέρας· τούτῳ γὰρ τῷ τρόπῳ τοῦ πέρατος, οὔτε ἄπειρος οὔτε πεπερασμένος ἐστί. Λέγεται δὲ ἄπειρος ἀποφατικῶς, ὅτι οὐδ’ ὁτῳοῦν τρόπῳ περαίνεται.**

**[3.15.34] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ὁ Θεὸς ἐνεργεῖ ἐφόσον ἐστὶν** P 78v **ἀγαθός, καὶ ἡ ἀγαθότης ἐξανάγκης ἐνυπάρχει, οὐχ ἕπεται μέντοι ἐξανάγκης ἐνεργεῖν. Ἡ γὰρ ἀγαθότης μεσιτευούσης τῆς θελήσεως ἐνεργεῖ, ἐφόσον ἐστὶ τῆς θελήσεως ἀντικείμενον ἢ τέλος. | Ἡ θέλησις δὲ οὐκ ἔχει ἀναγκαίως ἐν τοῖς πρὸς τὸ τέλος, εἰ καὶ τῷ λόγῳ τοῦ ἐσχάτου τέλους ἀνάγκην ἔχει.**

**211** ὅτι] deest M **213-214** ὅπερ – ἀμεταβλήτως] om. et al. man. add. in marg. sin. M

**[3.15.35] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι, ὅσον ἐν τοῖς ἑνοῦσιν αὐτῷ τῷ Θεῷ οὐ δύναται νοεῖσθαι δύναμίς τις, ἀλλὰ μόνον ἀνάγκη φυσικὴ καὶ ἀπολελυμένη, προσέχουσι δὲ τὸν νοῦν τῇ κτίσει δύναται νοηθῆναι ἐκεῖ δύναμις οὐ κατὰ δύναμιν παθητικήν, ἀλλὰ κατὰ δύναμιν ποιητικήν, ᾗ οὐ περιείργεται πρὸς ἕν.**

**[3.15.36] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, εἰ ὁ Θεὸς τούτῳ τῷ τρόπῳ τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνοίη τοῖς οὖσιν, ὡς μὴ δι' αὐτῶν κατάδηλον γίνεσθαι, ταύτην ἔψεται κατὰ τὸ ἀδύνατον ἀρνήσασθαι ἑαυτόν. Οὐ τοῦτο δὲ ἔψεται, καὶ εἰ μηδενὶ τῆς ἑαυτοῦ ἀγαθότητος κοινωνοίη. Οὐδὲν γὰρ ἀπόλοιτο τῇ αὐτοῦ ἀγαθότητι, εἰ μὴ γένοιτο μεθεκτή.**

**[3.15.37] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος φυσικῶς ἀνίσχοι παρὰ τοῦ Πατρός, οὐκ ἀναγκαῖον μέντοι τὰ κτίσματα φυσικῶς ἀπὸ τοῦ Θεοῦ προϊέναι. Τούτῳ δὲ τῷ τρόπῳ ὁ Θεὸς τῷ ἑαυτοῦ λόγῳ τὰ κτίσματα λέγει, καθάπερ ἐν αὐτῷ τῷ Πατρὶ εἰσίν· εἰσὶ δὲ οὐχ ὡς ἀνάγκῃ προάγοντι, ἀλλ' ὡς κατὰ θέλησιν.**

**[3.15.38] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ κοινωνία τῆς ἀγαθότητος, οὐκ ἔστι τὸ ἔσχατον τέλος, ἀλλ' αὐτὴ ἡ θεία ἀγαθότης, ἧς ἐκ τοῦ ἐρᾶν περιγίνεται τὸ τὸν Θεὸν βούλεσθαι κοινωνεῖν αὐτῆς πᾶσιν. Οὐ ποιεῖ γὰρ διὰ τὴν αὐτοῦ ἀγαθότητα, ὡσανεὶ ἐφιέμενος οὗ μὴ ἔχοι, ἀλλ' ὡσανεὶ θέλων κοινωνεῖν τοῖς ἄλλοις οὗ ἔχει· καὶ γὰρ ποιεῖ οὐ πόθῳ τέλους, ἀλλ' ἔρωτι τέλους.**

**[3.15.39] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, καθάπερ ἐν τῷ Θεῷ οὐδὲν ἔστιν εἰ μὴ ἀγαθόν, οὕτως οὐδὲν ἔστιν ὅτι μὴ ἀναγκαῖον. Οὐ χρὴ μέντοι πᾶν ὅ,τι προΐῃ ἀπ' αὐτοῦ, ἀναγκαίως προϊέναι. Ἡ γὰρ ἡ θέλησις αὐτοῦ, ὡς εἴρηται, φυσικῶς φέρεται εἰς τὴν αὐτοῦ ἀγαθότητα· ὅθεν οὐ δύναται θέλειν εἰ μὴ ὃ οἰκείως ἔχει πρὸς αὐτήν, ἤτουν τὸ ἀγαθόν, οὐ τόδε μέντοι ἢ τόδε τὸ ἀγαθόν, ἀλλ' ὁπότερον ἔτυχε.**

**[3.15.40] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι οὐχ ὁρίζεται πρὸς τοδὶ ἢ τοδὶ τὸ ἀγαθόν, καὶ διατοῦτο τὰ ἐξ αὐτοῦ ἀγαθὰ οὐκ ἀνάγκῃ πρόεισι.**

**256-259** Ἡ – ἔτυχε] Sic Prochoros; scripsit infra in 'Ad sextum' Aq.

**[3.15.41] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ αὐτὴ εἴη φύσις Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου, οὐχ ὁ αὐτὸς μέντοι τοῦ ὑπάρχειν τρόπος αὐτῇ ἐν τοῖς τρισὶ φημὶ δὲ τοῦ ὑπάρχειν τρόπον κατὰ τὴν ἀναφοράν. Ἐν μὲν γὰρ τῷ Πατρὶ ἔστὶν ἡ φύσις οὐχ ὡς παρ' ἄλλου ληφθεῖσα, ἐν δὲ τῷ Υἱῷ ὡς παρὰ Πατρὸς εἰλημμένη· ὅθεν οὐχ ἁρμόττει εἴ τι τῷ Πατρὶ διαφέρει τῇ δυνάμει τῆς φύσεως αὐτοῦ, ἐκ τοῦ ἴσου καὶ Υἱῷ καὶ Πνεύματι διαφέρειν.**

**[3.15.42] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι τὸ ἀποτέλεσμα θεωρεῖται ἀπὸ τῆς ἐνεργείας κατὰ τὸν τρόπον τῆς τοῦ ποιεῖν ἀρχῆς· ἀμέλει κἀπειδὴ κατὰ τὸν τοῦ νοεῖν τρόπον ἡ τῆς θείας ἐνεργείας ἀρχὴ θεωρεῖται καθὸ σκοπεῖ τὰ ὄντα, νοεῖται ἡ θεία θέλησις, ᾗ οὐκ ἀναγκαίαν ἔχει τὴν πρὸς τὰ κτίσματα σχέσιν.** P 79r **| Ὅθεν οὐ δεῖ προϊέναι λέγειν τὴν κτίσιν ἐκ τοῦ Θεοῦ ἀνάγκῃ φύσεως, εἰ καὶ αὐτὴ ἡ ἐνέργειά ἐστιν οὐσία τοῦ Θεοῦ ἢ φύσις.**

**[3.15.43] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἡ κτίσις ἀφομοιοῦται τῷ Θεῷ ὅσον πρὸς τὰς καθόλου κατασκευάς, ἀλλ' οὐχ ὅσον πρὸς τὸν τοῦ μεταλαμβάνειν τρόπον. Ἄλλῳ γὰρ τρόπῳ ἔστι τὸ εἶναι ἐν Θεῷ καὶ ἐν τοῖς κτίσμασι, καὶ παραπλησίως ἡ αγαθότης. Ὅθεν, εἰ καὶ παρὰ τοῦ πρώτου ἀγαθοῦ εἰσι πάντα ἀγαθὰ καὶ τὰ παρὰ τοῦ πρώτου ὄντος ὄντα πάντα, οὐχ ὅμως τὰ παρὰ τοῦ ἄκρου ἀγαθοῦ ἄκρως ἀγαθὰ εἰσίν, οὐδ' αὖ τὰ ἐκ τοῦ ἀναγκαίου ὄντος ἀναγκαίως ὄντα.**

**[3.15.44] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ἡ τοῦ Θεοῦ θέλησίς ἐστιν ἡ αὐτοῦ οὐσία. Ὅθεν τοῦθ' ὃ ποιεῖ θελήσει οὐκ ἀντιβαίνει μὴ καὶ οὐσία ποιεῖν. Οὐ γάρ ἐστιν ἡ θέλησις τοῦ Θεοῦ ἐπιβολή τις προσκείμενη τῇ θείᾳ οὐσίᾳ, ἀλλ' αὐτὴ ἡ οὐσία.**

**264** τὴν] deest M **277** ἄλλῳ – τρόπῳ] om. et al. man. add. in marg. sin. M **284** προσκειμένη] προσκειμένης M

## Κεφάλαιον ἑκκαιδέκατον

## Πότερον ἓν ἀφ’ ἑνὸς πρώτου δύναται προϊέναι ἢ πλῆθος.

[3.16.1] Ἑκκαιδέκατον ζητεῖται, πότερον ἓν ἀφ΄ ἑνὸς πρώτου δύναται προϊέναι ἢ πλῆθος. Καὶ δοκεῖ μὴ πάνυ. Καθάπερ γὰρ ὁ Θεός ἐστι καθ’ αὐτὸν ἀγαθόν, καὶ κατὰ τὸ εἰκὸς τὸ κορυφαῖον ἀγαθόν, οὕτως ἐστὶ καὶ καθ’ αὑτὸ ἕν, καὶ κατὰ τὸ εἰκὸς τὸ ἄκρον ἕν. Ἀλλ’ ἐξ αὐτοῦ, καθόσόν ἐστιν ἀγαθόν, οὐχ οἷόν τε προϊέναι ὅτι μὴ ἀγαθόν. Οὐδ’ ἄρα δύναται προϊέναι ἀπ’ αὐτοῦ εἰ μὴ ἕν. [3.16.2] Ἔτι, ὥσπερ τὸ ἀγαθὸν ἕπεται τῷ ὄντι, οὕτω καὶ τὸ ἕν. Ἀλλ’ ἐν τοῖς κοινοῖς δεῖ θεωρεῖσθαί τινα ἀφομοίωσιν τῆς κτίσεως πρὸς τὸν Θεόν. Καθάπερ ἄρα ἐν τῇ ἀγαθότητι, οὕτω καὶ ἐν τῷ ἑνὶ δεῖ τὴν κτίσιν ἀφομοιοῦσθαι τῷ Θεῷ, ὡς εἶναι δηλαδὴ μίαν ἀφ’ ἑνός.

[3.16.3] Ἔτι, ὥσπερ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀντίκεινται στερητικῶς, εἰ ληφθεῖεν κοινῶς, εἰ καὶ τυγχάνει ὄντα ἐναντία, ᾗπερ εἰσὶν ἕξεων διαφοραί· οὕτω καὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀντίκεινται στερητικῶς, ὡς δῆλον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλὰ τὴν κακίαν οὐδενὶ τρόπῳ φαμὲν προϊέναι ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ τῷ ἐνδέοντι τῶν δευτέρων αἰτιῶν αὐτὴν συμπίπτειν. Οὐδ’ ἄρα ὀφείλει αἰτίαν τοῦ πλήθους προσαγορεύειν τὸν Θεόν.

[3.16.4] Ἔτι, χρὴ ἀναλόγως λαμβάνειν τά τε αἴτια καὶ τὰ αἰτιατά, καὶ τὰ μὲν καθέκαστα δηλαδὴ εἶναι αἰτίαν τῶν καθέκαστα, τὰ δὲ καθόλου τῶν καθόλου, ὡς ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ ἀποπέφανται. Ἀλλ’ ὁ Θεός ἐστι μάλιστα αἰτία καθόλου. Ἴδιον ἄρα ἀποτέλεσμα αὐτοῦ ἐστι τὸ διαφερόντως καθόλου, εἴτουν τὸ εἶναι. Ἀλλ’ ἐκ τοῦ τὸ εἶναι ἔχειν τὰ ὄντα οὐκ εἰσὶ πλῆθος, εἴ γε τοῦ μὲν πλήθους ἐστὶν αἰτία ἑτερότης ἢ διαφορά, κατὰ δὲ τὸ εἶναι πάντα συγχωρεῖ. Τὸ πλῆθος ἄρα οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλ’ ἐκ τῶν δευτέρων αἰτιῶν, ἐξ ὧν δημιουργοῦνται αἱ μερικαὶ τῶν ὄντων ὑπάρξεις, καθ’ ἃς διαφέρουσι.

[3.16.5] Παρὰ ταῦτα, οὑτινοσοῦν ἀποτελέσματος ἔστιν ἰδίαν αἰτίαν τινὰ λαμβάνειν. Ἀλλ’ ἀδύνατόν ἐστιν ἓν εἶναι ἰδίων τῶν πολλῶν. Ἀδύνατον ἄρα ἓν
P 79v εἶναι | αἰτίαν πολλῶν.

**14-15** τὸ – φυσικά] Ar., Metaph. X, 1056b32: ἀντίκειται δὴ τὸ ἓν καὶ τὰ πολλὰ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ. **18-20** τὰ – ἀποπέφανται] cf. Ar., Phys. II, 195b25: ἔτι τὰ μὲν γένη τῶν γενῶν, τὰ δὲ καθ' ἕκαστον τῶν καθ' ἕκαστον.

**8** τὸ$^{2}$] τῷ M **9** κοινοῖς] intellige κτιστοῖς **27** ἰδίων] ἰδίαν M (proprium Aq.)

**[3.16.6] Ἀλλ’ ἔλεγε τοῦτ’ ἰσχύειν ταῖς φυσικαῖς αἰτίαις, ἀλλ’ οὐκ ἐν ταῖς κατὰ θέλησιν. Ἀλλὰ τοὐναντίον· ὁ γὰρ τεχνίτης ἐστὶν αἰτία τοῦ τεχνητοῦ θελήσει. Πρόεισι δὲ τὸ τεχνητὸν ἀπὸ τοῦ τεχνίτου κατὰ τὸ ἴδιον εἶδος αὐτοῦ τοῦ τεχνητοῦ τοῦ ὄντος ἐν τῷ τεχνίτῃ. Κἀν τοῖς ἠρτημένοις ἄρα τῆς θελήσεως ὁτιοῦν ἀποτέλεσμα ζητεῖ ἰδίαν αἰτίαν.**

**[3.16.7] Ἔτι, δεῖ προσεῖναι ὁμοιότητα τινὰ ἔν τε τῇ αἰτίᾳ καὶ τῷ ἀποτελέσματι. Ἀλλ’ ὁ Θεός ἐστι παντάπασιν ἁπλοῦς καὶ εἷς. Ἐν τῇ κτίσει τοίνυν, ἥτις ἐστὶν ἀποτέλεσμα αὐτοῦ, οὔτε πλῆθος οὔτε σύνθεσιν χρεὼν εὑρίσκεσθαι.**

**[3.16.8] Χωρὶς δὲ τούτων, διαφόρων ποιητικῶν οὐ δύναται εἶναι τὸ αὐτὸ ἀποτέλεσμα ἀμέσως. Ὥσπερ δὲ ἡ αἰτία ἀποκληροῦται τῷ ἀποτελέσματι, οὕτω καὶ τὸ ἀποτέλεσμα τῇ αἰτίᾳ ἀποκεκλήρωται. Οὐκ ἄρα τῆς αὐτῆς αἰτίας δύναται εἶναι συχνὰ ἀμέσως ἀποτελέσματα. Καὶ ταύτῃ ὃ πρότερον.**

**[3.16.9] Ἔτι, ἐν τῷ Θεῷ ἡ αὐτή ἐστι δύναμις τοῦ τε γεννᾶν καὶ πνεῖν καὶ δημιουργεῖν. Ἀλλ’ ἡ τοῦ γεννᾶν δύναμις οὐ δύναται εἶναι, εἰ μὴ πρὸς ἕν, ὡσαύτως δὲ καὶ ἡ τοῦ πνεῖν· ἐν γὰρ τῇ Τριάδι οὐχ οἷόν τε εἰ μὴ ἕνα Υἱόν, καὶ ἓν Πνεῦμα ἅγιον εἶναι. Καὶ ἡ τοῦ δημιουργεῖν ἄρα δύναμις ὁρίζεται μόνον εἰς ἕν.**

**[3.16.10] Ἀλλ’ ἔλεγεν, ὅτι τὸ κεφάλαιον τῶν κτισμάτων ἔστιν ἀμωσγέπως ἓν οἷον τῇ τάξει. Ἀλλ’ ἐνστέον, ὅτι τὸ ἀποτέλεσμα δεῖ ἀφομοιοῦσθαι τῇ αἰτίᾳ. Ἀλλὰ τὸ ἐν τῷ Θεῷ ἓν οὐκ ἔστι τάξεως ἕν· οὐ γάρ ἐστιν ἐν τῷ Θεῷ τὸ πρότερον καὶ τὸ ὕστερον, οὐδὲ τὸ ὑφειμένον καὶ ὑπερκείμενον. Οὐκ ἄρα ἀπόχρη τὸ τῆς τάξεως ἓν πρὸς τὸ ἀφ’ ἑνὸς τοῦ Θεοῦ πολλὰ δύνασθαι προϊέναι.**

**[3.16.11]Ἔτι, ἑνὸς ἁπλοῦ ἔστι μία ἐνέργεια· ἀλλ’ ἀπὸ μιᾶς ἐνεργείας οὐκ ἔστιν εἰ μὴ ἓν ἀποτέλεσμα.**

**[3.16.12] Ἄνευ δὲ τούτων, ἡ κτίσις πρόεισιν ἀπὸ τοῦ Θεοῦ οὐ μόνον ὡς ἀποτέλεσμα ἐξ αἰτίας ποιούσης, ἀλλὰ καὶ ὡς ἀντίτυπος ἐξ ἀρχετύπου. Ἀλλὰ τοῦ ἑνὸς ἀντιτύπου ἔστιν ἓν ἀρχέτυπον ἴδιον. Οὐκ ἄρα δύναται προϊέναι εἰ μὴ μία κτίσις μόνον.**

**41** ἀποτελέσματα] ἀποτελέσμα M **54** Hic post ἀποτέλεσμα Aq. habet: Ergo ab uno simplici non potest procedere nisi unus effectus. **58** Hic post μόνον Aq. habet: Preaterea, Deus est causa rerum per intellectum. Agens autem per intellectum agit per formam sui intellectus. Cum igitur in divino intellectu non sit nisi una forma, videtur quod ab eo non possit procedere nisi una creatura.

**[3.16.13] Ἀλλ’ ἔλεγεν ὅτι, εἰ καὶ τὸ εἶδος τοῦ θείου νοῦ ἐστιν ἓν πράγματι, ὅπερ ἐστὶν ἡ οὐσία αὐτοῦ, θεωρεῖται ὅμως ἐκεῖ πλῆθος κατὰ διαφόρους ἀποβλέψεις πρὸς διάφορα κτίσματα· καὶ οὕτως ἔστιν ἐκεῖ πλῆθος λόγων. Ἀλλ’ ἀπεναντίας, ἢ αὗται αἱ ἀποβλέψεις εἰσὶ πολλαὶ ἐν τῷ θείῳ νῷ, ἢ μόνον ἐν τῷ ἡμετέρῳ λόγῳ. Εἰ μὲν τὸ πρῶτον, ἕπεται ἐν τῷ θείῳ νῷ εἶναι πλῆθος καὶ μὴ ἄκραν ἁπλότητα. Εἰ δὲ τὸ δεύτερον, ἕπεται τὸν Θεὸν μὴ προενεγκεῖν διάφορα κτίσματα | P 80r εἰ μὴ τῷ ἡμετέρῳ λόγῳ μεσιτεύοντι· ἀφ’ οὗ ἕπεται διαλλάττοντα κτίσματα προενεγκεῖν κατὰ διαφόρους ἀποβλέψεις πρὸς τὰ κτίσματα μὴ οὔσας εἰ μὴ ἐν τῷ ἡμετέρῳ λόγῳ, καὶ οὕτως ἔχομεν τὸ προκείμενον, δηλαδὴ ἀπὸ τοῦ Θεοῦ ἀμέσως μὴ προϊέναι πλῆθος.**

**[3.16.14] Ἔτι, ὁ Θεὸς τῇ καταλήψει τοῦ ἰδίου νοῦ τὰ ὄντα εἰς τὸ εἶναι παράγει. Ἀλλ’ ἐν αὐτῷ οὐκ ἔστιν εἰ μὴ μία κατάληψις, ὅτι τὸ νοεῖν αὐτοῦ ἐστιν ἡ οὐσία αὐτοῦ, ἥτις ἐστὶ μία. Οὐκ ἄρα προάγει, εἰ μὴ ἓν κτίσμα.**

**[3.16.15] Αὖθις, ὃ μὴ ἔχει εἶναι εἰ μὴ ἐπινοίᾳ, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὰ τοιαῦτα εἶναι δοκεῖ ἀναπλάσματα, ὥσπερ χίμαιρα καὶ τὰ τοιαῦτα. Ἀλλὰ τὸ πλῆθος οὐκ ἔστιν εἰ μὴ ἐπινοίᾳ· ἔχει γὰρ τοῦτο ἀπομαξαμένη ἡ διάνοια ἀπὸ τῶν πολλῶν, ὅπερ ἐν τῇ τῶν ὄντων φύσει οὐχ εὑρίσκεται. Ὁ Θεὸς ἄρα οὐκ ἔστιν αἰτία τοῦ πλήθους.**

**[3.16.16] Ἔτι, κατὰ τὸν Πλάτωνα τοῦ ἀρίστου ἐστὶ τὸ τὸ ἄριστον προάγειν. Ἀλλ’ ἄριστον οὐχ οἷόν τε εἶναι ὅτι μὴ ἕν. Τοῦ Θεοῦ τοίνυν ὄντος ἀρίστου οὐχ οἷόν τε πλὴν εἰ μὴ ἓν γίνεσθαι παρ’ Αὐτοῦ.**

**[3.16.17] Ἔτι, πᾶν τὸ διὰ τέλος ποιοῦν ποιεῖ τὸ αὐτοῦ ἀποτέλεσμα ἐγγυτάτω τοῦ τέλους, εἰς ὅσον ἐφικνεῖται. Ἀλλ’ ὁ Θεὸς προάγων τὴν κτίσιν, τάττει πρός τι τέλος. Ποιεῖ ταύτην ἄρα ἔγγιστα τοῦ τέλους, ἐφόσον δύναται. Τοῦτο δ’ ἀμήχανον, εἰ μὴ ἑνὶ τρόπῳ γίνεσθαι. Ὁ Θεὸς ἄρα οὐ προάγει εἰ μὴ ἓν κτίσμα.**

**[3.16.18] Πρὸς δὲ τούτοις, ἄδικόν ἐστί τινα ἄνισά τισι νέμειν μηδεμιᾶς ἡγησαμένης ἀνισότητος περὶ αὐτὰ ἢ κατορθωμάτων ἢ φύσεων ὡνδηποτοῦν διαφόρων. Ἀλλὰ τῆς θείας ἐνεργείας οὐκ ἔστι πρεσβυτέρα τις διαφορά· ἐπεὶ καὶ αὐτὸς ὁ Θεὸς οὐκ ἂν εἴη πρώτη αἰτία πάντων. Ἐν τῇ πρώτῃ τοίνυν δημιουργίᾳ τῶν ὄντων οὐ προὔτεινεν ἄνισα τοῖς κτίσμασι δῶρα, ἀλλ’ ἡ τῶν κτισμάτων ἑτερότης καὶ τὸ πλῆθος νοεῖται καθὸ μᾶλλον ἢ ἧττον λαμβάνουσιν**

**67** προενεγκεῖν] προπροενεγκεῖν M **68-69** καὶ – πλῆθος] deest M

ἐκ τῶν θείων δώρων, ὡς φαίνεται ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῆς Οὐρανίου ἱεραρχίας. Ἐν τῇ πρώτῃ ἄρα τῶν ὄντων δημιουργίᾳ ὁ Θεὸς πλῆθος οὐ προήνεγκεν.

**[3.16.19]** Ἔτι, ὁ Θεὸς μεταδίδωσι τῆς ἑαυτοῦ ἀγαθότητος τοῖς οὖσιν, ἐφόσον χωρητικὰ εἰσίν. Ἀλλ' ἡ φύσις τῶν ὑπερκειμένων δημιουργημάτων χωρητικὴ γέγονε ταύτης τῆς τελειότητος καὶ ἀξίας, ὡς εἶναι αἰτία τῶν ὑποβεβηκότων κτισμάτων. Ὃ γάρ ἐστι τελειότερον, καὶ κοινωνεῖν ἑτέρῳ τῆς τελειότητος αὐτοῦ δύναται. Ἄρα δοκεῖ τὰ ὑποβεβηκότα κτίσματα μεσιτευόντων τῶν ὑπερκειμένων τὸν Θεὸν προενεγκεῖν· καὶ ταύτῃ αὐτὸς ἀμέσως οὐ προήνεγκεν εἰ μὴ κτίσμα ἕν, ἀνέχον τῶν ἄλλων, ὅ,τί ποτέ ἐστι τοῦτο.

**[3.16.20]** Ἔτι, ὅσο κτίσματά τινα μᾶλλον ἐστὶν ἄυλα, τοσοῦτο μᾶλλον ἐστὶ δραστήρια, ὡς μᾶλλον δυνάμεως κεχωρισμένα· ἕκαστον γὰρ ποιεῖ, καθόσον ἐστὶν ἐνεργείᾳ, οὐχ ᾗ ἐστὶ δυνάμει. Ἀλλὰ τὰ εἴδη τῶν ὄντων τὰ ὄντα ἐν τῇ ἀγγελικῇ διανοίᾳ εἰσὶ μᾶλλον ἄυλα ἢ τὰ εἴδη τὰ ὄντα ἐν τοῖς ἐνύλοις. Ἐπεὶ τοίνυν τὰ ὑλικὰ εἴδη εἰσὶν αἴτια τῶν ὁμοίων σφίσιν εἰδῶν, δοκεῖ πολλῷ κρεῖττον τὰ εἴδη | [P 80v] τὰ ὄντα ἐν τῇ ἀγγελικῇ διανοίᾳ προενεγκεῖν τὰ εἴδη τῶν φυσικῶν πραγμάτων ὅμοια ἑαυτοῖς. Ἡ δὲ ἑτερότης τῶν ὄντων, καὶ κατὰ τὸ εἰκὸς τὸ πλῆθος, ἐστὶν ἐκ τοῦ εἴδους. Πλῆθος ἄρα οὐ προῆλθεν ἐκ τοῦ Θεοῦ, εἰ μὴ μεσιτευόντων τῶν ὑπερκειμένων δημιουργημάτων.

**[3.16.21]** Μετὰ ταῦτα, ὅ,τί ποτε ὁ Θεὸς ποιεῖ ἐστὶν ἕν. Ἐξ αὐτοῦ τοίνυν οὐκ ἔστιν εἰ μὴ ἕν. Καὶ ταύτῃ οὐκ ἔσται αἰτία πλήθους.

**[3.16.22]** Ἔτι, ὁ Θεὸς οὐ νοεῖ εἰ μὴ ἕν· οὐδὲ γὰρ νοεῖ ἄλλο, πλὴν εἰ μὴ αὐτόν, ὡς ἀποδείκνυται ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλ' ἔστιν αἰτία τῶν ὄντων διὰ τοῦ ἑαυτοῦ νοῦ. Οὐκ ἄρα κτίζει εἰ μὴ ἕν.

**[3.16.23]** Ἔτι, ὁ Ἄνσελμος φησίν, ὅτι ἡ κτίσις ἐστὶν ἐν τῷ Θεῷ κτίστρια οὐσία. Ἀλλ' ἡ κτίστρια οὐσία ἐστὶ μία μόνον. Καὶ ἡ κτίσις ἄρα ἐν τῷ Θεῷ ἐστι μία μόνον. Ἀλλὰ τούτῳ τῷ τρόπῳ κτίζεται ἡ κτίσις ἀπὸ Θεοῦ, ᾗ δὴ ἡγήσατο ἐν αὐτῷ. Ἐκ τοῦ Θεοῦ ἄρα οὐκ ἔστιν εἰ μὴ ἓν κτίσμα μόνον. Καὶ ταύτῃ οὐ προῆλθεν ἐκ τοῦ Θεοῦ πλῆθος.

**112-113** οὐδὲ – φυσικά] cf. Ar., Metaph. XII, 1074b.34-35: αὑτὸν ἄρα νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον, καὶ ἔστιν ἡ νόησις νοήσεως νόησις. **115** ὁ – οὐσία] cf. Ans., Monol., cap. 8.

**107** Ἡ] ἱ M

**[3.16.24] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ λεγόμενον ἐν τῷ ἑνδεκάτῳ τῆς Σοφίας·** πάντα ἐν ἀριθμῷ καὶ μέτρῳ καὶ σταθμῷ **διεκόσμησας, Κύριε. Ἀριθμὸς δὲ οὐκ ἔστι πλήθους ἄνευ. Ἐκ τοῦ Θεοῦ ἄρα πρόεισι πλῆθος.**

**[3.16.25] Ἔτι, ἡ τοῦ Θεοῦ δύναμις ὑπερβάλλεται οὑτινοσοῦν ἄλλου πράγματος δύναμιν. Ἀλλ’ ἓν σημεῖον δύναται εἶναι ἀρχὴ πολλῶν γραμμῶν. Καὶ ὁ Θεὸς ἄρα, εἰ καὶ εἷς εἴη, δύναται ὅμως εἶναι ἀρχὴ κτισμάτων πολλῶν.**

**[3.16.26] Ἔτι, ὅ ἐστιν ἴδιον τῷ ἑνί, ᾗ ἐστιν ἕν, μάλιστα διαφέρει τῷ μάλιστα ἑνί. Ἀλλ’ ἴδιόν ἐστι μονάδος τὸ εἶναι πλήθους ἀρχήν. Τοῦτ’ ἄρα μᾶλλον ἀνήκει τῷ Θεῷ, τῷ μάλιστα ὄντι ἑνί, τὸ ἀπ’ αὐτοῦ πλῆθος προϊέναι.**

**[3.16.27] Ἔτι, ὁ Βοήτιός φησιν, ἐν τοῖς προοιμίοις τῆς Ἀριθμητικῆς· κατὰ τὸ τοῦ ἀριθμοῦ ὑπόδειγμα ὁ Θεὸς τὰ ὄντα εἰς τὸ εἶναι προήνεγκεν. Ἀλλὰ τῷ ὑποδείγματι τὸ ὑποδεικνύμενον ἀφομοιοῦται. Ἄρα προήνεγκε τὰ ὄντα ὑπὸ πλήθει καὶ ἀριθμῷ.**

**[3.16.28] Ἔτι, ἐν τοῖς Ψαλμοῖς λέγεται·** πάντα ἐν σοφίᾳ ἐποίησας. **Ἐπεὶ τοίνυν, τοῦ σοφοῦ ἐστὶ τὸ τάττειν, δεῖ τὰ διὰ σοφίας γινόμενα τάξιν ἔχειν καὶ κατὰ τὸ προσῆκον πλῆθος. Πλῆθος ἄρα δημιουργημάτων πρόεισιν ἀπὸ τοῦ Θεοῦ.**

**[3.16.29] Ἀπόκρισις. Ῥητέον ὅτι τὸ πολλὰ προϊέναι μὴ δύνασθαι ἀπὸ μιᾶς ἀρχῆς ἀμέσου καὶ προσεχῶς δοκεῖ ἐκ τοῦ ὡρίσθαι τὴν αἰτίαν πρὸς τὸ ἀποτέλεσμα, ἀφ’ οὗ ἔοικεν ὀφειλόμενον καὶ ἀναγκαῖον, ὡς, εἰ εἴη τοιαύτη ἡ αἰτία, εἴη τοιοῦτον καὶ τὸ ἀποτέλεσμα. Αἰτίαι δὲ τέτταρες εἰσίν, ὧν αἱ δύο, ἡ ὕλη λέγω καὶ τὸ ποιοῦν, πρεσβεύουσι τοῦ αἰτιατοῦ ἐνίοτε κατὰ τὸ εἶναι· τὸ δὲ τελικὸν αἴτιον, εἰ καὶ μὴ κατὰ τὸ εἶναι, κατὰ τὸν σκοπὸν μέντοιγε· τὸ δ’ εἶδος οὐδετέρῳ τρόπῳ, ἐφόσον ἐστὶν εἶδος (ἐπεὶ γὰρ διὰ τούτου τὸ αἰτιατὸν ἔχει τὸ εἶναι, τὸ εἶναι αὐτοῦ ἔστιν ἅμα τῷ εἶναι τοῦ αἰτιατοῦ), ἀλλ’ ἐφόσόν ἐστι καὶ αὐτὸ τὸ τέλος, πρεσβύτερόν ἐστιν ἐν τῷ σκοπῷ τοῦ ποιοῦντος. Ἀλλ’ εἰ καὶ τὸ εἶδος ἐστὶ τέλος τῆς ἐνεργείας, πρὸς ὃ ἡ ἐνέργεια τοῦ ποιοῦντος ὁρίζεται, οὐ πᾶν ὅμως τέλος ἐστὶν εἶδος. Ἔστι γὰρ ἄλλο τὸ τέλος τοῦ σκοποῦ παρὰ τὸ τέλος**
P 81r **τῆς ἐνεργείας, ὡς φαίνεται ἐν τῇ οἰκίᾳ· τὸ γὰρ εἶδος | αὐτῆς ἐστι τέλος ὁρίζον**

**120-121** ἐν – Κύριε] Sap. 11, 21: καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ τῆς δίκης διωχθέντες καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου˙ ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας. **129-130** ὁ – προήνεγκεν] Boet., Arithm. I, cap. II (PL 63, col. 1083): Omnia quaecunque a primavera rerum natura constructa sunt, numerorum videntur ratione formata. Hoc enim fuit principale in animo conditoris exemplar. **134** ἐν – ἐποίησας] Ps. 103.24: ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε˙ πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

τὴν ἐνέργειαν τοῦ οἰκοδόμου, οὐκ ἐνταῦθα μέντοι ὁρίζεται καὶ ὁ αὐτὸς σκοπός, ἀλλὰ πρὸς ἐπέκεινα τέλος, ὅπέρ ἐστιν ἡ ἐν τῇ οἰκίᾳ δίαιτα, ὡς οὕτω τὴν πρόοδον γενέσθαι, τέλος μὲν τῆς ἐνεργείας εἶναι τὸ τοῦ οἴκου εἶδος, τοῦ δὲ σκοποῦ τὴν οἴκησιν. Τὸ τοίνυν ὀφείλειν εἶναι τοιόνδε τὸ αἰτιατὸν ἢ τοιόνδε, οὐχ οἷόν τε εἶναι ἐκ τοῦ εἴδους, ᾗ δή ἐστιν εἶδος (οὐδὲν γὰρ αἴτιον ἑαυτοῦ), ἀλλ' ἢ ἐκ τῆς δυνάμεως τῆς ποιητικῆς αἰτίας ἢ ἐκ τῆς ὕλης ἢ ἐκ τοῦ τέλους, εἴτε εἴη τέλος σκοποῦ εἴτε εἴη τέλος ἐνεργείας. Ἀλλ' οὐχ οἷόν τε ἐπὶ Θεοῦ λέγεσθαι τὰ ἀποτελέσματα αὐτοῦ προσήκειν εἶναι τοιαδὶ ἐκ τῆς ὕλης. Καὶ γὰρ αὐτὸς ὢν αὐτουργὸς παντὸς τοῦ εἶναι, οὐδὲν ὁτωοῦν τρόπῳ τὸ εἶναι ἔχον προϋποτίθεται ἡ αὐτοῦ ἐνέργεια, ὥσθ' οὕτως ἐκ τοῦ τῆς ὕλης διακειμένου ἀνάγκην εἶναι λέγειν τοιόνδ' ἢ τοιοῦτον εἶναι τὸ ἀποτέλεσμα αὐτοῦ. Ὡς δὲ καὶ περὶ τῆς ποιητικῆς αἰτίας. Ἐπεὶ γὰρ ἡ αὐτοῦ ποιητικὴ δύναμίς ἐστιν ἄπειρος, οὐχ ὁρίζεται πρὸς ἕν, εἰ μὴ πρὸς ἐκεῖνο ὅπέρ ἐστιν ἴσον αὐτῷ· ὅπερ οὐδενὶ τῶν ἀποτελεσμάτων προσήκειν δύναται. Ὅθεν, εἰ ὑποδεέστερον ἑαυτῷ κτίσμα προάγοι, οὐκ ἔστιν ἀνάγκη τῇ δυνάμει αὐτοῦ, ἐφόσον ἐφ' ἑαυτῆς ἐστι πρὸς τόνδ' ἢ τόνδε τοῦ διαστήματος ὁρίζεσθαι τὸν βαθμόν, ὡς προσήκειν ἐξ αὐτῆς τῆς ποιητικῆς δυνάμεως τοιόνδ' ἢ τοιόνδε προάγεσθαι τὸ ἀποτέλεσμα. Ἀλλὰ γὰρ οὐδ' ἐκ τοῦ τέλους τοῦ σκοποῦ· τέλος γάρ ἐστιν αὐτὴ ἡ θεία ἀγαθότης, ᾗ οὐδὲν οὔτε ἐπιδίδωσι τῇ τῶν ἀποτελεσμάτων παραγωγῇ οὔτ' αὖθις ἐξολοκλήρου δύναται ἐκ τῶν ἀποτελεσμάτων φαίνεσθαι ἢ καθάπαξ μετέχεσθαι, ὡς ταύτῃ δύνασθαι λέγεσθαι τοιοῦτον ἢ τοιοῦτον εἶναι προσήκειν τὸ τοῦ Θεοῦ ἀποτέλεσμα, ὡς ἐντελοῦς τῆς θείας μεταλαβεῖν ἀγαθότητος, ἀλλὰ δυνατόν ἐστι πολλαῖς μεθόδοις τὸ ἀποτέλεσμα ταύτης μεταλαμβάνειν. Ἀμέλει καὶ παρὰ ταῦτα ἡ τῶν ὄντων ἐστὶν ἀνάγκη ἐκ τοῦ τέλους τῆς ἐνεργείας· ἐκ γὰρ τοῦ τῆς ἐνεργείας τέλους ἀνάγκη λαμβάνεται, ἡνίκα τοῦ τέλους ἡ ὑπόθεσις ἐξεργασθῆναι οὐ δύναται ἢ παντάπασιν ἢ προσηκόντως μὴ τούτου ἢ ἐκείνου ὄντος. Λείπεται τοίνυν τὸ ἀναγκαῖον ἐν τοῖς θείοις ἔργοις εἶναι μὴ δύνασθαι εἰ μὴ ἐκ τοῦ εἴδους, καθό ἐστι τέλος τῆς ἐνεργείας. Αὐτὸ γάρ, ἐπεὶ μή ἐστιν ἄπειρον, ὡρισμένας ἔχει τὰς ἀρχάς, ὧν ἄνευ οὐχ οἷόν τε εἶναι, τόν τ' αὖ τοῦ εἶναι

**158** δέ] bis acc. P **169** τὸ] τὰ M

τρόπον ὡρισμένον ἔχει. Οἷον, φέρε εἰπεῖν, εἰ δοῖμεν τὸν Θεὸν σκοπεῖν ἄνθρωπον ποιῆσαι, ἀναγκαῖον καὶ ὀφειλόμενόν ἐστιν αὐτῷ ψυχὴν λογικὴν παρασχέσθαι καὶ σῶμα ὀργανικόν, ὧν ἔξω ἄνθρωπος εἶναι οὐκ ἐνδέχεται. Τῷ δ’ ὁμοίῳ λόγῳ καὶ τοῦ παντὸς πέρι λέγειν δυνάμεθα. Ὅτι γὰρ ὁ Θεὸς τὸ σύμπαν τοιοῦτο | P 81v συστήσασθαι ἐβουλήθη, οὐκ ἀναγκαῖον οὐδ’ ὀφειλόμενον ὂν τυγχάνει οὔτε τῷ τέλει οὔτε τῇ δυνάμει τοῦ ποιοῦντος οὔτε γοῦν τῇ ὕλῃ, καθάπερ δέδεικται. Ἀλλ’ ὑποτεθέντος ὅτι τοιοῦτον τὸ πᾶν κατασκευάσαι ἠβουλήθη, ἀναγκαῖον γέγονε τοιαῦτα καὶ τοιαῦτα δημιουργήματα προενεγκεῖν, ἐξ ὧν τοιοῦτον καὶ τοιοῦτον εἶδος τοῦ παντὸς ἐξήλατο. Κἀπειδὴ αὐτὴ τοῦ παντὸς ἡ τελειότης καὶ πλῆθος καὶ διαφορὰν κτισμάτων ζητεῖ, ἐπεὶ ἐν ἑνὶ τούτων εὑρεθῆναι οὐδενὶ ἐδύνατο διὰ τὸ πλεῖστον ἀφεστάναι ταῦτα τοῦ πληρώματος τῆς πρώτης ἀγαθότητος, ἀναγκαῖον γέγονεν ἐκ τῆς ὑποθέσεως τοῦ σκοπουμένου εἴδους πολλὰ καὶ διάφορα δημιουργήματα τὸν Θεὸν προενεγκεῖν, ἔνια μὲν ἁπλᾶ, ἅττα δὲ ἕτερα σύνθετα, καί τινα μὲν φθαρτά, τινὰ δ’ ἄφθαρτα. Ὃ δὴ ἔνιοι ἐν νῷ λαμβάνοντες διαφόρως τῆς ἀληθείας ἐξετράπησαν. Τινὲς μὲν γάρ, ὡσὰν μὴ πρεσβεύοντες τοῦ παντὸς δημιουργὸν εἶναι τὸν Θεόν, τὴν ὕλην ἔφασαν μὴ εἶναι ἀπ’ ἄλλου, ἐκ ταύτης μέντοιγε ἀνάγκης, τὴν τῶν ὄντων διαφορὰν προϊέναι ἢ κατὰ τὴν μανότητα ἢ πυκνότητα ταύτης τὰς διαφορὰς τοῖς οὖσιν ἐγγίνεσθαι ἀξιοῦντες, ὡς οἱ τῶν φυσικῶν φιλοσόφων ἀρχαίτατοι ὑπετίθεντο, οἳ μόνην τὴν ὑλικὴν αἰτίαν ἐδέξαντο, ἢ κατά τινα ἐνέργειάν τινος αἰτίας ποιητικῆς, ἢ κατὰ τὴν τῆς ὕλης διαφορὰν διάφορα ἀποτελέσματα ἐποίει, ὥσπερ Ἀναξαγόρας μὲν ἐτίθετο τὸν θεῖον νοῦν διάφορα κτίσματα προάγειν, ἀναπεφυρμένην τὴν ὕλην διακρίνοντα, Ἐμπεδοκλῆς δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν κατὰ τὸ τῆς ὕλης διαφέρον διάφορα τὰ ἀποτελέσματα, ποικίλῳ τρόπῳ διακεκριμένα τε καὶ συγκεκριμένα ὑπελάμβανεν. Ὧν τὸ ψεῦδος ἐκ δυοῖν κατάφωρον γίνεται. Πρῶτον μέν, ἐκ τοῦ μὴ τιθέναι πᾶν τὸ εἶναι, ἀπὸ τοῦ πρώτου καὶ κορυφαίου ὄντος ἐκβλύζειν, ὅπερ ἄλλῃ ζητήσει γέγονε φανερόν. Δεύτερον, ὅτι κατ’ αὐτοὺς ἕπεται τὴν τῶν τοῦ παντὸς μερῶν διάκρισιν καὶ τὴν τούτων τάξιν ἀπὸ ταυτομάτου γενέσθαι διὰ τὸ ἀναγκαίαν εἶναι τῇ τῆς ὕλης ἀνάγκῃ. Ἄλλοι δὲ τὸ

**190-191** σκοπουμένου – προενεγκεῖν] om. et al. man. add. in marg. sin. M **206** διάκρισιν] διάκρισις M **208-209** ἄλλοι – ἀνάγκης] om. et al. man. add. in marg. sin. M

πλῆθος τῶν ὄντων καὶ τοὺς διαφόρους τρόπους αὐτῶν ἐξ ἀνάγκης τῆς ποιητικῆς αἰτίας ἐδόξασαν, ὥσπερ Ἀβίκενος καὶ οἱ τούτου ὀπαδοί. Ἀνέπλαττε γὰρ οὗτος τὸ πρῶτον ὄν, ἐφόσον ἑαυτὸ νοεῖ, ἓν μόνον προάγειν αἰτιατόν, ὅπερ νοῦν ἔλεγε πρῶτον, ὃν καὶ τῆς πρώτης ἁπλότητος ἐνδεῖν, ὡσὰν τῆς δυνάμεως ἐντεῦθεν ἀρχομένης μίγνυσθαι τῇ ἐνεργείᾳ· ἐπεὶ γάρ ἐστιν ἀπ᾽ ἄλλου λαμβάνων, οὐκ ἔστιν αὐτὸς τὸ εἶναι αὐτοῦ, ἀλλ᾽ ἀμηγέπῃ δύναμις πρὸς P 82r ἐκεῖνο. Καὶ ταύτῃ, ᾗ μὲν τὸ πρῶτον ὂν ἐννοεῖ, ἕτερος ἀπ᾽ αὐτοῦ | πρόεισι νοῦς ὑφειμένος ἐκείνου· ᾗ δὲ τὴν ἑαυτοῦ δύναμιν νοεῖ, πρόεισιν ἀπ᾽ αὐτοῦ ὃ κινεῖ οὐράνιον σῶμα· ᾗ δὲ νοεῖ τῇ ἐνεργείᾳ αὐτοῦ, πρόεισιν ἀπ᾽ αὐτοῦ ἡ τοῦ πρώτου οὐρανοῦ ψυχή· καὶ ταύτῃ ἑπομένως πληθύνονται πολλοῖς τοῖς μεταξὺ διάφορα πράγματα. Ἀλλ᾽ οὐδὲ ταύτην συσταθῆναι δυνατὸν τὴν δόξαν. Πρῶτον μέν, ὅτι τίθησι τὴν θείαν δύναμιν πρὸς ἓν ὁρίζεσθαι ἀποτέλεσμα, ὅπέρ ἐστιν ὁ πρῶτος νοῦς. Δεύτερον, ὅτι τίθησιν οὐσίας ἄλλας παρὰ τὸν Θεὸν εἶναι δημιουργούς, ὅπερ ἀδύνατον ὂν ἐν ἄλλῃ σκέψει τῶν ἔμπροσθεν γέγονε φανερόν. Πρὸς δὲ τούτοις, ἕπεται κἀν ταύτῃ τῇ ζητήσει, ὡς κἀν ταῖς φθασάσαις, τὸν τῆς τάξεως τοῦ παντὸς κόσμον αὐτόματον εἰς τὸ πᾶν εἰσπεπαικέναι, ἅτε δὴ τῆς τῶν ὄντων ἑτερότητος μὴ τῷ σκοπῷ τοῦ τέλους ἐπιγραφομένης, ἀλλ᾽ ἐκ τοῦ ὡρίσθαι τὰ ποιητικὰ αἴτια πρὸς τὰ τούτων ἀποτελέσματα. Ἄλλοι δὲ περὶ τὸ τῆς τελικῆς αἰτίας ἀναγκαῖον ἀπεπλανήθησαν, ὥσπεροῦν καὶ οἱ περὶ Πλάτωνα. Ἐτίθετο γὰρ αὐτὸς τὴν τοῦ Θεοῦ ἀγαθότητα νοουμένην καὶ ἀγαπωμένην τὰ ὄντα τοιάδε ἐξ ἀνάγκης προενεγκεῖν, ὥσθ᾽ οὕτω τὸν ἄριστον τὸ ἄριστον προενεγκεῖν, ὅπερ ἀληθὲς οἷον τ᾽ εἶναι, εἴ γε πρὸς τὰ ὄντα μόνον ἀποβλέπομεν, ἀλλ᾽ οὐχὶ πρὸς τὰ εἶναι δυνάμενα. Τοῦτο γὰρ τὸ πᾶν ἐστιν ἄριστον τῶν ὄντων· καὶ τὸ ταύτῃ εἶναι τὸ ἄριστον, ἐκ τῆς τοῦ Θεοῦ ἀγαθότητος ἔχει, οὐ μέντοιγε ἡ τοῦ Θεοῦ ἀγαθότης οὕτω προσήλωται τῷ παντί, ὥστε κρεῖττον ἢ ἧττον ἀγαθόν τι μὴ ποιεῖν δύνασθαι. Τινὲς δ᾽ αὖθις τὸ καθῆκον τοῖς εἴδεσι μὴ σκοποῦντες, ἀλλὰ τὸ τῇ θείᾳ μόνον ἀγαθότητι προσῆκον, ἀπεβουκολήθησαν, ὥσπερ οἱ Μανιχαῖοι· οἳ κατιδόντες τὸν Θεὸν ἄριστον ὄντα, ἐπίστευσαν ἐκ Θεοῦ ἐκεῖνα μόνον εἶναι τὰ δημιουργήματα, τὰ τῶν ἄλλων ἄριστα, ἤτοι τὰ νοητὰ καὶ ἄφθαρτα, τὰ δὲ σωματικὰ καὶ φθαρτά, ἄλλῃ προσεκλήρωσαν ἀρχῇ. Ἐκ δὲ τῆς ὁμοίας πηγῆς,

**209-212** ὥσπερ – ἐνεργείᾳ] Avic., Metaph. IX, cap. 4.

**211** ὅπερ – πρῶτον] quod est intelligentia prima Aq.

**ἀνεδόθη καὶ ἡ Ὠριγένους πλάνη, εἰ καὶ ταύτῃ ἐναντία εἴη. Καταμαθὼν γὰρ τὸν Θεὸν ἄριστον ὄντα καὶ δίκαιον, παρ’ αὐτοῦ πρῶτον ᾤετο τὰς ἀρίστους γενέσθαι δημιουργίας μόνας, ἃς ἴσας ὑπείληφεν, ἤτουν τὰ λογικὰ κτίσματα· αἷς ἐκ τῆς αὐτεξουσιότητος τῇ διαφορᾷ τῶν ἐνεργειῶν περὶ τὸ ἀγαθὸν καὶ κακὸν ἔλεγεν ἐπακολουθῆσαι τὸ διαφόρους βαθμοὺς ἐν τῷ παντὶ γίνεσθαι, φάσκων ἐκεῖνα μὲν τὰ λογικὰ δημιουργήματα, ὅσα πρὸς Θεὸν ἐπέστραπται, εἰς τὴν ἀγγελικὴν προκεκοφέναι ἀξίαν κατὰ διαφόρους τάξεις, ὡς ἕκαστα γερῶν εἰλήχασιν ἀμοιβῆς, ἀνάπαλιν δ’ αὖθις, ὅσα τῶν λογικῶν ἥμαρτε διὰ τῆς αὐτεξουσιότητος, εἰς τοὺς ὑποκειμένους κατολισθῆσαι χώρους καὶ τοῖς σώμασι προσδεδέσθαι· ἔνια μὲν ἡλίῳ καὶ σελήνῃ καὶ ἀστράσι, τὰ ἧττον ἁμαρτόντα, ἔνια δ’ αὖθις τοῖς ἀνθρωπείοις σώμασιν, ἔστι δ’ ἃ καὶ εἰς δαίμονας μεταπεσεῖν. Ἑκατέρα γὰρ πλάνη τὴν τοῦ παντὸς τάξιν παριέναι δοκεῖ ἐν τῇ κατ’ αὐτὴν θεωρίᾳ μόνον θεωρουμένων** P 82v **καθέκαστα τῶν τούτου | μερῶν. Ἐκ γὰρ τῆς τοῦ παντὸς τάξεως ἠδύνατ’ ἂν λόγος ἀναφανῆναι, τί δήποτε ἐκ μιᾶς ἀρχῆς, μηδ’ ἂν μιᾶς πράξεως ἡγησαμένης διαφορᾶς καὶ κατορθωμάτων ἀμοιβῆς διαφόρους τάξεις δημιουργημάτων πεποίηκε πρὸς τὸ τὸ πᾶν εἶναι πλῆρες ὑπ’ ὄψιν ἄγοντος τοῦ παντὸς τοῖς πολυπτύχοις καὶ ποικίλοις τρόποις τῶν κτισμάτων, τὸ ἐν τῇ θείᾳ βουλήσει ἁπλῶς καὶ συνεπτιγμένα προϋφεστώς. Οὕτως γάρ ἐστιν ἡ τοῦ παντὸς τελειότης· καὶ γὰρ οὖν καὶ ἡ τοῦ ἀνθρωπείου σώματός τε καὶ οἴκου τελειότης διαφορὰν τοῦ εἶναι τῶν μερῶν ζητεῖ· οὐδέτερον γὰρ αὐτῶν εἴη τέλειον, εἰ πάντα τὰ μέρη τὴν αὐτὴν εἶχε σύμπηξιν, καθαπεροῦν καὶ εἰ πάντα τὰ μόρια τοῦ ἀνθρωπείου σώματος εἶεν ὀφθαλμοί· τῶν γὰρ ἄλλων μελῶν ἀπεῖεν αἱ λειτουργίαι. Ὁμοίως δὲ καὶ εἰ πάντα τὰ μέρη τοῦ οἴκου τέγος εἴη, ὁ οἶκος οὐκ ἂν ἔτυχε τοῦ ἰδίου τέλους καὶ πληρώματος, ἵνα δηλαδὴ τοὺς ὄμβρους καὶ τὰ θέρη ἀποτοιχίζειν δύνηται. Οὕτω τοίνυν ἂν εἴη ἀπὸ μιᾶς ἀρχῆς πλῆθος καὶ διαφορὰν κτισμάτων προελθεῖν οὐχ ὕλης ἀνάγκῃ**

**239** ἡ – πλάνη] cf. Or., De princ. I, cap. 7, 8 (PG 11, cols 17-182).

**243** ἐπακολουθῆσαι] ἐπακουλουθῆσαι M **246** ὡς – γερῶν] prout magis et minus Aq. **250** ἁμαρτόντα] ἁμαρτάνοντα P; ἁμαρτῶντα M **255** ἂν] bis acc. P **259** οὕτως] οὗτος P, M (sicut Aq.) **261** τὰ] deest P **266** ἀποτοιχίζειν] ἀποτιχίζει M

**οὐδὲ περιγραφῇ δυνάμεως οὐδὲ τοῖς τῆς ἀγαθότητος ἱμέροις, ἀλλ’ ἐκ τῆς τῆς σοφίας τάξεως, ὡς ἐν τῇ τῶν κτισμάτων διαφορᾷ τὴν τοῦ παντὸς συνεστάναι τελειότητα.**

**[3.16.30] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, καθάπερ ὁ Θεός ἐστιν εἷς, οὕτω καὶ ὁτιδήποτε καθ’ αὑτό ἐστιν ἕν, οὐχ ὅπως ὅτι ἕκαστον καθ’ αὑτὸ ἓν ὂν τυγχάνει, ἀλλὰ καὶ ὅτι πάντα τρόπῳ γέ τῳ ἕν εἰσι τέλειον· ὃ δὴ ἓν ἑτερότητα ζητεῖ μερῶν, ὡς δεδείχαμεν.**

**[3.16.31] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ κτίσις ἀφομοιοῦται τῷ τοῦ Θεοῦ ἑνί, ἐφόσον ἕκαστον ἐν ἑαυτῷ ἐστι ἕν, καὶ ὅτι πάνθ’ ἕν ἐστι τῷ ἑνιαίῳ τῆς τάξεως, ὡς καὶ τοῦτ’ εἴρηται.**

**[3.16.32] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ κακία, εἰς τὸ ἅπαν ἐν τῷ μηδενὶ συνέστηκε, τὸ δὲ πλῆθος αἰτίαν ἔχει τὸ ὄν. Αὐτὴ γὰρ ἡ διαφορά, δι’ ἧς ἀπ’ ἀλλήλων τὰ πολλὰ διακρίνεται, ὄν τι ἐστίν. Ὅθεν ὁ Θεός, ἐπεὶ οὐκ ἔστι δημιουργὸς τοῦ τείνειν εἰς τὸ μὴ ὄν, κακίας μὲν οὐκ ἔστιν ἀρχή, ἀρχὴ δὲ πλήθους ἐστίν. Εἰδέναι δὲ ἄξιον, ὅτι διττόν ἐστι τὸ ἕν, δηλαδὴ ὅπερ ἀντιστρέφει πρὸς τὸ ὄν, ὃ μηδὲ προστίθησί τι ἐπ’ αὐτὸ εἰ μὴ τὸ ἀδιαίρετον, καὶ τούτου τοῦ ἑνὸς στέρησίς ἐστι τὸ πλῆθος, ἐφόσον τὸ πλῆθος αἰτίαν ἴσχει τὴν διαίρεσιν (οὐ λέγω δὲ πλῆθος τὸ ἔξω, ὅπερ τὸ ἓν ὡς μέρος ποιεῖ, ἀλλὰ τὸ ἔνδον, ὃ τῷ ἑνὶ ἀντίκειται· οὐ γὰρ ἐκ τοῦ λέγεσθαί τι ἓν εἶναι ἀποφάσκεταί τι εἶναι ἐξ αὐτοῦ, ᾧ τοῦτο συντεθὲν πλῆθος ποιήσειεν, ἀλλ’ ἀποφάσκεται ἡ τούτου εἰς πολλὰ ἐπιτομή), καὶ ἄλλο ἕν, ὅπέρ ἐστιν ἀρχὴ τοῦ ἀριθμοῦ, ὃ προστίθησι τῷ λόγῳ τοῦ ὄντος μέτρον· καὶ τούτου τοῦ ἑνός ἐστι τὸ πλῆθος στέρησις, ὅτι ὁ ἀριθμὸς γίνεται τῇ τομῇ τοῦ συνεχοῦς. Οὐ μέντοι τὸ πλῆθος παντάπασιν εἰς στέρησιν ἐξωθεῖται τὸ ἕν (τοῦ γὰρ ὅλου κατακερματισθέντος**

P 83r **ἔτι μένει μόριόν τι ἄτομον), ἀλλ’ ἀπωθεῖται μόνον τὸ τοῦ ὅλου ἕν. Ἡ δὲ | κακία, ἐφόσον ἐστὶν ἐφ’ ἑαυτῆς, ἐξαιρεῖ τὴν ἀγαθότητα μηδενὶ τρόπῳ ταύτην ποιοῦσα μήτε παρ’ αὐτῆς γινομένη.**

**[3.16.33] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἄλλως ἔχει τὸ ὂν πρὸς τὰ ὄντα ὑφ’ αὐτῷ καὶ ἄλλῳ τρόπῳ τὸ ζῷον ἢ τὸ ἐπιτυχὸν γένος πρὸς τὰ ὑπ’ αὐτῷ εἴδη. Τὰ μὲν εἴδη προστιθέασι τοῖς γένεσι, καθάπερ ὁ ἄνθρωπος τῷ ζῴῳ, διαφοράν τινα ἔξω τῆς οὐσίας οὖσαν τοῦ γένους. Τὸ γὰρ ζῷον οὐσίαν ἐμφαίνει μόνον**

**272** ὅπως] solum Aq. (Prochoros legit sicut?) **278** ἅπαν] totaliter Aq. **287, 288** ἀποφάσκεται] ἀποφάσεται M

**αἰσθητικήν, ἐν ᾗ τὸ λογικὸν οὐ περιέχεται· ὅσα δὲ συνέχεται ὑπὸ τὸ ὂν οὐκ ἐπεισάγουσί τι ἐπὶ τὸ ὂν ἔξω τῆς οὐσίας ὂν αὐτοῦ· ὅθεν τοπαράπαν τὸ ὄν, ἐφόσον ἐστὶν ὄν, ἐστὶν αἰτία πασῶν τῶν διαφορῶν τοῦ ὄντος, καὶ κατὰ τὸ εἰκὸς παντὸς τοῦ πλήθους τῶν ὄντων.**

**[3.16.34] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ κατὰ τὸ ἴδιον ἀποκλήρωσις τῆς αἰτίας πρὸς τὸ ἀποτέλεσμα νοεῖται κατὰ τὴν ἀφομοίωσιν τοῦ ἀποτελέσματος πρὸς τὴν αἰτίαν, ἡ δὲ τῆς κτίσεως ἀφομοίωσις πρὸς τὸν Θεὸν νοεῖται καθὸ ἡ κτίσις παριστάνει, ὃ περὶ αὐτῆς ἔστιν, ἐν τῷ τοῦ Θεοῦ νῷ καὶ τῇ βουλήσει· ὥσπερ τὰ τεχνητὰ ὅμοια δοκοῦσι τῷ τεχνίτῃ, ἐφόσον ἐν ἑαυτοῖς ἐμφαίνουσι τὸ τῆς τέχνης εἶδος, καὶ δείκνυται ἡ τοῦ τεχνίτου βούλησις ἐκ τῆς αὐτῶν κατασκευῆς. Ὥσπερ γὰρ τὸ φυσικὸν ὂν ἐργάζεται τῷ αὐτοῦ εἴδει, οὕτως ὁ τέχνην τινὰ μετιὼν διὰ τοῦ ἰδίου νοῦ καὶ τῆς θελήσεως. Οὕτω τοίνυν ὁ Θεὸς αἰτία ἰδία οὑτινοσοῦν κτίσματος ἐστί, καθόσον νοεῖ καὶ θέλει ἕκαστον τῶν κτισμάτων εἶναι. Ὃ δὲ λέγεται, ταυτὸ μὴ δύνασθαι πολλῶν εἶναι ἴδιον, νοητέον ἂν εἴη, ἡνίκα ἡ τοῦ ἰδίου ἀποκλήρωσις ἐξισάζει· ὅπερ ἐν τοῖς προκειμένοις χώραν οὐκ ἔχει.**

**[3.16.35] Πρὸς μὲν δὴ τὸ ἕκτον ἡ λύσις ἐκ τῶν φθασάντων φαίνεται.**

**[3.16.36] Πρὸς δὲ τὸ ἔβδομον ῥητέον ἂν εἴη ὅτι, εἰ καί τις ἀφομοίωσις εἴη τῆς κτίσεως πρὸς τὸν Θεόν, οὐκ ἔστι μέντοιγε κατὰ τὸ ἴσον. Ὅθεν οὐκ ἀνάγκη, εἰ τὸ τοῦ Θεοῦ ἓν πάσης στέρεται πληθύος καὶ συνθήκης, διὰ ταῦτα τοιοῦτον εἶναι καὶ τὸ τῆς κτίσεως ἕν.**

**[3.16.37] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ ἀποτέλεσμα οὐχ ὑπερτείνει τὴν αἰτίαν ἑαυτοῦ, ἡ αἰτία μέντοι ὑπερτείνει τὸ ἑαυτῆς ἀποτέλεσμα. Διά τοι τοῦτο, εἰ καὶ ἀπὸ μιᾶς αἰτίας δύνανται πάμπολλα ἀποτελέσματα ὁρᾶσθαι, οὐ δύναται ὅμως ἀπὸ πολλῶν αἰτιῶν ἕνα ἀποτέλεσμα προϊέναι ἀμέσως.**

**[3.16.38] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ καὶ ἡ αὐτή ἐστι δύναμις τοῦ γεννᾶν καὶ κτίζειν κατὰ τὸ πρᾶγμα, ἀλλ’ οὐχ ἡ αὐτὴ ἀπόβλεψις, ὅταν πρὸς τὴν φύσιν καὶ τὴν θέλησιν ἀποσκοπῶμεν. Ἡ μὲν γὰρ τοῦ γεννᾶν δύναμις ἀπόβλεψιν παρέχεται πρὸς τὸ προϊὸν διὰ φύσεως, καὶ διατοῦτο ἓν εἶναι μόνον δεῖ· ἡ δὲ**

**300** Hic post ὅθεν Aq. habet: non oportet quod illud quod est causa animalis in quantum est animal, sit causa rationalis in quantum huiusmodi. Oportet autem **301** κατὰ – εἰκὸς] κατά το [α bis acc.] εικὸς P, κατα το εικὸς M **304** ἀποτέλεσμα] ἀποτέλεσμαμα M **323** πολλῶν] τὸν πολλῶν M

τοῦ κτίζειν δύναμις πρὸς τὸ προϊὸν διὰ θελήσεως τὸν νοῦν ἡμῶν τείνει· ὅθεν οὐκ ἀνάγκη <ἓν> εἶναι.

[3.16.39] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, καθάπερ εἴρηται, οὐκ ἀνάγκη ταῦτα τρόπου εἶναι τό τε ἐν τοῖς κτιστοῖς ἓν καὶ τῷ Θεῷ, εἰ καὶ μιμεῖται δή που τὸν Θεὸν ἡ κτίσις, κατὰ τὸ ἕν. |

P 83v [3.16.40] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ τοῦ Θεοῦ ἐνέργειά ἐστιν ἁπλῆ (ἔστι καὶ γὰρ ἡ αὐτοῦ οὐσία), ἀλλ' ὅμως οὐ δεῖ ἓν εἶναι ἀποτέλεσμα· ἐκ γὰρ τῆς θείας ἐνεργείας πρόεισι τὸ ἀποτέλεσμα τῇ τε τῆς σοφίας τάξει καὶ τῇ τῆς βουλήσεως διαγνώμῃ.

[3.16.41] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, ἡνίκα τὸ ἀντίτυπον τελέως ἐμφαίνει τὸ ἀρχέτυπον, ἐξ ἑνὸς ἀρχετύπου οὐκ ἔστιν εἰ μὴ ἓν ἀντίτυπον, εἰ μὴ κατὰ συμβεβηκὸς εἴη πολλά, ἐφόσον τὰ ἀντίτυπα κατὰ τὴν ὕλην ἀπ' ἀλλήλων διακρίνεται. Τὰ ὄντα δὲ οὐ τελέως μιμεῖται τὸ σφῶν αὐτῶν ἀρχέτυπον· ὅθεν διαφόρως δύνανται αὐτὸ μιμεῖσθαι, καὶ οὕτως εἶναι διάφορα ἀντίτυπα. Ὁ τέλεος δὲ τῆς μιμήσεως τρόπος εἷς ὢν τυγχάνει· καὶ διατοῦτο ὁ Υἱός, ὃς τελείως τὸν Πατέρα μιμεῖται, οὐ δύναται εἶναι πλὴν ἑνός.

[3.16.42] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ τὸ εἶδος τοῦ θείου νοῦ ἔστιν ἓν μόνον κατὰ τὸ πρᾶγμα, ἔστι μέντοιγε πολλαπλοῦν τῷ λόγῳ, διαφόρως προσέχουσι τὸν νοῦν τοῖς κτίσμασιν, ᾗ δηλαδὴ νοοῦνται τὰ κτίσματα, διαφόρως τὸ εἶδος τοῦ θείου νοῦ μιμούμενα.

[3.16.43] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι αὗται αἱ πρὸς τὴν κτίσιν ἀποβλέψεις διάφοροι οὐ μόνον εἰσὶν ἐν τῷ ἡμετέρῳ νῷ, ἀλλὰ κἀν τῷ θείῳ· καὶ ὅμως οὐ διάφορά τινά εἰσιν ἐκεῖ, ὡς οἷς ὁ Θεὸς νοεῖ· νοεῖ γὰρ ἑνί, ὅπέρ ἐστιν ἡ αὐτοῦ οὐσίᾳ, ἀλλ' εἰσὶν ἐκεῖ πολλαί, ὡς ἀπ' αὐτοῦ πολλαί. Καθάπερ γὰρ ἡμεῖς νοούμεν δύνασθαι τὴν κτίσιν πολλαχῶς μιμεῖσθαι τὸν Θεόν, οὕτω καὶ ὁ Θεὸς τοῦτο νοεῖ· καὶ κατὰ τὸ ἀκόλουθον νοεῖ τὰς διαφόρους ἀποβλέψεις τῶν κτισμάτων εἰς αὐτόν.

[3.16.44] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, καθάπερ ὁ Θεὸς ἑνὶ πάντα νοεῖ, οὕτω καὶ μιᾷ καταλήψει. Τὰ γὰρ ἐνεργείᾳ τοῦ νοῦ δεῖ ἓν εἶναι ἢ πολλὰ

**336** Hic post ἀποτέλεσμα Aq. habet: sed multi. **353** πολλαί[2]] πολλὰ M; intellecta Aq.

κατὰ τὸ ἕν, ἢ τὸ πλῆθος τῆς ἀρχῆς, ᾗ ἡ νόησις γίνεται. Ἔστι μέντοιγε αὕτη ἡ μία κατάληψις αὐτάρκης πρὸς τὸ γινώσκειν πάντα, ὥσπερ καὶ ἡ αὐτοῦ δύναμις πρὸς τὸ ποιεῖν πάντα.

[3.16.45] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ τὸ πλῆθος παρὰ τὰ πολλὰ οὐκ ἔστιν εἰ μὴ ἐπινοίᾳ, τοῦ πλήθους μέντοι ἡ φύσις ἔστιν ἐν τοῖς πολλοῖς· καθαπεροῦν καὶ τὸ κοινὸν ζῷον οὐκ ἔστιν εἰ μὴ ἐπινοίᾳ, ἡ τοῦ ζῴου μέντοι φύσις ἔστιν ἐν τοῖς καθέκαστα· καὶ διατοῦτο τοῦ πλήθους καὶ τοῦ ζῴου τὴν φύσιν ἀνάγκη προσήκει εἰς τὸν Θεὸν ὥσπερ εἰς αἰτίαν.

[3.16.46] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι τὸ πᾶν ὅπέρ ἐστιν ἀπὸ τοῦ Θεοῦ προενηνεγμένον ἐστὶν ἄριστον ἀποσκοποῦσιν εἰς τὰ ὄντα, οὐ μέντοι προσέχουσι τὸν νοῦν, οἷς ὁ Θεὸς δύναται ποιεῖν.

[3.16.47] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ἔρρωται, ἡνίκα τὸ πρὸς τὸ τέλος δύναται ὁλικῶς καὶ τελέως τυγχάνειν τοῦ τέλους, κατὰ τὸν τῆς παρισώσεως τρόπον· ὅπερ ἐν τῷ προκειμένῳ οὐ συμβαίνει.

[3.16.48] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνός ἐστι τοῦ Ὠριγένους, οὐκ ἔχει δὲ ἀξίωμα δραστηριότητος. Οὐ γάρ ἐστι παρὰ τὸ δίκαιον, εἰ ἄνισα τοῖς ἴσοις νέμοιντο, εἰ μὴ ὁπότάν τῳ ὄφλημά τις
P 84r ἀποδίδωσι· ὅπερ ἐν τῇ πρώτῃ | τῶν ὄντων δημιουργίᾳ, οὐχ οἷόν τε λέγεσθαι. Ὃ ἐξ ἰδίας ἐλευθεριότητος δίδοται, δύναται λέγεσθαι μᾶλλον καὶ ἧττον δίδοσθαι κατὰ τὴν τοῦ διδόντος ψῆφον, καὶ ᾗ γε προσήκει τῇ σοφίᾳ αὐτοῦ.

[3.16.49] Πρὸς τὸ εἰκοστὸν ῥητέον ὅτι, εἰ καὶ τὰ ἄλλα κτίσματα ὑποβέβηκε τοῖς ἀγγέλοις, ἡ αὐτῶν μέντοι πρόοδος ζητεῖ δύναμιν ἄπειρον τοῦ προάγοντος, ἐφόσον διὰ δημιουργίας εἰς τὸ εἶναι προάγονται, ὡσὰν μὴ ἐκ προϋποκειμένης ὕλης γενόμενα. Καὶ διατοῦτο πάντα τὰ κτίσματα ἃ γέγονε μὴ ἐκ προϋποκειμένης ὕλης δεῖ λέγειν ἀμέσως ἐκ Θεοῦ κτισθῆναι.

[3.16.50] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι τῆς κτίσεως ὁριζομένης πρὸς τὸ εἶναι ὥσπερ πρὸς ἴδιον τέλος, οὐχ οἷόν τε λέγεσθαι τὰ ὑπὸ Θεοῦ δημιουργούμενα παρὰ τῶν ἀγγέλων τὰ εἴδη ἴσχειν, ἐπεὶ πᾶν τὸ εἶναι ἐκ τοῦ εἴδους ἐστί.

**374-375** ὁ – Ὠριγένους] vide supra in apparatu fontium [3.16.30].239.

**360-362** ἔστι – πάντα] om. et al. man. add. in marg. dex. M **366** πλήθους] πλῆθος M **367** ἀνάγκη] ἀνάγειν M **376-377** ἀποδίδωσι] ἀπέχει a. corr.; ¨ add. super ἀπέχει et ἀποδίδωσι scr. in marg. sin. P **383-384** γενόμενα – ὕλης] om. et al. man. add. in marg. dex. M

**[3.16.51] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον ὅτι, εἰ καὶ ὅ,τί ποτε ὁ Θεὸς ποιεῖ, ἐστὶν ἐφ' ἑαυτοῦ ἕν, ὅμως αὕτη ἡ μονάς, ὡς εἴρηται οὐκ ἀναιρεῖ πᾶν πλῆθος· μένει γὰρ ἐκεῖνο, οὗ τὸ ἕν ἐστι μέρος.**

**[3.16.52] Πρὸς τὸ εἰκοστὸν τρίτον ῥητέον, ὅτι ὁ τοῦ Φιλοσόφου λόγος, λέγοντος μηδὲν τὸν Θεὸν νοεῖν ἔξω ἑαυτοῦ, οὐκ ἔστιν ὑποληπτέος, ὡσανεὶ ὁ Θεὸς τὰ ἔξω ἑαυτοῦ μὴ νοοίη, ἀλλ' ὅτι καὶ τὰ ἔξω ἑαυτοῦ οὐκ ἔξω ἑαυτοῦ, ἀλλ' ἐν ἑαυτῷ θεωρεῖ, ὅτι ἐν τῇ καθ' αὑτὸν οὐσίᾳ τὰ ἄλλα πάντα γινώσκει.**

**[3.16.53] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον, ὅτι ἡ κτίσις λέγεται εἶναι ἐν τῷ Θεῷ διττή. Ἑνὶ μὲν τρόπῳ, ὥσπερ ἐν αἰτίᾳ διεπούσῃ καὶ συντηρούσῃ τὸ εἶναι αὐτῆς· καὶ ταύτῃ προϋποτίθεται τὸ εἶναι τῆς κτίσεως διακεκριμένον ἀπὸ τοῦ κτίστου, λεγομένης εἶναι ἐν τῷ Θεῷ. Οὐ γὰρ νοεῖται ἡ κτίσις συντηρουμένη εἰς τὸ εἶναι, ὅτι μὴ καθὸ ἤδη ἔχει τὸ εἶναι ἐν ἰδίᾳ φύσει, καθὸ δὴ εἶναι ἀπὸ τοῦ Θεοῦ διακέκριται. Ὅθεν ἡ κτίσις, τούτῳ τῷ τρόπῳ οὖσα ἐν τῷ Θεῷ, οὐκ ἔστι δημιουργὸς οὐσία. Ἑτέρῳ τρόπῳ λέγεται ἡ κτίσις οὖσα ἐν τῷ Θεῷ, ὥσπερ ἐν δυνάμει ποιητικῆς αἰτίας, ᾗ καθάπερ ἐν γινώσκοντι· καὶ οὕτως ἡ κτίσις ἐν τῷ Θεῷ ἐστιν αὐτὴ ἡ θεία οὐσία, ὡς λέγεται ἐν τῷ πρώτῳ τοῦ Κατὰ Ἰωάννην· ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν. Εἰ δὲ καὶ τούτῳ τῷ τρόπῳ ἡ κτίσις ἐν τῷ Θεῷ οὖσα ἐστὶν αὐτὴ ἡ θεία οὐσία, ὅμως οὐ διὰ ταῦτα ἔστιν ἐκεῖ μία μόνον κτίσις, ἀλλὰ πολλαί· ἡ γὰρ οὐσία τοῦ Θεοῦ ἐστιν αὔταρκες μέσον πρὸς τὸ γινώσκειν τὰ διάφορα κτίσματα, καὶ ἀποχρῶσα δύναμις πρὸς τὸ προάγειν αὐτά.**

**405-406** ὡς – ἦν] Io. 1, 3: πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

**393** ὡσὰν] ὡσᾶν; bis acc. P **398** διττή] διχῇ M

## Κεφάλαιον ἑπτακαιδέκατον

## Πότερον ὁ κόσμος ἦν ἀεὶ ἢ οὐ.

**[3.17.1] Ἑπτακαιδέκατον ζητεῖται πότερον ὁ κόσμος ἀεὶ ἦν. Καὶ δοκεῖ τι μή. Τὸ γὰρ ἴδιον ἕπεται οὗ ἐστιν ἴδιον. Ἀλλ', ὡς ὁ Διονύσιός φησιν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας, ἴδιόν ἐστι τῆς θείας ἀγαθότητος πρὸς κοινωνίαν καλεῖν τὰ ὄντα· ὅπέρ ἐστι τοῖς κτίσμασιν ἐν τῷ προάγεσθαι. Ἐπεὶ τοίνυν ἡ θεία | ἀγαθότης ἀεὶ ἦν, δοκεῖ καὶ ὁ κόσμος ἀεὶ εἶναι.**

P 84v

**[3.17.2] Ἔτι, ὁ Θεὸς οὐδεμιᾷ κτίσει ἀπείρηκεν, οὗπέρ ἐστι χωρητικὴ κατὰ τὴν ἑαυτοῦ φύσιν. Ἀλλ' εἰσὶ κτίσματά τινα, ὧν ἡ φύσις ἐστὶ χωρητικὴ εἶναι ἀεὶ ὥσπερ ὁ οὐρανός. Δοκεῖ ἄρα τούτῳ ἐνιδρυθῆναι τῷ οὐρανῷ, ὡς εἶναι ἀεί. Τοῦ δ' οὐρανοῦ ὑποτεθέντος εἶναι δεῖ συντίθεσθαι καὶ τὰ ἄλλα κτίσματα εἶναι, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ Περὶ οὐρανοῦ δευτέρῳ καὶ τοῦ κόσμου. Ἄρα δοκεῖ ὁ κόσμος εἶναι ἀεί. Ἀπόδειξις τῆς μέσης. Πᾶν τὸ ἄφθαρτον ἴσχει δύναμιν εἶναι ἀεί· εἰ γὰρ ἔχει δύναμιν εἶναι κατά τινα χρόνον ὡρισμένον, ἢ μὴ δύναιτο εἶναι ἀεί· καὶ ταύτῃ οὐκ ἂν εἴη ἄφθαρτον. Ὁ δ' οὐρανός, ἔστιν ἄφθαρτος. Φύσεως ἄρα εἴληχεν εἶναι ἀεί.**

**[3.17.3] Ἀλλ' ἔλεγεν, ὅτι ὁ οὐρανὸς οὐκ ἔστιν ἁπλῶς ἄφθαρτος· καταφέροιτο γὰρ ἂν εἰς τὸ μηδέν, εἰ μὴ τῇ τοῦ Θεοῦ δυνάμει συνέχοιτο εἰς τὸ εἶναι. Ἀλλὰ τοὐναντίον, οὐκ οἰητέόν τι εἶναι δυνατὸν ἢ ἐνδεχόμενον, ἐκ τοῦ ἕπεσθαι τὴν τούτου ἀναίρεσιν τῇ τοῦ συνέχοντος ἀναιρέσει· εἰ γὰρ καὶ τὸ εἶναι τὸν ἄνθρωπον ζῷον ἀναγκαῖον ἐστίν, ἡ ἀναίρεσις ὅμως τούτου ἕπεται τῇ ἀναιρέσει τοῦ συνέχοντος αὐτὸν εἶναι οὐσίαν. Οὐκ ἄρα δοκεῖ διατοῦτο δύνασθαι λέγεσθαι τὸν οὐρανὸν φθαρτόν, ὅτι τὸ αὐτοῦ μὴ εἶναι ἕπεταί τινι θέσει, ᾗ τίθεται ὁ Θεὸς ὑφαιρεῖσθαι τὴν ἑαυτοῦ συνοχὴν τοῖς κτίσμασιν.**

**[3.17.4] Ἔτι, καθάπερ ὁ Ἀβίκενος δείκνυσιν ἐν τοῖς αὐτοῦ Μετὰ τὰ φυσικά, ὁτιοῦν ἀποτέλεσμα ἐν παραθέσει πρὸς τὴν αὐτοῦ αἰτίαν ἐστὶν ἀναγκαῖον· εἰ γὰρ τεθείσης αἰτίας οὐκ ἀναγκαίως ἕπεται τὸ ἀποτέλεσμα, ἔτι τεθείσης τῆς**

**4-6** ὁ – προάγεσθαι] Ps.-Dion., De cael. hier., cap. 4 (PG 3, col. 177, Ritter p. 20): Ἔστι γὰρ τοῦτο τῆς πάντων αἰτίας καὶ ὑπὲρ πάντα ἀγαθότητος ἴδιον τὸ πρὸς κοινωνίαν ἑαυτῆς τὰ ὄντα καλεῖν, ὡς ἑκάστῳ τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας. **12-14** Τοῦ – κόσμου] cf. Ar., De coel. II, 285b17-19: τοῦ δ' οὐρανοῦ ἀρχὴ τῆς περιφορᾶς, ὅθεν αἱ ἀνατολαὶ τῶν ἄστρων, ὥστε τοῦτ' ἂν εἴη δεξιόν, οὗ δ' αἱ δύσεις, ἀριστερόν. **26-28** ὁ – ἀναγκαῖον] ] cf. Avic., Metaph. IX, cap. 6.

**3** μή] bis acc. P **9** ἑαυτοῦ] ἑαυτῆς M **15-16** καὶ – ἀεὶ] om. et al. man. add. in marg. dex. M **19** τὸ μηδέν] τομηδέν P

**αἰτίας δυνατὸν ἔσται τὸ ἀποτέλεσμα ἢ εἶναι ἢ μὴ εἶναι. Ὃ δέ ἐστιν ἐν δυνάμει οὐκ ἀναλύει εἰς τὸ ἐνεργείᾳ εἰ μὴ διὰ τοῦ ὄντος ἐνεργείᾳ· ὅθεν ἀναγκαῖον παρὰ τὴν προειρημένην αἰτίαν εἶναί τινα ἄλλην αἰτίαν, ἣ ποιεῖ τὸ ἀποτέλεσμα ἐκδῦναι εἰς τὴν ἐνέργειαν ἐκ τῆς δυνάμεως, ᾗ δυνατὸν ἦν εἶναι ἢ μὴ εἶναι τεθείσης αἰτίας. Ἀφ᾽ οὗ δύναται ληφθῆναι, ὅτι τεθείσης αἰτίας ἀποχρώσης ἀναγκαῖόν ἐστιν εἶναι τὸ ἀποτέλεσμα. Ἀλλ᾽ ὁ Θεός ἐστιν αὐτάρκης αἰτία τοῦ κόσμου. Ἄρα τοῦ Θεοῦ ὄντος ἀεὶ καὶ ὁ κόσμος ἦν ἀεί.**

**[3.17.5] Ἔτι, πᾶν ὅπέρ ἐστι πρὸ τοῦ χρόνου, ἐστὶν αἰώνιον· τὸ γὰρ ἀίδιον οὐκ ἔστι πρὸ τοῦ χρόνου, ἀλλ᾽ ἤρξατο ὁμοῦ τῷ χρόνῳ. Ἀλλ᾽ ὁ κόσμος ἤρξατο πρὸ τοῦ χρόνου· ἔκτισται γὰρ ἐν τῷ πρώτῳ σημείῳ τοῦ χρόνου, ὅπέρ ἐστι πρὸ τοῦ χρόνου. Λέγεται γὰρ ἐν τῷ πρώτῳ τῆς Γενέσεως·** ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· **ἐν οἷς φησὶν ἡ ἐξήγησις, ἐν ἀρχῇ, ἤτουν τοῦ χρόνου. Ὁ κόσμος ἄρα ἐξ αἰῶνος γέγονεν.**

**[3.17.6] Χωρὶς δὲ τούτων, τὸ αὐτὸ ἀεὶ ποιεῖ τὸ αὐτό, εἰ μὴ κωλύοιτο. Ἀλλ᾽ ὁ Θεὸς ὁ αὐτὸς ἀεὶ μένει, ὡς ἐν τοῖς Ψαλμοῖς ἀναγινώσκεται·** σὺ δὲ ὁ αὐτὸς εἶ.
P 85r **Ἐπεὶ τοίνυν ἀδύνατον τὴν αὐτοῦ | ἐνέργειαν ἐπέχεσθαι διὰ τὴν ἀπειρίαν τῆς αὐτοῦ δυνάμεως, δοκεῖ τὸ αὐτὸ ἀεὶ ποιεῖν. Καὶ ταύτῃ, ἐπειδή ποτε τὸν κόσμον προήνεγκε, δοκεῖ ὅτι καὶ ἀπ᾽ αἰῶνος ἀεὶ προενέγκοι.**

**[3.17.7] Ἔτι, ὥσπερ ὁ ἄνθρωπος ἀναγκαίως βούλεται τὴν αὐτοῦ μακαριότητα, οὕτω καὶ ὁ Θεὸς ἀναγκαίως βούλεται τὴν αὐτοῦ ἀγαθότητα. Ἀλλὰ τῇ θείᾳ ἀγαθότητι προσήκει ἡ τῶν κτισμάτων εἰς τὸ εἶναι παραγωγή. Ὁ Θεὸς ἄρα ἐξ ἀνάγκης θέλει τὰ ὄντα. Καὶ ταύτῃ δοκεῖ ἐξ αἰῶνος προενεγκεῖν τὰ ὄντα βούλεσθαι, ὥσπερ ἤθελε τὴν αὐτοῦ ἀγαθότητα ἐξ αἰῶνος.**

**[3.17.8] Ἀλλ᾽ ἔλεγεν, ὅτι τῇ θείᾳ ἀγαθότητι προσήκει μὲν τὰ ὄντα εἰς τὸ εἶναι παράγειν, οὐ προσήκει δὲ τὸ ἐξ αἰῶνος παράγειν. Ἀλλ᾽ ἰτέον εὐθύ· μείζονος ἐστὶ μεγαλοψυχίας δοῦναί τι θᾶττον ἢ βραδύτερον. Ἀλλ᾽ ἡ τῆς θείας ἀγαθότητος ἐλευθεριότης ἐστὶν ἄπειρος. Δοκεῖ ἄρα ἐξ αἰῶνος τὸ εἶναι τοῖς κτιστοῖς προέσθαι.**

**[3.17.9] Ἄνευ δὲ τούτων, ὁ Αὐγουστῖνος φησί· τοῦτο λέγω σε θέλειν, ὅπερ ποιεῖς, ἣν δύνῃ. Ἀλλ᾽ ὁ Θεὸς ἐξ αἰῶνος ἤθελεν τὸν κόσμον προενεγκεῖν·**

**39-40** ἐν – γῆν] Gen. 1, 1: ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. **43** ἐν – εἶ] Ps. 101, 28: σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. **57-58** ὁ – δύνῃ] cf. Aug., Conf. VIII, cap. 9 (PL 32, cols 758-759).

ἄλλως γὰρ γένοιτο μεταβλητός, εἰ πρόσφατος γένοιτο αὐτοῦ ἡ θέλησις τοῦ δημιουργῆσαι τὸν κόσμον. Εἰ δὴ οὖν οὐδεμία ἀδυναμία αὐτῷ ἐπιγίγνεται, δοκεῖ ἐξ αἰῶνος τὸν κόσμον προενεγκεῖν.

[3.17.10] Ἔτι, εἰ μὴ ἦν ὁ κόσμος ἀεί, πρὶν ἢ ἦν, ἢ ἦν δυνατὸν αὐτὸν εἶναι, ἢ μή. Εἰ μὲν οὖν μὴ ἦν δυνατόν, ἀδύνατον αὐτὸν εἶναι, καὶ λοιπὸν ἀναγκαῖον μὴ εἶναι· καὶ ταύτῃ οὐκ ἄν ποτε γένοιτο προηγμένος. Εἰ δ’ ἦν δυνατὸν αὐτὸν εἶναι, ἄρ’ ἦν τὶς δύναμις ἀποσκοποῦσιν εἰς αὐτόν· καὶ ταύτῃ ἦν ὑποκείμενόν τι ἢ ὕλη, τῆς δυνάμεως μὴ πεφυκυίας εἰ μὴ ἐν ὑποκειμένῳ εἶναι. Ἀλλ’ εἰ γέγονεν ὕλη, γέγονε καὶ εἶδος· ἡ γὰρ ὕλη οὐ δύναται εἶναι παντάπασι τοῦ εἴδους ἀποσεσυλημένη. Ἄρ’ ἦν τι σῶμα σύνθετον ἐξ ὕλης καὶ εἴδους· καὶ κατὰ τὸ εἰκὸς γέγονεν ὅλον τὸ πᾶν.

[3.17.11] Ἔτι, πᾶν ὃ γίνεται ἐνεργείᾳ, μετὰ τὸ δυνατὸν εἶναι γίνεσθαι ἔξεισιν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Εἰ τοίνυν τὸν κόσμον δυνατὸν ἦν γενέσθαι, πρὶν ἢ γενέσθαι, δεῖ λέγειν τὸν κόσμον προελθεῖν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Καὶ οὕτω δοκεῖ προκεχωρηκέναι καὶ γενέσθαι αἰώνιον τὴν δύναμιν· ἀφ’ οὗ τὸ πρότερον ἕπεται.

[3.17.12] Παρὰ ταῦτα, πᾶν ποιοῦν ὅπερ ἐκ νέου ποιεῖν ἄρχεται, κινεῖται ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Ἀλλ’ οὐκ ἐπιβάλλειν τοῦθ’ οἷόν τε τῷ Θεῷ, ἀκινήτῳ ὄντι τὸ παράπαν. Δοκεῖ ἄρα μὴ ἄρξασθαι αὐτὸν ἐκ νέου ποιεῖν, ἀλλ’ ἐξ αἰῶνος τὸν κόσμον προάγειν.

[3.17.13] Ἔτι, τῷ θελήσει ποιοῦντι τι, ἣν ἄρξηται ποιεῖν ὃ πρότερον ἐβούλετο μέν, οὐ πεποίηκε δέ, προσήκει τι ἐφιστάνειν αὐτῷ καινόν, ἐπαγόμενον αὐτὸ εἰς τὸ ποιεῖν, μὴ πρότερον ἐπαγόμενον· ὅπέρ ἐστι μονονουχὶ διυπνίζειν αὐτό. Ἀλλ’ οὐχ οἷόν τε λέγεσθαι εἶναί τι πρὸ τοῦ κόσμου παρὰ τὸν Θεόν, ὅπερ ἐκ νέου εἰς τὸ δημιουργεῖν αὐτὸν ἐπανέστηκεν. Ἐπεὶ τοίνυν ἐξ αἰῶνος ἤθελε τὸν κόσμον ποιεῖν (ἄλλως γὰρ τῇ τούτου θελήσει ἐπιγένοιτό τι), δοκεῖ ἐξ αἰῶνος ποιῆσαι.

P 85v [3.17.14] Ἔτι, οὐδὲν | κινεῖ τὴν θείαν θέλησιν εἰς τὸ ποιεῖν εἰ μὴ ἡ ἀγαθότης αὐτοῦ. Ἀλλ’ ἡ ἀγαθότης αὐτοῦ αἰεὶ τῷ αὐτῷ τρόπῳ ἔχει. Καὶ ἡ τοῦ Θεοῦ ἄρα θέλησις τῷ αὐτῷ τρόπῳ ἀεὶ ἔχει πρὸς τὸ προάγειν τὴν κτίσιν. Καὶ ταύτῃ ἐξ αἰῶνος προήνεγκεν.

**59** αὐτοῦ] deest P | ἡ] οἱ P, M **62** πρὶν ἢ] πρὶνὴ P πρινὴ M **63** μή] bis acc. P **68** ἀποσεσυλημένη] ἀποσελημένη M

**[3.17.15] Ἐπὶ δὲ τούτοις, ὅπερ ἔστιν ἀεὶ ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει αὐτοῦ, οὐδέποτε ἄρχεται ἢ παύεται, ὅτι ἕκαστον μετὰ τὴν ἑαυτοῦ ἀρχὴν καὶ πρὸ τοῦ ἑαυτοῦ τέλους ἐστίν. Ὁ δὲ χρόνος ἔστιν ἀεὶ ἐν τῇ αὐτοῦ ἀρχῇ καὶ ἐν τῷ αὐτοῦ τέλει· οὐδὲν γὰρ ὑπομένει τοῦ χρόνου, εἰ μὴ τὸ ἐνεστώς, ὅπέρ ἐστι πέρας τοῦ παρεληλυθότος καὶ ἀρχὴ τοῦ μέλλοντος. Ὁ χρόνος ἄρα οὐδέποτε ἄρχεται ἢ τελευτᾷ, ἀλλ’ ἔστιν ἀεί. Καὶ κατὰ το εἰκὸς ἀεὶ κίνησις, καὶ ἀεὶ κινούμενον, καὶ ἀεὶ κόσμος· χρόνος γὰρ οὐκ ἔστιν ἄνευ κινήσεως, οὐδὲ κίνησις ἄνευ κινουμένου, οὔτε κινούμενον ἄνευ κόσμου.**

**[3.17.16] Ἀλλ’ ἔλεγεν, ὅτι τὸ πρῶτον ἐνεστὼς οὐκ ἔστι πέρας παρεληλυθότος, οὐδὲ τὸ τελευταῖον ἀρχὴ τοῦ μέλλοντος. Ἀλλὰ τοὐναντίον, ὅτι τὸ τοῦ χρόνου νῦν θεωρεῖται ἀεὶ ὡς ὑπορρέον, καὶ τοῦτο διαφέρει τῷ νῦν τοῦ αἰῶνος. Ἀλλὰ τὸ ῥέον ἀπ’ ἄλλου εἰς ἄλλο ῥεῖ. Δεῖ τοίνυν πᾶν νῦν ἀπὸ προτέρου νῦν εἰς ὕστερον ῥεῖν. Ἀδύνατον ἄρα εἶναί τι πρῶτον ἢ ὕστατον νῦν. [3.17.17] Ἔτι, ἡ κίνησις ἕπεται τῷ κινητῷ καὶ ὁ χρόνος τῇ κινήσει. Ἀλλὰ τὸ πρῶτον κινητόν, κυκλικὸν ὄν, οὔτε ἀρχὴν οὔτε τέλος ἔχει· ἐν γὰρ τῷ κύκλῳ, οὐκ ἔστι λαβεῖν ἀρχὴν ἢ τέλος ἐνεργείᾳ. Οὔτ’ ἄρ’ ἡ κίνησις οὔθ’ ὁ χρόνος ἔχουσιν ἀρχήν. Καὶ ταύτῃ, ὃ πρότερον.**

**[3.17.18] Ἦ δ’ ὃς ὑπολαβὼν ὅτι, εἰ καὶ τὸ κυκλικὸν σῶμα μὴ ἔχει ἀρχὴν τοῦ μεγέθους, ἔχει μέντοιγε ἀρχὴν τῆς εἰς τὸ εἶναι διαμονῆς. Ἀλλὰ τοὐναντίον· τὸ διαρκὲς τῆς κινήσεως ἕπεται τῷ μέτρῳ τοῦ μεγέθους, ὅτι κατὰ τὸν Φιλόσοφον, ὅσον ἐστὶ μέγεθος, τοσαύτη καὶ ἡ κίνησις καὶ τοσοῦτος ὁ χρόνος. Εἰ τοίνυν ἐν τῷ τοῦ κυκλικοῦ σώματος μεγέθει μὴ ἔστιν ἀρχή τις, οὐδ’ ἐν τῷ τῆς κινήσεως καὶ τοῦ χρόνου μεγέθει ἔσται, καὶ ὡς εἰκὸς οὐδὲ ἐν αὐτῇ τῇ διαμονῇ, ἐπειδή περ ἡ τούτων διαμονή, καὶ διαφερόντως ἡ τοῦ χρόνου, ἔστι τῷ μεγέθει αὐτῶν.**

**[3.17.19] Ἔτι, ὁ Θεός ἐστιν αἰτία τῶν ὄντων κατὰ τὴν αὐτοῦ ἐπιστήμην.** Ἡ ἐπιστήμη λέγεται τῶν πρός τι, ὡς πρὸς τὸ ἐπιστητόν. **Ἐπεὶ τοίνυν** τὰ πρός τι εἰσὶ τῶν ἅμα τῇ φύσει, **καὶ ἔστιν ἡ τοῦ Θεοῦ ἐπιστήμη αἰώνιος, δοκεῖ καὶ τὰ ὄντα προῆχθαι ἀπ’ αὐτοῦ αἰωνίως.**

**[3.17.20] Παρὰ ταῦτα, ἢ φύσει μόνον ἐστὶ πρότερος ὁ Θεὸς τοῦ κόσμου, ἢ διαμονῇ. Ἀλλ’ εἰ φύσει μόνον πρότερον, ὥσπερ ἡ αἰτία τοῦ ἀποτελέσματος**

**115-116** Ἡ – ἐπιστητόν] Ar., Cat., 11b.27-31: καὶ ἡ ἐπιστήμη – τῇ ἐπιστήμῃ. **116-117** τὰ – φύσει] Ar., Cat., 7b15: Δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει εἶναι.

**95** εἰκὸς] εικὸς P **96** ἀεὶ] totus Aq.

ἑαυτῆς, τοῦ Θεοῦ ὄντος αἰωνίου καὶ τὰ κτίσματα συμβαίνει εἶναι αἰώνια. Εἰ δ' ὑπάρχει τῇ διαμονῇ, ἄρα ἔστι λαβεῖν τι χρονικὸν διάστημα πρότερον τῆς τοῦ κόσμου διαμονῆς, ὅπερ ἔχει πρὸς τὴν τοῦ κόσμου διαμονὴν ὡς πρότερον πρὸς ὕστερον. Ἀλλ' ἡ διαμονὴ ἡ ἔχουσα τὸ πρότερον | [P 86r] καὶ τὸ ὕστερόν ἐστι χρόνος. Πρὸ τοῦ κόσμου ἄρα γέγονε χρόνος, καὶ κατὰ τὸ συμβαῖνον κίνησις καὶ κινούμενον. Καὶ ταύτῃ ὃ πρότερον.

[3.17.21] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι τὸν Θεὸν ἐξ αἰῶνος Κύριον μὴ γενέσθαι λέγειν θέλω. Ἀλλ' ὁτεδήποτε Κύριος ἦν, ἔχων ὑποκειμένην ἑαυτῷ τὴν κτίσιν. Οὐ ῥητέον ἄρα μὴ γενέσθαι ἐξ αἰῶνος τὴν κτίσιν.

[3.17.22] Ἔτι, ὁ Θεὸς ἠδύνατο τὸν κόσμον προενεγκεῖν καὶ πρὶν ἂν ᾗ προενέγκῃ· ἄλλως γὰρ ἀδύνατος ἂν ἦν· ἠπίστατό τε πρότερον προενεγκεῖν, ἄλλως γὰρ ἀγνοῶν ἂν ἦν· δοκεῖ τὲ θέλειν προενεγκεῖν, ἄλλως γὰρ φθονερὸς ἂν ἦν. Οὐκ ἄρα ἤρξατο ἐξυπογύου ποιεῖν τὰ κτίσματα.

[3.17.23] Ἔτι, πᾶν ὃ πεπέρανται, ἐστὶ μεθεκτὸν τῇ κτίσει. Ἀλλ' ὁ αἰὼν ἔστι τι πεπερασμένον· ἐπεὶ οὐκ ἂν δύναιτό τι εἶναι ὑπὲρ αὐτόν. Λέγεται δὲ ἐν τῷ δεκάτῳ πέμπτῳ τῆς Γενέσεως· ὁ Θεὸς ἐβασίλευσεν εἰς τὸν αἰῶνα, καὶ ἔτι. Ἄρ' ἡ κτίσις δοκεῖ γενέσθαι δεκτικὴ αἰωνιότητος. Καὶ οὕτω γέγονεν εἰκὸς τῇ θείᾳ ἀγαθότητι τὴν κτίσιν ἐξ αἰῶνος προενεγκεῖν.

[3.17.24] Χωρὶς δὲ τούτων, πᾶν τὸ ἀρχόμενον ἔχει μέτρον τοῦ ἑαυτοῦ διαρκοῦς. Ἀλλ' ὁ χρόνος οὐκ ἔχει τι μέτρον. Οὔτε γὰρ αἰῶνι μετρεῖται, οὕτω γὰρ ἔψεται ἐσαεὶ εἶναι· οὔτε τῷ ἀϊδίῳ, οὕτω γὰρ μενετὸς ἂν ἦν εἰς τὸ διηνεκές· οὔτ' αὖ χρόνῳ, οὐδὲ γάρ ἔστι τι μέτρον αὐτὸ ἑαυτοῦ. Ὁ χρόνος ἄρα οὐκ ἤρξατο εἶναι. Καὶ ταύτῃ οὔτε τὸ κινούμενον, οὔθ' ὁ κόσμος.

[3.17.25] Ἔτι, εἰ ὁ χρόνος ἤρξατο εἶναι, ἢ ἤρξατο εἶναι ἐν χρόνῳ ἢ ἐν ἀτόμῳ χρόνου. Ἀλλ' οὐκ ἐν ἀτόμῳ χρόνου, ἐν γὰρ τῷ τοῦ χρόνου ἀτόμῳ οὔπω χρόνος ἐστίν· οὔτ' αὖθις ἐν χρόνῳ, οὐδὲν γὰρ τοῦ χρόνου πρὸ τοῦ σημείου τῆς ἀρχῆς τοῦ χρόνου ἐστίν· οὐδὲν γὰρ πράγματός τινος ἐστί, πρὶν ἂν εἶναι ἄρξηται. Ὁ χρόνος ἄρα εἶναι οὐκ ἤρξατο. Καὶ οὕτως τὸ πρότερον.

**127-128** ὁ – θέλω] Aug., De trin. V, cap. 16 (PL 42, col. 922): Ecce Dominum esse non sempiternum habet ne cogamur etiam creaturam sempiternam dicere. **135-136** ἐν – ἔτι] Non Gen., sed Ex. 15, 18: Κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι.

**131** τι] in marg. sup. scr. P **132** ἂν] bis acc. P **133** ἐξυπογύου] de novo Aq. **136** Γενέσεως] Ex. Aq. | ἔτι] ἔν τι M

**[3.17.26]Ἄνευ δὲ τούτων, ὁ Θεὸς ἐξ αἰῶνος γέγονεν αἰτία τῶν ὄντων ἐνεργείᾳ· ἐπεὶ δεήσει λέγειν πρότερον αἰτίαν γενέσθαι δυνάμει καὶ μετὰ ταῦτα ἐνεργείᾳ· καὶ οὕτως ἔσταί τι πρότερον, ὅπερ ἀνήνεγκεν αὐτὸν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ὅπέρ ἐστιν ἀδύνατον. Οὐδὲν δέ ἐστιν αἰτία μὴ ἔχον αἰτιατόν. Ὁ κόσμος ἄρα ἐξ αἰῶνος ἔκτισται παρὰ Θεοῦ.**

**[3.17.27]Ἔτι, τὸ ἀληθὲς καὶ τὸ ὂν ἀντιστρέφουσιν. Ἀλλ' εἰσὶ πολλὰ ἀληθῆ ἀπ' αἰῶνος· ὥσπερ τὸ τὸν ἄνθρωπον μὴ εἶναι ὄνον, καὶ τὸν κόσμον μέλλειν ἔσεσθαι, καὶ ἄλλ' ἄττα συχνά. Δοκεῖ ἄρα πολλὰ εἶναι ὄντα ἐξ αἰῶνος, καὶ οὐ μόνος ὁ Θεός.**

**[3.17.28] Ἀλλ' ἔλεγεν, ὅτι ταῦτα πάντ' εἰσιν ἀληθῆ τῇ πρώτῃ ἀληθείᾳ, ἥτις ἔστιν ὁ Θεός. Ἀλλ' ἰτέον ὁμόσε· ἄλλη ἀλήθεια ἐστὶ τῆς τοιᾶσδε προτάσεως, ᾗ φαμεν τὸν κόσμον ἔσεσθαι μέλλειν, καὶ ἡ τοιαύτη τὸ τὸν ἄνθρωπον μὴ εἶναι ὄνον· τεθείσης γὰρ μιᾶς κατὰ τὸ ἀδύνατον ψευδοῦς, ἔτι λείπεται ἡ ἑτέρα ἀληθής. Ἀλλ' ἡ πρώτη ἀλήθεια οὐκ ἔστιν ἄλλη καὶ ἄλλη. Οὐκ εἰσὶν ἄρα ἀληθῆ τῇ πρώτῃ ἀληθείᾳ.**

P 86v **[3.17.29]Ἔτι, κατὰ τὸν Φιλόσοφον | ἐν ταῖς Κατηγορίαις, ἐκ τοῦ τὸ πρᾶγμα εἶναι ἢ μὴ εἶναι ὁ λόγος ἐστὶν ἀληθὴς ἢ ψευδής. Εἰ πολλαὶ τοίνυν ἐξ αἰῶνος προτάσεις εἰσὶν ἀληθεῖς, δοκεῖ τὰ δι' αὐτῶν σημαινόμενα πράγματα ἐξ αἰῶνος εἶναι.**

**[3.17.30]Ἔτι, τῷ Θεῷ ταυτόν ἐστιν τὸ λέγειν τῷ ποιεῖν· ὅθεν ἐν τοῖς Ψαλμοῖς ᾄδεται·** αὐτὸς εἶπε καὶ ἐγεννήθησαν. **Ἀλλὰ τὸ λέγειν τοῦ Θεοῦ ἐστὶν αἰώνιον· ἄλλως γὰρ ὁ Υἱὸς αὐτοῦ, ὅς ἐστι Λόγος τοῦ Πατρός, οὐκ ἂν εἴη τῷ Πατρὶ συναΐδιος. Καὶ τὸ ποιεῖν ἄρα τοῦ Θεοῦ ἔστιν αἰώνιον, καὶ ταύτῃ γέγονεν ὁ κόσμος ἐξ αἰῶνος.**

**[3.17.31] Ἀλλ' ἐναντίον τὸ λεγόμενον ἐν τῷ ὀγδόῳ τῶν Παροιμιῶν ἐκ τοῦ τῆς Σοφίας στόματος·** οὔπω ἦσαν ἄβυσσοι, καὶ ἐγὼ ἤδη συνείλημμαι· οὔπω τῶν ὑδάτων ἐρράγησαν αἱ πηγαί· οὔπω τὰ βαρυβριθῆ ἀνεῖχον ὄρη· πρὸ δὲ τῶν βουνῶν, ὠδίνησέ με· οὔπω τὴν γῆν ἐποίησε, και ποταμοὺς καὶ ἐσχατιὰς

**164-165** κατὰ – ψευδής] Ar., Cat., 4b8-10: τῷ γὰρ τὸ πρᾶγμα εἶναι ἢ μὴ εἶναι, τούτῳ καὶ ὁ λόγος ἀληθὴς ἢ ψευδὴς εἶναι λέγεται. **168-169** ἐν – ἐγεννήθησαν] Ps. 148, 5: αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. **173-177** ἐν – παρῆν] Prov. 8, 24: καὶ πρὸ τοῦ τὰς ἀβύσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων.

τῆς οἰκουμένης· ὅτε ἡτοίμαζε τοὺς οὐρανούς, παρῆν. **Ἆρ' αἱ τῆς οἰκουμένης ἐσχατιαὶ καὶ ποταμοὶ καὶ γῆ οὐκ ἦν ἀεί.**

**[3.17.32] Ἔτι, κατὰ [Priscianum], ὅσῳ χρόνῳ νεώτεροι, τοσοῦτο τῷ νῷ διορατικώτερο, ἀλλὰ τὸ τῶν ἀνθρώπων διορατικὸν οὐκ ἔστιν ἄπειρον. Οὐδ' ἄρα ὁ χρόνος, ὑφ' ὃν τὸ διορατικὸν ηὔξανε, γέγονεν ἄπειρον· καὶ κατὰ τὸ εἰκός, οὐδ' ὁ κόσμος.**

**[3.17.33] Ἔτι, ὁ Ἰὼβ φησί, τηκομένη κατὰ μικρὸν ἡ γῆ φθίνει. Ἀλλ' ἡ γῆ οὐκ ἔστιν ἄπειρος. Εἰ τοίνυν ὁ χρόνος ἄπειρος εἴη, πάλαι οἴχεται· ὅπερ φαίνεται ψεῦδος ὄν.**

**[3.17.34] Ἔτι, ὁ Θεός ἐστι φύσει πρότερος τοῦ κόσμου, ὥσπερ αἰτία τοῦ ἀποτελέσματος. Ἀλλ' ἐν τῷ Θεῷ ἐστι ταυτὸ διαμονὴ καὶ φύσις. Ὁ Θεὸς ἄρα διαμονῇ πρότερός ἐστὶ τοῦ κόσμου. Ὡδὶ δὲ ὁ κόσμος, οὐκ ἀεὶ ἦν.**

**[3.17.35] Ἀπόκρισις. Ῥητέον, ὅτι παντὶ σθένει ἀντιληπτέον ἂν εἴη τοῦ τὸν κόσμον μὴ εἶναι ἀεί, ὥσπερ ἡ καθολικὴ πίστις διδάσκει. Οὐδέ τις δύναται φυσικὴ ἀπόδειξις τούτου κατὰ κράτος περιγενέσθαι. Οὗ δὴ πρὸς παράστασιν εἰδέναι ἄξιον, ὅτι, καθάπερ ἐν ἄλλῃ ζητήσει εἴληπται, ἐν τῇ τοῦ Θεοῦ δημιουργίᾳ οὐχ οἷόν τε λαβεῖν ἀνάγκην τινὰ ἐκ τοῦ τῆς ὕλης μέρους ὡς αἰτίας μέρους, οὔτ' αὖ ἐκ τῆς ποιητικῆς δυνάμεως τοῦ ποιοῦντος, οὔτ' αὖ τὸ γ' ἧκον εἰς τοὔσχατον τέλος, ἀλλ' ἐκ τοῦ τοῦ εἴδους μόνον μέρους, ὃ λέγεται πέρας τῆς ἐνεργείας· οὗ δὴ προϋποτεθέντος ἕπεται τοιαῦτα κατασκευάζεσθαι τὰ γινόμενα, οἷα προσήκουσιν ἐκείνῳ τῷ εἴδει, τῷ τοῦ καθόλου λέγω. Διά τοι τοῦτο καὶ ἄλλως μὲν ῥητέον ἂν εἴη περὶ τοῦ ἑνὸς μερικοῦ κτίσματος, ἄλλως δὲ περὶ τῆς τοῦ καθόλου τοῦ παντὸς ἐκ τοῦ Θεοῦ προόδου. Καὶ γὰρ διαλεγόμενοι περὶ προόδου τινὸς τῶν καθ' ἕκαστα δημιουργημάτων δυνάμεθα ἀποδιδόναι λόγον, τί δήποτε τοιοῦτόν ἐστιν, ἔκ τινος ἄλλου**
P 87r **δημιουργήματος ἢ γοῦν ἐκ τῆς τοῦ παντὸς τάξεως πρός τι δημιούργημα | τεταγμένον ὥσπερ τὸ μέρος πρὸς τὸ τοῦ ὅλου εἶδος. Ἡνίκα δ' αὖ περὶ ὅλου τοῦ παντὸς διαλεγόμεθα, ὡς παραγενομένου εἰς τὸ εἶναι, οὐ δυνάμεθα περαιτέρω τι κτιστὸν εὑρεῖν, ἀφ' οὗ δύναται ληφθῆναι λόγος, τί δήποτε τοιοῦτον ὂν τυγχάνει. Ὅθεν λοιπόν, ἐπεὶ μήτ' ἐκ τοῦ τῆς δυνάμεως μέρους, ἥτις ἐστὶν ἄπειρος, μή τ' ἐκ τῆς θείας ἀγαθότητος, ἢ τῶν ὄντων οὐ δεῖται,**

**183** ὁ – φθίνει] cf. Iob 14, 19: λίθους ἐλέαναν ὕδατα, καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς· καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.

**179** Priscianum] lacuna ca 8 A, M. **183** τηκομένη] τῇ κομένη M (Alluvione Aq.) **191** κατὰ] κατα P **204** παραγενομένου] ὥσπερ γενομένου M

δυνατὸν λαμβάνεσθαι τὸν λόγον τῆς τοιᾶσδε κατασκευῆς, δεῖ τὸν ταύτης λόγον ληφθῆναι ἐκ ψιλῆς τῆς θελήσεως τοῦ Δημιουργοῦ, ὡς ζητοῖμεν τί δήποτε, ἢ τοῦ οὐρανοῦ πηλικότης ἔστι τοσαύτη καὶ οὐ μείζων, μὴ δύνασθαι τοῦ τοιοῦδε λόγον ἀποδίδοσθαι, εἰ μὴ ἐκ τῆς προαγούσης θελήσεως. Καὶ διατοῦτο, ὡς ὁ Ῥαββὶ Μωυσῆς φησίν, ἡ θεία Γραφὴ προτρέπεται τοὺς ἀνθρώπους, πρὸς τὴν κατανόησιν τῶν οὐρανίων σωμάτων, ὧν τῇ διακοσμήσει μάλιστα δείκνυται πάνθ' ὑποκεῖσθαι τῇ θείᾳ θελήσει καὶ τῇ προνοίᾳ τοῦ Δημιουργοῦ. Οὐ γὰρ οἷόν τε λόγον ὑποσχεῖν, τί δήποτε ὁ τοιοῦτος ἀστὴρ τοσόνδε ἀπὸ τοιοῦδε διέχει, ἢ τὰ ἄλλα τοῦ αὐτοῦ λόγου, ἃ ἐν τῇ διακοσμήσει τοῦ οὐρανοῦ θεωρητέα ἀπαντᾷ, εἰ μὴ τὴν τῆς θελήσεως καὶ σοφίας τοῦ Θεοῦ τάξιν. Αὖθις τε, ἐν τῷ τοῦ Ἠσαΐου τετάρτῳ λέγεται· διάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν εἰς **τὸ** ὕψος καὶ **θεάσασθε** τίς ταῦτα **ἐδημιούργησεν.** Οὔτε μὴν προσίσταται, εἰ λέγοιμεν τοιάνδε πηλικότητα συμβαίνειν τῇ τοῦ οὐρανοῦ φύσει, ἢ τῇ τῶν οὐρανίων σωμάτων, ὥσπερ καὶ τῇ φύσει πάντων τῶν συνεστώτων, ἔστι τις ὡρισμένη πηλικότης. Ὥσπερ γὰρ ἡ θεία δύναμις οὐ περιγράφεται πρὸς ταύτην μᾶλλον τὴν πηλικότητα ἢ ἄλλην, οὕτως οὐδὲ περιγράφεται πρὸς φύσιν, ᾗ ὀφείλεται τοιαύτη πηλικότης μᾶλλον, ἢ πρὸς ἄλλην φύσιν, ᾗ ἄλλη πηλικότης ὀφείλεται. Καὶ ταύτῃ εἰς ταυτὸ τὸ ζήτημα περιστήσεται τῆς φύσεως πέρι, ὅπερ ἦν καὶ περὶ τῆς πηλικότητος, κἂν συγχωρήσωμεν τὴν τοῦ οὐρανοῦ φύσιν μὴ εἶναι ἀδιάφορον πρὸς ἡντιναοῦν πηλικότητα μήτ' εἶναι ἐν αὐτῷ δύναμιν πρὸς ἄλλην πηλικότητα, εἰ μὴ πρὸς ταύτην. Οὐχ οὕτω δὲ καὶ περὶ τοῦ χρόνου ἢ τῆς τοῦ χρόνου διαμονῆς δύναται λέγεσθαι. Ὁ γὰρ χρόνος ἐστιν ἔξω τοῦ πράγματος, ὡσπεροῦν καὶ ὁ τόπος· ὅθεν ἔτι καὶ τῷ οὐρανῷ, ἐν ᾧ μὴ ἔστι δύναμις ἀποσκοποῦσιν εἰς ἄλλην πηλικότητα ἢ ἐνέργειαν ἔνδον ἐνιανευμένην, ἔστιν ὅμως δύναμις ἐν αὐτῷ ἀποσκοποῦσιν εἰς τόπον ἄλλον ἢ θέσιν ἄλλην κατὰ τόπον κινουμένῳ. Καὶ πρὸς τούτοις ἀποσκοποῦσιν εἰς τὸν χρόνον, ἐφόσον χρόνος διαδέχεται χρόνον, ὥσπερ ἐν τῇ κινήσει ἔστιν ἀκολούθησις καὶ ἐν τῷ ποῦ· ὅθεν οὐχ οἷόν τε λέγεσθαι ὅτι οὔτε χρόνος οὔτε ποὺ ἄλλο ἕπεται τῇ φύσει αὐτοῦ, καθάπερ

**218-219** ἐν – ἐδημιούργησεν] Is. 40, 26: ἀναβλέψατε εἰς ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε, τίς κατέδειξε ταῦτα πάντα;

**232** ἐνιανευμένην] ἐνυρυμένην M; inhaerentis Aq. **234** διαδέχεται] ἀναδέχεται M (succedat Aq.)

P 87v **περὶ τῆς πηλικότητος ἐλέγετο. Δι’ ἃ πάντα φαίνεται | ἐκ τῆς ἁπλῆς τοῦ Θεοῦ θελήσεως ἠρτῆσθαι, τὸ περιγράφεσθαι τῷ παντὶ ὡρισμένην ποσότητα τῆς διαμονῆς, ὥσπερ καὶ ὡρισμένην ποσότητα τῆς διαμετρήσεως. Ὅθεν οὐχ οἷόν τε ἀναγκαίως περαίνεσθαι δύνασθαί τι περὶ τῆς τοῦ παντὸς διαμονῆς, ὡς διὰ τούτου δύνασθαι δείκνυσθαι ἀποδεικτικῶς τὸν κόσμον ἀεὶ εἶναι. Ἔνιοι δὲ ὡσὰν μὴ θεωροῦντες τὴν ἐκ τοῦ Θεοῦ πρόοδον τοῦ παντός, ἠναγκάσθησαν περὶ τὴν ἀρχαιολογίαν τοῦ κόσμου παραφρονεῖν. Τινὲς μὲν γάρ, τὴν ποιητικὴν αἰτίαν ὑπερβαίνοντες, μόνην τὴν ὕλην ἀναίτιον πάντῃ πάντων αἰτίαν τιθέμενοι, ὥσπερ οἱ παλαίτατοι τῶν φυσικῶν, ἀναγκαίως ἔσχον λέγειν τὴν ὕλην εἶναι ἀεί· ἐπεὶ γὰρ οὐδὲν ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι ἑαυτὸ ἐκφέρει, δεῖ ἄλλην αἰτίαν ἔχειν τὸ ἀρχόμενον εἶναι. Καὶ οὗτοι ἔθεσαν τὸν κόσμον ἢ κατὰ τὸ συνεχὲς εἶναι ἀεὶ ἐπεὶ μηδὲν εἰ μὴ τὰ φυσικῶς ποιοῦντα ἐτίθεσαν, ἃ πρὸς ἓν ὡρίζοντο, ἐξ ὧν ἀνάγκη τὸ αὐτὸ ἀποτέλεσμα ἕπεσθαι ἀεί, ἢ φθείρεσθαι, καθάπερ ὁ Δημόκριτος, ὃς ἠξίου τὸν κόσμον (μᾶλλον δὲ τοὺς κόσμους) πλειστάκις γενέσθαι, συντιθεμένους καὶ διαλυομένους ἀπὸ ταυτομάτου διὰ τὴν αὐτόματον κίνησιν τῶν ἀτόμων. Ἀλλ’ ἐπεί γε ἀπεοικὸς ἐδόκει πάνθ’ ἃ προσήκει καὶ ἃ λυσιτελεῖ ἐν τοῖς οὖσιν εἶναι ἀπὸ ταυτομάτου ἀεὶ ἢ καὶ ὡς ἐπιτοπλεῖστον εὑρισκόμενα, τούτου δὴ ἀναγκαίως ἑπομένου, οὐ μόνον ἡ ὕλη ἐτίθετο αἰτία, καὶ μάλιστα εὑρισκομένων τινῶν ἀποτελεσμάτων, πρὸς ὃ τὸ ὑλικὸν αἴτιον οὐκ αὔταρκες ἦν, διατοῦτο ἄλλοι ἐπρέσβευσαν ἄλλην αἰτίαν ποιητικήν, ὥσπερ Ἀναξαγόρας τὸν νοῦν Ἐμπεδοκλῆς τε τὸ νεῖκος καὶ τὴν φιλίαν. Ἀλλ’ ἐπεὶ καὶ οὗτοι οὐχ ὑπενόουν τὰς τοιαύτας ποιητικὰς αἰτίας εἶναι καθόλου, ἀλλὰ μᾶλλον καθάπερ μερικὰ ποιητικά, ἃ ποιεῖ τὴν ὕλην μεταβάλλοντα ἀφ’ ἑνὸς εἰς ἄλλο, ἐντεῦθεν ἀναγκαῖον ἦν αὐτοῖς λέγειν τὴν μὲν ὕλην εἶναι αἰώνιον, ὡσὰν μὴ ἔχουσαν αἰτίαν τοῦ ἑαυτῆς εἶναι, τὸν δὲ κόσμον ἄρξασθαι· πάντα γὰρ τὰ ἀποτελέσματα τῆς κατὰ κίνησιν ποιούσης αἰτίας ὑστερίζει τῆς ἑαυτῶν αἰτίας τῇ διαμονῇ· τὸ γὰρ ἀποτέλεσμα οὐκ ἔστιν, εἰ μὴ ἐν τῷ πέρατι τῆς κινήσεως, οὗ πρότερόν ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως, μεθ’**

**256-258** διατοῦτο – φιλίαν] Ar., Phys. VIII, 250b23-29: ὡς Ἀναξαγόρας λέγει (φησὶν γὰρ ἐκεῖνος, ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι), ἢ ὡς Ἐμπεδοκλῆς ἐν μέρει κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν, κινεῖσθαι μὲν ὅταν ἡ φιλία ἐκ πολλῶν ποιῇ τὸ ἓν ἢ τὸ νεῖκος πολλὰ ἐξ ἑνός.

**239** ποσότητα] τοσογκότητα P; quantitas Aq. **239** ποσότητα] ποσότης M **242** ὡσὰν] passim ὡσᾶν P **243** ἀρχαιολογίαν] inceptionem Aq. **261** ὡσὰν] bis acc. P

ἧς εἶναι δὴ ὁμοῦ τὸ ποιοῦν, ἀφ’ οὗ ἔστιν ἡ ἀρχὴ τῆς κινήσεως. Ἀριστοτέλης δὲ ἐν νῷ βαλόμενος ὅτι, εἰ δοθείη ἡ κατασκευάζουσα τὸν κόσμον αἰτία κινήσει ποιεῖν, ἕψεται εἰς ἄπειρον ἀνατρέχειν (πρὸ γὰρ πάσης κινήσεως ἔσται κίνησις), ἠξίου τὸν κόσμον εἶναι ἀεί. Οὐ γὰρ ὡρμήθη ἐξ ἐκείνης τῆς θεωρίας, ᾗ νοεῖται ἡ ἐκ τοῦ Θεοῦ εἰς τὸ εἶναι πρόοδος τοῦ παντός, ἀλλ’ ἐξ ἐκείνης τῆς αἰτίας, ᾗ τίθεταί τι ποιοῦν ἄρχεσθαι ποιεῖν κατὰ κίνησιν· ὅπερ ὂν τυγχάνει μερικῆς καὶ οὐ καθόλου αἰτίας. | P 88r Διά τοι τοῦτο ἔκ τε τῆς κινήσεως καὶ τῆς ἀκινησίας τοῦ πρώτου ποιοῦντος τοὺς λογισμοὺς λαμβάνει πρὸς ἀπόδειξιν τῆς τοῦ κόσμου αἰωνιότητος· ὅθεν ἐπιμελῶς ἐπέχοντι τὸν νοῦν, φαίνονται οἱ τούτου λογισμοὶ μονονουχὶ πρός τινα θέσιν ἀποτεινομένου· ὅθεν κἀν τοῖς προοιμίοις τοῦ τῶν Φυσικῶν ὀγδόου, ζητήσεως κινηθείσης περὶ αἰωνιότητος κινήσεως, προτίθησι τὰς Ἀναξαγόρου καὶ Ἐμπεδοκλέους δόξας, καθ’ ὧν ἁμιλλᾶσθαι σκοπεῖ. Ἀλλ’ οἱ τοῦ Ἀριστοτέλους ὀπαδοί, κατανοοῦντες τὴν ὅλου τοῦ παντὸς ἀπὸ τοῦ Θεοῦ πρόοδον διὰ τῆς αὐτοῦ θελήσεως καὶ οὐ διὰ κινήσεως οὖσαν, ἐπεχείρησαν δεικνῦναι τὴν τοῦ κόσμου αἰωνιότητα, διὰ τοῦ μὴ τὴν θέλησιν βραδύνειν ἐν τῇ ποιήσει τοῦ σκοπουμένου εἰ μὴ διά τινα ἐπισκευὴν ἢ μεταποίησιν, ἣν ἀνάγκη φαντάζεσθαι ἐν χρόνου φορᾷ, ἡνίκα βούλεται τότε τοῦτο ποιεῖν καὶ οὐ πρωιαίτερον. Ἀλλὰ καὶ οὗτοι εἰς τὴν αὐτὴν ἀναλογίαν κατηνέχθησαν, εἰς ἣν καὶ οἱ προειρημένοι. Ὑπενόουν γὰρ τὸ πρῶτον ποιοῦν οἷόν τι ποιοῦν ὃ σὺν χρόνῳ τὴν αὐτοῦ ἐνέργειαν ἀνύττει, εἰ καὶ θελήσει ποιεῖ, αὐτοῦ μέντοιγε τοῦ χρόνου μὴ ὂν αἴτιον ἀλλὰ προϋποτιθέμενον χρόνον. Ὁ δὲ Θεός ἐστιν αἰτία καὶ αὐτοῦ τοῦ χρόνου. Καὶ γὰρ καὶ αὐτὸς ὁ χρόνος ἐν τῷ τῶν ἐκ Θεοῦ γινομένων καταλόγῳ συνεξετάζεται. Ὅθεν, ἡνίκα περὶ τῆς ἐκ Θεοῦ τοῦ παντὸς εἰς τὸ εἶναι προόδου διαλεγόμεθα, δοκεῖ μὴ εἶναι τὴν σκέψιν, τί δήποτε τότε καὶ οὐ πρότερον πεποίηκε· τοῦτο γὰρ χρόνον προϋποτίθησι πρὸς τὴν τοῦ παντὸς ἔκπραξιν, ἀλλ’ οὐχ ὑπάγει καὶ τὸν χρόνον τῇ ποιήσει. Διὸ πηνίκα τῆς παραγωγῆς πέρι τοῦ παντὸς λόγος ἡμῖν πρόκειται, ἐν ᾧ καὶ αὐτός ἐστιν ὁ χρόνος, θεωρητέον τί δήποτε τῷ χρόνῳ τοιοῦτον μέτρον περιέβαλεν, οὐτιδήποτε τοῦτο ἐν τοιῷδε χρόνῳ πεποίηκεν· ἡ δὲ περιγραφὴ τοῦ χρόνου

**274-276** ὅθεν – σκοπεῖ] vide supra in apparatu fontium [3.17.35].256-258.

**287** κατὰ] κατα P; κα M

ἁπλῆς ἐξῆπται τῆς τοῦ Θεοῦ βουλήσεως, ὃς ἠθέλησε τὸν κόσμον μὴ εἶναι ἀεί, ἀλλὰ τόθ’ ἡνίκα ἤρξατο, ὡσπεροῦν ἠθέλησε καὶ τὸν οὐρανὸν μήτε μείζω μήτε ἐλάττω εἶναι.

[3.17.36] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τῆς ἀγαθότητος ἴδιόν ἐστι προάγειν τὰ ὄντα εἰς τὸ εἶναι μεσιτευούσης τῆς θείας θελήσεως, ἧς ἀντικείμενον τυγχάνει. Ὅθεν οὐκ ἀνάγκη, ὁτεδήποτε ἦν ἡ θεία ἀγαθότης, τὰ ὄντα εἰς τὸ εἶναι παράγεσθαι, ἀλλὰ κατὰ τὴν προθεσμίαν τῆς βουλήσεως.

[3.17.37] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦ οὐρανίου σώματος ἀφθάρτου ὄντος, ἔστι δύναμις αὐτῷ εἶναι ἀεί. Ἀλλ’ οὐδεμία δύναμις οὔτε τοῦ εἶναι οὔτε τοῦ ἐνεργεῖν σκοπεῖ τὸ παρωχηκός, ἀλλ’ ἢ τὸ παρὸν ἢ τὸ μέλλον. Εἶς γὰρ οὐδεὶς ἔχει δύναμιν πρὸς τὸ πεποιηκέναι τί ὅ τε γὰρ μὴ γέγονεν, οὐχ οἷόν τε ποιῆσαι τί, ἀλλ’ ἔχει δύναμιν νῦν ἢ ἐς νέωτα ποιήσειν. Ὅθεν καὶ ἡ τοῦ ἀεὶ εἶναι δύναμις ἡ ἐν τῷ οὐρανῷ οὐ σκοπεῖ τὸ παρελθόν, ἀλλὰ τὸ μέλλον.

P 88[v] [3.17.38] Πρὸς | τὸ τρίτον ῥητέον, ὅτι οὐ δύναται οὑτωσὶ διαλεγομένοις λέγειν τὸν οὐρανὸν ἄφθαρτον ἁπλῶς· εἰς γὰρ τὸ μὴ εἶναι κατενεχθοίη ἄν, εἰ μὴ ὑπὸ τοῦ Θεοῦ συνέχοιτο. Ἐπεὶ γὰρ τὸ τὴν κτίσιν εἰς τὸ εἶναι περικρατεῖσθαι τοῦ Θεοῦ ἀνήρτηται τῆς κατὰ τὴν βούλησιν ἀκινησίας, οὐ τῆς φυσικῆς ἀνάγκης, ὡς μὴ δύνασθαι ἀπολελυμένως λέγεσθαι ἀναγκαῖον, ἀναγκαῖον μόνον ὂν ἐξ ὑποθέσεως τῆς θείας θελήσεως, ἣ τοῦτ’ ἐδογμάτισεν ἀμετακινήτως, δύναται συγχωρεῖσθαι φθαρτὸν εἶναι τὸν οὐρανὸν κατά τι, ἐφόσον τοῦτ’ ἔχει ὑποθετικῶς, ἤτουν, εἰ μὴ ὁ Θεὸς ἀνέχοι.

[3.17.39] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι πᾶν ἀποτέλεσμα ἀναγκαίαν ἔχει σχέσιν πρὸς τὴν αἰτίαν αὐτοῦ αὐταρκοῦσαν, εἴτ’ εἴη μόνον φυσικὴ ἢ καὶ κατὰ θέλησιν. Ἀλλ’ οὐ τιθέμεθα τὸν Θεὸν αἰτίαν τοῦ κόσμου ἐξ ἀνάγκης τῆς αὐτοῦ φύσεως, ἀλλ’ ἐκ τῆς θελήσεως, ὡς ἤδη ὑπείπομεν. Ὅθεν ἀναγκαῖον ἐστὶ τὸ θεῖον ἀποτέλεσμα ἕπεσθαι οὐχ ὁτεδήποτε ἡ θεία φύσις ἦν, ἀλλ’ ὁτεδήποτε τὴν προθεσμίαν ἡ θεία βούλησις ὁρίσαιτο ὥστ’ εἶναι· καὶ κατὰ τὸν αὐτὸν τρόπον, ἄχρις οὗ ἠθέλησεν εἶναι.

**305** ὅ τε] ὅπερ M; quia quidquid Aq. **307** μέλλον] μᾶλλον M (futurum Aq.) **310** ἐπεὶ] εἶπε P (Sed Aq.) **317** αὐτῆς] αὐτοῦ P

[3.17.40] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ πρὸ τοῦ χρόνου εἶναί τι δισσῶς δύναται νοεῖσθαι. Ἑνὶ μὲν τρόπῳ πρὸ ὅλου τοῦ χρόνου καὶ πρὸ παντὸς ὅπέρ ἐστι χρόνου· καὶ ταύτῃ ὁ κόσμος οὐ γέγονε πρὸ τοῦ χρόνου, ὅτι τὸ ἐνεστὼς ἐν ᾧ ὁ χρόνος ἤρξατο, εἰ καὶ χρόνος μὴ ἔστιν, ἔστι τι χρόνος, οὐχ ὡς μέρος, ἀλλ' ὡς ὅρος. Ἄλλῳ δὲ τρόπῳ νοεῖται εἶναί τι πρὸ τοῦ χρόνου, ὅσπερ οὐ συμπληροῦται εἰ μὴ ἐν ἀτόμῳ, οὗ πρότερόν ἐστιν ἄλλο ἄτομον. Καὶ οὕτως ὁ κόσμος ἔστι πρὸ τοῦ χρόνου, οὐ μὴν διατοῦτο ἀνάγκη εἶναι αἰώνιον, ὅτι οὐδ' αὐτὸ τὸ ἄτομον τοῦ χρόνου τὸ πρὸ τοῦ χρόνου ἐστὶν αἰώνιον.

[3.17.41] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι παντὸς τοῦ ποιοῦντος ὅμοιον ἑαυτῷ δεῖ τοιόνδε τρόπον ἐκ τῆς αἰτίας ἀποβαίνειν τὸ ἀποτέλεσμα δραστηρίως ποιούσης, ὥστε τὴν ὁμοιότητα ἐμφέρειν αὐτῆς. Καθάπερ δὲ τὸ ὂν ἐξ αἰτίας φυσικῶς ποιούσης δέχεται τὴν ὁμοιότητα αὐτῆς, ᾗ δὴ ἴσχει ὅμοιόν <τι> εἶδος τῷ εἴδει τοῦ ποιοῦντος, οὕτω τὸ ὂν ἐκ ποιοῦντος κατὰ θέλησιν ἀντίσχεται τῆς ὁμοιότητος αὐτοῦ, ᾗ δὴ ἔχει τὸ εἶδος τῆς αἰτίας, καθὰ τοῦτο πρόεισιν εἰς τὸ ἀποτέλεσμα· ὅπέρ ἐστιν ἐν τῇ διαθέσει τῆς θελήσεως, ὡς φαίνεται ἐν τῷ τεχνητῷ ἐφιστῶσι τὸν νοῦν τῷ τεχνίτῃ. Ἡ θέλησις δὲ οὐ μόνον διαπράττεται περὶ τοῦ εἴδους τοῦ ἀποτελέσματος, ἀλλὰ καὶ περὶ <τοῦ> τόπου καὶ τῆς διαμονῆς καὶ πάντων τῶν ἐπιβαλόντων αὐτῷ· ὅθεν δεῖ τὸ ἀποτέλεσμα τότ' εἶναι, ἡνίκα ἡ θέλησις παρασκευάζει, οὐχ ἡνίκα ἡ θέλησις ἐστίν. Οὐ γὰρ κατὰ τὸ εἶναι, ἀλλ' ᾗ ἡ θέλησις διαπράττεται τὸ ἀποτέλεσμα τῇ θελήσει ἀφομοιοῦται. Εἰ καὶ ἡ θέλησις τοίνυν ἡ αὐτή ἐστιν ἀεί, οὐ δεῖ ὅμως τὸ ἀποτέλεσμα ἀεὶ ἐξ αὐτῆς ἑπόμενον εἶναι.

[3.17.42] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Θεὸς ἐξ ἀνάγκης θέλει τὴν ἑαυτοῦ
P 89[r] ἀγαθότητα καὶ πᾶν οὗ ἄνευ ἡ αὐτοῦ | ἀγαθότης εἶναι οὐ δύναται. Τοιοῦτον δ' οὐκ ἔστιν ἡ τῶν ὄντων παραγωγή. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[3.17.43] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, ἐπεὶ ὁ Θεὸς εἰς ἔνδειξιν ἑαυτοῦ τὴν κτίσιν παρήγαγεν, ἁρμοδιώτερον καὶ κρεῖττον ἦν οὕτω προϊέναι ταύτην, ὥσπερ ἀκριβέστερον καὶ ἐναργέστερον αὐτὸν ἔμελλε παριστάνειν. Ἐναργέστερον δὲ διαδείκνυται ἐκ τῶν κτισμάτων, εἰ μὴ ἀεὶ εἶεν· ἐντεῦθεν γὰρ ἐκ τοῦ προχείρου καθορᾶται, ὅτι ἀπ' ἄλλου προὐχωρήσαντος εἰς τὸ εἶναι καὶ ὅτι ὁ Θεὸς οὐ δεῖται τῶν κτισμάτων καὶ ὅτι τὰ κτίσματα πάντῃ εἴκει τῇ θείᾳ θελήσει.

**326** γέγονε] γέγονεν M **327** χρόνος[1]] mundus Aq. (Prochoros legit tempus?) **337** πρόεισιν] προύσιν M **352-354** ἐντεῦθεν – εἶναι] om. et al. man. add. in marg. sin. M

**[3.17.44] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ Θεὸς αἰώνιον περὶ τοῦ κόσμου θέλησιν εἶχεν οὐκ εἶναι ἀεί, ἀλλὰ τότε γενέσθαι, ἡνίκα γέγονε.**

**[3.17.45] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι πρὸ τοῦ τὸν κόσμον γενέσθαι δυνατὸν ἦν τὸν κόσμον γενέσθαι οὐ δυνάμει μέν τινι παθητικῇ, ἀλλὰ μόνον δυνάμει ποιητικῇ τοῦ ποιοῦντος. Ἢ δύναται λέγεσθαι ὅτι ἦν δυνατὸν οὐ κατά τινα δύναμιν, ἀλλ' ὅτι οἱ ὅροι περὶ ὧν σκοποῦμεν ἀντιλαμβάνονται ἀλλήλων καὶ οὐ διαμάχονται, ταύτης λέγω τῆς προτάσεως, τῆς ὁ κόσμος δύναται εἶναι πρότερον. Οὕτω γὰρ λέγεταί τι δυνατὸν κατὰ μηδεμίαν δύναμιν, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά.**

**[3.17.46] Ἐντεῦθεν καὶ πρὸς τὸ ἑνδέκατον λύσις ὑπανανοίγνυται.**

**[3.17.47] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισι περὶ τοῦ ποιοῦντος, ὃ ἄρχεται ποιεῖν ἐνεργείᾳ καινῇ· ἀλλ' ἡ θεία ἐνέργεια ἔστιν αἰώνιος, ἡ αὐτὴ οὐσία οὖσα. Λέγεται δὲ ἄρχεσθαι ποιεῖν τῷ λόγῳ τοῦ καινοῦ ἀποτελέσματος, ὅπερ ἐπιγίγνεται κατὰ τὴν διαχείρισιν τῆς θελήσεως, ᾗ νοεῖται ὡσανεὶ ἀρχὴ τῆς ἐνεργείας ἐν τῇ πρὸς τὸ ἀποτέλεσμα τάξει. Τὸ γὰρ ἀποτέλεσμα πρόεισιν ἀπὸ τῆς ἐνεργείας κατὰ τὸ τοῦ εἴδους πεφυκός, ὅπέρ ἐστι τῆς ἐνεργείας ἀρχή· ὥσπέρ ἐστί τι θερμὸν τῇ θερμάνσει τοῦ πυρὸς κατὰ τὸν τρόπον τῆς ἐν τῷ πυρὶ θέρμης.**

**[3.17.48] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἐκεῖνος ὁ λόγος πρόεισιν ἐκ τοῦ ποιοῦντος, ὃ οὕτω ποιεῖ τὸ ἴδιον ἀποτέλεσμα ἐν χρόνῳ, ὡσὰν μὴ ὂν αἰτία τοῦ χρόνου. Ὃ χώραν οὐκ ἔχει ἐπὶ Θεοῦ, ὡς ἐν τοῖς ἄνω δέδεικται.**

**[3.17.49] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι, εἰ ἡ κίνησις ἰδίως λαμβάνοιτο, ἡ θεία θέλησις οὐ κινεῖται· μεταφορικῶς δὲ διαλεγομένοις λέγεται κινεῖσθαι ὑπὸ τοῦ ἰδίου θελητοῦ. Καὶ οὕτως, εἰ καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ κινεῖ αὐτόν, καθὰ καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῇ εἰς τὸ τῆς Γενέσεως ὄγδοον ἑρμηνείᾳ, ὅτι ὁ Θεὸς κινεῖ ἑαυτὸν ἄνευ χρόνου καὶ τόπου, οὐ μὴν ἕπεται, ὁτεδήποτε ἦν ἡ ἀγαθότης αὐτοῦ, τότ' εἶναι καὶ τὴν τῶν κτισμάτων πρόοδον. Τὰ γὰρ κτίσματα οὐκ ἀφιᾶσιν ἐκ τοῦ Θεοῦ ἐξ ἀνάγκης ἢ ὀφειλῆς τῆς ἀγαθότητος· ἡ γὰρ θεία ἀγαθότης οὐ δεῖται ὁπητιοῦν τῶν κτισμάτων διὰ τὸ προσγίνεσθαί τι αὐτῇ, ἀλλ' ἐκ ψιλῆς τῆς θελήσεως.**

**362-363** Οὕτω – ἠθικὰ] cf. Ar., Metaph. V, 1021a24-25: ἔτι ἔνια κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα οὕτω λέγεται, οἷον τὸ ἀόρατον. **379-380** ὁ – τόπου] cf. Aug., De gen. ad litt. VIII, cap. 22, n. 43 (PL 34, col. 389): quod Deus non per tempus motus moveat creaturam spiritualem per tempus.

**356** εἶχεν] ἔχει M (habuit Aq.) **363** φυσικὰ] ἠθικὰ P, M **367** αὐτὴ] αὐτοῦ M **374** ὡσὰν] bIsaias acc. P

[3.17.50] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, ἐπεὶ τοῦ πρώτου χρόνου ἡ διαδοχὴ ἐξ αἰτίας ἤρτηται τῆς διαδοχῆς τῆς κινήσεως, ὡς λέγεται ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς, κατατοῦτο ἀληθὲς ὂν τυγχάνει πᾶν ἐνεστὼς εἶναι ἀρχὴν P 89v καὶ τέλος χρόνου, καθὸ ἀληθές | ἐστι πᾶν ἀκαριαῖον εἶναι ἀρχὴν καὶ τέλος κινήσεως. Ὅθεν, εἰ θείημεν κίνησιν ἀεὶ μὴ εἶναι μήτ᾽ ἔσεσθαι ἀεί, οὐ δεήσει λέγειν πᾶν ἐνεστὼς εἶναι ἀρχὴν καὶ πέρας χρόνου, ἀλλ᾽ ἔσται τι ἐνεστὼς ὅπέρ ἐστιν ἀρχὴ μόνον, καὶ ἄλλο ὅπέρ ἐστι τέλος μόνον. Ὅθεν δῆλον ἐκεῖνον τὸν λογισμὸν εἶναι κύκλῳ καὶ δι᾽ ἀλλήλων, ἀλλ᾽ οὐκ ἀπόδειξιν· ἔχει δὲ πειθὼ πρὸς τὰ προκείμενα τῷ Ἀριστοτέλει, ἐπαγομένῳ ταύτην πρὸς ἀνασκευὴν θέσεως, ὡς εἴρηται· πολλοὶ γάρ εἰσι πιθανοὶ λόγοι πρὸς θέσίν τινα διὰ τὰ ὑπὸ τῶν ἀνταγωνιστῶν τιθέμενα, οἳ ἁπλῶς οὐκ εἰσὶν ἰσχυροί.

[3.17.51] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι τὸ ἐνεστὼς ἀεὶ μὲν θεωρεῖται ῥέον, ἀλλ᾽ οὐκ ἀεὶ ὡς ῥέον ἀπ᾽ ἄλλου εἰς ἄλλο, ἀλλ᾽ ἐνίοτε ὡς ῥέον ἀπ᾽ ἄλλου, ὥσπερ τὸ ἔσχατον ἐνεστὼς τοῦ χρόνου, ἐνίοτε δ᾽ αὖ ὡς ῥέον εἰς ἄλλο μόνον, ὥσπερ τὸ πρῶτον ἐνεστώς.

[3.17.52] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητεόν, ὅτι ὁ λόγος ἐκεῖνος οὐκ ἀποδείκνυσιν, ὅτι ἡ κίνησις ἀεὶ ἦν, ἀλλ᾽ ὅτι ἡ κυκλικὴ κίνησις δύναται εἶναι ἀεί, ὅτι ἐκ τῆς περιφορᾶς οὐ δύναταί τι ἐκ περιουσίας ἀποδεδεῖχθαι. Ὅθεν ὁ Ἀριστοτέλης οὐκ ἀποδείκνυσιν ἐκ τοῦ δίνου τῆς κινήσεως τὴν ἀιδιότητα αὐτῆς, ἀλλ᾽ ὑποτεθέντος εἶναι ἀίδιον δείκνυσιν εἶναι κυκλικὴν τὴν φοράν· ἐπεὶ μηδεμία κίνησις ἄλλη εἶναι δύναται ἀίδιος.

[3.17.53] Καὶ διὰ τοῦτο φαίνεται ἀπόκρισις καὶ πρὸς τὸ ὀκτωκαιδέκατον.

[3.17.54] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ὡς ἔχει τὸ ἐπιστητὸν πρὸς τὴν ἡμετέραν ἐπιστήμην, οὕτως ἡ τοῦ Θεοῦ ἐπιστήμη ἔχει πρὸς τὰ δημιουργήματα. Οὕτω γὰρ ἡ τοῦ Θεοῦ ἐπιστήμη ἐστὶν αἰτία τῶν κτιστῶν, ὥσπερ τὸ ἐπιστητόν ἐστιν αἰτία τῆς ἡμετέρας ἐπιστήμης. Ἀμέλει καὶ καθάπερ τὸ ἐπιστητὸν εἶναι δύναται τῆς ἡμετέρας μὴ οὔσης ἐπιστήμης, οὕτω καὶ ἡ τοῦ Θεοῦ ἐπιστήμη εἶναι δύναται τοῦ ἐπιστητοῦ μὴ ὄντος.

[3.17.55] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ὁ Θεὸς προτερεῖ τοῦ κόσμου τῆς διαμονῆς οὐ χρονικῷ μέντοι διαστήματι, ἀλλ᾽ αἰωνιότητος· τὸ γὰρ εἶναι τοῦ

**385-389** ἐπεὶ – κινήσεως] Ar., Phys. IV, 218b9: ἐπεὶ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστίν, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον·ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν.

**388** ἀκαριαῖον] ἀκαρειαῖον P **397-398** ἀλλ᾽ – ἄλλου] om. et al. man. add. in marg. sin. M **399** μόνον] μένων M **413** προτερεῖ] πρότερος ἐστὶ προτερεῖ M

Θεοῦ οὐ μετρεῖται χρόνῳ. Οὔτ᾽ αὖ πρὸ τοῦ κόσμου γέγονε χρόνος πράγματι, ἀλλὰ φανταστὸς μόνον, καθὸ δηλαδὴ νῦν δυνάμεθα φαντάζεσθαι ἄπειρα χρόνων διαστήματα, τῆς αἰωνιότητος οὔσης ἀνελίττεσθαι δύνασθαι πρὸ τῆς τοῦ χρόνου ἀρχῆς.

[3.17.56] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον ὅτι, εἰ τῆς κυριότητος ἡ ἀναφορὰ νοοῖτο ἕπεσθαι τῇ ἐνεργείᾳ, ᾗ ὁ Θεὸς κατ᾽ ἐνέργειαν διιθύνει τὰ κτίσματα, οὐκ ἔστιν ἐξ αἰῶνος Κύριος. Εἰ μέντοι νοεῖται ἕπεσθαι αὐτῇ τῇ τοῦ διιθύνειν τὰ κτίσματα δυνάμει, οὕτως αὐτῷ διαφέρει τὸ ἐξ αἰῶνος εἶναι Κύριον. Οὐ μέντοι δεῖ τὴν κτίσιν ἐξ αἰῶνος τιθέναι, εἰ μὴ δυνάμει.

[3.17.57] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι τῷ λόγῳ ἐκείνῳ χρῆται ὁ Αὐγουστῖνος πρὸς τὸ ἀποδεικνῦναι τὴν τοῦ Υἱοῦ συναϊδιότητα καὶ ἰσότητα πρὸς τὸν Πατέρα. Ὃς δὴ λόγος οὐκ ἔχει πειθὼ περὶ τοῦ κόσμου· τῆς γὰρ οὐσίας τοῦ Υἱοῦ οὔσης τῆς αὐτῆς τῷ Πατρὶ ζητεῖται ἡ τοῦ Πατρὸς ἰσότης καὶ συναϊδιότης, ὧν ὑποσπωμένων ἐπιτρίβεται φθόνος· ἀλλ᾽ οὐ μεταποιεῖται
P 90r τούτου ἡ τῆς | κτίσεως φύσις· καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.

[3.17.58] Πρὸς τὸ εἰκοστὸν τρίτον ῥητέον, ὅτι καθ᾽ Ἕλληνας λέγεται τὸ ὁ Κύριος ἐβασίλευσεν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἔτι· ὅπερ ἑρμηνεύουσα Ἐξήγησίς τις φησίν, ὅτι αἰὼν νοεῖται τὸ διάστημα τῆς μιᾶς γενεᾶς, ἧς τὸ πέρας καταληπτόν ἐστιν ἡμῖν· διὰ δὲ τὸν αἰῶνα τοῦ αἰῶνος, σύμπαν τὸ τοῦ χρόνου διάστημα δηλοῦται, ὃ πέρας μὲν ἔχει, ἄγνωστον δὲ ἡμῖν· τὸ δὲ ἔτι, ὅτι ὑπὲρ τοῦτο ἡ τοῦ Θεοῦ βασιλεία παρατείνει. Καὶ ταύτῃ ὁ αἰὼν λέγεται ἀντὶ χρόνου διαρκοῦς. Αὐγουστῖνος δὲ ἐν τῷ Προλόγῳ αὐτοῦ ἐκτίθεται τὸν αἰῶνα ἀντὶ τοῦ ἀιδίου, ὃ λήγει μηδέποτε· λέγεται δὲ ἐπέκεινα τούτου τὸν Θεὸν εἶναι πρῶτον μὲν διατοῦτο, ὅτι τὰ ἀίδια δύνανται νοεῖσθαι ὡς μὴ ὄντα, δεύτερον ὅτι οὐκ ἂν εἶεν, εἰ μὴ ἐκ Θεοῦ συνέχοιντο, καὶ ταύτῃ οὐκ ἀφ᾽ ἑαυτῶν εἰσί, τρίτον ὅτι οὐκ ἔχουσιν ὅλον τὸ εἶναι αὐτῶν ὁμοῦ, ἐφόσον ἔστι τις ἐν αὐτοῖς μεταβολὴ καὶ διαδοχή.

[3.17.59] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον, ὅτι διατοῦτο λέγεται τὸ ἀρχόμενον ἔχειν μέτρον τῆς διαμονῆς, ὅτι ἄρχεται κατὰ κίνησιν. Οὕτω δὲ ὁ χρόνος οὐκ ἤρξατο· καὶ γὰρ διὰ δημιουργίας. Ὅθεν ὁ λόγος οὐχ ἕπεται· καίπερ δὲ τοῦτον λεγομένου τὸν τρόπον, ὅμως οἷόν τε λέγεσθαι πᾶν μέτρον ἐν τῷ

**424-426** ὁ – Πατέρα] cf. Aug., Contra Max., cap. 7-8, 23 (PL 42, cols 761-762, 792). **430-431** ὁ – ἔτι] Ex. 15.18: Κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι. **436-437** Αὐγουστῖνος – μηδέποτε] cf. Ans., Monol., cap. 19-20 (PL 158, cols 237-238).

**445** καίπερ δὲ] καὶ περὶ M

**ἑαυτοῦ γένει αὐτὸ ἑαυτῷ μετρεῖν, ὥσπερ ἡ γραμμὴ διὰ τῆς γραμμῆς, ὁμοίως καὶ χρόνος διὰ χρόνου.**

**[3.17.60] Πρὸς τὸ εἰκοστὸν πέμπτον ῥητέον, ὅτι ὁ χρόνος οὐκ ἔχει ὥσπερ τὰ παραμένοντα, ὧν ἡ ουσία ἔστιν ὅλη ὁμοῦ. Ὅθεν οὐκ ἀνάγκη ὅλον τὸν χρόνον εἶναι, ἡνίκα ἄρχεται εἶναι. Καὶ ταύτῃ οὐδὲν ἐμπόδιον πρὸ τοῦ λόγου γίνεται λέγουσιν ἄρξασθαι τὸν χρόνον ἐν ἀκαριαίῳ εἶναι.**

**[3.17.61] Πρὸς τὸ εἰκοστὸν ἕκτον ῥητέον, ὅτι ἡ ἐνέργεια τοῦ Θεοῦ ἐστιν αἰώνιος, τὸ δ’ ἀποτέλεσμα οὐκ ἔστιν αἰώνιον, ὡς ἐν τοῖς φθάσασιν εἴρηται. Ὅθεν, εἰ καὶ ὁ Θεὸς μὴ ἀεὶ εἴη αἰτία, ἐπεὶ μηδὲ ἀεὶ ἦν τὸ ἀποτέλεσμα, οὐχ ἕπεται ὅμως εἶναι αἰτίαν δυνάμει· ἡ γὰρ ἐνέργεια αὐτοῦ ἀεὶ ἦν, εἰ μὴ τὸ δυνάμει πρὸς τὸ ἀποτέλεσμα ἀναφέροιτο.**

**[3.17.62] Πρὸς τὸ εἰκοστὸν ἕβδομον ῥητέον, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἕκτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ ἀληθές ἐστιν ἐν τῷ νῷ, οὐκ ἐν τοῖς πράγμασιν· ἔστι γὰρ παρίσωσις τοῦ νοῦ πρὸς τὸ πρᾶγμα. Ὅθεν πάντα τὰ ὄντα ἐξ αἰῶνος γεγόνασιν ἀληθῆ τῇ ἀληθείᾳ τοῦ θείου νοῦ, ᾗ γέγονεν αἰώνιος.**

**[3.17.63] Πρὸς τὸ εἰκοστὸν ὄγδοον ῥητέον, ὅτι πάντα τὰ ἐξ αἰῶνος λεγόμενα εἶναι ἀληθῆ οὐκ εἰσὶν ἄλλα καὶ ἄλλα καὶ ἄλλῃ ἀληθείᾳ ἀληθῆ, ἀλλὰ μιᾷ καὶ τῇ αὐτῇ τοῦ θείου νοὸς ἀληθείᾳ, ἀναφέρεται μέντοι εἰς διάφορα μέλλοντα πράγματα ἰδικῶς· καὶ οὕτως ἐκ τῆς ἑτερότητος τῆς ἀναφορᾶς δύναταί τις διάκρισις ἐν αὐτῇ τῇ ἀληθείᾳ ἀποδίδοσθαι.**

**[3.17.64] Πρὸς τὸ εἰκοστὸν ἔνατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος τοῦ Φιλοσόφου νοεῖται περὶ τοῦ ὑφεστῶτος λόγου ἐν τῷ ἡμετέρῳ νῷ ἢ ἐν τῇ ἡμετέρᾳ ἀπαγγελίᾳ. Ἡ γὰρ ἀλήθεια τοῦ ἡμετέρου νοῦ ἢ λόγου ἐκ τοῦ |** P 90v **περιόντος τοῦ πράγματος τὴν αἰτίαν ἴσχει, ἀνάπαλιν δὲ ἡ ἀλήθεια τοῦ θείου νοῦ ἐστιν αἰτία τῶν ὄντων.**

**457-459** κατὰ – πράγμασιν] Ar., Metaph. VI, 1027b.25-28: οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθὲς τὸ δὲ κακὸν εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ, περὶ δὲ τὰ ἁπλᾶ καὶ τὰ τί ἐστιν οὐδ' ἐν διανοίᾳ.

**449-450** ὅλον – χρόνον] ὅλου τοῦ χρόνου M (totem tempus Aq.) **450** ἐμπόδιον] deest P
**451** πρὸ – λόγου] τοῦ λόγου πρὸ M

**[3.17.65] Πρὸς τὸ τριακοστὸν ῥητέον, ὅτι τῷ γε τοῦ Θεοῦ μέρει τὸ ποιεῖν οὐκ ἐμφαίνει τι, ὅπέρ ἐστιν ἄλλό τι ἢ τὸ λέγειν αὐτοῦ. Οὐδὲ γάρ ἐστιν ἡ ἐνέργεια τοῦ Θεοῦ συμβεβηκός, ἀλλ' ἡ αὐτοῦ οὐσία. Εἰ δὲ τὸ ποιεῖν αὐτοῦ προτείνεται πρᾶγμά τι ὂν ἐν ἰδίᾳ φύσει, ὅπερ διὰ τοῦ λέγειν οὐκ ἐμφαίνεται, τότε τὸ ποιεῖν αὐτοῦ οὐκ ἔστι τὸ λέγειν αὐτοῦ.**

**[3.17.66] Τὰ δ' αὐθυποφερόμενα ἐπιχειρήματα εἰς τὸ ἐναντίον, εἰ καὶ ἀληθὲς συμπεραίνουσιν, ὅμως οὐκ ἀναγκαίως ἄνευ τοῦ πρώτου τοῦ ἐκ μαρτυρίας τὴν πρόοδον ἴσχοντος. Τὸ γὰρ ἐκ τοῦ διορατικοῦ ἐπιχείρημα κατὰ τὸν τοῦ χρόνου δρόμον οὐ δείκνυσι τὸν χρόνον ποτὲ ἀρξάμενον. Δυνατὸν γὰρ τὴν περὶ τὰς ἐπιστήμας σπουδὴν πλειστάκις ἐγκόπτεσθαι, εἶτα πάλιν μετὰ χρόνους μακροὺς ὥσπερ ἐκ νέου ἐπιχειρεῖσθαι, ὡς καὶ ὁ Φιλόσοφος φησὶν ἐν τῷ ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἔτι τε ἡ γῆ οὐχ οὕτω καθ' ὑπόρροιαν φθίνει ἐκ θατέρου μέρους ὡς κατὰ ἀμοιβαίαν τῶν στοιχείων ἀντιπερίστασιν ἐκ θατέρου μέρους μὴ ἀνταυξάνεσθαι· ἥ τε διαμονὴ τοῦ Θεοῦ, ταὐτὸν οὖσα τῇ φύσει τῷ πράγματι, τῷ λόγῳ μέντοι διαφέρει. Ὅθεν οὐκ ἀνάγκη πρότερον εἶναι τῇ διαμονῇ, εἰ πρότερός ἐστι τῇ φύσει.**

**481-483** Δυνατὸν – φυσικά] Ar., Metaph. XI.

**476** ἐμφαίνεται – τὸ] ἐμφαίνεταί τε, τὸ P

## Κεφάλαιον ὀκτωκαιδέκατον

## Πότερον οἱ ἄγγελοι δεδημιούργηνται πρὸ τοῦ ὁρατοῦ κόσμου ἢ οὔ.

[3.18.1] Ὀκτωκαιδέκατον ζητεῖται, πότερον οἱ ἄγγελοι δεδημιούργηνται πρὸ τοῦ ὁρατοῦ κόσμου. Καὶ δοκεῖ ταύτῃ. Καὶ γάρ, ὡς ὁ Δαμασκηνὸς ὑπομνηματίζει ἐν τῷ δευτέρῳ βιβλίῳ, Γρηγόριος ὁ Θεολόγος φησί, πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννόημα ἔργον ἦν. Πρότερον ἄρα πεποίηκε τοὺς ἀγγέλους, ἢ τὸν ὁρατὸν κατεσκεύασε κόσμον.

[3.18.2] Ἀλλ' ἔλεγεν, ὅτι τὸ πρῶτον ἐνταῦθα ἐμφαίνει τὴν τάξιν τῆς φύσεως, οὐ τῆς διαμονῆς. Ἀλλὰ τοὐναντίον, ὁ Δαμασκηνὸς ἐν τοῖς αὐτοῖς δύο τίθησι δόξας, ὧν μία μὲν εἰσάγει τοὺς ἀγγέλους προγεγονότας, ἑτέρα δὲ τοὐναντίον προΐσταται. Ἀλλ' οὐδεμία γέγονεν οὐδεπώποτε δόξα μὴ εἶναι τοὺς ἀγγέλους προτέρους τῇ φύσει ἐνίων ὁρωμένων κτισμάτων. Ἀνάγκη ἄρα νοεῖσθαι περὶ τῆς τάξεως τῆς διαμονῆς.

[3.18.3] Ἔτι, ὁ Βασίλειός φησιν ἐν τοῖς τῆς Ἑξαημέρου προοιμίοις· ἦν τις φύσις πρὸ τοῦδε τοῦ κόσμου τῷ ἡμετέρῳ νῷ θεάσιμος· ὃ μετὰ ταῦτα ἀναπτύσσει περὶ τῶν ἀγγέλων εἰρῆσθαι· ἄρα πρὸ τοῦ κόσμου τοῦδε γεγόνασιν οἱ ἄγγελοι.

[3.18.4] Ἔτι, ὅσα τῷδ' ἅμα τῷ κόσμῳ διέξεισιν ἡ Γραφὴ ἐν τῇ τῆς Γενέσεως ἀρχῇ, ἀγγέλων δὲ οὐδ' ὁπωστιοῦν ἐμνημόνευσεν. Οὐκ ἄρα δεδημιούργηνται οἱ ἄγγελοι ἅμα τῷδε τῷ κόσμῳ, ἀλλὰ πρὸ τοῦ.

[3.18.5] Ἔτι, πᾶν ὃ τάττεται πρὸς τελειότητά τινος ὡς εἰς τέλος, ἔστιν ὀψιαίτερον αὐτοῦ. Ἀλλ' ὁ ὁρώμενος κόσμος τέτακται πρὸς τελειότητα τῆς νοερᾶς φύσεως. | P 91r Ὡς γὰρ ὁ Ἀμβρόσιος φησίν, ὅτι ὁ Θεός, ὅς ἐστι φύσις ἀόρατος, ἔργον ὁρατὸν πεποίηκε, δι' οὗ γινώσκεσθαι δύναται. Καὶ οὔκουν, εἰ μὴ παρὰ τῆς λογικῆς φύσεως. Ἡ λογικὴ ἄρα κτίσις γέγονε πρὸ τοῦ ὁρατοῦ κόσμου.

[3.18.6] Χωρὶς δὲ τούτων, πᾶν ὅπέρ ἐστι πρὸ τοῦ χρόνου, ἔστι καὶ πρὸ τοῦ ὁρωμένου κόσμου· ὁ γὰρ χρόνος ἤρξατο μετὰ τοῦ ὁρωμένου κόσμου. Ἀλλ' οἱ ἄγγελοι πρὸ τοῦ χρόνου δεδημιούργηνται· οὐ γὰρ ἦν χρόνος πρὸ τῆς ἡμέρας. Οἱ δ' ἄγγελοι γεγόνασι πρὸ τῆς ἡμέρας, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῇ εἰς τὴν

**15-17** ὁ – εἰρῆσθαι] Bas. Hom. in Hex. I (PG 29, col. 13A): Ἦν γάρ τι, ὡς ἔοικε, καὶ πρὸ τοῦ κόσμου τούτου, ὃ τῇ μὲν διανοίᾳ ἡμῶν ἐστι θεωρητόν... **23-24** ὁ – δύναται] cf. Ambr., Hexam. I, cap. 5 (PL 14, col. 142): Invisibilis Deus – invisibilia.

**Γένεσιν ἐξηγήσει. Οἱ ἄγγελοι ἄρα γεγόνασι πρὸ τοῦ ὁρατοῦ κόσμου.**

**[3.18.7] Παρὰ ταῦτα, ὁ Ἱερώνυμός φησιν ἐν τῇ Εἰς τὸν Τίτον ἐπιστολῇ· ἑξακισχίλια ἔτη οὐ περιγέγονέ πω τοῦ ἡμετέρου χρόνου, καὶ ἡ πηλικότης τῆς πρότερον αἰωνιότητος, ἡλίκη γέγονε τῷ χρόνῳ, ὑποληπτέον ἐστίν, ἐν ᾗ οἱ ἄγγελοι δεδουλεύκασι τῷ Θεῷ, καὶ τούτου προστάξαντος ὑπέστησαν. Ἀλλ᾽ ὁ ὁρωμένος κόσμος ἤρξατο ὁμοῦ τῷ ἡμετέρῳ χρόνῳ. Ἄρα οἱ ἄγγελοι, πρὸ τοῦ ὁρωμένου κόσμου γεγόνασιν.**

**[3.18.8] Ἔτι, τοῦ σοφοῦ ἐστι μετὰ τοῦ τεταγμένου προάγειν τὸ ἑαυτοῦ ἀποτέλεσμα. Ἀλλ᾽ οἱ ἄγγελοι προφέρουσιν εὐγενείᾳ τῶν λοιπῶν ὁρωμένων κτισμάτων. Ἄρα παρὰ τοῦ ἀριστοτέχνου Θεοῦ πρῶτον ὤφειλον γενέσθαι.**

**[3.18.9] Ἔτι, καθόσον ὁ Θεὸς ἀγαθὸς ἐστί, μερίτας τοὺς ἄλλους τῆς ἀγαθότητος αὐτοῦ ποιεῖται. Ἀλλὰ ταύτης τῆς ἀξίας μᾶλλον τῶν λοιπῶν ὁρωμένων κτισμάτων ὄντες οἱ ἄγγελοι χωρητικοί, προηγοῖντο <ἂν> τῇ γενέσει. Δοκεῖ ἄρα τοῦτο αὐτοῖς, τῇ ἄκρᾳ τοῦ Θεοῦ ἀγαθότητι συνενηνέχθαι.**

**[3.18.10] Ἔτι, ὁ ἄνθρωπος λέγεται κόσμος μικρός· καὶ γὰρ ἔοικέ πως τῷ μείζονι κόσμῳ. Ἀλλ᾽ ἐν τῷ ἀνθρώπῳ τὸ κρεῖττον μόριον, πρωὶ τῶν ἄλλων μορίων εἰδοποιεῖται, εἴτουν ἡ καρδία, ὡς ὁ Φιλόσοφός φησι. Δοκεῖ ἄρα τοὺς ἀγγέλους, οἳ κρεῖττον εἰσὶ μόριον τοῦ μείζονος κόσμου, πρὸ τῶν ὁρωμένων κτισμάτων γεγονέναι.**

**[3.18.11] Ἔτι, ὁ Αὐγουστῖνός φησιν, ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς εἰς τὴν Γένεσιν ἐξηγήσεως, ἐν τῷ τῆς δευτέρας ἡμέρας ἔργῳ καὶ ἐφεξῆς, τριχῇ μέμνεται τῆς δημιουργίας τῶν ὄντων ἡ Γραφή. Φησί γάρ πρῶτον, εἶπεν ὁ Θεός, γενηθήτω στερέωμα. Δεύτερον, καὶ ἐγένετο οὕτως. Τρίτον, καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα. Ὧν τὸ μὲν πρῶτον ἀναφέρεται πρὸς τὸ εἶναι τῶν ὄντων ἐν τῷ Λόγῳ, τὸ δεύτερον πρὸς τὸ εἶναι τῶν ὄντων τὸ ἐν τῇ τῶν ἀγγέλων γνώσει, ᾗ δὴ οἱ ἄγγελοι λαμβάνουσι τὴν γνῶσιν τῶν ποιητέων κτισμάτων, τὸ τρίτον δὲ πρὸς τὸ ἐν τῇ ἰδίᾳ φύσει τῶν ὄντων εἶναι. Ἀλλ᾽ ἡνίκα μηδὲν ἦν τῶν ὁρατῶν, ποιητέος ἦν ὁ κόσμος. Ἄρα οἱ ἄγγελοι γεγόνασι καὶ εἶχον τὴν γνῶσιν τῆς ὁρατῆς κτίσεως, καὶ πρὶν ἢ γενέσθαι.**

**29-30** οἱ – ἐξηγήσει] cf. Aug., De gen. ad litt. I, cap. 9 (PL 34, cols 379-380).

[3.18.12] =Η δ’ ὃς ὑπολαβών, ὅτι τοῦτο νοεῖται περὶ τῆς κατασκευῆς τῶν κτισμάτων, ὅσον πρὸς τὴν αὐτῶν μόρφωσιν, οὐχ ὅσον πρὸς τὴν πρώτην δημιουργίαν. Ἀλλὰ τοὐναντίον, κατὰ τὴν Αὐγουστίνου δόξαν ἡ δημιουργία P 91v τῆς ὁρωμένης φύσεως οὐχ ἡγήσατο τῷ χρόνῳ τῆς μορφώσεως αὐτῆς. | Εἰ τοίνυν οἱ ἄγγελοι γεγόνασιν πρὸ τῆς μορφώσεως τῆς ὁρωμένης κτίσεως, γεγόνασι καὶ πρὸ τῆς δημιουργίας αὐτῆς.

[3.18.13] Χωρὶς δὲ τούτων, τὸ λέγειν τοῦ Θεοῦ ἐστιν αἰτία τῆς ποιητέας κτίσεως. Ὃ δὴ λέγειν οὐ δοκεῖ δύνασθαι νοεῖσθαι περὶ τῆς αἰωνίου τοῦ Λόγου γεννήσεως· ἐκείνη γὰρ ἐξ ἀιδίου ἦν, οὐδὲ περιόδοις χρόνων ἀναλαμβάνεται, μάλιστα ἑκάστης ἡμέρας τῆς Γραφῆς ἀναλαμβανούσης τὸν Θεὸν λέγοντά τι. Οὔτ’ ἂν οἷόν τε νοεῖσθαι ὡσανεὶ σωματικὴ διάλεξις, νῦν μὲν ὅτι οὐκ ἦν πω ἄνθρωπος, ὃς τῆς φωνῆς τοῦ Θεοῦ διαλεγομένου ἐπαΐειν ἠδύνατο, νῦν δ’ ὅτι δεήσειεν ἂν πρὸ τῆς τοῦ φωτὸς μορφώσεως εἶναί τι σωματικὸν μεμορφωμένον, τῆς σωματικῆς φωνῆς μὴ δυναμένης γίνεσθαι εἰ μὴ διά τινος μορφώσεως σωματικοῦ. Δοκεῖ τοίνυν νοεῖσθαι περὶ τῆς νοητῆς ὁμιλίας, ᾗ ὁ Θεὸς πρὸς τοὺς ἀγγέλους διαλέγεται. Καὶ ταύτῃ δοκεῖ τὴν τῶν ἀγγέλων γνῶσιν προϋποτίθεσθαι ὡς αἰτίαν πρὸς τὴν τῶν ὁρατῶν δημιουργημάτων παραγωγήν.

[3.18.14] Ἔτι, ὡς εἴρηται ἐν τοῖς φθάσασιν, ἡ ἱερὰ Γραφὴ τριχῇ τῆς δημιουργίας τῶν ὄντων μέμνηται· ὧν ἡ μὲν πρώτη προσήκει πρὸς τὸ ἐν τῷ Λόγῳ τῶν ὄντων εἶναι, ἡ δευτέρα πρὸς τὸ ἐν τῇ ἀγγελικῇ διανοίᾳ τῶν ὄντων εἶναι, ἡ τρίτη πρὸς τὸ ἐν τῇ ἰδίᾳ φύσει σφῶν εἶναι. Ἀλλὰ τὸ πρῶτον τούτων πρεσβεύει τοῦ δευτέρου καὶ διαμονῇ καὶ αἰτίᾳ. Ἄρα παραπλησίως καὶ τὸ δεύτερον πρεσβύτερόν ἐστι τοῦ τρίτου διαμονῇ καὶ αἰτίᾳ, δηλαδὴ ἡ ἀγγελικὴ γνῶσις τῆς ὑπάρξεως τῶν ὁρωμένων δημιουργημάτων.

[3.18.15] Ἔτι, οὐχ ἧττον ζητεῖται ἡ τάξις ἐν τῇ προόδῳ τῶν ὄντων ἀπὸ τῆς ἀρχῆς, ἢ ἐν τῇ ὑποστροφῇ αὐτῶν τῇ πρὸς τὸ τέλος. Ἀλλ’ ἐν τῷ ἐπανιέναι τὰ ὄντα εἰς τὸ τέλος, νόμος ἐστὶ τῆς θεότητος ἀκίνητος, ὡς ὁ Διονύσιος φησί, τὰ ἔσχατα ἀνακύπτειν εἰς τὸ τέλος διὰ τῶν μέσων. Αἱ σωματικαὶ τοίνυν δημιουργίαι, αἵπερ εἰσὶν ἔσχαται, ὁρμῶνται ἐκ τοῦ Θεοῦ διὰ τῶν ἀγγελικῶν

**61-62** κατὰ – αὐτῆς] cf. Aug., De gen. ad litt. I, cap. 15, n. 29 (PL 34, col. 257): Non quia informis materia formatis rebus tempore prior est. **86-87** ὁ – μέσων] Ps.-Dion., De eccl. hier., cap. V.

**60** ὅσον] ὅσων M (quantum Aq.) **85** ὑποστροφῇ] ἐπιστροφῇ (reductione Aq.)

κτισμάτων, ἅ εἰσι μέσαι. Καὶ οὕτως οἱ ἄγγελοι προήκουσι τῶν σωματικῶν κτισμάτων, ὥσπερ αἰτία τοῦ ἀποτελέσματος.

[3.18.16] Ἔτι, τοῖς πάντῃ διακεκριμένοις οὐ προσήκει τινὸς κοινωνίας. Ἀλλ' οἱ ἄγγελοι καὶ τὰ ὁρατὰ δημιουργήματα πάντῃ ἀλλήλων διακέκριται. Οὐ κοινωνοῦσι τοίνυν τοῦ χρόνου τῆς δημιουργίας, ὥστ' εἶναι ἅμα, ἄτακτόν τε εἴη τοὺς ἀγγέλους κατόπιν τῶν ὁρατῶν κτισμάτων γενέσθαι. Ἄρα πρὸ τῶν ὁρατῶν κτισμάτων δεδημιούργηνται.

[3.18.17] Ἔτι, ὁ Ἐκκλησιαστὴς ἐν τῷ πρώτῳ φησί· πρώτη πάντων ἔκτισται ἡ σοφία. Ὃ οὐχ οἷόν τε λαμβάνεσθαι περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὅς ἐστι σοφία τοῦ Πατρός· οὐ γὰρ κτιστὸς αὐτός, ἀλλὰ γεννητός. Ἡ ἀγγελικὴ ἄρα σοφία ἔκτισται πρὸ πάντων τῶν ἄλλων γεγονότων.

P 92r [3.18.18] Ἄνευ δὲ τούτων, ὁ Ἱλάριός φησιν ἐν | τῷ Περὶ Τριάδος βιβλίῳ· τί θαυμαστόν, εἰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸ τῶν αἰώνων γενέσθαι ὁμολογοῦμεν, τοῦ Θεοῦ ποιήσαντος τοὺς ἀγγέλους πρὸ τοῦ κόσμου; Ἀλλ' οὐχ ὅπως ὁ τοῦ Θεοῦ Υἱὸς τῇ τάξει τῆς ἀξιώσεως, ἀλλὰ καὶ τῇ τῆς διαμονῆς, πάντων προϋπάρχει τῶν αἰώνων. Καὶ οἱ ἄγγελοι ἄρα τοῦ ὁρωμένου κόσμου.

[3.18.19] Ἔτι, ἡ ἀγγελικὴ κτίσις μέση τίς ἐστι τῆς τε θείας καὶ σωματικῆς φύσεως, τό τε ἀίδιόν ἐστι τῶν ἀγγέλων μέτρον, ὃ μεταξὺ χρόνου τὲ καὶ αἰῶνος ἐστίν. Ἀλλ' ὁ Θεὸς τῇ αὐτοῦ αἰωνιότητι γέγονε πρὸ τῶν ἀγγέλων καὶ τῆς ὁρωμένης κτίσεως. Καὶ οἱ ἄγγελοι τοίνυν τῷ ἑαυτῶν ἀιδίῳ, γεγόνασι πρὸ τοῦ ὁρωμένου κόσμου.

[3.18.20] Πρὸς δὲ τούτοις, ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ ἑνδεκάτῳ, ὅτι οἱ ἄγγελοι ἀεὶ ἦσαν. Ἀλλ' οὐχ οἷόν τε λέγεσθαι τὴν σωματικὴν κτίσιν ἀεὶ εἶναι. Οἱ ἄγγελοι ἄρα γεγόνασι πρὸ τῆς σωματικῆς κτίσεως.

[3.18.21] Ἔτι, αἱ κινήσεις τῆς σωματικῆς κτίσεως, οἰκονομοῦνται τῇ ὑπουργίᾳ τῶν νοητῶν κτισμάτων, ὡς φαίνεται διὰ τοῦ Αὐγουστίνου ἐν τῷ Περὶ Τριάδος τρίτῳ καὶ διὰ Γρηγορίου ἐν τῷ τετάρτῳ τῶν Διαλόγων. Ἀλλὰ τὸ κινοῦν ἡγεῖται τοῦ κινουμένου. Οἱ ἄγγελοι ἄρα γεγόνασι πρὸ τῶν ὁρατῶν κτισμάτων.

**96-97** ὁ –σοφία] Sap. Sirach 1, 4: προτέρα πάντων ἔκτισται σοφία καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος. **100-103** ὁ – κόσμου] cf. Hilar., De trin. XII (PL 10, col. 433): Filium ab aeterno Patre natum, perinde aeternum esse. **110-111** ὁ – ἦσαν] cf. Aug., De civ. XI, cap. IX (PL 41, cols 323-325).

**91** κοινωνίας] sic P, M; intellige κοινωνεῖν **106** ἔστι] ἔτι M | ὃν] οἳ P (quod Aq.) **108** ἑαυτῶν] ἑαυτῆς M

**[3.18.22] Ἐπὶ δὲ τούτοις πᾶσιν, ὁ Διονύσιος παραβάλλει τὴν θείαν ἐνέργειαν τῇ τοῦ πυρὸς εἰς τὰ σώματα ἐνεργείᾳ τὰ πάσχοντα ὑπ' αὐτοῦ. Ἀλλὰ τὸ πῦρ πρότερον δρᾷ εἰς τὰ παρ' αὐτῷ σώματα ἢ εἰς τὰ ἐκποδὼν αὐτῷ. Καὶ ἡ θεία ἄρα ἀγαθότης πρότερον παρήγαγε τοὺς ἀγγελικοὺς διακόσμους τοὺς παρ' αὐτήν, ἢ τὰ σώματικὰ κτίσματα, πλεῖστον ὅτι ἀφεστηκότα. Καὶ ταύτῃ οἱ ἄγγελοι προϋπάρχουσι τοῦ ὁρωμένου κόσμου.**

**[3.18.23] Ἀλλ' ἀντίξοόν ἐστι τὸ εἰρημένον ἐν τοῖς τῆς Γενέσεως προοιμίοις·** ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· **ἡ γὰρ Ἐξήγησις τοῦ Αὐγουστίνου φησίν, ὅτι διὰ μὲν τοῦ οὐρανοῦ νοεῖται ἡ ἀγγελικὴ φύσις· διὰ δὲ τῆς γῆς ἡ σωματική. Ἄρ' οἱ ἄγγελοι τῇ σωματικῇ φύσει ὁμοῦ γεγόνασιν.**

**[3.18.24] Ἔτι, ἡ τοῦ Στράβου Ἐξήγησις, ἡ ἐν τῷ αὐτῷ χωρίῳ φησίν, ὅτι διὰ τοῦ οὐρανοῦ ἐκεῖνο νοεῖται, ὁ ἐμπύριος οὐρανός, ὃς ὁμοῦ γενόμενος ἁγίων ἀγγέλων πεπλήρωται. Οἱ ἄγγελοι ἄρα ὁμοῦ γεγόνασι τῷ ἐμπυρίῳ οὐρανῷ, ὅπέρ ἐστιν ὁρατὸν κτίσμα.**

**[3.18.25] Ἔτι, ὁ ἄνθρωπος κόσμος λέγεται μικρός· ἔχει γὰρ καὶ ὁμοιότητα τοῦ μείζονος κόσμου. Ἀλλ' ἐν τῷ ἀνθρώπῳ ὁμοῦ τέ ἐστι τὸ σῶμα καὶ ἡ ψυχή. Ἄρα καὶ ἐν τῷ μείζονι κόσμῳ ὁμοῦ γίνεται ἥ τε ἀγγελικὴ καὶ σωματικὴ κτίσις.**

**[3.18.26] Ἀπόκρισις. Ῥητέον, ὅτι κατὰ μὲν τοῦτο συνεχώρησαν πάντες οἱ κοινοῦ διδασκαλείου προστάντες τῆς οἰκουμένης τὸ μὴ ἀεὶ γεγονέναι τοὺς ἀγγέλους, ὡσὰν ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι προελθόντας. Ἔνιοι μέντοιγε**
P 92v **εἰσῆγον τοὺς ἀγγέλους οὐχ ὁμοῦ τῷ ὁρωμένῳ κόσμῳ, ἀλλὰ | πρὸ τούτου ἄρξασθαι. Πρὸς δὲ τὸ τοῦτο τιθέναι διαφόροις λόγοις ὡρμήθησαν. Τινὲς μὲν γὰρ ἐδόξασαν τὰ σωματικὰ κτίσματα μὴ προελθεῖν ἐκ τοῦ πρώτου σκοποῦ τοῦ Θεοῦ, ἀλλὰ τὴν διάνοιαν ἀναλαβεῖν τοῦ ταῦτα προαγαγεῖν τὸν Θεὸν δι' ἀρετὴν ἢ κακίαν τῶν ἀσωμάτων κτισμάτων. Ἠξίου γὰρ ὁ Ὠριγένης ἐξ ἀρχῆς ὁμοῦ γενέσθαι πάντα τὰ ἀόρατα καὶ λογικὰ κτίσματα καὶ πάντ' ἴσα γενέσθαι, ὡς τὸ εἰκὸς τῇ θείᾳ δικαιοσύνῃ. Οὐ γὰρ ἔοικεν ἀνισότητά τινα περὶ ταῦτα εἶναι τοῦ δικαίου συντηρουμένου εἰ μὴ τῇ περὶ τὴν ἀρετὴν καὶ κακίαν διαφορᾷ.**

**124-125** ἐν – γῆν] Gen. 1, 1: ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

**120** τὰ – αὐτῷ] propinqua Aq. **128** Στράβου] intell. Στράβωνος (Strabonis Aq.) **137** ὡσὰν] bis acc. P

Ὅθεν τὴν προχωρήσασαν ἐν τοῖς ὁρωμένοις διαφορὰν ἀνετίθει τῇ τῆς ἀρετῆς καὶ κακίας διαφορᾷ, ὡς, καθόσον ἔνια τῶν πνευματικῶν κτισμάτων μᾶλλον τῷ Θεῷ προσφύονται, εἰς τὰς ὑψηλοτέρας τῶν ἀγγέλων τάξεις μᾶλλον προχωρεῖν ἃ δὲ μᾶλλον ἁμαρτάνει, τοῖς παχυτέροις καὶ δυσγενεστέροις σώμασι συνδεῖσθαι, ὡς τὸ τῶν βεβιωμένων διαλλάττον εἰσπράττεται, διαφόρους ὑφέσεις τε καὶ ὑπεροχὰς σωμάτων παράγεσθαι ἐκ Θεοῦ. Ταύτην δὲ τὴν θέσιν ὡς ἐπίπαν ὁ Αὐγουστῖνος ἀποδοκιμάζει ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ ἑνδεκάτῳ. Αἰτίαν γὰρ τῶν κατεσκευασμένων δημιουργημάτων οὐδὲν ἕτερον εἶναι καθέστηκεν, ὡς μὲν τῶν νοητῶν, ὡς δὲ τῶν σωματικῶν κτισμάτων, ἢ τὴν τοῦ Θεοῦ ἀγαθότητα, ἐφόσον τὰ κτίσματα τῇ αὐτῶν κτιστῇ ἀγαθότητι τὴν ἄκτιστον ἀγαθότητα κατὰ τὸ ἐνὸν αὐτοῖς προδείκνυσι. Διά τοι τοῦτο ἐν τῇ τῆς Γενέσεως ἀρχῇ, ἡ Γραφὴ περὶ ἑκάστης ἡμέρας καὶ τελευτῶσα περὶ πάντων ὁμοῦ φησίν· οἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν, μονονουχὶ λέγουσα· διατοῦτο ὁ Θεὸς τὰ κτίσματα πεποίηκεν, ἐφ ᾧ ἔχειν ἀγαθότητα. Κατὰ τὴν εἰρημένην δόξαν, οὐχ ὅτι ἦν ἀγαθὸν ταῦτα εἶναι, ὥστε δίκας δοῦναι τὴν πονηρίαν τῶν ἀσωμάτων κτισμάτων. Ἕψεται γὰρ τόδε τὸ πᾶν, ὃ νῦν ὁρῶμεν, ἐκ τοῦ συντυχόντος γενέσθαι, ὅτι δὴ συμβέβηκε διάφορα λογικὰ κτίσματα διαφόρως ἁμαρτεῖν. Εἰ γὰρ ἐξίσης πάνθ’ ἥμαρτεν, οὐδ’ ἡτισοῦν διαφορὰ ἐν τοῖς τῶν κτισμάτων σώμασιν ἦν ἂν κατ’ αὐτούς. Ὅθεν ταύτης ἀναιρεθείσης τῆς θέσεως ἕτεροι ἀποσκοποῦντες εἰς τὴν φύσιν τῶν νοητῶν οὐσιῶν, ἥτίς ἐστιν ἐν ἀξίᾳ μείζονι τῆς σωματικῆς φύσεως, ὑπέθεσαν τὰς νοητὰς οὐσίας πρὸ τῶν σωματικῶν γεγονέναι, ἵν’, ὥσπερ ἡ νοητὴ κτιστὴ οὐσία μέση τίς ἐστι τῇ τάξει τῆς φύσεως πρός τε Θεὸν καὶ τὴν σωματικὴν κτίσιν, οὕτω τοι καὶ μέση τῇ διαμονῇ εἴη. Αὕτη δὲ ἡ δόξα γέγονεν ἀξιόχρεων διδασκάλων, οἷον Βασιλείου, Γρηγορίου τοῦ Θεολόγου καί τινων ἄλλων, ἀμέλει καὶ οὐκ ἀποδοκιμαστέα ἂν εἴη ὡσάν τις πλάνη. Ἀκριβῶς δὲ
P 93r προσέχουσι τὸν νοῦν ἔστι τις ἑτέρα δόξα, ἧς Αὐγουστῖνος προΰστη καί | τινες ἄλλοι τῆς ἐκκλησίας ἱεροφάνται· ἣ δὴ καὶ νῦν κοινῇ κατέχουσα εὐλογωτέρα εὑρίσκεται. Οἱ γὰρ ἄγγελοι οὐ μόνον ἂν εἶεν ἀπολύτως καὶ καθ’ ἑαυτοὺς

**151-153** Ταύτην – ἑνδεκάτῳ] Aug., De civ. XI, cap. 23 (PL 41, cols 336-337). **158-159** οἶδεν – λίαν] Gen. 1, 31: καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

**150** βεβαιομένων] βεβιωμένων P (meritorum Aq.) **174** καὶ – ἑαυτοὺς] deest Aq.

θεωρητέοι, ἀλλὰ καὶ ᾗ μέρος εἰσὶ τοῦ παντός· ᾧ καὶ τοσοῦτο δεῖ μᾶλλον προσέχειν τὸν νοῦν, ἐφόσον τὸ ἀγαθὸν τοῦ παντὸς ὑπέρκειται τοῦ ἀγαθοῦ ἡστινοσοῦν μερικῆς κτίσεως, ὥσπερ τὸ τοῦ ὅλου ἀγαθὸν προῦχει τοῦ ἀγαθοῦ <τοῦ> μέρους. Ἧ δὲ θεωροῦνται οἱ ἄγγελοι ὡς μέρη τοῦ παντός, δεῖ ὁμοῦ τῇ σωματικῇ κτίσει συνδημιουργεῖσθαι. Ἑνὸς γὰρ ὅλου μία δοκεῖ εἶναι εἰς τὸ εἶναι πρόοδος. Εἰ δὲ ἰδίᾳ καὶ χωρὶς δημιουργοῖντο οἱ ἄγγελοι, δόξαιεν ἂν ξένως ἔχειν τῆς τῶν σωματικῶν κτισμάτων τάξεως, ὡσανεί τι ὅλον καθ' ἑαυτοὺς ποιοῦντες. Ὅθεν ῥητέον ἂν εἴη τοὺς ἀγγέλους ὁμοῦ τῇ σωματικῇ κτίσει <δε>δημιουργῆσθαι, μηδὲν μέντοι τῆς ἑτέρας δόξης καταψηφιζομένοις.

[3.18.27] Καὶ διὰ τούτου ὑπανοίγνυταί τις ἡμῖν ἀπόκρισις, πρὸς τὰ πρῶτα τρία· ἔχουσι γὰρ τὴν πρόοδον κατὰ τὴν μέσην δόξαν.

[3.18.28] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὥσπερ ὁ Μέγας Βασίλειός φησιν ἐν τῇ ἀρχῇ τῆς Ἑξαημέρου, Μωσῆς ὁ Νομοθέτης ἐν τῆς Γενέσεως προοιμίοις, ἐκ τῆς τῶν ὁρωμένων κτισμάτων τάξεως ἤρξατο τῆς καθ' αὐτὸν ἱστορίας, μεθεὶς τὰ νοητὰ κτίσματα. Ὧν πρότερον γεγονότων οὐδεμίαν ἐποιήσατο μνήμην· καὶ γὰρ δήμῳ ἀτελεῖ παιδείας διελέγετο καὶ πρὸς ἀκρόασιν τῶν νοητῶν μαθημάτων οὐκ ἀποχρῶντι. Κατὰ δὲ τὸν Αὐγουστῖνον τὴν μὲν νοητὴν κτίσιν διὰ τοῦ οὐρανοῦ νοεῖ, ὡσπερὰν καὶ διὰ τῆς γῆς τὴν αἰσθητήν, λέγων ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Τί δήποτε δὲ ὑπὸ τῇ τοῦ οὐρανοῦ μεταφορᾷ καὶ οὐκ ἐναργῶς τὴν τῶν ἀγγέλων δημιουργίαν ἔκφορον πεποίηκεν, ὁ αὐτὸς δύναιτ' ἂν λόγος ἀποδίδοσθαι ὁ κἀν τοῖς ἄνω, εἰ ἡ τοῦ λαοῦ ἀμαθία, καὶ πρὸς τούτοις τὸ φυλάττεσθαι τὴν εἰδωλολατρείαν, πρὸς ἣν πρανεῖς ἦσαν· καὶ γὰρ ἂν ἐδόθη πρόφασις, εἴ γε τίθοιντο οὐσίαι πολλαὶ νοηταὶ παρὰ τὸν ἕνα Θεὸν κρείττονες οὖσαι, καὶ ταῦτα τοῦ οὐρανοῦ, καὶ μάλιστα τῶν τοιούτων οὐσιῶν θεῶν παρὰ τῶν Ἑλλήνων ὀνομαζομένων. Κατὰ δὲ τὸν Στράβον καί τινας ἄλλους πρεσβυτέρους, διὰ τοῦ οὐρανοῦ, ὥσπερ ἐν τῷ παρεισαχθέντι ῥητῷ κεῖται, νοεῖται ὁ ἐμπύριος οὐρανός, ὅς ἐστι δίαιτα καὶ λάχος τῶν ἁγίων ἀγγέλων, ὅθεν κἀν τῇ τούτου δημιουργίᾳ συννοεῖται καὶ ἡ τῶν ἀγγέλων δημιουργία μεταφορικῶς, ὥσπερ ὅταν τίθηται τὸ περιέχειν ἀντὶ τοῦ περιεχομένου.

**186-191** ὁ – ἀποχρῶντι] cf. Bas., Hom. in Hex. I, cap. 2 (PG 29, cols 28-29). **200-204** Κατὰ – περιεχομένου] cf. Str., Geogr. II, cap. 8.

**200** Στράβον] intell. Στράβωνα (Strabonem Aq.) **204** περιέχειν] intellige περιέχον

**[3.18.29] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τετάρτῳ τῆς Εἰς τὴν γένεσιν ἐξηγήσεως, οὐ γινώσκουσιν οἱ ἄγγελοι τὸν Θεὸν ἐκ τῶν ὁρωμένων δημιουργημάτων· ἀμέλει καὶ τὰ ὁρατὰ οὐ γέγονεν, ὥστε τὸν Θεὸν ἐμφαίνειν τοῖς ἀγγέλοις, ἀλλὰ τῇ λογικῇ κτίσει, ἥτις ἐστὶν ὁ ἄνθρωπος. Ὅθεν διὰ τούτων ἀποδείκνυται τὸν ἄνθρωπον εἶναι τέλος τῶν κτισμάτων. Τὸ τέλος δέ, εἰ καί | P 93r ἐστι πρῶτον τῷ σκοπῷ, ἔστι μέντοιγε ἔσχατον τῇ ποιήσει· τῷ τοι καὶ γέγονεν ἔσχατος ὁ ἄνθρωπος.**

**[3.18.30] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι κατὰ τὸν Αὐγουστῖνον ἡ τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργία οὐχ ἡγήσατο τῇ διαμονῇ τῆς μορφώσεως τοῦ φωτὸς ἢ τῆς παραγωγῆς, καὶ διατοῦτο οὐ νοεῖ τὴν δημιουργίαν τῆς ἀσωμάτου φύσεως γεγονέναι προτέραν τῆς πρώτης ἡμέρας τῇ διαμονῇ, ἀλλά τινι φύσεως τάξει.**

**Ἡ γὰρ νοητὴ οὐσία ἀμόρφωτος ἔτι καὶ νῦν κατὰ τὴν ἑαυτῆς οὐσίαν θεωρουμένη, ἀλλοιώσεσι καιρῶν οὐχ ὑπόκειται. Ὅθεν καὶ διὰ τούτων νοεῖσθαι οὐχ οἷόν τε τὴν νοητὴν κτίσιν γενέσθαι πρὸ τῆς αἰσθητῆς, ἐπεὶ καὶ πρὸ τῆς τοῦ φωτὸς ποιήσεως λόγος γέγονε περὶ τῆς δημιουργίας τῶν σωματικῶν κτισμάτων, ὃ διὰ τῆς γῆς νοεῖται. Κατὰ δὲ ἑτέρους ἡ δημιουργία τοῦ οὐρανοῦ καὶ τῆς γῆς τῇ πρώτῃ ἡμέρᾳ προσήκει· μετὰ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς δεδημιούργηται ὁ χρόνος, εἰ καὶ ἡ τῶν ὁρισμῶν ἀπόδοσις τῶν χρόνων τό γ' ἧκον εἴς τε τὴν ἡμέραν καὶ τὴν νύκτα ἤρξατο διὰ τοῦ φωτός. Ὅθεν χρόνος ἀποδίδοται εἷς περὶ τῶν τεττάρων τῶν πρῶτον δημιουργηθέντων, ἅτινά εἰσιν ἡ ἀγγελικὴ φύσις, ὁ ἐμπύριος οὐρανός, ἡ ἄκοσμος ὕλη καὶ ἡ γῆ.**

**[3.18.31] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Ἱερώνυμος διαλέγεται κατὰ τὴν δόξαν τῶν ἀρχαίων διδασκάλων.**

**[3.18.32] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος προαχθείη, εἰ ὁτιδήποτε τῶν ὄντων προενεχθείη ὡς καθ' αὑτὸ ὑπάρχον ἀπολύτως· ταύτῃ γὰρ εἰκὸς ἂν εἴη ἕκαστον ἰδίᾳ κτίζεσθαι κατὰ τὸν τῆς αὑτοῦ ἀγαθότητος βαθμόν. Ἀλλ' ἐπεὶ πάντα τὰ ὄντα πρόεισιν ὡς μέρη ἑνὸς παντός, προσῆκόν ἐστι πάντα ὁμοῦ προϊέναι πρὸς ἑνὸς παντὸς συμπλήρωσιν.**

**[3.18.33] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι, εἰ καί τινα ἀξίαν ἀναιρεῖται τῇ νοητῇ κτίσει τὸ πρὸ τῆς ὁρωμένης δημιουργηθῆναι κτίσεως, οὐ συμβαίνει μέντοιγε τῇ ἀξίᾳ καὶ τῷ ἑνὶ τοῦ παντός.**

**212-214** κατὰ – παραγωγῆς] Aug., De gen. ad litt. I, cap. 5 (PL 34, cols 219-220).

**217** ἀλλοιώσεσι] ἀλοιώσεσι P

[3.18.34] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ καρδία πρὸ τῶν ἄλλων μελῶν διαπλάττεται, ὅμως παντὸς τοῦ σώματος τοῦ ζῴου ἔστι μία καὶ συνεχὴς γένεσις, οὐ χωρὶς μιᾷ γενέσει διαπλαττομένης τῆς καρδίας καὶ κατόπιν ἐκ διαδοχῆς ἄλλαις γενέσεσι τῶν ἄλλων μελῶν γινομένων τινῶν παρεμπιπτόντων χρόνων. Τοῦτο δὲ οὐχ οἷόν τε λέγεσθαι ἐν τῇ τῶν ἀγγέλων δημιουργίᾳ καὶ τῶν σωματικῶν κτισμάτων, ὅτι μιᾷ μὲν προόδῳ δεδημιούργηνται, ἀλλ’ ἡ νοητὴ δημιουργία πρὸ τῆς σωματικῆς προῆκται ὡσανεὶ κατὰ συνέχειαν ὅλου τινὸς προβιβαζομένου. Τὸ γὰρ κατὰ διαδοχὴν προάγειν ἔστιν ἐν τοῖς ἐξ ὕλης, ἐν οἷς ἔστιν ἓν μόριον γεῖτον μᾶλλον τῇ συμπληρώσει ἢ ἄλλο· ὅθεν ἐν τῇ πρώτῃ τῶν ὄντων δημιουργίᾳ οὐκ ἔχει χώραν ἡ διαδοχή, εἰ καὶ ἐν τῇ διαμορφώσει τῶν ἐξ ὕλης γινομένων δύναται χώραν ἔχειν. Ὅθεν καὶ οἱ τοὺς ἀγγέλους θέμενοι πρὸ τοῦ ὁρωμένου κόσμου
P 94r κτισθῆναι | διδάσκαλοι συνέθεσαν τοπαράπαν τήν τε τῶν ἀγγέλων καὶ τῶν σωματικῶν δημιουργίαν διακεκριμένην καὶ πολὺ τὸ μεταξὺ διάστημα τοῦ χρόνου. Χωρὶς δὲ τούτων, τὴν μὲν καρδίαν ἀνάγκη ἐν τῷ ζῴῳ πρώτην διαπλάττεσθαι· ἡ γὰρ τῆς καρδίας δύναμις δρᾷ πρὸς τὴν διάπλασιν τῶν ἄλλων μελῶν. Ἡ νοητὴ δὲ κτίσις οὐδὲν ἐνεργεῖ πρὸς τὴν δημιουργίαν τῶν αἰσθητῶν κτισμάτων. Μόνου γάρ ἐστι τοῦ Θεοῦ τὸ δημιουργεῖν. Ὅθεν τὸ Ὑπόμνημα ἐν τῷ ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ ἐπιτίθεται Πλάτωνι λέγοντι πρῶτον δημιουργῆσαι τὸν Θεὸν τοὺς ἀγγέλους καὶ μετὰ ταῦτα ἐπιτρέψαι αὐτοῖς τὴν τῶν σωματικῶν φύσεων δημιουργίαν.

[3.18.34] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος διαλέγεται περὶ τῆς διαπλάσεως τῶν σωματικῶν κτισμάτων οὐχ ὅσον πρὸς τὴν πρώτην δημιουργίαν, ἀλλ’ ὅσον πρὸς τὴν διαμόρφωσιν.

[3.18.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ὑποκειμένου πάντα ὁμοῦ δημιουργηθῆναι κατά τε ὕλην καὶ εἶδος ἡ νοητὴ κτίσις λέγεται ἔχειν τὴν γνῶσιν τῆς ποιητέας σωματικῆς κτίσεως, οὐχ ὅτι ἡ ταύτης διάπλασις ἔμελλε τῷ χρόνῳ, ἀλλ’ ὅτι ὡς μέλλουσα ἐγινώσκετο, ᾗ δὴ ἐθεωρεῖτο ἐν τῇ αὐτῆς αἰτίᾳ, ἐν ᾗ ἦν ὡς ἐξ αὐτῆς δύνασθαι προϊέναι· ὥσπερ ὁ γινώσκων τήνδε τὴν κιβωτὸν ἐν ταῖς ἀρχαῖς ἐξ, ὧν ἐστί, δύναται λέγεσθαι ταύτην γινώσκειν ὡς ποιητέαν.

**248** τοπαράπαν] τό παράπαν M **258** πρώτην] deest M (primam Aq.)

[3.18.34] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ τοῦ Θεοῦ λέγειν νοεῖται περὶ τῆς αἰωνίου τοῦ Λόγου τοῦ Θεοῦ γεννήσεως, ἐν ᾧ ἐξ ἀιδίου γέγονε λόγος πάντων τῶν καθηκόντων κτισθῆναι δημιουργημάτων. Οὐ διατοῦτο μέντοι θαμὰ ἀναλαμβάνεται ἑκάστης ἡμέρας τὸ εἶπεν ὁ Θεός, ὅτι νοητῶς διελέγετο, ἀλλ’ ὅτι, εἰ καὶ ὁ Λόγος ἐστὶν ἐν ἑαυτῷ εἷς, ἔστι μέντοι ἐν αὐτῷ ἴδιος ἑκάστου λόγος τῶν κτιστῶν. Οὕτω τοίνυν ἐφ’ ἑκάστων ἔργων προαναγορεύεται ὁ τοῦ Θεοῦ Λόγος ὥσπερ ἴδιος λόγος τοῦ ποιητέου πράγματος, ἵνα μὴ τοῦ γενομένου ἔργου πέρι ἀνάγκη τις εἴη ζητεῖν, τί δήποτε τοιοῦτον ἔργον γέγονε πρὸ τῆς τοῦ ἔργου δημιουργίας βοωμένου, εἶπεν ὁ Θεός· ὥσπερ ὅταν τις θέλων αἰτίαν ἀποδοῦναι πράγματος τινός, προοιμιάζεται ἐκ τῆς αἰτίας ἀποδόσεως.

[3.18.35] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ εἶναι τῶν ὄντων τὸ ἐν τῷ Λόγῳ ἐστὶν αἰτία τοῦ εἶναι τῶν πραγμάτων ἐν τῇ φύσει τῇ ἰδίᾳ καὶ ἐν τῇ τῶν ἀγγέλων γνώσει· καὶ διατοῦτο οὐχ ἡ τῶν ἀγγέλων γνῶσις ἐστὶν αἰτία τοῦ τῶν πραγμάτων εἶναι ἐν τῇ σφῶν αὐτῶν φύσει· διά τοι τοῦτο, οὐδέ ἐστιν ὅμοιον.

[3.18.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὰ ὄντα τάττεται εἰς τὸ αὐτῶν τέλος διὰ τῆς σφῶν αὐτῶν ἐνεργείας. Ἀλλ’ οὐ παράγεται εἰς τὸ εἶναι διὰ ταύτης, ἀλλὰ διὰ τῆς ποιούσης αἰτίας. Ὅθεν καὶ μᾶλλον ἐστὶ προσῆκον τὰς ὑπερκειμένας δημιουργίας συνεπιλαμβάνεσθαι τῷ Θεῷ ἐν τῇ τῶν ὑποκειμένων πρὸς τὸ τέλος ἐπανόδῳ ἢ ἐν τῇ τούτων προόδῳ.

P 94v [3.18.37] Πρὸς τὸ ἑκκαιδέκατον | ῥητέον ὅτι, εἰ καὶ ἀπήρτηται ἀλλήλων αἵ τε νοηταὶ καὶ αἰσθηταὶ δημιουργίαι κατὰ τὰς ἰδίας φύσεις, ὅμως εἰσὶ συνυφεῖς τῇ τοῦ παντὸς τάξει, καὶ διατοῦτο ἀνάγκη ὁμοῦ κτισθῆναι.

[3.18.38] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἐκεῖνο τοῦ Ἐκκλησιαστοῦ τὸ θέσπισμα κατὰ μὲν τὸν Αὐγουστῖνον νοεῖται περὶ τῆς κτιστῆς σοφίας, ἥτις ἐστὶν ἐν τῇ τῶν ἀγγέλων φύσει, ἣ καθ’ ἑαυτήν οὐκ ἔστι τῷ χρόνῳ προτέρα τῆς αἰσθητῆς κτίσεως, ἀλλ’ ἀξιώσει, κατὰ δὲ τὸν Ἱλάριον ἐν τῷ Περὶ συνόδων βιβλίῳ ἐκλαμβάνεται περὶ τῆς ἀκτίστου σοφίας, ἥτις ἐστὶν ὁ τοῦ Θεοῦ Υἱός, ἣ

**288-291** ἐκεῖνο – ἀξιώσει] Aug., Conf. XII, cap. 5 (PL 32, col. 833): Nam etsi non invenimus tempus ante illam (prior quippe omnium creata est sapientia nec utique illa Sapientia tibi, Deus noster, Patri suo, plane coaeterna et aequalis et per quam creata sunt omnia et in quo principio fecisti caelum et terram, sed profecto Sapientia, quae creata est, intellectualis natura scilicet, quae contemplatione luminis lumen est (dicitur enim et ipsa, quamvis creata, Sapientia. **291-292** Κατὰ – Υἱὸς] Hilar., De syn.: locum non inveni.

**279** ἔστιν] ἔσται M (est Aq.)

ὁμοῦ καὶ κτιστὴ καὶ γεννητὴ λέγεται, ὡς φαίνεται ἐν τῷ ὀγδόῳ τῶν Παροιμιῶν καὶ ἐν διαφόροις τῆς Γραφῆς χωρίοις, ὥστε πᾶν τὸ ἀτελὲς ἀποτειχίζεσθαι τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ γεννήσεως. Ἐν μὲν γὰρ τῷ κτίζεσθαι, νοεῖταί τι ἀτελὲς τῷ γε τοῦ κτιζομένου μέρει, ἐφόσον ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι πρόεισιν, ἐκ δὲ τοῦ μέρους τοῦ κτίζοντος τελειότης, ὃς ἄνευ μεταβολῆς ἑαυτοῦ τὰ δημιουργούμενα προάγει. Ἐν δὲ τῇ γεννήσει ἀνάπαλιν ἔχει τούτοις· ἐκ μὲν γὰρ τοῦ γεννωμένου τελειότης ἐμφαίνεται, ἐφόσον λαμβάνει τὴν τοῦ γεννῶντος φύσιν, ἐκ δὲ τοῦ γεννῶντος ὕφεσίς τις κατὰ τὸν τῆς ὑποβεβηκυίας γεννήσεως τρόπον, ἐφόσον γεννᾷ μεταβολῇ ἑαυτοῦ καὶ διαιρέσει τῆς ἑαυτοῦ οὐσίας. Καὶ διατοῦτο ὁμοῦ ὁ τοῦ Θεοῦ Υἱὸς καὶ κτιστὸς καὶ γεννητὸς λέγεται, ἵνα τῷ μὲν κτιστῷ ἀποφράττοιτο τοῦ γεννῶντος ἡ μεταβολή, τῇ δὲ γεννήσει τοῦ γεννωμένου τὸ ἀτελές, καὶ ἐξ ἀμφοτέρων ἓν γένοιτο νόημα τέλειον.

[3.18.39] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὁ Ἱλάριος διαλέγεται κατὰ τὴν τῶν ἀρχαίων διδασκάλων δόξαν.

[3.18.40] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ὁ μὲν Θεός ἐστι τῆς ἀγγελικῆς φύσεως αἰτία, οὐχ ἡ ἀγγελικὴ δὲ φύσις ἐστὶν αἰτία τῆς σωματικῆς φύσεως. Διά τοι τοῦτο οὐδὲ ὅμοιον ἐστί.

[3.18.41] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι οἱ ἄγγελοι λέγονται ἀεὶ εἶναι, οὐχ ὅτι ἐξ αἰῶνος γεγόνασιν, ἀλλ' ὅτι ἐν παντὶ τῷ χρόνῳ εἰσίν· ὁτεδήποτε γὰρ ἦν χρόνος, ἦσαν ἄγγελοι. Ταύτῃ δὲ καὶ σωματικὰ κτίσματα ἀεὶ εἰσί.

[3.18.42] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι τὸ κινοῦν οὐκ ἀνάγκῃ ἡγεῖται τῷ χρόνῳ τοῦ κινουμένου, ἀλλὰ ἀξίᾳ, ὡς προὔπτόν ἐστιν ἐν τῇ ψυχῇ καὶ τῷ σώματι.

[3.18.43] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι ἐν τῇ τοῦ πυρὸς ἐνεργείᾳ εἰς τὰ σώματα δισσὴ τάξις θεωρεῖται, εἴτουν ἡ τῆς θέσεως καὶ τοῦ χρόνου. Καὶ ἡ μὲν τῆς θέσεως τάξις ἔστιν ἐν πάσῃ ἐνεργείᾳ αὐτοῦ· πᾶσα γὰρ ἐνέργεια αὐτοῦ ἐστιν ἀναλογοῦσα τῇ θέσει, κἀν τοῖς προσεχεστέροις σώμασι μᾶλλον τὴν ἑαυτοῦ ἐνέργειαν ἐξανύττει· ὅθεν περαιτέρω ἀφισταμένοις ἐπιτοσοῦτον ἐξαρρωστεῖ ἡ τούτου ἐνέργεια, ὥστ' ἤδη παντάπασιν ἐκλείπειν. Ἡ δὲ τοῦ χρόνου τάξις οὐκ ἐν πάσῃ τούτου

**295-296** καὶ – Παροιμιῶν] cf. Prov. 8, 22: Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.

**306** ἓν] ἣν M (unus Aq.) **321, 322** αὐτοῦ] αὐτῆς M (eius Aq.)

P 95r ἐνεργείᾳ φαίνεται, ἀλλὰ μόνον ἐν τῇ κατὰ | κίνησιν ἐνεργούσῃ. Ἀμέλει καὶ τοῦ πυρὸς καὶ φωτίζοντος καὶ θέροντος τὰ σώματα, ἐν μὲν τῇ θερμάνσει τηρεῖται ἡ τάξις τῆς θέσεως καὶ τοῦ χρόνου, ἐν δὲ τῷ φωτισμῷ, ὃς μὴ ἔστι κίνησις, ἀλλὰ κινήσεως πέρας, θεωρεῖται μόνον ἡ τῆς θέσεως τάξις. Ἐπεὶ τοίνυν ἡ τοῦ Θεοῦ ἐνέργεια, τὸ γ' ἧκον εἰς τὴν δημιουργίαν, ἔστι κινήσεως ἄνευ, οὐδὲ τὸ παράδειγμα θεωρεῖται ὅσον πρὸς τὴν τοῦ χρόνου τάξιν, ἀλλὰ μόνον πρὸς τὴν τῆς θέσεως. Ταὐτὸ γάρ ἐστιν ἐν τῇ ἀσωμάτῳ ἐνεργείᾳ ἡ διάφορος τάξις τῆς φύσεως, ὅπερ ἐν τῇ ἐνεργείᾳ τῇ σωματικῇ ἡ διάφορος θέσις. Ὅσον τοίνυν πρὸς τοῦτο προσεκτέον τὸν νοῦν τῇ τοῦ Διονυσίου παραβολῇ, ὅτι, καθάπερ τὸ πῦρ τὰ γειτνιῶντα ἑαυτῷ σώματα τὴν ἑαυτοῦ δύναμιν προχεῖ πλέον, οὕτω καὶ ὁ Θεὸς τοῖς προσοίκοις μᾶλλον τῇ αὐτοῦ θεότητι πάρεστιν ἀφθονώτερον τὴν αὐτοῦ ἀγαθότητα διανέμει.

**336** παρέστιν] τάξεσιν M

## Κεφάλαιον ἐννεακαιδέκατον

### Πότερον ἠδύναντο οἱ ἄγγελοι εἶναι καὶ πρὸ τοῦ ὁρατοῦ κόσμου ἢ οὔ.

**[3.19.1] Ἐννεακαιδέκατον ζητεῖται πότερον δύναιντο οἱ ἄγγελοι εἶναι καὶ πρὸ τοῦ ὁρωμένου κόσμου. Καὶ δοκεῖ μὴ πάνυ. Ὅσα γὰρ οὕτως ἔχει, ὥστε δύο αὐτῶν μὴ δύνασθαι εἶναι ἐν ἑνὶ χωρίῳ διακριδόν, ζητεῖ τόπου διαφοράν. Ἀλλὰ δύο ἄγγελοι οὐ δύνανται εἶναι ἐν ἑνὶ τόπῳ, ὡς τὸ Ὑπόμνημα φησίν. Οὐχ οἷον τε ἄρα εἶναι δύο ἀγγέλους διακεκριμένους, εἰ μὴ ἐν δύο τόπους εἶεν. Ἀλλ' ὑπὲρ τὴν ὁρωμένην κτίσιν οὐκ ἔστι τόπος·** ὁ γὰρ τόπος **κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς οὐκ ἔστιν ὅτι μὴ τὸ** ἔσχατον τοῦ περιέχοντος σώματος. **Πρὸ τοῦ ὁρωμένου ἄρα κόσμου οἱ ἄγγελοι οὐχ οἷοί τέ εἰσιν εἶναι.**

**[3.19.2] Ἔτι, ἡ πρόοδος τῆς σωματικῆς κτίσεως οὐδὲν ὑφαιρεῖται τοῖς ἀγγέλοις ἐκ τῆς αὐτῶν φυσικῆς δυνάμεως. Εἰ τοίνυν μὴ γεγονότος τοῦ ὁρωμένου κόσμου ἄνευ τόπου οἱ ἄγγελοι εἶναι ἠδύναντο, ἔτι καὶ νῦν τοῦ ὁρατοῦ γενομένου κόσμου ἄπο τόπου εἶναι δύνανται. Τοῦτο δὲ ψεύδει ἔοικεν· εἰ γὰρ μὴ εἶεν ἐν τόπῳ, οὐδαμοῦ εἶεν ἄν, καὶ ταύτῃ δοκεῖ μὴ εἶναι.**

**[3.19.3] Ἔτι, ὁ Βοήτιός φησιν, ὅτι πᾶν πνεῦμα κτιστὸν δεῖται σώματος. Ἀλλ' ὁ ἄγγελός ἐστι πνεῦμα κτιστόν. Δεῖται ἄρα σώματος. Καὶ ταύτῃ πρὸ τῆς σωματικῆς κτίσεως εἶναι οὐκ ἠδύνατο.**

**[3.19.4] Ἀλλ' ἔλεγε δεῖσθαι μὲν σώματος οὐ πρὸς τὸ εἶναι δέ, ἀλλὰ πρὸς τὸ διακονεῖσθαι. Ἀλλὰ τοὐναντίον, ἡ τῶν ἀγγέλων λειτουργία οὐ γίνεται, εἰ μὴ δεῦρο, ἔνθα ἡμεῖς ἐσμέν, εἴτουν ἐν τῷδε τῷ κόσμῳ. Ἀλλ' οἱ ἄγγελοι ἔχουσι τόπον σωματικὸν ὑπὲρ τοὺς ὅρους τῆς καθ' ἡμᾶς οἰκουμένης, ἤτοι τὸν ἐμπύριον οὐρανόν. Οὐκ ἄρα μόνον σωμάτων δέονται, <ἀλλὰ> καὶ τόπου σωματικοῦ εἵνεκεν τῆς τῶν ἡμετέρων διοικήσεως.**

**[3.19.5] Χωρὶς δὲ τούτων, ἀδύνατόν ἐστι φαντάζεσθαι τὸ πρότερον καὶ τὸ ὕστερον ἄνευ χρόνου. Ἀλλ' εἰ οἱ ἄγγελοι πρὸ τοῦ ὁρωμένου κόσμου εἶεν,**
P 95v **προτέρα ἐστὶν ἡ ἀρχὴ ἐν ᾗ οἱ ἄγγελοι ἤρξαντο εἶναι, | τῆς ἀρχῆς ἧσπερ ὁ κόσμος ἤρξατο. Ὁ χρόνος ἄρα ἤρξατο πρὸ τοῦ ὁρωμένου κόσμου· ὅπέρ ἐστιν**

**8-10** ὁ – σώματος] Ar., Phys. IV, 211b.6-14: σχεδὸν γὰρ – τόπος τοῦ περιέχοντος σώματος.

**3** δύναιντο] δύναντο M

**ἀνέφικτον, τοῦ χρόνου μὲν ἑπομένου τῇ κινήσει, τῆς δὲ κινήσεως τῷ κινουμένῳ. Ἀδύνατον ἄρα τοὺς ἀγγέλους πρὸ τοῦ γενέσθαι τοῦ κόσμου.**

**[3.19.6] Ἀλλὰ τοὐναντίον· ὃ γὰρ ἐν τοῖς κτιστοῖς οὐκ ἐνείρει τινὰ ἀντίφασιν ἐστὶ δυνατὸν τῷ Θεῷ. Ἀλλὰ τοὺς ἀγγέλους εἶναι τῆς ὁρωμένης κτίσεως οὐκ οὔσης οὐδεμίαν ἀντίφασιν ἐνείρει. Οὐκ ἄρα γέγονεν ἀδύνατον τῷ Θεῷ προενεγκεῖν τοὺς ἀγγέλους πρὸ τοῦ κόσμου.**

**[3.19.7] Ἀπόκρισις. Ῥητέον ὅτι, ὡς ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ, ἐν τοῖς θείοις οὐ χρὴ καταπίπτειν εἰς τὴν φαντασίαν, ὡς δὲ κἀν πᾶσι τοῖς ἀσωμάτοις· ἐπεὶ γάρ ἐστιν ἡ φαντασία τῆς αἰσθήσεως ὀπαδός, ὡς διὰ τοῦ Φιλοσόφου δῆλον ἐστὶν ἐν τῷ Περὶ ψυχῆς πρώτῳ, ἡ φαντασία οὐ δύναται ὑπερβαίνειν τοὺς τῆς ποσότητος ὅρους, ἣ τῶν αἰσθητῶν ποιοτήτων ὑποκείμενόν ἐστιν. Ὃ δὴ μὴ ἐν νῷ βαλόμενοί τινες, μηδὲ διίσχειν περιγιγνόμενοι, οὐκ ἠδυνήθησαν νοεῖν τι εἰ μὴ κατὰ τὸν τῶν ἐν θέσει πραγμάτων τρόπον· διά τοι τοῦτο καί τινες τῶν ἀρχαίων εἰρήκασι τὸ μὴ ὂν ἐν τόπῳ μηδὲ ἁπλῶς εἶναι, ὡς ἐν τῷ πρώτῳ τῆς Φυσικῆς λέγεται. Κἀκ τῆς ὁμοίας δὲ πλάνης ἔνιοι τῶν παρόντων εἰρήκασι τοὺς ἀγγέλους ἄνευ τῆς σωματικῆς κτίσεως μὴ δύνασθαι εἶναι, ὑπονοοῦντες αὐτοὺς ὥσπερ ἃ ἐν τόπῳ φανταζόμεθα διῃρημένα· ὃ τῇ τῶν ἀρχαίων διαβέβληται γνώμῃ, οἳ τοὺς ἀγγέλους πρὸ τοῦ κόσμου γενέσθαι ἠξίουν, ἔτι τε διαβέβληται καὶ τῷ τῆς ἀγγελικῆς φύσεως ἀξιώματι, φυσικῶς οὔση<ς> προτέρα<ς> τῆς αἰσθητῆς φύσεως, καὶ μηδενὶ τρόπῳ ταύτης ἐξηρτημένη. Ταῦτ’ ἄρα καὶ λέγομεν ἁπλῶς τοὺς ἀγγέλους εἶναι δύνασθαι καὶ πρὸ τοῦ κόσμου.**

**[3.19.9] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἀγγέλους δύο εἶναι ἐν ἑνὶ τόπῳ ἀδιαιρέτῳ οὐκ ἐμποδὼν γίνεται ἡ τούτων διάκρισις, ἀλλ’ ἡ τῶν ἐνεργειῶν σύγχυσις. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.**

**[3.19.10] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι καὶ νῦν ἔτι οὐδὲν προσίσταται τοὺς ἀγγέλους μὴ εἶναι ἐν τόπῳ, εἴ γε βούλοιντο, εἰ καὶ ἀεὶ ἐν τόπῳ εἶεν** διὰ τὴν

**37-39** ὡς – ἀσωμάτοις] Boet., De Trin.: locum non inveni.    **40-42** ὡς – ἐστιν] Ar., De an. I.

**42** Ὧ] ὃ M (Hoc Aq.)    **45** πρώτῳ] IV Aq.

Τάξιν, ᾗ ἡ νοητὴ φύσις προΐσταται **ἡμῶν, κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ Περὶ Τριάδος τρίτῳ.**

**[3.19.11] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, ὡς αὐτὸς ὁ Βοήτιος διασαφεῖ δέονται σωμάτων οἱ ἄγγελοι ὅσον πρὸς διακονίαν, οὐχ ὅσον πρὸς τὴν τῆς φύσεως συμπλήρωσιν.**

**[3.19.12] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι εἰσὶν μὲν οἱ ἄγγελοι ἐν τῷ ἐμπυρίῳ [caelo] καὶ ἐν χώρῳ προσφόρῳ τῇ θεωρίᾳ, οὐ μέντοιγε ἀνάγκῃ φυσικῇ.**

**[3.19.13] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐκεῖνο τὸ πρότερον καὶ τὸ ὕστερον, οὐ βιάζεται ἡμᾶς τιθέναι πρὸ τοῦ κόσμου χρόνον πραγματικῶς, ἀλλὰ φανταστὸν μόνον, ὡς ἐν τῇ περὶ ἀιδιότητι τοῦ κόσμου ζητήσει εἴρηται.**

**Τέλος τοῦ τρίτου βιβλίου.** |

**58-60** διὰ – τρίτῳ] Aug., De Trin. III, cap. 4 (PL 42, col. 873): quibusdam ordinatissimis creaturae motibus primo spiritalibus deinde corporalibus per cuncta diffundit.

**59** φύσις] creatura Aq. | ἡμῶν] corporali Aq. **66** ἐκεῖνο] ἐκεῖνος M (illa Aq.) **68** ἀιδιότητι] intellige ἀιδιότητος **69** Τέλος – βιβλίου] deest Aq.

P 96r

## Βιβλίον τέταρτον

## Κεφάλαιον πρῶτον

## Πότερον ἡ δημιουργία τῆς ἀνειδέου ὕλης ἡγήσατο τῷ χρόνῳ τῆς δημιουργίας τῶν ὄντων ἢ οὐ.

**[4.1.1] Σκέψις ἐστὶ πότερον ἡ δημιουργία τῆς ἀνειδέου ὕλης ἡγήσατο τῷ χρόνῳ τῆς δημιουργίας τῶν ὄντων. Καὶ δοκεῖ οὐ δῆτα. Ὅτι ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ πρώτῳ τῆς εἰς τὴν Γένεσιν ἐξηγήσεως ἡ ἀνείδεος ὕλη ἡγήσατο τῶν μορφωθέντων ἐξ αὐτῆς, ὥσπερ ἡ νύξ τοῦ κτιστοῦ φωτός. Ἀλλὰ ἡ νὺξ οὐχ ἡγεῖται τοῦ κτιστοῦ φωτὸς τῇ διαμονῇ, ἀλλὰ μόνον φύσει. Ἡ ἀνείδεος ἄρα ὕλη οὐκ ἔστι πρεσβυτέρα τῶν γεγονότων τῇ διαμονῇ, ἀλλὰ φύσει μόνον.**

**[4.1.2] Ἀλλ' ἔλεγεν, ὅτι ὁ Αὐγουστῖνος διαλέγεται περὶ τῆς ὕλης τῆς ἀνειδέου τοῖς στοιχειώδεσιν εἴδεσιν, ἃ δὴ εἴδη παραχρῆμα ἐξ ἀρχῆς ἐν τῇ ὕλῃ γέγονεν. Ἀλλὰ τοὐναντίον, ὥσπερ ἡ γῆ καὶ τὸ ὕδωρ εἰσὶ στοιχεῖα, οὕτω καὶ τὸ πῦρ καὶ ὁ ἀήρ. Ἀλλ' ἡ γραφὴ παραδιδοῦσα τῆς ὕλης τὸ αἶσχος, τῆς γῆς καὶ τοῦ ὕδατος μόνον ἐμνημόνευσεν. Εἰ τοίνυν εἶχεν ἐξ ἀρχῆς ἡ ὕλη τὰ στοιχειώδη εἴδη, ἐμνήσθη ἂν καὶ ἀέρος καὶ πυρός.**

**[4.1.3] Ἔτι, τὰ οὐσιώδη εἴδη μετὰ τῆς ὕλης ἔστιν αἰτία τῶν συμβεβηκότων, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ πρώτῳ τῆς Φυσικῆς. Ἀλλ' αἱ ποιότητες αἱ ποιητικαὶ καὶ παθητικαί εἰσιν ἰδιότητες τῶν συμβεβηκότων τοῖς στοιχείοις. Εἰ τοίνυν τὰ οὐσιώδη εἴδη τῶν στοιχείων ἦν ἀπαρχῆς ἐν τῇ ὕλῃ, ἦσαν ἐκεῖ καὶ ποιότητες, αἵ τε ποιητικαὶ καὶ παθητικαί. Καὶ ταύτῃ οὐδεμία ὑπολέλειπτο ἀμορφία, ὡς φαίνεται.**

**[4.1.4] Ἦ δ' ὅς, ἦν ἀμορφία τις εἴτε σύγχυσις ὅσον πρὸς τὴν τῶν στοιχείων θέσιν. Ἀλλὰ τοὐναντίον, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τοῦ Οὐρανοῦ καὶ κόσμου τετάρτῳ, ὅσον ἕκαστον τῶν στοιχείων εἴδους ἔχει, τοσοῦτον ἔχει καὶ τοῦ ποῦ· τὰ γὰρ στοιχεῖα ἔχουσιν ἐν τοῖς οἰκείοις τόποις τῇ δυνάμει τῶν εἰδῶν. Εἰ τοίνυν εἶχεν ἡ ὕλη ἐξ ἀρχῆς τὰ στοιχειώδη εἴδη, τότε κατὰ τὸ εἰκὸς ἕκαστον τῶν στοιχείων, εἶχε καὶ τὴν ἰδίαν θέσιν. Καὶ οὕτω οὐδεμία τις ἀνάκρασις τοῖς στοιχείοις ἀπελείπετο, καθ' ἣν ἡ ὕλη ἀνείδεος ἐδύνατο λέγεσθαι.**

**6-9** ὡς – φωτός] Aug., De gen. ad litt. I, cap. 15, n. 29 (PL 34, col. 257): Non quia informis – formavit; **17-18** τὰ – Φυσικῆς] Ar., Phys. I: locum non inveni. **24-25** κατὰ – ποῦ cf. Ar., De coel. IV, 312b20: ἀναγκαῖον ποιεῖν ἴσας τὰς διαφορὰς αὐτοῖς, δῆλον.

**1** Βιβλίον τέταρτον] βιβλίον γ' P; Ἀρχὴ δ'ου βιβλίου M **5** ἡγήσατο] ἡγίσατο M **7** ἀνείδεος] ἀνείδος M **11** ἔλεγεν] λέγω[a. corr.] P | ἀνειδέου] ἐνειδέου[a. corr.] P; ἐνειδέου M **14** τὸ αἶσχος] informitatem Aq.

[4.1.5] Ἔτι, εἰ διὰ ταῦτα ἀνείδεος ἡ ὕλη λέγεται, ὅτι τὰ στοιχεῖα μήπω τὴν ἰδίαν καὶ φυσικὴν θέσιν ἀπείληφε, κατὰ τὸ εἰκὸς δοκεῖ ἐν τούτῳ νοεῖσθαι τὴν μόρφωσιν αὐτῆς, ἐν τῷ τοῖς στοιχείοις τὴν φυσικὴν θέσιν ἀπονέμεσθαι. Ἀλλ' οὐ δοκεῖ τοῦτο παρακολουθῆσαι ἐν τῇ τῶν ὄντων διακοσμήσει· καὶ γὰρ ὕδατά τινα ὑπὲρ τῶν οὐρανῶν τίθενται, καίτοι τῆς κατὰ φύσιν θέσεως τοῖς ὕδασι τυγχανούσης ὑπὸ τοῦ ἀέρος καὶ ὑπὲρ γῆς ἐν τῷ μέσῳ, ὡς δῆλον ἔν τε τῷ Οὐρανοῦ καὶ κόσμου τετάρτῳ. Οὐκ ἄρα νοεῖται τὸ ἀνείδεον τῆς ὕλης διὰ τὴν προειρημένην σύγχυσιν τῆς θέσεως.

[4.1.6] Ἀλλ' ἔλεγεν, ὅτι τὰ ὕδατα λέγονται ὑπὲρ τοὺς οὐρανοὺς διὰ τὸ ταῖς ἀναθυμιάσεσι μετεωρίζεσθαι, ὡς εἶναι ὑπὲρ τοὺς οὐρανούς. Ἀλλ' ἰτέον ὁμόσε· τὰ γὰρ ἀναθυμ<ι>ώμενα ὕδατα οὐ δύναται ἀναδύνειν ὑπὲρ ὅλον τὸν οὐρανόν, ὡς παρὰ τοῦ Φιλοσόφου ἀποδείκνυνται, μᾶλλον μὲν οὖν | [P 96v] μέχρι τοῦ μέσον τοῦ μεθορίου τοῦ ἀέρος ἀναφέρονται. Πολλῷ ἄρα ἧττον δύνανται ὑπερκύπτειν ὑπὲρ τὸ πῦρ καὶ ἐπέκεινα ὑπὲρ τὸν οὐρανόν.

[4.1.7] Ἔτι, τὸ αἶσχος τῆς ὕλης δηλοῦται διὰ τῶν λεγομένων· ἡ γῆ ἦν κενὴ καὶ ἔρημος. Ἀλλ' ἡ μὲν κενότης τῇ γῇ ἀποδίδοται ἀποσκοποῦσιν εἰς τὴν γεννητικὴν δύναμιν· ἡ δὲ ἐρημία ἀποσκοποῦσιν εἰς τὴν κόσμησιν, ὡς διὰ τῶν ἁγίων ἱεροφαντεῖται, ὅπερ ἀναφέρεται ἐν τοῖς κατὰ γῆν κινουμένοις. Τὸ τῆς ὕλης ἄρα αἶσχος οὐ νοεῖται ὅσον πρὸς τὴν θέσιν, ὡς ταύτῃ δύνασθαι λέγεσθαι, ὅτι τὸ τῆς ὕλης αἶσχος τῇ διαμονῇ ἡγήσατο τῆς διαμορφώσεως.

[4.1.8] Χωρὶς δὲ τούτων, ὁ δυνάμενος παρασχέσθαί τι συλλήβδην ἧττον ἐλευθερίως ποιεῖ, εἰ περιοδικῶς παρέχεται· ὅθεν, ἐν τῷ τῆς Παροιμίας τρίτῳ· μὴ εἴπης τῷ φίλῳ σου, πορεύου, καὶ τὰ λοιπά. Ἀλλ' ὁ Θεὸς ἀθρόον ἐδύνατο δοῦναι τοῖς οὖσι τὸ εἶναι τέλειον· ἐλευθερώτατος τοίνυν πάντων ὤν, οὐκ ἂν εποίησεν εἰδεχῆ τὴν ὕλην πρὸ τῆς αὐτῆς διαμορφώσεως.

[4.1.9] Ἔτι, ἡ κίνησις ἡ ἀπὸ τοῦ κέντρου καὶ πρὸς τὸ κέντρον ἕπεται τοῖς στοιχείοις, ᾗ δὴ ἔχουσι τὰς θέσεις φυσικάς. Ἀλλὰ κἀν αὐτῇ τῇ τῆς ὕλης ἀμορφίᾳ φαίνεταί τις ἐκεῖ κίνησις γινομένη ἀπὸ τοῦ κέντρου καὶ εἰς τὸ κέντρον· τὰ γὰρ ἀναθυ<μι>ώμενα ὕδατα ὑπὲρ γῆς ἑωροῦντο, ὡς ὁμολογεῖται. Ἆρα τὰ στοιχεῖα εἴδη εἶχε τὰς ἰδίας φυσικὰς θέσεις.

**33-36** καὶ – τετάρτῳ] cf. Ar., De coel. IV, 312b5: Διὸ καὶ ὑποσπωμένων μὲν φέρεται εἰς τὰ ἐφεξῆς κάτω, ἀὴρ μὲν εἰς τὴν τοῦ ὕδατος χώραν, ὕδωρ δὲ εἰς τὴν τῆς γῆς. **51-52** ἐν – λοιπά] Prov. 3, 28: μὴ εἴπῃς· ἐπανελθὼν ἐπάνηκε, αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.

**36** τετάρτῳ] τέταρτ(ον) P **42** (μέσ-)ον – μεθόρου] lacuna ca 13 P **58** ἀναθυώμενα] ἀναθυμιώμενα M | εἴδη] ἤδη M

**[4.1.10] Ἔτι,** τὸ μανὸν καὶ τὸ **ναστόν εἰσὶν αἴτια καὶ** βαρύτατα **καὶ** κουφότατα, **ὡς φαίνεται ἐν τῷ τῆς Φυσικῆς τετάρτῳ. Ἀλλ’ ἦν ἤδη τὸ μανὸν καὶ τὸ ναστὸν ἐν τοῖς στοιχείοις· λέγεται γὰρ εἶναι τὰ ὕδατα μανώτερα ἢ νῦν εἰσίν. Ἦν ἄρα καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον, καὶ τὰ στοιχεῖα εἶχε τὰ ἴδια πού, ἅπερ αὐτοῖς ἀποκληροῦνται τῷ λόγῳ τῆς βαρύτητος καὶ κουφότητος.**

**[4.1.11] Ἔτι, ἐν ἐκείνῃ τῇ τῶν ὄντων ἀμορφίᾳ ἐναργῶς φαίνεται τὴν γῆν ἔχειν τὴν οἰκείαν θέσιν· ὃ δίδοται νοεῖσθαι διὰ τοῦ τὴν γῆν ἐπικλύζεσθαι τοῖς ὕδασιν, ὡς λέγεται· τὰ** ὕδατα, εἰς συναγωγὴν μίαν **καὶ τὰ λοιπά. Δι’ ἴσου ἄρα λόγου καὶ τὰ ἄλλα τῶν στοιχείων τὴν ἰδίαν ἐκέκτητο θέσιν. Καὶ οὕτως οὐδεμίαν ἀμορφίαν εἶχεν ἡ ὕλη.**

**[4.1.12] Ἔτι, παρὰ τοῦ τελείου ποιητικοῦ πρόεισι τέλειον τὸ ἀποτέλεσμα· πᾶν γὰρ τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ. Ἀλλ’ ὁ Θεός ἐστι ποιητικὸν τελειότητος. Ἐξαρχῆς ἄρα καὶ ἐκ προοιμιῶν τελείαν προήνεγκε τὴν ὕλην καὶ ταύτῃ ἐνείδεον· τὸ γὰρ εἶδος ἐστὶ τελείωσις τῆς ὕλης.**

**[4.1.13] Παρὰ ταῦτα, ἡ ἀνείδεος ὕλη τῆς τῶν ὄντων διαμορφώσεως, προτέρα γέγονε τῇ διαμονῇ· ἡ ὕλη μόνον ἦν παντὸς εἴδους χηρεύουσα, ἢ εἶχε τὶ εἶδος. Εἰ μὲν οὖν παντὸς εἴδους ἐστέρετο, τότε ἦν μόνον ἐν δυνάμει καὶ οὐκ ἐνεργείᾳ· καὶ ταύτῃ οὔπω ἔκτισται τῆς δημιουργίας ὁριζομένης εἰς τὸ εἶναι. Εἰ δέ τι εἶχεν εἶδος, ἢ ἐκεῖνος ἦν τι εἶδος στοιχειῶδες ἢ εἶδος μικτοῦ. Καὶ εἰ μὲν στοιχειῶδες εἶδος, ἢ εἶχεν ἓν εἶδος μόνον, ἢ διάφορα. Εἰ μὲν οὖν διάφορα, ἄρα ἦν ἤδη διακεκριμένα διαφόροις στοιχειώδεσιν | εἴδεσιν.** P 97r **Εἰ δ’ ἓν μόνον, ἕπεταί τι εἶδος εἶναι τῶν στοιχειωδῶν πρότερον ἐν τῇ ὕλῃ ἢ τὰ ἄλλα· καὶ ταύτῃ ἓν στοιχεῖον ἦν πρῶτον τῶν ἄλλων στοιχείων, ὥσπερ οἱ ἀρχαίτατοι φυσικοὶ ἠξίουν, λέγοντες, ἓν στοιχεῖον μόνον εἶναι· ὅπερ ἐλέγχεται παρὰ τοῦ Φιλοσόφου ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς δευτέρῳ. Εἰ δ’ εἶχεν εἶδος μικτοῦ, τοῦ μικτοῦ ἄρα τὸ εἶδος φυσικῶς ἐστι πρότερον ἐν τῇ ὕλῃ ἢ τὸ τῶν στοιχείων εἶδος· ὃ φαίνεται ψεῦδος ὄν· ἡ γὰρ μίξις οὐ γίνεται εἰ μὴ διά**

**60-61** τὸ – τετάρτῳ] Ar., Phys. IV, 217b11-12: ὥστ' ἐστὶ τὸ αὐτὸ πυκνὸν καὶ μανόν, καὶ μία ὕλη αὐτῶν. ἔστι δὲ τὸ μὲν πυκνὸν βαρύ, τὸ δὲ μανὸν κοῦφον. **67** ὡς – λοιπὰ] Gen. 1, 9: Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. **82-84** ἓν – δευτέρῳ] cf. Ar., De gen. et corr. II, 331b5-7: ἐξ ἀέρος γῆν καὶ πάλιν ἐξ ὕδατος καὶ γῆς ἀέρα καὶ πῦρ ἐνδέχεται μὲν γίνεσθαι, χαλεπώτερον δὲ διὰ τὸ πλειόνων εἶναι τὴν μεταβολήν.

**76** τότε] τοῦτο P **80** διακεκριμένα] διακεκριμένη M **81** Hic post στοιχειωδῶν Aq. habet: naturaliter

**τινος κινοῦντος τὰ στοιχεῖα πρὸς τὸ τοῦ μικτοῦ εἶδος. Ἀδύνατον ἄρα γενέσθαι τὴν ὕλην πρότερον ἀνείδεον ἢ ἐνείδεον.**

**[4.1.14] Ἀλλ᾽ ἔλεγεν ὑπολαβών, ὅτι ἡ ὕλη εἶχεν τὰ εἴδη τῶν στοιχείων, ἀλλ᾽ οὐκ ἐκείνῳ τῷ τρόπῳ, ᾧ νῦν εἰσι· τὰ γὰρ ὕδατα ἦν ἀραιότερα· καὶ τῷ ἀχλύειν ἀνακιρνάμενα τῷ ἀέρι. Ἀλλὰ τοὐναντίον, τὸ εἶδος ἑκάστου τῶν στοιχείων, ζητεῖ μέτρον ὡρισμένον μανότητος ἢ συμπιλήσεως, ἧς ἄνευ εἶναι οὐ δύναται. Ἡ μανότης δέ, δι᾽ ἧς ἀναφέρεταί τι εἰς τὸν ἀέρος τόπον, ὑπερβαίνει τὴν τοῦ ὕδατος συμπίλησιν· τῷ γὰρ ὕδατι φύσις ἐστὶν εἶναι βαρύ, σκοποῦσιν αὐτὸ παρὰ τὸν ἀέρα. Εἰ τοίνυν ἦν τοσαύτη λεπτότης τοῖς ὕδασιν, ὅτε γε ἀνῆεν ἀχλύοντα εἰς τὸν τοῦ ἀέρος τόπον, οὐκ εἶχον τὸ τοῦ ὕδατος εἶδος. Καὶ ταύτῃ οὐκ ἦν τὰ στοιχειώδη εἴδη ἐν τῇ ὕλῃ. Οὗ δὴ τὸ ἐναντίον ἐν τοῖς ἄνω εἴρηται.**

**[4.1.15] Ἔτι, διὰ τῶν ἔργων τῶν ἓξ ἡμερῶν διάφορα τῶν ὄντων γένη εἴληχεν εἴδους ἐκ τῆς ἀνειδέου ὕλης. Ἀλλὰ πρὸς ἄλλοις τῶν ἓξ ἡμερῶν ἔργοις τὸ στερέωμα τῇ δευτέρᾳ ἡμέρᾳ εἰς εἶδος ἦλθεν. Εἰ τοίνυν ἡ ἀνείδεος ὕλη ὑπέκοιτο τοῖς στοιχειώδεσιν εἴδεσιν, ἕπεται τὸν οὐρανὸν γενέσθαι ἐκ τῶν τεσσάρων στοιχείων· ὃ παρὰ τοῦ Φιλοσόφου ἀπογινώσκεται ἐν τῷ πρώτῳ τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου.**

**[4.1.16] Ἔτι, ὥσπερ ἔχει τὸ φυσικὸν σῶμα πρὸς τὸ σχῆμα, οὕτως ἔχει ἡ ὕλη πρὸς τὸ εἶδος. Ἀλλὰ τὸ φυσικὸν σῶμα οὐ δύναται εἶναι, ὅτι μὴ ἔχοι σχῆμα. Οὐδ᾽ ἄρα ἡ ὕλη δύναται εἶναι μὴ ἔχουσα εἶδος.**

**[4.1.17] Ἄνευ δὲ τούτων, εἰ τῆς ὕλης ἡ μόρφωσις οὐ γέγονεν ἐξ ἀρχῆς τῆς δημιουργίας αὐτῆς, τῶν ὑδάτων ἡ σύρροια ἡ ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναγινωσκομένῃ οὐκ ἦν ἀεί. Τὸ δὲ δοκεῖ ἀδύνατον· εἰ γὰρ τὰ ὕδατα ἑκασταχόθεν ἐπέκλυζε τὴν γῆν, οὐκ ἦν ὅποι δύναιντο ὑπορρεῖν. Δοκεῖ ἄρα τὴν ἀνείδεον ὕλην μὴ φθάσαι τὴν τῶν γεγονότων εἰδοποίησιν. Τὸ δὲ ὕδωρ ἑκασταχόθεν ἐπικλύζειν τὴν γῆν ἐντεῦθεν δῆλον· τὰ γὰρ στοιχεῖα ἐχόμενά εἰσιν ἀλλήλων, ὡς δοκιμάζεται ἐν τῷ τοῦ Οὐρανοῦ καὶ τοῦ κόσμου δευτέρῳ.**

**[4.1.18] Ἦ δ᾽ ὅς, ὅτι ἦν τι κοῖλον ὑπὸ γῆς, εἰς ὃ ὑφεῖσαν μέρη τοῦ ὕδατος τινά, καὶ οὕτως ἡ γῆ χώρας ὑποξέστη τοῖς ὕδασιν. Ἀλλὰ τοὐναντίον, ταῦτα τὰ κοῖλα ἢ οἱ ὑπόνομοι γίνονται ἐν τῇ γῇ διά τινων λιθωμάτων, δι᾽ ὧν ὑπερείδονται τὰ**

**100-103** ἡ – κόσμου] Ar., De coel. I, 269a.17-25: εἰ μὲν γὰρ – τῶν ἁπλῶν σωμάτων ἐστί. **111-113** Τὸ – δευτέρῳ] Ar., De coel. II, 305b.12-26: τὸ γὰρ – ἐξ ἀλλήλων.

**95** ὅ τε] ὅτι M **99** ὕλης] deest M **112** ἐπικλύζειν] ἐπεκλύζειν M **114** τινά] deest M

P 97v πρὸς ἡμᾶς τῆς γῆς, ἵνα μὴ πρὸς τὸ κέντρον συνιζάνωσιν. Ὃ τότ᾽ εἶναι οὐχ οἷον τ᾽ ἦν· τῶν γὰρ λίθων ὄντων | μικτῶν σωμάτων ἕψεται τὸ μικτὸν σῶμα γενέσθαι πρὸ τῆς τῶν στοιχείων μορφώσεως. Ἄρα οἱ τοιοῦτοι ὑπόνομοι εἶναι οὐκ ἐδύναντο.

**[4.1.19]** Ἔτι, εἰ ὑπόνομοί τινες εἶεν κατὰ γῆς, οὐκ ἂν εἶεν καινοί. Ἄρ᾽ ἦσαν πλέω ἀέρος ἢ ὕδατος, ὃ ἀδυνάτῳ ἔοικεν, ἐφόσον τὸ ὑφίστασθαι τῆς γῆς ἐστι παρὰ φύσιν ἑκατέρῳ.

**[4.1.20]** Πρὸς τούτοις, τὸ ὕδωρ, ἐπιπολάζον τῇ γῇ πάντοθεν, ἢ φυσικὴν εἶχε τὴν θέσιν ἢ μή. Εἰ μὲν φυσικήν, ἄρ᾽ οὐκ ἠδύνατο ταύτης μεθίεσθαι τῆς θέσεως ἄνευ ἀνάγκης. Ἀφ᾽ οὗ γὰρ τόπου ἠρεμεῖ τι φυσικῶς, οὐκ ἀφίσταται εἰ μὴ βίᾳ· τοῦτο δὲ οὐχ ἁρμόττει τῇ πρώτῃ τῶν ὄντων δημιουργίᾳ, δι᾽ ἧς ἡ φύσις κατασκευάζεται, ᾗ ἡ βία διαμάχεται. Εἰ δ᾽ ἄρα ἦν ἡ θέσις ἐκείνη τοῦ ὕδατος βιαία, διὰ τῆς ἑαυτοῦ φύσεως ἐπανήκειν ἐδύνατο πρὸς ἐκείνην τὴν ἀνάπαυλαν, ἣν οὐκ εἶχεν. Ἀφ᾽ οὗ γὰρ τόπου ἠρεμεῖ τι βίᾳ, φυσικῶς ὑποχωρεῖ. Καὶ διατοῦτο οὐκ ἔδει καταλέγεσθαι ἐν τοῖς τῆς διαμορφώσεως ἔργοις τὸ τὰ ὕδατα εἰς ἕνα συρρυῆναι χῶρον.

**[4.1.21]** Ἔτι, ταύτῃ κατεσκεύασται τῇ τάξει τὰ ὄντα, ἣν ἔχουσι φύσει. Φύσει δὲ τὰ διακεκριμένα πρότερα τυγχάνει τῶν ἀνακεκραμένων, ὥσπερ τὰ ἁπλᾶ φυσικῶς ἐστι πρότερα τῶν συνθέτων. Οὐκ ἄρα προσῆκον ἦν τῇ τῶν ὄντων δημιουργίᾳ πρότερον γενέσθαι τὰ ὄντα ἔν τινι κυκεῶνι, εἰσέπειτα δὲ διακρίνεσθαι.

**[4.1.22]** Ἔτι, ἡ πρόοδος τοῦ ἐνεργείᾳ εἰς τὸ δυνάμει οὐ πάνυ τοι οἰκειοῦται τῇ τῶν ὄντων δημιουργίᾳ, ἀλλὰ μᾶλλον τῇ φθορᾷ. Τὰ γὰρ ὄντα γίνεται διὰ τοῦ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προϊέναι. Τὸ δὲ προϊέναι ἐκ τῶν μεμιγμένων εἰς τὰ στοιχεῖα, ἐστὶ προϊέναι ἐκ τοῦ ἐνεργείᾳ εἰς τὸ δυνάμει· τὰ γὰρ στοιχεῖα ἐστὶν ὥσπερ ὕλη προσέχουσι τὸν νοῦν τοῖς μικτοῖς εἴδεσιν. Οὐκ ἄρ᾽ ἦν πρέπον τῇ τῶν ὄντων δημιουργίᾳ πρῶτον γενέσθαι ἔν τινι συγχύσει καὶ κράσει καὶ μετὰ ταῦτα διακριθῆναι.

**[4.1.23]** Ἔτι, τοῦτο δοκεῖ εἶναι ὁμόλογον τῇ πλάνῃ τῶν ἀρχαίων φιλοσόφων, οἷον τῇ τε Ἐμπεδοκλέους δόξᾳ, ὃς ἐτίθετο τῷ νείκει διακρίνεσθαι τὰ τοῦ κόσμου μέρη ἀπ᾽ ἀλλήλων, πρότερον γενόμενα ἀνακεχυμένα τῇ φιλίᾳ, καὶ τῇ

**124** ὕδωρ] ὕδρω M **125** μή] bis acc. P **128** Εἰ] ἡ P (Si Aq.) **146** δόξᾳ] intellige δόξῃ

**Ἀναξαγόρου, ὅς φησι πάντων χρημάτων ὄντων ὁμοῦ ποτε τὸν νοῦν ἄρξασθαι πρῶτον διακρίνειν χωρίζοντα ἀπὸ τοῦ συγκεχυμένου καὶ ἀνακεκραμένου. Αἳ δὴ δόξαι ἀπορώντως παρὰ τῶν μετέπειτα φιλοσόφων ἀνασκευάζονται. Οὐκ ἄρα θετέον τὸ αἶσχος ἢ τὴν σύγχυσιν τῆς ὕλης προκατάρξαι ὑπάρξαι τῆς τῶν ὄντων εἰδοποιήσεως τῇ διαμονῇ.**

**[4.1.24] Ἀλλ' ἐναντίον ἐστὶν ἐκεῖνο τοῦ Ἐκκλησιαστοῦ ἐν τῷ δεκάτῳ ὀγδόῳ, ὅπερ ὁ Γρηγόριος ἐκτίθησιν·** ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε πάντα **ὁμοῦ. Φησὶ γάρ· πάντ' εἰσὶν ὁμοῦ κτιζόμενα τῇ οὐσίᾳ τῆς ὕλης, ἀλλ' οὐ τῷ εἴδει τῆς μορφώσεως· ὅπερ εἶναι οὐχ οἷόν τε, εἰ μὴ πρότερον γένοιτο τὴν οὐσίαν τῆς ὕλης μένειν, ἢ τὸ εἶδος τῆς μορφώσεως ἔπεισιν. Ἡ ἀνείδεος | ἄρα ὕλη τῇ διαμονῇ ἡγήσατο τῆς τῶν ὄντων διαμορφώσεως.** (P 98[r])

**[4.1.25] Ἔτι, τὸ μὴ ὂν οὐ δύναται ἔχειν ἐνέργειαν τινά. Ἀλλ' ἡ ἀνείδεος ὕλη ἔχει ἐνέργειαν τινά· ἐφίεται γὰρ εἴδους, ὡς λέγεται ἐν τῷ πρώτῳ τῆς Φυσικῆς. Ἄρα ἡ ὕλη δύναται εἶναι ἄνευ εἴδους. Καὶ οὕτως οὐκ ἄτοπον, εἰ ἡ ἀνείδεος ὕλη τίθοιτο εἶναι πρεσβυτέρα τῇ διαμονῇ τῆς τῶν ὄντων διαμορφώσεως.**

**[4.1.26] Ἔτι, ὁ Θεὸς μεῖζον δύναται ποιεῖν ἢ ἡ φύσις. Ἀλλ' ἡ φύσις ποιεῖ ἐκ τοῦ ἁπλῶς ὄντος ὂν ἐν δυνάμει. Καὶ ταύτῃ ὁ Θεὸς ἠδύνατο ποιῆσαι ὕλην ἄνευ εἴδους οὖσαν.**

**[4.1.27] Ἔτι, ὅπερ ἡ Ἱερὰ Γραφὴ χρηματίζει γενέσθαι ποτέ, οὐ τολμητέον λέγειν μὴ γενέσθαι ποτέ· ὅτι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος πέμπτῳ,** ἐναντίᾳ τῇ Ἱερᾷ Γραφῇ οὐδεὶς χριστιανὸς φρονεῖ. **Ἡ θεία δέ φησι Γραφὴ** τὴν γῆν γενέσθαι κενὴν καὶ ἔρημον. **Οὐκ ἄρα λεκτέον ἐστὶ μὴ γενέσθαι ποτὲ κενὴν καὶ ἔρημον. Τοῦτο δὲ τείνει εἰς τὸ ἀνείδεον τῆς ὕλης, ὁτῳδήποτε τρόπῳ ἑρμηνεύοιτο. Ἄρα τῆς ὕλης οὐσία προέσχε ποτὲ τοῦ εἴδους· ἄλλως γὰρ οὐκ ἄν ποτε ἄμορφος γένοιτο.**

**[4.1.28] Ἔτι, ἅμα δεδημιούργηται ἥ τε νοητὴ καὶ αἰσθητὴ κτίσις, ὡς ἐκ τῆς ἀνωτέρω ζητήσεως γέγονε προὖπτον. Ἐν τῇ νοητῇ δὲ κτίσει προὔλαβε τὸ ἀνείδεον τὴν μόρφωσιν καὶ φύσει καὶ ὑπάρξει. Ὁ αὐτὸς τοίνυν λόγος καὶ ἐν τῇ αἰσθητῇ.**

**[4.1.29] Ἀπόδειξις τῆς μέσης. Ἡ μόρφωσις τῆς νοητῆς κτίσεως νοεῖται, ᾗ δὴ πρὸς τὸν Λόγον ἐπιστρέφεται, ὅσπέρ ἐστιν αὐτῇ φωτισμός· ὁμοῦ δὲ**

**153-154** Ἐκκλησιαστοῦ – ὁμοῦ] Ecclesiasticus 18, 1: Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. **159-160** ἡ – Φυσικῆς] cf. Ar., Phys. I, 191b25: τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται ἡμῖν τί σημαίνει, ὅτι ᾗ μὴ ὄν. **167-168** ὁ – φρονεῖ] cf. Aug., De Trin. IV, cap. 6 (PL 42, col. 895): Contra rationem nemo sobrius, contra Scripturas nemo christianus, contra Ecclesiam nemo pacificus senserit.

**152** προκατάρξαι] ὑπάρξαι[a. corr.] P **170** δὲ τείνει] δέ τεινα M (pertinet Aq.) **175** καὶ – ὑπάρξει] etiam duratione Aq.

**γενομένης διαίρεσις γέγονεν** εἴς τε τὸ φῶς καὶ τὸ σκότος. **Διὰ δὲ τοῦ σκότους ἐν τῇ νοητῇ κτίσει, ἡ ἁμαρτία νοεῖται. Ἁμαρτίαν δέ, οὐχ οἷόν τε εἶναι ἐν αὐτῷ τῷ πρώτῳ ἀτόμῳ τῆς τῶν ἀγγέλων δημιουργίας.**

**[4.1.30] Ἔτι, ἀφ' οὗ ἔστι τι, καὶ τῷ χρόνῳ πρότερον ἔστι τοῦ ἐξ αὐτοῦ ὄντος. Ἀλλ' ὁ Θεὸς ἐκ τῆς ὁρωμένης ὕλης, ἥτις ἐστὶν ὕλη ἀνείδεος κατὰ τὸν Αὐγουστῖνον, ἐδημιούργησε τὴν οἰκουμένην, ὡς λέγεται ἐν τῷ τῆς Σοφίας ἑνδεκάτῳ. Ἡ ἀνείδεος ἄρα ὕλη χρόνῳ ἡγήσατο τῆς οἰκουμένης, καὶ οὕτω τῶν εἰδῶν. Ἀπόδειξις τῆς πρώτης. Κατὰ τὸν Φιλόσοφον ἐν τῷ πρώτῳ τῆς Φυσικῆς, τὸ γίνεσθαι τῶν ὄντων διχῇ τεχνολογεῖσθαι δύναται. Ἑνὶ μὲν τρόπῳ, ὅταν λέγηται· τόδε γίνεται τόδε· καθ' αὐτὸ μέν, ἡνίκα προσήκει τῷ ὑποκειμένῳ, (οἷον ὅταν λέγωμεν ὁ ἄνθρωπος γίνεται λευκός), κατὰ συμβεβηκὸς δὲ τῇ στερήσει καὶ τῷ ἐναντίῳ (οἷον ὅταν λέγωμεν τὸ μὴ λευκὸν ἢ τὸ μέλας γίνεται λευκόν). Ἑτέρῳ τρόπῳ, εἰ λέγοιμεν· ἐκ τοῦδε γίνεται τόδε, καὶ τῷ ὑποκειμένῳ οὐ προσήκει εἰ μὴ τῷ τῆς στερήσεως ἢ τοῦ ἐναντίου λόγῳ. Οὐ γὰρ λέγομεν ὅτι ἐκ τοῦ ἀνθρώπου γίνεται λευκός, ἀλλ' ὅτι ἐκ τοῦ μὴ λευκοῦ ἢ τοῦ μέλανος γίνεται λευκός, ἢ ἐξ ἀνθρώπου οὐ λευκοῦ ἢ μέλανος. Τοῦτο τοίνυν, ἐξ οὗ ἐστί** P 98v **τί, ἤ ἐστι στέρησις ἢ ἐναντίον ἤ ἐστιν ὕλη | στερήσει ἢ ἐναντίῳ ὑποκειμένη. Ὁποτέρῳ δὲ τρόπῳ ἀναγκαῖον τῷ χρόνῳ πρεσβεύειν τὸ ἐξ οὗ τι γίνεται· τὰ γὰρ ἀντικείμενα οὐ δύναται εἶναι ἅμα, οὔθ' ἡ ὕλη ὁμοῦ τῷ χρόνῳ δύναται ὑποκεῖσθαι τῇ στερήσει καὶ τῷ εἴδει. Ἄρα ἐξ οὗ τι γίνεται, τῷ χρόνῳ φθάνει τὸ ἐξ αὐτοῦ γινόμενον.**

**[4.1.30] Ἔτι, ἡ τῆς φύσεως ἐνέργεια μιμεῖται τὴν τοῦ Θεοῦ ἐνέργειαν, ἐφόσον δύναται, ὥσπερ ἡ ἐνέργεια τῆς δευτέρας αἰτίας τὴν ἐνέργειαν τῆς πρώτης. Ἀλλ' ἡ τῆς φύσεως πρόοδός ἐστιν ἐν τῷ ποιεῖν ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον· καὶ ὁ Θεὸς ἄρα πρότερον τῷ χρόνῳ προήνεγκε τὸ ἀτελές, καὶ μετὰ ταῦτα τετελείωκε. Καὶ ταύτῃ ἡ ἀνείδεος ὕλη τῆς εἰδοποιήσεως ἡγήσατο.**

**[4.1.31] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ὅτι, ἡνίκα ἡ Γραφὴ ἐν ἀρχῇ τῆς γῆς καὶ τοῦ ὕδατος μέμνηται λέγουσα, ἡ δὲ γῆ ἦν κενὴ καὶ ἔρημος, καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τῶν ὑδάτων· οὐ διατοῦτο ταύτης ἠξίωται τῆς προσηγορίας**

**186-187** Ἀλλ' – Αὐγουστῖνον] cf. Aug., De gen. ad litt. I, cap. 15, n. 30 (PL 34, col. 257): ut excepto – intellegamus. **189-190** Κατὰ – δύναται] Ar., Phys. I, 188a30-b8: ἀλλὰ δεῖ τοῦτο – αὐτῶν ἐστι μεταξύ. **205-208** ὁ – ὑδάτων] Gen. 1, 2: ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

**201-202** ἐνέργεια – τῆς] om. et al. man. add. in marg. sin. M

ἥ τε γῆ καὶ τὸ ὕδωρ, ὅτι ἤδη τοιαῦτα ἦν, ἀλλ’ ὅτι τοιαῦτα εἶναι ἐδύναντο. Ἆρα ποτὲ ἡ πρώτη ὕλη οὔπω εἶχε τὸ εἶδος τῆς γῆς ἢ τοῦ ὕδατος, ἀλλὰ μόνον ἔχειν ἐδύνατο. Καὶ ταύτῃ ἡ ἀνείδεος ὕλη προὔλαβε τὸ εἶδος.

[4.1.32] Ἀπόκρισις. Ῥητέον, ὥς φησιν ὁ Αὐγουστῖνος ἐν τῷ τῆς Ἐξομολογήσεως δωδεκάτῳ, περὶ ταύτην τὴν ζήτησιν δύναται δισσὴ διάλεξις εἶναι· μία ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας, ἑτέρα ἐκ τοῦ γράμματος, οἷς ὁ Μωυσῆς θεόθεν ἐμπνευσθεὶς τὴν ἀρχαιογονίαν τοῦ κόσμου ἡμῖν ἐκδέδωκε. Περὶ μὲν οὖν τὴν πρώτην διαίρεσιν δύο δυσωπεῖσθαι ἄξιον· ὧν θάτερον μέν ἐστι μηδὲν ψεῦδος εἰς ταύτην τὴν ζήτησιν ὑπάγειν, καὶ μάλισθ’ ὃ τῇ τῆς πίστεως ἀληθείᾳ ἀντιφθέγγεται· θάτερον δέ, ἵνα μὴ ὅπερ ἄν τις ἀληθὲς ὑπολάβῃ, εὐθὺς δισχυρίζεσθαι βούλοιτο τῆς τῆς πίστεως ἀληθείας ἔχεσθαι. Ὡς γὰρ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τῆς Ἐξομολογήσεως δεκάτῳ, προσίσταται ἣν προσήκειν ἡγώμεθα ψεῦδος τι δηλαδή, ὃ πιστεύομεν αὐτῇ τῇ διαμορφώσει τῆς τῆς εὐσεβείας διδασκαλίας, καὶ ἰταμώτερον ἀποτείνεσθαι τολμῶμεν τὸ ἀγνοούμενον. Διατοῦτο δὲ προσίστασθαι φησίν, ὅτι ὑπὸ τῶν ἀπίστων ἡ τῆς πίστεως ἀλήθεια ἀνατραπήσεται, εἴ γε προτείνοιτο παρά τινος τῶν ἁπλοϊκῶν πιστῶν τι ὡσανεὶ συμβαῖνον τῇ πίστει, ὃ βεβαιοτάταις ἀποδείξεσι ψεῦδος εἶναι ἐλέγχεται, ὡς καὐτῇ τῇ εἰς τὸ πρῶτον τῆς Γενέσεως ἑρμηνείᾳ φησί. Περὶ δὲ τὴν δευτέραν διαίρεσιν οὐχ ἧττον δύο ἂν εἴη φυλακτέον. Ὧν πρῶτον μέν ἐστιν, ἵνα μή τις τὸ δοκοῦν εἶναι ψεῦδος, τοῖς τῆς Γραφῆς ῥήμασι νοεῖσθαι λέγει, ᾗ πρὸς τὴν τῶν ὄντων δημιουργίαν μυσταγωγεῖ διεξοδικῶς· τῇ γὰρ παρὰ τοῦ ἁγίου Πνεύματος παραδοθείσῃ Γραφῇ, οὐδὲν κίβδηλον ὑπεῖναι δύναται, ὥσπερ αὖ οὐδὲ τῇ διὰ ταύτης |
P 99r κηρυττομένῃ πίστει. Δεύτερον ἐστίν, ἵνα μή τις τὴν Γραφὴν οὕτως εἰς ἕνα νοῦν ἀποστενοῦν βούλοιτο, ὥστε τὰς ἄλλας ἐννοίας, ὁπόσαι ἀληθείας εἰσὶν ἐμπεφορημέναι καὶ δύνανται σὺν παραστήματι εὖ τῇ Γραφῇ προσαρμόζεσθαι ἀποτειχίζειν· τοῦτο γὰρ εἰς τὴν ἀξίαν φέρει τῆς θείας Γραφῆς, ἵν’ ὑπὸ ἑνὶ γράμματι πλῆθος νοημάτων περιέχοι, ὥσθ’ οὕτω

**211-213** ὁ – γράμματος] Aug., Conf. XII, cap. 23, n. 32 (PL 32, cols 838-839): Aliter enim quaerimus de creaturae conditione, quid verum sit, aliter autem quid in his verbis Moyses, egregius domesticus fidei tuae, intellegere lectorem auditoremque voluerit. In illo primo genere discedant a me omnes, qui ea, quae falsa sunt, se scire arbitrantur. In hoc item altero discedant a me omnes, qui ea quae falsa sunt Moysen dixisse arbitrantur. **219-222** ὁ – ἀγνοούμενον] Aug., Conf. V, cap. 5, n. 9 (PL 32, col. 709): Obest autem – abiciendam esse iudicaret?

**214** ὁ] lacuna 1 P **217-218** ἵνα – ἔχεσθαι] om. et al. man. add. in marg. sin. M **229** διεξοδικῶς] ἐξοδικῶς P; δι’ εξοδικῶς M

διαφόροις ἀνθρώπων νοῖς συνᾴδειν, καὶ ἕκαστον ἄγασθαι δυνάμενον εὑρίσκειν ἐν τῇ θείᾳ Γραφῇ τὴν ἀλήθειαν, ἣν εἶχε συλλαβὼν ἐν τῇ διανοίᾳ. Διὰ τούτου τὲ ῥᾶον ἡ τῆς ἀληθείας ἔσται προστασία κατὰ τῶν ἀπίστων, ἡνίχ' ὅπερ ἄν τις ἐκ τῆς θείας Γραφῆς νοεῖν βούλεται, τούτου ψεύδους ἐλεγθέντος, δύναται πρὸς ἄλλον αὐτῆς νοῦν φεύγειν. Ὅθεν οὐκ ἔστιν ἄτοπον τῷ τε Μωυσῇ καὶ τοῖς λοιποῖς τῶν ἱερῶν Γραφῶν συγγραφεῦσι τοῦτο παρασχεθῆναι ὑπὸ Θεοῦ, ὡς διάφορα ἀληθῆ, ἃ οἱ ἄνθρωποι δύναιντο νοεῖν, γνῶναι τὲ αὐτοὺς καὶ μιᾷ Γραφῆς ὑφῇ διασημαίνειν, ὡς ὁτιδήποτε τούτων νοῦν εἶναι τοῦ συγγραφέως. Ἀλλ' εἰ καί τινα ἀληθῆ παρὰ τῶν ἐξηγητῶν τῆς Ἁγίας Γραφῆς τῷ γράμματι προσαρμόζοιντο, ἃ μὴ γέγονεν ἐν νῷ τῷ συγγραφεῖ, οὐκ ἔστιν ἀμφισβητήσιμον μὴ τὸ ἅγιον Πνεῦμα νοῆσαι, ὅπερ ἐστὶν ἀρχοειδῶς συγγραφεὺς τῆς ἁγίας Γραφῆς. Ὅθεν πᾶσα ἀλήθεια, ἣ σῳζομένης τῆς τῆς Γραφῆς περικοπῆς δύναται τῇ θείᾳ Γραφῇ προσαρτᾶσθαι, ἔστιν αὐτοῦ νόημα. Τούτων δὲ ἀνωμολογημένων, ἐπιστητέον ἂν εἴη, διαφόρους ἐξηγητὰς τῆς Θείας Γραφῆς διαφόρους ἐξηγήσεις ἐν τῇ τῆς Γενέσεως ἀρχῇ ὑποστῆναι, ὧν οὐδεὶς τῇ τῆς πίστεως ἀληθείᾳ διαμάχεται. Καὶ ὅσον πρὸς τὴν παροῦσαν ἔνστασιν ἐπιβάλλει, δυσὶν ὁδοῖς πρὸς ἀλλήλους διηνέχθησαν, διχῇ φρονοῦντες τὸ τῆς ὕλης ἀνείδεον, ὃ δηλοῦται κατὰ τὴν τῆς Γενέσεως ἀρχήν, ἔνθα λέγεται, ἡ δὲ γῆ ἦν κενὴ καὶ ἔρημος. Τινὲς μὲν γὰρ τῶν ἔξω ᾠήθησαν τοῖς εἰρημένοις ῥήμασι τοιοῦτον ὑποσημαίνεσθαι τὸ τῆς ὕλης ἀειδές, ὡς νοεῖσθαι τὴν ὕλην ἄνευ παντὸς εἴδους, ἐν δυνάμει μόνον οὖσαν, πρὸς πάντα τὰ εἴδη. Τοιαύτη δὲ ὕλη οὐ δύναται ἐν τῇ τῶν ὄντων εἶναι φύσει, ὡς μή τινι εἴδει διαμεμορφῶσθαι. Ὅ τί ποτε γὰρ εὑρίσκεται ἐν τῇ τῶν ὄντων φύσει, ἔστιν ἐνεργείᾳ· ὅπερ οὐκ ἂν ἔχοι ἡ ὕλη, εἰ μὴ τῷ εἴδει· ὅπέρ ἐστι τὸ ταύτης ἐνεργείᾳ. Ὅθεν ἀδύνατον ἐν τῇ τῶν ὄντων φύσει ἄνευ εἴδους εὑρίσκεσθαι. Ἔτι, ἐπεὶ μηδὲν ὑπὸ γένος περιέχεσθαι δύναται, ὃ μὴ διά τινος γένους διαφορᾶς ὁρίζεται πρός τι εἶδος, οὐχ οἷόν τε τὴν ὕλην εἶναι ὄν, εἰ μή τινι τοῦ εἶναι τρόπῳ εἰδικῷ ὁρίζοιντο· ὅπερ οὐκ ἔστιν εἰ μὴ εἴδους. Ὅθεν εἰ
P 99v οὕτως ἀνείδεος | ἡ ὕλη νοεῖται, ἀδύνατόν ἐστι τῷ χρόνῳ πρεσβεύειν τοῦ εἴδους, ἀλλὰ μὴ νομίζεσθαι μόνον τῇ τάξει τῆς φύσεως, ᾗ δὴ τὸ ἔκ τινός ἐστι φυσικῶς ὕστερον τοῦ ἐξ οὗ, ὥσπερ ἡ νὺξ ἔκτισται προτέρα· καὶ αὕτη γέγονεν

**252-253** ὁ – ἔρημος] Gen. 1, 2: ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

**239** φεύγειν] ἀποφεύγειν M (recursus Aq.) **263** πρεσβεύειν] πρεσβέβειν P

Αὐγουστίνῳ δόξα. Ἔνιοι δὲ συνῆσαν τὸ τῆς ὕλης ἀειδὲς οὐχ ὡς εἴδους παντὸς χηρεύειν αὐτὴν ὑπονοοῦντες, ἀλλ’ ᾗ δὴ λέγεταί τι ἀνείδεον, ὃ μήπω ἔχει τὸ ἔσχατον τῆς αὐτοῦ φύσεως πλήρωμα καὶ κόσμον· καὶ κατὰ τοῦτο τίθεσθαι δυνατόν, ὅτι ἐν τῇ τῆς ὕλης διαμονῇ τὸ ἀνείδεον προέσχε τοῦ εἴδους. Οὗ δοθέντος συνᾴδειν δοκεῖ τῇ τοῦ τεχνίτου Θεοῦ σοφίᾳ, ὅς, ἐκ τοῦ μηδενὸς εἰς τὸ εἶναι τὰ ὄντα παράγων, οὐκ εὐθὺς μετὰ τὸ μηδὲν εἰς τὴν τελευταίαν αὐτὰ τελειότητα τῆς φύσεως ἀπεκατέστησεν, ἀλλὰ πρῶτον μὲν ἐδημιούργησεν ἔν τινι εἶναι ἀτελεῖ, κατόπιν δὲ εἰς τὴν τελειότητα μετήνεγκεν, ἵν’ οὕτω καὶ τὸ εἶναι αὐτῶν δειχθῇ ἐκ τοῦ Θεοῦ παραχθὲν ἀπεναντίας τοῖς λέγουσι τὴν ὕλην ἄκτιστον, οὐχ ἥκιστά τε τῆς αὐτῶν τελειότητος αὐτουργὸς φαίνοιτο κατὰ τῶν ἐπιγραφόντων τὴν τῶν ὑποβεβηκότων πραγμάτων μόρφωσιν ἄλλαις αἰτίαις. Καὶ τοῦτον τὸν τρόπον ἐδόξαζε Βασίλειος καὶ Γρηγόριος καὶ ἄλλοι τούτων ὀπαδοί. Ἐπεὶ τοίνυν οὐδέτερον αὐτῶν τῇ ἀληθείᾳ τῆς πίστεως διαφέρεται, ἑκατέρας τε δόξας ἡ τῆς Γραφῆς περικοπὴ ἀνέχεται, ἑκάτερα στέργοντες πρὸς ἑκατέρους λόγους ἀποκρινούμεθα.

[4.1.33] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Αὐγουστῖνος διαλέγεται περὶ τῆς ἀνειδέου ὕλης, ᾗ δὴ νοεῖται ἄνευ ὁτουοῦν εἴδους· καὶ ταύτῃ ἀναγκαῖον ἐστὶ λέγειν, ὅτι τὸ ἀνείδεον φύσει μόνη ἡγεῖται τοῦ εἴδους. Ὅπῃ δὲ χρὴ δοξάζειν περὶ τῆς τῆς εἰδοποιήσεως τάξεως, ἐν τῷ ἑπομένῳ κεφαλαίῳ δείκνυται.

[4.1.34] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι περὶ τούτου διαφόρως ἐδόξασάν τινες. Ὁ μὲν γὰρ Πλάτων ἐντυχὼν τῇ τῆς Γενέσεως γραφῇ, οὕτω νοῆσαι λέγεται τὸν ἀριθμὸν καὶ τὴν τάξιν τῶν στοιχείων ἐκεῖ δηλοῦσθαι, ὡς τὴν μὲν γῆν καὶ τὸ ὕδωρ τοῖς ἰδίοις ὀνόμασι σημαίνεσθαι, τὸ δ’ ὕδωρ ὑπὲρ γῆς εἶναι νοεῖσθαι, ἐκ τοῦ ἐκεῖ γεγράφθαι· συναχθήτω τὰ ὕδατα εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Ὑπὲρ ἃ δύο τὸν ἀέρα ἐννόει, διὰ τῶν λεγομένων Πνεῦμα Θεοῦ καὶ τὰ λοιπά. Τὸ δὲ πῦρ ἐν τῷ τοῦ οὐρανοῦ ὀνόματι συνίει, ὅτι πάντων ὑπερέχει. Ἀλλ’ ἐπεὶ κατὰ τὰς Ἀριστοτέλους ἀποδείξεις ὁ οὐρανὸς τῆς πυρείου φύσεως εἶναι οὐ δύναται, ὡς <ἡ> κυκλικὴ κίνησις αὐτοῦ παρίστησιν, ὁ Ῥαββὶ Μωυσῆς ἑπόμενος τῇ Ἀριστοτέλους δόξῃ, τῷ Πλάτωνι συγχωρῶν ἐν τοῖς τρισί, πρῶτον τὸ πῦρ σημαίνεσθαι εἴρηκε διὰ τοῦ σκότους· τὸ γὰρ πῦρ ἐν τῇ ἰδίᾳ σφαίρᾳ

**288-290** Τὸ – ξηρά] Gen. 1, 9: Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. **292-293** κατὰ – παρίστησι] Ar., De coel. II, 269a18-26.

**266** Ἔνιοι] ἔνι P (alii Aq.) **267** ὑπονοοῦντες] ἐπινοοῦντες M **282** ὁτουοῦν] ὁτουοῦν P **291** συνείῃ] συνείῃ P **295** σφαίρᾳ] σφαῖρα P **297** πέμπτην] μέμπτην P

ἀλαμπὲς ὂν τυγχάνει, ἥ τε θέσις αὐτοῦ δηλοῦται, ἐν οἷς λέγεται· ἐπὶ πρόσωπον τῆς ἀβύσσου. Τὴν πέμπτην δὲ οὐσίαν τοῦ οὐρανοῦ ὀνόματι νοεῖ. ἀλλ’ ἐπεὶ ὥς φησιν ὁ Βασίλειος ἐν τῇ Ἑξαημέρῳ, οὐκ ἔστιν ἔθος τῇ θείᾳ Γραφῇ P 100r | διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ ἄλλό τι παρὰ τὸ ἅγιον Πνεῦμα, οὐ καὶ οἰκείως δύναιτο διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ νοεῖσθαι ὁ ἀήρ, ἀλλὰ διὰ τῶν ἄκρων σωμάτων ἃ εἴρηκε, δέδωκεν ἐφόδιον νοεῖν τὰ μέσα· καὶ μάλισθ’ ὅτι τὸ μὲν ὕδωρ καὶ ἡ γῆ πρόχειρόν ἐστι τῇ αἰσθήσει εἶναι σώματα, ὁ δ’ ἀὴρ καὶ τὸ πῦρ οὐχ οὕτως εἰσὶν ἐν τοῖς ἁπλοϊκοῖς κατάδηλα, οἷς καὶ μυσταγωγουμένοις ἡ Γραφὴ παρεδίδοτο. Κατὰ δὲ τὸν Αὐγουστῖνον διὰ τοῦ ὀνόματος τῆς γῆς καὶ τοῦ ὕδατος, ἐπεὶ μνημονεύονται πρὸ τῆς τοῦ φωτὸς διαπλάσεως, οὐ νοοῦνται τὰ στοιχεῖα τοῖς ἰδίοις εἴδεσι μεμορφωμένα, ἀλλ’ αὐτὴ ἡ ἀνείδεος ὕλη παντὸς εἴδους στερομένη. Διατοῦτο δὲ μᾶλλον τοῖς δυσὶ τούτοις ἡ πρώτη ὕλη δηλοῦται ἢ διὰ τῶν ἄλλων, ὅτι μᾶλλον εἰσὶν ἐγγὺς τῷ ἀνειδέῳ, ὡσὰν πλέον ἔχοντα τῆς ὕλης καὶ ἧττον τοῦ εἴδους, ἔτι τε διὰ τὸ μᾶλλον ἡμῖν εἶναι γνώριμα καὶ φανερώτερον ἡμῖν τῶν λοιπῶν τριῶν ἁπαντᾶν. Διατοῦτο δὲ οὐ δι’ ἑνός, ἀλλὰ δύο ταύτην δηλοῦσθαι ἠθέλησεν, ἵνα μὴ τοῦ ἑνὸς μόνου τεθέντος ὡς ἀληθῶς πιστεύοιτο τοῦτ’ εἶναι τὴν ἀνείδεον ὕλην.

[4.1.35] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν ἐκείνῃ τῇ τῶν ὄντων ἀρχῇ ἀμορφίας τινὸς ἐν τοῖς οὖσιν ὑπούσης κατὰ τὴν δόξαν Βασιλείου καὶ τῶν ἄλλων ἁγίων, οὐ δεῖ τιθέναι τὰ στοιχεῖα τῶν φυσικῶν ποιοτήτων στέρεσθαι, ἀλλ’ ἑκάτερον ἔχειν καὶ τὰ οὐσιώδη εἴδη δηλαδὴ καὶ τὰ συμβεβηκότα.

[4.1.36] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τῶν στοιχείων ἡ θέσις διχῇ δύναται θεωρεῖσθαι. Ἑνὶ μὲν τρόπῳ, ὅσον πρὸς τὴν φύσιν αὐτῶ· καὶ οὕτω φύσει τὸ μὲν πῦρ τὸν ἀέρα ἐμπεριέχει, ὁ δ’ ἀήρ, τὸ ὕδωρ, τὸ δ’ ὕδωρ τὴν γῆν. Ἑτέρῳ τρόπῳ, ὅσον πρὸς τὴν τῆς γενέσεως ἀνάγκην, ἥτίς ἐστι περὶ τὸν μέσον τόπον, καὶ ταύτῃ τῆς γῆς τὴν ἐπιφάνειαν ὅσον κατά τι μέρος ἀποκεκαλῦφθαι δεῖ τοῖς ὕδασιν, ὡσὰν ἐκεῖ δύναιτο τὴν προσήκουσαν γένεσιν καὶ δίαιταν τῶν μικτῶν εἶναι, καὶ μάλιστα τῶν τελείων ζῴων, ἃ δεῖται ἀέρος διὰ τὴν ἀνάπνευσιν. Ῥητέον οὖν, ὅτι ἐκείνη ἡ ἀμορφία τῆς πρώτης τῶν ὄντων συμπήξεως νοεῖται οὐχ ὅσον πρὸς τὴν θέσιν, ἣ φύσει τοῖς στοιχείοις ἐστὶ καθ’ αὐτά (ταύτην γὰρ πάντ’ εἶχε τὰ στοιχεῖα), ἀλλ’ ὅσον πρὸς ταύτην τὴν θέσιν, ἣ προσήκει τοῖς

**304-307** Κατὰ – στερομένη] Aug., Dial. quaest. LXV, quaestio 21 (PL 40, col. 740).

**308** ὡσὰν ὡσᾶν P **316** δηλαδὴ] ἢ scr. ante δηλαδὴ M

**στοιχείοις κατὰ τὴν πρὸς τὴν γένεσιν τάξιν τῶν μικτῶν. Αὕτη γὰρ ἡ θέσις, οὐκ ἦν πω τελεία, ὅτι μὴ δ’ αὐτά πω τὰ μικτὰ σώματα προῆλθε.**

**[4.1.37] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι περὶ τῶν ὑδάτων τῶν ὑπὲρ τὸν οὐρανὸν ὄντων διαφόρως ἐνόμισάν τινες. Οἱ μὲν γὰρ εἰρήκασι τὰ ὕδατα ἐκεῖνα εἶναι νοητὰς φύσεις ὅπερ ἀνατίθεται Ὠριγένει. Ἀλλὰ τοῦτο οὐ δίδωσι νοεῖν τὰ γεγραμμένα, ἐφόσον ταῖς νοηταῖς φύσεσι μὴ προσήκει τις θέσις, ἵν’ οὕτω μεταξὺ τούτων τὲ καὶ τῶν ὑποκειμένων σωματικῶν ὑδάτων καθάπέρ τι** P 100v **διατείχισμα διείη τὸ | στερέωμα, ὡς ἐν τῇ Γενέσει παραδίδωσιν ἡ Γραφή. Ὅθεν ἕτεροι φασὶν ὑπὸ τῷ τοῦ στερεώματος ὀνόματι τὸν ἀέριον οὐρανὸν νοεῖσθαι τὸν γείτονα ἡμῖν, ὑπὲρ ὃν αἰωροῦνται τοῖς ἀτμοῖς τῶν ἀναθυμιάσεων, τὰ ἀτμώδη ὕδατα, ἅ εἰσιν ὕλη τῶν ὑετῶν· ὥσθ’ οὕτω μεταξὺ τῶν ὑπὲρ ἡμᾶς ὑδάτων, ἅ ἐστιν ἐν τῇ μέσῃ τοῦ ἀέρος χώρᾳ, τοῖς ἀτμοῖς αἰωρούμενα καὶ τῶν σωματικῶν ὑδάτων ἃ ὁρῶμεν ἐπὶ τῆς γῆς συνίστασθαι, μέσον εἶναι τὸν ἀέριον οὐρανόν. Καὶ ταύτῃ προστίθεται τῇ ἐκθέσει ὁ Ῥαββὶ Μωυσῆς. Ἀλλ’ οὐδὲ ταῦτα δοκεῖ ἀνέχεσθαι ἡ τοῦ γράμματος περικοπή. Καὶ γὰρ μεταταῦτα ὑπάγεται ἐν τῇ Γραφῇ, ὅτι Θεὸς ἐποίησε τοὺς δύο φωστῆρας τοὺς μεγάλους, καὶ τοὺς ἀστέρας, καὶ ἔθηκεν αὐτὰ εἰς τὸ στερέωμα τοῦ οὐρανοῦ. Καὶ διατοῦτο ἕτεροι φασὶ διὰ τοῦ στερεώματος νοεῖσθαι τὸν ἀστρῷον οὐρανόν, καὶ ὅτι τὰ ὑπὲρ τοῦ οὐρανοῦ ὕδατά εἰσιν ἐκ τῆς φύσεως τῶν στοιχειωδῶν ὑδάτων, ἐπαχθέντα τῇ θείᾳ προνοίᾳ πρὸς τὸ κιρνᾶν τὴν τοῦ πυρὸς δύναμιν, ἀφ’ οὗ ὅλον τὸν οὐρανὸν συνεστάναι φασίν· ἧς δὴ δόξης ὁ Βασίλειος ἅπτεται. Πρὸς δὲ τοῦτο κατασκευάζειν δύο ἐπιχειρήματα ὁ Αὐγουστῖνός φησι παρά τινων εἰσάγεσθαι, ὡς ἐν τῷ τρίτῳ τῆς εἰς τὴν Γένεσιν ἐξηγήσεως εἴρηκεν. Ὧν τὸ μὲν ἕν ἐστι τοιοῦτον, εἴ τις νοτὶς λεπτυνομένη δύναται ἀνιέναι εἰς μέσον τοῦ ἀέρος κύτος, εἰ μὴ οἱ ὑετοὶ γένωνται, ἀλλὰ μᾶλλον διαιρουμένη ἀραιοῖτο διὰ τὸ εἶναι ἐπ’ ἄπειρον διαιρετή, ὥσπερ καὶ πᾶν σῶμα συνεχὲς δυνήσεται τῇ αὐτῆς λεπτότητι ὑπὲρ τὸν ἀστρῷον οὐρανὸν ἀναφέρεσθαι κἀκεῖ προσηκόντως εἶναι. Τὸ δ’ ἕτερον ἐπιχείρημα ἐστίν, ὅτι ὁ τοῦ Κρόνου ἀστήρ, ὃς εἶναι θερμότατος, προσήκει διὰ τὴν ταχίστην κίνησιν, ὅσο καὶ μείζων ἐστὶν ἡ κατ’ αὐτὸν ζώνη, εὑρίσκεται ψυχρὸς κατὰ τὰ ἀποτελέσματα, ὅ φασι συμβαίνειν**

**348-349** δύο – εἴρηκεν] Aug., De gen. ad litt. II, cap. 4-5 (cols 205-207).

**330** ἐνόμισάν τινες] ἐνόμισάντες M (aliqui opinati Aq.) **334** διείη] intellige διίῃ **336** αἰωροῦνται] ἑωροῦνται P **338** χώρᾳ] ἐν τῇ γ’ῃ χώρᾳ M **339** αἰωρούμενα] ἑωρούμενα P **346** κιρνᾶν] κιννᾶν M (temperandum Aq.) **347** ἧς] εἰς M **350** εἴ τις νοτὶς] ἥτις νοτὴς P

τῇ γειτνιάσει τῶν ὑδάτων ἐκείνων τὸν προειρημένον ἀστέρα ψυχόντων. Ἀλλ’ αὕτη ἡ ἐξήγησις ἐν τούτοις ἀσθενεῖν δοκεῖ, ὅτι διισχυρίζεταί τινα διὰ τῆς ἱερᾶς Γραφῆς νοεῖσθαι, ὧν τἀναντία ἄλλοις λόγοις ἐναργέσιν ἀποδείκνυνται. Πρῶτον μὲν ὅσον πρὸς τὴν αὐτὴν δόξαν, ἣ δοκεῖ τὴν φυσικὴν θέσιν ἀνατρέπειν τῶν σωμάτων. Ἐπεὶ γὰρ ἕκαστον τῶν σωμάτων τοσοῦτον ἀνάγκη μετεωρότερον εἶναι, ὅσον μᾶλλον εἴδους εὐμοιρεῖ, οὐ δοκεῖ συνᾴδειν τῇ τῶν ὄντων φύσει τὰ ὕδατα ὑλικώτερα πρὸς τὰ ἄλλα σώματα ὄντα ἔξω τῆς γῆς ὑπὲρ πάντα τὸν ἀστρῶον οὐρανὸν στηρίζεσθαι. Αὖθις τὲ τὰ ἑνὸς εἴδους ὄντα διάφορον φυσικὴν χώραν λαγχάνειν· ὅπερ ἔσται, εἰ θάτερον μὲν τοῦ στοιχειώδους ὕδατος μέρος ἀμέσως ἐπὶ τῆς γῆς κέχυται, θάτερον δὲ ὑπὲρ τὸν οὐρανόν. Οὐδέ ἐστιν ἀπάντησις ἀποχρῶσα τὴν τοῦ Θεοῦ παντοδυναμότητα τὰ ὕδατα ἐκεῖνα παρὰ τὴν αὐτῶν φύσιν | P 101r ὑπὲρ τὰ τοῦ οὐρανοῦ νῶτα ἀνέχειν· τηνικαῦτα γὰρ οὐ ζητεῖται, πῶς ὁ Θεὸς τὰς φύσεις δεδημιούργηκε τῶν πραγμάτων, ἐπεὶ βούλεται πρὸς ἔκπληξιν τῆς αὐτοῦ δυνάμεως ἐνεργεῖν, ὡς ὁ Αὐγουστῖνος ἐν τῷ αὐτῷ βιβλίῳ φησί. Δεύτερον, ὅτι ὁ περὶ τῆς ἀραιότητος λόγος ἤτοι τῆς διαιρέσεως τῶν ὑδάτων, ἄντικρυς ματαίῳ ἔοικεν. Εἰ γὰρ καὶ τὰ μαθηματικὰ σώματα δύνανται εἰς ἄπειρον διαιρεῖσθαι, τὰ φυσικὰ μέντοιγε σώματα μέχρις ὡρισμένου πέρατος διαιροῦνται, ἑκάστῳ εἴδει ὁριζομένης ποσότητος κατὰ τὴν φύσιν, ὥσπερ καὶ τὰ ἄλλα τὰ συμβεβηκότα. Ὅθεν οὐδ’ ἡ ἀραιότης εἰς ἄπειρον εἶναι δύναται, ἀλλ’ ἄχρις ὡρισμένου πέρατος, ὅπέρ ἐστιν ἡ τοῦ πυρὸς ἀραιότης. Ἔτι, δυνέσθω τοσοῦτον ἀραιοῦσθαι, ὥστ’ ἤδη μὴ εἶναι ὕδατα, ἀλλ’ ἀὴρ ἢ πῦρ, ἀλλὰ καὶ ὑπερβάλλοιντο τὸν τρόπον τῆς τῶν ὑδάτων ἀραιότητος. Οὐκ ἂν δύναιντο φυσικῶς ὑπερβαίνειν τά τε τοῦ ἀέρος καὶ τοῦ πυρὸς διαστήματα, ἢν μὴ καὶ τὴν τῶν ὑδάτων φύσιν ἀποβαλόντα, ἔτι καὶ τῆς αὐτῶν ἀραιότητος περιγένηνται. Ἀλλ’ ὅμως οὐδ’ οὕτως ἔσται δυνατὸν σῶμα στοιχειῶδες καὶ φθαρτὸν εἶδος ἀναλαβεῖν βέλτιον τοῦ ἀστρώου οὐρανοῦ, ὅσπέρ ἐστιν ἄφθαρτον σῶμα, καὶ ταύτῃ ὑπὲρ αὐτὸν φυσικῶς στηρίζεσθαι. Τρίτον, ὅτι ὁ δεύτερος λόγος παντάπασιν ἕωλος φαίνεται. Τὰ γὰρ οὐράνια σώματα οὐ πάσχει παρὰ τῶν ἀλλοτρίων, ὡς παρὰ τῶν φιλοσόφων ἀποδείκνυται. Οὔθ’ οἷόν τε τὸν ἀστέρα τοῦ Κρόνου παρ’

**359** ἄλις] ἄλλοις M (satis Aq.) **382** φθαρτὸν] ἄφθαρτὸν M (corruptibile Aq.) **383-385** καὶ – σώματα] om. et al. man. add. in marg. dex. M **379** αὐτὸν] αὐτῶν M (ipsum Aq.)

ἐκείνων τῶν ὑδάτων διαψύχεσθαι, εἰ μὴ καὶ πάντα τὰ ἐν τῇ ὀγδόῃ σφαίρᾳ ἄστρα ψύχονται· ὧν πλεῖστα ταῖς ἐνεργείαις εὑρίσκονται θερμά. Διά τοι τοῦτο ἄλλως δοκεῖ ῥητέον εἶναι πρὸς τὸ τὴν τῆς Γραφῆς ἀλήθειαν πάσης ἀπολύσασθαι συκοφαντίας· λέγομεν τοίνυν τὰ ὕδατα ἐκεῖνα, μὴ εἶναι ἐκ τῆς τῶνδε τῶν ψυχρῶν ὑδάτων φύσεως, ἀλλ' εἶναι ἐκ τῆς φύσεως τῆς πέμπτης οὐσίας, κοινὸν ἔχοντα τοῖς ἡμετέροις ὕδασι τὸ διαφανές, ὥσπερ καὶ ὁ ἐμπύριος οὐρανὸς μετὰ τοῦ ἡμετέρου πυρὸς κοινὴν ἔχει τὴν λαμπηδόνα. Καὶ ταῦτα τὰ ὕδατα, ἔνιοι καλοῦσιν οὐρανὸν κρυστάλλινον, οὐ διὰ τὸ εἶναι ἐκ τοῦ συμπεπηγότος ὕδατος πρὸς τρόπου τῷ κρυστάλλῳ, ὡς γὰρ φησὶν ὁ Βασίλειος ἐν τῇ Ἑξαημέρῳ, παιδικῆς τωόντι καὶ ἁπλοϊκῆς διανοίας ἐστί, τοιαύτην περὶ τῶν οὐρανίων δέχεσθαι δόξαν, ἀλλὰ διὰ τὴν ἐκείνου στεγανότητα, ᾗ δὴ καὶ περὶ πάντων τῶν οὐρανῶν λέγεται ἐν τῷ τοῦ Ἰὼβ τριακοστῷ ἑβδόμῳ, ὅτι στερεώτατοι ὥσπερ χαλκοὶ τεθεμελίωνται. Καὶ οὗτος οὐρανὸς παρὰ τῶν ἀστρονόμων τίθεται ἐν τῇ ἐνάτῃ σφαίρᾳ. Ὅθεν καὶ ὁ Αὐγουστῖνος οὐδεμίαν ἐκ τῶν προειρημένων δόξαν δισχυρίζεται, ἀλλὰ διαπορήσας | μόνον μεθίεται, λέγων ἐν τῷ αὐτῷ βιβλίῳ· εἰ καὶ ὕδατα εἰσὶν ἐκεῖ, πῶς καὶ τὸ ποῖά τινά εἴσιν ἐκεῖ ἥκιστα διοίσομαι. Μείζων γάρ ἐστι τῆς τοιαύτης Γραφῆς ἡ θεσπεσιότης, πάσης χωρήσεως ἀνθρωπίνης ἀγχινοίας.

[4.1.38] Τῷ δὲ συγχωρῶμεν.

[4.1.39] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, εἰ νοοῖτο κατὰ τὴν ἐξήγησιν Βασιλείου καὶ τῶν ὀπαδῶν αὐτοῦ διὰ τῆς γῆς αὐτὸ τὸ τῆς γῆς στοιχεῖον, οὕτω θεωρεῖσθαι δύναται, ᾗ ἐφόσόν ἐστιν ἀρχή τινων ὄντων, δηλαδὴ τῶν φυτῶν, ὧν ἐστιν αὐτὴ ὡσεὶ μήτηρ, καθάπερ λέγεται ἐν τῷ Περὶ φυτικῆς βιβλίῳ· οἷς προσέχουσι τὸν νοῦν ἔσται κενή, πρὶν ἢ ταῦτα προενεγκεῖν· κενὸν γὰρ καὶ ἔρημον λέγομεν τὸ μὴ διικνούμενον εἰς τὸ ἑαυτοῦ ἀποτέλεσμα ἢ τέλος. Ἢ δύναται θεωρεῖσθαι, ἐφόσον ἐστὶ δίαιτά τις καὶ τόπος τῶν ζῴων, εἰς ἃ ἀποσκοποῦσιν ἔρημος λέγεται γενέσθαι. Ἢ κατὰ τὴν τῶν Ἑβδομήκοντα
P 101r ἔκδοσιν, ᾗ περιέχει, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· γέγονε μὲν γὰρ ἀόρατος, ἐφόσον ἦν ὑποβρύχιος τοῖς ὕδασιν, ἢ καὶ διὰ τὸ μήπω παρῆχθαι τὸ

**395-396** ὡς – δόξαν] Bas. Hom. in Hex. IV (PG 29, col. 52). **396-397** λέγεται – τεθεμελίωνται] cf. Iob 37.18: στερεώσεις μετ᾽ αὐτοῦ εἰς παλαιώματα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως. **400-404** ὁ – ἀγχινοίας] Aug., De gen. ad litt. II, cap. 5, n. 9 (PL 34, col. 206): Quoquo modo autem et qualeslibet aquae ibi sint, esse eas ibi minime dubitemus: maior est quippe Scripturae huius auctoritas, quam omnis humani ingenii capacitas. **406-407** εἰ – στοιχεῖον] Bas. Hom. in Hex. IV (PG 29, col. 77).

**396** τωόντι] τῳόντι P **405** δὲ] bis acc. P. Post δὲ Aq. habet: sextum. **411-412** λέγομεν – ἐστί] om. et al. man. add. in marg. sin. M

φῶς, δι’ ἧς ὁρᾶσθαι δύναιτο· ἀκατασκεύαστος δὲ διὰ τὸ στέρεσθαι καὶ φυτῶν καὶ τοῦ λοιποῦ κόσμου καὶ τῆς προσηκούσης θέσεως πρὸς τὴν αὐτῶν γένεσιν καὶ δίαιταν. Εἰ δὲ διὰ τῆς γῆς νοεῖται ἡ πρώτη ὕλη κατὰ τὴν Αὐγουστίνου δόξαν, οὕτω λέγεται κενὴ κατὰ παράθεσιν πρὸς τὸ σύνθετον ἐν ᾗ ὑφέστηκεν (ἡ γὰρ κενότης τῇ στεφανότητι καὶ τῇ ναστότητι ἀντίκειται· ἔρημος δὲ κατὰ παράθεσιν πρὸς τὰ εἴδη, οἷς ἡ αὐτῆς δύναμις οὐκ ἐπλήρωτο. Ὅθεν καὶ Πλάτων τὴν τοῦ εἴδους ὑποδοχὴν τῆς ὕλης τόπῳ παραβάλλει, ᾗ δὴ τὸ ἐνιδρυόμενον ὑποδέχεται. Τὸ δὲ ἔρημον καὶ τὸ πλῆρες, περὶ τὸν τόπον ἰδίως λέγονται. Ἔτι τε λέγεται ἡ ὕλη ἐν τῷ ἑαυτῆς ἀειδεῖ θερουμένη ἀόρατος, διὰ τοῦ εἴδους στέρεσθαι, ὅπέρ ἐστι πάσης καταλήψεως ἀρχή· ἀκατασκεύαστος δέ, διὰ τὸ μήπω ἐν κόσμῳ καὶ εὐμορφίᾳ ὑφεστάναι.

[4.1.38] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι πρὸς τὴν τοῦ διδόντος ἐλευθεριότητα οὐ δεῖ μόνον τοῦ θᾶττον, ἀλλὰ καὶ τοῦ μετὰ τοῦ τεταγμένου καὶ τῷ καθήκοντι καιρῷ δοῦναι ἕκαστον. Ὅθεν ἐν οἷς λέγεται, ὅτι δοῦναι παραχρῆμα τὶ δύναται, οὐ μόνον ἡ δύναμις θεωρεῖται ἁπλῶς, ᾗ δυνάμεθά τι διδόναι, ἀλλὰ καὶ ᾗ δυνάμεθα ἁρμοδιώτερον διδόναι. Ὅθεν πρὸς συντήρησιν τοῦ τῇ τάξει καθήκοντος ὁ Θεὸς ἀτελές πως τὸ πᾶν πρῶτον κατεσκεύασεν, ὥσθ’ οὕτω βαθμηδὸν ἐκ τοῦ μηδενὸς εἰς τελειότητα προελθεῖν.

[4.1.39] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ προσήκουσα θέσις τῇ φύσει τῶν στοιχείων ἦν ἐν αὐτοῖς, ὡς εἴρηται. Ὅθεν ἡ πρὸς τὴν εἰρημένην δόξαν ἔνστασις κατὰ τὸ ἀληθὲς οὐ προχωρεῖ.

[4.1.40] Ὁμοίως δὲ ῥητέον καὶ πρὸς τὸ δέκατον καὶ ἑνδέκατον.

P 102r [4.1.41] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ τελειότης τοῦ ποιοῦντος | ἀπαιτεῖ τέλειον ἀποτέλεσμα προενεγκεῖν, ἀλλ’ οὐκ εὐθὺς ἐν ἀρχῇ τέλειον ἁπλῶς κατὰ τὸν τῆς αὐτοῦ φύσεως τρόπον, ἀλλ’ ὥσπερ κατὰ τὸν καιρὸν ἐκεῖνον, ᾧ τὸ παιδίον ὁμοῦ γεννηθὲν λέγεται τέλειον.

[4.1.42] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ ὕλη οὐ λέγεται γενέσθαι ἀνείδεος κατὰ τὴν δόξαν, ἧς ἀντιποιούμεθα ἐν τῷ παρόντι, λεγομένη παντὸς στέρεσθαι εἴδους· ἢ ὅτι ἓν εἶχε μόνον εἶδος, ὃ ἦν ἐν δυνάμει πρὸς πάντα τὰ εἴδη, ὥσπερ ἠξίουν οἱ ἀρχαῖοι φυσικοὶ τιθέντες μίαν ἀρχήν, ὑφ’ ᾗ περιέχονται

**418-420** Εἰ – ὑφέστηκεν] vide supra in apparatu fontium [4.1.34].308-311

**417** λοιποῦ] animalium Aq.

πολλὰ εἴδη δυνάμει, ὥσπερ ἐν τοῖς μικτοῖς συμβαίνει, ἀλλ’ ἔχει μὲν ἐν διαφόροις μέρεσι τὰ στοιχειώδη εἴδη διῃρημένα. Ἐλέγετο μέντοι ἀνείδεος, ὅτι μήπω τὰ εἴδη τῶν μικτῶν ἐπεγένοντο τῇ ὕλῃ, πρὸς ἃ τὰ στοιχειώδη εἴδη ἐστὶν ἐν δυνάμει· οὐδ’ ἦν πω ἡ τῶν στοιχείων θέσις ἡ προσήκουσα τῇ τῶν μικτῶν γενέσει, καθάπερ εἴρηται πρότερον.

**[4.1.43]** Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οὐδὲν ἡμᾶς συνελαύνει οὔτε τὸ ἀξίωμα τῆς κατὰ τὴν Γένεσιν συγγραφῆς, οὔτέ τις λόγος λέγειν ἀμηγέπη ἐν ἐκείνῃ τῇ τῶν ὄντων ἀρχῇ τὴν ὕλην ὑποκεῖσθαι τοῖς στοιχειώδεσιν εἴδεσιν ἑτέρῳ τρόπῳ ἢ νῦν· καὶ εἰ δυνατὸν γέγονεν ἐκ τῶν ὑδάτων ἀναθυμιαστικῶς τι ἀνιέναι εἰς τὸν τοῦ ἀέρος τόπον, ὥσπερ καὶ ἄρτι συμβαίνει, καὶ τάχα τότε μᾶλλον τῆς τε γῆς ἐπί παν τοῖς ὕδασιν καλυπτομένης.

**[4.1.44]** Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι περὶ τοῦ στερώματος, ὃ τῇ δευτέρᾳ ἡμέρᾳ εἰδοποιεῖσθαι λέγεται, πολυσχεδὴς εὑρίσκεται δόξα. Τινὲς μὲν γὰρ οὔ φασιν εἶναί τι τοῦτο παρὰ τὸν οὐρανόν, ὃς τῇ πρώτῃ ἡμέρᾳ ἀναγινώσκεται γεγονέναι· φασὶ δ’ ὅτι ἡ Γραφὴ ἐν τοῖς προοιμίοις ἐν κεφαλαίῳ μέμνηται τῶν κτισμάτων, περὶ ὧν ἐν τῇ Ἑξαημέρῳ διεξοδικώτερον τίνα γέγονεν τρόπον διασκευάζει. Καὶ αὕτη ἡ δόξα ἐστὶ Βασιλείου ἐν τῇ Ἑξαημέρῳ. Ἕτεροι δὲ φασὶν ἄλλο εἶναι τὸ στερέωμα, ὃ τῇ δευτέρᾳ γέγονεν ἡμέρᾳ, καὶ ἄλλον τὸν οὐρανόν, ὃς πρῶτος ἀναγινώσκεται κτισθῆναι· καὶ τοῦτο τρισὶ τρόποις. Ἔνιοι μὲν γὰρ φασίν, ὅτι διὰ τοῦ οὐρανοῦ, ὃς τῇ πρώτῃ ἡμέρᾳ δημιουργηθῆναι ἀναγινώσκεται, νοεῖται ἡ νοητὴ κτίσις εἴτε ἐνείδεος εἴτε ἀνείδεος ἔτι· διὰ δὲ τοῦ στερεώματος, ὃ τῇ δευτέρᾳ ἡμέρᾳ ἀναγινώσκεται, νοεῖται ὁ σωματικὸς οὐρανός, ὅνπερ ὁρῶμεν. Αὕτη δ’ αὖ ἡ δόξα ἐστὶν Αὐγουστίνου, ὡς φαίνεται ἐν τῇ εἰς τὴν Γένεσιν ἑρμηνείᾳ αὐτοῦ καὶ ἐν τῷ τῆς Ἐξομολογήσεως δωδεκάτῳ. Ἄλλοι δέ φασιν ὅτι διὰ τοῦ οὐρανοῦ, ὃς ἀναγινώσκεται τῇ πρώτῃ ἡμέρᾳ δημιουργηθῆναι, νοεῖται ὁ ἐμπύριος οὐρανός· διὰ δ’ αὖ τοῦ στερεώματος, ὃ τῇ δευτέρᾳ ἡμέρᾳ ἀναγινώσκεται γεγονέναι, ὁ ἀστροφόρος οὐρανός, ὃν ὁρῶμεν. Αὕτη δὲ ἡ δόξα ἐστὶ Στράβου, ὡς φαίνεται ἐν τῇ εἰς τὴν Γένεσιν ἐξηγήσει αὐτοῦ ἐν τῷ πρώτῳ.

**458-463** Τινὲς – ἑξαημέρῳ] cf. Bas. Hom. in Hex. III, n. 3 (PG 29, cols 56-59). **465-470** Ἔνιοι – δωδεκάτῳ] cf. Aug., De gen. ad litt. I, cap. 9 (PL 34, cols 251-253); Conf. XII, cap. 8 (PL 32, cols 835-836).

**456** καλυπτομένης] ὑφορμώσης[a. corr.] P **459** ὃς] ὃ M **460** προοιμίοις] προοιμένοις M **472-473** διὰ – οὐρανὸς] om. et al. man. add. in marg. dex. M

## Κεφάλαιον δεύτερον

## Πότερον ἡ μόρφωσις τῆς ὕλης γέγονεν ὅλη ὁμοῦ ἢ κατὰ διαδοχήν.

[4.2.1] Δεύτερον ζητεῖται πότερον ἡ τῆς ὕλης διαμόρφωσις ὅλη γέγονεν ὁμοῦ ἢ κατὰ διαδοχήν. Καὶ δοκεῖ κατὰ διαδοχήν. Λέγεται γὰρ ἐν τῇ Ἰουδὴθ ἐν τῷ ἐνάτῳ· σὺ ἐποίησας τὰ πρότερα, καὶ ἐκεῖνα μετ᾽ ἐκεῖνα ἐννοήσω. Τὸ δὲ τοῦ Θεοῦ ἐννόημά ἐστιν ἡ αὐτοῦ ἐνέργεια, ὡς ὁ Δαμασκηνός φησιν· ὅθεν καὶ ἐν τῷ προειρημένῳ λογίῳ ὑπάγεται· καὶ τοῦτο γέγονεν ὅπερ αὐτὸς ἠθέλησας. Τὰ ὄντα ἄρα τάξει τινὶ καὶ οὐκ ἀθρόον γέγονεν.

[4.2.2] Ἔτι, πολλὰ χρόνου μέρη οὐ δύνανται εἶναι ὁμοῦ· ὅτι ὁ τὶς χρόνος ἔν τινι κινήσει γίνεται. Ἀλλ᾽ ἡ τῶν ὄντων διαμόρφωσις, ἐν διαφόροις χρόνου μέρεσι γενέσθαι μνημονεύεται ἐν τῷ τῆς Γενέσεως πρώτῳ. Δοκεῖ ἄρα τὴν τῶν ὄντων διαμόρφωσιν γενέσθαι κατὰ διαδοχήν, καὶ μὴ πᾶσαν συλλήβδην.

[4.2.3] Ἀλλ᾽ ἔλεγεν, ὅτι δι᾽ ἐκείνων τῶν ἓξ ἡμερῶν κατὰ τὴν Αὐγουστίνου δόξαν οὐ νοοῦνται αἱ εἰωθυῖαι ἡμέραι ἡμῖν, αἵ εἰσι χρόνου μέρη, ἀλλὰ κατὰ τὸν τῶν ἀγγέλων ἐξαδικῶς δηλουμένην γνῶσιν ἐν τοῖς γνωστέοις πράγμασι τὰ τῶν ὄντων ἓξ γένη. Ἀλλὰ τοὐναντίον, ἡ ἡμέρα γίνεται ἐκ τῆς τοῦ φωτὸς παρουσίας· ὅθεν λέγεται ἐν τῷ τῆς Γενέσεως πρώτῳ, ὅτι ὁ Θεὸς ἐκάλεσε τὸ φῶς ἡμέραν. Τὸ δὲ φῶς ἰδίως ἐν τοῖς ἀσωμάτοις οὐχ εὑρίσκεται, ἀλλὰ μεταφορικῶς μόνον. Ἀρ᾽ οὐδὲ ἡμέρα κυρίως δύναται νοεῖσθαι ἡ τῶν ἀγγέλων γνῶσις. Οὐ δοκεῖ τοίνυν συνᾴδειν τῷ γράμματι ἥδε ἡ ἐξήγησις, ὡς διὰ τῶν ἡμερῶν τὴν τῶν ἀγγέλων γνῶσιν ἐμφαίνεσθαι. Ἀπόδειξις τῆς μέσης. Οὐδὲν
P 105v αἰσθητὸν | καθ᾽ αὐτὸ δύναται νοεῖσθαι ἐν τοῖς νοητοῖς κυρίως· ἃ γὰρ τοῖς τε νοητοῖς καὶ αἰσθητοῖς εἰσι κοινά, οὐκ εἰσὶ κοινὰ εἰ μὴ κατὰ συμβεβηκός· ὥσπερ ἡ οὐσία ἡ δύναμις ἁπλῶς καὶ ἡ ποιητική, καὶ τὰ ὁμόστοιχα. Τὸ δὲ φῶς ἐστι καθ᾽ αὐτὸ αἰσθητὸν τῇ ὄψει. Οὐκ ἄρα δύναται ἰδίως ἐν τοῖς νοητοῖς ληφθῆναι.

[4.2.4] Ἔτι, ἐπεὶ οἱ ἄγγελοι διττῶς τὰ ὄντα γινώσκουσιν, ἔν τε τῷ λόγῳ δηλαδὴ καὶ ἐν τῇ σφῶν αὐτῶν φύσει, ἀνάγκη κατὰ μίαν αὐτῶν τῶν γνώσεων τὴν ἡμέραν νοεῖσθαι. Οὐ δύναται δὲ νοεῖσθαι περὶ τῆς γνώσεως, ᾗ γινώσκει τὰ ὄντα ἐν τῷ λόγῳ, ὅτι αὕτη ἡ γνῶσις ἐστὶ μία μόνον περὶ πάντων· ὁμοῦ γὰρ τῷ

**4-5** ἐν – ἐννοήσω] Iudith 9, 5: σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης, καὶ ἐγενήθησαν ἃ ἐνενοήθης **5-6** Τὸ – φησίν] Dam., De fid. orth. II, 3 (PG 94, 865): **10-11** ἡ – πρώτῳ] Gen. 1. **17-18** ὁ – ἡμέραν] Gen. 1, 5: καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα.

**5** ἐννοήσω] ἐνενοήσω M; intell. ἐνενοήθης (cogitasti Aq.) **19** κυρίως δύναται νοεῖσθαι] δύναται νοεῖσθαι κυρίως **22** νοητοῖς] deest M (spiritualibus Aq.)

λόγῳ γινώσκει ὁ ἄγγελος, ἅττα δή ποτε γινώσκει, καὶ μιᾷ γνώσει, ᾗ δηλονότι ὁρᾷ τὸν λόγον. Οὐκ ἂν οὖν εἴη εἰ μὴ ἡμέρα μία. Εἰ δὲ νοεῖται περὶ τῆς γνώσεως, ᾗ γινώσκει τὰ ὄντα ἐν τῇ ἑαυτοῦ φύσει, ἕπεται εἶναι πολλῷ πλείους ἢ ἓξ ἡμέρας, πλειόνων ὄντων γενῶν καὶ εἰδῶν τῶν δημιουργημάτων. Οὐκ ἄρα δοκεῖ τὸ τῶν ἡμερῶν ἑξαδικὸν πρὸς τὴν ἀγγελικὴν γνῶσιν ἀναφέρεσθαι δύνασθαι.

[4.2.5] Ἔτι, ἐν τῷ εἰκοστῷ τῆς Ἐξόδου λέγεται· ἓξ ἡμέρας ἐργάσῃ, τῇ ἑβδόμῃ ἡμέρᾳ, τῷ Σαββάτῳ Κυρίου τοῦ Θεοῦ σου, οὐ ποιήσεις πᾶν ἔργον. Καὶ μεταταῦτα ὁ λόγος ὑποφέρεται, ὅτι ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν. Ἀλλ’ ὁ νόμος κατὰ τὸ γράμμα περὶ ὑλικῶν ἡμερῶν διαλέγεται, ὧν ταῖς μὲν ἓξ ἐφίησι τοῖς ἔργοις, τῇ δὲ ἑβδόμῃ ἀργεῖ. Ἄρα καὶ τὸ λεγόμενον περὶ τῆς τοῦ Θεοῦ ἐνεργείας πρὸς ὑλικὰς ἡμέρας ἀνενεκτέον ἐστί.

[4.2.6] Χωρὶς δὲ τούτων, εἰ διὰ τῆς ἡμέρας ἡ τῶν ἀγγέλων γνῶσις νοοῖτο, τὸ ποιεῖν ἄρα τι ἐν τῇ ἡμέρᾳ οὐκ ἔστιν ἄλλο ἢ ποιεῖν ἐν τῇ ἀγγελικῇ γνώσει. Διὰ δὲ τοῦ εἶναι τι ἐν τῇ ἀγγελικῇ γνώσει οὐχ ἕπεται ἐν τῇ αὐτοῦ φύσει συνιστάναι, ἀλλὰ μόνον ὅτι γινώσκεται παρὰ τοῦ ἀγγέλου. Διὰ τούτου ἄρα οὐ δείκνυται ἡ τῶν ὄντων δημιουργία ἐν τῇ ἑτέρᾳ φύσει· ὅπέρ ἐστιν ἀντίξοον τῇ Γραφῇ.

[4.2.7] Ἔτι, ὁτουοῦν ἀγγέλου γνῶσις διενήνοχεν ἄλλου γνώσεως. Εἰ τοίνυν διὰ τῆς ἡμέρας ἡ τοῦ ἀγγέλου γνῶσις νοεῖται, ἀνάγκη τοσαύτας ἡμέρας τιθέναι, ὅσοι ἄγγελοι εἰσί, καὶ οὐχ ὅπως ἕξ, ὡς ἡ Γραφὴ μυεῖ ἡμᾶς.

[4.2.8] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τῷ δευτέρῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως, διὰ μὲν τοῦ λεγομένου εἶπεν ὁ Θεὸς γενηθήτω, φησὶ νοεῖσθαι τὰ ποιητέα πράγματα προϋφεστάναι ἐν τῷ Λόγῳ· διὰ δὲ τοῦ λεγομένου· καὶ ἐγένετο οὕτως, νοεῖται ἡ ποίησις τῶν ὄντων ἐν τῇ νοητῇ κτίσει· διὰ δὲ τοῦ λεγομένου· καὶ ἐποίησεν ὁ Θεός, νοεῖται τὸ γίνεσθαι τῆς κτίσεως ἐν τῇ αὐτῆς φύσει. Εἰ τοίνυν διὰ τῆς ἡμέρας ἡ ἀγγελικὴ γνῶσις νοεῖται, μετὰ τὸ εἰπεῖν περί τινος ἔργου, ὅτι γέγονεν, ἐν ᾧ ἡ ἀγγελικὴ γνῶσις νοεῖται, ἐκ τοῦ παρέλκοντος πρόσκειται τό· ἐγένετο ἑσπέρα καὶ πρωΐ, ἡμέρα μία, ἢ ἡμέρα δευτέρα.

**37-38** ἐν – ἔργον] Ex. 20, 9: ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου. **39-41** ἐν – κατέπαυσεν] Ex. 20, 11: ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. **52-59** Aug., De gen. ad litt. II, cap. 8, n. 19 (PL 34, col. 270).

**42** ἄργει] ἤργει M (prohibet Aq.) **49** ὁτουοῦν] ὁτουοῦν P **51** μυεῖ] τελεῖ[a. corr.] P (tradit Aq.)

P 106[r] **[4.2.9] Ἦ δ’ ὃς προσκεῖσθαι τοῦτο | πρὸς τὸ δεικνῦναι τὸν ἐνόντα τῇ νοητῇ κτίσει δισσὸν τρόπον τῆς καταλήψεως τῶν ὄντων. Ὧν εἷς μὲν ὢν τυγχάνει, ᾧ γινώσκει τὰ ὄντα ἐν τῷ Λόγῳ, καὶ τούτου χάριν λέγεται πρωὶ ἢ πρωινὴ γνῶσις· ἕτερος δέ, ᾧ γινώσκει τὰ ὄντα ἐν τῇ σφετέρα αὐτῶν φύσει, καὶ κατατοῦτο λέγεται ἑσπέρα ἢ γνῶσις ἑσπερινή. Ἀλλὰ τοὐναντίον, εἰ καὶ ὁ ἄγγελος δύναται ὁμαλῶς πολλὰ γινώσκειν ἐν τῷ λόγῳ, ὅμως οὐ δύναται πολλὰ ὁμοῦ νοεῖν ἐν τῇ ἰδίᾳ φύσει αὐτοῦ, ἐφόσον διαφόροις εἴδεσι διάφορα ἐν τῇ ἑαυτῶν φύσει νοεῖ. Εἰ τοίνυν ἡτισοῦν τῶν ἓξ ἡμερῶν οὐ μόνον ἔχει δείλην ἕω, ἀλλὰ καὶ δείλην ὀψίαν, δεήσει ἐν ταῖς ἓξ ἡμέραις τινὰ διαδοχὴν θεωρεῖν τῶν ποιητέων. Καὶ ταύτῃ τῶν ὄντων ἡ διαμόρφωσις οὐχ ὅλη ὁμαλῶς γέγονεν.**

**[4.2.10] Ἔτι, ἐκ μιᾶς δυνάμεως οὐ δύνανται πολλαὶ εἶναι ὁμοῦ ἐνέργειαι· ὥσπερ οὐδεμία γραμμὴ εὐθεῖα περαίνεται ἐκ θατέρου μέρους, εἰ μὴ πρὸς ἓν σημεῖον· τῇ γὰρ ἐνεργείᾳ ἡ δύναμις περαίνεται. Ἀλλὰ τὸ θεωρεῖν τι τῶν ὄντων ἔν τε τῷ Λόγῳ καὶ ἐν ἑαυτῷ οὐκ ἔστι μία ἐνέργεια, ἀλλὰ πολλαί. Οὐκ ἄρα ἔστιν ὁμοῦ ἥ τε ἑωθινὴ καὶ ἡ ὀψινὴ γνῶσις. Καὶ οὕτω ἔτι ἕπεται εἶναι ἐν ἐκείναις ταῖς ἓξ ἡμέραις διαδοχήν.**

**[4.2.11] Ἄνευ δὲ τούτων, ὥσπερ ὑπείπομεν, ἡ διάκρισις τοῦ φωτὸς ἀπὸ τοῦ σκότους ἑρμηνεύεται παρὰ τοῦ Αὐγουστίνου διάκρισις τῆς τε εἰδοπεποιημένης κτίσεως καὶ τῆς ἀνειδέου ὕλης, ᾗ ἔτι ἐλείπετο πρὸς εἰδοποίησιν. Ἑνὸς τοίνυν ἐκ τοῦ τῆς ὕλης μέρους μεμορφωμένου, ἕτερον ἐλείπετο ἔτι πρὸς μόρφωσιν. Οὔκουν ἄρα πᾶσα ἡ ὕλη μεμόρφωται ἀθρόον.**

**[4.2.12] Παρὰ ταῦτα, ἡ ἑωθινὴ γνῶσις κατὰ τὸν Αὐγουστῖνον νοεῖται γνῶσις ἐν τῷ λόγῳ, ἐν ᾧ ὁ ἄγγελος ἔλαβε τῆς ποιητέας κτίσεως τὴν κατάληψιν. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ ἡ κτίσις, ἧς ἡ διαμόρφωσις τοῖς ἑπομέναις ἡμέραις ἀποδίδοται, ὁμοῦ τῷ ἀγγέλῳ συνδιαμεμόρφωται. Οὐκ ἄρα πάνθ’ ὁμοῦ τὰ ὄντα διαμεμόρφωται.**

**[4.2.13] Ἔτι, αἱ ἡμέραι ἐν τοῖς νοητοῖς λέγονται καθ’ ὁμοιότητα τῶν αἰσθητῶν ἡμερῶν. Ἀλλ’ ἐν ταῖς αἰσθηταῖς ἡμέραις ἡ δείλη ἕως ἡγεῖται τῆς δείλης ὀψίας. Ἐν ἐκείναις ἄρα ταῖς ἡμέραις οὐ δεῖ προτίθεσθαι τῆς ἕω τὴν ἑσπέραν, καίτοι λεγομένου** καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωί, ἡμέρᾳ μία**.**

**89** καὶ – μίᾳ] Gen. 1, 5: καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.

**84** ἀποδίδοται] ἀποσάζεται[a. corr.] P; deest M

[4.2.14] Ἔτι, τῆς μὲν ἑσπέρας καὶ τῆς ἕω μεταξὺ ἔστιν ἡ νύξ, τῆς δ' ἕω καὶ τῆς ἑσπέρας μεταξὺ ἡ μεσημβρία. Καθαπεροῦν ἄρα ἡ Γραφὴ μεμνημένη ἑσπέρας καὶ ἕω, συμμέμνηται τῆς νυκτός, οὕτως χρῆν καὶ ἕω καὶ ἑσπέρας μεμνημένη συμνημονεύειν καὶ μεσημβρίας.

[4.2.15] Ἔτι, πᾶσαι αἱ αἰσθηταὶ ἡμέραι ἔχουσιν ἑσπέραν καὶ ἕω. Τοῦτο δὲ οὐχ εὑρίσκεται ἐν ἐκείναις ταῖς ἑπτὰ ἡμέραις· ἡ μὲν γὰρ πρώτη ἡμέρα οὐκ ἔχει ἕω, P 106v ἡ δὲ ἑβδόμη οὐκ ἔχει ἑσπέραν. Οὐκ ἄρα οἰκείως λέγονται | ἐκεῖναι αἱ ἡμέραι καθ' ὁμοιότητα τῶνδε τῶν ἡμερῶν.

[4.2.16] Ἀλλ' ἔλεγεν, ὅτι ἡ πρώτη διατοῦτο οὐκ ἔχει ἕω, ὅτι διὰ τῆς πρωίας αἰνιττόμεθα τὴν γνῶσιν τῆς ποιητέας κτίσεως, ἣν κτᾶται ὁ ἄγγελος ἐν τῷ Λόγῳ· αὕτη δὲ ἡ νοητὴ κτίσις, τὴν γνῶσιν ἑαυτῆς ποιητέας οὔσης, οὐκ ἐξεγένετο ἐν τῷ λόγῳ ἀναλαβέσθαι, πρὶν ἂν ᾖ. Ἀλλὰ τοὐναντίον, κατατοῦτο ὑπόνοιά τις ὑποφύεται γενέσθαι ποτὲ τὸν ἄγγελον, μήπω τῶν ἄλλων κτισμάτων γεγονότων, ἀλλ' ὄντων ποιητέων. Οὐ πάντα τοίνυν ἔκτισται ἐν αὐτῷ.

[4.2.17] Ἔτι, ἡ νοητὴ κτίσις οὐ λαμβάνει τὴν τῶν ὑποβεβηκότων πραγμάτων γνῶσιν ἀπ' αὐτῶν τῶν πραγμάτων. Ἄρ' οὐ δεῖται τῆς αὐτῶν παρουσίας πρὸς τὸ γνῶναι ταῦτα. Ἐδύνατο τοίνυν ταῦτα γινώσκειν ἐν τῇ ἑαυτῆς φύσει ὡς ποιητέα καὶ πρὶν ἂν γένωνται, καὶ οὐ μόνον ἐν τῷ λόγῳ. Καὶ ταύτη ἡ γνῶσις τοῦ ποιητέου πράγματος δοκεῖ προσήκειν τῇ τῆς ἑσπέρας γνώσει, ὥσπερ καὶ τῇ ἑωθινῇ. Καὶ ταύτῃ κατὰ τὸν προειρημένον λόγον ἡ δευτέρα ἡμέρα οὔτε ἑσπέραν οὔθ' ἕω ὤφειλεν ἔχειν.

[4.2.18] Ἔτι, τῷ ἀγγέλῳ πρότερον γινώσκεται τὰ ὄντα πρότερα ἁπλῶς· τὸ γὰρ τὰ ὕστερα γινώσκεσθαι πρότερον ἡμῖν ἐκ τοῦ τὴν γνῶσιν ἡμᾶς ἀναιρεῖσθαι διὰ τῆς αἰσθήσεως ἐστίν. Ἀλλ' οἱ τῶν ὄντων ἐν τῷ Λόγῳ λόγοι πρότεροι εἰσὶν ἁπλῶς αὐτῶν τῶν πραγμάτων. Ἄρα κατὰ τὸ πρότερον γινώσκει ὁ ἄγγελος τὰ ὄντα ἐν τῷ λόγῳ ἢ ἐν τῇ ἰδίᾳ φύσει. Ὡδὶ δὲ ἡ ἕω προσήκει προτάττεσθαι τῆς ὀψίας· ᾧ τοὐναντίον φαίνεται ἐν τῇ Γραφῇ.

[4.2.19] Ἔτι, ὅσα μή ἐστιν ἑνὸς λόγου οὐ δύνανται ἕν τι ποιεῖν. Ἀλλ' ἡ τῶν ὄντων ἐν τῷ Λόγῳ γνῶσις καὶ ἐν τῇ ἰδίᾳ φύσει εἰσὶν ἄλλου καὶ ἄλλου λόγου, ἐφόσον τοῦ γινώσκειν τὸ μέσον ἐστὶ τοπαράπαν διάφορον. Ἄρ' ἐκ τῆς ἕω καὶ τῆς ὀψίας κατὰ τὴν προτέραν ἐξήγησιν οὐ δύναται μία ἡμέρα συντελεῖσθαι.

**90** ἕω] ἕως M

[4.2.20] Ἔτι, ἐν τῷ δεκάτω τρίτῳ πρὸς Κορινθίους φησὶν ὁ ἀπόστολος, ὅτι ἐν τῇ πατρίδι ἡ γνῶσις καταργηθήσεται· ὃ οὐχ οἷον τε νοεῖσθαι εἰ μὴ περὶ τῆς τῶν ὄντων καταλήψεως ἐν ταῖς σφετέραις φύσεσιν, ἥτις ἐστὶν ὀψινή. Ἐν δὲ τῇ πατρίδι ὅμοιοι ἐσόμεθα τοῖς ἀγγέλοις, ὡς λέγεται ἐν τῷ τοῦ Ματθαίου εἰκοστῷ. Ἐν τοῖς ἀγγέλοις ἄρα οὐκ ἔστι γνῶσις ὀψινή.

[4.2.21] Ἔτι, ἡ γνῶσις τῶν ὄντων ἐν τῷ Λόγῳ πλέον ὑπερεκπίπτει τὴν γνῶσιν τῶν ὄντων ἐν ταῖς σφῶν αὐτῶν φύσεσιν ἢ ὑπερβαίνει τοῦ ἡλίου ἡ λαμπρότης τὸ τῆς θρυαλλίδος φῶς. Ἀλλὰ τὸ τοῦ ἡλίου φῶς ἀποκρύπτεται εἰς τὸ τῆς θρυαλλίδος φῶς. Πολλῷ ἄρα μᾶλλον ἡ ἑωθινὴ γνῶσις τὴν ἑσπερινήν.

[4.2.22] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τῷ ἑβδόμῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως κινεῖ σκέμμα, πότερον ἡ ψυχὴ τοῦ Ἀδὰμ μετὰ τῶν ἀγγέλων γέγονεν ἐκ τοῦ σώματος ἢ γέγονεν ἐν τῷ σώματι. | P 107r Τοῦτο δὲ τὸ σκέμμα εἰκῇ κινοῖτο, εἰ πάνθ' ὁμοῦ εἴδους μετείληχεν· [quia sic etiam corpus humanum simul fuisset formatum], ἡνίχ' οἱ ἄγγελοι γεγόνασιν. Οὐκ ἄρα δοκεῖ ἀθρόον πάντα διαμεμορφῶσθαι καὶ κατὰ τὴν Αὐγουστίνου ὑπόληψιν.

[4.2.23] Χωρὶς δὲ τούτων, τὸ τῆς γῆς μέρος, ἀφ' οὗ γέγονε τὸ ἀνθρώπειον σῶμα, εἶχέ τι εἶδος, εἴτουν χοός· ἐκ γὰρ τούτου λέγεται ἐν τῷ τῆς Γενέσεως πρώτῳ τὸ ἀνθρώπινον σῶμα μορφωθῆναι. Οὐκ εἶχε δέ πω τὸ εἶδος τοῦ ἀνθρωπείου σώματος ὁ χοῦς. Οὐκ ἄρα πάνθ' ὁμοῦ τὰ εἴδη ἐφεῖνται τῇ ὕλῃ.

[4.2.24] Ἔτι, ἡ γνῶσις τῶν ὄντων ἐν τῇ ἰδίᾳ φύσει τῶν ἀγγέλων οὐ δύναται νοεῖσθαι, εἰ μὴ γνῶσις ἥτις ἐστὶ κατὰ τὰ εἴδη, ἃ αὐτοῖς φυσικῶς ἐφεῖται· οὐ γὰρ οἷόν τε λέγεσθαι ἀπὸ τῶν πραγμάτων λαμβάνειν τὰ τῆς γνώσεως εἴδη, ἐφόσον αἰσθητικῶν ὀργάνων στέρονται. Τὰ εἴδη δὲ ἐκεῖνα, ἃ τοῖς ἀγγέλοις ἐστὶν ἔμφυτα, οὐκ ἐξήρτηνται τῶν σωματικῶν πραγμάτων. Πρὸ τοῦ τοίνυν εἶναι ταῦτα, ἐδύνατο ὁ ἄγγελος κἀν τῇ ἑαυτοῦ φύσει γινώσκειν. Καὶ ταύτῃ διὰ τοῦ λεγομένου γινώσκειν ὄντά τινα ἄγγελον ἐν τῇ ἰδίᾳ αὐτοῦ φύσει οὐ δίδοται νοεῖσθαι αὐτὰ τὰ ὄντα εἰς τὸ εἶναι παρῆχθαι. Καὶ οὕτως ἡ προειρημένη ἔκθεσις δοκεῖ εἶναι ἐξᾴδουσα.

[4.2.25] Ἐπὶ δὲ τούτοις πᾶσιν, ἡ ἑωθινὴ γνῶσις, ᾗ ὁ ἄγγελος τὰ ὄντα ἐν τῷ Λόγῳ γινώσκει, δεῖ διά τινος εἴδους γενέσθαι· ἐφόσον πᾶσα γνῶσις τοιαύτη

**121-122** ἐν – καταργηθήσεται] I Cor. 13, 8: ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφητεῖαι, καταργηθήσονται˙ εἴτε γλῶσσαι, παύσονται˙ εἴτε γνῶσις, καταργηθήσεται. **123-125** Ἐν – εἰκοστῷ] cf. Mt. 22, 30: ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ᾽ ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. **130-132** ὁ – σώματι] Aug., De gen. ad litt. VII, cap. 24-25, n. 35-36 (PL 34, cols 368-369).

**128, 129** θρυαλλίδος] θρυαλίδος P **144** ἐδύνατο] ἐδύναται M

ἐστίν. Οὐκ ἠδύνατο δὲ εἶναι διά τινος εἴδους ἀπορρυέντος τοῦ Λόγου. Ἐκεῖνο γὰρ τὸ εἶδος κτίσμα ἂν ἦν· καὶ ταύτῃ ἐκείνη ἡ γνῶσις μᾶλλον ἂν εἴη ὀψινὴ ἢ ἑωθινή· πρὸς γὰρ τὴν ὀψινὴν γνῶσιν ἀναφέρεται ἡ διὰ κτίσματος γενομένη γνῶσις. Οὐδ’ αὖ οἷόν τε λέγεσθαι τὴν προειρημένην γνῶσιν γενέσθαι διὰ τοῦ ἐν τῷ Λόγῳ αὐτῷ εἴδους· οὕτω γὰρ δεήσει τὸν ἄγγελον, αὐτὸν τὸν Λόγον ὁρᾶν, ὅπερ οὐ γέγονε πρὸ τοῦ τὸν ἄγγελον εἶναι μακάριον· ἡ γὰρ τοῦ Λόγου θεωρία μακαρίους ποιεῖ. Οὔκουν δὲ ἐν τῷ πρώτῳ ἀτόμῳ τῆς αὐτῶν δημιουργίας μακάριοι γεγόνασιν οἱ ἄγγελοι, ὥσπερ τὸ ἀνάπαλιν, οὐδ’ οἱ δαίμονες εὐθὺς καὶ παραχρῆμα ἥμαρτον. Εἰ τοίνυν διὰ τῆς ἔω νοοῖτο ἡ τῶν ὄντων γνῶσις, ἣν εἶχον οἱ ἄγγελοι ἐν τῷ Λόγῳ, δεῖ λέγειν, μὴ πάνθ’ ὁμοῦ γεγονέναι.

[4.2.26] Ἀλλ’ ἔλεγεν, ὅτι ὁ ἄγγελος ἐν ἐκείνῃ τῇ καταστάσει ἑώρα τὸν Λόγον, ᾗ δή ἐστι λόγος τῶν ποιητέων, οὐχ ᾗ δή ἐστι πέρας τῶν μακαρίων. Ἀλλ’ ἰτέον εὐθύ, ὅτι ὃ λέγεται πέρας καὶ λόγος, οὐδὲν διαφέρει εἰ μὴ ἀναφορᾷ τινι. Ἡ δὲ τῆς ἀναφορᾶς κατάληψις τοῦ Θεοῦ πρὸς τὴν κτίσιν οὐ ποιεῖ μακαρίους, ἐφόσον ἡ τοιαύτη ἀναφορὰ κατὰ τὸ πρᾶγμα μᾶλλον ἐστὶν ἐκ τοῦ μέρους τῆς κτίσεως. Ἀλλὰ μόνη ἡ θεωρία τῆς θείας οὐσίας ποιεῖ μακαρίους. Ὅσον ἄρα πρὸς τὴν μακαριότητα τῶν ζώντων οὐδὲν διαφέρει πότερον ὁρῶτο ὡς πέρας μακαριώτατον ἢ ὡς λόγος.

P 107v [4.2.27] Ἔτι, λέγονται καὶ οἱ προφῆται ἐν τῷ κατόπτρῳ τῆς | αἰωνιότητος ἰδέσθαι τὰ μέλλοντα, ᾗ δὴ καὶ αὐτοὶ ἑωράκασι τὸ θεῖον κάτοπτρον, καθὸ ἐστὶ λόγος τῶν ποιητέων. Κατὰ ταῦτα ἄρα οὐκ ἂν εἴη διαφορὰ ἔν τε τῇ ἑωθινῇ γνώσει τοῦ ἀγγέλου καὶ τῇ τοῦ προφήτου.

[4.2.28] Ἔτι, ἐν τῷ τῆς Γενέσεως δευτέρῳ λέγεται, ὅτι αὗται αἱ γενέσεις τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἡνίκα ἐκτί<σ>θησαν, ἐν τῇ ἡμέρᾳ ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ πάντα θαλὸν ἀγροῦ πρὸ τοῦ ἀνασχεῖν ἐν τῇ γῇ, καὶ πᾶν βότανον ἠπείρου πρὸ τοῦ βλαστῆσαι. Ἀλλ’ ἡ τῶν βοτάνων βλάστη γέγονεν ἐν τῇ τρίτῃ ἡμέρᾳ. Ἄρα γεγόνασι τινὰ πρὸ τῆς τρίτης. Καὶ ταύτῃ οὐ γέγονε πάνθ’ ὁμοῦ.

**174-177** ἐν – βλαστῆσαι] Gen. 2, 5-6: καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς.

**172** Κατὰ ταῦτα] καὶ ταῦτα P (secundum hoc Aq.)

**[4.2.29] Μετὰ δὲ ταῦτα, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται,** πάντα ἐν σοφίᾳ ἐποίησεν. **Ἀλλὰ τοῦ σοφοῦ ἐστὶ τὸ τάττειν, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν Μετὰ τὰ φυσικά. Δοκεῖ ἄρα τὸν Θεὸν μὴ πάντα ἀθρόον δημιουργῆσαι, ἀλλὰ τάξει χρόνου κατ' ἐπιδοχήν.**

**[4.2.30] Ὁ δ' ὑπολαβὼν ἔλεγεν, ὅτι ἐν τῇ τῶν ὄντων παραγωγῇ καὶ τῷ ἀριθμῷ οὐ παρατετήρηται χρόνου τάξις, παρατετήρηται μέντοι ἡ τῆς φύσεως τάξις. Ἀλλὰ τοὐναντίον, κατὰ τὴν τῆς φύσεως τάξιν ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρα πρεσβύτερα εἰσὶ τῶν φυτῶν, ἐφόσον ἐναργῶς εἰσιν αἰτία τῶν φυτῶν· καὶ ὅμως ὕστερον μνημονεύονται γεγονότες οἱ τοῦ ἀνθρώπου φωστῆρες ἢ τὰ φυτά. Οὐκ ἄρα παρατετήρηται ἡ τῆς φύσεως τάξις.**

**[4.2.31] Ἔτι, ὑπὲρ ταῦτα, τὸ στερέωμα τοῦ οὐρανοῦ φύσει ἐστὶ πρότερον [4.2.32] τοῦ συμβεβηκότος αὐτῷ. Τὸ δὲ φῶς τι συμβεβηκός ἐστιν, ᾧ πρότερον ὑποκείμενον ἐστὶ τὸ στερέωμα. Οὐκ ἄρ' ἔδει προτετάχθαι τὴν τοῦ φωτὸς παραγωγὴν τῆς τοῦ στερεώματος διαμορφώσεως.**

**[4.2.33] Ἔτι, τὰ πεζὰ ζῷα τελειότερα ἐστὶ τῶν νηκτῶν καὶ πτηνῶν, καὶ διαφερόντως ὁ ἄνθρωπος. Καὶ ὅμως ἡ Γραφὴ πρότερον πραγματεύεται περὶ τῶν ἰχθύων παραγωγῆς καὶ τῶν ὀρνίθων ἢ τῶν χερσαίων. Οὐκ ἄρα τετήρηται ἡ καθήκουσα τῆς φύσεως τάξις.**

**[4.2.34] Ἔτι, οἱ ἰχθύες καὶ οἱ ὄρνιθες οὐ δοκοῦσιν ἧττον διαφέρειν τῇ φύσει πρὸς ἄλληλα ἢ πρὸς τὰ κατ' ἤπειρον. Καὶ ὅμως ἰχθύες τε καὶ ὄρνιθες μιᾷ ἡμέρᾳ γενέσθαι μνημονεύονται. Οὐκ ἄρα ὑποληπτέον τὰς ἡμέρας κατὰ τὰ διάφορα γένη, ἀλλὰ μᾶλλον κατὰ τὴν τοῦ χρόνου ἐπιδοχήν. Καὶ ταύτῃ οὐ πάντα γέγονε συλλήβδην.**

**[4.2.35] Ἀλλ' ἐναντίον ἐστὶ τὸ φερόμενον ἐν τῇ Γενέσει ἐν τῷ δευτέρῳ· αὗται αἱ γενέσεις οὐρανοῦ καὶ** γῆς **ὅτε ἐκτί<σ>θησαν τῇ ἡμέρᾳ ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ** πάντα **θαλ**όν ἀγροῦ. **Τὸν δὲ τοῦ ἀγροῦ θαλόν, ἀναγινώσκεται γενέσθαι τῇ τρίτῃ ἡμέρᾳ· ὁ δ' οὐρανὸς καὶ ἡ γῆ γέγονε τῇ πρώτῃ ἡμέρᾳ, ἢ καὶ πρὸ πάσης ἡμέρας. Ἄρα τὰ γεγονότα εἰς τρίτῃ γεγόνασιν**

**180-181** ἐν – ἐποίησεν] Ps. 103, 24: ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε˙ πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. **181-182** Ἀλλὰ – φυσικά] Ar., Metaph. I, 982a17-18: οὐ γὰρ δεῖν ἐπιτάττεσθαι τὸν σοφὸν ἀλλ' ἐπιτάττειν. **206-208** αὗται – ἀγροῦ] vide supra in apparatu fontium [4.2.28].174-177.

**191** Hic post πρότερον Aq. habet: terra et aqua; tamen prius fit mentio in Scriptura de terra et aqua quam de firmamento, quod legitur secunda die factum. Praeterea, subiectum naturaliter est prius

ὁμοῦ τοῖς κατὰ τὴν πρώτην γενομένοις, ἢ καὶ πρὸ πάσης ἡμέρας. Καὶ οὕτω τῷ ἴσῳ λόγῳ γεγόνασι πάνθ’ ὁμοῦ.

P 108r [4.2.36] Ἔτι, ὁ Ἰὼβ | ἐν τῷ τεσσαρακοστῷ φησίν· ἰδοὺ Βεεμώθ, ὃν ἐποίησα μετὰ σοῦ. Διὰ δὲ τοῦ Βεεμὼθ κατὰ τὸν Αὐγουστῖνον ὁ Διάβολος νοεῖται, ὃς γέγονεν ἢ τῇ πρώτῃ ἡμέρᾳ ἢ πρὸ πάσης ἡμέρας. Ὁ δ’ ἄνθρωπος πρὸς ὃν ὁ Θεὸς διαλέγεται, γέγονε τῇ ἕκτῃ ἡμέρᾳ. Ἄρα τὰ γεγονότα τῇ ἕκτῃ γέγονεν ὁμοῦ τοῖς γεγόνασι τῇ πρώτῃ. Καὶ οὕτως ταυτὸ ὃ πρότερον.

[4.2.37] Ἔτι, τὰ μέρη τοῦ παντὸς ἐξήρτηνται ἀλλήλων, καὶ μάλιστα τὰ ὑφειμένα τῶν ὑπερκειμένων. Οὐκ ἄρ’ οἷόν τε γενέσθαί τινα μέρη πρὸ τῶν ἄλλων, καὶ διαφερόντως τὰ ὑποβεβηκότα τῶν ὑπερεχόντων.

[4.2.38] Ἔτι, πλεῖον διέχουσιν ἡ νοητὴ καὶ αἰσθητὴ κτίσις ἢ τὰ αἰσθητὰ κτίσματα πρὸς ἄλληλα. Ἀλλ’ ἡ νοητὴ καὶ αἰσθητὴ κτίσις ὡς ἐν τῇ προλαβούσῃ ζητήσει γεγύμνασται, γεγόνασιν ἐν ταυτῷ. Πολλῷ τοίνυν μᾶλλον πάντα τὰ αἰσθητά.

[4.2.39] Χωρὶς δὲ τούτων, ὁ Θεὸς τῇ ἀπειρίᾳ τῆς αὐτοῦ δυνάμεως ἀθρόον ἐνεργεῖ. Τὸ ἔργον τοίνυν ἡστινοσοῦν ἡμέρας ἀθρόον καὶ ἐν ἀκαριαίῳ γέγονεν. Εἰκῇ ἄρα τίθεται τὸν Θεὸν ἀναμένειν τὸ ἑπόμενον ἔργον ποιεῖν, μέχρι τῆς ὑστεραίας ἐκεχειρίαν ἄγοντα.

[4.2.40] Ἔτι, εἰ αἱ ἡμέραι ἐκεῖναι, περὶ ὧν μνήμη γέγονεν ἐν τῇ τῶν ὄντων δημιουργίᾳ, ὑλικαὶ γεγόνασιν, οὐ δοκεῖ οἷόν τε γενέσθαι παντάπασιν ἀποκεκρίσθαι τὴν νύκτα τῆς ἡμέρας καὶ τὸ φῶς τοῦ σκότους. Εἰ γὰρ τὸ φῶς ἐκεῖνο ὅπερ ἀναγινώσκεται τῇ πρώτῃ γεγονὸς ἡμέρᾳ πάντοθεν τῆς γῆς περιεβέβλητο, οὔπω σκότος ἦν, ὃ γίνεται ἐκ τῆς τῆς γῆς σκιᾶς, ἀντιφραττούσης τὸ φῶς, ὅπερ αἴτιον ἦν τῆς ἡμέρας. Εἰ δὲ τὸ φῶς ἐκεῖνο τῇ ἑαυτοῦ κινήσει τὴν γῆν περιίῃ, ὥστε τὴν ἡμέραν καὶ τὴν νύκτα ἀπεργάζεσθαι, τηνικαῦτα ἐξ ἑνὸς μέρους ἦν ἡμέρα, ἐκ δὲ θατέρου νύξ. Καὶ ταύτῃ οὐκ ἅπαξ ἁπλῶς ἦν ἡ νὺξ τῆς ἡμέρας διακεκριμένη, ὅπέρ ἐστιν ἐναντίον τῇ τῆς Γενέσεως γραφῇ.

[4.2.41] Ἔτι, ἡ διαίρεσις τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἔστι διά τε τοῦ ἡλίου καὶ τῶν ἄλλων φωστήρων τοῦ οὐρανοῦ· ὅθεν λέγεται ἐν τοῖς ἔργοις τῆς τετάρτης ἡμέρας, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ· καὶ κατόπιν

**211-212** ὁ – σοῦ] Iob 40, 10: ἀλλὰ δὴ ἰδοὺ θηρία παρά σοι, χόρτον ἴσα βουσὶν ἐσθίουσιν **212-213** κατὰ – ἡμέρας] Bas. (et non Aug.), Moral. XXXIII, cap. 9 (PG 31).

**212** Αὐγουστῖνον] Gregorium Aq. **224** ἡστινοσοῦν] ἡτινοσοῦν M (cuiuslibet Aq.)

ὑποτίθεται τοῦ εἶναι εἰς σημεῖα καὶ καιροὺς καὶ ἡμέρας καὶ ἐνιαυτούς. Ἐπεὶ τοίνυν οὐ φθάνει τὴν αἰτίαν τὸ ἀποτέλεσμα, οὐχ οἷόν τε εἶναι τὰς πρώτας τρεῖς ἡμέρας ἐκείνας τοῦ αὐτοῦ λόγου ταῖς νῦν αἳ τῷ ἡλίῳ γίνονται. Καὶ ταύτῃ οὐ δεῖ λέγειν τὰς ἡμέρας ἐκείνας, ἐν αἷς πάντα γέγονεν, ὅτι κατ' ἐπιδοχὴν ἐγένοντο.

[4.2.42] Χωρὶς δὲ τούτων, εἰ ἦν ἄλλό τι φῶς, ὃ τῇ ἑαυτοῦ κινήσει τότ' ἐποίει τὴν ἡμέραν καὶ τὴν νύκτα, δεῖ δὴ εἶναι τὶ κινούμενον τὸ τὸ φῶς ἐκεῖνο διάγον κυκλικῶς, ὡς πάντοσε τὴν γῆν κατὰ διαδοχὴν φωτίζειν. Τὸ δὲ διάγον τοῦτο ἐστὶ τὸ στερέωμα, ὅπερ ἀναγινώσκεται γενέσθαι τῇ δευτέρᾳ ἡμέρᾳ.
P 108v Διαφερόντως ἄρα ἡ | πρώτη ἡμέρα οὐκ ἠδύνατο εἶναι τοῦ αὐτοῦ λόγου ταῖς ἡμέραις, αἳ νῦν γίνονται. Καὶ τῷ αὐτῷ λόγῳ οὐδὲ μετὰ τῶν ἄλλων.

[4.2.43] Παρὰ ταῦτα, εἰ τὸ φῶς ἐκεῖνο διὰ ταῦτα γέγονεν, ἐφ ᾧ ποιεῖν τὴν ἡμέραν καὶ τὴν νύκτα, καὶ νῦν διὰ τῆς αὐτοῦ κινήσεως ἥ θ' ἡμέρα καὶ ἡ νὺξ γένοιτο ἄν. Οὐ γὰρ προσηκόντως δύναιτο λέγεσθαι, ὅτι διατοῦτο μόνον δεδημιούργηται, ὡς κατ' ἐκεῖνο τὸ τριήμερον πρὸ τῆς τοῦ ἡλίου δημιουργίας ταύτην μετιέναι τὴν λειτουργίαν, μετὰ ταῦτα δὲ μεθέσθαι. Ἀλλ' ἄρτι οὐχ ὁρῶμεν ἄλλῳ τινὶ φωτὶ τὴν ἡμέραν καὶ τὴν νύκτα γινόμενα εἰ μὴ διὰ τοῦ ἡλιακοῦ φωτός. Οὔκουν ἄρα ἐν ἐκείνῳ τῷ τριημέρῳ διά τινος σωματικοῦ φωτὸς δύναιτο νοεῖσθαι τὴν ἡμέραν καὶ τὴν νύκτα διακρίνεσθαι.

[4.2.44] Ἀλλ' ἔλεγεν· ἐξ ἐκείνου τοῦ φωτὸς μεμόρφωται ὕστερον τὸ τοῦ ἡλίου σῶμα. Ἀλλ' ἰτέον ὁμόσε· τὸ γινόμενον ἐξ ὕλης προηγουμένης ἔχει τοιαύτην ὕλην, ἐν ᾗ ἐνδεχομένη ἐστὶν ἡ τῶν εἰδῶν διαδοχή. Τοιαύτη δὲ οὐκ ἔστιν ἡ τοῦ ἡλίου ὕλη, οὐδέ τινος τῶν οὐρανίων σωμάτων· οὐ γὰρ ἔστιν ἐν αὐτοῖς ἐναντιότης, ὡς ἀποδείκνυται ἐν τῷ τοῦ Οὐρανοῦ πρώτῳ καὶ τοῦ κόσμου. Οὐκ ἄρ' οἷόν τε ἐξ ἐκείνου τοῦ φωτὸς εἰσέπειτα μορφωθῆναι τὸ τοῦ ἡλίου σῶμα.

[4.2.45] Ἀπόκρισις. Ῥητέον ὅτι, εἰ δοθείη τὴν ἀνείδεον ὕλην μὴ ἡγήσασθαι χρόνῳ τῆς τῶν ὄντων διαμορφώσεως, ἀλλὰ τῇ τάξει μόνον, ὅπερ ἀναγκαῖον

**261-264** Τοιαύτη – κόσμου] Ar., De coel. I, 270a15-27a21.

**240** εἶναι] εἶ M **243** ἐγένοντο] ἐγένετο M (fuerunt Aq.) **245** τὶ] τὸ P (aliquid Aq.) **246** κατὰ διαδοχὴν] κατα διαδοχὴν P; καταδιαδοχὴν M **260** ἔχει] ἴσχει M (habet Aq.)

λέγειν, εἰ διὰ τῆς ἀνειδέου ὕλης ἡ πάντῃ εἴδους χηρεύουσα ὕλη νοοῖτο, ἀναγκαίως ἕπεται τὴν ὄντων διαμόρφωσιν ὅλην εἶναι ὁμοῦ. Οὐ γὰρ οἷον τέ τινα μοῖραν εἶναι ὕλης πάντῃ αἰσχράν. Καὶ ἐν ἀκαρεῖ γοῦν, ὅσον γὰρ πρὸς ταύτην τὴν μοῖραν, ἤδη ἡ ὕλη τῆς διαμορφώσεως τῶν ὄντων, χρόνῳ προέσχεν. Ὅθεν τῆς προλαβούσης ζητήσεως ὁρισθείσης κατὰ τὴν Αὐγουστίνου δόξαν, αὕτη ἡ δευτέρα χώραν οὐκ ἔχει, ἀλλὰ δεῖ πάντα λέγειν ἀναμφισβητήτως ἀθρόον εἰδοποιηθῆναι, εἰ μὴ καθόσον λείπεται ἐκτίθεσθαι, οἷαι γεγόνασιν αἱ ἓξ ἡμέραι, ὧν ἡ Γραφὴ μέμνηται. Εἰ γὰρ νοοῖντο κατὰ τὰς παρούσας ἡμέρας, αἳ νῦν διαγίγνονται, ἐναντίον ἔσται τῇ προειρημένῃ δόξῃ· ἀνάγκη γὰρ τηνικαῦτα διαδοχῇ τινι ἡμερῶν τὴν τῶν ὄντων διαμόρφωσιν γενέσθαι νοεῖν. Ταύτας τοίνυν τὰς ἡμέρας διχῇ ὑφηγεῖται ὁ Αὐγουστῖνος. Ἐν γὰρ τῷ πρώτῳ τῆς Εἰς τὴν Γένεσιν Ἐξηγήσεως φησὶ νοεῖσθαι τῇ διακρίσει τοῦ φωτὸς ἀπὸ τοῦ σκότους τὴν διάκρισιν τῆς ἐνειδέου ὕλης ἀπὸ τῆς ἀνειδέου, ἣ προϋπάρχει τῶν ἐν εἴδει οὐ χρόνῳ, ἀλλὰ τῇ τῆς φύσεως τάξει. Αὐτὴν δὲ τὴν τάξιν καὶ τῆς διαμορφώσεως καὶ τῆς ἀμορφίας,
P 109r καθὸ πάντα ἐκ τοῦ Θεοῦ τάττεται, φησὶ μυσταγωγεῖσθαι διά τε τῆς ἡμέρας καὶ τῆς νυκτός· ἡ γὰρ νὺξ καὶ ἡ ἡμέρα | βούλονταί τινα τάξιν φωτὸς καὶ σκότους. Διὰ δὲ τῆς ἑσπέρας φησὶ νοεῖσθαι τὴν τελείωσιν τοῦ ὡρισμένου ἔργου, διὰ δὲ τῆς ἕω τοῦ μέλλοντος ἔργου τὴν δήλωσιν, ὡς μὴ ληφθῆναι μέντοιγε τὸ μέλλον τάξει χρονικῇ, ἀλλὰ μόνον φυσικῇ· ἐν γὰρ τῷ πρώτῳ ἔργῳ προκαταβέβληται ὡσανεὶ δήλωσίς τις τοῦ μέλλοντος ἔργου γεννήσεσθαι. Διατοῦτο δὲ δεῖ ταύτας τὰς ἡμέρας διαφόρους νοεῖν, διὰ τὸ οἷον εἶναι διαμορφώσεις διαφόρους, καὶ κατὰ τὸ εἰκὸς ἀμορφίας. Ἀλλ’ ἐπεὶ ἐντεῦθεν ἔτι λείπεται ὅτι καὶ ἡ ἑβδόμη ἡμέρα ἐστὶν ἄλλη παρὰ τὰς ἓξ ἡμέρας, εἰ αἱ πρῶται ἕξ εἰσιν ἕτεραι ἀπ’ ἀλλήλων, ἐντεῦθεν δοκεῖ ἕπεσθαι ἐκείνην τὴν ἑβδόμην ἡμέραν τὸν Θεὸν μὴ δημιουργῆσαι οὕτως, ὥς τι πεποιηκότα μετὰ τὰς ἓξ ἡμέρας διατοῦτο καθηκόντως τίθησι δι’ ἐκείνων τῶν ἑβδόμων ἡμερῶν μίαν ἡμέραν νοεῖσθαι, αὐτὴν δηλαδὴ τῶν ἀγγέλων τὴν γνῶσιν· καὶ ὁ ἀριθμὸς ἐκεῖνος εἰς τὴν τῶν ἐγνωσμένων πραγμάτων διάκρισιν τείνει μᾶλλον ἢ πρὸς

**270** ἐν ἀκαρεῖ] ἐνάκαρή M **274** ἀναμφισβητήτως] ἀναμφισβήτως P **293** ἓξ] septem Aq.

διάκρισιν ἡμερῶν, ὡς μονονουχὶ διὰ τῶν ἓξ ἡμερῶν νοεῖσθαι τὴν γνῶσιν τοῦ ἀγγέλου ἀναφερομένην πρὸς τὰ ἓξ γένη τὰ θεόθεν δημιουργηθέντα. Ἑβδόμην δὲ ἡμέραν εἶναι ἐκείνην τὴν γνῶσιν τοῦ ἀγγέλου τὴν ἀναφερομένην πρὸς τὴν τοῦ τεχνίτου ἀνάπαυλαν, ᾗ δὴ ἀπὸ τῶν γινωσκομένων πραγμάτων, ἐφ’ ἑαυτοῦ ἠρεμεῖ. Καὶ τηνικαῦτα διὰ τῆς ἑσπέρας νοεῖται ἡ τοῦ πράγματος γνῶσις ἐν τῇ αὐτοῦ φύσει, διὰ δὲ τῆς ἕω ἡ ἐν τῷ Λόγῳ γνῶσις.

**Τέλος τοῦ τετάρτου βιβλίου.**

**305** Τέλος – βιβλίου] deest P

**Βιβλίον πέμπτον**

**Κεφάλαιον πρῶτον**

**Πότερον τὰ ὄντα συντηρηθείη ἂν εἰς τὸ εἶναι ἐπιτοσοῦτον, ὅτι καὶ περιαιρεθείσης πάσης τῆς τοῦ Θεοῦ ἐνεργείας καθ’ αὐτὰ εἰς τὸ εἶναι διαμενεῖ.**

[5.1.1] Ἡ ζήτησίς ἐστι περὶ τῆς τῶν ὄντων συντηρήσεως εἰς τὸ εἶναι παρὰ Θεοῦ. Καὶ δὴ πρῶτον ζητεῖται πότερον τὰ ὄντα συντηρηθείη ἂν εἰς τὸ εἶναι ἐπιτοσοῦτον, ὅτι καὶ περιαιρεθείσης πάσης τῆς τοῦ Θεοῦ ἐνεργείας καθ’ αὐτὰ εἰς <τὸ> εἶναι διαμενεῖ. Καὶ δοκεῖ ταύτῃ. Λέγεται γὰρ ἐν τῷ Δευτερονομίῳ ἐν τῷ τρίτῳ· τοῦ Θεοῦ τέλεια εἰσὶ τὰ ἔργα. Ἐκ δὲ τούτου τοιαύτη τις ἔστιν ἐπιχείρησις. Τέλειον ἐστίν, ᾧ μηδενὸς δεῖ κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῆς Φυσικῆς. Ἐκείνο δὲ ἐνδεῖ τινος πρὸς τὸ αὐτοῦ εἶναι, ὅπερ εἶναι οὐ δύναται εἰ μή τινος ἔξωθεν ποιοῦντος. Τὸ τοιοῦτον τοίνυν οὐκ ἔστι τέλειον. Τοῦ Θεοῦ ἄρα τὰ ἔργα οὐκ εἰσὶ τοιαῦτα· ὅπερ ἄτοπον.

[5.1.2] Ἀλλὰ λέγω, ὅτι τοῦ Θεοῦ τὰ ἔργα οὐκ εἰσὶ τέλεια ἁπλῶς, ἀλλὰ κατὰ τὴν αὐτῶν φύσιν. Ἀλλὰ τοὐναντίον, ὅπερ ἔχει ἐκεῖνο, οὗτινος ἡ φύσις αὐτοῦ ἐστι χωρητική, δύναται διαμένειν εἰς τὸ εἶναι παντὸς
P 109v ἐξωτερικοῦ συντηρ<ητ>ικοῦ παυσαμένου. Εἰ τοίνυν εἴη τινὰ | δημιουργήματα τέλεια κατὰ τὴν ἑαυτῶν φύσιν, δύναται διαμένειν εἰς τὸ εἶναι τοῦ Θεοῦ μὴ συντηροῦντος. Ἀπόδειξις τῆς μέσης. Ὁ Θεὸς συντηρῶν τὰ ὄντα ποιεῖ τι· διὸ λέγεται ἐν τῷ τοῦ Ἰωάννου δευτέρῳ· ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τετάρτῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως. Τοῦ δὲ ἐργαζομένου ποιοῦντος τι τὸ ἀποτέλεσμα λαμβάνει τι. Ἐφόσον τοίνυν ὁ Θεὸς συντηρεῖ τὰ ὄντα, ἀεὶ τὰ συντηρούμενα ὄντα λαμβάνουσί τι ἀπὸ τοῦ Θεοῦ. Ἐφόσον ἄρα τὸ ὂν συντηρήσεως δεῖται, οὔπω τὸ πᾶν ἔχει, οὗπέρ ἐστι χωρητικόν.

[5.1.3] Ἔτι, ἕκαστον οὐκ ἔστι τέλειον, εἰ μὴ τελειοῖ τοῦτο πρὸς ὃ ἐστίν. Ἀλλ’ αἱ ἀρχαὶ τῶν ὄντων πρὸς τοῦτο εἰσίν, ὥστε τὸ ὂν εἰς τὸ εἶναι συντηρεῖν. Εἰ τοίνυν

**8-9** ἐν – ἔργα] Deut. 32, 4: Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις. **10-11** Τέλειον – Φυσικῆς] Ar., Phys. III, 207a.8-10: οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον· οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηδὲν ἄπεστιν. **20-21** ἐν – ἐργάζομαι] Io. 5, 17: ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.

**1** Βιβλίον πέμπτον] Ἀρχὴ τοῦ ε΄ου βιβλίου M **11** αὐτοῦ] αὐτὸ M **13-14** ὅπερ ἄτοπον] deest Aq. **15** λέγω] dicebat Aq. **18** συντηρικοῦ] συντηρητικοῦ

**αἱ κτισταὶ ἀρχαὶ τῶν ὄντων οὐ δύνανται τὸ ὂν εἰς τὸ εἶναι συνέχειν, ἕπεται ταύτας εἶναι ἀτελεῖς, καὶ ταύτῃ μὴ εἶναι ἔργα Θεοῦ· ὅπέρ ἐστιν εὔηθες.**

**[5.1.4] Ἔτι ὁ Θεός ἐστιν ὥσπερ αἰτία τῶν ὄντων ποιητική. Παυσαμένης δὲ τῆς ποιητικῆς αἰτίας μένει τὸ ἀποτέλεσμα· ὥσπερ παυσαμένης τῆς ἐνεργείας τοῦ τῆς οἰκίας ἐργάτου ἔτι μένει ὁ οἶκος, καὶ παυσαμένης τῆς τοῦ γεννῶντος πυρὸς ἐνεργείας ἔτι μένει τὸ γεννώμενον πῦρ. Ἄρα καὶ παυσαμένης πάσης τοῦ Θεοῦ ἐνεργείας ἔτι δύνανται τὰ δημιουργήματα ἐπιμένειν εἰς τὸ εἶναι.**

**[5.1.5] Ἀλλὰ τοιοῦτος τάχα τις ἥξει λόγος, ὅτι τὰ ὑποβεβηκότα ποιητικά εἰσιν αἴτια τοῦ γίνεσθαι καὶ οὐ τοῦ εἶναι· ὅθεν τὸ εἶναι τῶν ὄντων διαμένει παυσαμένης τῆς αἰτίας τῶν δευτέρων αἰτιῶν, ὅ φησιν. Ὁ Θεός ἐστιν αἰτία τοῖς οὖσιν, οὐ μόνον τοῦ γίνεσθαι, ἀλλὰ καὶ τοῦ εἶναι. Ὅθεν τὸ εἶναι τῶν ὄντων οὐ δύναται διαμένειν τῆς θείας ἐνεργείας παυσαμένης. Ἀλλὰ τοὐναντίον· πᾶν γινόμενον ὂν ἔχει τὸ εἶναι διὰ τοῦ ἰδίου εἴδους. Εἰ τοίνυν αἱ ποιοῦσαι ὑποβεβηκυῖαι αἰτίαι οὐκ εἰσὶν αἰτίαι τοῦ εἶναι, οὐκ ἔσονται αἰτίαι τῶν εἰδῶν· καὶ ταύτῃ τὰ ἐν τῇ ὕλῃ εἴδη οὐκ εἰσὶν αἰτίαι τῶν ἐνύλων εἰδῶν, ἀπεναντίας τῇ δόξῃ τοῦ Φιλοσόφου ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικὰ λέγοντος·** τὸ εἶδος τὸ ἐν ταῖς δεταῖς σαρξὶ καὶ τοῖς δετοῖς ὀστοῖς**, ἔστιν ἐκ τοῦ εἴδους τοῦ ἐν ταῖς** δεταῖς σαρξί, καὶ τοῖς δετοῖς ὀστοῖς. **Ἀλλ' ἕπεται εἶναι τὰ εἴδη τὰ ἄυλα αἰτίᾳ τῶν ὑλικῶν εἰδῶν, κατὰ τὸ ἀξίωμα Πλάτωνος, ἢ ἀπὸ τοῦ τῶν εἰδῶν πρυτάνεως, κατὰ τὸ Ἀβικένου ἀξίωμα.**

**[5.1.6] Χωρὶς δὲ τούτων, ὧν τὸ εἶναι ἔστιν ἐν τῷ γίνεσθαι, οὐ δύνανται μένειν παυσαμένης τῆς τοῦ ποιοῦντος ἐνεργείας, ὡς φαίνεται ἐπί τε κινήσεως καὶ ἀγωνίας, καὶ τῶν παραπλησίων· ὧν δὲ τὸ εἶναι ἐστὶν ἐν τῷ γενέσθαι, δύνανται διαρκεῖν καὶ τῶν ποιούντων ἀπαλλαξάντων. Ὅθεν καὶ ὁ Αὐγουστῖνός φησιν ἐν**
P 110r **τῷ πρώτῳ τῆς εἰς τὴν Γένεσιν ἑρμηνείας·** | παρόντος τοῦ φωτὸς οὐ γέγονεν ὁ ἀὴρ φωτεινός, ἀλλὰ γίνεται· εἰ γὰρ ἐγένετο, οὐκ ἂν γίγνοιτο· ἀλλ' ἀπογενομένου τοῦ φωτὸς φωτεινὸς ἂν διαμένοι**. Συχνὰ δὲ κτίσματα εἰσίν, ὧν τὸ εἶναι οὐκ ἔστιν ἐν τῷ γίνεσθαι, ἀλλ' ἐν τῷ γεγονέναι, ὡς φαίνεται ἀγγέλων τὲ πέρι καὶ τῶν ἄλλων σωμάτων πάντων. Ἄρα καὶ τῆς τοῦ ποιοῦντος Θεοῦ ἐνεργείας**

**43-46** ἀπεναντίας – ὀστοῖς] Ar., Metaph. VII, 1034a.5-6: τὸ δ' ἅπαν ἤδη, τὸ τοιόνδε εἶδος ἐν ταῖσδε ταῖς σαρξὶ καὶ ὀστοῖς. **46-48** ἀλλ' – ἀξίωμα] Avic., Metaph. IX, cap. 4-5. **52-55** Ὅθεν – διαμένοι] Aug., De gen. ad litt. VIII, cap. 12, n. 26 (PL 34, col. 383): sed potius sicut aer praesente lumine non factus est lucidus, sed fit; quia si factus esset, non autem fieret, etiam absente lumine lucidus maneret.

**30** ταύτας] ταῦτα M **37-39** ὅθεν – εἶναι] om. et al. man. add. in marg. sin. M **41** ἰδίου ] deest M **42-43** οὐκ – εἴδη] om. et al. man. add. in marg. dex. M **56-57** ἀλλ' – σωμάτων] om. et al. man. add. in marg. dex. M

ἡσυχαζούσης τὰ κτίσματα δύνανται διατελεῖν εἰς τὸ εἶναι.

**[5.1.7]** Ἔτι, αἱ ποιοῦσαι ὑποβεβηκυῖαι αἰτίαι εἰσὶ τοῖς γινομένοις χρήμασιν αἰτίαι τοῦ εἶναι, ὡς ἐν τοῖς ἄνω βεβασάνισται, οὐχ ὡς αἰτίαι μέντοι πρῶται καὶ ἀρχοειδεῖς, ἀλλ' ὡς αἰτίαι δεύτεραι. Ἡ πρώτη δὲ αἰτία τοῦ εἶναι, ὅς ἐστιν ὁ Θεός, οὐ δίδωσι τὴν τοῦ εἶναι ἀρχὴν ὅτι μὴ μεσιτευουσῶν τῶν προειρημένων δευτέρων αἰτιῶν. Οὐδ' ἄρα τὴν εἰς τὸ εἶναι διαμονήν· τὸ γὰρ αὐτὸ διὰ τοῦ αὐτοῦ ἔχει τό τε εἶναι καὶ τὸ εἰς τὸ εἶναι συντηρεῖσθαι. Ἀλλὰ τὸ εἶναι τῶν γινομένων συντηρεῖται ἐξ αὐτῶν τῶν οὐσιωδῶν ἀρχῶν τῶν γινομένων, παυσαμένων τῶν δευτέρων αἰτιῶν· ἄρα καὶ τῆς πρώτης ποιητικῆς αἰτίας παυσαμένης, ἥτις ἐστὶν ὁ Θεός.

**[5.1.8]** Ἔτι, εἴ τι ὂν οὐκ αὐταρκεῖ εἶναι, ἢ τοῦτο ἐστὶ διὰ τὴν ὕλην ἢ διὰ τὸ ἐκ τοῦ μηδενὸς εἶναι. Ἡ ὕλη δὲ οὐκ ἔστιν αἰτία φθορᾶς, εἰ μὴ καθόσον ἐναντιότητι ὑπόκειται. Οὐκ ἐν ἅπασι δὲ τοῖς δημιουργήμασιν ἐναντιότητι ὑπόκειται. Ἐν οἷς ἄρα οὐκ ἔστιν ὕλη ἐναντιοτήτων ὑποκείμενον, ὥσπερ ἔν τε ἀγγέλοις καὶ τοῖς ἄλλοις οὐρανίοις σώμασιν ἐστίν, οὐ δύνανται διαπίπτειν τῷ τῆς ὕλης λόγῳ. Οὔτ' αὖθις τῷ ἐκ τοῦ μηδενὸς εἶναι λόγῳ· ἐκ γὰρ τοῦ μηδενὸς οὐδὲν ἕπεται καὶ οὐδὲν δρᾷ, καὶ ταύτῃ οὐ φθείρεται. Ἄρα καὶ πάσης τῆς ἐνεργείας τοῦ Θεοῦ παυσαμένης τὰ τοιάδε ὄντα εἶναι οὐκ ἀσθενήσουσιν.

**[5.1.9]** Ἄνευ δὲ τούτων, τὸ εἶδος ἄρχεται εἶναι ἐν τῇ ὕλῃ ἐν ἀκαρεῖ, ὅπέρ ἐστι τὸ ἔσχατον τῆς ποιήσεως, ἐν ᾧ τὸ ὂν οὐκ ἔστιν ἐν τῷ γίνεσθαι, ἀλλ' ἐν τῷ γεγονὸς εἶναι. Ἀλλὰ κατὰ τὴν Ἀβικένου οἴησιν, τὰ εἴδη τῶν γινομένων πραγμάτων ἐγχέονται εἰς τὴν ὕλην ἀπὸ τοῦ ποιοῦντος νοῦ, ὅς ἐστι νομεὺς τῶν εἰδῶν. Ἐκεῖνος ἄρα ὁ νοῦς ἐστιν αἰτία τοῦ εἶναι, καὶ οὐχ ὅπως τοῦ γίνεσθαι· καὶ ταύτῃ διὰ τῆς ἐνεργείας αὐτοῦ δύναται τὰ ὄντα συνέχεσθαι εἰς τὸ εἶναι καὶ περιαιρουμένης τῆς τοῦ Θεοῦ καθέξεως.

**[5.1.10]** Ἔτι τε καὶ τὸ εἶδος τὸ οὐσιῶδες ἐστὶν αἰτία τοῦ εἶναι. Εἰ τοίνυν αἱ τοῦ εἶναι αἰτίαι εἰσὶν αἱ συντηρητικαὶ τῶν ὄντων εἰς τὸ εἶναι, αὐτὸ τὸ εἶδος
P 110v οὑτινοσοῦν ἀπόχρη πρὸς τὸ αὐτὸ εἰς τὸ εἶναι παραμένειν.

**[5.1.11]** Ἔτι, τὰ ὄντα εἰς τὸ εἶναι διακρατοῦνται, ἐφόσον ἡ ὕλη ἀντέχεται τοῦ εἴδους. Ἀλλ' ἡ ὕλη κατὰ τοὺς φιλοσόφους ἐστὶν | ἀγένητος καὶ ἄφθαρτος·

**78-80** Ἀλλὰ -- εἰδῶν] Avic., Metaph. IX, cap. 14-15.

**59** ὑποβεβηκυῖαι αἰτίαι] ὑποβεβηκυῖα αἰτία M (causae inferiores Aq.) **78** οἴησιν] οἴησιν δόξαν M (sententiam Aq.)

**καὶ ταύτῃ οὐδὲ ἔκτισται ἀπό τινος αἰτίας· ὧδε δέ, διαμένει πάσης ἐνεργείας ἀναιρουμένης ποιητικῆς αἰτίας. Ἄρα ἔτι τὰ ὄντα δύνανται συντηρεῖσθαι εἰς τὸ εἶναι ἠρεμούσης τῆς πρώτης ποιητικῆς αἰτίας, εἴτουν τοῦ Θεοῦ.**

**[5.1.12] Ἔτι, ἐν τῷ τοῦ Ἐκκλησιαστοῦ τριακοστῷ τρίτῳ εὑρίσκεται·** εἰς πάντα τὰ ἔργα τοῦ Ὑψίστου, δύο δυο**ῖν ἀπ**εναντίας**, καὶ** ἓν ἑν**ὶ ἀπεναντίας. Ἀλλ᾽ ἐν τοῖς τοῦ Ὑψίστου ἔργοις εὑρίσκεται, ὃ δεῖται τῆς τοῦ Θεοῦ κατασχέσεως εἰς τὸ εἶναι. Ἄρ᾽ εὑρίσκεται ἐν τοῖς τοῦ Θεοῦ ἔργοις καὶ τὸ ἀντικείμενον τούτου, ὃ δηλαδὴ μὴ δεῖται τῆς τοῦ Θεοῦ συντηρήσεως εἰς τὸ εἶναι.**

**[5.1.13] Πρὸς δὲ τούτοις, ἡ φυσικὴ ὄρεξις οὐ δύναται μάτην εἶναι καὶ διακενῆς. Ἀλλὰ τὸ ἐπιτυχὸν ὂν ἐφίεται φυσικῶς τῆς συντηρήσεως τοῦ ἰδίου εἶναι. Δύναται ἄρα καθ᾽ αὑτὸ τὸ ὂν συνέχεσθαι εἰς τὸ εἶναι· ἄλλως γὰρ ἡ φυσικὴ ὄρεξις εἴη κενή.**

**[5.1.14] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῇ Εὐχαριστίᾳ, ὅτι ὁ Θεὸς ἐδημιούργησεν** ἕκαστα καλά, καὶ συνελών, πάντα καλὰ λίαν**· διὸ λέγεται ἐν τῷ πρώτῳ τῆς Γενέσεως, εἶδεν** ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν**. Αὐτὸ τοίνυν τῶν δημιουργημάτων τὸ κεφάλαιον ἐστὶ λίαν καλὸν καὶ ἄριστον· τοῦ γὰρ ἀρίστου ἐστὶ τὸ τὰ ἄριστα ποιεῖν, ὡς ὁ Πλάτων [in Timaeo]. Κρεῖττον δέ ἐστι τὸ μὴ δεόμενον ἄλλου του πρὸς τὴν ἑαυτοῦ τελειότητα τοῦ δεομένου. Τὸ σύμπαν τοίνυν τῶν δημιουργημάτων οὐ δεῖταί τινος συνοχῆς ἔξωθεν.**

**[5.1.15] Ἔτι, ἡ μακαριότης ἐστί τι κτιστὸν ἐν τῇ τῶν μακαρίων φύσει. Καίπερ δὲ τοιοῦτον ὄν**, ἔστι κατάστασίς τις τῇ συμπεριφορᾷ πάντων τῶν ἀγαθῶν τελεία**, ὡς ὁ Βοήτιός φησιν ἐν τῷ τρίτῳ τῆς Παραμυθίας· ὅπερ οὐκ ἂν εἴη, εἰ μὴ περιέχει ἐν ἑαυτῇ τὴν εἰς τὸ εἶναι συντήρησιν, ὅπέρ ἐστιν ἓν τῶν μάλιστα ἀγαθῶν. Ἔστιν ἄρα τι κτιστὸν ἀγαθόν, ὃ δι᾽ ἑαυτοῦ δύναται συντηρεῖσθαι εἰς τὸ εἶναι.**

**[5.1.16] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι ὁ Θεὸς οὕτω διοικεῖ τὰ ὄντα τῇ ἑαυτοῦ προνοίᾳ, ὡς ἐὰν μέντοιγε ποιεῖν αὐτὰ τὰς ἰδίας αὐτῶν κινήσεις. Ἰδία δὲ τῆς**

**91-92** ἐν – ἀπεναντίας] Ecclesiasticus 33, 15: καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ Ὑψίστου, δύο δύο, ἓν κατέναντι τοῦ ἑνός. **100-101** ὁ – λίαν] Aug., Enchir., cap. 10 (PL 40, col. 236): Ab hac summe et aequaliter et immutabiliter bona Trinitate creata sunt omnia, nec summe nec aequaliter nec immutabiliter bona, sed tamen bona etiam singula: simul vero universa valde bona, quia ex omnibus consistit universitatis admirabilis pulchritudo. **101-102** ἐν – λίαν] Gen. 1, 31: καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. **107-109** Καίπερ – Παραμυθίας] Boet., De cons. phil. III, prosa 2 (PL 63, col. 723A): Tum defixo paululum uisu et uelut in augustam suae mentIsaias. **113-114** ὁ – κινήσεις] Aug., De civ. VII, cap. 30 (PL 41, col. 220): Sic itaque administrat omnia, quae creavit, ut etiam ipsa proprios exserere et agere motus sinat.

**φύσεως κίνησις ἐστί, τῆς ἐκ τοῦ μὴ ὄντος οὔσης εἰς τὸ μηδὲν τείνειν. Ὁ Θεὸς ἄρα ἐπιτρέπει τῇ φύσει τῇ ἐκ τοῦ μηδενὸς εἰς τὸ μηδὲν τείνειν. Οὐδ' ἄρα συνέχει ταύτην εἰς τὸ εἶναι.**

**[5.1.17] Ἔτι, τὸ λαμβάνον, ὅπερ ἐναντίον τυγχάνει τῷ λαμβανομένῳ, οὐ σώσει τὸ λαμβανόμενον, ἀλλὰ μᾶλλον ἀπόλλυσιν αὐτό. Ὁρῶμεν δὲ ὅμως τὰ ἐγγινόμενα παρὰ τῶν φυσικῶν ποιούντων αἰτιῶν βίᾳ, ἐν τοῖς ἐναντίοις διαγιγνόμενα ὥραν γοῦν καὶ παυσαμένης τῆς φυσικῶς ποιούσης αἰτίας· ὥσπερ ἡ θέρμη μένει ἐν τῷ θερμαινομένῳ ὕδατι ἐπὶ καιρόν τινα λωφησάσης καὶ τῆς τοῦ πυρὸς ἐνεργείας. Τὰ δὲ τοῦ Θεοῦ ἀποτελέσματα οὐκ ἐγγίνονται ἔν τινι ἐναντίῳ, ἀλλ' ἐν τῷ μηδενί· αὐτὸς γάρ ἐστιν ὁ αὐτουργὸς ὅλης τῆς οὐσίας** P 111r **| τοῦ πράγματος. Πολλῷ ἄρα διαμείνοι ἂν τὰ τοῦ Θεοῦ ἀποτελέσματα, ὥραν γοῦν τῆς τοῦ Θεοῦ ἠρεμούσης ἐνεργείας.**

**[5.1.18] Παρὰ ταῦτα, τὸ εἶδος ἐστὶν ἀρχὴ τοῦ τε γινώσκειν καὶ τοῦ ἐνεργεῖν καὶ τοῦ εἶναι. Ἀλλὰ τὸ εἶδος ἄνευ ἐξωτερικῆς ἐπικουρίας δύναται εἶναι ἀρχὴ καὶ τοῦ ἐνεργεῖν καὶ τοῦ γινώσκειν. Ἄρα καὶ τοῦ εἶναι· ὡδὶ δὲ παυσαμένης πάσης τοῦ Θεοῦ ἐνεργείας τὸ ὂν διὰ τοῦ εἴδους δύναται συντηρεῖσθαι εἰς τὸ εἶναι.**

**[5.1.19] Ἀλλ' ἀντίξοον ἐστὶ τὸ λεγόμενον ἐν τῷ πρώτῳ τῆς πρὸς Ἑβραίους·** φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ**· ὡς γάρ φησιν ἡ Ἑρμηνεία,** ὥσπερ παρ' αὐτοῦ δεδημιούργηται τὰ πάντα, οὕτω παρ' αὐτοῦ ἀμετάβλητα συντηροῦνται**.**

**[5.1.20] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τετάρτῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως·** ἡ τοῦ δημιουργοῦ δύναμις καὶ ἡ τοῦ παντοκράτορος ἰσχὺς αἰτία τοῦ συνεστάναι ἐστὶ πάσης κτίσεως· ἣ δὴ ἰσχύς, εἰ τῆς διοικήσεως τῶν κτισμάτων ὁσονοῦν ἀποσταίη, ὁμοῦ καὶ τὰ τούτων εἴδη καὶ ἡ φύσις οἰχήσεται**. Καὶ μετ' ὀλίγα·** ὁ κόσμος οὐδ' ὅσον ὀφθαλμοῦ ἐπιμύσει στῆναι δυνήσεται, εἰ τούτου ὁ Θεὸς τὴν ἑαυτοῦ διοίκησιν ὑπεξέληται**.**

**[5.1.21] Ἔτι, ὁ Γρηγόριος φησίν, ὅτι** πάντα εἰς τὸ μηδὲν κατενεχθήσεται, εἰ μὴ ταῦθ' ἡ τοῦ παντοκράτορος χεὶρ ἀνέχοι**.**

**131-132** ἐν – αὐτοῦ] cf. Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. **135-140** ὁ – ὑπεξέληται] Aug., De gen. ad litt. IV, cap. 12, n. 22 (PL 34, col. 304): Creatoris namque potentia, et omnipotentis atque omnitenentis virtus, causa subsistendi est omni creaturae: quae virtus ab eis quae creata sunt regendis, si aliquando cessaret, simul et illorum cessaret species, omnisque natura concideret … ita mundus vel ictu oculi stare poterit, si ei Deus regimen sui subtraxerit. **141-142** ὁ – ἀνέχοι] Greg., Mor. IV, cap. CVIII.

**141-142** χεὶρ ἀνέχοι] χεῖραν ἔχει M (manus … contineret Aq.)

**[5.1.22] Ἔτι, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται· παντὸς νοῦ σύμπηξις καὶ διαμονὴ καὶ οὐσία ἔστι διὰ τῆς αὐτοαγαθότητος, ἥτις ἐστὶν αἰτία πρώτη. Πολλῷ ἄρα μᾶλλον τὰ ἄλλα δημιουργήματα οὐκ ἂν συνέχοιτο εἰς τὸ εἶναι εἰ μὴ διὰ τοῦ Θεοῦ.**

**[5.1.23] Ἀπόκρισις. Ῥητέον ὅτι ἀναμφισβήτως συγχωρητέον τὰ ὄντα συντηρεῖσθαι εἰς τὸ εἶναι παρὰ τοῦ Θεοῦ, καὶ ὅτι ἐρημωθέντα τοῦ Θεοῦ ἐν ἀκαρεῖ γοῦν εἰς τὸ μηδὲν ἀνέλυσαν ἄν. Ὧν τὸ εὔλογον ἐντεῦθεν ἔνεστι λαβεῖν. Τὸ γὰρ ἀποτέλεσμα δεῖ ἠρτῆσθαι τῆς αὐτοῦ αἰτίας. Τοῦτο γὰρ ὑπάρχει ἔκ τε τοῦ λόγου τῆς αἰτίας καὶ τοῦ ἀποτελέσματος. Ὅπερ ἐν μὲν ταῖς εἰδικαῖς καὶ ὑλικαῖς αἰτίαις ἐναργῶς δείκνυται. Ἡστινοσοῦν γὰρ ἀρχῆς ὑλικῆς ἢ εἰδικῆς ὑφαιρεθείσης τὸ πρᾶγμα ἀμελητὶ εἶναι παύεται, ἐφόσον αἱ τοιαῦται ἀρχαὶ ὑπίασι τὴν τοῦ πράγματος οὐσίαν. Τὴν αὐτὴν δὲ ψῆφον εἶναι δεῖ αἰτίας τὲ πέρι ποιητικῆς καὶ ὑλικῆς καὶ εἰδικῆς. Τὸ γὰρ ποιοῦν ἐστιν αἰτία τοῦ πράγματος, ᾗ δὴ τὸ εἶδος ἐπάγει ἢ διατίθησι τὴν ὕλην. Ὅθεν ἡ αὐτὴ ἀντιλαβή ἐστι τοῦ πράγματος πρός τε τὸ ποιοῦν καὶ τὴν ὕλην καὶ τὸ εἶδος, ἐφόσον διὰ τοῦ ἑνὸς αὐτῶν τοῦ ἄλλου ἀντιλαμβάνεται. Περὶ δὲ τῶν τελικῶν αἰτίων δεῖ ἔτι εἶναι τὴν αὐτὴν κρίσιν, ὃ περὶ τῆς ποιούσης αἰτίας. Τὸ γὰρ τέλος οὐκ ἔστιν αἰτία, εἰ μὴ καθόσον κινεῖ τὸ ποιοῦν πρὸς τὸ**
P 111v **ποιητέον· οὐ γάρ ἐστι πρῶτον κατὰ τὸ εἶναι, ἀλλὰ κατὰ μόνον τὸν σκοπόν. | Ἀμέλει καὶ οὗ μὴ ἔστι ποίησις, οὐκ ἔστιν αἰτία τελική, ὡς φαίνεται ἐν τῷ τρίτῳ τῶν Μετὰ τὰ φυσικά. Κατὰ ταῦτα τοίνυν τὸ εἶναι τοῦ γεγονότος πράγματος, οὐκ ἤρτηται καθ' αὐτὸ καὶ τῷ λόγῳ τοῦ εἴδους ἀπὸ τοῦ γεννῶντος, ἀλλὰ μόνον κατὰ συμβεβηκός, καθάπερ τὸ εἶδος τοῦ γεννωμένου πυρὸς ἀπὸ τοῦ γεννῶντος πυρὸς καθ' αὐτὸ καὶ τῷ λόγῳ τοῦ ἰδίου εἴδους οὐκ ἤρτηται, τὸν αὐτὸν ἔχον βαθμὸν ἐν τῇ τάξει τῶν ὄντων· οὐδὲ γὰρ γίνεται ἄλλως τὸ εἶδος τοῦ γεννῶντος πυρὸς ἐν τῷ γεννωμένῳ ἢ ἐστὶν ἐν τῷ γεννῶντι αὐτό, ἀλλὰ μόνον ἀπ' αὐτοῦ διακρίνεται τῇ ὑλικῇ διακρίσει. Ὅθεν, ἐπεὶ τῷ γεννωμένῳ πυρὶ τὸ εἶδος ἐστὶν ἀπό τινος ἄλλου εἴδους αἰτίου, δεῖ τοῦτο τὸ εἶδος τοῦ πυρὸς ἠρτῆσθαι ἀπό τινος ἄλλης ὑψηλοτέρας ἀρχῆς, ἥτις ἔσται αἰτία αὐτοῦ τοῦ εἴδους καθ' αὐτὸ καὶ κατ' αὐτὸν τὸν ἴδιον λόγον τοῦ εἴδους. Ἐπεὶ δὲ τὸ εἶναι τοῦ εἴδους τοῦ ἐν τῇ ὕλῃ κατὰ τὸν ἀκριβῆ λόγον οὐδεμίαν**

**161-162** οὗ – φυσικά] Ar., Metaph. III, 996a.26: τὸ δὲ τέλος καὶ τὸ οὗ ἕνεκα πράξεώς τινός ἐστι τέλος, αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως;

**144** ἔστι] ἔσται M **164-165** πράγματος – τοῦ] om. et al. man. add. in marg. dex. M **165-166** ἀπὸ – πυρός] om. et al. man. add. in marg. sin. M **173** αὐτοῦ (εἴδους)] αὐτῆς M

κίνησιν ἢ μεταβολὴν συνεμφαίνει εἰ μή τι κατὰ συμβεβηκός, πᾶν τὲ σῶμα οὐ κινεῖ εἰ μὴ κινούμενον, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν, ἀνάγκη ἐστὶ λοιπὸν τὴν μὲν ἀρχήν, ὅθεν ἤρτηται τὸ εἶδος, εἶναι τινὰ ἀρχὴν ἀσώματον· τοῦτο γὰρ ποιεῖ ἄνευ κινήσεως. Καὶ εἴ τις δὲ ἀρχὴ σωματική ἐστιν αἰτία τοῦ εἴδους ἀμηγέπη, τοῦτ' ἔχει, ἐφόσον ποιεῖ δυνάμει ἀρχῆς ἀσωμάτου, ὡσανεὶ δηλαδὴ ὄργανον αὐτῆς, ἥτις ἐστὶν ἀναγκαία πρὸς τὸ τὸ εἶδος εἶναι ἄρξασθαι, ἐφόσον τὸ εἶδος οὐκ ἄρχεται εἶναι εἰ μὴ ἐν τῇ ὕλῃ. Οὐ γὰρ ἡ ὕλη ὁπώσποτ' ἔχει δύναται ὑπεῖναι τῷ εἴδει· ἰδίαν γὰρ ἐνέργειαν ἐν ἰδίᾳ ὕλῃ ἀναγκαῖον εἶναι. Ἐπεὶ τοίνυν ἡ ὕλη ἐστὶν ἐν διαθέσει τινί, ἢ μὴ καθήκει εἴδει, οὐ δύναται ἀπὸ τῆς ἀσωμάτου ἀρχῆς, ἀφ' ἧς τὸ εἶδος καθ' αὐτὸ ἤρτηται, ἀμέσως τοῦθ' ἕπεσθαι· ὅθεν εἶναι δεῖ τι ἀλλοιοῦν τὴν ὕλην· καὶ τοῦτ' ἐστί τις ποιοῦσα ἀρχὴ σωματική, ἧς ἔστι τὸ ποιεῖν ἐν τῷ κινεῖν. Καὶ τοῦτο δὲ ποιεῖ δυνάμει ἀρχῆς ἀσωμάτου. Καὶ ἡ ἐνέργεια δὲ αὐτῆς ὁρίζεται πρὸς τοῦτο τὸ εἶδος, ᾗ δὴ τοιοῦτον εἶδος ἐστὶν ἐνεργείᾳ ἐν αὐτῇ τῇ ὕλῃ· ὥσπερ ἐν τοῖς συνωνύμως ποιοῦσιν, ἢ δυνάμει, ὡς ἐν τοῖς ὁμωνύμοις ποιητικοῖς. Οὕτω τοίνυν τὰ ὑποβεβηκότα ταῦτα σωματικὰ ποιητικὰ οὐκ εἰσὶ τῶν εἰδῶν ἀρχαὶ ἐν τοῖς γεγονόσι πράγμασιν, εἰ μὴ ἐφόσον ἡ τοῦ μεταβάλλειν αἰτία ἑαυτὴν ἐκτείνειν δύναται· ἐπεὶ οὐ ποιεῖ εἰ μὴ κατὰ τὸ μεταβάλλειν, ὡς εἴρηται, τοῦτο δέ ἐστιν ἐν τῷ τὴν ὕλην διατιθέναι καὶ ἐκφέρειν τὸ εἶδος ἐκ τοῦ τῆς ὕλης δυνάμει. Ὅσον τοίνυν
P 112r πρὸς τοῦτο τὰ εἴδη τῶν γεννωμένων ἐξήρτηνται τῶν γεννώντων | φυσικῶς, ὅτι ἐκφέρονται ἐκ τοῦ τῆς ὕλης δυνάμει, ἀλλ' οὐχ ὅσον πρὸς τὸ ἀπολελυμένως εἶναι. Ὅθεν καὶ ἀπογενομένης τῆς τοῦ γεννῶντος ἐνεργείας παύεται ἡ προαγωγὴ τοῦ εἴδους ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ὅπέρ ἐστι τὸ γεννᾶσθαι τῶν γεννωμένων. Οὐ παύονται δὲ αὐτὰ τὰ εἴδη, καθ' ἃ ἔχει τὰ γεννώμενα τὸ εἶναι. Κἀντεῦθεν ἔστι τὸ τὸ εἶναι τῶν γεννωμένων μένειν, ἀλλ' οὐ τὸ γίνεσθαι, παυσαμένης τῆς τοῦ γεννῶντος ἐνεργείας. Ὅσα δὲ εἴδη οὐκ εἰσὶν ἐν ὕλῃ, ὥσπερ οἱ νοῖ, ἢ καὶ ἐν ὕλῃ, οὐδενὶ μέντοι τρόπῳ διακείμενα πρὸς ἄλλο εἶδος, ὡς ἔστιν ἐν τοῖς οὐρανίοις σώμασιν, ἐν οἷς μὴ εἰσὶν αἱ ἐναντίαι διαθέσεις, τούτων ἀρχὴ οὐ δύναται εἶναι εἰ μὴ ἀσώματος ἀρχή ἢ μὴ κινήσει ποιεῖ· οὐδ' ἤρτηνται ἀπό του κατὰ τὸ γίνεσθαι, ὡσανεὶ ἀφ' οὗ μὴ ἤρτηνται κατὰ τὸ εἶναι.

**175-176** πᾶν – ἀποδείκνυσιν] Ar., Phys. VIII, 259b.32-260a.19: ἀλλὰ μὴν – κινήσει κίνησιν.

**177-178** τοῦτο – κινήσεως] per actionem enim alicuius principii dependet effectus a causa agente Aq. **185** ἀλλοιοῦν] ἀλοιοῦν P **204** γίνεσθαι] γενέσθαι M

**Ὥσπερ τοίνυν παυσαμένης τῆς ἐνεργείας τῆς ποιητικῆς αἰτίας, ᾗ δὴ ποιεῖ κινήσει, ἐν τῷ ἀκαριαίῳ αὐτῷ παύεται τὸ γίνεσθαι τῶν γινομένων πραγμάτων, οὕτω παυσαμένης τῆς ἀσωμάτου αἰτίας παραχρῆμα λήγει αὐτὸ τὸ εἶναι τῶν ὄντων τῶν παρ' αὐτοῦ δημιουργουμένων. Τοῦτο δὲ τὸ ἀσώματον, ὃ ποιεῖ, ἀφ' οὗ πάντα δημιουργοῦνται καὶ τὰ σώματα καὶ τὰ ἀσώματα, ἐστὶν ὁ Θεός, ὥσπερ ἐν ἑτέρᾳ ζητήσει δέδεικται· ἀφ'οὗ, οὐχ ὅτι τὰ εἴδη τῶν ὄντων εἰσίν, ἀλλὰ καὶ ἡ ὕλη. Πρός γε μὴν τὸ παρὸν οὐδὲν διενήνοχε πότερον ἐμμέσως ἢ τάξει τινί, ὥς τινες ἐδόξασαν τῶν φιλοσόφων. Ἀφ' ὧν ἕπεται τῆς θείας ἐνεργείας παυσαμένης πάνθ' ὁμοῦ χρήματα ἐν τῷ αὐτῷ ἀκαριαίῳ εἰς τὸ μηδὲν οἰχήσεσθαι, ὥσπερ τοῖς διδασκάλοις ἀκριβῶς ἐξήτασται.**

**[5.1.24] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὰ τοῦ Θεοῦ δημιουργήματα εἰσὶ τέλεια ἔν τε τῇ αὐτῶν φύσει καὶ ἐν τῇ αὐτῶν τάξει· ἀλλὰ πρὸς τοῖς ἄλλοις, ἃ ζητεῖται πρὸς τὴν αὐτῶν τελειότητα, ἐστὶ καὶ τοῦτο, τὸ παρὰ Θεοῦ συνέχεσθαι εἰς τὸ εἶναι.**

**[5.1.25] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Θεὸς οὐκ ἄλλῃ ἐνεργείᾳ προάγει τὰ ὄντα εἰς τὸ εἶναι καὶ εἰς τὸ εἶναι αὐτὰ συντηρεῖ. Αὐτὸ γὰρ τὸ εἶναι, τῶν διαμενόντων οὐκ ἔστι διαιρετὸν εἰ μὴ κατὰ συμβεβηκός, ᾗ δὴ κινήσει τινὶ ὑπόκειται, καθ' αὑτὸ δέ ἐστιν ἐν ἀκαρεῖ. Ὅθεν ἡ τοῦ Θεοῦ ἐνέργεια, ἥτις ἐστὶν αἰτία καθ' αὑτὴν τοῦ εἶναι τὸ πρᾶγμα, οὐκ ἔστιν ἄλλη, ᾗ δὴ ποιεῖ τὴν ἀρχὴν τοῦ εἶναι καὶ τὴν τοῦ εἶναι συνέχειαν.**

**[5.1.26] Πρὸς τὸ τρίτον ῥητέον· μέχρι οὗ αἱ οὐσιώδεις ἀρχαὶ διαρκοῦσι, μέχρι τούτου τὰ ὄντα συντηροῦνται εἰς τὸ εἶναι· ἀλλὰ καὶ αὗται αἱ τοῦ εἶναι ἀρχαὶ ἀπαγορεύουσι τῆς θείας ἐνεργείας σχολὴν ἀσπασαμένης.**

**[5.1.27] Πρὸς τὸ τέταρτον ῥητέον τὰ τοιαῦτα ὑποβεβηκότα ποιητικά εἰσιν αἰτίαι τῶν ὄντων ὅσον πρὸς τὸ γίνεσθαι αὐτῶν, οὐ το γ' ἧκον πρὸς τὸ εἶναι αὐτῶν, ἀκριβῶς | ὀνομάζουσιν. Ὁ Θεὸς δὲ καθ' ἑαυτόν ἐστιν αἰτία τοῦ εἶναι·**
P 112v **διά τοι τοῦτο, οὐδὲ ὅμοιον τυγχάνει ὄν. Ὅθεν ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τετάρτῳ τῆς εἰς τὴν Γένεσιν ἐξηγήσεως·** οὐ γὰρ ὥσπερ ἐν τῇ οἰκοδομίᾳ, ὅταν ὁ κατασκευάσας ἀφιστῆται, ἄνευ τούτου παυσαμένου καὶ ἀπιόντος ἕστηκε τὸ τούτου ἔργον, οὕτω καὶ ὁ κόσμος ἐπιμύσει γοῦν ὀφθαλμοῦ στῆναι δυνήσεται, εἴ γε ὁ Θεὸς τὴν αὐτοῦ διοίκησιν ὑπεξέληται.

**230-234** ὁ – ὑπεξέληται] Aug., De gen. ad litt. IV, cap. 12, n. 22 (PL 34, col. 304): Neque enim, sicut structor aedium cum fabricaverit, abscedit, atque illo cessante atque abscedente stat opus eius; ita mundus vel ictu oculi stare poterit, si ei Deus regimen sui subtraxerit.

**215** τῇ αὐτῶν τάξει] τάξει αὐτῶν M; suo ordine Aq. **223** συνέχειαν] σεχείαν M

**[5.1.28]** Πρὸς τὸ πέμπτον ῥητέον· ἐπεὶ τὰ ποιοῦντα σώματα οὐ ποιοῦσιν εἰ μὴ κατὰ τὸ μεταβάλλειν, οὐδὲν δὲ μεταβάλλει εἰ μὴ τῷ τῆς ὕλης λόγῳ, ἡ αἰτία τῶν ποιούντων σωμάτων οὐ δύναται φθάνειν εἰ μὴ πρὸς τὰ τρόπῳ γέ τῳ ὄντα ἐν ὕλῃ. Ἀλλ’ ἐπεὶ οἵ τε Πλατωνικοὶ καὶ Ἀβίκενος οὐκ ἐφρόνουν τὰ εἴδη ἐκ τοῦ τῆς ὕλης δυνάμει προϊέναι, διατοῦτο συνηλαύνοντο λέγειν τὰ κατὰ φύσιν ποιοῦντα μόνην διατιθέναι τὴν ὕλην, τὴν δ’ ἐπεισαγωγὴν τῶν εἰδῶν εἶναι ἐξ ἀρχῆς χωριστῆς. Ἀλλ’ εἴ γε θείημεν τὰ οὐσιώδη εἴδη ἀναδύνειν ἐκ τοῦ τῆς ὕλης δυνάμει κατὰ τὴν Ἀριστοτέλους δόξαν, τὰ κατὰ φύσιν ποιοῦντα οὐ μόνον ἔσονται αἰτίαι τῶν ὑλικῶν διαθέσεων, ἀλλὰ καὶ τῶν οὐσιωδῶν εἰδῶν· ὅσον ἐπιβάλλει πρὸς τὸ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προελθεῖν, ὡς εἴρηται. Καὶ κατὰ τὸ εἰκὸς εἰσὶν ἀρχαὶ τοῦ εἶναι ὅσον πρὸς τὴν κάταρξιν τοῦ εἶναι καὶ οὐ πρὸς τὸ εἶναι ἁπλῶς.

**[5.1.29]** Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τῶν ἀρχομένων εἰδῶν εἶναι ἐν ὕλῃ, ἐνεργείᾳ ποιούντων σωμάτων, ἔνια μὲν προΐασι κατά τε τέλειον λόγον τοῦ εἴδους καὶ τέλειον τὸ εἶναι, ὥσπερ καὶ τὸ εἶδος τοῦ γεννωμένου τέλειόν ἐστι, καὶ τὸ ἐν τῇ ὕλῃ εἶναι τέλειον διὰ τὸ ἐν τῇ ὕλῃ μὴ ὑπομένειν ἐναντίας ἀρχάς· καὶ τὰ τοιαῦτα εἴδη διαρκεῖ μετὰ τὴν τοῦ ποιοῦντος ἐνέργειαν μέχρι τοῦ τῆς φθορᾶς καιροῦ. Ἔνια δὲ εἴδη προΐασι μὲν κατὰ τέλειον λόγον τοῦ εἴδους, οὐ κατὰ τέλειον δὲ τὸ εἶναι ἐν τῇ ὕλῃ· ὥσπερ ἡ οὖσα θέρμη ἐν τῷ θερμῷ ὕδατι ἔχει τέλειον τὸ τῆς θερμότητος εἶδος, οὐ τέλειον μέντοιγε τὸ εἶναι, ὅπέρ ἐστιν ἐκ τῆς πρὸς τὴν ὕλην προσαγωγῆς τοῦ εἴδους διὰ τὸ ἐν τῇ ὕλῃ μένειν τὸ ἐναντίον εἶδος τῇ τοιαύτῃ ποιότητι. Καὶ τὰ τοιαῦτα εἴδη δύνανται ἀντέχειν ἐπιβραχὺ μετὰ τὴν τοῦ ποιοῦντος ἐνέργειαν, κωλύονται δὲ ἐπὶ μήκιστον παρατείνειν τῇ ἐναντίᾳ ἀρχῇ τῇ ὑπούσῃ τῇ ὕλῃ. Εἰσὶ δ’ αὖ ἃ προΐασιν ἀτελῆ κατά τε εἶδος καὶ κατὰ τὸ εἶναι· ὥσπερ τὸ φῶς ἐν τῷ ἀέρι ἀπὸ τοῦ λαμπροῦ σώματος· οὐ γάρ ἐστι τὸ φῶς ἐν τῷ ἀέρι ὥσπερ εἶδος φυσικὸν τέλειον, καθάπερ ἔστιν ἐν τῷ λαμπρῷ σώματι, ἀλλὰ μᾶλλον κατὰ τὸν τῆς ἐμφάσεως τρόπον. Ἀμέλει καὶ καθάπερ τὸ τοῦ ἀνθρώπου εἴδωλον οὐ διατείνει ἐν τῷ
P 113r κατόπτρῳ, εἰ μὴ | ἐφόσον ἀντίκειται τῷ ἀνθρώπῳ, οὕτως οὐδὲ τὸ φῶς ἐν τῷ ἀέρι ὅτι μὴ κατ’ αὐτὴν τὴν τοῦ φωτεινοῦ σώματος ὁμιλίαν· αἱ τοιάδε γὰρ

**243** ὡς εἴρηται] vide quaestio 3, articula 9 et 11.

**259-260** ἐν – ἀλλὰ]

**ἐμφάσεις ἐξήρτηνται τῶν φυσικῶν εἰδῶν τῶν σωμάτων καθ’ αὐτὰ καὶ οὐ κατὰ συμβεβηκὸς μόνον, καὶ διατοῦτο τὸ εἶναι αὐτῶν οὐκ ἔστι μενετὸν παυομένης τῆς ἐνεργείας τῶν ποιούντων. Ἀλλὰ τὰ μὲν τοιαῦτα διὰ τὸ ἀτελὲς τοῦ ἑαυτῶν εἶναι λέγονται εἶναι ἐν τῷ γίνεσθαι· τὰ δὲ τέλεια κτίσματα οὐ λέγονται ἐν τῷ γίνεσθαι εἶναι, διὰ τὸ ἐντελὲς τοῦ σφῶν αὐτῶν εἶναι, εἰ καὶ ἡ τοῦ Θεοῦ ἐνέργεια μηδὲν διαλιμπάνουσα παραμένει τούτοις.**

**[5.1.30] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ ἐνέργεια τοῦ σωματικοῦ ποιοῦντος, οὐχ ὑπεράλεται τοὺς τῆς κινήσεως ὅρους, διά τοι τοῦτο καὶ τοῦ πρώτου ποιοῦντος ὄργανον ἐστὶν ἐν τῇ προαγωγῇ τῶν εἰδῶν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, ἥτις γίγνεται διὰ κινήσεως, οὐκ ἐν τῇ σωτηρίᾳ δὲ τούτων, εἰ μὴ ἐφόσον κινήσει τινὶ αἱ διαθέσεις ἐν τῇ ὕλῃ κατέχονται, αἷς ἡ ὕλη γίνεται ἰδία τοῦ εἴδους, ὡσπεροῦν ἐν τῇ κινήσει τῶν οὐρανίων σωμάτων τὰ ὑποβεβηκότα συντηροῦνται εἰς τὸ εἶναι.**

**[5.1.31] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ κτίσις οἰχήσοιτο τῆς θείας ἐνεργείας παυσαμένης οὐ διὰ τὸ ἐναντίον τὸ ἐν τῇ ὕλῃ ὄν, ἐπεὶ καὶ αὐτὸ ὁμοῦ τῇ ὕλῃ οἴχοιτο ἄν, ἀλλὰ διὰ τὸ εἶναι ἐκ τοῦ μηδενός, οὐχ’ ὅτι τὸ μηδὲν δρᾷ τὶ πρὸς τὴν φθοράν, ἀλλ’ ὅτι πρὸς τὴν σωτηρίαν οὐ δρᾷ.**

**[5.1.32] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι αὐτὸς ὁ τῶν εἰδῶν νομεύς, εἰ νομίζοιτό τι παρὰ τὸν Θεὸν κατὰ τὴν Ἀβικένου δόξαν, δεήσει καὶ τοῦτον ἐκλείπειν παυομένης τῆς τοῦ Θεοῦ ἐνεργείας, ἥτις ἐστὶν αἰτία αὐτοῦ.**

**[5.1.33] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τῆς προειρημένης ἐνεργείας ἐν ἀπραγμοσύνῃ οὔσης καὶ τὸ εἶδος διαρρυήσεται. Ὅθεν οὐ δύναται εἶναι τοῦ εἶναι ἀρχή.**

**[5.1.34] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ ὕλη λέγεται ἀγένητος, ὅτι οὐ πρόεισι διὰ τῆς γενέσεως εἰς τὸ εἶναι, διατοῦτο μέντοι οὐκ ἀπαγορεύεται εἶναι ἀπὸ τοῦ Θεοῦ, δέον πᾶν ἀτελὲς ἐκ τελείου τὴν γένεσιν ἕλκειν.**

**[5.1.35] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι οὐκ ἀνάγκη ἐν τοῖς τοῦ Θεοῦ ἔργοις ἑνὸς τῶν ἀντικειμένων ἀντιφατικῶς εὑρισκομένου εὑρίσκεσθαι καὶ τὸ ἀντικείμενον (οὕτω γὰρ ἔσταί τι ἐν αὐτοῖς ἄκτιστον, ὄντος ἐν τούτοις τινὸς**

**265** τὸ] deest Aq. | μενετὸν] μεντὸν M **267** γίνεσθαι] γενέσθαι M (fieri Aq.) **268** γίνεσθαι] γινώσκεσθαι M (fieri Aq.) **271-272** οὐχ – ποιοῦντος] om. et al. man. add. in marg. dex. M

κτιστοῦ), ἀλλ’ εἰ καὶ ἀληθὲς τοῦτ’ ἐστὶ περὶ τῶν ἄλλων ἀντικειμένων, ταῦτα μέντοι, ἐξ ὧν γέγονεν ἡ ἀπάντησις, ἐστὶν ἀντιφάσει ἀντικείμενα. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[5.1.36] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ ὁτιοῦν ὂν φυσικῶς ἐφίεται τῆς ἑαυτοῦ συντηρήσεως, ὅμως οὐχ ἕπεται τὸ συντηρεῖσθαι δι’ ἑαυτοῦ, ἀλλ’ ἀπὸ τῆς αὐτοῦ αἰτίας.

[5.1.37] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ σύστημα τῶν
P 113v δημιουργημάτων οὐκ ἔστιν ἄριστον ἁπλῶς, ἀλλ’ ἐν τῷ | τῶν κτιστῶν γένει· ὅθεν οὐδὲν προσίσταται τούτων εἶναί τι κρεῖττον.

[5.1.38] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἐν τοῖς ἀγαθοῖς, ὧν τῇ συμφορᾷ ἡ τῆς μακαριότητος κατάστασις ἀποτελεῖται, ἐξαίρετόν ἐστιν ἡ συνάφεια πρὸς τὴν ἑαυτῆς αἰτίαν, καὶ αὐτὴ ἡ τοῦ Θεοῦ ἀπόλαυσις, ἥτις ἐστὶ λογικῇ κτίσει μακαριότης.

[5.1.39] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι τὸ εἰς τὸ μηδὲν τείνειν οὐκ ἔστιν ἰδία κίνησις τῆς φύσεως, ἥτις ἐστὶν ἀεὶ ἐν τῷ ἀγαθῷ, ἀλλ’ ἔστιν αὐτῆς ἀσθένεια. Ὅθεν ὁ λόγος ψεῦδος προϋπετίθει.

[5.1.40] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἐκείνης τῆς βιαίας ἐνιδρύσεως τὸ βίᾳ ποιοῦν ἐστιν αἰτία κατὰ τὸ γίνεσθαι καὶ οὐχ ἁπλῶς κατὰ τὸ εἶναι ὡς ἐκ τῶν εἰρημένων φαίνεται. Ὅθεν λωφώσης τῆς ποιούσης ἐνεργείας δύναται καιρὸν μένειν, ἀλλ’ οὐ χρόνον, διὰ τὸ αὐτῆς ἀτελές.

[5.1.41] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι, καθάπερ τὸ εἶδος οὐ δύναται εἶναι ἀρχὴ τοῦ εἶναι εἰ μή τινος ἄλλης προτέρας ἀρχῆς προϋποτεθείσης, οὕτως οὐδὲ τοῦ ἐνεργεῖν τοῦ Θεοῦ ἐν παντὶ ἐνεργοῦντος, ὡς ἐν ἄλλῃ ζητήσει δείκνυται, οὐδ’ αὖ τοῦ γινώσκειν, ἡνίκα πᾶσα γνῶσις ὥσπερ φῶς εἰς τὰ κτιζόμενα μετοχεύεται.

**296** ὁτιοῦν] ὁτιοῦν P

## Κεφάλαιον δεύτερον

## Πότερον ὁ Θεὸς δύναταί τινι κτίσματι κοινωνεῖν τοῦ αὐτάρκους ἢ οὔ.

[5.2.1] Δεύτερον ζητεῖται, πότερον ὁ Θεὸς δύναται τινὶ κτίσματι κοινωνεῖν τοῦ αὐτάρκους. Καὶ δοκεῖ ταύτῃ. Τὸ γὰρ δημιουργεῖν ἐστι μεῖζον τοῦ καθ' αὐτὸ εἰς τὸ εἶναι συντηρεῖσθαι. Ἀλλὰ τοῦ δημιουργεῖν ἐξεγένετο κοινωνεῖν τῇ κτίσει, ὡς ὁ διδάσκαλος φησὶν ἐν τῷ πέμπτῳ τμήματι τῶν Ἀξιωμάτων. Καὶ τοῦ αὐτάρκη ἄρα εἶναι.

[5.2.2] Ἔτι, πλείω δύναται ὁ Θεὸς εἰς τὰ ὄντα ἢ δύναται ὁ ἡμέτερος νοῦς. Ἀλλ' ὁ ἡμέτερος νοῦς δύναται νοεῖν τὴν κτίσιν ἄνευ τοῦ Θεοῦ. Πολλῷ ἄρα ἐρρωμενέστερον ὁ Θεὸς δύναται παρασχεῖν τῇ κτίσει καθ' αὐτὴν σῴζεσθαι εἰς τὸ εἶναι.

[5.2.3] Ἔτι, κτίσμα τί ἐστι κατ' εἰκόνα Θεοῦ, ὡς ἐν τῷ τῆς Γενέσεως πρώτῳ λέγεται. Ἀλλὰ κατὰ τὸν Ἱλάριον, εἰκών ἐστί τις ὁμοιότης ἀδιάκριτος καὶ ἡνωμένη πρὸς ἐξίσωσιν τινὸς πράγματος· καὶ οὕτως ἡ εἰκὼν ἐξισοῦσθαι δύναται τῷ οὗ ἐστιν εἰκών. Ἐπεὶ τοίνυν ὁ Θεὸς οὐ δεῖται τινὸς ἔξωθεν συνέχοντος, δοκεῖ δυνηθῆναι κοινωνῆσαι τούτου τῇ κτίσει.

[5.2.4] Ἔτι, ὅσο τὸ ποιοῦν τέλειόν ἐστι, τοσοῦτο δύναται τελειότερον ἀποτέλεσμα προάγειν. Ἀλλὰ κτιστά τινα ποιοῦντα δύνανται ἀποτελέσματα ποιεῖν, ἃ συντηροῖντο ἂν εἰς τὸ εἶναι ἄνευ τῶν ποιούντων. Πολλῷ ἄρα μᾶλλον ὁ Θεὸς ἀνδρικώτερον δύναται τοῦτο ποιεῖν.

[5.2.5] Ἀλλὰ τοὐναντίον, ὁ Θεὸς οὐ δύναταί τι ποιεῖν εἰς μείωσιν τῆς αὐτοῦ δεσποτείας.
P 114r Ὑφαιρεῖται δὲ τῇ τοῦ αὐτοῦ δεσποτείᾳ τὸ | δύνασθαί τι ἄνευ τῆς αὐτοῦ συνοχῆς εἰς τὸ εἶναι συντηρεῖσθαι. Ὁ Θεὸς ἄρα τοῦτο οὐ δύναται.

[5.2.6] Ἀπόκρισις. Ῥητέον, ὅτι οὐκ ἀναφέρεται εἰς τὴν τοῦ Θεοῦ παντοδυναμότητα τὸ δύνασθαι ποιεῖν δύο ἀντιφατικὰ εἶναι ἅμα. Ἐν δὲ τῷ λεγομένῳ, τὸν Θεὸν δύνασθαι ποιεῖν τι, ὃ μὴ δεῖται τῆς αὐτοῦ συντηρήσεως, ἀντίφασις ἐνείρεται. Ἤδη γὰρ δέδεικται πᾶν ἀποτέλεσμα τῆς ἰδίας αἰτίας

**12-13** Ἔτι – λέγεται] Gen. 1, 26: καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ γῆς γῆς. **13-14** κατὰ – πράγματος] Hilar., De syn., cap. 13 (PL 10, col. 490): Imago itaque est rei ad rem coaequandae imaginata et indiscreta similitudo.

**ἐξῆφθαι, ᾗ δὴ αὐτοῦ ἔστιν αἰτία. Ἐν τῷ τοίνυν λέγεσθαι τῆς τοῦ Θεοῦ συνοχῆς μὴ δεῖν τῷδέ τινι τίθεται μὴ εἶναι αἰτιατὸν ἀπὸ τοῦ Θεοῦ, ὥσπερ ἐν τῷ λέγεσθαι τὸν Θεὸν ποιεῖν αὐτό, τίθεται εἶναι αἰτιατόν. Καθάπερ τοίνυν ἀντίφασιν ἐπεισάγει, εἰ λέγει τὸν Θεὸν ποιεῖν τὶ ὃ μὴ ἔστιν αἰτιατὸν αὐτῷ, οὕτω καὶ τὸ λέγειν τὸν Θεὸν ποιεῖν τι μὴ δεόμενον τῆς αὐτοῦ συνοχῆς. Ὅθεν ἑκάτερον ὁ Θεὸς δι' ἴσου λόγου οὐ δύναται.**

**[5.2.7] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τῆς μὲν κτίσεως ἐχούσης τὸ κτίζειν τι, τοῦ δὲ μὴ δεῖσθαι ἑτέρου συντηρήσεως, οὐκ ὄντος ὅτι μὴ τοῦ αἰτίαν μὴ ἔχοντος, πρόδηλον μεῖζον εἶναι τὸ μὴ δεόμενόν του πρὸς τὸ συντηρεῖσθαι ἢ τὸ κτίζειν, ὥσπέρ ἐστι μεῖζον τὸ ἀναίτιον εἶναι ἢ αἰτίαν εἶναι, εἰ καὶ τοῦτο ἀληθὲς τὸ παράπαν οὐκ ἔστι, τὸ κτίζειν εἶναι μεταληπτὸν τῇ κτίσει, ᾗ δή ἐστιν ἐνέργεια τοῦ πρώτου ποιοῦντος, ὡς ἐν ἑτέρᾳ ζητήσει πεφιλοσόφηται.**

**[5.2.8] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι, εἰ καὶ ὁ νοῦς δύναται νοεῖν τὴν κτίσιν μὴ νοῶν τὸν Θεόν, ὅμως οὐ δύναται νοεῖν τὴν κτίσιν μὴ διατηρεῖσθαι εἰς τὸ εἶναι παρὰ Θεοῦ. Τοῦτο γὰρ ἀντίφασιν ὑπάγει, ὥσπερ καὶ τὸ τὴν κτίσιν μὴ ἐκτίσθαι ὑπὸ τοῦ Θεοῦ, ὡς εἴρηται.**

**[5.2.9] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ ἰσότης οὐκ ἔστιν ἐκ τοῦ τῆς εἰκόνος λόγου ἀπολύτως, ἀλλ' ἐκ τοῦ λόγου τῆς τελείας· οἷα δὴ εἰκὼν τοῦ Θεοῦ, οὐκ ἔστιν ἡ κτίσις, ἀλλ' ὁ Υἱός· ὅθεν ὁ λόγος οὐχ ἕπεται.**

**[5.2.10] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ λύσις ὑπανέῳγε διὰ τῶν ἤδη εἰρημένων ἐν τῷ φθάσαντι κεφαλαίῳ.**

**33** εἰ λέγει] om. et al. man. add. in marg. sin. M **40** τὸ] bis scripsit M

**Κεφάλαιον τρίτον**

**Πότερον ὁ Θεὸς δύναται τὴν κτίσιν εἰς τὸ μὴ ὂν ἀναλῦσαι ἢ οὔ.**

**[5.3.1] Τρίτον ζητεῖται, πότερον ὁ Θεὸς δύναται τὴν κτίσιν εἰς τὸ μὴ ὂν ἀναλῦσαι. Καὶ δοκεῖ μὴ δῆτα. Φησὶ γὰρ Αὐγουστῖνος ἐν τῷ ὀγδόῳ βιβλίῳ τῶν Ζητήσεων·** ὁ Θεὸς οὐκ ἔστιν αἰτία τοῦ τείνειν εἰς τὸ μὴ ὄν. **Τοῦτο δ' ἂν εἴη, εἰ τὴν κτίσιν ἐξαπολλύναι ἠδύνατο. Ὁ Θεὸς ἄρα οὐ δύναται τὴν κτίσιν εἰς τὸ μὴ ὂν διαλύειν.**

**[5.3.2] Ἔτι, τὰ φθαρτὰ δημιουργήματα, ἃ πρὸς τὰ λοιπά ἐστιν ἀσθενέστερα, οὐ παύονται τοῦ εἶναι εἰ μὴ ἐνεργείᾳ τινὸς ποιούσης αἰτίας· ὥσπερ τὸ πῦρ φθείρεται τοῦ ἐναντίου δρῶντος εἰς αὐτό. Πολλῷ ἄρα μᾶλλον ἧττον δύναιντο παύεσθαι τοῦ εἶναι τὰ ἄλλα δημιουργήματα εἰ μὴ διά τινος** P 114v **ἐνεργείας, αἰτίας ποιούσης. Εἰ τοίνυν ὁ Θεὸς | δημιούργημά τι εἰς τὸ μὴ ὂν ἀνατρέπει, τοῦτ' οὐκ ἂν γένοιτο εἰ μὴ διά τινος ἐνεργείας. Δι' ἐνεργείας δὲ τοῦτο γενέσθαι ἀδύνατόν ἐστι. Πᾶσα γὰρ ἐνέργεια, ὥσπέρ ἐστιν ἀπὸ ὄντος ἐνεργείᾳ, οὕτω καὶ εἰς ὂν ἐνεργείᾳ ὁρίζεται, δέοντος τὸ γινόμενον εἶναι καὶ ὅμοιον τῷ ποιοῦντι. Ἡ δὲ ἐνέργεια, ᾗ τι γίνεται ὂν ἐνεργείᾳ, οὐ παντάπασιν εἰς τὸ μὴ ὂν ἀνατρέπει. Ὁ Θεὸς ἄρα οὐ δύναταί τι ἐξαπολλύναι.**

**[5.3.3] Ἔτι, πᾶν τὸ κατὰ συμβεβηκὸς ἀναφέρεται πρὸς τὸ καθ' αὑτό. Ἀλλ' ὑπ' οὐδὲ μιᾶς ποιούσης αἰτίας ἔστιν ἔνδεια καὶ φθορὰ εἰ μὴ κατὰ συμβεβηκός, ἐφόσον μηδὲν ποιεῖ, εἰ μὴ σκοπούμενον τὸ ἀγαθόν, ὡς ὁ Διονύσιός φησιν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· ὅθεν καὶ τὸ πῦρ, φθεῖρον τὸ ὕδωρ, οὐ σκοπεῖ τὴν στέρησιν τοῦ εἴδους τοῦ ὕδατος, ἀλλ' εἶδος ἐπενεγκεῖν κατὰ τὴν αὐτοῦ φύσιν. Ἄρα οὐ δύναται ἀπὸ τοῦ ποιοῦντος ἔνδειά τις γενέσθαι, εἰ μή τις ὁμοῦ τελειότης γίγνοιτο. Καὶ οὕτως οὐκ ἔστιν εἰς τὸ μὴ ὂν ἀνάλυσις. Ὁ Θεὸς ἄρα οὐ δύναταί τι ἐξαπολλύναι.**

**[5.3.4] Ἔτι οὐδὲν ποιεῖ εἰ μὴ διὰ τέλος· τὸ γὰρ τέλος ἐστὶ τὸ κινοῦν τὸ ποιοῦν. Τέλος δὲ τῆς τοῦ Θεοῦ ἐνεργείας ἐστὶν ἡ αὐτοῦ ἀγαθότης. Ὃ δύναται εἶναι ἐν τῇ τῶν ὄντων προόδῳ, δι' ἧς εἴδωλα τῆς θείας ἀγαθότητος τυγχάνειν δύνανται, οὐκ ἐν τῇ ἀπωλείᾳ δέ, δι' ἧς εἰς τὸ μὴ ὂν πάντῃ ἀπὸ τῆς τοῦ Θεοῦ**

**4-5** Φησὶ – ὄν] Aug., De div. quaest. LXXXIII, quaestio 2, cap. 21 (PL 40, col. 16): At ille ad quem non esse non pertinet non est causa deficiendi, id est, tendendi ad non esse. **18-21** Ἀλλ' – ὀνομάτων] cf. Ps.-Dion., De div. nom., cap IV (PG 3, cols 697-700, Ritter pp. 146-149).

**10** τοῦ ἐναντίου] τοὐναντίου M (aliquo contrario Aq.) **6, 17, 25** ἐξαπολλύναι] ἐξαπολῦναι P **15** δέοντος] δέον P (cum oporteat Aq.) **19-25** Ἔτι – ἀνάλυσις] deest M (homoioteleuton) **28** εἴδωλα] εἴδωλον M (res similitudines Aq.)

**ὁμοιότητος ὑποχωροῦσιν. Ὁ Θεὸς ἄρα οὐ δύναταί τι πάντῃ ἀπολλύναι.**

**[5.3.5] Παρὰ ταῦτα, τῆς αἰτίας μενούσης ἀνάγκη διαμένειν τὸ αἰτιατόν. Εἰ γὰρ μὴ ἀναγκαῖον, δυνατὸν ἔσται τὸ αἰτιατὸν καὶ εἶναι καὶ μὴ εἶναι κειμένης τῆς αἰτίας· ὡδὶ δὲ δεήσει ἄλλου, ᾧ ὁρίζοιτο τὸ αἰτιατὸν εἰς τὸ εἶναι. Καὶ ταύτῃ οὐκ αὐτάρκης ἡ αἰτία πρὸς τὸ αἰτιατὸν εἶναι. Ἀλλ' ὁ Θεός ἐστιν αὐτάρκης αἰτία τῶν ὄντων. Τούτου ἄρα μένοντος ἀνάγκη τὰ ὄντα μένειν εἰς τὸ εἶναι. Ἀλλ' ὁ Θεὸς οὐ δύναται ποιῆσαι, ὥστε μὴ εἰς τὸ εἶναι μένειν αὐτός. Οὐκ ἄρα δύναται τὰ ὄντα εἰς τὸ μὴ εἶναι περιιστᾶν.**

**[5.3.6] Ἀλλ' ἐρεῖς που, ὅτι οὐκ ἔσται αἰτία ἐνεργείᾳ τῶν δημιουργημάτων φθειρομένων. Ἀλλὰ τοὐναντίον, ἡ τοῦ Θεοῦ ἐνέργεια, ἔστι τὸ εἶναι αὐτοῦ· ὅθεν ὁ Αὐγουστῖνος ἀσπάζεται** τὸ εἶναι ἡμᾶς ὄντος τοῦ Θεοῦ**. Τὸ εἶναι δὲ αὐτοῦ οὐδέποτε λήγει. Ἄρα οὐδὲ παύσεταί ποτε εἶναι ἐν τῇ ἑαυτοῦ ἐνεργείᾳ. Καὶ ταύτῃ ἔσται ἐσαεὶ αἰτία ἐνεργός.**

**[5.3.7] Ἔτι, ὁ Θεὸς οὐ δύναται ποιεῖν παρὰ τὰς κοινὰς ἐννοίας, ὥσπερ τὸ τὸ ὅλον μὴ εἶναι τοῦ μέρους μεῖζον. Κοινὴ δὲ ἔννοιά ἐστι παρὰ τοῖς σοφοῖς τὰς λογικὰς ψυχὰς ἀιδίους εἶναι. Ὁ Θεὸς ἄρα οὐ δύναται ποιεῖν ταύτας εἰς τὸ μὴ ὂν ἀναλῦσαι.**

**[5.3.8] Ἄνευ δὲ τούτων, τὸ Ὑπόμνημα φησὶν ἐν τῷ ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι τὸ δυνατὸν ὂν ἐφ' ἑαυτοῦ εἶναι καὶ μὴ εἶναι οὐ δύναται ἀπ' ἄλλου** P 115r **πορίζεσθαι ἀνάγκην τοῦ | εἶναι. Ὅσα τοίνυν τῶν δημιουργημάτων ἀνάγκην ἔχει τοῦ εἶναι, οὐκ ἔστιν ἐν αὐτοῖς δύναμις τοῦ εἶναι καὶ μὴ εἶναι. Τοιαῦτα δέ εἰσι πάντα τὰ ἄφθαρτα, ὅπως εἰσὶ τὰ ἀσώματα καὶ τὰ οὐράνια σώματα. Τούτοις ἄρα πᾶσιν οὐκ ἔστι δύναμις πρὸς τὸ μὴ εἶναι. Εἰ τοίνυν ἐαθεῖεν τῆς θείας ἐνεργείας ὑποσπασθείσης οὐχ ὁρμήσουσιν εἰς τὸ μὴ ὄν. Καὶ ταύτῃ δοκεῖ τὸν Θεόν, ὡσὰν εἴποι τις, μὴ ἐξουδενεῖν αὐτά.**

**[5.3.9] Ἔτι, ὃ λαμβάνεται ἐν ἄλλῳ, οὐκ ἀναιρεῖ τὴν δύναμιν τοῦ δεχομένου, ἀλλὰ μᾶλλον δύναται αὐτὴν τελειοῦν. Εἰ τοίνυν εἴη τι δύναμιν ἔχον πρὸς τὸ μὴ εἶναι, οὐδὲν ἐν αὐτῷ ληφθέν, δύναται ταύτην παρελέσθαι τὴν δύναμιν. Ὃ τοίνυν ἔσται καθ' αὑτὸ δυνατὸν μὴ εἶναι, οὐ δύναται ἀπ' ἄλλου ἀνάγκην ἔχειν εἶναι.**

**40** ὅθεν – Θεοῦ] Aug., De doct. christ. I, cap. 32, n. 35 (PL 34, col. 32): nos res quibus utimur ad id referimus ut Dei bonitate perfruamur; Deus vero ad suam bonitatem usum nostrum refert. Quia enim bonus est, sumus; et in quantum sumus, boni sumus. **47-49** τὸ – εἶναι] Av., Comm. Metaph. XI.

**30** ἀπολύναι] διαπράττεσθαι[a. corr.] P; ἀπολύναι M; annihilare Aq. | **25** ἀπολλύναι] ἀπολύναι P
**54** ἐξουδενεῖν] ¨ supra ἐξουδενεῖν et ¨ παρὰ Λατίνοις μηδὲν ἐκφέρειν in marg. dex. P; lacuna ca 34 et τόδε τὸ μηδὲν ἐκφέρειν αὐτά. Οὕτω παραλατίνοις. in marg. dex. M; annihilare Aq.

[5.3.10] Αὖθις, ἐκεῖνα οἷς γένη τινὰ διακρίνονται, ἔστιν ἐκ τῆς οὐσίας αὐτῶν· τὸ γὰρ γένος μέρος ἐστὶ τοῦ ὁρισμοῦ. Κατὰ δὲ τὸ φθαρτὸν καὶ ἄφθαρτόν τινα τῷ γένει διαφέρει, ὡς φαίνεται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Ἡ ἀιδιότης τοίνυν καὶ μὴ φθαρτότης εἰσὶν ἐκ τῆς οὐσίας τοῦδέ τινος. Ὁ Θεὸς δὲ οὐ δύναται ὁτουοῦν πράγματος παραιρεῖσθαι τὸ ἐκ τῆς οὐσίας αὐτοῦ· οὐ γὰρ δύναται ποιεῖν τὸν ἄνθρωπον ὄντα ἄνθρωπον μὴ εἶναι ζῷον. Οὐ δύναται ἄρα τοῖς ἀφθάρτοις πράγμασι τὴν αἰωνιότητα ἀφαιρεῖν. Καὶ οὕτως οὐ δύναται αὐτὰ εἰς τὸ μηδὲν ἀνατρέπειν.

[5.3.11] Ἔτι, τὸ φθαρτὸν οὐ δύναται μεταβάλλειν, ὡς γενέσθαι ἄφθαρτον κατὰ τὴν αὐτοῦ φύσιν· ἡ γὰρ ἀφθαρσία τῶν ἀνισταμένων σωμάτων οὐκ ἔστι φύσεως, ἀλλὰ δόξης. Καὶ τοῦτο διὰ τοῦτ᾽ ἐστίν, ὅτι κατὰ τὸ φθαρτὸν καὶ ἄφθαρτον διαφέρουσι γένει ἔνια, ὡς εἴρηται. Εἰ τοίνυν τὸ ὂν καθ᾽ αὑτὸ δυνατὸν μὴ εἶναι δύναιτο ἀπ᾽ ἄλλου ἀνάγκην τοῦ εἶναι περιποιεῖσθαι, τὸ φθαρτὸν δύναται εἰς τὸ ἄφθαρτον μεταβάλλειν. Ἀδύνατον ἄρα ἐστί τι ὂν καθ᾽ αὑτὸ δυνατὸν μὴ εἶναι λαμβάνειν ἀνάγκην ἀπ᾽ ἄλλου. Καὶ ταύτῃ πρότερον.

[5.3.12] Πρὸς δὲ τούτοις, <εἰ> τὰ κτίσματα οὐκ ἔχει ἀνάγκην τοῦ εἶναι, εἰ μὴ καθὸ τοῦ Θεοῦ ἤρτηνται, τοῦ δὲ Θεοῦ ἤρτηνται, ᾗ δὴ ὁ Θεός ἐστιν αἰτία αὐτῶν, ἄρα τὸ ἀναγκαῖον οὐχ ἕξουσιν εἰ μὴ τῷ προσήκοντι τρόπῳ τῇ αἰτίᾳ, ᾧ ὁ Θεὸς αὐτῶν ἐστιν αἰτία. Ὁ δὲ Θεός ἐστιν αἰτία τῶν ὄντων οὐκ ἀνάγκῃ, ἀλλὰ βουλήσει, ὥς ἐστιν ἐν ἄλλῃ ζητήσει ἀποδεδειγμένον. Οὕτω τοίνυν ἔσται τὸ ἀναγκαῖον ἐν τοῖς οὖσιν, ὥσπερ ἐν τοῖς θελήσει αἰτιατοῖς. Τὰ δὲ τῆς βουλήσεως ἐξημμένα οὐχ ἁπλῶς εἰσιν ἀναγκαῖα, εἰ μὴ ὑποθετικῶς, διὰ τὸ συμβαίνειν τὴν θέλησιν μὴ ὁρίζεσθαι ἀναγκαίως εἰς ἓν ἀποτέλεσμα. Ἕπεται τοίνυν μηδὲν ἐν τοῖς οὖσιν εἶναι ἀναγκαῖον ἀπολελυμένως, ἀλλὰ μόνον ὑποθετικῶς· ὥσπέρ ἐστιν ἀναγκαῖον τὸν Σωκράτην | κινεῖσθαι, εἰ
P 115v τρέχει, ἢ βαδίζειν, εἰ θέλει μηδενὸς ὄντος ἐμποδών. Ἆρ᾽ οὐ δοκεῖ φαίνεσθαι μηδὲν εἶναι ἐν τοῖς κτιστοῖς ἄφθαρτον ἁπλῶς, ἀλλὰ πάντα φθαρτά. Ὅπερ ἄτοπον.

[5.3.13] Ἔτι, ὥσπερ ὁ Θεός ἐστιν ἄκρον ἀγαθόν, οὕτω τοί ἐστι καὶ τελειότατον ὄν. Ἀλλ᾽ ἐφόσον ἐστὶν ἄκρον ἀγαθόν, προσήκει αὐτῷ μὴ εἶναι αἰτίαν τοῦ κακοῦ τῆς ἁμαρτίας. Ἄρα, ἐφόσον ἐστὶ τελειότατον ὄν, οὐ προσήκει αὐτῷ

**60-61** Κατὰ – φυσικά] Ar., Metaph. X, 1058b.30-32: ἀναγκαῖον εἶναι ὁτιοῦν ἄφθαρτον καὶ φθαρτὸν ἕτερα εἶναι τῷ εἴδει, ὥσπερ οὐδὲ λευκὸν καὶ μέλαν.

**59-62** αὐτῶν – οὐσίας] om. et al. man. add. in marg. inf. **78** βουλήσει] βουλήσιν M **80** Hic post ἁπλῶς Aq. habet: et absolute; post μὴ Aq. habet: necessitate

**δύνασθαι εἶναι αἰτίαν ἐξωλείας τῶν ὄντων.**

**[5.3.14] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι** ὁ Θεὸς ἐπιτοσοῦτον ἐστὶν ἀγαθός, ὅτι οὐκ ἄν ποτε εἴασέ τι κακὸν γενέσθαι, εἰ μὴ ἐς τοσοῦτον ἦν δυνατός, ὥστε ἐξοτουδήποτε κακοῦ δύνασθαι ἀπολέγεσθαι ἀγαθόν τι. **Ἀλλ᾽ εἰ ἡ κτίσις διώλοιτο, οὐκ ἂν ἐντεῦθεν ἀπολεχθείη ἀγαθόν τι. Ἆρ᾽ οὐκ ἂν ὁ Θεὸς ἐπιτρέψειε τὰ ὄντα εἰς τὸ μὴ ὂν χωρῆσαι.**

**[5.3.15] Ἔτι, οὐχ ἧττον διάστημα ἐστὶν εἰς τὸ μὴ ὂν ἐκ τοῦ ὄντος ἢ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν. Ἀλλὰ τὸ ἀναφέρειν τι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναί ἐστιν ἀπείρου δυνάμεως, διὰ τὸ ἄπειρον τοῦ διαστήματος. Τὸ ἀναστρέφειν τοίνυν τὶ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι οὐκ ἔστιν εἰ μὴ δυνάμεως ἀπείρου. Οὐδεμία δὲ κτίσις ἔχει δύναμιν ἄπειρον. Ὑποσπασθείσης τοίνυν τῆς τοῦ Δημιουργοῦ ἐνεργείας ἡ κτίσις οὐ δυνήσεται εἰς τὸ μὴ ὂν καταφέρεσθαι. Ὧ μόνῳ ἐλέγετο τὸν Θεὸν τὰ ὄντα δύνασθαι ἐξαπολλύναι, δηλαδὴ ὑποσταλείσης τῆς αὐτοῦ ἐνεργείας. Οὐδενὶ ἄρα τρόπῳ δύναται ὁ Θεὸς τὰ ὄντα εἰς τὸ μὴ ὂν ἀνασοβεῖν.**

**[5.3.16] Ἀλλ᾽ ἀντίξοον ἐστὶ τὸ ὑπὸ Ἀριστοτέλους λεγόμενον ἐν τῷ Περὶ ἀρχῶν· τὸ διδόμενον ἀφαιρεῖσθαι, καὶ ἀποχωρεῖν δύναται. Ἀλλὰ τὸ εἶναι δέδοται παρὰ Θεοῦ τῇ κτίσει. Δύναται ἄρα ἀφαιρεῖσθαι. Καὶ οὕτως ὁ Θεὸς δύναται τὰ ὄντα εἰς τὸ μηδὲν ἀνασοβεῖν.**

**[5.3.17] Ἔτι, ὃ ἁπλῆς ἤρτηται τῆς τοῦ Θεοῦ θελήσεως, δύναται παύσασθαι αὐτοῦ βουλομένου. Ἀλλ᾽ ὅλον τὸ εἶναι τῆς κτίσεως ἤρτηται ἐξ ἁπλῆς τῆς τοῦ Θεοῦ θελήσεως, διὰ τὸ τὸν Θεὸν εἶναι αἴτιον τῇ ἑαυτοῦ θελήσει τῶν ὄντων, καὶ οὐ φύσεως ἀνάγκῃ. Ἄρα τὰ ὄντα δύναται τοῦ Θεοῦ βουλομένου εἰς τὸ μὴ ὂν ἀναλύειν.**

**[5.3.18] Ἔτι, ὁ Θεὸς οὐ μᾶλλόν ἐστιν ὑπόχρεως τοῖς δημιουργήμασι μετὰ τὸ ἄρξασθαι ἢ πρὶν ἄρξασθαι. Ἀλλὰ πρὶν ἄρξασθαι, μηδεμιᾶς προστριβομένης συκοφαντίας τῇ αὐτοῦ ἀγαθότητι, ἐδύνατο ἀποσχέσθαι τοῦ μεταδόναι τοῖς οὖσι τοῦ εἶναι· ἡ γὰρ αὐτοῦ ἀγαθότης ἐν οὐδενὶ τῶν κτιστῶν ἐξήρτηται. Ἄρα ὁ Θεὸς δύναται τὴν ἐνέργειαν τῆς αὐτοῦ ἀγαθότητος ἀπὸ τῶν ὄντων ἀναστέλλειν· ἄνευ ἡστινοσοῦν διαβολῆς οὗ τεθέντος εἰς τὸ μηδὲν χωρήσουσιν, ὡς ἐν τῷ προελθόντι ἐπιχειρήματι διαπεπραγμάτευται. Δύναται τοίνυν ὁ Θεὸς τὰ ὄντα ἐξουδενοῦν.** |

**91-93** ὁ – τι] cf. Aug., Enchir., cap. 11 (PL 40, col. 236): cum summe bonus sit, ullo modo sineret mali esse aliquid in operibus suis nisi usque adeo esset omnipotens et bonus ut bene faceret et de malo. **104-105** τὸ – δύναται] Ar., Phys.: locum non inveni.

**97** ἔστιν] ἔστι P **102** ἐξαπολλύναι] ἐξαπωλεῖναι P **104** Ἀριστοτέλους] Origenes Aq. **109** ὅλον] ὂν τὸ τὸν Θεὸν M (sed totum Aq.) **115** ἐδύνατο ἀποσχέσθαι] ἐδύνα ὑποσχέσθαι M (poterat cessare Aq.)

P 116[r] **[5.3.18] Ἔτι, τῇ αὐτῇ ἐνεργείᾳ τὰ ὄντα εἰς τὸ εἶναι προήνεγκεν ὁ Θεὸς καὶ μὲν δὴ εἰς τὸ εἶναι συντηρεῖ, ὡς ἀνωτέρω δέδεικται. Ἀλλ' ὁ Θεὸς ἐδύνατο τὰ ὄντα εἰς τὸ εἶναι μὴ προενεγκεῖν. Τῷ αὐτῷ ἄρα λόγῳ δύναται ταῦτα εἰς τὸ εἶναι μὴ συντηρεῖν. Καὶ ταύτῃ δύναται αὐτὰ ἀφανίζειν.**

**[5.3.19] Ἀπόκρισις. Ῥητέον, ὅτι ἐν τοῖς ὑπὸ Θεοῦ δημιουργηθεῖσι λέγεταί τι εἶναι δυνατὸν διχῇ. Ἑνὶ μὲν τρόπῳ κατὰ τὴν τοῦ ποιοῦντος δύναμιν μόνον· ὥσπερ τὸ τὸν κόσμον γενέσθαι δυνατὸν ἦν αὐτὸν εἶναι οὐ τῇ δυνάμει τῆς κτίσεως, ᾗ μὴδεμία ἦν, ἀλλὰ μόνον τῇ τοῦ Θεοῦ δυνάμει, ὃς τὸν κόσμον εἰς τὸ εἶναι παρήγαγεν. Ἑτέρῳ κατὰ τὴν δύναμιν τὴν οὖσαν ἐν τοῖς γεγονόσιν· ὥσπερ δυνατόν ἐστι τὸ σύνθετον σῶμα φθείρεσθαι. Ἂν τοίνυν διαλεγώμεθα περὶ τῆς εἰς τὸ εἶναι δυνάμεως ἐκ τοῦ μέρους τῶν γεγονότων πραγμάτων, δισσῶς τούτου πέρι τινὲς ἐδόξασαν. Καὶ γὰρ ὁ Ἀβίκενος ἐτίθετο ὁτιοῦν πρᾶγμα ἄνευ τοῦ Θεοῦ ἔχειν ἐν ἑαυτῷ δύναμιν πρός τε τὸ εἶναι καὶ μὴ εἶναι. Ἐπεὶ γὰρ τὸ εἶναι ἐστὶν ἕτερον παρὰ τὴν οὐσίαν ὁτουοῦν πράγματος κτιστοῦ, αὐτὴ ἡ φύσις τοῦ πράγματος καθ' αὐτὴν θεωρουμένη δυνατή ἐστιν εἶναι, τὴν δὲ ἀνάγκην τοῦ εἶναι οὐκ ἔχει εἰ μὴ παρά του, οὗ ἡ φύσις ἐστὶ τὸ αὐτοῦ εἶναι, καὶ κατὰ τὸ εἰκός ἐστιν ἀναγκαῖον εἶναι καθ' αὑτό· καὶ τοῦτ' ἔστιν ὁ Θεός. Ὁ δὲ Ὑπομνηματιστὴς ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ καὶ ἐν τῷ Περὶ τῆς τοῦ κόσμου οὐσίας βιβλίῳ τὸ ἐναντίον τίθησιν, οἷον ὅτι τινὰ ὄντα δεδημιούργηται, ὧν τῇ φύσει οὐκ ἔστι δύναμις εἰς τὸ μὴ εἶναι· ὃ γὰρ ἐν τῇ αὑτοῦ φύσει δύναμιν ἔχει πρὸς τὸ μὴ εἶναι, οὐ δύναται ἀπό τινος ἐξωτερικοῦ προσποιήσασθαι ἀιδιότητα, ὥστ' εἶναι δηλαδὴ τῇ φύσει ἀίδιον. Καὶ αὐτὴ ἡ δόξα δοκεῖ λογικωτέρα. Ἡ γὰρ πρὸς τὸ εἶναι καὶ μὴ εἶναι δύναμις, οὐ γίνεταί τινι εἰ μὴ τῷ λόγῳ τῆς ὕλης, ἥτις ἐστὶ ψιλὴ δύναμις, καὶ ἀνάπαλιν. Ἐπεὶ μὴ δύναιτο εἶναι ἄνευ εἴδους, οὐ δύναται εἶναι δυνάμει πρὸς τὸ μὴ εἶναι, εἰ μὴ ἐφόσον οὖσα ὑφ' ἓν εἶδος ἔστιν ἐν δυνάμει πρὸς ἄλλο. Διχῇ τοίνυν δύναται ἐνδέχεσθαι ἐν τῇ τοῦ δεῖνος φύσει μὴ εἶναι δύναμιν πρὸς τὸ μὴ εἶναι. Ἑνὶ μὲν τρόπῳ, καθὸ τὸ πρᾶγμα ἐκεῖνό ἐστιν εἶδος μόνον ὑφεστὼς ἐν τῷ αὐτοῦ εἶναι· ὥσπερ αἱ ἀσώματοι οὐσίαι, αἵ εἰσι παντάπασιν ἄυλαι. Εἰ γὰρ τὸ εἶδος ἐκ τοῦ ἐνεῖναι τῇ ὕλῃ ἐστὶν ἀρχὴ τοῦ εἶναι ἐν τοῖς ἐνύλοις, οὔτ' αὖ τὸ**

**132-134** ὁ – εἶναι] Avic. Metaph. VII, cap. 6 **138-142** Ὁ – ἀίδιον] Av., Comm. Metaph. XI, cap. 4.

**130** γεγονόσιν] γεγόνασιν M (factis Aq.) **131** τὸ] αὐτὸ M

ὑλικὸν πρᾶγμα δύναται μὴ εἶναι εἰ μὴ τῇ ὑποχωρήσει τοῦ εἴδους, ἡνίκα αὐτὸ τὸ εἶδος ἐν τῷ αὐτοῦ εἶναι ὑφέστηκεν οὐδενὶ τρόπῳ δύναται μὴ εἶναι· ὥσπερ οὐδὲ δύναται αὐτὸ ἑαυτοῦ διίστασθαι. Ἑτέρῳ τρόπῳ, εἴ γε ἡ | ὕλη μὴ δύναιτο πρὸς ἄλλο εἶδος, ἀλλ᾽ ὅλη αὐτῆς ἡ δύναμις πρὸς ἓν εἶδος ὁρίζεται, ὥσπερ ἔστιν ἐν τοῖς οὐρανίοις σώμασιν, ἐν οἷς μὴ ἔστιν εἰδῶν ἐναντιότης. Αὐτὰ τοίνυν μόνα ἐν τῇ αὐτῶν φύσει δύναμιν ἔχει πρὸς τὸ μὴ εἶναι, ἐν οἷς ἐστιν ἡ ὕλη ἐναντιότητι ὑποχείριος. Τοῖς ἄλλοις δὲ κατὰ τὴν αὐτῶν φύσιν προσήκει ἀνάγκη τις τοῦ εἶναι, τῆς τοῦ μὴ εἶναι δυνάμεως τῇ αὐτῶν φύσει ἀφαιρεθείσης. Οὐ διατοῦτο μέντοι ἀναιρεῖται μὴ εἶναι τὴν τοῦ εἶναι ἀνάγκην αὐτοῖς παρὰ Θεοῦ, ἐπεὶ καὶ ἀναγκαῖον ἓν δύναται ἑτέρου αἰτία εἶναι, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά. Αὐτῆς γὰρ τῆς κτιστῆς φύσεως, ᾗ προσήκει ἡ ἀιδιότης, αἰτία ἐστὶν ὁ Θεός. Ἐν ἐκείνοις τε, ἐν οἷς ἔστι δύναμις πρὸς τὸ αὐτῶν εἶναι, ἡ μὲν ὕλη μένει· τὰ εἴδη δέ, ὥσπερ ἐκ τοῦ τῆς ὕλης δυνάμει προΐασιν εἰς τὸ ἐνεργείᾳ ἐν τῇ τῶν ὄντων γενέσει, οὕτως ἐν τῇ φθορᾷ ἐκ τοῦ ἐνεργείᾳ εἰς τὸ εἶναι δυνάμει. Ὅθεν λείπεται ἐν ὅλῃ τῇ κτιστῇ φύσει μὴ εἶναι ἄλλην δύναμιν, δι᾽ ἧς δύναιτο ἀναλύειν εἰς τὸ μὴ ὄν. Εἰ δ᾽ ἀναδράμωμεν πρὸς τὴν τοῦ ποιοῦντος Θεοῦ δύναμιν, οὕτως ἐπιστητέον ἐστίν, ὅτι διχῇ λέγεταί τι εἶναι ἀδύνατον τῷ Θεῷ. Ἑνὶ μὲν τρόπῳ, ὅ ἐστι καθ᾽ αὐτὸ ἀδύνατον, ὃ μὴ πέφυκε δυνάμει τινὶ ὑποκεῖσθαι· ὥσπέρ ἐστι τὰ ἀντίφασιν εἰσάγοντα. Ἑτέρῳ τρόπῳ, καθό ἐστιν ἀνάγκη πρὸς τὸ ἀντικείμενον· ὅπερ διχῇ συμβαίνει τῷ ποιοῦντι. Ἑνὶ μὲν τρόπῳ ἐκ τοῦ μέρους τῆς κατὰ φύσιν ποιητικῆς δυνάμεως, ἣ ὁρίζεται πρὸς ἓν μόνον· ὥσπερ ἡ τοῦ θερμοῦ δύναμις πρὸς μόνον τὸ θερμαίνειν· καὶ ταύτῃ ὁ Θεὸς καὶ Πατὴρ ἐξ ἀνάγκης γεννᾷ τὸν Υἱὸν καὶ οὐ δύναται μὴ γεννᾶν. Ἑτέρῳ τρόπῳ ἐκ τοῦ μέρους τοῦ ἐσχάτου τέλους, εἰς ὃ ὁτιοῦν ἐξανάγκης τείνει· ὥσπερ ὁ ἄνθρωπος ἐξ ἀνάγκης θέλει τὴν μακαριότητα, καὶ ἀδύνατόν ἐστιν αὐτὸν θέλειν τὴν ἀθλιότητα, ὡς δὲ καὶ ὁ Θεὸς ἐξ ἀνάγκης θέλει τὴν αὐτοῦ ἀγαθότητα καὶ ἀδύνατόν ἐστι θέλειν ἐκεῖνα, ὧν ἐκτὸς ἡ αὐτοῦ ἀγαθότης εἶναι οὐ δύναται· ᾗ δή φαμεν ἀδύνατον εἶναι τὸν Θεὸν ψεύσασθαι ἢ βούλεσθαι ψεύσασθαι. Τὰ κτίσματα δὲ ἁπλῶς μὴ εἶναι οὐκ ἔστι καθ᾽ αὐτὸ ἀδύνατον, ὡσὰν ἀντίφασιν παρενεῖρον. Ἄλλως γὰρ ἐξ

P 116v

**160-161** ἀναγκαῖον – φυσικά] Ar., Metaph. V, 1015b.9-11: τῶν μὲν δὴ ἕτερον αἴτιον τοῦ ἀναγκαῖα εἶναι, τῶν δὲ οὐδέν, ἀλλὰ διὰ ταῦτα ἕτερά ἐστιν ἐξ ἀνάγκης.

**158-159** τῆς – εἶναι] om. et al. man. add. in marg. sin M **154** ὅλη] ὅλην M (tota Aq.) **160** αἰτία] deest P (causa Aq.) **161** δευτέρῳ] V Aq. **161-162** ᾗ – δύναμις] om. et al. man. add. in marg. sin M **173** τὸ] τοῦ M **176** δὲ] bis acc. P **180** ὡσὰν] bis acc. P

ἀιδίου εἶεν ἄν. Καὶ τοῦτ’ ἐστὶ διατοῦτο. Οὐ γάρ εἰσι τὸ αὐτῶν εἶναι, ὡς ταύτῃ τῆς κτίσεως λεγομένης μὴ εἶναι ἀντίφασιν τῆς κατηγορίας ἐμπεριέχεσθαι ἐν τῇ ἀποφάσει· οἷον, εἰ λέγοιτο, ὁ ἄνθρωπος οὐκ ἔστι λογικὸν ζῷον· τὰ γὰρ τοιαῦτα ἀντίφασιν εἰσάγει καί εἰσιν ἀδύνατα καθ’ αὐτά. Ὁμοίως τοίνυν οὐδὲ ὁ Θεὸς προάγει τὰ κτίσματα ἀνάγκῃ φύσεως, ὡς ταύτῃ τὴν τοῦ Θεοῦ δύναμιν ὁρίζεσθαι πρὸς τὸ εἶναι τῶν ὄντων, ὡς ἐν ἑτέρᾳ ζητήσει δεδοκίμασται. Ὁμοίως P 117r τε ἡ | τοῦ Θεοῦ ἀγαθότης οὐχ οὕτως ἤρτηται τῶν δημιουργημάτων ὡς ἄνευ αὐτῶν εἶναι μὴ δύνασθαι· διὰ γὰρ τῶν δημιουργημάτων, οὐδὲν τῇ θείᾳ ἀγαθότητι προσγίνεται. Λείπεται τοίνυν μὴ εἶναι ἀδύνατον τὸν Θεὸν τὰ ὄντα εἰς τὸ μὴ ὂν παραπέμπειν, μὴ ὄντος ἀναγκαίου τοῦ τὸ εἶναι τούτοις παρέχεσθαι, εἰ μὴ ἐξ ὑποθέσεως τῆς αὐτοῦ διατάξεως καὶ προγνώσεως, ὅτι οὕτως ἔταξε καὶ προέγνω, ὥστε τὰ ὄντα εἰς τὸ εἶναι ἀιδίως ἀνέχειν.

[5.3.20] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, εἰ ὁ Θεὸς τὰ ὄντα εἰς τὸ μὴ ὂν παραπέμψειεν, οὐκ ἂν εἴη αἰτία τοῦ τείνειν εἰς τὸ μὴ ὄν. Τοῦτο γὰρ οὐκ ἂν συνέβαινεν διὰ τὸ εἶναι αὐτὸν αἰτίαν τοῦ μὴ εἶναι αὐτοῖς, ἀλλὰ διὰ τὸ παύσασθαι χορηγοῦντα αὐτοῖς τὸ εἶναι.

[5.3.21] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὰ φθαρτὰ πράγματα παύονται εἶναι διὰ τὸ τὴν αὐτῶν ὕλην ἕτερον εἶδος μεταλαμβάνειν, τοῦ προτέρου ἐναντίου εἴδους ἀτρεμεῖν μὴ δυναμένου τῇ παρουσίᾳ τοῦ ἐπιόντος. Καὶ διατοῦτο πρὸς τὴν αὐτῶν φθορὰν ζητεῖται ἐνέργειά τινος ποιοῦντος, δι’ ἧς καινὸν εἶδος προαχθείη ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Ἀλλ’ εἰ ὁ Θεὸς εἰς τὸ μὴ ὂν τὰ ὄντα ἀνέτρεπεν, οὐκ ἂν ἦν ἐκεῖ ἀναγκαία ἐνέργειά τις, ἀλλὰ μόνον μεθίετο τῆς ἐνεργείας, ᾗ τοῖς οὖσι τὸ εἶναι διεδίδου· καθάπερ τῇ ἀποχωρήσει τῆς φωτιζούσης ἐνεργείας ὁ ἥλιος αἰτία γίνεται τῆς στερήσεως τοῦ φωτὸς ἐν τῷ ἀέρι.

[5.3.22] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος προΐοι ἄν, εἰ ὁ Θεὸς ἐνεργῶν τὰ ὄντα ἐξαπώλυσιν· ὅπερ οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ἀπὸ τῆς ἐνεργείας ἀφιστάμενος, ὡς εἴρηται.

[5.3.23] Πρὸς τὸ τέταρτον ῥητέον· ἔνθα μὴ ἔστιν ἐνέργεια, οὐκ ἔστιν ἀνάγκη πέρας ζητεῖν. Ἀλλ’ ἐπεὶ καὶ αὐτὸ τὸ ὑποχωρεῖν ἐξ ἐνεργείας οὐ δύναται εἶναι ἐν τῷ Θεῷ εἰ μὴ διὰ τῆς ἀγαθότητος, ἥτις οὐκ ἔστιν εἰ μὴ τέλος, δύναται ἐν

**192** ἀνέχειν] ἔχειν M (teneret Aq.) **206** ἐξαπόλλυσιν] ἐξαπώλυσιν P

αὐτῇ τῇ τῶν ὄντων ἐξουδενώσει τέλος εὑρίσκεσθαι, ἵν’, ὥσπερ ἐν τῇ προόδῳ τέλος ἐστὶν ἡ ἔνδειξις ὅλης τῆς τοῦ Θεοῦ ἀγαθότητος, οὕτως ἐν τῇ τῶν ὄντων πρὸς τὸ μηδὲν ὑποστροφῇ τέλος εἶναι δύναιτο ἡ αὐτάρκεια τῆς αὐτοῦ ἀγαθότητος, ἣ ἐς τοσοῦτον ἐστὶν ἑαυτῇ ἀποχρῶσα, ὡς μηδενὸς ἔξωθεν δεῖσθαι.

[5.3.24] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ ἀποτέλεσμα ἕπεται τῇ αἰτίᾳ κατὰ τὸν τῆς αἰτίας τρόπον· ὅθεν καὶ τὰ ἀποτελέσματα τὰ τῆς θελήσεως ἐχόμενα τότε ἐκ θελήσεως προΐασιν, ἡνίκα ἡ θέλησις ὡρίσατο εἶναι προενεκτέα. Οὐκ ἀνάγκη δὲ εἶναι, ἡνίκα ἡ θέλησις ἐστί. Διά τοι τοῦτο, κἀπειδὴ τὰ δημιουργηθέντα ὁρμῶσιν ἐκ τοῦ Θεοῦ διὰ τῆς αὐτοῦ θελήσεως, τηνικαῦτα τὸ εἶναι ἔχουσιν, ἡνίκα ὁ Θεὸς βούλεται αὐτὰ εἶναι, οὐκ ἐξανάγκης, πηνίκά ποτε ἡ τοῦ Θεοῦ θέλησις ἐστίν· ἐπεὶ ἐξ ἀιδίου εἴη ἄν.

[5.3.25] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐν τῇ τοῦ Θεοῦ ἐνεργείᾳ ᾗ τὰ ὄντα παράγει, δύο ἔστι νοεῖν· εἴτουν αὐτὸ τὸ περιὸν τῆς ἐνεργείας καὶ τὴν πρὸς τὸ ἀποτέλεσμα τάξιν αὐτῆς. Καὶ τὸ μὲν τῆς ἐνεργείας χρῆμα, ἐπεί ἐστιν αὐτὴ ἡ θεία οὐσία, ἐστὶν αἰώνιον, οὐδὲ δύναται μὴ εἶναι. Ἡ δὲ πρὸς τὸ ἀποτέλεσμα τάξις αὐτῆς ἤρτηται τῆς θείας θελήσεως· ἐξ ἡστινοσδηποτοῦν γὰρ ἐνεργείας τοῦ ποιοῦντος οὐχ ἕπεται ἀποτέλεσμα, εἰ μὴ καθὸ ἀπαιτεῖ ἡ ποιητικὴ ἀρχή· κατὰ γὰρ τὸν τῆς θερμότητος τρόπον τὸ πῦρ θερμαΐνει. Ὅθεν, ἐπειδὴ τῶν ὑπὸ τοῦ Θεοῦ γινομένων ἐστὶν ἡ θέλησις ἀρχή, κατατοῦτο ἡ θεία ἐνέργεια ἐστὶν ἐν τάξει πρὸς τὸ ἀποτέλεσμα, καθὸ ἡ θέλησις ὁρίζει. Διατοῦτο καί, εἰ ἡ τοῦ Θεοῦ ἐνέργεια σχολὴν ἄγειν οὐ δύναται κατὰ τὸ περιὸν αὐτῆς, ἡ τάξις μέντοι πρὸς τὸ ἀποτέλεσμα ἠρεμεῖν δύναται, εἰ ὁ Θεὸς θέλει.

[5.3.26] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι κοινὴ ἔννοια λέγεται ἐκείνη, ἧς τὸ ἀντικείμενον ἀντίφασιν περιέχει· ὥσπερ πᾶν τὸ ὅλον εἶναι μεῖζον τοῦ ἑαυτοῦ μέρους· τὸ γὰρ μὴ εἶναι μεῖζον τοῦ μέρους ἐστὶ παρὰ τὸν λόγον τοῦ ὅλου. Εἰ δὲ τὴν λογικὴν ψυχὴν εἰς τὸ μὴ ὄν διασκεδάννυσι, τοῦτο οὐκ ἄν εἴη κατά τινα δύναμιν πρὸς τὸ μὴ εἶναι οὖσαν ἐν τῇ φύσει τῆς λογικῆς ψυχῆς, ὡς εἴρηται.

**227** ἥστινος] ἥστινος P **236** Hic post ὅλου Aq. habet: Sic autem animam rationalem non esse, non est communis animi conceptio, ut ex dictis patet; sed naturam animae rationalis non esse corruptibilem, haec est communis animi conceptio.

[5.3.27] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐκεῖνο, οὗ ἐν τῇ φύσει ἔστι δύναμις πρὸς τὸ μὴ εἶναι, οὐ λαμβάνει ἀνάγκην τοῦ εἶναι ἀπ' ἄλλου, οὕτως ὥστε προσήκειν αὐτῷ κατὰ τὴν φύσιν· τοῦτο γὰρ ἀντίφασιν εἰσενέγκαι, δηλαδὴ τὴν φύσιν μὴ δύνασθαι μὴ εἶναι, καὶ ὅτι ἔχει ἀνάγκην τοῦ εἶναι, ἀλλ' ὅτι ἔχει ἀφθαρσίαν ἐκ χάριτος ἢ δόξης, τοῦτο οὐκ ἀπαγορεύεται. Ὥσπερ τὸ τοῦ Ἀδὰμ σῶμα γέγονέ τινι τρόπῳ ἄφθαρτον διὰ τῆς κατὰ τὸ ἀνεύθυνον χάριτος, καὶ τῶν ἀνισταμένων τὰ σώματα ἔσονται ἄφθαρτα διὰ δόξης καὶ δυνάμεως ἐκ τῆς ἰδίας ἀρχῆς αὐτοῖς ἐμφυομένης. Οὐ μέντοι ἀπαγορεύεται μὴ αὐτὴν τὴν φύσιν, ἐν ᾗ ἔστιν ἡ πρὸς τὸ μὴ εἶναι δύναμις, ἔχειν ἀνάγκην εἰς τὸ εἶναι παρ' ἄλλου· ἐφόσον πᾶν ὅτιπερ τελειότητα ἔχει, ἔστιν αὐτῷ παρ' ἄλλου· ὅθεν παυομένης τῆς αὐτοῦ ἐνεργείας οἰχήσεται, οὐ διὰ τὴν πρὸς τὸ μὴ εἶναι δύναμιν τὴν ἀποῦσαν αὐτῷ, ἀλλὰ τὴν ἐν τῷ Θεῷ δύναμιν τοῦ μὴ διδόναι τὸ εἶναι.

[5.3.28] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἐν τοῖς κατὰ φύσιν ἀφθάρτοις οὐ προεπινοεῖται δύναμις πρὸς τὸ μὴ εἶναι, ἣ ἐξήκοι ἂν διά τινος ληφθέντος παρὰ τοῦ Θεοῦ· ᾗ δὴ ἡ ἔνστασις, προὐχώρει· καὶ τοῦτο ἐκ τῶν εἰρημένων φαίνεται. Ἀλλ' ἐν τοῖς ἀφθάρτοις διὰ χάριτος, ὕπεστι δύναμις πρὸς τὸ μὴ εἶναι ἐν αὐτῇ τῇ φύσει· ἡ μέντοιγε ἐκ περιουσίας ἐξωθεῖται διὰ τῆς χάριτος, ἐκ τῆς τοῦ Θεοῦ δυνάμεως.

[5.3.29] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ὁ Θεὸς τὰ ἄφθαρτα κτίσματα διαπράξαιτο ἂν καθυφεὶς τῆς αὐτῶν συντηρήσεως, οὐ δια τοῦτο μέντοι τὴν
P 118r | ἀιδιότητα περιέλοι ἀπὸ τῆς φύσεως, ὡς ἂν μεῖναι τὴν φύσιν μὴ ἀίδιον, ἀλλ' ὅλη ἡ φύσις οἰχήσεται τῆς ἐπιρροῆς, παυσαμένης τῆς αἰτίας.

[5.3.30] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὸ φθαρτὸν κατὰ τὴν φύσιν οὐ δύναται μεταβάλλειν ὡς γίνεσθαι κατὰ τὴν φύσιν ἄφθαρτον, οὐδὲ τὸ ἀνάπαλιν, εἰ καὶ τὸ κατὰ τὴν φύσιν φθαρτὸν δύναται τῆς δόξης ἐπιγινομένης ἀίδιον γίνεσθαι. Οὐ διατοῦτο μέντοι δεῖ τιθέναι τινὰ φθαρτὰ γίνεσθαι κατὰ φύσιν ἄφθαρτα, εἰ μὴ παύοιντο μὴ παυομένης τῆς αἰτίας.

**253** ἐξήκοι] ¨ super ἐξήκοι et ¨ φθαρείη add. in marg. sin. P (tollatur Aq.) **259** διαπράξαιτο] ¨ super διαπράξαιτο et ¨ ἀφανίσειεν add. in marg. sin. P (redigeret Aq.) | καθυφεὶς] καθαφεὶς M (cessando Aq.) **263** γίνεσθαι] γενέσθαι P (fiat Aq.) **266** τῆς] deest M

[5.3.31] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, εἰ καὶ τὰ ἄφθαρτα κτίσματα τῆς τοῦ Θεοῦ θελήσεως ἤρτηνται, ᾗ δύναται τὸ εἶναι αὐτοῖς παρέχεσθαι καὶ μὴ παρέχεσθαι, μεταλαμβάνουσιν ὅμως ἐκ τῆς θείας θελήσεως ἀπολελυμένην ἀνάγκην τοῦ εἶναι, ἐφόσον ἐν τοιαύτῃ φύσει δημιουργοῦνται, ἐν ᾗ οὐκ ἔστι δύναμις πρὸς τὸ μὴ εἶναι· τοιαῦτα γάρ εἰσι πάντα τὰ κτιζόμενα, οἷα ὁ Θεὸς εἶναι αὐτὰ ἠθέλησεν, ὡς ὁ Ἱλάριός φησιν ἐν τῷ Περὶ Συνόδων βιβλίῳ.

[5.3.32] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ Θεός, εἰ καὶ δύναιτο τὰ κτιστὰ ἐξαπολλύναι, οὐ δύναται ὅμως ποιῆσαι τούτων μενόντων μὴ αὐτῶν εἶναι αἰτία· ἔστι δὲ αὐτῶν αἰτία καὶ ὡς ποιῶν καὶ ὡς τέλος. Ὥσπερ τοίνυν ὁ Θεὸς οὐ δύναται ποιεῖν τὴν οὖσαν κτίσιν μὴ εἶναι ἀπ' αὐτοῦ, οὕτως οὐ δύναται ποεῖν μὴ πρὸς τὴν αὐτοῦ τετάχθαι ἀγαθότητα. Ὅθεν, ἐπεὶ τὸ τῆς ἁμαρτίας κακὸν διαφθείρει τὴν εἰς αὐτὸν τάξιν ὡς εἰς τέλος, ὅτι ἔστιν ἀποστροφὴ ἀπὸ τοῦ ἀμεθέκτου ἀγαθοῦ, οὐ δύναται ὁ Θεὸς εἶναι αἰτία τοῦ κακοῦ τῆς ἁμαρτίας, εἰ καὶ δύναιτο εἶναι αἰτία τῆς εἰς τὸ μὴ ὂν ἀναλύσεως, ἀποστὰς τῆς τῶν ὄντων συνοχῆς.

[5.3.33] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος διαλέγεται περὶ τοῦ τῆς ἁμαρτίας κακοῦ. Ἀλλ' εἰ καὶ διαλέγοιτο περὶ τοῦ τῆς τιμωρίας κακοῦ, ἡ τῶν ὄντων ὅμως εἰς τὸ μὴ ὂν ἀνάλυσις οὐκ ἔστι κακόν· πᾶν γὰρ κακόν, ὥσπερ ὑποβάθραν ἔχει τὸ ἀγαθόν, στέρησις ὄν, ὡς ὁ Αὐγουστῖνος φησίν. Ὅθεν, ὥσπερ πρὸ τῆς δημιουργίας οὐκ ἦν κακόν, οὕτως οὐδὲ κακὸν ἔσται, εἰ πάντα ὁ Θεὸς εἰς τὸ μὴ ὂν τρέψειε.

[5.3.34] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι οὐδεμία δύναμις κτίσματος ἐστί, δυναμένη ἐκ τοῦ μηδενός τι ποιῆσαι ἢ πρὸς τὸ μὴ ὂν ἀντικόπτειν. Ὅτι δὲ τὰ ὄντα εἰς τὸ μηδὲν ὑποχωρήσει τῆς θείας συντηρήσεως παυσαμένης, τοῦτο οὐκ ἔστι κατά τινα τῆς κτίσεως ἐνέργειαν, ἀλλ' ἀσθένειαν ταύτης, ὡς ἐκ τῶν προειρημένων φαίνεται.

**271-272** τοιαῦτα – βιβλίῳ] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Omnibus creaturis substantiam voluntas Dei attulit. **284-286** πᾶν – φησίν] cf. Aug., Enchir., cap. 11 (PL 40, col. 236): Quid est autem aliud quod malum dicitur, nisi privatio boni?

## Κεφάλαιον τέταρτον

## Πότερον δημιούργημά τι ἐστὶν οἷον ἀναλύειν εἰς τὸ μὴ ὂν ἢ καὶ ἀναλυθήσεται.

[5.4.1] Τέταρτον ζητεῖται, πότερον δημιούργημά τι ἔστιν οἷον ἀναλύειν εἰς τὸ μὴ ὄν, ἢ καὶ ἀναλυθήσεται. Καὶ δοκεῖ ταύτῃ. Ὥσπερ γὰρ ἡ πεπερασμένη P 118v δύναμις οὐ δύναται κινεῖν ἐν ἀπείρῳ χρόνῳ, οὕτως οὐδὲ διὰ | πεπερασμένης δυνάμεως δύναταί τι εἶναι ἐν ἀπείρῳ χρόνῳ. Ἀλλὰ πᾶσα δύναμις σώματός ἐστι πεπερασμένη, ὡς ἀποδείκνυται ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν. Ἄρα ἐν οὐδενὶ σώματι δύναται εἶναι δύναμις, ὡς δύνασθαι διαμένειν ἐν ἀπείρῳ χρόνῳ. Ἔνια δὲ σώματά εἰσι μὴ δυνάμενα φθείρεσθαι διὰ τὸ μὴ ἔχειν ἐναντίον, ὥσπερ τὰ οὐράνια σώματα. Ἄρ' ἀναγκαῖόν ἐστιν εἰς τὸ μὴ ὂν χωρῆσαι ποτέ.

[5.4.2] Ἔτι, τὸ ὄν, πρὸς τὸ τυχεῖν τέλους τινός, ληφθέντος τοῦ τέλους περαιτέρω οὐκ ἐν χρείᾳ καθίσταται· ὥσπερ φαίνεται περὶ τῆς νεώς, ἣ ἀναγκαῖα τυγχάνει οὖσα τοῦ περαιοῦσθαι τὴν θάλατταν, οὐκ ἤδη καὶ διαβληθείσης τῆς θαλάττης. Ἀλλ' ἡ αἰσθητὴ κτίσις ἔστι διὰ τὴν νοητὴν κτίσιν, δι' ἧς αὕτη πειρᾶται τοῦ ἐσχάτου τέλους τυχεῖν. Ἡνίκα τοίνυν ἡ νοητὴ κτίσις ἔσται ἐν τῷ αὑτῆς ἐσχάτῳ τέλει ἱδρυσαμένη, τῆς σωματικῆς περαιτέρω οὐκ ἐν χρείᾳ καθεστήξει. Ἐπεὶ τοίνυν οὐδὲν περιττὸν ἐν τοῖς τοῦ Θεοῦ ἔργοις, δοκεῖ τῷ ἐσχάτῳ τῶν ὄντων τέλει πᾶσαν τὴν αἰσθητὴν κτίσιν οἴχεσθαι ἄν.

[5.4.3] Ἔτι, οὐδὲν κατὰ συμβεβηκὸς ἔστιν ἐπ' ἄπειρον. Ἀλλὰ τὸ εἶναι ἔστιν, ᾑτινιοῦν δημιουργίᾳ κατὰ συμβεβηκός, ὡς ὁ Ἀβίκενός φησιν· ὅθεν καὶ ὁ Ἱλάριος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ τὸν Θεὸν τῆς κτίσεως διαστέλλων φησί· τὸ εἶναι οὐκ ἔστι συμβεβηκὸς τῷ Θεῷ. Ἄρα οὐδεμία δημιουργία, εἰς ἄπειρον διαμενεῖ. Καὶ ταύτῃ πάντα τὰ δημιουργήματα εἰς τὸ μὴ ὂν οἰχήσεται ποτέ.

[5.4.4] Ἔτι, τὸ πέρας δεῖ ἀναλογεῖν τῇ ἀρχῇ. Ἀλλὰ τὰ κτίσματα τὴν ἀρχὴν ὑπέστησαν οὐδενὸς ὄντος παρὰ τὸν Θεόν. Ἄρα πρὸς τοῦτο καταστρέψουσι τὰ ὄντα ἐν τῷ τέλει, ὥστ' εἶναι μηδέν.

**6-7** Ἀλλὰ – Φυσικῶν] Ar., Phys. VIII, 266a.24-25: φανερόν· ὅτι δ' ὅλως οὐκ ἐνδέχεται ἐν πεπερασμένῳ μεγέθει ἄπειρον εἶναι δύναμιν. **19-20** τὸ – φησίν] Avic., Metaph. VIII, cap. 4. **20-21** ὁ – φησί] Hilar., De Trin. VII.

**15** διαβληθείσης] ¨ super διαβληθείσης et ¨ περαιωθείσης add. in marg. sin. P **19** ἄν] bis acc. P

**[5.4.5] Ἔτι, τὸ μὴ ἔχον δύναμιν εἶναι ἀεί, οὐ δύναται εἰς τὸ ἀίδιον διαρκεῖν. Ἀλλ’ ὃ μὴ ἀεὶ ἦν, οὐκ ἔχει δύναμιν εἶναι ἀεί. Ἄρ’ ὃ μὴ ἀεὶ ἦν, οὐ δύναται ἀεὶ διαμένειν. Ἀλλὰ τὰ κτίσματα οὐκ ἀεὶ ἦν. Οὐ δύναται ἄρα εἰς τὸ ἀεὶ διαρκεῖν. Ὡδὶ δὲ ἐνίοτε εἰς τὸ μὴ ὂν σκεδάσονται.**

**[5.4.6] Ἔτι, ἡ δικαιοσύνη τοῦτο ζητεῖ, ὡς δι’ ἀχαριστίαν στέρεσθαί τινα τῆς παρασχεθείσης εὐεργεσίας. Ἀλλὰ διὰ τῆς πρὸς θάνατον ἁμαρτίας ὁ ἄνθρωπος ἀχάριστος εἰς Θεὸν γίνεται. Τοῦτο τοίνυν ἀπαιτεῖ ἡ δικαιοσύνη, ὡς ψιλωθῆναι πασῶν τῶν τοῦ Θεοῦ εὐποιιῶν, ἐν οἷς ἐστι καὶ αὐτὸ τὸ εἶναι. Ἡ δὲ τοῦ Θεοῦ δίκη περὶ τοὺς ἁμαρτάνοντας ἔσται ἀδέκαστος, κατὰ τὸν Ἀπόστολον ἐν τῷ δευτέρῳ τῆς Πρὸς Ῥωμαίους. Εἰς τὸ μὴ ὂν ἄρα ἐλλάσουσι.**

**[5.4.7] Ἔτι, πρὸς τοῦτο τείνει καὶ τὸ εἰρημένον τῷ Ἱερεμίᾳ ἐν τῷ δεκάτῳ·** P 119r παίδευσόν **με** Κύριε, πλὴν ἐν κρίσει καὶ οὐκ ἐν θυμῷ, ἵνα μὴ **εἰς τὸ μὴ ὂν** | **καταγάγῃς με.**

**[5.4.8] Ἀλλὰ γὰρ ἐρεῖ τις, ὅτι ὁ Θεὸς μέτεισι τοὺς ἁμαρτάνοντας ἧττον τῆς ἀξίας διὰ τὸν ἔλεον, ὃς ἐν τῇ τοῦ Θεοῦ κρίσει τῇ δικαιοσύνῃ κίρναται· καὶ οὕτως ὁ Θεὸς οὐ παντάπασι τοὺς ἁμαρτωλοὺς τῆς κοινωνίας τῶν αὐτοῦ εὐεργεσιῶν ἀποκλείει. Ἀλλὰ τοὐναντίον, ἐκ τούτου οὐκ ἔλεος παρέχεται τῷ ἀνθρώπῳ, ὅτι δίδοταί οἵ τι, ὃ κρεῖττον ἦν αὐτῷ μὴ ἔχειν. Ἀλλὰ τοῖς ὑπευθύνοις κρεῖττον ἦν ἐν ᾅδου μὴ εἶναι, ἢ εἶναι· ὃ φαίνεται ἐν τοῖς εἰρημένοις ἐν τῷ κατὰ Ματθαῖον ἐν τῷ εἰκοστῷ ἕκτῳ περὶ Ἰούδα· κρεῖσσον** ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. **Οὐκ ἄρα τείνει εἰς τὸν τοῦ Θεοῦ ἔλεον τοὺς ὑπευθύνους συντηρεῖν εἰς τὸ εἶναι.**

**[5.4.9] Χωρὶς δὲ τούτων, ἃ μὴ ἔχει ὕλην, μέρος ἑαυτῶν φθείρονται πάντῃ· εἴτουν καθ’ ὁλοκληρίαν, ὡς λέγεται ἐν τῷ τρίτῳ τῶν Μετὰ τὰ φυσικά· ὥσπερ εἰσὶ τὰ συμβεβηκότα. Ταῦτα δὲ θαμᾶ εἶναι παύονται. Ἄρα ἔνια εἰς τὸ μηδὲν χωρήσει.**

**[5.4.10] Ἔτι, ὁ Φιλόσοφος ἐν τῷ ἕκτῳ τῆς Φυσικῆς ἐπιχειρεῖ ὅτι, εἰ τὸ συνεχές ἐστιν ἐξ ἀτόμων, ἀνάγκη καὶ εἰς τὰ ἄτομα διαλύεσθαι. Ἀφ’ οὗ δύναται νοεῖσθαι**

**34-36** Ἡ – Ῥωμαίους] cf. Rom. 2, 2: οἴδαμεν δὲ ὅτι τὸ κρῖμα τοῦ Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. **38-39** τὸ – με] Ier. 10, 24: παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς. **45-47** ἐν – ἐκεῖνος] Mt. 26, 24: καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. **49-51** ἃ – συμβεβηκότα] Ar., Metaph. III, 1019a.7-14 τὰ μὲν – τοῦ ὅλου. **54-55** ὁ – διαλύεσθαι] cf. Ar., Phys. VI, 231b.18-20: τοῦ δ' αὐτοῦ λόγου μέγεθος καὶ χρόνον καὶ κίνησιν ἐξ ἀδιαιρέτων συγκεῖσθαι καὶ διαιρεῖσθαι εἰς ἀδιαίρετα, ἢ μηθέν

**33** εἰς – γίνεται] est inventus Aq. **36** ἐλλάσουσι] ἐλῶσιν P (redigentur Aq.) **41** τῇ] τῇ καὶ M | κίρναται] κίννυται P, κίρνανται M (admiscetur A) **44** οἱ] sic M; οι P; sibi A **50** ἤτουν] εἴτουν P (idest Aq.)

**ὅτι ἕκαστον ἀναλύεται εἰς τὰ ἐξ ὧν ἐστιν. Ἀλλὰ τὰ κτιστὰ πάντα ἐστὶν ἐκ τοῦ μηδενός. Εἰς τὸ μὴ ὂν ἄρα ὀψὲ καὶ ὅτε τύχοι ὑπονοστήσει.**

**[5.4.11] Παρὰ ταῦτα, ἐν τῷ τρίτῳ τῆς Πέτρου δευτέρας λέγεται τοὺς** οὐρανοὺς ῥιζηδὸν παρελεύσ**εσθαι. Ἀλλ’ οὐ δύνανται μεταβῆναι διὰ φθορᾶς εἰς ἄλλό τι σῶμα, ἐφόσον μὴ ἔχουσιν ἐναντίον. Μεταχωρήσουσι τοίνυν εἰς τὸ μὴ ὄν.**

**[5.4.12] Καὶ πρὸς τούτοις τῶν λεγομένων προηγορεῖ καὶ τὰ ἐν τοῖς Ψαλμοῖς·** ἔργα τῶν χειρῶν σου, εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· **καὶ ἐν τῷ τοῦ Λουκᾶ εἰκοστῷ πρώτῳ λέγεται·** ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. **Ἀλλ’ ἀντίξοόν ἐστι τὸ λεγόμενον ἐν τῷ τοῦ Ἐκκλησιαστοῦ πρώτῳ·** ἡ γῆ δὲ εἰς τὸν αἰῶνα μένει. **Ἔτι, ἐν τῷ αὐτῷ τρίτῳ λέγεται·** ἔγνων ὅτι πάντα τὰ ἔργα ὅσα ἐποίησεν ὁ Θεός, διαμένει εἰς τὸν αἰῶνα. **Τὰ ὄντα ἄρα εἰς τὸ μὴ ὂν οὐ καταδύσεται.**

**[5.4.13] Ἀπόκρισις. Ῥητέον, ὅτι τὸ κεφάλαιον τῶν δημιουργημάτων οὐδέποτε εἰς τὸ μὴ ὂν ἀναλύσει. Καὶ εἰ τὰ φθαρτὰ κτίσματα οὐκ ἀεὶ ἦν, εἰς τὸ διηνεκὲς ὅμως κατὰ τὴν αὐτῶν οὐσίαν διαμενοῦσιν, εἰ καὶ παρά του ὑπείληπται πάντα τὰ αἰσθητὰ κτίσματα ἐν τῇ τελευταίᾳ τῶν ὄντων συμπερατώσει οἰχήσεσθαι εἰς τὸ μὴ ὄν. Ὅπερ Ὠριγένης παρά τινος ἐπιγράφεται, ὃς εἰρηκέναι τοῦτο οὐ δοκεῖ, εἰ μὴ ὡς ἄλλων δόξαν ἀπαγγέλλων. Τούτου δὲ τὸν λόγον ἐκ δυοῖν λαβεῖν δυνάμεθα. Πρῶτον μὲν ἐκ τῆς θείας θελήσεως, ἀφ’ ἧς τὸ τῶν κτισμάτων εἶναι ἤρτηται. Ἡ γὰρ τοῦ Θεοῦ θέλησις, εἰ καὶ ἁπλῶς θεωρουμένη πρὸς τὰ ἀντικείμενα ἐν τοῖς κτιστοῖς ἔχει, διὰ τὸ μὴ μᾶλλον πρὸς ἓν | ἢ πρὸς**
P 119v **ἄλλο δεδέσθαι, ἐξ ὑποθέσεως μέντοι γε γενομένης ἔχει τινὰ ἀνάγκην. Ὥσπερ γάρ τι ἐν τοῖς κτιστοῖς πρὸς τὰ ἀντικείμενα ἔχον ἀναγκαῖον εἶναι πιστεύεται γενομένης ὑποθέσεως, ὡς τὸν Σωκράτην δυνατόν ἐστι καθῆσθαι καὶ μὴ καθῆσθαι, ἀναγκαῖον μέντοι ἐστὶν αὐτὸν καθῆσθαι, ὅταν κάθηται, οὕτω καὶ τὴν θείαν βούλησιν, ἣ ἀφ’ ἑαυτῆς δύναται θέλειν τι καὶ τὸ ἀντικείμενον, οἷον**

**57-58** ἐν – παρελεύσεσθαι] II Petr. 3, 10: Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. **61-62** ἐν – διαμένεις] Ps. 101, 26-27: … ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· (27) αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις … **62** ἐν – παρελεύσονται] Lc. 21, 33: ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. **64-65** ἐν – μένει] Eccl. 1, 4: γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε. **65-66** ἐν – αἰῶνα] Eccl. 3, 14: ἔγνων ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα.

**61** προηγορεῖ] ¨ super προηγορεῖ et ¨ ὑπεραπολογεῖται in marg. dex. P | Ψαλμοῖς] deest P

τὸν Πέτρον σῴζειν καὶ μή, οὐ δυνατὸν θέλειν μὴ σῴζειν, ὅταν θέλῃ σῴζειν, καὶ ἐπεὶ ἡ αὐτοῦ θέλησις ἀμετάβλητός ἐστιν, εἰ τίθοιντό ποτε αὐτὸν θέλειν τι, ἀναγκαῖόν ἐστιν ἐξ ὑποθέσεως τοῦτο θέλειν ἀεί, εἰ καὶ μὴ ἀναγκαῖον ἐστὶ θέλειν, ἵν᾽ ᾖ ἀεί, ὅπερ θέλει εἶναι ποτέ. Ὁ δὲ θέλων τι δι᾽ αὐτὸ εἶναι ἀεί, διὰ τὸ δι᾽ αὐτὸ θέλει αὐτό. Ὃ γὰρ θέλει τίς ποτε εἶναι κἄπειτα μὴ εἶναι, βούλεται εἶναι πρὸς τὸ ἀνύσαι ἄλλο· οὗ ἀνυσθέντος οὐ δεῖται ἐκείνου, ὃ διὰ τὴν τούτου ἐξεργασίαν ἐβούλετο. Ὁ Θεὸς δὲ τὸ σύμπαν τῶν δημιουργημάτων θέλει δι᾽ αὐτό, εἰ καὶ δι᾽ ἑαυτὸν αὐτὸ θέλει εἶναι· ταῦτα γὰρ τὰ δύο οὐ διαμάχεται. Θέλει γὰρ ὁ Θεὸς τὰ ὄντα εἶναι διὰ τὴν ἑαυτοῦ ἀγαθότητα, ἵνα ταύτην δηλαδὴ τῶν σφῶν αὐτῶν τρόπῳ μιμοῖντο καὶ παριστῶσιν· ὃ καὶ ποιοῦσι διὰ τὸ ἀπ᾽ αὐτῆς ἔχειν τὸ εἶναι κἀν ταῖς αὐτῶν φύσεσιν ὑφεστάναι. Ὅθεν τὸ αὐτό ἐστι λεγόμενον, ὅτι ὁ Θεὸς δι᾽ ἑαυτὸν πάντα πεποίηκεν, ὃ λέγεται ἐν τῷ δεκάτῳ ἕκτῳ τῶν Παροιμιῶν· πάντα δι᾽ ἑαυτὸν εἰργάσατο ὁ Θεός· καὶ τὸ τὰ ὄντα ποιῆσαι διὰ τὸ αὐτῶν εἶναι, ὃ λέγεται ἐν τῷ τῆς Σοφίας πρώτῳ· ἔκτισε γὰρ ὁ Θεὸς τὰ πάντα εἶναι. Ὅθεν ἐξ αὐτοῦ τοῦ τὸν Θεὸν τὰ πάντα δημιουργῆσαι φαίνεται θέλειν ἀεὶ διαμένειν· οὗ τὸ ἐναντίον διὰ τὸ αὐτοῦ ἀκίνητον οὐδέποτ᾽ ἂν συμβαίη. Δεύτερον, ἐξ αὐτῆς τῶν ὄντων φύσεως· οὕτω γὰρ ὁ Θεὸς ἑκάστην φύσιν ἐδημιούργησεν, ὡς μὴ ἀφελέσθαι ταύτης τὴν αὐτῆς ἰδιότητα. Ὅθεν λέγεται ἐν τῷ τῆς πρὸς Ῥωμαίους ἐνδεκάτῳ ἐν τῇ Ἑρμηνείᾳ, ὅτι ὁ Θεός, ὁ τῶν φύσεων δημιουργός, παρὰ τὰς φύσεις οὐ ποιεῖ, εἰ καὶ ἐνίοτε εἰς ἀπόδειξιν τῆς πίστεως ἐν τοῖς κτιστοῖς πράγμασι μεγαλουργεῖ τὶ παρὰ τὴν φύσιν. Τῶν δὲ ἀύλων πραγμάτων καὶ ὅσα ἐναντιότητος στέρεται, φυσικὴ αὐτῶν ἰδιότης ἐστὶν ἡ ἀιδιότης· οὐ γὰρ ἔστιν αὐτοῖς δύναμις πρὸς τὸ μὴ εἶναι, ὡς ἐν τοῖς φθάσασι δέδεικται. Ἀμέλει καὶ καθάπερ οὐκ ἀποσυλᾷ τοῦ πυρὸς τὴν φυσικὴν κίνησιν, ᾗ πρὸς τὸ ἄνω τείνει, οὕτως οὐδὲ τοῖς προειρημένοις οὖσιν ἀφαιρεῖ τὴν ἀιδιότητα, ὡς ταύτας εἰς τὸ μὴ ὂν ἀνακόψαι.

[5.3.14] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι κατὰ τὸν Ὑπομνηματιστὴν ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, εἰ καὶ πᾶσα ἐνσώματος δύναμις ἔστι P 120r πεπερασμένη, ὅμως οὐκ ἀνάγκη ὁτῳδήποτε σώματι εἶναι | δύναμιν

**93-95** ὃ – Θεός] Prov. 16, 4: πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ Θεῷ, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. **95-96** ὃ – εἶνα] Sap. 1, 14: ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα. **100-103** ἐν – φύσιν] cf. Rom. 11, 24: εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

**87** ἐκείνου] ἐκεῖνο M **89** ἑαυτὸν] ἑαυτὸ M (se ipsum Aq.) **91** ταύτην] ταύτη M (eam Aq.) **98** ἂν] bis acc. P **104** αὐτοῖς] αὐτῶν P (in eis Aq.)

πεπερασμένην πρὸς τὸ εἶναι, ὅτι ἐν τοῖς ἀφθάρτοις σώμασι κατὰ φύσιν οὐκ ἔστι δύναμις πρὸς τὸ εἶναι οὔτε πεπερασμένη οὔτε ἄπειρος, ἀλλὰ πρὸς τὸ κινεῖσθαι μόνον. Καὶ αὕτη μὲν ἡ λύσις οὐ πάνυ τοι δοκεῖ ἐρρῶσθαι· ὅτι ἡ πρὸςτὸ εἶναι δύναμις οὐ μόνον λαμβάνεται τῷ τρόπῳ τῆς παθητικῆς δυνάμεως, ἥτις ἐστὶν ἐκ τοῦ τῆς ὕλης μέρους, ἀλλὰ καὶ κατὰ τὸν τρόπον τῆς ποιητικῆς δυνάμεως, τοῦ εἴδους μέρους, ἥτις ἐν τοῖς ἀφθάρτοις ἀπεῖναι οὐ δύναται. Ὅσον γὰρ ἔνεστιν ἑκάστῳ ἐκ τοῦ εἴδους, τοσοῦτον ἔνεστιν αὐτῷ ἐκ τῆς τοῦ εἶναι δυνάμεως· ὅθεν ἐν τῷ τοῦ Οὐρανοῦ καὶ τοῦ κόσμου πρώτῳ ὁ Φιλόσοφος ἀσπάζεταί τινα ἔχειν δύναμιν καὶ ἰσχύν, ὥστ᾽ εἶναι ἀεί. Διά τοι τοῦτο καὶ μᾶλλον ἄλλως ῥητέον, ὅτι ἐκ τῆς τοῦ χρόνου ἀπειρίας οὐ δείκνυται ἔχειν ἀπειρίαν εἰ μὴ τὸ χρόνῳ μετρούμενον, ἢ καθ᾽ αὐτό, ὥσπερ ἡ κίνησις, ἢ κατὰ συμβεβηκός, ὥσπερ τὰ ὑποκείμενα κινήσει, καὶ μή τινι περιόδῳ κινήσεως διαρκεῖ, ὑπὲρ ἣν παρατείνειν οὐκ ἐξικνεῖται. Τοῦ εἶναι δὲ τοῦ οὐρανίου σώματος οὐδενὶ τρόπῳ ἅπτεται οὔτε χρόνος οὔτε κίνησις, ἐπεὶ πάσῃ μεταβολῇ ἄθικτόν ἐστιν. Ὅθεν ἐκ τοῦ τὸν οὐρανὸν εἶναι ἐν ἀπείρῳ χρόνῳ τὸ εἶναι αὐτοῦ οὐδεμίαν ἀπειρίαν ἔχει, ὡς τοπαράπαν ἔξω τῆς χρονικῆς ποσότητος διατελοῦν· διὸ ὑπὸ τῶν θεολόγων θεσπίζεται τῷ ἀιδίῳ μετρεῖσθαι. Ὅθεν οὐ ζητεῖται ἐν τῷ οὐρανῷ τις δύναμις ἄπειρος πρὸς τὸ εἶναι ἀεί.

[5.3.15] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι, καθάπέρ τι μέρος τοῦ στρατοῦ τέτακται πρὸς τἄλλο καὶ πρὸς τὸν στρατηγόν, οὕτως ἡ αἰσθητὴ κτίσις τέτακται καὶ πρὸς βοήθειαν τελειωτικὴν τῆς νοητῆς κτίσεως καὶ πρὸς ἔμφασιν τῆς θείας ἀγαθότητος· ὅπερ ἀεὶ ποιοίη καὶ τὸ πρότερον ἀπογένοιτο.

[5.3.16] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ εἶναι οὐ λέγεται συμβεβηκὸς διὰ τὸ εἶναι ἐν τῷ τοῦ συμβεβηκότος γένει, εἰ διαλεγοίμεθα περὶ τοῦ τῆς οὐσίας εἶναι. Ἔστι γὰρ τὸ ἐνεργείᾳ τῆς οὐσίας, ἀλλὰ καθ᾽ ὁμοιότητα τινά, διότι οὐκ ἔστι μέρος τῆς οὐσίας, ὥσπερ οὐδὲ τὸ συμβεβηκός. Εἰ μέντοι εἴη καὶ ἐν τῷ τοῦ συμβεβηκότος γένει, οὐδὲν ἂν ἐκώλυε μὴ εἰς τὸ ἄπειρον παρατείνειν. Τὰ καθ᾽ αὐτὰ γὰρ συμβεβηκότα ἐξανάγκης ἔνεισι τοῖς αὐτῶν ὑποκειμένοις· ὅθεν καὶ οὐδὲν κωλύει ταῦτα εἶναι ἀιδίως. Ἀλλὰ τὰ συμβεβηκότα τὰ κατὰ συμβεβηκὸς ὄντα τοῖς ὑποκειμένοις οὐδενὶ τρόπῳ εἰς τὸ διηνεκὲς διαμένουσι κατὰ φύσιν.

**118-119** ἐν – ἀεί] Ar., De coel. I.

**116** τοῦ – μέρους] deest M **139** τὰ – συμβεβηκὸς] om. et al. man. add. in marg. sin. M

Τούτων δὲ εἶναι οὐ δύναται αὐτὸ τὸ οὐσιῶδες εἶναι τοῦ πράγματος τὸ ἐνεργείᾳ ὂν αὐτοῦ.

[5.3.17] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι πρὸ τοῦ τὸ πρᾶγμα εἶναι οὐκ ἦν τις φύσις, ἧς ἰδιότης ἦν αὐτὴ ἡ ἀιδιότης, ὥσπερ ἔστι τις φύσις τοῖς ἤδη κτισθεῖσι. Καὶ παρὰ ταῦτα τοῦτ' αὐτὸ εἶναι πρός τινα τελειότητα φύσεως νοητῆς τὸ μὴ
P 120v ἀεὶ εἶναι. Διὰ γὰρ τούτου ὁ Θεὸς ἐναργῶς δείκνυται αἰτία | τῶν ὄντων. Οὐδὲν δὲ ὠφέλημα ἕψεται, εἰ πάντα εἰς τὸ μηδὲν διαφορηθείη. Καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον ἀρχῆς τε πέρι καὶ τέλους.

[5.3.18] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὰ ἐσαεὶ διαμενοῦντα ἔχουσι δύναμιν τοῦ ἀεὶ εἶναι· ταύτην μέντοι τὴν δύναμιν οὐκ ἀεὶ εἶχον. Καὶ διατοῦτο οὐκ ἀεὶ ἦν.

[5.3.19] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι, εἰ καὶ ὁ Θεὸς σὺν δίκῃ τὸ εἶναι δύναται ἀφελέσθαι τῆς ἁμαρτούσης εἰς αὐτὸν δημιουργίας καὶ ταύτην εἰς τὸ μὴ ὂν ἀνασοβεῖν, ὅμως εὐλογωτέρα δικαιοσύνη ἐστὶν εἰς τὸ εἶναι αὐτὴν συντηρεῖν πρὸς κόλασιν· καὶ τοῦτο δυοῖν ἕνεκα. Πρῶτον, ὅτι ἐκείνη ἡ δικαιοσύνη οὐκ ἂν ἐπήγετό τι ἐλέου κρᾶμα, μηδενὸς λειπομένου ᾧ δύναιτο ἔλεον παρέχεσθαι· λέγεται δὲ ἐν τοῖς Ψαλμοῖς· πᾶσαι αἱ ὁδοὶ Κυρίου, ἔλεος καὶ ἀλήθεια. Δεύτερον, ὅτι αὕτη ἡ δικαιοσύνη ἁρμοδιώτερον ἀποκρίνεται τῇ ἁμαρτίᾳ διχῇ. Ἑνὶ μέν, ὅτι ἐν τῇ ἁμαρτίᾳ ἡ θέλησις ἀπεναντίας τῷ Θεῷ πράττει, ἀλλ' οὐχ ἡ φύσις, ἣ τὴν ὑπὸ τοῦ Θεοῦ καταβληθεῖσαν τάξιν τηρεῖ· καὶ διὰ τοῦτο τοιαύτην εἶναι δεῖ τὴν τιμωρίαν, οἵαν τὴν θέλησιν ἐπιτρίβειν, τὸ τὴν φύσιν ἐπεξιέναι, ἣν ἡ θέλησις κατεχρήσατο. Εἰ δὲ τὸ δημιούργημα εἰς τὸ μὴ ὂν ἐχώρησε πάντῃ, μόνον ἂν ἦν τὸ βλάβος τῇ φύσει, ἀλλ' οὐκ ἂν ἦν ἐν δεινοῖς ἡ θέλησις. Ἄλλο δέ, ἐπεὶ ἐν τῇ ἁμαρτίᾳ δύο εὑρίσκεται, ἀποστροφὴ ἀπὸ τοῦ ἀμεθέκτου ἀγαθοῦ καὶ ἐπιστροφὴ πρὸς τὸ μεθεκτὸν ἀγαθόν, ἡ ἐπιστροφὴ κατόπιν ἑαυτῆς τὴν ἀποστροφὴν ἐφέλκεται· οὐδεὶς γὰρ ἁμαρτάνων σκοπεῖ ἀποστρέφεσθαι ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ ζητεῖται ἀπολαύειν προσκαίρου ἀγαθοῦ, μεθ' οὗ συναπολαύειν τοῦ Θεοῦ οὐ δύναται. Ὅθεν, ἐπεὶ τὸ τῆς τοῦ Θεοῦ στερήσεως τίμημα τῇ τῆς ἀποστροφῆς ἁμαρτίᾳ ἀποκρίνεται, τῇ δ' ἐπιστροφῇ αὐτὴ ἡ κατ' αἴσθησιν εὐθύνη ὑπὲρ τῆς κατ' ἐνέργειαν

**156** λέγεται – ἀλήθεια] Ps. 24, 10: πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.

**144** ἐστί τις] ἐστὶ τὶς P; ἐστὶ τοῖς M (est aliqua Aq.)

ἁμαρτίας, προσῆκον ἐστὶ μὴ εἶναι τὸ τίμημα τῆς στερήσεως ἄνευ τοῦ κατ’ αἴσθησιν τιμήματος. Εἰ δ’ εἰς τὸ μὴ ὂν ἡ κτίσις διαλυθείη, ἔσται τὸ μὲν τῆς στερήσεως τοῦ Θεοῦ τίμημα ἀεί, ἀλλ’ οὐκ ἂν μένοι τὸ κατ’ αἴσθησιν τίμημα.

[5.3.20] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ κρίσις, περὶ ἧς ὁ προφήτης μνήμην ποιεῖται, τὴν προειρημένην ἐξανάλωσιν τῆς κατὰ τὴν ἁμαρτίαν τιμωρίας αἰνίττεται. Ὁ γὰρ θυμὸς οὗ ἐλευθερωθῆναι λίσσεται, τὴν τοῦ ἐλέου πρᾳότητα ἀποκλείει.

[5.3.21] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι λέγεταί τι εἶναι κρεῖττον, ἢ παρουσίᾳ ἀγαθοῦ, καὶ ταύτῃ κρεῖττόν ἐστι τῷ ὑπευθύνῳ εἶναι ἢ μὴ εἶναι, ἢ δι’ ἀπουσίαν κακοῦ· τὸ γὰρ ἀτελῆ κακοῦ εἶναι εἰς τὸν τοῦ ἀγαθοῦ λόγον πίπτει κατὰ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Ἠθικῶν. Καὶ κατατοῦτο νοεῖται τὸ προταθὲν λόγιον τοῦ Κυρίου.

[5.3.22] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὰ εἴδη καὶ τὰ συμβεβηκότα, εἰ καὶ μὴ ἔχουσιν ὕλην μέρος ἑαυτῶν, ἀφ’ ἧς εἰσίν, ἔχουσι μέντοι ὕλην ἐν ᾗ εἰσὶ καὶ ἐξ
P 121r ἧς κατὰ δύναμιν προΐασιν· ὅθεν καὶ ἡνίκα | εἶναι παύσονται, οὐ παντάπασιν ἀπόλλυνται, ἀλλὰ μενοῦσιν ἐν τῇ τῆς ὕλης δυνάμει, ὡς καὶ πρότερον.

[5.3.23] Πρὸς τὸ δέκατον ῥητέον· ὥσπερ τὰ κτίσματα ἐκ τοῦ μὴ ὄντος εἰσίν, οὕτω καὶ εἰς τὸ μὴ ὄν εἰσιν ἀναλύσιμα, εἰ τῷ Θεῷ κατὰ νοῦν εἴη.

[5.3.18] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὰ θεσπίσματα ἐκεῖνα οὐκ εἰσὶ νοητέα τούτῳ τῷ τρόπῳ, ὅτι ἡ τοῦ κόσμου οὐσία ἐξαπολεῖται, ἀλλὰ τὸ σχῆμα, ὡς ἀπόστολός φησιν ἐν τῷ ἑβδόμῳ τῆς Πρὸς Κορινθίους πρώτης.

**190-191** ἡ – πρώτης] I Cor. 7, 31: αἱ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

**176** αἰνίττεται] αἰνύττεται M (importat Aq.) | λίσσεται] αἰλίσσεται M (petit Aq.) **184** καὶ] καὶ κατὰ M **186** ὡς] ὡς δυνάμεως M

## Κεφάλαιον πέμπτον

## Πότερον ἡ κίνησις τοῦ οὐρανοῦ παύσεται ἢ οὔ.

**[5.5.1] Πέμπτον ζητεῖται, πότερον ἡ κίνησις τοῦ οὐρανοῦ παύσεται ποτέ, καὶ δοκεῖ μὴ δῆτα. Λέγεται γὰρ ἐν τῷ ὀγδόῳ τῆς Γενέσεως,** πάσας τὰς ἡμέρας τῆς γῆς, σπόρος καὶ **ἄμιτος, ῥίγος καὶ καύσων, χειμὼν** καὶ θέρος, νὺ**ξ** καὶ ἡμέρα, οὐ καταπαύσουσι**. Ταῦτα δὲ πάντα ἐκ τῆς τοῦ οὐρανοῦ κινήσεως ὁρμᾶται. Ἡ ἄρα τοῦ οὐρανοῦ κίνησις οὐχ ἠρεμήσει, μέχρις ἂν ἡ γῆ ᾖ·** ἡ γῆ **δὲ** εἰς τὸν αἰωνα **μένει, ὡς λέγεται ἐν τῷ τοῦ Ἐκκλησιαστοῦ πρώτῳ. Ἄρα καὶ ἡ τοῦ οὐρανοῦ κίνησις εἰς τὸν αἰῶνα μένει.**

**[5.5.2] Ἀλλ' ἔλεγεν, ὅτι ταῦτα νοεῖται περὶ τῆς γῆς, καθὸ δουλεύει τῷ ἀνθρώπῳ ἐν τῇ παρούσῃ καταστάσει. Διὰ γὰρ τοῦ σπόρου καὶ τοῦ ἀμίτου ὁ ἄνθρωπος τοὺς καρποὺς ἐκ ταύτης συγκομίζεται πρὸς ἀνάκτησιν τοῦ ζωώδους βίου, ἀλλ' οὐ καθὸ ἡ γῆ δουλεύσει τῷ ἀνθρώπῳ, ἡνίκα λαμπρυνθεῖσα εἰς τὸν αἰῶνα διαμένει πρὸς μεῖζον τῶν μακαρίων γάννος εὐφροσύνην. Ἀλλὰ τοὐναντίον λέγεται ἐν τῷ τοῦ Ἱερεμίου τριακοστῷ πρώτῳ· τάδε λέγει Κύριος, ὁ διδοὺς τὸν ἥλιον εἰς φῶς τῇ ἡμέρᾳ, τάξιν τῇ σελήνῃ, καὶ τοῖς ἄστρασιν εἰς φῶς τῇ νυκτί· ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχεῖ τὰ κύματα αὐτῆς· Κύριος τῶν δυνάμεων ὄνομα αὐτῷ. Εἰ ἀπολοῦνται οἱ νόμοι οὗτοι ἐναντίον μου, τότε καὶ τὸ σπέρμα τοῦ Ἰσραὴλ ἀπολεῖται, τοῦ μὴ εἶναι ἔθνος ἐναντίον μου ἀεί. Οὐ νοεῖται δὲ περὶ τοῦ κατὰ σάρκα Ἰσραήλ, ὃς διοικισθεὶς ἤδη ἔθνος λέγεσθαι οὐ δύναται. Ὅθεν ἀναγκαῖον νοεῖσθαι περὶ τοῦ πνευματικοῦ Ἰσραήλ, ὃς τότε μᾶλλον ἐνώπιον τοῦ Θεοῦ ἔθνος ἔσται, ἡνίκα τὸν Θεὸν κατ' οὐσίαν ὁρῶν. Ἄρα ἐν τῇ τῆς μακαριότητος καταστάσει οἱ προειρημένοι νόμοι, ὅτι τῇ τοῦ οὐρανοῦ κινήσει ἕπονται, οὐ παύσονται. Καὶ ταύτῃ ἑπομένως, οὐδὲ ἡ τοῦ οὐρανοῦ κίνησις.**

**[5.5.3] Ἔτι, ὅσα** ἀνάγκην **ἐκ προτέρου ἀναγκαίου ἔχει, εἰσὶν ἀναγκαῖα** ἁπλῶς**, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς, ὥσπερ ἡ**

**4-6** ἐν – καταπαύσουσι] Gen. 8, 22: πάσας τὰς ἡμέρας τῆς γῆς, σπέρμα καὶ θερισμός, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσι. **7-8** ἡ – πρώτῳ] Eccl. 1, 4: γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε. **15-19** ἐν – ἀεί] cf. Ier. 31, 35: καὶ ἀπολῶ τὸν Μωάβ, φησὶ Κύριος, ἀναβαίνοντα ἐπὶ τὸν βωμὸν καὶ θυμιῶντα θεοῖς αὐτοῦ. 36 διὰ τοῦτο καρδία μου, Μωάβ, ὥσπερ αὐλοὶ βομβήσουσι, καρδία μου ἐπ ἀνθρώπους κειράδας ὥσπερ αὐλὸς βομβήσει˙ διὰ τοῦτο ἃ περιεποιήσατο, ἀπώλετο ἀπὸ ἀνθρώπου. **26-27** ὅσα – Φυσικῆς] Ar., Phys. II, 199b.34-35: Τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει ἢ καὶ ἁπλῶς;

**14** γάννος] intellige γάνος | εὐφροσύνην] in marg. dex. P, M

τελευτὴ τοῦ ζῴου ἀναγκαία ἐστὶ διὰ τὴν ὑλικὴν ἀνάγκην. Αἱ ἐνέργειαι δὲ τῶν ἀφθάρτων, ἐν οἷς δὴ καὶ τὴν τοῦ οὐρανοῦ κίνησιν θετέον, εἰσὶ διὰ τὰς οὐσίας αὐτῶν, αἵ εἰσι πρότεραι, καὶ ταύτῃ ἀνάγκην ἐκ προτέρου ἔχειν δοκοῦσι, τοῦ ἀνάπαλιν ὄντος ἐν τοῖς φθαρτοῖς, | P 121v ὧν αἱ οὐσίαι εἰσὶ διὰ τὰς ἐνεργείας αὐτῶν, ὅθεν ἐξ ὑστέρων τὸ ἀναγκαῖον ἔχουσιν, ὡς ὁ Ὑπομνηματιστής φησιν ἐν τοῖς αὐτοῖς. Ἡ κίνησις ἄρα τοῦ οὐρανοῦ ἀνάγκῃ ἀπολύτῳ ἀναγκαία ἐστίν· ὡδὶ δὲ οὐδέποτε ἡσυχίαν ἀγάγοι ἄν.

[5.5.4] Ἔτι, τὸ τέλος ἐστὶ τῆς κινήσεως τοῦ οὐρανοῦ, ὥστε τὸν οὐρανὸν τῷ Θεῷ διὰ τῆς κινήσεως ἀφομοιοῦσθαι, ἐφόσον ἔξεισιν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ τῇ τῶν θέσεων καινότητι, ἃς κατὰ διαδοχὴν πραγματωδῶς προσλαμβάνεται· ἕκαστον γὰρ κατατοῦτο τῷ Θεῷ ἀφομοιοῦται, ὅσπέρ ἐστιν ἐνέργεια καθαρά, καθόσον ἐστὶν ἐνεργείᾳ. Τοῦτο δὲ τὸ τέλος παύσεται παυσαμένης τῆς κινήσεως. Ἐπεὶ τοίνυν ἡ κίνησις οὐ παύεται, εἰ μὴ ἐπειδὰν ἐπιλάβηται τοῦ τέλους, διὸ ἐστίν, οὐδέποτε ἡ τοῦ οὐρανοῦ κίνησις πεπαύσεται.

[5.5.5] Ἀλλ’ ἔλεγεν, ὅτι ἡ κίνησις τοῦ οὐρανοῦ οὐκ ἔστι διὰ τοῦτο τὸ τέλος, ἀλλὰ πρὸς συμπεράτωσιν τοῦ ἀριθμοῦ τῶν ἐκλεκτῶν, οὗ συντελεσθέντος ἡ τοῦ οὐρανοῦ κίνησις ἠρεμήσεται. Ἀλλ’ ἰτέον εὐθύ, ὅτι οὐδὲν διὰ τὸ ἀγενέστερον ἑαυτῆς κινεῖται· τὸ γὰρ τέλος ἐστὶν ὑπερηφανώτερον τῶν πρὸς τὸ τέλος, τοῦ τέλους ὄντος αἰτίου τοῦ ἀγαθοῦ τοῖς πρὸς τὸ τέλος. Ὁ τοίνυν οὐρανός, ὢν ἄφθαρτος, ἐστὶ βελτίονος φυῆς ἢ τὰ ἐν γενέσει καὶ φθορᾷ. Οὐκ ἄρα δυνατὸν λέγειν τὴν κίνησιν τοῦ οὐρανοῦ εἶναι διά τινα γένεσιν ἐν τοῖς ὑποδεεστέροις, δι’ ἧς ὁ τῶν ἐκλεκτῶν κατάλογος ἀποπεραίνεσθαι δύναται.

[5.5.6] Ἦ δ’ ὅς· ἡ κίνησις τοῦ οὐρανοῦ οὐκ ἔστι διὰ τὴν κίνησιν τῶν ἐκλεκτῶν ὥσπερ διὰ καθόλου τέλος, ἀλλ’ ὡς διὰ δεύτερον τέλος. Ἀλλὰ τοὐναντίον, καταληφθέντος τοῦ δευτεροειδοῦς τέλους οὐχ ἠρεμεῖ τὸ διὰ τέλος κινούμενον. Εἰ τοίνυν ἡ γένεσις, δι’ ἧς συμπληροῦνται ὁ τῶν ἐκλεκτῶν ἀριθμός, ἐστὶ δευτεροειδὲς τέλος τῆς τοῦ οὐρανοῦ κινήσεως, οὔπω στήσεται ἡ τοῦ οὐρανοῦ φορά.

[5.5.7] Ἔτι, πᾶν ὅπέρ ἐστιν ἐν δυνάμει, ἐστὶν ἀτελές, εἰ μὴ εἰς τὸ ἐνεργείᾳ περιέλθοι ἄν. Ἀλλ’ ὁ Θεὸς ἐπὶ τῇ συμπερατώσει τοῦ κόσμου, οὐ περιόψεταί τι

**52** τέλους] τέλος M

**ἀτελές. Ἐπεὶ τοίνυν ἡ πρὸς τό που δύναμις τοῦ οὐρανοῦ οὐ περίησιν εἰς τὸ ἐνεργείᾳ εἰ μὴ διὰ τῆς κινήσεως, δοκεῖ τὸν οὐρανοῦ δῖνον μὴ παύσεσθαι ἐν τῇ τοῦ κόσμου συντελείᾳ.**

**[5.5.8] Χωρὶς δὲ τούτων, εἴ τινος αἰτίαι ἀποτελέσματός εἰσιν ἄφθαρτοι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι, ἀδύνατον μὴ εἶναι τὸ ἀποτέλεσμα. Ἀλλ’ αἱ αἰτίαι τῆς τοῦ οὐρανοῦ κινήσεώς εἰσιν ἄφθαρτοι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι, εἴτε λάβοιμεν αὐτὸ τὸ κινοῦν εἴτε αὐτὸ τὸ κινούμενον. Ἡ κίνησις ἄρα τοῦ οὐρανοῦ ἐσαεὶ διαμένει.**

**[5.5.9] Ἔτι, πᾶν ὅπέρ ἐστιν ἀιδιότητος ὑποδεκτικόν, οὐδέποτε παρὰ Θεοῦ τῆς αὐτοῦ ἀιδιότητος ἀποστερηθήσεται, ὡς φαίνεται ἔν τε ἀγγέλοις καὶ ταῖς λογικαῖς ψυχαῖς καὶ τῇ τοῦ οὐρανοῦ κινήσει. Ἀλλ’ ἡ τοῦ οὐρανοῦ** P 122r **κίνησίς ἐστιν ἀιδιότητος | ὑποδεκτική· μόνην γὰρ τὴν κίνησιν ἐνδέχεται εἶναι ἀίδιον, ὡς ἀποδείκνυται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Ἡ κίνησις ἄρα τοῦ οὐρανοῦ αἰειδήποτε διαμενεῖ, ὥσπερ καὶ τἆλλα τὰ πεφυκότα εἶναι ἀίδια.**

**[5.5.10] Παρὰ ταῦτα, εἰ ἡ κίνησις τοῦ οὐρανοῦ παύσεται, ἢ παύσεται ἐν ἀτόμῳ ἢ ἐν χρόνῳ. Ἀλλ’ εἰ μὲν ἀτόμῳ, συμβαίνει ὁμοῦ τὸν αὐτὸν ἠρεμεῖν καὶ κινεῖσθαι· ἐπεὶ γὰρ ἐν ὅλῳ τῷ χρόνῳ τῷ παρωχηκότι ἐκινεῖτο, ἀνάγκη λέγειν ἐν ὁτῳδήποτε αὐτοῦ τοῦ χρόνου, ἐν ᾧ πέφυκε κινεῖσθαι τὸν οὐρανόν, κινεῖσθαι. Τοῦτο δὲ τὸ ἄτομον, ἐστί τι τοῦ παρεληλυθότος χρόνου, πέρας ὂν αὐτοῦ. Ἄρα ἐν αὐτῷ κινεῖται. Δέδοται δὲ καὶ ἐν αὐτῷ ἠρεμεῖν. Ἐν τῷ αὐτῷ ἄρα ἀτόμῳ καὶ ἠρεμεῖ καὶ κινεῖται· ὅπερ ἀδύνατον. Εἰ δὲ ἠρεμεῖ ἐν χρόνῳ, ἄρα χρόνος ἔσται μετὰ τὴν ἠρεμίαν τοῦ οὐρανοῦ. Ἀλλὰ χρόνος οὐκ ἔστι μετὰ τὴν τοῦ οὐρανοῦ ἠρέμησιν. Ἡ κίνησις ἄρα τοῦ χρόνου ἔσται μετὰ τὸ παύσασθαι· ὅπέρ ἐστιν ἀδύνατον.**

**[5.5.11] Ἔτι, εἰ τοῦ οὐρανοῦ ἡ κίνησις παύσεταί ποτε, δεῖ τὸν χρόνον ἐκποδὼν γενέσθαι, ὅς ἐστι μέτρον αὐτῆς, ὡς φαίνεται ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς. Ἀλλ’ οὐχ οἷόν τε ἐστι τὸν χρόνον ἐκποδὼν γενέσθαι. Ἀδύνατον ἄρα ἐστὶ τὴν τοῦ οὐρανοῦ κίνησιν παύσασθαι. Ἀπόδειξις τῆς ἐλάττονος. Ὅπερ ἔστιν ἀεὶ ἐν τῇ**

**68-70** Ἀλλ’ – Φυσικῆς] Ar., Phys. VIII, 264b.5-265a.12: ἔτι οὐκ εἰ συνεχὴς – ἡμῖν εἰρημένα. **83-84** εἰ – Φυσικῆς] Ar., Phys. IV, 219a.30-219b.1: ὅταν μὲν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ ἤτοι ὡς πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει ἢ ὡς τὸ αὐτὸ μὲν προτέρου δὲ καὶ ὑστέρου τινός, οὐ δοκεῖ χρόνος γεγονέναι οὐδείς, ὅτι οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερονκαὶ ὕστερον, τότε λέγομεν χρόνον· τοῦτο γάρ ἐστιν ὁ χρόνος. ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον.

**64** κινοῦν] κενοῦν M (moventem Aq.) **67** αὐτοῦ] αὐτῆς M **68-69** Ἀλλ’ – κίνησιν] om. et al. man. add. in marg. sin. M **75** παρωχηκότι] παραχηκότι M **77** ἐστί τι] ἔσται P (est aliquid Aq.)

αὐτῇ ἀρχῇ καὶ ἐν τῷ αὐτῷ τέλει, οὐδέποτε ἤρξατο εἶναι, οὔτ’ αὖ παύσεταί ποτε εἶναι, διὰ τὸ ἕκαστον εἶναι μετὰ τὴν ἀρχὴν αὐτοῦ καὶ πρὸ τοῦ τέλους αὐτοῦ. Ἀλλ’ οὐδενός ἐστι λαβέσθαι τοῦ χρόνου, εἰ μὴ τοῦ ἐνεστῶτος, ὅπέρ ἐστιν ἀρχὴ τοῦ μέλλοντος καὶ πέρας τοῦ παρεληλυθότος. Καὶ ταύτῃ ὁ χρόνος ἔστιν ἀεὶ ἐν τῇ αὐτῇ ἀρχῇ καὶ τῷ αὐτοῦ τέλει. Ὁ χρόνος ἄρα οὐδέποτε ἀπολεῖται.

[5.5.12] Ἔτι, ἡ τοῦ χρόνου κίνησίς ἐστι φυσικὴ τῷ οὐρανῷ, ὥσπερ καὶ ἡ κίνησις τῶν τε κούφων καὶ βαρέων ἐστὶ φυσική, ὡς προὖπτόν ἐστιν ἔν τε τῷ τοῦ Οὐρανοῦ καὶ τοῦ κόσμου πρώτῳ. Τοῦτο δὲ διενήνοχεν, ὅτι τὰ μὲν στοιχειώδη σώματα οὐ κινεῖται φυσικῶς, εἰ μὴ ὅταν ᾖ ἔξω τοῦ σφῶν αὐτῶν πού, ὁ οὐρανὸς δὲ κινεῖται ὢν ἐν τῷ αὐτοῦ πού. Ἀφ’ ὧν ληφθῆναι δυνατόν, ὅτι, καθάπερ ἔχει τὸ στοιχειῶδες σῶμα πρὸς τὴν φυσικὴν κίνησιν αὐτοῦ, ὂν ἔξω τοῦ ἰδίου πού, οὕτως ἔχει ὁ οὐρανὸς πρὸς τὴν αὐτοῦ κίνησιν, ὢν ἐν τῷ ἰδίῳ πού. Τὸ δὲ στοιχειῶδες σῶμα, ἔξω ὂν τοῦ ἰδίου πού, οὐχ ἠρεμεῖ εἰ μὴ βίᾳ. Καὶ ὁ οὐρανὸς τοίνυν οὐ δύναται ἠρεμεῖν, εἰ μὴ ἡ ἠρεμία βίαιος εἴη· ὅπερ ἄτοπον ὂν τυγχάνει. Μηδενὸς γὰρ βιαίου ὄντος ἀιδίου ἕψεται τὴν ἠρεμίαν ἐκείνην τοῦ οὐρανοῦ μὴ εἶναι ἀίδιον, ἀλλ’ ὁτεδήποτε αὖθις τὸν οὐρανὸν κινηθήσεσθαι· ὃ τοῖς τι<τ>θῶν μύθοις ἔοικεν. Οὐκ ἄρα ῥητέον τὴν τοῦ οὐρανοῦ φορὰν παύσεσθαί ποτε.

[5.5.13] Πρὸς δὲ τούτοις, ἄλληλα διαδεχομένοις, δεῖ εἶναι τάξιν καὶ
P 122r ἀναλογίαν. Τοῦ πεπερασμένου δὲ πρὸς τὸ ἄπειρον, οὐκ ἔστιν | ἀναλογία τις. Οὐ καθηκόντως ἄρα λέγεται τὸν οὐρανὸν ὡρισμένῳ χρόνῳ κινεῖσθαι καὶ μετὰ τοῦτο ἀπείρῳ χρόνῳ ἀτρεμεῖν· ὅπερ λέγειν χρῆν, εἰ ἡ τοῦ οὐρανοῦ κίνησίς ποτε ἤρξατο καὶ παύσεται, καὶ οὐ πώποτε αὖθις ἄρξεται.

[5.5.14] Ἔτι, ὅσόν τι ἀφομοιοῦται τῷ κρείττονι κατὰ τὴν κρείττω ἐνέργειαν, τοσοῦτο κρεῖττόν ἐστιν ἡ ἀφομοίωσις· ὥσπερ κρείττων τυγχάνει οὖσα ἡ τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν ἀφομοίωσις, ἥτις ἐστὶ κατὰ τὴν λογικὴν ψυχήν, ἢ τοῦ ἀλόγου ζῴου, ἥτις ἐστὶ κατὰ τὴν αἰσθητικὴν ψυχήν. Ἡ δευτέρα δὲ ἐνέργεια κρείττων ἐστὶ τῆς πρώτης, ὥσπερ ἐστὶ τὸ θεωρεῖν τοῦ ἐπίστασθαι.

**94** φυσική] φυσικόν M **103** ὅτεδήποτε **108** οὐ καθηκόντως] οὐ καθηκόντες M (incovenienter Aq.) | χρόνῳ] χρόνων M

**Ἄρα ἡ ἀφομοίωσις, ᾗ ὁ οὐρανὸς ἀφομοιοῦται τῷ Θεῷ κατὰ τὴν δευτέραν ἐνέργειαν, ὅπέρ ἐστι τὸ ποιεῖν τὰ ὑποβεβηκότα, κρείττων ἐστὶν ἢ <ἡ> κατὰ λαμπρότητα ἀφομοίωσις, ἥτις ἐστὶν ἐντελέχεια πρώτη. Εἰ τοίνυν ἐν τῇ τοῦ κόσμου συμπερατώσει τὰ ἀρχοειδῆ μέρη τοῦ κόσμου βελτιωθήσεται, δοκεῖ ὁ οὐρανὸς μὴ παύσεσθαι κινούμενος, μείζονος λαμπρότητος ἀποπληρούμενος.**

**[5.5.15] Ἔτι, τὸ μέγεθος καὶ ἡ κίνησις καὶ ὁ χρόνος ἀλλήλοις ἕπεται ὅσον πρὸς τὴν ἔκτασιν καὶ τὸ πέρας καὶ τὴν ἀπειρίαν, ὡς ἀποδείκνυσιν ἐν τῷ ἕκτῳ τῆς Φυσικῆς. Ἀλλ' ἐν τῷ κυκλικῷ μεγέθει οὐκ ἔστιν ἀρχὴ οὔτε τέλος. Οὐδ' ἄρα ἐν τῇ κυκλικῇ κινήσει καὶ τῷ χρόνῳ ἔστι τι πέρας· καὶ ταύτῃ, τῆς τοῦ οὐρανοῦ κινήσεως οὔσης κυκλικῆς, φανερὸν ὅτι οὐδέποτε ἐστήξει.**

**[5.5.16] Ἀλλ' ἔλεγεν ὅτι, εἰ καὶ ἡ κίνησις οὐδέποτε τῇ ἰδίᾳ φύσει λήξει, τῇ θείᾳ ὅμως βουλήσει λήξει. Ἀλλ' ἐναντίως ἔχει τὰ παρὰ τοῦ Αὐγουστίνου εἰρημένα ἐν τῷ δευτέρῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως, ὅτι περὶ τῆς τοῦ κόσμου δημιουργίας πραγματευομένης, οὐ ζητεῖται τί δύναται ὁ Θεὸς ποιεῖν, ἀλλὰ τί τὰ ὄντα στέγει ὡς γενέσθαι. Ἡ δὲ τοῦ κόσμου συντέλεια ἀναλογεῖ τῇ ἀρχῇ αὐτοῦ, ὥσπερ τὸ τέλος τῇ ἀρχῇ. Ἄρα τὰ ἐπιβάλλοντα τῇ τοῦ κόσμου συμπερατώσει οὐκ ἀποδοτέον πρὸς τὴν τοῦ Θεοῦ θέλησιν, ἀλλὰ πρὸς τὴν φύσιν.**

**[5.5.17] Αὖθις, ὁ ἥλιος τῇ αὐτοῦ παρουσίᾳ τὸ φῶς καὶ τὴν ἡμέραν ἐν τοῖσδε τοῖς χαμαὶ ποιεῖ, τῇ δ' αὖ ἀπουσίᾳ τὸ σκότος καὶ τὴν νύκτα. Ἀλλ' οὐ δύναται ὁ ἥλιος παρεῖναι ἐν ἑκατέρῳ ἡμισφαιρίῳ εἰ μὴ τῇ κινήσει. Εἰ ἄρα ἡ τοῦ οὐρανοῦ κίνησις στήσεται, ἀεὶ ἡ αὐτοῦ παρουσία ἐν ἑνὶ τοῦ κόσμου μορίῳ ποιήσει τὴν ἡμέραν, καὶ ἐν θατέρῳ τὴν νύκτα, ᾧ ἀεὶ ἀπείη. Καὶ οὕτω τὸ μέρος τοῦτο οὐ βελτιωθήσεται, ἀλλ' εἰς τὸ χεῖρον εἶσιν ἐν τῇ τοῦ κόσμου συντελείᾳ.**

**[5.5.18] Ἔτι, τὸ πρὸς δύο ἐπίσης ἔχον ἢ ἑκατέρῳ πρόξεται, ἢ οὐδ' ὁποτέρῳ.**
P 123$^{r}$ **Ἀλλ' ὁ ἥλιος ἐπίσης ἔχει, τό γε τῇ αὐτοῦ φύσει, | πρὸς ὁτιοῦν που τοῦ οὐρανοῦ.**

**121-123** τὸ – Φυσικῆς] cf. Ar., Phys. VI, 209b.32-34, 211b.19, 211b.29-212.a2. **127-130** παρὰ – γενέσθαι] cf. Aug., De gen. ad litt. II, cap. 1, n. 2 (PL 34, col. 263): Neque quisquam istos debet ita refellere, ut dicat secundum omnipotentiam Dei, cui cuncta possibilia sunt, oportere nos credere, aquas etiam tam graves, quam novimus atque sentimus, coelesti corpori, in quo sunt sidera, superfusas. Nunc enim quemadmodum Deus instituerit naturas rerum, secundum Scripturas eius nos convenit quaerere.

**124** χρόνῳ] χρόνων M | ἔστι] ἔσται M **129** πραγματευομένης] πραγματευομένοις M

## Κεφάλαιον ἕκτον

## Πότερον δύναται γνωσθῆναι παρὰ ἀνθρώπου πότε ἡ τοῦ οὐρανοῦ κίνησις λήξει ἢ οὔ.

[5.6.1] Ἕκτον ζητεῖται, πότερον δύναται γνωσθῆναι παρ' ἀνθρώπου, πότε ἡ τοῦ οὐρανοῦ κίνησις λήξει. Καὶ δοκεῖ ναί. Κατὰ γὰρ τὸν Αὐγουστῖνον, ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ, ἀπὸ τῆς Χριστοῦ παρουσίας ἐς τὴν τοῦ κόσμου συντέλειαν ἕκτη ἡλικία τρέχει. Ἀλλ' ἴσμεν ὅσον αἱ προλαβοῦσαι ἡλικίαι τοῦ κόσμου διήρκεσαν. Ἆρα δύναται καταληφθῆναι εἰς ὅσον ἂν παρατείνοι καὶ ἥδε ἡ ἡλικία, κατὰ παράθεσιν πρὸς τὰς ἄλλας. Καὶ ταύτῃ δύναται γνωσθῆναι, πότε ἡ τοῦ οὐρανοῦ κίνησις στήσεται.

[5.6.2] Ἔτι, τὸ πέρας ὁτουοῦν ἀναλογεῖ τῇ αὐτοῦ ἀρχῇ. Ἀλλ' ἡ τοῦ κόσμου ἀρχὴ ἔγνωσται δι' ἀποκαλύψεως, περὶ ἧς ὁ Μωσῆς φθέγγεται· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Σὺν τῇ ἀρχῇ τοίνυν καὶ τὸ τέλος γνωσθῆναι δυνατὸν διὰ τῆς μυσταγωγουμένης παρὰ τῆς Γραφῆς ἀποκαλύψεως.

[5.6.3] Ἔτι, τῆς ἀδηλίας τοῦ κοσμικοῦ τέλους αἰτία τίθεται εἶναι, ἵνα μὴ ὁ ἄνθρωπος ἐν ἀγωνίᾳ εἴη διηνεκεῖ, περὶ τῷ κατ' αὐτὸν ἔχοντι. Πρὸς δὲ τὸ ταύτην ἔχει τὴν ἀγωνίαν, ἄδδην ἔχει ἡ τοῦ θανάτου ἀδηλία. Οὐκ ἄρα γέγονεν ἀναγκαῖον ἄδηλον εἶναι τὸ τοῦ κόσμου πέρας, εἰ μὴ τάχα που διὰ τοὺς παρεσομένους τοῖς τελευταίοις τοῦ κόσμου χρόνοις.

P 127v [5.6.4] Παρὰ ταῦτα, ἐνίοις τῶν ἁγίων | ἀποκεκάλυπται ἡ ἰδία τελευτή, ὥσπερ φαίνεται περὶ τοῦ μακαρίου Μαρτίνου. Φησὶ δὲ ὁ Αὐγουστῖνος ἐν τῇ Πρὸς Ὀρσίσιον ἐπιστολῇ, ὅτι τοιοῦτος ἕκαστος ἐν τῇ κρίσει φανήσεται, οἷος ἐν τῷ θανάτῳ. Καὶ ταύτῃ ὁ αὐτός ἐστι λόγος τῆς τε τοῦ θανάτου ἐπικρύψεως καὶ τῆς ἐπικρύψεως τῆς κατὰ τὴν κρίσιν ἡμέρας. Καὶ ἡ τῆς κρίσεως ἄρα ἡμέρα, ἣ πᾶσι διαφέρει, προσῆκεν ἐν τῇ ἱερᾷ Γραφῇ τῇ πάντα μυσταγωγούσῃ δᾳδουχεῖσθαι.

[5.6.4] Ἔτι, τὸ σημεῖον τέτακται πρὸς τό τινα προγιγνώσκεσθαι. Ἐν δὲ τοῖς εὐαγγελίοις τίθενταί τινα σημεῖα τῆς τοῦ Κυρίου ἐπιδημίας τῆς ἐπ' ἐσχάτου

**5-7** Κατὰ – τρέχει] Aug., De civ. XXII, cap. 30, n. 5 (PL 41, col. 801): Ipse etiam numerus aetatum – sua potestate. **11-13** Ἀλλ' – γῆν] Gen. 1, 1: Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. **22-24** Φησὶ – θανάτῳ] locum non inveni.

**5** ναί] bis acc. M **11** ὁτουοῦν] ὁτουνοῦν M (uniuscuiusque Aq.) **13** Σὺν τῇ ἀρχῇ] deest Aq. **16** κοσμικοῦ τέλους] mundi Aq. **18** ἄδδην] ¨ super ἄδδην et ¨ ἀποχρώντως in marg. dex. P **21** τῶν ἁγίων] deest Aq. **26** διαφέρει] ¨ in textu et ¨ πρὸς πάντας ἔρχεται in marg. sin. P

**τοῦ κόσμου, ὡς φαίνεται ἔν τε τῷ εἰκοστῷ τετάρτῳ τοῦ Κατὰ Ματθαῖον καὶ ἐν τῷ τοῦ Λουκᾶ εἰκοστῷ πρώτῳ, ὡς δὲ καὶ παρὰ τῶν ἀποστόλων, ὡς καθορᾶται ἐν τῷ τετάρτῳ τῆς Πρὸς Τιμόθεον πρώτης καὶ ἐν τῇ δευτέρᾳ τῇ πρὸς αὐτὸν ἐν τῷ τρίτῳ καὶ ἐν τῷ δευτέρῳ τῆς Πρὸς Θεσσαλονικεῖς δευτέρας. Ἄρα δοκεῖ ἀσύμβλητον εἶναι τὸν καιρὸν τῆς τε τοῦ Κυρίου παρουσίας καὶ τοῦ κοσμικοῦ τέλους.**

**[5.6.6] Ἔτι, οὐδεὶς δικαίως ἐπιτιμᾶται ἢ καὶ εὐθύνεται διὰ τὰ μὴ ὄντα ἐπ’ αὐτῷ. Ἀλλά τινες ἐπιτιμῶνται ἐν τῇ Γραφῇ καὶ δίκας εἰσπράττονται, διὰ τὸ μὴ τοὺς καιροὺς εἰδέναι· ὅθεν ὁ Κύριος ἐν τῷ εἰκοστῷ ἕκτῳ τοῦ Κατὰ Ματθαῖον πρὸς τοὺς Φαρισαίους φησίν,** ὑποκριταί, τὸ πρόσωπον τοῦ οὐρανοῦ **οἴδα**τε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ**κ οἴδατε γινώσκειν· καὶ ἐν τῷ τοῦ Λουκᾶ ἑξηκοστῷ δευτέρῳ·** οὐκ ἀφήσουσιν **ἐπὶ σὲ** λίθον ἐπὶ λίθῳ**, ὅτι** οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου**· καὶ Ἱερεμίας, ἐν τῷ ὀγδόῳ· ἰκτὶς** ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτ**οῦ·** τρυγὼν καὶ χελιδὼν **καὶ πελιαργός, ἐτήρησαν τοὺς** καιροὺς **τῆς παρουσίας** αὐτῶν**· ὁ λαός μου δὲ οὐ συνῆκε με λέγει Κύριος. Ἄρα δυνατόν ἐστι γνωσθῆναι τὴν ἡμέραν τῆς κρίσεως ἢ τὸν καιρὸν τοῦ τέλους τοῦ κόσμου.**

**[5.6.7] Ἔτι, ὁ Χριστὸς ἐν τῇ δευτέρᾳ ἐπιδημίᾳ μᾶλλον φανερῶς πάρεισιν ἢ ἐν τῇ πρώτῃ· τότε γὰρ** ὄψεται αὐτὸν **πᾶς ὁ λαὸς** καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν**, ὡς φαίνεται ἐν τῷ τῆς Ἀποκαλύψεως. Ἀλλ’ ἡ πρώτη παρουσία προήγγελτο ἐν τῇ Γραφῇ ἐσομένη ὡρισμένως καὶ τῷ χρόνῳ, ὡς φαίνεται ἐν τῷ ὀγδόῳ τοῦ**

**28-30** Ἐν – Ματθαῖον] cf. Mt. 24, 24: ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς ; Lc. 21, 9: ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος ; I Timoth. 4, 21: δὲ Πνεῦμα ρητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων ; II Timoth. 3, 2: εἶ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν ; II Thess. 2, 3: μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας. **39-40** ὑποκριταί – γινώσκειν] Lc. 16, 3 ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε γνῶναι. **40-42** ἐν – σου] Lc. 19, 44: καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἐν σοί, καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ᾽ ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. **42-45** καὶ – Κύριος] Ier. 8, 7: καὶ ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς, τρυγὼν καὶ χελιδών, ἀγροῦ στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν, ὁ δὲ λαός μου οὗτος οὐκ ἔγνω τὰ κρίματα Κυρίου. **48-49** τότε – Ἀποκαλύψεως] Apoc. 1, 7: Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν, καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ναί, ἀμήν. **49-51** ἡ πρώτη παρουσία προήγγελτο ἐν τῇ Γραφῇ ἐσομένη ὡρισμένως καὶ τῷ χρόνῳ, ὡς φαίνεται ἐν τῷ ὀγδόῳ – Δανιήλ] cf. Dan. 9, 24-27: ἑβδομήκοντα – ἐρήμωσιν.

**33** Θεσσαλονικεῖς] Θεσσαλονεικεῖς P **48** ἐξεκέντησαν] ἐξηκέντησαν M **53** γὰρ] πάρ M

**Δανιήλ. Δοκεῖ ἄρα καὶ τὴν δευτέραν ἐπιδημίαν προσήκειν ἐν ταῖς Γραφαῖς προκηρύττεσθαι ὡρισμένῳ καιρῷ.**

**[5.6.8] Ἔτι, ὁ ἄνθρωπος λέγεται κόσμος μικρός· φέρει γὰρ ἐν ἑαυτῷ ἀγάλματα τοῦ μείζονος κόσμου. Ἀλλ' ἡ τελευτὴ τῆς ἀνθρωπίνης ζωῆς οἷά τε προγινώσκεσθαι ὡρισμένως. Καὶ ἡ τελευτὴ ἄρα τοῦ κόσμου οὐκ ἀπρόοπτος εἶναι δύναται.**

**[5.6.9] Χωρὶς δὲ τούτων, τὸ μέγα καὶ τὸ σμικρόν, τὸ χρόνιον καὶ τὸ πρόσκαιρον κατὰ ἀναφορὰν λέγονται ἄλλου ἐν παραθέσει πρὸς ἄλλο. Ἀλλ' ὁ** P 128[r] **διαγιγνόμενος καιρὸς μετὰ τὴν τοῦ Χριστοῦ ἐπιδημίαν ἄχρι τοῦ τέλους τοῦ κόσμου λέγεται εἶναι βραχύτατος, | ὡς ἔνεστιν ἐν τῷ ἑβδόμῳ τῆς Πρὸς Κορινθίους πρώτης·** ὁ καιρὸς συνεσταλμένος ἐστί· **καὶ ἐν τῷ δεκάτῳ τῆς αὐτῆς· ἡμεῖς ἐσμέν,** εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε· **κἀν τῇ πρώτῃ τοῦ Ἰωάννου, ἐν τῷ τετάρτῳ, τεκνί**α, ἐσχάτη ὥρα ἐστί. **Ταῦτα τοίνυν λέγεται, παρεξεταζομένου τούτου τοῦ χρόνου πρὸς τὸν ἡγησάμενον. Ἆρ' οὕτω δοκεῖ γοῦν τεκμαίρεσθαι πολλῷ βραχύτερον εἶναι τὸν τῆς παρουσίας τοῦ Χριστοῦ χρόνον μέχρι τῆς συντελείας, ἢ ἐκ τῆς τοῦ κόσμου ἀρχῆς μέχρις Χριστοῦ.**

**[5.6.10] Ἄνευ δὲ τούτων, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ βιβλίῳ, ὅτι τὸ πῦρ ἐκεῖνο τὸ κατακαῦσον τὸ πρόσωπον τῆς γῆς ἐπ' ἐσχάτων τοῦ κόσμου ἔστιν ἐκ τῆς συμφλέξεως πάντων τῶν κοσμικῶν πυρῶν. Ἀλλὰ δυνατὸν γινώσκεσθαι τοῖς θεωροῦσι τὰς οὐρανίους κινήσεις, μέχρι πόσον χρόνον τὰ οὐράνια σώματα, ὅσα πέφυκε γεννᾶν θέρμην ἐν τοῖσδε τοῖς προσγαίοις, ἔσονται ἐν δραστικωτέρᾳ θέσει πρὸς τὴν ἐκπλήρωσιν τούτου, ὡς ταύτῃ ἐνεργείᾳ τοῦ δρόμου τῶν οὐρανίων σωμάτων καὶ τῶν ὑποκειμένων πυρῶν τὴν οἰκουμενικὴν σύμφλεξιν ἐκείνην γεννήσεσθαι. Δύναται ἄρα ἐπιστηθῆναι, πότε τὸ τέλος ἔσται τοῦ κόσμου.**

**[5.6.11] Ἀλλ' ἀντίξοον ἐστὶ τὸ λεγόμενον ἐν τῷ εἰκοστῷ τετάρτῳ τοῦ Ματθαίου·** περὶ τῆς ἡμέρας καὶ ὥρας οὐδεὶς **γινώσκει,** οὐδὲ οἱ ἄγγελοι.

**65-66** ὡς – ἐστί] I Cor. 7, 29: τοῦτο δέ φημι, ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι. **66-67** καὶ – κατήντησε] I Cor. 10, 11: ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. **67-68** τῇ – ἐστί] I Io. 2, 18: Παιδία, ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστὶν. **72-74** ὁ – πυρῶν] cf. Aug., De civ. XX, cap. 18 (PL 41, col. 684): tunc figura huius mundi mundanorum ignium conflagratione praeteribit, sicut factum est mundanarum aquarum inundatione diluvium. Illa itaque, ut dixi, conflagratione mundana elementorum corruptibilium qualitates, quae corporibus nostris corruptibilibus congruebant, ardendo penitus interibunt. **81-82** Ἀλλ' – ἄγγελοι] Mt. 24, 36: Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.

**67** κἀν] κἂν M (et in Aq.)

**[5.6.12] Ἔτι, εἰ ἐχρῆν τισιν ἀνθρώποις ἀποκαλυφθῆναι, μάλιστα ἐχρῆν ἔκφορον γενέσθαι τοῖς ἀποστόλοις μαθητιῶσιν, οἳ καὶ σύμπαντος τοῦ κόσμου διδάσκαλοι κεχειροτόνηνται. Τούτοις δὲ περὶ τῆς τελευταίας ἐπιδημίας τοῦ Χριστοῦ συζητοῦσι κεχρημάτισται, ὡς ἐν τῷ πρώτῳ τῶν Πράξεων· οὐκ** ἔστιν ὑμῶν γνῶναι χρόνους **καὶ** καιρούς, οὓς ἔθετο ὁ Πατὴρ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. **Πολλῷ ἄρ' ἂν ἧττον ἄλλοις ἀπεκαλύφθη.**

**[5.6.13] Ἔτι, τὸ πιστεύειν τῇ ἀληθείᾳ καὶ τῇ ἀποκαλύψει κατὰ τὴν θείαν Γραφὴν οὐ κωλυόμεθα. Ἀλλ' ὁ ἀπόστολος ἐν τῷ δευτέρῳ τῆς Πρὸς Θεσσαλονικεῖς πρώτης κωλύει πιστεύειν ὁτῳδήποτε τρόπῳ τοῖς κηρύττουσιν,** ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ **Κυρίου. Ἄρ' οἱ πειρώμενοι τὸν καιρὸν τῆς ἡμέρας τοῦ Κυρίου διαγγέλλειν, εἰσὶν οἷόν τινες φένακες φυλακτέοι. Καὶ γὰρ κἀκεῖ ὑπάγεται·** μηδεὶς ὑμεῖς ἐξαπάτω.

**[5.6.14] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῇ Πρὸς Ὀρσίσιον ἐπιστολῇ· πλὴν οὐδενὶ τρόπῳ οὕτω γοῦν δυνατὸν ὁρισθῆναι τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ, ὡς αὐτὸ παραγενήσεσθαι λέγειν μεταξὺ λόγου χάριν ἑκατὸν ἐνιαυτῶν, ἢ ἐν ὁποστωοῦν, ἤτοι μείζονος ἀριθμοῦ ἢ ἐλάττονι διαστήματι ἐνιαυτῶν. Τοῦτο γὰρ παντάπασιν ἀγνοοῦμεν. Ἄρ' οὐ γνωσθῆναι δύναται ὁποστῳοῦν ἀριθμοῦ ἐνιαυτῶν δοθέντος, ἢ μυρίων, ἢ δισμυρίων, ἢ δυοῖν, ἢ τριῶν, ἐνιαυτῶν εἴσω τούτου τοῦ χρόνου ἔσται ἡ ἀποκειμένη τοῦ κόσμου συντέλεια.**

**[5.6.15] Ἀπόκρισις. Ῥητέον, ὅτι τοπαράπαν ὡρισμένως τὸ τέλος τοῦ κοσμικοῦ**
P 128v **χρόνου οὐ γινώσκεται | εἰ μὴ τῷ Θεῷ μόνῳ καὶ τῷ θεανθρώπῳ Χριστῷ. Τούτου δὲ αἰτία ἐστίν, ὅτι δυσὶ τρόποις προγινώσκειν δυνάμεθα μέλλοντα, δηλαδὴ τῇ τε ἐκ τῆς φύσεως γνώσει καὶ τῇ ἐξ ἀποκαλύψεως. Καὶ τῇ μὲν φυσικῇ μέλλοντά τινα προγινώσκομεν διὰ τῶν αἰτιῶν, ἃς παρούσας ὁρῶμεν, ἀφ' ὧν τὰ μέλλοντα ἐκδεχόμεθα ἀποτελέσματα, ἢ τῷ βεβαίῳ τῆς ἐπιστήμης, εἴπέρ ἐστιν ἀναγκαῖα τὰ αἴτια, οἷς ἕπεται τὰ ἀποτελέσματα, ἢ στοχαζόμενοι τῶν αἰτίων ὡς ἐπιτοπολὺ τυγχανόντων, ὧν ἔχεται τὰ ἀποτελέσματα, ὥσπερ ὅ**

**86-87** ἐν – ἀπεκαλύφθη] Act. 1, 7: εἶπε δὲ πρὸς αὐτούς˙ οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. **90-92** ὁ – Κυρίου] II Thess. 2, 2: εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε θροεῖσθαι μήτε διὰ πνεύματος μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ. **95-98** ὁ – ἐνιαυτῶν] Aug., LXXX Epist. ad Hesych.

**89** Ἀποκαλύψει] Ἀποκαλύψει τῇ M **98** ὁποστωοῦν] sic P; ἐναποστωοῦν M (quodlibet Aq.) **99** ὁποστωοῦν] sic P; ὁποστουοῦν M (quocumque Aq.) **101** συντέλεια] συντελεία M **112** τέλους] τέλος M

**τε ἀστρονόμος προγινώσκει τὴν ἐσομένην ἔκλειψιν καὶ ὁ ἰατρὸς τὴν τοῦ θανάτου καταβολήν. Τούτῳ δὲ τῷ τρόπῳ οὐ δύναται προγινώσκεσθαι ὡρισμένως ὁ χρόνος τοῦ κοσμικοῦ τέλους· αἰτία γὰρ τῆς τε κινήσεως καὶ τῆς ἀναπαύλης τοῦ οὐρανοῦ οὐκ ἔστιν ἄλλη παρὰ τὴν θείαν θέλησιν, ὡς ἀνωτέρω ἀποδέδεικται· ἣν δὴ αἰτίαν φυσικῶς γινώσκειν οὐκ ἐξικνούμεθα. Τὰ δ' ἄλλα, ὧν ἐστιν αἰτία ἡ τοῦ οὐρανοῦ κίνησις ἢ ἡτισοῦν ἄλλη αἰσθητὴ αἰτία, δύναται φυσικῇ προγνώσει προγινώσκεσθαι· ὥσπερ μερικὴ καταστροφὴ μορίου τινὸς γῆς, ἣ τέως μὲν οἰκήσιμος ἦν, γέγονε δὲ μεταταῦτα ἀοίκητος. Κατὰ δὲ ἀποκάλυψιν, εἰ καὶ γινώσκεσθαι δύναται, εἴπερ ὁ Θεὸς θέλει, οὐ μέντοι καθῆκον γέγονεν ἐκφανθῆναι εἰ μὴ τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ. Καὶ τοῦτο τρισὶ λόγοις. Πρῶτον μέν, ὅτι τὸ τοῦ κόσμου τέλος οὐκ ἔσται εἰ μὴ τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ εἰς πέρας ἥκοντος· οὗπερ ἡ συμπεράτωσίς ἐστι μονονουχί τις διεξοδικὴ γνῶσις σύμπαντος τοῦ θείου προορισμοῦ· διὸ μηδὲ χρὴ ἔκφορον γενέσθαι τὸ περὶ τοῦ τέλους τοῦ κόσμου, εἰ μὴ ᾧ πᾶς ἀποκεκάλυπται ὁ θεῖος προορισμός, εἴτουν τῷ ἀνθρώπῳ Χριστῷ, δι' οὗ σύμπας ὁ προορισμὸς τοῦ ἀνθρωπείου γένους, ὡς ἔπος εἰπεῖν, ἐκπληροῦται. Διά τοι τοῦτο καὶ λέγεται ἐν τῷ τοῦ Ἰωάννου πέμπτῳ·** ὁ Πατὴρ **ἀγαπᾷ** τὸν Υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ **ὅσα** ποιεῖ. **Δεύτερον, ὅτι διὰ τοῦ ἀγνοεῖσθαι μέχρι τίνος ἥδε ἡ τοῦ κόσμου κατάστασις διαρκεῖν δεῖ, πότερον ἐπὶ βραχὺν ἢ μακρὸν χρόνον, χρῶνται τοῖς τοῦδε τοῦ κόσμου πράγμασιν ὀλιγώρως, καθάπερ οἰχησομένοις ὀσονού· διά τοι τοῦτο καὶ λέγεται ἐν τῷ ἑβδόμῳ τῆς Πρὸς Κορινθίους πρώτης·** καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. **Τρίτον, ἵν' εἶεν ἀεὶ οἱ ἄνθρωποι ἐν παρασκευῇ εἰς τὴν τοῦ Κυρίου κρίσιν προσδοκωμένην, παντάπασιν ἀγνοουμένου τοῦ ἐπιόντος χρόνου· ἀμέλει καὶ λέγεται ἐν τῷ εἰκοστῷ τετάρτῳ τοῦ Ματθαίου·** γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ἀναλύσει. **Διά τοι τοῦτο, καὶ καθάπερ ὁ Αὐγουστῖνός φησιν ἐν τῇ Πρὸς Ὀρσίσιον ἐπιστολῇ,** ἐκεῖνος ὁ λέγων ἀγνοεῖν πότε ὁ Κύριος ἐλεύσεται, πότερον
P 129r μετὰ χρόνον βραχὺν ἢ μακρόν, τῇ εὐαγγελικῇ | ψήφῳ ὁμολογεῖ.

**126-127** ἐν – ποιεῖ] Io. 5, 20: ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. **130-132** ἐν – τούτου] I Cor. 7, 31: καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. **134-136** ἐν – ἀναλύσει] Mt. 24, 42: γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. **136-138** καθάπερ – ὁμολογεῖ] Aug., LXXX Epist. ad Hesych.

**121** ἔστι] ἔσται M (est Aq.) **125** σύμπας] σύμαπας M **130** ὀσονού] ¨ super ὀσονού et ¨ μετ' ὀλίγον in marg. sin. P **137** ἐπιστολῇ] ἐπιστολῆς M **139** καὶ – εἰδέναι] deest Aq. **140** ἐπικινδυνώτερον] ἐπικινδύνως P (periculosius Aq.)

**Ἐν ἑκατέροις δὲ τῶν τε λεγόντων εἰδέναι καὶ τῶν λεγόντων μὴ εἰδέναι, ἐπικινδυνώτερον πλανᾶται ὁ λέγων εἰδέναι, ἐν ὑπογέῳ τὸν Χριστὸν παρεσόμενον, ἢ τὸ πέρας ἐνεστηκὸς τοῦ κόσμου· τοῦτο γὰρ εἶναι δύναιτο, ἐφόσον εἰς τὸ καθάπαξ ἀπογινώσκεσθαι, εἰ τότε μὴ ἔσται, ἡνίκα ἔσεσθαι κηρύττεται.**

**[5.6.16] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, καθάπερ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ ὀγδόῳ τῶν Ζητημάτων βιβλίῳ, ἡ ἐσχάτη ἡλικία τοῦ κόσμου παραβάλλεται τῇ ἐσχάτῃ ἡλικίᾳ τοῦ ἀνθρώπου, ἣ ὡρισμένῳ ἐνιαυτῶν ἀριθμῷ οὐ περαίνεται, ὥσπερ αἱ ἄλλαι ἡλικίαι διορίζονται, εἴτε τοσόνδε διαρκεῖ, ὅσον πᾶσαι αἱ ἄλλαι, εἴτε καὶ πλεῖον. Διά τοι τοῦτο καὶ ἥδε τοῦ κόσμου ἡ τελευταία ἡλικία οὐχ οἷά τε ὡρισμένῳ ἐτῶν ἢ γενεῶν ἀριθμῷ περιγράφεσθαι.**

**[5.6.17] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ ἀποκάλυψις τῆς ἀρχῆς τοῦ κόσμου ὀνησιμωτάτη τυγχάνει οὖσα εἰς διδασκαλίαν τοῦ τὸν Θεὸν πάντων εἶναι αἰτίαν, τὸ δ' ὡρισμένως εἰδέναι τὸ πέρας τοῦ κόσμου πρὸς οὐδὲν χρήσιμον ἐστίν, ἀλλὰ καὶ μᾶλλον βλαβερόν. Καὶ διατοῦτο οὐχ ὅμοιον.**

**[5.6.18] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ ἄνθρωπος φυσικῶς οὐ μόνον ἀγωνιᾷ περὶ ἑαυτῷ, ἀλλὰ καὶ τῷ τοῦ κοινοῦ περιόντι, οὗτινός ἐστι μέρος, ὥσπερ ἢ οἰκίας ἢ πόλεως· οὕτω καὶ πάσης τῆς οἰκουμένης. Καὶ διατοῦτο γέγονεν ἀναγκαῖον ἑκάτερον ὑποκρύπτεσθαι πρὸς τὴν τῶν ἀνθρώπων ἀσφάλειαν, καὶ τὸ ἴδιον πέρας τοῦ βίου, καὶ τὸ τέλος κοινῇ τοῦ κόσμου.**

**[5.6.19] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀποκάλυψις τοῦ τέλους τῆς ἰδίας ζωῆς, ἔστι μερική τις ἀποκάλυψις· ἡ δ' ἀποκάλυψις τοῦ τέλους παντὸς τοῦ κόσμου, ἤρτηται τῆς ἀποκαλύψεως παντὸς τοῦ θείου προορισμοῦ· καὶ διατοῦτο οὐχ ὅμοιον.**

**[5.6.20] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐκεῖνα τέθειται τὰ σημεῖα πρὸς ἐνάργειαν τοῦ τὸν κόσμον ποτὲ τελευτήσειν οὐ πρὸς τὸ δεικνύναι χρόνον ὡρισμένον, πότε τὸ τέλος ἔσται· τίθενται γάρ τινα ἐν ἐκείνοις τοῖς σημείοις, ἃ ὡσανεὶ ἐξ ἀρχῆς τοῦ κόσμου γίνονται, ὥσπερ τὸ ἀναστήσεσθαι ἔθνος ἐπὶ ἔθνος, καὶ ἔσεσθαι σεισμοὺς γῆς κατὰ τόπους· ἀλλ' ἐνστάντος τοῦ τέλους τοῦ κόσμου μείζω ταῦτα ἀποβήσεται. Πόσον δὲ ἔσται τὸ μέτρον ἐκείνων τῶν**

**144-147** καθάπερ – διορίζονται] cf. Aug., lib. LXXXIII quaest., quaestio 58: Nam cum a sexagesimo anno senectus dicatur incipere, et possit humana vita usque ad centum viginti annos pervenire, manifestum est solam senectutem posse tam longam esse quam omnes priores aetates. Aetas igitur ultima generis humani, quae incipit a Domini adventu usque ad finem saeculi, quibus generationibus computetur incertum est.

**155** ἢ] ἡ M (vel Aq.)  **164** δεικνύναι] δεικνῦναι M

**σημείων τῶν περὶ τὸ τέλος τοῦ κόσμου ἐσομένων, γνώριμον ἡμῖν εἶναι οὐχ οἷον τε.**

**[5.6.21] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐκείνη ἡ ἐπιτιμία τείνει πρὸς τοὺς μὴ ὡρισμένως γνόντας τὸν καιρὸν τῆς πρώτης ἐπιδημίας.**

**[5.6.22] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ πρώτη τοῦ Χριστοῦ ἄφιξις παρεσκεύαζεν ἡμῖν ὁδὸν πρὸς τὸ κατορθοῦν διὰ πίστεως καὶ τῶν ἄλλων ἀρετῶν· καὶ διατοῦτο ἐκ τοῦ ἡμετέρου μέρους ἐζητεῖτο τῆς** P 129v **πρώτης ἀφίξεως | αὐτοῦ ἡ αἴσθησις, ὡς πιστεύοντες εἰς τὸν παρεσόμενον διὰ τῆς αὐτοῦ χάριτος κατορθοῦν δυνάμεθα. Ἐν τῇ δευτέρᾳ δὲ αὐτοῦ παρουσίᾳ γέρα καταβάλλονται ὑπὲρ τῶν κατωρθωμένων· καὶ ταύτῃ οὐ ζητεῖται ἐκ τοῦ ἡμετέρου μέρους τι δὴ πρακτέον ἢ τί ὑποληπτέον, ἀλλὰ τί ἀποισόμεθα. Ὅθεν οὐκ ἀνάγκη γινώσκειν ὡρισμένως <περὶ> ταυτησὶ τῆς ἐπιδημίας. Λέγεται δὲ ἐκείνη ἡ παρουσία ἐμφανής, οὐχ ὅτι ἐναργῶς προγνωσθήσεται, ἀλλ’ ὅτι καταφανὴς ἔσται, ἐπειδὰν παραγένηται.**

**[5.6.23] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ σωματικὴ τοῦ ἀνθρώπου ζωὴ ἔκ τινων προτέρων καὶ σωματικῶν αἰτιῶν ἤρτηται, ἐξ ὧν περὶ τοῦ τέλους αὐτῆς γινώσκεσθαι δυνατόν· οὐχ οὕτω δέ ἐστι καὶ περὶ τοῦ ὅλου κόσμου. Καὶ διατοῦτο, ὅσον πρὸς τοῦτο, οὐκ ἔστιν ὅμοιον, εἰ καὶ ἔν τισιν ὁ ἄνθρωπος, ὃς λέγεται μικρὸς κόσμος, ὁμοιότητα τοῦ μείζονος φέρει κόσμου.**

**[5.6.24] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὰ ῥήματα ἐκεῖνα δοκοῦσιν ἐν ταῖς Γραφαῖς πρὸς τὴν τοῦ χρόνου βραχυτῆτα ἀναφέρεσθαι ἢ καὶ πρὸς τὴν ἐγγύτητα τοῦ τέλους, ὅμως οὐκ ἀνακτέα εἰσὶ πρὸς τὸ τῆς ποσότητος ἐπίτομον μᾶλλον ἢ πρὸς τὸ διακείμενον τῆς τοῦ κόσμου καταστάσεως. Οὐ γὰρ τὸν εὐαγγελικὸν κόσμον, ὃς πρὸς τελειότητα τοὺς ἀνθρώπους ἐψυχαγώγησεν, ἑτέρα τις κατάστασις διαδέχεται, ὥσπερ αὐτὸς τὸν παλαιὸν διεδέξατο, καὶ ὁ παλαιὸς τὸν φυσικόν.**

**[5.6.25] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἐκείνη ἡ σύμφλεξις τῶν κοσμικῶν πυρῶν οὐ πιστεύεται μέλλειν ἔκ τινος φυσικῆς αἰτίας, ὡς ἂν ἐκείνως ἐκ τῆς καταλήψεως τῆς τοῦ οὐρανίου σώματος κινήσεως ὁ ταύτης καιρὸς προγινώσκοιτο· ἀλλὰ πρόεισι τῷ τῆς θείας βουλήσεως ἐπιτάγματι.**

**172** Hic post ἐπιδημίας Aq. habet non autem ad eos qui ignorant tempus determinatum secundi adventus. **178** αὐτοῦ] αὐτῆς M (intellige Χριστοῦ) **180** μέρους] μέρος M **183** ἐπειδὰν] ἐπειδᾶν et bis acc. P **186** οὕτω] ὅτω M **195** Hic post παλαιὸς Aq. habet lex **197** ὡσᾶν et bis acc. P

## Κεφάλαιον ἕβδομον

## Πότερον παυσαμένης τῆς τοῦ οὐρανοῦ κινήσεως μενοῦσι τὰ στοιχεῖα ἢ οὔ.

**[5.7.1] Ἕβδομον ζητεῖται, πότερον παυσαμένης τῆς οὐρανίου κινήσεως μενοῦσι τὰ στοιχεῖα. Καὶ δοκεῖ μὴ πάνυ. Λέγεται γὰρ ἐν τῷ τρίτῳ τῆς δευτέρας Πέτρου, ὅτι ἐν τῷ τοῦ κόσμου τέλει τὰ** στοιχεῖα καυσούμενα λυθήσεται. **Τὸ δὲ λυόμενον οὐ μένει. Τὰ στοιχεῖα ἄρα οὐ μενεῖ.**

**[5.7.2] Ἀλλ' ἔλεγεν, ὅτι μενοῦσι κατὰ τὴν οὐσίαν, ἀλλ' οὐ κατὰ τὰς ποιότητας, ὅσαί τε ποιητικαὶ καὶ παθητικαί. Ἀλλ' ἀπεναντίας, μενούσης τῆς αἰτίας μένει τὰ ἀποτελέσματα. Ἀλλ' αἱ οὐσιώδεις ἀρχαί εἰσιν αἰτίαι τῶν ἰδίων συμβεβηκότων. Ἐπεὶ τοίνυν αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες εἰσὶν ἴδια τῶν στοιχείων συμβεβηκότα, δοκεῖ τῶν οὐσιωδῶν ἀρχῶν μενουσῶν, ὧν ἐκτὸς ἡ οὐσία εἶναι οὐ δύναται, καὶ τὰς παθητικὰς καὶ ποιητικὰς ποιότητας μένειν.**

**[5.7.3] Ἔτι, τὸ ἀχώριστον συμβεβηκὸς οὐδέποτε ἐνεργείᾳ ἀποκρίνεται. Ἀλλὰ** P 130r **τὸ θερμόν ἐστιν ἀχώριστον συμβεβηκὸς | τοῦ πυρός. Οὐκ ἄρα δύναται σῴζεσθαι τὸ πῦρ μὴ μενούσης ἐν αὐτῷ τῆς θέρμης. Τῷ δ' αὐτῷ λόγῳ καὶ περὶ τῶν ἄλλων στοιχείων.**

**[5.7.4] Ἀλλ' ἐρεῖς, ὅτι τῇ θείᾳ δυνάμει τοῦτ' ἔσται, τὸ τὰ στοιχεῖα ἔξω τῶν τε ποιητικῶν καὶ παθητικῶν ποιοτήτων μένειν, εἰ καὶ κατὰ φύσιν τοῦτο ἀδύνατον. Ἀλλὰ τοὐναντίον, ὥσπερ ἐν τῇ τοῦ κόσμου ἀρχαιογονία γέγονεν ἡ τῆς φύσεως καταβολή, οὕτως ἐν τῷ τοῦ κόσμου τέλει ἔσται ἡ τῆς φύσεως τελείωσις. Ἀλλ' ἐν τῇ τοῦ κόσμου ἀρχαιογονίᾳ, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τοῖς Εἰς τὴν γένεσιν,** οὐχ ἅλις ἔχει λέγειν τί ὁ Θεὸς δύναται ποιεῖν, ἀλλὰ τί ἡ φύσις στέγει τῶν ὄντων. **Τοῦτο τοίνυν καὶ ἐν τῷ τοῦ κόσμου πέρατι σκοπεῖται.**

**[5.7.5] Ἔτι, ποιητικαὶ καὶ παθητικαὶ ποιότητες εἰσὶν ἐν πᾶσι τοῖς στοιχείοις. Ὑφηγεῖται δὲ ἡ τοῦ Βέδα ἑρμηνεία ἐν τῇ τοῦ Πέτρου ἀποφάσει τῇ ἀνωτέρω ἐπενεχθείσῃ, ὅτι ἐκεῖνο τὸ πῦρ τὸ ἐσόμενον ἐν τῷ τοῦ κόσμου τέλει, δύο μὲν στοιχεῖα τοῦ παντὸς δαπανήσει, τὰ δὲ δύο ἄλλα, εἰς κρεῖττον εἶδος μεταμείψει.**

**4-5** ἐν – λυθήσεται] II Petr. 3, 1: Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. **21-23** Ἀλλ' – ὄντων] Aug., De gen. ad litt. II, cap. 1, n. 2 (PL 34, col. 263): Neque quisquam istos debet ita refellere, ut dicat secundum omnipotentiam Dei, cui cuncta possibilia sunt, oportere nos credere, aquas etiam tam graves, quam novimus atque sentimus, coelesti corpori, in quo sunt sidera, superfusas. Nunc enim quemadmodum Deus instituerit naturas rerum, secundum Scripturas eius nos convenit quaerere; non quid in eis vel ex eis ad miraculum potentiae suae velit operari.

**13** ἀποκρίνεται] separatur Aq. **28** δύναται] δύναιται M

Οὐ τοίνυν δύναται νοεῖσθαι τῶν στοιχείων ἡ λύσις ὅσον πρὸς τὰς ποιητικὰς καὶ παθητικὰς ποιότητας. Ὡδὶ γάρ, οὐ τὰ δύο μόνον λέγοιντο δαπανᾶσθαι.

[5.7.6] Ἦ δ’ ὅς· ἐν τοῖν δυοῖν στοιχείοιν, δηλαδὴ τῷ τε πυρὶ καὶ τῷ ὕδατι, μάλιστα ἔρρωνται αἱ ποιητικαὶ ποιότητες, τό τε θέρος λέγω καὶ τὸ ῥίγος· διά τοι τοῦτο καὶ μόνα ταῦτα τὰ δύο παρὰ τὰ ἄλλα δαπανᾶσθαι λέγονται. Ἀλλ’ ἰτέον εὐθύ· ἐν τῷ τοῦ κόσμου τέλει τὰ στοιχεῖα βελτιωθήσεται. Ἀλλὰ κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ δωδεκάτῳ τῆς Εἰς τὴν γένεσιν ἐξηγήσεως, τὸ ποιοῦν, τιμιώτερόν ἐστι τοῦ πάσχοντος. Μᾶλλον ἄρα χρῆν μένειν τὰ στοιχεῖα, ἐν οἷς αἱ ποιητικαὶ ποιότητες ἔρρωνται, ἢ ἐν οἷς αἱ παθητικαὶ ποιότητες ἀσθενοῦσι.

[5.7.7] Παρὰ ταῦτα, ὁ Αὐγουστῖνος φησίν, ὅτι πρὸς μὲν τὸ πάσχειν ἡ ὑγρὰ οὐσία καὶ ἡ γῆ, πρὸς δὲ τὸ δρᾶν ὁ ἀὴρ καὶ τὸ πῦρ τὴν ἐπιτηδειότητα ἴσχει. Εἰ τοίνυν διὰ τὴν δραστήριον ποιότητα ἔνια τῶν στοιχείων ἀναλίσκεσθαι λέγεται, ἔοικε μὴ προσήκειν τοῦτο νοεῖσθαι περί τε πυρὸς καὶ ὕδατος, ἀλλὰ μᾶλλον περί τε πυρὸς καὶ ἀέρος.

[5.7.8] Ἔτι, ὥσπερ φυσικαὶ ποιότητές εἰσι τῶν στοιχείων τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ ὑγρὸν καὶ τὸ ξηρόν, οὕτω καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον. Εἰ τοίνυν αἱ ποιότητες ἐκεῖναι οὐ μένουσιν ἐν τοῖς στοιχείοις, οὐδὲ ἡ βαρύτης καὶ ἡ κουφότης ὑπομενοῦσιν ἐν αὐτοῖς. Τῇ δὲ φύσει τοῦ τε βαρέος καὶ τοῦ κούφου τὰ στοιχεῖα τοὺς φυσικοὺς αὐτῶν τόπους εἴληχεν. Εἰ τοίνυν αἱ τούτων ποιότητες κινήσονται μετὰ τὸ τοῦ κόσμου τέλος, οὐ μενεῖ ἡ θέσις διακεκριμένη, ὡς τὴν μὲν γῆν εἶναι κάτω, ἄνω δὲ τὸ πῦρ.

[5.7.9] Χωρὶς δὲ τούτων, τὰ στοιχεῖα γέγονε διὰ τὸν ἄνθρωπον, ἐλαύνοντα εἰς
P 130v τὴν μακαριότητα. Ἀλλὰ τοῦ τέλους ληφθέντος παύονται τὰ πρὸς τὸ τέλος. Ἄρα τοῦ | ἀνθρώπου ἤδη καθάπαξ καταλύσαντος εἰς τὴν μακαριότητα, ὅπερ ἐν τῷ τοῦ κόσμου τέλει γενήσεται, παύσονται.

[5.7.10] Ἔτι, ἡ ὕλη ἐστὶ διὰ τὸ εἶδος, οὗ διὰ τῆς γενέσεως μεταποιεῖται. Τὰ στοιχεῖα δὲ παραβάλλονται πρὸς πάντα τὰ ἄλλα σώματα τὰ μικτὰ ὥσπερ ὕλη. Παύσεται τοίνυν τῆς γενέσεως τῶν μικτῶν παυσαμένης μετὰ τὸ τοῦ κόσμου τέλος. Ἔοικεν ἄρα τὰ στοιχεῖα μὴ μενεῖν.

**35-37** Ἀλλὰ – πάσχοντος] Aug., De gen. ad litt. XII, cap. 16, n. 33: (PL 34. col. 468): Omni enim modo praestantior est qui facit, ea re de qua aliquid facit. **39-40** ὁ – ἴσχει] Aug., De gen. ad litt. III, cap. 10, n. 14 (PL 34, col. 284): Quapropter, etsi daemones – aer et ignis.

**41** ποιότητα] virtutem Aq.

**[5.7.11] Ἔτι, ἐπ’ ἐκεῖνο τὸ εἰκοστῷ πρώτῳ τοῦ Λουκᾶ,** ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, **φησὶν ἡ ἑρμηνεία, ὅτι ἀποσκευάσονται τὸ πρότερον εἶδος τὰ στοιχεῖα. Ἐπεὶ τοίνυν ἀποτίθενται τὸ εἶδος, δοκεῖ τὰ στοιχεῖα ἐπὶ τοῦ τέλους τοῦ κόσμου εἶναι παύσασθαι.**

**[5.7.12] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά,** τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον **οὐκ εἰσὶ τοῦ αὐτοῦ** γέν**ους· τῷ δ’ αὐτῷ λόγῳ, καὶ τὸ μεταβλητὸν καὶ τὸ ἀμετάβλητον. Εἰ ἄρα τι ἐκ τοῦ μεταβλητοῦ εἰς τὸ ἀμετάβλητον ἀμειφθείη, δοκεῖ μὴ μενεῖν ἐν τῷ γένει τῆς αὐτοῦ φύσεως. Τὰ δὲ στοιχεῖα ἀμειφθήσεται ἐκ τοῦ μεταβλητοῦ εἰς τὸ ἀμετάβλητον, ὡς φαίνεται διὰ τῆς ἑρμηνείας, ἢ ἐπ’ ἐκεῖνο τὸ τοῦ Ματθαίου πέμπτον, ἄχρις οὗ** ὁ οὐρανὸς καὶ ἡ γῆ παρελ**εύσεται, καὶ τὰ λοιπά, φησίν, ἄχρι ἂν μεταβῇ ἐκ τοῦ μεταβλητοῦ εἰς τὸ ἀμετάβλητον. Ἄρα οὐδὲ ἡ φύσις τῶν στοιχείων ἀπογενήσεται.**

**[5.7.13] Ἔτι, αὕτη ἡ ἕξις, ἣν ἄρτι ἔχουσιν, ἐστὶν ἐν τοῖς στοιχείοις φυσική. Εἰ ταύτην τοίνυν ἀποσκευασάμενα ἑτέραν ἀνέλοιντο, ἐκείνη ἔσται τούτοις παρὰ φύσιν. Ὃ δέ ἐστι** παρὰ φύσιν καὶ βίαιον, οὐ **δύναται** εἶναι ἀίδιον, **ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ Περὶ οὐρανοῦ καὶ κόσμου βιβλίῳ. Ἐκεῖνο ἄρα τὸ διακείμενον οὐ δύναται εἰς τὸ ἅπαξ διαμεῖναι ἐν τοῖς στοιχείοις, ἀλλ’ αὖθις τὴν παροῦσαν ἕξιν ἀνακάμψουσιν· ὃ δοκεῖ εἶναι ἀσύμβλητον. Ἄρα ταυτὶ τὰ στοιχεῖα κατ’ οὐσίαν παύσονται, ἀλλ’ οὐχ ἡ τούτων ἕξις τῆς οὐσίας μενούσης.**

**[5.7.14] Ἄνευ δὲ τούτων, ἐκεῖνο μόνον εἶναι δύναται ἄφθαρτον καὶ γενητόν, τὸ τὴν ὕλην αὐτοῦ ὅλην ἔχον ὑπὸ τὸ εἶδος, πρὸς ὅ ἐστιν ἐν δυνάμει, ὡς προῦπτόν ἐστιν ἐν τοῖς οὐρανίοις σώμασι. Τοῦτο δὲ τοῖς στοιχείοις οὐκ οἰκείως ἔχει· ἡ γὰρ οὖσα ὕλη ὑπὸ τὸ τοῦ ἑνὸς εἶδος στοιχείου ἐστὶν ἐν δυνάμει πρὸς τὸ τοῦ ἑτέρου εἶδος. Τὰ στοιχεῖα ἄρα οὐ δύναται εἶναι ἄφθαρτα. Καὶ ταύτῃ οὐ δύνανται ἐσαεὶ διαμένειν.**

**[5.7.15] Ἔτι, ὃ μὴ ἔχει δύναμιν εἶναι ἀεί, οὐχ οἷόν τε ἀιδίως διαμένειν. Τὰ δ’ ἄρα στοιχεῖα, φθαρτὰ ὄντα, οὐκ ἔχει δύναμιν εἶναι ἀεί. Οὐ δύνανται ἄρα**

**59-60** ἐπ’ – παρελεύσεται] Lc. 21, 33: ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. **63-64** κατὰ – γένους] Ar., Metaph. X, 1058 b.28-29: ἀνάγκη ἕτερον εἶναι τῷ γένει τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον. **68-69** ἐπ’ – παρελεύσεται] Mt. 5, 18: ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. **74-75** Ὃ – βιβλίῳ] Ar., De coel. II, 296a.33-34: Διόπερ οὐχ οἷόν τ' ἀΐδιον εἶναι, βιαιόν γ' οὖσαν καὶ παρὰ φύσιν· ἡ δέ γε τοῦ κόσμου τάξις ἀΐδιος.

**69** ἄχρι] ἄχρις P **76** τὸ ἅπαξ] τοάπαξ P **85** οὐκ] deest P (non Aq.)

**ἀιδίως διαμένειν τῆς οὐρανίου κινήσεως παυσαμένης.**

**[5.7.16] Ἀλλὰ λέγω, τὰ μὲν στοιχεῖα εἶναι ἄφθαρτα τῷ ὅλῳ, εἰ καί εἰσι τῷ μέρει γοῦν που φθαρτά. Ἀλλ’ ἰτέον ὁμόσε. Τοῦτο προσήκει τοῖς στοιχείοις διὰ τὴν οὐράνιον φοράν, δι’ ἣν ἑνὸς μέρους τοῦ στοιχείου φθειρομένου θάτερον**
P 131r **γίνεται· οὕτω γὰρ τὸ καθόλου αὐτοῦ συντηρεῖται. Τῆς οὐρανίου | ἄρα φορᾶς παυσαμένης οὐχ οἷόν τε ἀποδοῦναι αἰτίαν ἀφθαρσίας τοῦ καθόλου στοιχείου.**

**[5.7.17] Πρὸς δὲ τούτοις, ὁ Φιλόσοφος λέγει ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν· ἡ τοῦ οὐρανοῦ** κίνησίς **ἐστι μονονοὺ** ζωή τις πᾶσι τοῖς φύσει **ὑπάρχουσιν· ὅ τε Ῥαββὶ Μωυσῆς τὴν τοῦ οὐρανοῦ κίνησιν ἐν τῷ παντὶ εἶναί φησιν ὥσπερ τὴν τῆς καρδίας κίνησιν ἐν τῷ ζῴῳ, ἀφ’ ἧς ἀνῆπται ἡ ζωὴ τοῦ ὅλου ζῴου. Παυσαμένης δὲ τῆς τῆς καρδίας κινήσεως πάντα τὰ τοῦ ζῴου μόρια διαλύεται. Παυσαμένης ἄρα τῆς οὐρανίου κινήσεως πάντα τὰ μέρη τοῦ παντὸς φροῦδα γενήσεται.**

**[5.7.18] Ἔτι, τὸ εἶναι οὑτινοσοῦν ἐστιν ἐκ τοῦ ἑαυτοῦ εἴδους. Ἀλλ’ ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν αἰτία τῶν εἰδῶν ἐν τούτοις τοῖς ὑποβεβηκόσιν. Ὃ φαίνεται ἐκ τῶνδε· οὐδὲν γὰρ ἐν τοῖς ὑποβεβηκόσι δρᾷ πρὸς τὸ εἶδος εἰ μὴ τῇ δυνάμει τῆς οὐρανίου κινήσεως, ὡς οἱ φυσικοὶ φασί. Παυσαμένης τοίνυν τῆς οὐρανίου κινήσεως τὰ στοιχεῖα εἶναι παύσεται ἀπολωλότων τῶν εἰδῶν αὐτῶν.**

**[5.7.19]Ἔτι, τῇ παρουσίᾳ τοῦ ἡλίου τὰ ὑπὲρ ἡμᾶς στοιχεῖα εἰσὶ θερμότερα τῶν ὑπὸ γῆς, ὥσπερ ἐπὶ τοῦ θέρους συμβαίνει διὰ τὴν τῆς θερμότητος ἀκμήν· τῇ δ’ αὖ ἀπουσίᾳ αὐτοῦ τὸ ἀνάπαλιν. Τῆς οὐρανίου δὲ κινήσεως ληξάσης ὁ ἥλιος αἰεὶ ἐκ μὲν θατέρου μέρους παρέσται, ἐκ δὲ θατέρου ἀπέσται. Ἐκ θατέρου τοίνυν μέρους τὰ στοιχεῖα καταληφθήσεται ψυχρά, ἐκ δὲ θατέρου θερμά. Καὶ ταύτῃ τὰ στοιχεῖα οὐ μενεῖ τῆς οὐρανίου φορᾶς ἐπισχούσης.**

**[5.7.20] Ἀλλ’ ἐναντίον ἐστὶν ὅ φησιν ἡ τοῦ Ἀμβροσίου ἐξήγησις ἐν τῷ ὀγδόῳ τῆς Πρὸς Ῥωμαίους, ἐπ’ ἐκείνῳ·** τῇ γὰρ ματαιότητι ἡ κτίσις **καὶ τὰ λοιπά· πάντα**

**94-95** ὁ – ὑπάρχουσιν] Ar., Phys. VIII, 250b.11-15: Πότερον γέγονέ ποτε κίνησις οὐκ οὖσα πρότερον, καὶφθείρεται πάλιν οὕτως ὥστε κινεῖσθαι μηδέν, ἢ οὔτ' ἐγένετο οὔτε φθείρεται, ἀλλ' ἀεὶ ἦν καὶ ἀεὶ ἔσται, καὶ τοῦτ' ἀθάνατον καὶἄπαυστον ὑπάρχει τοῖς οὖσιν, οἷον ζωή τις οὖσα τοῖς φύσειστῶσι πᾶσιν; **113-114** ἐν – λοιπά] Rom. 8, 20: τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι.

**91** ἄρα φορᾶς] ἀναφορᾶς P (Motu ergo Aq.) **100** Hic post γενήσεται Aq. habet: et ita elementa non remanebunt. **101** ἑαυτοῦ] ἑαυτῆς M **107-108** εἰσὶ – γῆς] vincunt semper inferiora Aq.

**τὰ στοιχεῖα σύν γε καμάτῳ μετίασι τὰς ἑαυτῶν διακονίας. Ὅθεν ἠρεμήσουσιν ἡμῶν ἀναληφθέντων. Τὸ γὰρ ἠρεμεῖν οὐκ ἔστιν εἰ μὴ τῶν ὄντων. Ἄρα καὶ ἐν τῷ τοῦ κόσμου τέλει μενοῦσιν.**

**[5.7.21] Ἔτι, τὰ στοιχεῖα γέγονε πρὸς δήλωσιν τῆς θείας ἀγαθότητος. Ἀλλὰ τότε μάλιστα δεήσει τὴν θείαν ἀγαθότητα διαδείκνυσθαι, ἡνίκ' ἂν τὰ ὄντα τὴν τελευταίαν ὁμοιότητα κομίσωνται. Τὰ στοιχεῖα ἄρα ἐν τῷ τοῦ κόσμου τέλει διαμενοῦσιν.**

**[5.7.22] Ἀπόκρισις. Ῥητέον, ὅτι παρὰ πᾶσι κοινῇ ἀνομολογεῖται τὰ στοιχεῖα τῇ μὲν διαμεῖναι, τῇ δ' αὖ παρελθεῖν. Ἀλλ' ἐν τῷ τοῦ μένειν καὶ ἀπιέναι τρόπῳ ἡ δόξα διαφέρεται. Ἔνιοι μὲν γὰρ εἰρήκασι πάντα μενεῖν τὰ στοιχεῖα, τό γ' ἧκον εἰς τὴν ὕλην, ἀλλά τινα κρεῖττον εἶδος ἀπολήψεσθαι, οἷον τό τε πῦρ καὶ τὸ ὕδωρ, ἃ μεταλήψονται τὸ τοῦ οὐρανοῦ εἶδος, ὡς ταύτῃ τρία στοιχεῖα δύνασθαι ὀνομάζεσθαι οὐρανόν, οἷον ὁ ἀήρ, ὃς καὶ ἐκ τῆς ἑαυτοῦ φύσεως ἔλαχεν ἐνίοτε ἐν ταῖς Γραφαῖς ὁ οὐρανὸς ὀνομάζεσθαι, ὡς δὲ καὶ τὸ ὕδωρ καὶ τὸ πῦρ· ὡς οὕτω νομίζεσθαι ἀληθεύειν τὸ λεγόμενον ἐν τῷ εἰκοστῷ πρώτῳ τῆς Ἀποκαλύψεως·** εἶδον οὐρανὸν καινόν, καὶ γῆν
P 131v καινήν**, ὡς ὑπὸ τῷ τοῦ | οὐρανοῦ ὀνόματι τῶν τριῶν συμπαραλαμβανομένων, τοῦ τε πυρός φημι καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος. Αὕτη μὲν ἡ δόξα εἰς τἀδύνατον φέρει. Τὰ γὰρ στοιχεῖα οὐκ εἰσὶν ἐν δυνάμει πρὸς τὸ τοῦ οὐρανοῦ εἶδος. Τὸ γὰρ οὐράνιον εἶδος ἐναντίον οὐκ ἔχει, ὑπὸ τῷ τοῦ οὐρανοῦ τε εἴδει πᾶσα ἐστὶν ἡ ὕλη ἡ δυνάμει οὖσα πρὸς αὐτό. Οὕτω γὰρ ἂν ὁ οὐρανὸς γενητὸν καὶ φθαρτὸν εἴη ἄν, ὅπερ ὁ Φιλόσοφος ψευδὲς ἀποδείκνυσιν, ἐν τῷ τοῦ Οὐρανοῦ καὶ τοῦ κόσμου πρώτῳ. Διά τοι τοῦτο καὶ ᾗ ταῦτα ἀποδείξει, ἀποδείκνυται, ἕωλός ἐστιν· ἐν γὰρ τῇ Γραφῇ, καθὰ φησὶν ὁ Βασίλειος ἐν τῇ Ἑξαημέρῳ, διὰ** τῶν ἄκρων **νοεῖται τὰ** μέσα**, ὡς φαίνεται ἐν τῷ τῆς Γενέσεως πρώτῳ, ἡνίκα λέγεται· ἐν** ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν**· τῇ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς δημιουργίᾳ καὶ τὰ μεταξὺ συνεπινοεῖται στοιχεῖα. Ἐνίοτε δὲ καὶ τῆς γῆς ὀνόματι μόνον ὁ τῶν**

**136-137** ἂν – πρώτῳ] Ar., De coel. I, 269b.13-17: Διόπερ ἐξ ἁπάντων ἄν τις τούτων συλλογιζόμενος πιστεύσειεν ὡς ἔστι τι παρὰ τὰ σώματατὰ δεῦρο καὶ περὶ ἡμᾶς ἕτερον κεχωρισμένον, τοσούτῳ τιμιωτέραν ἔχον τὴν φύσιν ὅσῳπερ ἀφέστηκε τῶν ἐνταῦθα πλεῖον. **130-131** ἐν – καινήν] Apoc. 21, 1. **138-140** ἐν – μέσα] Bas., Hom. in Hex. I, cap. (PG 29, col. 4): Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἐκ δύο τῶν ἄκρων τοῦ παντὸς τὴν ὕπαρξιν παρῃνίξατο, τῷ μὲν οὐρανῷ τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδούς, τὴν δὲ γῆν δευτερεύειν φάμενος τῇ ὑπάρξει. Πάντως δὲ καὶ εἴ τι τούτων μέσον, συναπεγενήθη τοῖς πέρασιν. **139-141** ἐν – γῆν] Gen. 1, 1: ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

**119** ἂν] bis acc. P **129** Hic post πῦρ Aq. habet quae formam caeli assument. **142** στοιχεῖα] τὰ στοιχεῖα M

**ὑποβεβηκότων κατάλογος συμπεριλαμβάνεται, ὡς ἐν τοῖς Ψαλμοῖς σαφές ἐστιν·** αἰνεῖτε τὸν Κύριον, ἐκ τῆς γῆς **λεγόμενον· μεθ' ἃ ὑπόκειται,** πῦρ, χάλαζα, **καὶ τὰ λοιπά. Ὅθεν οὐδὲν προσίσταται λέγειν τὴν Γραφὴν διὰ τῆς ἀνανεώσεως τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τὴν τῶν μέσων στοιχείων ἀνανέωσιν νοεῖν, ἢ ὑπὸ τῷ τῆς γῆς ὀνόματι πάντα τὰ στοιχεῖα συνελεῖν. Ταῦτ' ἄρα ἕτεροι φασίν, ὅτι πάντα τὰ στοιχεῖα διαμενεῖν κατὰ τὴν οὐσίαν, οὐ κατὰ τὴν ὕλην μόνον, ἀλλὰ καὶ κατὰ τὰ οὐσιώδη εἴδη. Κατὰ γὰρ τὴν δόξαν Ἀβικένου, ὥσπερ ἔμενε τὰ οὐσιώδη εἴδη τῶν στοιχείων ἀναπεφυρμένα ἐν ἀρχῇ τῆς τοῦ κόσμου ποιήσεως τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων μὴ μενουσῶν ἐν ταῖς αὐτῶν ἀκμαῖς, ἀλλ' εἰς τὸ μέσον ἀναλελυμένων, οὕτω δυνατὸν ἔσται ἐν τῇ τελευταίᾳ τοῦ κόσμου καταστάσει ἄνευ τῶν προειρημένων ποιοτήτων μένειν τὰ στοιχεῖα· ὃ δοκεῖ συνᾴδειν τῷ ὑπὸ τοῦ Αὐγουστίνου εἰρημένῳ ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ εἰκοστῷ·** ἐν ἐκείνῃ τῇ μεταμορφώσει τοῦ κόσμου τῶν φθαρτῶν στοιχείων αἱ ποιότητες αἱ τοῖς ἡμετέροις σώμασιν ἐπιβάλλουσαι, ἐμπιπραμένων παντάπασιν οἰχήσονται· ἐκείνη τε ἡ οὐσία ταύτας ποιότητας ἕξει, αἳ τοῖς ἀθανάτοις σώμασιν θαυμαστῇ μεταβολῇ προσήκουσιν. **Ἀλλ' οὐ δοκεῖ σὺν λόγῳ τοῦτο εἰρῆσθαι. Πρῶτον μέν· ἐπεὶ γὰρ αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητές εἰσι καθ' αὑτὰς συμβεβηκότα τῶν στοιχείων, δεῖ ταῖς οὐσιώδεσιν ἀρχαῖς ὁρίζεσθαι· ὅθεν οὐχ οἷόν τε εἶναι τῶν οὐσιωδῶν ἀρχῶν μενουσῶν ἐν τοῖς στοιχείοις τὰς προειρημένας ποιότητας ἀπαλλάττειν εἰ μὴ βίᾳ· ὃ οὐχ οἷον τε εἶναι μόνιμον. Καὶ διατοῦτο ἡ τοῦ Ἀβικένου ὑπόληψις εἶναι οὐ δοκεῖ ἔνδοξος, μὴ μένειν τὰ εἴδη τῶν στοιχείων ἄμικτα ἐνεργείᾳ, μόνῃ δὲ δυνάμει. Δεῖ γάρ, ὥς φησιν ὁ Φιλόσοφος, τῶν διαφόρων στοιχείων τὰ εἴδη ἐν διαφόροις μέρεσι τῆς ὕλης συντηρεῖσθαι· ὅπερ οὐκ ἂν εἴη, εἰ μὴ εἶεν καὶ τῇ θέσει διακεκριμένα· καὶ**
P 132r **ταύτῃ οὐκ ἂν | εἴη ἀληθὴς μίξις, ἀλλὰ κατ' αἴσθησιν μόνον, καὶ μάλισθ' ὅτι ἐν τῷ μικτῷ ἐμποδίζονται ἑνὸς στοιχείου ποιότητες διὰ τῶν ἑτέρου· ὅπερ οὐχ οἷον τε λέγεσθαι ἐν τῇ τοῦ κόσμου συμπερατώσει, ἔνθα πᾶσα παύσεται βία.**

**143-145** ἐν – χάλαζα] Ps. 148, 7-8: αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι˙ 8 πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ˙ **154-159** ᾧ – προσήκουσιν] Aug., De civ. XX, cap. 16 (PL 41, col. 682): Illa itaque, ut dixi, conflagratione mundana elementorum corruptibilium qualitates, quae corporibus nostris corruptibilibus congruebant, ardendo penitus interibunt, atque ipsa substantia eas qualitates habebit, quae corporibus immortalibus mirabili mutatione conveniant.

**148** ὅτι] deest M (quod Aq.) **150** ἀναπεφυρμένα] ἀναπεφυμένα M (in mixto Aq.) **150-151** ἐν – ποιήσεως] deest Aq. **167** εἶεν] εἶναι M (esset Aq.) **168** ταύτῃ] ταύτης M (sic Aq.) **159** μεταβολὴ] bis acc. P

Δεύτερον, ἐπεὶ γὰρ αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες εἰσὶν ἐκ τῆς τελειότητος τῆς φύσεως τῶν στοιχείων, ἕψεται τὰ στοιχεῖα ἀτελῆ καταλειφθῆναι. Διά τοι τοῦτο ἡ τοῦ Αὐγουστίνου προεισαχθεῖσα ἀπόφασις οὐ διαλέγεται περὶ τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων, ἀλλὰ περὶ τῶν ἕξεων αὐτῶν, αἳ γίνονται καὶ φθείρονται καὶ ἀλλοιοῦνται. Καὶ διατοῦτο δοκεῖ μᾶλλον λέγειν τὰ στοιχεῖα ἐν ταῖς αὐτῶν οὐσίαις μένειν καὶ ἐν ταῖς αὐτῶν ποιότησι ταῖς φυσικαῖς, αἱ δὲ ἀμοιβαδὸν γενέσεις καὶ φθοραὶ καὶ ἀλλοιώσεις ἀναπαύσονται· διὰ γὰρ τῶν τοιούτων τὰ στοιχεῖα πρὸς τὴν ἐκπλήρωσιν τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ τάττονται, καθαπεροῦν καὶ ὁ οὐρανὸς διὰ τῆς αὐτοῦ κινήσεως. Ἀλλ’ αἱ τῶν στοιχείων οὐσίαι ὑπομενοῦσιν, ὥσπερ καὶ ἡ τοῦ οὐρανοῦ οὐσία. Ἐπεὶ γὰρ τὸ πᾶν ἀιδίως μένοι, ὡς ἀνωτέρω εἴρηται, δεῖ δὴ τὰ ὄντα ἐκ τῆς τοῦ παντὸς τελειότητος πρῶτον καὶ καθ’ αὐτὰ διαμένειν. Τοῦτο δὲ προσήκει τοῖς στοιχείοις, οὐσιώδει μέρει τοῦ παντὸς οὖσιν, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ δευτέρῳ τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου. Εἰ γὰρ εἴη σῶμα κυκλικόν, δεῖ εἶναι καὶ κέντρον αὐτοῦ, ὅπέρ ἐστιν ἡ γῆ. Τεθείσης δὲ τῆς γῆς, ἁπλῶς οὔσης βαρείας, ὡσὰν ἐν τῷ μέσῳ καθεστηκυίας, ἀνάγκη τιθέναι τὸ ἐναντίον αὐτῇ, εἴτουν τὸ πῦρ, ὅπέρ ἐστιν ἁπλῶς κοῦφον· εἰ γὰρ τὸ ἓν τῶν ἐναντίων ἔστιν ἐν τῇ φύσει, καὶ τὸ λοιπὸν δῆλον. Ὑποτεθέντων δὲ τῶν ἄκρων ἀνάγκη τιθέναι καὶ τὰ μέσα· ὅθεν ἀναγκαῖον ὁμολογεῖν καὶ ὕδωρ καὶ ἀέρα, ἃ πρὸς μὲν τὸ πῦρ εἰσι βαρέα, πρὸς δὲ τὴν γῆν κοῦφα· ὧν θάτερον μὲν ἐστὶ γεῖτον τῷ πυρί, θάτερον δὲ ὅμορον τῇ γῇ. Ὅθεν ἐξ αὐτῆς τῆς τοῦ παντὸς κατασκευῆς εἰς φανερὸν πρόκειται τὰ στοιχεῖα οὐσιώδη μέρη τοῦ παντὸς τυγχάνειν. Ὃ δεῖ φαίνεται κατάδηλον ὄν, τὴν τάξιν τῶν αἰτίων καὶ αἰτιατῶν εἰς νοῦν βαλλομένοις. Ὡς γὰρ ὁ οὐρανός ἐστι καθόλου ποιητικὸν τῶν γινομένων, οὕτω τὰ στοιχεῖα εἰσὶ τῶν αὐτῶν καθόλου ὕλη. Ἀμέλει καὶ πρὸς τὴν τοῦ παντὸς τελειότητα ἕπεται τὰ στοιχεῖα κατὰ τὴν αὐτῶν οὐσίαν μένειν. Καὶ πρὸς τοῦτο τὲ ἔχειν ἐκ φύσεως ἐπιτηδειότητα. Ἄλλως μὲν ἐν τοῖς μικτοῖς συμβαίνει σώμασιν ἄλλως δὲ ἐν τοῖς στοιχείοις. Ἐν μὲν γὰρ τοῖς μικτοῖς σώμασιν, ἔνεστι ποιητική τις ἀρχὴ τῆς φθορᾶς ἡ ἐκ τῶν ἐναντίων σύνθεσις· ἐν δὲ τοῖς στοιχείοις, ἃ ἐναντίον μὲν ἔξωθεν ἔχει, αὐτὰ δὲ οὐκ εἰσὶν ἐκ τῶν

**182-184** Τοῦτο – κόσμου] Ar., De coel. II: locum non inveni.

**185** αὐτοῦ] αὐτῆς M **186** ὡσὰν] ὡσᾶν P

ἐναντίων σύνθετα, ἀρχὴ μὲν ποιητικὴ φθορᾶς οὐκ ἔπεστιν, ἀλλὰ παθητικὴ P 132v μόνον, ἐφόσον ἔχουσιν ὕλην, ᾗ ὕπεστί τις | ἐπιτηδειότης πρὸς ἄλλο εἶδος, οὗ στέρονται, ἀπὸ ταύτης τε τῆς ἀρχῆς ἥ τε γένεσις καὶ ἡ φθορά εἰσιν ἐν τοῖς στοιχείοις, αἵ τε κινήσεις καὶ αἱ φυσικαὶ μεταβολαί, καὶ οὐ δι’ ἀρχὴν ποιητικήν, ὥς φησιν ὁ Ὑπομνηματιστὴς ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς. Καθάπερ τοίνυν τὸ οὐράνιον σῶμα διὰ τὸ ἔχειν ἔξωθεν τὴν ἀρχὴν τῆς ἑαυτοῦ κινήσεως [activum], δύναται ἠρεμῆσαι ἄνευ βίας μένον αὐτό, ὡς ἐν τοῖς φθάσασι δέδεικται, οὕτως οἷόν τε τὴν τῶν στοιχείων παύσασθαι φθοράν, τῆς αὐτῶν οὐσίας μενούσης, τῆς ἔξωθεν ἠρεμησάσης φθορᾶς· ὃ δεῖ ἀναφέρειν εἰς τὴν οὐράνιον κίνησιν, ὥσπερ εἰς γενέσεως καὶ φθορᾶς ἀρχήν.

**[5.7.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τῶν στοιχείων ἐκείνην τὴν διάλυσιν οὐκ ἀνοιστέον πρὸς τὴν καταστροφὴν τῆς τῶν στοιχείων οὐσίας, ἀλλὰ πρὸς τὴν κάθαρσιν αὐτῶν τὴν διὰ πυρὸς ἐσομένην, ὃ τοῦ δικαστοῦ προσώπου πρόεισι. Μεθ’ ἣν δὴ ἀπόσμηξιν μενεῖ τὰ στοιχεῖα κατά τε οὐσίαν καὶ τὰς φυσικὰς ποιότητας, ὡς εἴρηται.**

**[5.7.24] Ἀμέλει τῷ τε δευτέρῳ καὶ τρίτῳ συγχωροῦμεν.**

**[5.7.25] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἐν τῇ τοῦ κόσμου γενέσει, κατεσκεύασται ἡ τῶν στοιχείων φύσις, ᾗ δὴ τέτακται πρὸς φθορὰν καὶ γένεσιν, δι’ ἧς ὁ τῶν ἐκλεκτῶν ἀριθμὸς συμπληροῦται. Ἐν δὲ τῇ τοῦ κόσμου συμπερατώσει καταλήψεται ἡ τῶν στοιχείων οὐσία, ᾗ δὴ πρὸς τὴν τοῦ παντὸς τελειότητα τέτακται. Ὅθεν οὐ δεῖ πάντα ἐνεῖναι τοῖς στοιχείοις ἐν ἐκείνῃ τῇ τελευταίᾳ καταστάσει, ὅσ’ ἔδει ἔχειν ἐν τῇ τοῦ κόσμου ἀρχῇ.**

**[5.7.26] Πρὸς τὸ πέμπτον ῥητέον· ἡ τοῦ Βίδα ἐξήγησις, οὐκ ἔστιν ὑποληπτέα τούτῳ τρόπῳ δύο στοιχεῖα κατὰ τὴν οὐσίαν ἀπολεῖσθαι, ἀλλὰ τῷ τῆς μεταβολῆς τρόπῳ τῆς μάλιστα ἐν τοῖν δυοῖν στοιχείοιν φαινομένης, ἔν τε τῷ ἀέρι δηλαδὴ καὶ τῷ ὕδατι, περὶ ὧν ἔνιοι τὴν προειρημένην ἑρμηνείαν ἐκλαμβάνουσι διαλέγεσθαι, εἰ καὶ κατά τινας νοεῖται περί τε πυρὸς καὶ ὕδατος, ἐν οἷς κρατοῦσιν αἱ ποιητικαὶ ποιότητες.**

**[5.7.27] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ ἐνέργεια μᾶλλον ἤρτηται ἀπὸ τοῦ ποιοῦντος ἢ τοῦ πάσχοντος διὰ τὸ τὸ ποιοῦν εἶναι τιμιώτερον τοῦ πάσχοντος.**

**203-205** Ἀπὸ – Φυσικῆς] Av., Comm. Metaph. II.

**207** μένον αὐτό] quod eius motus cesset ipso manente Aq. | μένον] μόνον P (manente Aq.) | αὐτὸ] αὐτοὶ M (ipso Aq.) **220** καταλήψεται] ¨ supra καταλήψεται et καταληφθήσεται in marg. sin. M (remanebit Aq.)

Ὅθεν ἡ κατάλυσις τῆς μεταβολῆς ἐν τοῖς στοιχείοις καὶ τῆς αμειβαίας ἐνεργείας, οἰκειότερον ἐκβάλλεται τῇ τῶν ποιητικῶν ἢ παθητικῶν ἀρχῶν ὑφαιρέσει.

[5.7.28] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, εἰ μὲν θεωρεῖται ἡ δρᾶσις καὶ πείσις κατὰ τὰς οὐσιώδεις ἀρχάς, οὕτως ἀληθές ἐστι τὸ ὑπὸ Αὐγουστίνου εἰρημένον, ὅτι πρὸς μὲν τὸ πάσχειν ἥ τε ὑγρὰ οὐσία καὶ ἡ γῆ τὴν ἐπιτηδειότητα ἴσχει, πρὸς δὲ τὸ δρᾶν τό τε πῦρ καὶ ὁ ἀήρ. Τὸ γὰρ πῦρ καὶ ὁ ἀὴρ μᾶλλον ἔχουσιν εἴδους, ὅπερ ὂν ἐνεργείας ἀρχὴ τυγχάνει· τῆς ὕλης δὲ ἡ γῆ καὶ τὸ ὕδωρ, ἥτις ἐστὶν ἀρχὴ τοῦ πάσχειν. Εἰ δ' αὖ θεωροῖτο κατὰ τὰς ποιητικὰς καὶ παθητικὰς ἐνεργείας, αἵ εἰσιν ἄμεσαι ἀρχαὶ ἐνεργείας καὶ πάθους, οὕτω τὸ μὲν πῦρ καὶ P 133[r] τὸ ὕδωρ μᾶλλον | εἰσὶ ποιητικά, ὁ δ' ἀὴρ καὶ ἡ γῆ μᾶλλον παθητικά.

[5.7.29] Τῷ δ' ὀγδόῳ συμφθεγγόμεθα.

[5.7.30] Πρὸς δὲ τὸ ἔνατον ῥητέον, ὅτι τὰ στοιχεῖα, ὅσον πρὸς τὴν σφῶν αὐτῶν μεταβολήν, γέγονε διὰ τὸν πρὸς τὴν μακαριότητα ἐλαύνοντα ἄνθρωπον· τὸ δ' ἧκον εἰς τὴν ἑαυτῶν οὐσίαν, γέγονε δὲ διὰ τὴν τοῦ παντὸς τελειότητα καὶ διὰ τὴν οὐσίαν τοῦ ἐξ αὐτῶν γινομένου ἀνθρώπου.

[5.7.31] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἐν τῇ τοῦ κόσμου συντελείᾳ, οὐ φροῦδα γενήσεται πάντα τὰ μικτά· τὰ γὰρ ἀνθρώπεια σώματα μενεῖ. Ὅθεν καθήκει τῶν μερῶν τῶν στοιχείων μενόντων ἐν τῷ τοῦ ἀνθρώπου σώματι, ὅς ἐστι μικρὸς κόσμος, ὅλα πάντα μένειν ἐν τῷ μείζονι κόσμῳ.

[5.7.32] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τὸ εἶδος, ὃ τὰ στοιχεῖα ἀποτίθεται, ἐστὶ αὐτὸ τὸ μεταβάλλον, οὐ τὸ εἶδος ὅπερ ἐστὶν ἀρχὴ τοῦ εἶναι.

[5.7.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ τοῦ μεταβάλλειν ἕξις ἀφαιρεῖται τῶν στοιχείων. Μεταβολὴ γὰρ ἐν αὐτοῖς οὐκ ἔσται, ἀλλ' οὐ τὴν μεταβλητὴν ὕλην ἀποβαλλοῦσι.

[5.7.34] Πρὸς τὸ τρισκεδέκατον ῥητέον, ὅτι ἡ ἕξις ἐκείνη τῶν στοιχείων, καθ' ἣν γίνονται καὶ φθείρονται καὶ ἀλλοιοῦνται, ἔστι φυσικὴ τῆς οὐρανίου κινήσεως μενούσης, οὐ μὴν μετὰ τὴν ταύτης ἀπώλειαν.

[5.7.28] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐκ τοῦ εἶναι ἐν τοῖς στοιχείοις ὑλικὴν ἀρχὴν φθορᾶς, ἀλλ' οὐ ποιητικήν· ὅθεν οὐχ

**231** ἀμοιβαίας] ἀμειβαίας P **243-245** τὸν – οὐσία] om. et al. man. add. in marg. sin. M (homoioteleuton e γέγονεν) **257** μὲν] μὴν M (autem Aq.)

ἕπεται μεταβολὴ τῆς οὐρανίου κινήσεως ὑφαιρουμένης, ἥτις ἐστὶν ἀρχὴ ποιητικῆς μεταβολῆς.

[5.7.29] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὸ στοιχεῖον, καθάπερ οὐκ ἔχει δύναμιν πρὸς τὸ ἀεὶ εἶναι, διὰ τὸ δύνασθαι ἔξωθεν φθείρεσθαι, οὕτως οὐκ ἔχει δύναμιν ὁτεδήποτε παύσασθαι, εἰ μὴ ὑλικήν, ὡς εἴρηται.

[5.7.30] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι τὰ στοιχεῖα εἰσὶν ἄφθαρτα κατὰ τὸ ὅλον, τῶν μερῶν γινομένων καὶ φθειρομένων, μέχρις ἂν ἡ τοῦ οὐρανοῦ κίνησις διαμένοι· ταύτης δὲ παυσαμένης ἔσται τις ἐν αὐτοῖς ἄλλη ἀφθαρσίας ἀρχή, ὅτι δηλαδὴ οὐ δύνανται φθείρεσθαι εἰ μὴ ἀπό τινος ἐξωτερικοῦ. Τὸ δὲ ἐξωτερικὸν φθαρτικὸν ἐκλειπούσης τῆς τοῦ οὐρανίου κινήσεως, πεπαύσεται.

[5.7.31] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν ὥς τις ζωὴ πᾶσι τοῖς φυσικοῖς οὖσιν ἐν τῇ τῆς μεταβολῆς καταστάσει· ἥτις ἐν τῇ τοῦ κόσμου συντέλεια ἀναιρεθήσεται.

[5.7.32] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ πρόοδος τῶν εἰδῶν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἤρτηται διὰ τῆς κινήσεως, ἡ τούτων μέντοι συντήρησις ἤρτηται ἐξ ἀρχῶν μετεωροτέρων, ὡς εἴρηται.

[5.7.31] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ὁ ἥλιός ἐστιν αἰτία τῆς θερμότητος, ὡς ὁ Φιλόσοφός φησιν. Ὅθεν παυσαμένης τῆς κινήσεως ἀναιρεῖται ἡ τῆς φθορᾶς αἰτία ἐν τοῖς στοιχείοις, ἥτις ἐστὶ διὰ τῆς ὑπερβολῆς τῆς θέρμης. |

**277-278** ὅτι – φησίν] Ar., De coel. II, 289a.32-33: … καὶ ταύτῃ μάλιστα ᾗ ὁ ἥλιος τετύχηκεν ἐνδεδεμένος· διὸ δὴ πλησιάζοντός τε αὐτοῦ καὶ ἀνίσχοντος καὶ ὑπὲρ ἡμῶν ὄντος γίγνεται ἡ θερμότης.

**261** ποιητικῆς μεταβολῆς] μεταβολῆς ποιητικῆς[a. corr.] P (principium mutationis Aq.) **266** ἂν] bis acc. P **268** ἀρχή] causa Aq.

P 133v

## Κεφάλαιον ὄγδοον

## Πότερον παυσαμένης τῆς οὐρανίου κινήσεως μενεῖ ἥ τε δρᾶσις καὶ πεῖσις ἐν τοῖς στοιχείοις ἢ οὔ.

**[5.8.1] Ὄγδοον ζητεῖται, πότερον παυσαμένης τῆς οὐρανίου κινήσεως μενεῖ ἥ τε δρᾶσις καὶ πεῖσις ἐν τοῖς στοιχείοις. Καὶ δοκεῖ ταύτῃ. Αἱ γὰρ φυσικαὶ δυνάμεις εἰσὶν ὡρισμέναι πρὸς ἕν· ὅθεν ἡ τοῦ πυρὸς δύναμις, φυσικὴ οὖσα δύναμις, ἔχει πρὸς μόνον τὸ θέρειν, ἀλλ' οὐ πρὸς τὸ ψύχειν. Ἀλλ' ἐν ἐκείνῃ τῇ συμπερατώσει τοῦ κόσμου μενεῖ ἥ τε τοῦ πυρὸς δύναμις καὶ τῶν ἄλλων στοιχείων, ὡς ἐν τοῖς φθάσασιν εἴρηται. Ἀδύνατον ἄρα ἐστὶ τὸ πῦρ καὶ τὰ ἄλλα στοιχεῖα μὴ δρᾶν.**

**[5.8.2] Ἔτι, ὥσπερ ὁ Φιλόσοφος φησὶν ἐν τῷ Περὶ γενέσεως πρώτῳ, πρὸς τὸ γενέσθαι ἀμοιβαίαν τὴν δρᾶσιν καὶ πεῖσιν ζητεῖται τὸ δρῶν καὶ** πάσχον **εἶναι κατὰ μὲν τὴν ὕλην** ὅμοια, **κατὰ δὲ τὸ εἶδος** ἀνόμοια. **Τοῦτο δὲ ἔσται ἐν τοῖς στοιχείοις ἠρεμησάσης τῆς οὐρανίου κινήσεως· αἱ γὰρ τούτων οὐσίαι μενοῦσι τῶν οὐσιωδῶν ἀρχῶν ἀμεταβλήτων οὐσῶν. Ἄρα ἔσται δρᾶσις καὶ πεῖσις ἐν τοῖς στοιχείοις τῆς οὐρανίου φορᾶς ἠρεμησάσης.**

**[5.8.3] Χωρὶς δὲ τούτων, αἰτία τῆς δράσεως καὶ πίσεως ἐν τοῖς στοιχείοις ἐστὶν ἐκ τοῦ ἐν τῇ στοιχειώδει ὕλῃ εἶναι αἰεὶ ὄρεξιν πρὸς ἄλλο εἶδος, εἰ καὶ ἡ ὕλη εἴη δι' ἑνὸς εἴδους τελεία. Ἀλλ' αὕτη ἡ ὄρεξις ἐν τῇ ὕλῃ μενεῖ καὶ τῆς οὐρανίου κινήσεως παυσαμένης· οὐ γὰρ ἓν εἶδος στοιχείου δυνήσεται πᾶσαν τὴν δύναμιν τῆς ὕλης πληροῦν. Ἄρα ἐν ἐκείνῃ τοῦ κόσμου τῇ συμπερατώσει μενεῖ δρᾶσις καὶ πεῖσις ἐν τοῖς στοιχείοις.**

**[5.8.4] Ἔτι, τὸ ὂν ἐκ τῆς τελειότητος τοῦ στοιχείου οὐ περιαιρεθήσεται αὐτοῦ. Τοῦτο δέ ἐστιν ἐκ τῆς τελειότητος ὁτουοῦν ὄντος, τὸ ποιεῖν ὅμοιον ἑαυτῷ· ἡ γὰρ χύσις αὐτοῦ τοῦ εἶναι μετοχεύεται ἀπὸ τοῦ πρώτου ἀγαθοῦ εἰς πάντα τὰ ὄντα. Ἄρα δοκεῖ τὰ στοιχεῖα ἐν ἐκείνῃ τῇ συμπερατώσει τοῦ κόσμου ποιεῖν ὅμοια ἑαυτοῖς. Καὶ ταύτῃ ἔσται ἐν αὐτοῖς δρᾶσις καὶ καὶ πεῖσις.**

**[5.8.5] Χωρὶς δὲ τούτων, ὥσπερ ἴδιόν ἐστι πυρὸς εἶναι θερμόν, οὕτως ἐστὶν ἴδιον αὐτοῦ καὶ θερμαίνειν· καθάπερ γὰρ ἡ θέρμη ὁρμᾶται ἀπὸ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ πυρός, οὕτως ἡ θέρμανσις μετοχετεύεται ἀπὸ τῆς**

**11-13** ὁ – ἀνόμοια] Ar., De gen. et corr. I, 322a25-324a5: Ἔστι μὲν – ἀνόμοια ἀλλήλοις.

**1, 5, 12, 15, 22, 27** πεῖσις] πίσις P, M **9** εἴρηται] ὡς εἴρηται P

**θέρμης. Εἰ τοίνυν ἐν ἐκείνῃ τῶν ὄντων συμπερατώσει τὸ πῦρ καὶ ἡ αὐτοῦ θέρμη μενεῖ, δοκεῖ καὶ τὴν θέρμανσιν. Καὶ ταύτῃ πρότερον.**

**[5.8.6] Ἔτι, πάντα τὰ φυσικὰ σώματα τὰ ἁπτόμενα ἀλλήλων τρόπῳ γέ τῳ ἄλληλα ἀλλοιοῖ, ὡς φαίνεται ἐν τῷ Περὶ γενέσεως πρώτῳ. Ἀλλὰ τὰ στοιχεῖα ἐν ἐκείνῃ τῇ καταστάσει τοῦ κόσμου δοκεῖ ἀλλήλων ἅπτεσθαι. Ἄρα ἄλληλα ἀλλοιώσουσιν ὡδὶ δὲ ἔσται ἐκεῖ δρᾶσις καὶ πεῖσις. |**

P 134r **[5.8.7] Ἄνευ δὲ τούτων, ἐν ἐκείνῃ τῇ τῶν ὄντων συμπερατώσει** ἔσται τὸ τῆς σελήνης φῶς, ὥσ**περ καὶ** τὸ τοῦ ἡλίου· καὶ τὸ τοῦ ἡλίου ἑπταπλάσιον. **Ἀλλ' ἄρτι ὅ τε ἥλιος καὶ ἡ σελήνη τὰ ὑποβεβηκότα σώματα τῷ ἰδίῳ φωτὶ καταλάμπουσιν. Ἄρα πολλῷ ἐρρρωμενέστερον τότε φωτιοῦσι. Καὶ ταύτῃ μενεῖ τις δρᾶσις καὶ πεῖσις ἐν τούτοις τοῖς ὑποβεβηκόσι· τὸ γὰρ μέσον φωτιζόμενον φωτίζει τὸ ἔσχατον.**

**[5.8.8] Ἔτι, οἱ ἅγιοι ὄψονται ὄψει σωματικῇ τὰ ἐν τῷδε τῷ κόσμῳ ὄντα. Ἀλλ' ἡ ὄψις οὐ δύναται εἶναι ἄνευ δράσεως καὶ πείσεως, ἡ γὰρ ὄψις πάσχει ὑπὸ τοῦ ὁρατοῦ. Ἔσται ἄρα δρᾶσις καὶ πεῖσις τῆς οὐρανίου φορᾶς παυσαμένης.**

**[5.8.9] Ἀλλὰ τοὐναντίον, ἀπογενομένης τῆς αἰτίας ἀπογίνεται τὸ ἀποτέλεσμα. Ἡ δὲ οὐράνιος κίνησίς ἐστιν αἰτία δράσεως καὶ πείσεως ἐν τούτοις τοῖς ὑποβεβηκόσι, κατὰ τὴν διδασκαλίαν τοῦ Φιλοσόφου. Ἀπογενομένης ἄρα τῆς οὐρανίου κινήσεως ἀπογενήσεται ἥ τε δρᾶσις καὶ πεῖσις ἐν τούτοις τοῖς ὑποβεβηκόσιν.**

**[5.8.10] Ἔτι, δρᾶσις καὶ πεῖσις ἐν τοῖς σωματικοῖς ἄνευ κινήσεως εἶναι οὐχ οἷά τε. Ἀπογενομένης ἄρα τῆς πρώτης κινήσεως, ἥτις ἐστὶν ἡ τοῦ οὐρανοῦ κίνησις, ὡς ἀποδείκνυται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς, αἱ μετέπειτα κινήσεις παύσονται. Ἀπογενομένης ἄρα τῆς οὐρανίου κινήσεως οὐκ ἔσται δρᾶσις ἢ πεῖσις ἐν τούτοις τοῖς ὑποβεβηκόσιν.**

**[5.8.11] Ἀπόκρισις. Ῥητέον ὅτι, ὡς φαίνεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, ἡνίκ' ἂν ἐπίσχοι ἡ πρώτη αἰτία τὴν ἑαυτῆς ἐνέργειαν ἀπὸ τοῦ αἰτιατοῦ, δεῖ καὶ τὴν δευτέραν αἰτίαν τοῦτο ποιεῖν. Καὶ γὰρ ποιεῖ διὰ τῆς ἐνεργείας τῆς πρώτης, ἧς τῇ δυνάμει δρᾷ. Ἐπεὶ δὲ πᾶν τὸ ποιοῦν ποιεῖ καθὸ ἐστὶν ἐνεργείᾳ, ἀναγκαῖον κατατοῦτο λαμβάνειν τὴν τάξιν τῶν ποιουσῶν αἰτιῶν, καθὸ ἐστὶν ἡ τάξις ἐν τῷ**

**36-38** ἐν – ἑπταπλάσιον] Is. 30, 26: καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου καὶ τὸ φῶς τοῦ ἡλίου ἔσται ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου ἰάσεται. **47-48** Ἡ – Φιλοσόφου] cf. Ar., Meteor. I, 338a26-339a1: ταῦτα – τὰς τούτων. **52-53** Ἀπογενομένης – παύσονται] Ar., Phys. VIII.

**36, 41, 45, 49, 51, 54** πεῖσις] πίσις P, M **37** τῶν ὄντων] mundi Aq. **41, 47** πείσεως] πίσεως P, M

**ἐνεργείᾳ. Τὰ ὑποβεβηκότα δὲ σώματα ἧττον ἔχει ἐκ τοῦ ἐνεργείᾳ ἢ τὰ σώματα τὰ οὐράνια. Ἐν γὰρ τοῖς ὑποβεβηκόσιν σώμασιν οὐκ ἔστιν ὅλη ἡ δύναμις πλήρης διὰ τοῦ ἐνεργείᾳ· ἡ γὰρ ὑποκειμένη ὕλη ἐπίσης ἔχει πρὸς ὁτιοῦν ἄλλο εἶδος, ὅπερ οὐκ ἔστιν ἐν τοῖς οὐρανίοις σώμασιν· ἡ γὰρ ὕλη τοῦ οὐρανίου σώματος οὐκ ἔστι δυνάμει πρὸς ἄλλο εἶδος· ὅθεν ἡ αὐτοῦ δύναμις ὅλη ὥρισται πρὸς τὸ εἶδος ὃ ἔχει. Αἱ χωρισταὶ δὲ οὐσίαι εἰσὶ τελειότεραι κατὰ τὸ ἐνεργείᾳ ἢ τὰ οὐράνια σώματα· οὐ γάρ εἰσι σύνθεται ἐξ ὕλης καὶ εἴδους, ἀλλ' εἰσί τινα εἴδη ὑφεστῶτα, ὑστεροῦντα μέντοι κατὰ τὸ αὐτὸ ἐνεργείᾳ τοῦ Θεοῦ, ὅς ἐστι τὸ εἶναι αὐτοῦ, ὃ περὶ τῶν ἄλλων χωριστῶν οὐσιῶν, οὐκ ἔνεστι λέγειν. Ὥσπερ οὖν τὰ στοιχεῖα δοκεῖ ἀλλήλων ὑπερέχειν κατὰ τὸ ἐνεργείᾳ (τῷ γὰρ ὕδατι μέτεστι πλέον εἴδους ἢ τῇ γῇ, καὶ τῷ ἀέρι ἢ τῷ ὕδατι, καὶ τῷ πυρὶ ἢ τῷ ἀέρι), οὕτως | [P 134v] ἐστὶ κἀν τοῖς οὐρανίοις σώμασι καὶ ταῖς χωρισταῖς οὐσίαις. Ἄρα <τὰ> στοιχεῖα δρῶσι τῇ δυνάμει τῶν οὐρανίων σωμάτων καὶ τὰ οὐράνια σώματα τῇ δυνάμει τῶν χωριστῶν οὐσιῶν. Ὅθεν ἠρεμούσης τῆς χωριστῆς οὐσίας, ἀνάγκη ἠρεμεῖν τὴν ἐνέργειαν τοῦ οὐρανίου σώματος, καὶ ταύτης ἠρεμούσης ἀνάγκη ἠρεμεῖν τὴν ἐνέργειαν τῶν στοιχειωδῶν σωμάτων. Ἰστέον δέ, ὅτι τὸ σῶμα ἔχει δισσὴν ἐνέργειαν· μίαν μὲν κατὰ τὴν τοῦ σώματος ἰδιότητα, ἵνα δηλαδὴ ποιῇ κινήσει (τοῦτο γάρ ἐστιν ἴδιον σώματος, ἵνα κινούμενον κινῇ καὶ ποιῇ), ἑτέραν δὲ ἐνέργειαν ἔχει, καθόσον ἅπτεται τῆς τάξεως τῶν χωριστῶν οὐσιῶν καί τι μεταλαγχάνει τοῦ τρόπου αὐτῶν, ὥσπερ αἱ ὑποβεβηκυῖαι φύσεις πεφύκασι μετέχειν τινὸς ἰδιότητος τῆς ὑπερκειμένης φύσεως· ὡς φαίνεται ἔν τισι τῶν ζῴων, ἃ μετέχουσιν εἰδώλου τινὸς φρονήσεως, ἥτις ἴδιον ὂν τυγχάνει τοῦ ἀνθρώπου. Τοῦτο δέ ἐστιν ἐνέργεια τοῦ σώματος, μὴ οὖσα ἐπὶ μεταβολῇ φύσεως, ἀλλὰ ἐπί τινι χύσει καὶ μεταδόσει τῆς ὁμοιότητος τοῦ εἴδους εἰς τὸ μέσον κατ' εἰκόνα τῆς ἀσωμάτου ἐπιβολῆς, ἣ ἐγγίνεται τῇ αἰσθήσει ἢ τῷ νῷ ἐκ τοῦ πράγματος· καὶ τούτῳ τῷ τρόπῳ φωτίζει ὁ ἥλιος τὸν ἀέρα καὶ τὸ χρῶμα τὸ ἴδιον εἶδος πληθύη ἐς τὸ μέσον. Ἑκάτερος δὲ τρόπος ἐνεργείας ἐν τούτοις τοῖς ὑποβεβηκόσι τὴν αἰτίαν ἴσχει ἐκ τῶν οὐρανίων σωμάτων. Καὶ γὰρ τὸ πῦρ ἰδίᾳ θέρμη μεταβάλλει τὴν**

**61** ἐκ] deest P (de Aq.) **62** σώμασιν] deest P (corporibus Aq.) **63-64** ἐπίσης – εἶδος] uni formae remanet in potentia ad formam aliam Aq. **69** ἔνεστι] ἔστιν M (contingit Aq.) **72-73** καὶ – σωμάτων] om. et al. man. Add. in marg. sin. M **75-77** τῆς – ἠρεμούσης] om. et al. man. Add. in marg. dex. M (homoioteleuton ex ἠρεμούσης) **81** ὑποβεβηκυῖαι] ὑποβεβηκυαῖαι M **84** φύσεως] materiae (Prochoros legit naturae?) **87** τὸν ἀέρα] deest P (aerem Aq.)

ὕλην τῇ δυνάμει τοῦ οὐρανίου σώματος· καὶ τὰ ὁρατὰ σώματα πληθύει τὰ αὐτῶν εἴδη κατὰ τὸ μέσον δυνάμει τοῦ φωτός, οὗπερ ἡ πηγὴ ἐν τῷ οὐρανίῳ σώματι ἐστήρικται. Ἀμέλει καὶ εἰ ἑκατέρα ἐνέργεια τοῦ οὐρανίου σώματος παύσοιτο, οὐδεμία ἐνέργεια ἐν τούτοις τοῖς ὑποβεβηκόσιν ἀπολειφθήσεται. Παυσαμένης δὲ τῆς οὐρανίου κινήσεως, ἔστι μὲν δρᾶσις ἐν τούτοις τοῖς ὑποβεβηκόσι καὶ φωτισμοῦ καὶ ἐναλλοιώσεως τοῦ μέσου ἀπὸ τῶν αἰσθητῶν· οὐκ ἔσται δὲ ἐνέργεια δι’ ἧς μεταβάλλει ἡ φύσις, ᾗ ἕπεται γένεσις καὶ φθορά.

[5.8.12] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ τοῦ πυρὸς δύναμίς ἐστιν ἀεὶ ὡρισμένη πρὸς τὸ θερμαίνειν, προϋποτεθέντων μέντοι τῶν προτέρων αἰτιῶν, ἃ πρὸς τὴν τοῦ πυρὸς ἐνέργειαν ζητοῦνται.

[5.8.13] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ κατὰ τὴν ὕλην ὁμοιότης καὶ ἡ κατὰ τὸ εἶδος ἐναντιότης οὐκ ἀποχρῶσιν ἐν τούτοις τοῖς ὑποβεβηκόσι πρὸς πεῖσιν καὶ δρᾶσιν εἰ μὴ τῆς τοῦ οὐρανοῦ κινήσεως προϋποτεθείσης. Τῇ γὰρ δυνάμει ταύτης ἐνεργοῦσι πᾶσαι αἱ ὑποβεβηκυῖαι ποιητικαὶ δυνάμεις.

[5.8.14] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ ὕλη οὐκ ἀπόχρη πρὸς τὴν ἐνέργειαν, ἣν μὴ ἀρχὴ | P 135r ποιητικὴ προϋποτεθῇ. Ὅθεν ἡ τῆς ὕλης ὄρεξις οὐκ αὐτάρκως ἀποδείκνυσι τὸ ἐνεργεῖν τοῖς στοιχείοις, τῆς οὐρανίου κινήσεως ὑφαιρεθείσης, ἀφ’ ἧς ἐστὶν ἡ τῆς ἐνεργείας ἀρχή.

[5.8.15] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὰ πρόσγαια οὐδέποτε ἐφικνοῦνται τοῦ βαθμοῦ τῆς τελειότητος τῶν ὑπερκειμένων. Τοῦτο δέ ἐστιν ἐκ τοῦ λόγου τῆς τελειότητος τοῦ ἀνωτάτου ποιητικοῦ, τὸ αὐταρκεῖν αὐτῷ τὴν αὐτοῦ τελειότητα πρὸς τὸ ποιεῖν, παντὸς ἄλλου ποιοῦντος διακρουσθέντος. Ὅθεν τοῦτο τοῖς ὑποδεεστέροις ποιητικοῖς ἀποδίδοσθαι οὐχ οἷόν τε.

[5.8.16] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τοῦ πυρὸς ἴδιον ὑπάρχει τὸ θέρειν προϋποτεθέντος ἔχειν τινὰ ἐνέργειαν· ἀλλ’ ἡ αὐτοῦ ἐνέργεια ἤρτηται ἄλλου, ὡς εἴρηται.

[5.8.17] Ὡς δὲ καὶ τοῦ ἕκτου πέρι ῥητέον, ὅτι ἡ ἀφὴ οὐκ ἀρκεῖ ἐν τοῖς στοιχείοις πρὸς τὸ ποιεῖν μὴ ὑποκειμένης τῆς οὐρανίου κινήσεως· τοῖς δὲ δυσὶν ἑτέροις συγχωροῦμεν. Προΐασι γὰρ ἐκ τῶν ἐνεργειῶν, αἷς ἡ φύσις οὐ μεταβάλλεται· ἀλλὰ τὸ εἶδος ἀμηγέπῃ πληθύνεται κατὰ τὸν τῆς ἀσώματον τρόπον νοήσεως.

**93** Hic post κινήσεως Aq. habet: cessabit prima actio, sed non secunda; et ideo cessante motu caeli **113** ἴδιον] ἴδιὂν P ἴδιον ὄν M (proprium Aq.) **116** δέ] bis acc. P

## Κεφάλαιον ἔνατον

### Ἔνατον ζητεῖται, πότερον τὰ φυτὰ καὶ ἄλογα ζῷα καὶ τὰ μικτὰ σώματα μενοῦσι μετὰ τὸ τοῦ κόσμου τέλος ἢ οὔ.

**[5.9.1] Ἔνατον ζητεῖται, πότερον τὰ φυτὰ καὶ τὰ ἄλογα ζῷα καὶ τὰ μικτὰ σώματα μενοῦσι μετὰ τὸ τοῦ κόσμου τέλος. Καὶ δοκεῖ οὕτως. Περιέχεται γὰρ ἐν τῷ τοῦ Ἐκκλησιαστοῦ τρίτῳ,** ὅτι πάντα **τὰ τοῦ** Θεοῦ **ἔργα διαμένει** εἰς τὸν αἰῶνα. **Ἀλλὰ τὰ μικτὰ σώματα τά τε φυτὰ καὶ ἄλογα ζῷα εἰσιν ἔργα Θεοῦ. Εἰς τὸν αἰῶνα ἄρα μενοῦσιν.**

**[5.9.2] Ἀλλ' ἔλεγεν, ὅτι τοῦτο νοεῖται περὶ τῶν ἔργων ἐκείνων τοῦ Θεοῦ τῶν ἐχόντων τάξιν τινὰ πρὸς τὴν ἀφθαρσίαν, ὥσπερ εἰσὶ τὰ στοιχεῖα ἄφθαρτα κατὰ τὸ ὅλον, εἰ καὶ κατὰ τὰ μέρη φθείρονται. Ἀλλὰ τοὐναντίον, ὥσπερ τὰ στοιχεῖα εἰσὶ ἄφθαρτα κατὰ τὸ ὅλον, εἰ καὶ κατὰ μέρος φθείρονται, οὕτω καὶ τὰ προειρημένα εἰσὶν ἄφθαρτα κατὰ τὸ εἶδος, εἰ καὶ κατὰ τὰ ἄτομα φθείρονται. Ἄρα δοκεῖ καὶ τὰ προειρημένα εἰς τὸ διηνεκὲς μένειν.**

**[5.9.3] Ἔτι, ἀδύνατόν ἐστι τὸν τῆς φύσεως σκοπὸν ἀποτυγχάνειν, τοῦ σκοποῦ τῆς φύσεως ὄντος εἰς τὸ ἴδιον τέλος ἰθύνεσθαι. Ἀλλ' ἡ φύσις σκοπεῖ διὰ γενέσεως καὶ φθορᾶς τὴν ἀιδιότητα τοῦ εἴδους τῶν ὄντων φυλάττειν. Εἰ ἄρα μὴ τὰ προειρημένα συντηροῖτο κατὰ τὸ εἶδος, ἀπρακτήσει ὁ τῆς φύσεως σκοπός. Ὅπέρ ἐστιν ἀδύνατον, ὡς εἴρηται.**

**[5.9.4] Ἔτι, ὁ τοῦ παντὸς κόσμος τείνει εἰς τὴν τῶν μακαρίων δόξαν· ὅθεν λέγεται παρὰ τῶν ἁγίων |** P 135v **εἰς μείζονα τῶν ἐν μακαρίᾳ τῇ λήξει δόξαν, τὰ στοιχεῖα εἰς κρείττω κατάστασιν ἀμειφθήσεσθαι. Ἀλλὰ τὰ φυτὰ καὶ τὰ μικτὰ καὶ τὰ ἄλογα ζῷα εἰς τὸν τοῦ παντὸς κόσμον ἥκουσιν. Οὐκ ἄρα ὑπεκστήσονται ἐν ἐκείνῃ τῇ ἐσχάτῃ τελειώσει τῶν μακαριτῶν.**

**[5.9.5] Ἔτι, ἐν τῷ πρώτῳ τῆς Πρὸς Ῥωμαίους λέγεται·** τὰ ἀόρατα **τοῦ** Θεοῦ τοῖς ποιήμασιν νοούμενα καθορᾶσθαι· **ἐν οἷς ποιήμασιν ἀριθμεῖσθαι δύναται τὰ φυτὰ καὶ τὰ ζῷα. Ἀλλ' ἐν ἐκείνῃ τῇ καταστάσει τῆς τελείας μακαριότητος ἀναγκαῖον τῷ ἀνθρώπῳ τὰ ἀόρατα τοῦ Θεοῦ γινώσκειν. Ἄτοπον ἄρα τὰ προειρημένα τοῦ Θεοῦ ἔργα ἐκ τοῦ μέσου οἴχεσθαι.**

**6-7** ἐν – αἰῶνα] Eccl. 3, 14: ἔγνων ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα. **25-26** ἐν – καθορᾶσθαι] Rom. 1, 20: τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους.

**2, 3** Ἔνατον] ἔννατον P, M **12** μέρος] μέρη M (partem Aq.) **22** κρείττω] κρείτωνα M

**[5.9.6] Ἔτι, ἐν τῷ τῆς Ἀποκαλύψεως τελευταίῳ λέγεται, ἐξ ἑκατέρας ὄχθης** τοῦ ποταμοῦ **πεφυκέναι** ξύλον, **φέρον** δύο **καὶ** δέκα καρπούς. **Ἐπεὶ τοίνυν ἐνταῦθα διαλέγεται περὶ τῆς ἐσχάτης τελειότητος τῆς μακαριότητος τῶν ἁγίων, δοκεῖ ἐν ἐκείνῃ τῇ λήξει τὰ φυτὰ μένειν.**

**[5.9.7] Ἔτι, ἀπὸ τοῦ θείου εἶναι πᾶσι τοῖς οὖσιν ἔνεισιν ἵμεροι ἀιδιότητος, ἐφόσον ἐοίκασι τῷ πρώτῳ ὄντι, ὅπέρ ἐστιν ἀίδιον. Ὃ δέ ἐστιν ἐκ τῆς πρὸς τὸ θεῖον εἶναι τοῖς οὖσιν ὁμοιότητος, οὐκ ἀφαιρεθήσεται αὐτοῖς ἐν τῇ τελευταίᾳ τελειώσει. Μενεῖ ἄρα τὰ φυτὰ καὶ τὰ ζῷα ἀιδίως, κατὰ γοῦν τὸ εἶδος.**

**[5.9.8] Χωρὶς δὲ τούτων, ἐν τῇ τελευταίᾳ λήξει τῆς τῶν ὄντων τελειότητος, οὐ περιαιρεθήσεται τῶν ὄντων τὸ γιγνόμενον τῇ αὐτῶν τελειότητι. Ἀλλὰ τὸ τῆς εὐπρεπείας πρᾶγμα ἔστι τις τελειότης τοῦ παντός. Ἐπεὶ τοίνυν τὰ ζῷα προσήκουσι τῷ τῆς εὐπρεπείας πράγματι, δοκεῖ μὴ παύσασθαι ὄντα ἐν ἐκείνῃ τῇ τοῦ κόσμου τελευταίᾳ καταστάσει.**

**[5.9.9] Ἔτι, ὥσπερ τὰ στοιχεῖα δουλεύει τοῖς ἀνθρώποις ἐν τῇ καταστάσει τῇ κατὰ τὴν ὁδόν, οὕτω καὶ τὰ ζῷα καὶ τὰ φυτά. Ἀλλὰ τὰ στοιχεῖα τὸν τῆς διακονίας μισθὸν ἀποίσονται. Ἄρα οὖν καὶ τὰ ζῷα καὶ τὰ φυτά. Καὶ οὕτω δοκεῖ μὴ ἂν παύσασθαι.**

**[5.9.10] Ἔτι, ὅσο τι μετέχει τοῦ ἰδιώματος τοῦ πρώτου ἀιδίου, ὅπερ ὂν τυγχάνει ὁ Θεός, τοσοῦτο μᾶλλον δοκεῖ εἶναι ἀίδιον. Ἀλλὰ τὰ ζῷα καὶ τὰ φυτὰ πλέον μετέχουσι τῶν ἐξαιρέτων τοῦ Θεοῦ ἢ τὰ στοιχεῖα· τὰ γὰρ στοιχεῖα μόνον εἰσί, τὰ δὲ φυτὰ καὶ ζῇ, τὰ δὲ ζῷα καὶ προσέτι αἰσθάνεται. Πολλῷ ἄρα μᾶλλον προσήκει δι᾽ αἰῶνος μένειν τὰ ζῷα καὶ τὰ φυτὰ ἢ τὰ στοιχεῖα.**

**[5.9.11] Παρὰ ταῦτα, ἔργον τῆς θείας σοφίας ἐστίν, ὡς ὁ Διονύσιός φησιν ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, τὸ τὸ ἄκρον τῆς ὑποβεβηκυίας φύσεως συνάπτεσθαι τῷ ἐσχάτῳ τῆς ὑπερκειμένης. Τοῦτο δ᾽ οὐκ ἂν εἴη, εἰ τὰ φυτὰ καὶ τὰ ζῷα παύσαιντο τοῦ εἶναι· τὰ γὰρ στοιχεῖα ἐν**
P 136[r] **οὐδενὶ φθάνει πρὸς τὴν ἀνθρωπίνην τελειότητα, πρὸς ἣν ἀμηγέπῃ | φθάνει ζῷα τινά, τοῖς δὲ ζῴοις, πλησιάζει τὰ φυτά, τούτοις δὲ τὰ μικτά, οἷς κατόπιν**

**30-31** ἐν – καρπούς] Apoc. 22, 2: ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν. **53-55** ὡς – ὑπερκειμένης] Dion., De div. nom., cap. 7 (PG 3, cols 872A-B, Ritter pp. 197-198): Καὶ ἔστιν – ἁρμονίαν καλλιεργοῦσα.

**34** ἵμεροι] ¨ super ἵμεροι et ¨ ἔρωτες in marg. sin. P **41-42** πρᾶγμα – εὐπρεπείας] om. et al. man. add. in marg. sin. M (homoioteleuton e πρᾶγμα) **41** τοῦ παντός] creationis Aq. **45-46** τὸν – μισθόν] deest Aq. **58** τὰ μικτά] corpora mineralia Aq.

ἀμέσως τὰ στοιχεῖα ἕπεται. Ἐπεὶ τοίνυν ἐν ἐκείνῃ τοῦ κόσμου τῇ καταστάσει οὐ χρὴ ἐκεῖνο ἐκβάλλεσθαι, ὃ προσήκει τῇ μυσταγωγίᾳ τῆς θείας σοφίας, δοκεῖ τὰ ζῷα καὶ τὰ φυτὰ μὴ ὀφείλειν παύσασθαι ἄν.

[5.9.12] Ἔτι, εἰ ἐν τῇ τοῦ κόσμου δημιουργίᾳ μὴ παραχθεῖεν τὰ ζῷα καὶ τὰ φυτά, οὐκ ἂν ὁ κόσμος ἐγένετο τέλειος. Ἀλλὰ μείζων ἔσται ἡ τελειότης τοῦ κόσμου ἡ ἐσχάτη ἢ ἡ πρώτη. Δοκεῖ ἄρα τῷ παντὶ τὰ ζῷα καὶ τὰ φυτὰ μένειν.

[5.9.13] Ἄνευ δὲ τούτων, μικτά τινα σώματα καί τινα ζῷα ἄλογα εἰς ποινὴν τῶν ὑπευθύνων καταλέγονται, καθάπερ ἐν τῷ Ψαλμῷ λέγεται· πῦρ καὶ θεῖον καὶ Πνεῦμα καταιγῖδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν· καὶ Ἡσαΐας πρὸς τῷ τέλει, ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ αὐτῶν οὐ σβέννυται. Αἱ δὲ τῶν ὑπευθύνων ποιναὶ ἀίδιαι ἔσονται. Δοκεῖ ἄρα τὰ ζῷα καὶ σώματα τὰ μικτὰ εἰς τὸ διηνεκὲς μένειν.

[5.9.14] Ἔτι, ἐν αὐτοῖς τοῖς στοιχείοις εἰσὶν οἱ σπερματικοὶ λόγοι τῶν μικτῶν σωμάτων καὶ τῶν ζῴων καὶ τῶν φυτῶν, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τρίτῳ Περὶ Τριάδος. Οὗτοι δὲ οἱ λόγοι μάτην ἂν εἶεν, εἰ μὴ τὰ προειρημένα ἀνίσχοιεν ἐξ αὐτῶν. Ἐπεὶ τοίνυν ἐν ἐκείνῃ τοῦ κόσμου τῇ τελειότητι τὰ στοιχεῖα μενεῖ, καὶ κατὰ τὸ εἰκὸς οἱ σπερματικοὶ λόγοι ἐν αὐτοῖς, καὶ οὐκ ἔστιν εἰκῆ τι ἐν τοῖς τοῦ Θεοῦ ἔργοις, δοκεῖ τὰ ἄλογα καὶ τὰ φυτὰ ἐν ἐκείνῃ τῇ τοῦ κόσμου καινότητι μεῖναι.

[5.9.15] Παρὰ ταῦτα, ἡ τελευταία τοῦ κόσμου κάθαρσις ἔσται διὰ τῆς τοῦ πυρὸς ἐνεργείας. Ἀλλά τινα μικτὰ σώματά εἰσιν οὕτως ἐρρωμένης συμπιλήσεως, ὡς μηδ' ὑπὸ πυρὸς δαπανᾶσθαι· ὥσπερ φαίνεται κἀν τῷ χρυσῷ. Ἀναμφισβητήτως ἄρα ἔοικε ταῦτα μετ' ἐκεῖνο τὸ πῦρ μένειν.

[5.9.16] Ἔτι, τὸ καθόλου ἐστὶν ἀίδιον. Ἀλλὰ τὸ καθόλου οὐκ ἔστιν εἰ μὴ ἐν τοῖς κατὰ μέρος. Δοκεῖ ἄρα οὑτινοσοῦν καθόλου τὰ καθέκαστα μεῖναι ἐσαεί. Ἄρα καὶ τὰ ἄλογα ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μικτὰ σώματα ἔσονται ἀεί.

[5.9.17] Ἀλλ' ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Ὠριγένους εἰρημένον, οὐκ οἰητέον ἀπαντῆσαι εἰς τὸ τέλος ἐκεῖνο τὰ ζῷα, ἢ τὰ κτήνη, ἢ τὰ θηρία τῆς γῆς, ἀλλ'

**66-67** ἐν – ποτηρίου αὐτῶν] Ps. 10, 6: ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. **67-68** Ἡσαΐας – σβέννυται] Is. 66, 24: καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. ; cf. Mc. 9, 44: ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.

**63** τοῦ] ὃ τοῦ M

οὐδὲ τὰ ξύλα οὐδὲ τοὺς λίθους.

[5.9.18] Ἔτι, τὰ ζῷα καὶ τὰ φυτὰ πρὸς τὸν ζωώδη τοῦ ἀνθρώπου βίον τείνει· ὅθεν λέγεται ἐν τῷ τῆς Γενέσεως ἐνάτῳ· ὥσπερ λάχανα χλόης δέδωκα ὑμῖν πᾶσαν σάρκα. Ἀλλ᾽ ἡ ζωώδης ζωὴ τοῦ ἀνθρώπου παύσεται. Ἄρα καὶ τὰ ζῷα καὶ τὰ φυτὰ παύσονται.

[5.9.19] Ἀπόκρισις. Ῥητέον, ὅτι ἐν ἐκείνῃ τῇ τοῦ κόσμου ἀνηβήσει, οὐδὲν τῶν μικτῶν ὑποφθήσεται ἔξω τοῦ ἀνθρωπείου σώματος. Ὥστε δὲ ἐλεῖν τοὺς τούτου λόγους, ἰτέον τῇ τάξει ἣν ὁ Φιλόσοφος διδάσκει ἐν τῷ τῆς Φυσικῆς | P 136v δευτέρῳ, ὥστε δηλαδὴ πρῶτον θεωρῆσαι τὰ τελικὰ αἴτια, ἔπειτα τὰς ὑλικὰς ἀρχάς καὶ τὰς εἰδικάς. Καὶ τῆς μὲν κινούσης αἰτίας πρὸς τὸ τέλος τῶν μικτῶν σωμάτων καὶ τῶν φυτῶν καὶ τῶν ζῴων, δισσὴ δύναται θεωρεῖσθαι τάξις. Πρώτη μὲν ἡ τοῦ παντὸς συμπλήρωσις, πρὸς ἣν πάντα τὰ μέρη τοῦ παντὸς τέτακται καθάπερ εἰς τέλος· πρὸς ὃ δὴ τέλος τὰ προειρημένα οὐχ οἷά τε τάττεσθαι ὥσπερ καθ᾽ αὑτὰ καὶ οὐσιωδῶς ἐκ τῆς τοῦ παντὸς τελειότητος ὄντα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἐν αὐτοῖς, ὅπερ οὐχ εὑρίσκεται ἐν τοῖς ἀρχοειδέσι μέρεσι τοῦ παντός, ἅπέρ ἐστι τὰ οὐράνια σώματα καὶ τὰ στοιχεῖα, ὥσπερ ἐν ἀρχαῖς ὑλικαῖς καὶ ποιητικαῖς. Ὅθεν τὰ προειρημένα εἰσὶν οἱονεί τινα μερικὰ ἀποτελέσματα τῶν καθόλου αἰτιῶν, αἵ εἰσιν οὐσιώδη μέρη τοῦ παντός· διὸ καὶ ἐκ τῆς τοῦ παντός εἰσι τελειότητος κατὰ τὸ προϊέναι ἀπὸ τῶν ἰδίων αἰτιῶν, ὃ γίνεται διὰ κινήσεως. Διὸ καὶ προσήκουσι τῇ τοῦ παντὸς τελειότητι τοῦ ὑπὸ κίνησιν ὄντος, ἀλλ᾽ οὐ τοῦ παντὸς ἁπλῶς. Καὶ διατοῦτο παυσαμένης τῆς τοῦ παντὸς μεταβολῆς ἀνάγκη τὰ εἰρημένα παύσασθαι. Ἕτερον τέλος ἐστὶν ὁ ἄνθρωπος, ὅτι, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῇ αὐτοῦ Πολιτείᾳ, τὰ ἀτελῆ ἐν τῇ φύσει τέτακται πρὸς τὰ τέλεια ὥσπερ πρὸς τέλος· ὅθεν, ὡς ἐκεῖ ἀξιοῖ, τῶν ζῴων ἀτελῆ ἐχόντων ζωὴν ἀποσκοποῦσιν εἰς τὴν ἀνθρωπίνην, ἣ ἁπλῶς τελεία ἐστί, καὶ τῶν φυτῶν θεωροῦσι ταῦτα παρὰ τὰ ζῷα· τὰ μὲν φυτὰ τοῖς ζῴοις εἰς ἐδωδὴν παρὰ τῆς φύσεως ηὐτρέπισται, τὰ ζῷα δὲ διὰ τὸν ἄνθρωπον ἀναγκαῖα ἐστὶ πρὸς σίτισιν καὶ πρὸς τὰς ἄλλας ὑπουργίας. Αὕτη δὲ ἡ ἀνάγκη ἔπεστι τῷ

**85-87** τὸ – λίθους] Or., locum non inveni. **89-90** ὅθεν – σάρκα] Gen. 9, 3: καὶ πᾶν ἑρπετόν, ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα. **93-96** ἐλεῖν – αἰτίας] Ar., Phys. II, 200a.7-10: ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις πᾶσιν, ἐν ὅσοις τὸ ἕνεκά του ἔστιν, οὐκ ἄνευ μὲν τῶν ἀναγκαίαν ἐχόντων τὴν φύσιν, οὐ μέντοι γε διὰ ταῦτα ἀλλ' ἢ ὡς ὕλην, ἀλλ' ἕνεκά του.

ἀνθρώπῳ παραμένοντι ἐν τῷ ζωώδει βίῳ, ὃς ἐν ἐκείνῃ τῇ τῶν ὄντων ἀνανεώσει περιαιρεθήσεται. Τὸ γὰρ σῶμα ἀναβιώσεται οὐ ψυχικόν, ἀλλὰ πνευματικόν, ὡς ἐν τῷ δεκάτῳ πέμπτῳ τῆς Πρὸς Κορινθίους πρώτης, καὶ διατοῦτο τηνικαῦτα τὰ ζῷα καὶ τὰ φυτὰ ἐκποδὼν ἔσται. Πρὸς τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐπιτηδειότητα ἴσχει τῶν προειρημένων πραγμάτων ἡ ὕλη καὶ τὸ εἶδος. Ἐκ γὰρ τῶν ἐναντίων συγκείμενα ἔχουσιν ἐξ ἑαυτῶν ἀρχὴν φθορᾶς ποιητικήν. Ὅθεν, εἰ ἀπὸ τῆς φθορᾶς κωλύοιντο δι’ ἐξωτερικῆς ἀρχῆς, ὅμως τοῦτ’ ἔσται τρόπῳ τινὶ βίαιον καὶ οὐ προσῆκον τῇ ἀιδιότητι· τὰ γὰρ βίαια οὐ δύναται εἶναι ἀεί, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ Περὶ οὐρανοῦ καὶ κόσμου βιβλίῳ. Ἀρχὴν δὲ ἔνδοθεν οὐκ ἔχει δυναμένην ἀπὸ τῆς φθορᾶς εἴργειν· τὰ γὰρ αὐτῶν εἴδη εἰσὶ φθαρτὰ καθ’ αὑτά, ὡσὰν μὴ καθ’ αὑτὰ ὑφεστηκότα, ἀλλὰ τὸ εἶναι ἔχοντα τῆς ὕλης ἠρτημένον· διά τοι τοῦτο καὶ οὐ
P 137r δύνανται εἰς τὸ ἅπαξ διαμένειν | τὰ αὐτὰ τῷ ἀριθμῷ οὐδὲ τὰ αὐτὰ τῷ εἴδει τῆς γενέσεως καὶ τῆς φθορᾶς παυσαμένης. Τοῦτο δὲ αὐτὸ θεωροῦσι καὶ τὴν κινοῦσαν αἰτίαν εὑρεθείη ἄν· τὸ γὰρ εἶναι τῶν φυτῶν καὶ τῶν ζῴων, ἐπεὶ τὸ ζῆν ἐστι τοῖς ζῶσι τὸ εἶναι, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ, ζῆν τί ἐστιν, ὅπερ ἐν τοῖς σωματικοῖς πράγμασιν ἄνευ κινήσεως ἀδύνατον ὑπάρχειν. Ὅθεν τὰ ζῷα ἀπόλλυται παυσαμένης τῆς τῆς καρδίας κινήσεως καὶ τὰ φυτὰ παυσαμένης τῆς θρεπτικῆς. Ἐν τούτοις δὲ οὐκ ἔστι τις κίνησις ἀρχὴ μὴ ἠρτημένη τοῦ πρώτου κινητοῦ· αὐταὶ γὰρ αἱ τῶν ζῴων καὶ τῶν φυτῶν ψυχαὶ παντάπασιν εἴκουσι ταῖς ἐνσημάνσεσι τῶν οὐρανίων σωμάτων. Ὅθεν τῆς οὐρανίου κινήσεως παυσαμένης οὐκ ἂν δύναιτο κίνησις ἐν αὐτοῖς μένειν, οὔτε ζωή. Καὶ ταύτῃ φαίνεται ἐν ἐκείνῃ τῇ τοῦ κόσμου καινότητι τὰ προειρημένα οὐ δύνασθαι μένειν.

[5.9.20] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι πάντα τὰ τοῦ Θεοῦ ἔργα διαμένει εἰς τὸν αἰῶνα ἢ καθ’ αὑτὰ ἢ κατὰ τὰς σφῶν αὐτῶν αἰτίας. Ταύτῃ γοῦν τὰ ζῷα καὶ τὰ φυτὰ μενεῖ μενόντων τῶν οὐρανίων σωμάτων καὶ τῶν στοιχείων.

[5.9.21] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ ἀιδιότης ἡ κατὰ τὸ εἶδος καὶ οὐχ ἡ κατὰ τὸν ἀριθμὸν ἔστι διὰ τῆς γενέσεως· ἣ παυσαμένης τῆς οὐρανίου κινήσεως οὐκ ἔσται.

**117-119** τὸ – πρώτης] I Cor. 15, 44: σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν.

**126** ὡσὰν] ὡσᾶν bis acc. P **130-131** ἐπεὶ – δευτέρῳ] deest Aq. **134** τὶς κίνησις] τινὸς κινήσεως M (aliquod motus Aq.)

**[5.9.22] Πρὸς τὸ τρίτον ῥητέον ὅτι ὁ σκοπὸς τῆς φύσεώς ἐστι τηρεῖν τὸ εἶδος πρὸς τὸ ἀίδιον ὑπομενούσης τῆς οὐρανίου κινήσεως, δι’ ἧς αὕτη ἡ ἀιδιότης συντηρεῖσθαι δύναται.**

**[5.9.23] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι τὰ προειρημένα εἰσὶ πρὸς τὴν τοῦ παντὸς πομπείαν ἐν τῇ τῆς μεταβολῆς καταστάσει καὶ τῆς ζωώδους διαίτης τοῦ ἀνθρώπου, καὶ οὐκ ἄλλως, ὡς εἴρηται.**

**[5.9.24] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν ἐκείνῃ τῇ μακαριότητι οἱ ἅγιοι οὐ δεήσονται τὰ τοῦ Θεοῦ ἀόρατα διὰ τῶν κτισμάτων καθορᾶν, ὥσπερ ἐν τῇδε τῇ καταστάσει, περὶ ἧς ὁ Παῦλος διαλέγεται· τότε γὰρ τὰ τοῦ Θεοῦ ἀόρατα ἐφ’ ἑαυτῶν ὄψονται.**

**[5.9.25] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι τὸ τῆς ζωῆς ξύλον ἐκλαμβάνεται μεταφορικῶς ἐκεῖ ἀντὶ τοῦ Χριστοῦ ἢ ἀντὶ τῆς Σοφίας, περὶ ἧς ἐν ταῖς Παροιμίαις εἴρηται ἐν τῷ τρίτῳ·** ξύλον ζωῆς ἐστὶ τῆς ἀντεχομένης αὐτῆς.

**[5.9.26] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι ὁ τῆς ἀιδιότητος πόθος ἐστὶν ἐν τοῖς κτιστοῖς πράγμασιν ἐκ τῆς πρὸς τὸν Θεὸν ἀφομοιώσεως, ἑκάστῳ μέντοι κατὰ τὸν αὐτοῦ τρόπον.**

**[5.9.27] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ πρᾶγμα τῆς δημιουργίας τῶν ζῴων καὶ τῶν φυτῶν, ὅπερ εἰς κόσμον τοῦ παντὸς τελεῖ, λαμβάνεται ὅσον πρὸς τὴν πρώτην τοῦ παντὸς τελειότητα, ἢ νοεῖται ἐπὶ τῆς ἐν μεταβολῇ καταστάσεως τοῦ κόσμου ἁπλῶς, ὡς εἴρηται.**

**[5.9.28] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὰ στοιχεῖα οὐ λέγονται ἀναδεῖσθαι,**
P 137v **ἔπαθλα καθ’ αὑτά | (οὐδὲ γὰρ κατώρθωσάν τι καθ’ ἑαυτά), ἀλλ’ ἐφόσον οἱ ἄνθρωποι ἐν αὐτοῖς ἀποίσονται τὰ γέρα· ᾗ δὴ δηλονότι ἡ αὐτῶν λαμπρότης εἰς τὴν τῶν ἐκλεκτῶν διαβαίνει δόξαν. Τῶν δὲ ζῴων καὶ τῶν φυτῶν οἱ ἄνθρωποι οὐκ ἐν χρείᾳ καθεστήξουσιν, ὥσπερ τῶν στοιχείων, ἅπερ ἔσται οἷον τέμενος τῆς δόξης αὐτῶν. Διά τοι τοῦτο οὐδὲ ὅμοιον ἐστί.**

**[5.9.29] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ὅσον πρὸς τὴν ζωὴν καὶ τὴν ψυχὴν τὰ φυτὰ καὶ τὰ ζῷα εἰσὶν ὁμοιότερα τῷ Θεῷ ἢ τὰ στοιχεῖα, ὅμως τό γ’ ἧκον εἰς τὴν ἁπλότητα, ἢ μᾶλλον ἀφθαρσίας ἔχεται, εἰσὶ τὰ στοιχεῖα ὁμοιότερα τῷ Θεῷ.**

**157-158** ἐν – αὐτῆς] Prov. 3, 8: ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ᾽ αὐτὴν ὡς ἐπὶ Κύριον ἀσφαλής.

**150** πομπεῖαν] ¨ super πομπεῖαν et ¨ in marg. dex. P **161** αὐτοῦ] αὐτὸν M (suum Aq.) **164** Hic post κόσμου Aq. habet: in ordine ad complendum numerum electorum; non autem ad consummationem mundi. **174** ψυχήν] cognitionem Aq. **176** Hic post Θεῷ Aq. habet: Ad undecimum dicendum, quod in ipso homine continuatio quaedam naturarum apparebit, in quantum in eo congregatur et natura corporis mixti et natura vegetabilium et animalium.

**[5.9.30] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἑτέρα γέγονε τελειότης τοῦ κτισθέντος κόσμου καὶ ἑτέρα τοῦ τελειουμένου, ὡς ἐν τοῖς φθάσασιν εἴρηται. Καὶ διατοῦτο οὐ δεῖ ἐκ τῆς δευτέρας εἶναι τελειότητος τὰ ἐκ τῆς πρώτης.**

**[5.9.31] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ σκώληξ ἐκεῖνος ὁ πρὸς κόλασιν τῶν ἀσεβῶν καταλογιζόμενος, οὐκ ἔστιν ὑποληπτέος σωματικῶς, ἀλλὰ νοητῶς, ὡς διὰ τοῦ σκώληκος νοεῖσθαι τὸν τοῦ συνειδότος δηγμόν, καθάπερ ὁ Αὐγουστῖνος ἐν τῷ εἰκοστῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ φησί. Τὸν αὐτὸν δὴ τρόπον δύνανται ἀλληγορίας τυγχάνειν καὶ εἴ τινα παρόμοια εὑρίσκοιντο.**

**[5.9.32] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οἱ ἐν τοῖς στοιχείοις σπερματικοὶ λόγοι πρὸς ἄνυσιν τῶν ἀποτελεσμάτων οὐκ ἀρκοῦσι μὴ συναιρομένης τῆς οὐρανίου κινήσεως· καὶ διατοῦτο ταύτης παυσαμένης οὐχ ἕπεται δεῖν τὰ ζῷα καὶ τὰ φυτὰ εἶναι. Οὐ παρίσταται μέντοι τοὺς σπερματικοὺς λόγους εἶναι εἰκῆ· εἰσὶ γὰρ ἐκ τῆς τῶν στοιχείων τελειότητος.**

**[5.9.33] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, εἰ καί τινά εἰσι πρὸς ὥραν ὑπὸ τοῦ πυρὸς μὴ δαπανώμενα, οὐδὲν ὅμως ἐς τὸ ἅπαν ἀνάλωτον ἔσται τῷ πυρὶ ἐφοσονδήποτε μένον ἐν αὐτῷ, ὡς ὁ Γαληνὸς φησί, καὶ μάλιστα τοῦ πυρὸς ἐκείνου, ὅπερ ἐπὶ τῆς τοῦ κόσμου συντριβῆς ἔσται, πολλῷ βιαιοτέρου τυγχάνοντος ἢ τὸ πῦρ, ᾧ χρώμεθα. Οὐδ' αὖ ἐκ μόνης τῆς τοῦ πυρὸς ἐνεργείας τὰ μικτὰ σώματα κατ' ἐκεῖνο τοῦ καιροῦ ἀνάστατα ἔσται, ἀλλὰ καὶ ἐκ τῆς ἀναπαύλης τῆς οὐρανίου φορᾶς.**

**[5.9.34] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι τὸ καθόλου τριχῇ δύναται θεωρεῖσθαι καὶ καθ' ὁνδήποτε τρόπον τῆς θεωρίας ἀμηγέπῃ ἀληθές ἐστι τὸ καθόλου εἶναι ἀεί. Δύναται γὰρ ἑνὶ τρόπῳ θεωρεῖσθαι ἀποσκοποῦσιν εἰς**

**182-183** ὡς – φησί] Aug., De civ. XX, cap. 22 (PL 41, col. 694): In poenis autem malorum et inexstinguibilis ignis et vivacissimus vermis 204 ab aliis atque aliis aliter atque aliter est expositus. Alii quippe utrumque ad corpus, alii utrumque ad animum rettulerunt; alii proprie ad corpus ignem, tropice ad animum vermem, quod esse credibilius videtur.

**192** ἐς – ἅπαν] ἐστοάπαν P; εἰςτόάπαν M **193** ἐφοσονδήποτε] ἐφοσονδήποτε M **196** ἀνάστατα ἔσται] ¨ super ἀνάστατα et ¨ φθαρήσεται in marg. sin. P **200** εἶναι] τὸ εἶναι M

τὸ καθόλου αὐτό, ᾗ δὴ ἀποσπᾶται ἀφ’ ὁτουδήποτε εἶναι. Καὶ ταύτῃ ἀληθὲς ἐστι τὸ καθόλου εἶναι ἀεί, μάλιστα κατὰ ἀφαίρεσιν τῆς ὁριζούσης αἰτίας, χρόνον τινὰ ἢ κατὰ θέσιν αἰτίας ἀιδιότητος· ἐκ γὰρ τοῦ λόγου τῆς καθόλου φύσεως οὐκ ἔστιν εἶναι ἐν τῷδε μᾶλλον τῷ χρόνῳ ἢ ἐν ἐκείνῳ· καθ’ ὃν δὴ P 138r τρόπον καὶ ἡ πρώτη | ὕλη λέγεται εἶναι μία. Ἑτέρῳ δύναται θεωρεῖσθαι τρόπῳ κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν τοῖς καθ’ ἕκαστα. Καὶ ταύτῃ ἀληθὲς ὑπάρχει τὸ εἶναι ἀεί, ὅτι ἔστιν ὁτεδήποτε ἔστι τὸ ἴδιον καθέκαστον· ὥσπερ λέγεται εἶναι καὶ πανταχοῦ διὰ τὸ εἶναι ὁπουδήποτε ἔστι τὸ ἴδιον καθέκαστον, καίτοι πολλῶν ὄντων τόπων, ἔνθα μὴ ἔστι τὸ ἴδιον καθέκαστον. Ὅθεν οὐδὲ ἔστιν ἐκεῖ τὸ καθόλου. Τρίτῳ τρόπῳ, κατὰ τὸ εἶναι ὃ ἔχει ἐν τῷ νῷ. Καὶ ταύτῃ ἔτι ἀληθὲς ὂν τυγχάνει τὸ τὸ καθόλου εἶναι ἀεί, καὶ μάλιστα ἐν τῷ θείῳ νῷ.

**207-209** ὥσπερ – καθέκαστον] deest P

## Κεφάλαιον δέκατον

## Πότερον τὰ ἀνθρώπεια σώματα μενεῖ τῆς οὐρανίου κινήσεως παυσαμένης ἢ οὔ.

[5.10.1] Δέκατον ζητεῖται, πότερον τὰ ἀνθρώπεια σώματα μενεῖ τῆς οὐρανίου κινήσεως παυσαμένης. Καὶ δοκεῖ μὴ δῆτα. Λέγεται γὰρ ἐν τῷ πεντεκαιδεκάτῳ τῆς Πρὸς Κορινθίους πρώτης, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσει. Ἀλλὰ τὸ σῶμα τοῦ ἀνθρώπου ἐστὶν ἐκ σαρκὸς καὶ αἵματος. Ἐν ἐκείνῳ τοίνυν τῷ τέλει τὰ ἀνθρώπεια σώματα οὐ διαμενεῖ.

[5.10.2] Ἔτι, πᾶσα ἡ τῶν στοιχείων μίξις ἐκ τῆς οὐρανίου φορᾶς τὴν αἰτίαν ἴσχει, διὰ τὸ τὴν ἀλλοίωσιν μίξει προσγίνεσθαι. Τὸ δὲ ἀνθρώπειον σῶμά ἐστι μικτὸν ἐκ τῶν στοιχείων. Τὸ σῶμα ἄρα τὸ ἀνθρώπειον τῆς οὐρανίου κινήσεως παυσαμένης οὐ μενεῖ.

[5.10.3] Ἔτι, ἡ ἐκ τῆς ὕλης ἀνάγκη ἐστὶν ἀνάγκη ἀπόλυτος, ὡς φαίνεται ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ. Ἀλλ’ ἐν τῷ σώματι τῷ συγκειμένῳ ἐκ τῶν ἐναντίων ἔστιν ἀνάγκη πρὸς τὴν φθορὰν ἐξ αὐτῆς τῆς ὕλης. Ἀδύνατον ἄρα ἐστὶ μὴ τὰ τοιαῦτα σώματα φθαρῆναι· καὶ ταύτῃ ἀδύνατον μεῖναι μετὰ τὴν ἐν γενέσει καὶ φθορᾷ κατάστασιν. Εἰσὶ δὲ τοιαῦτα τὰ ἀνθρώπεια σώματα. Ἀδύνατον ἄρα ἐστὶν ἐν ἐκείνῳ τῷ τέλει τῶν ὄντων διαμεῖναι.

[5.10.4] Ἔτι, ὁ ἄνθρωπος τοῖς ἀλόγοις συμβαίνει ἐν τῷ ἔχειν σῶμα αἰσθητικόν. ἀλλὰ τὸ αἰσθητικὸν σῶμα τῶν ἀλόγων οὐ μενεῖ ἐν ἐκείνῳ τῷ τοῦ κόσμου τέλει. Οὐδ’ ἄρα τὰ ἀνθρώπινα σώματα.

[5.10.5] Χωρὶς δὲ τούτων, τέλος τοῦ ἀνθρώπου ἐστὶν ἡ τελεία πρὸς τὸν Θεὸν ἀφομοίωσις. Ἀλλὰ τῷ ἀσωμάτῳ Θεῷ μᾶλλον ἀφομοιοῦνται ἡ ψυχὴ ἀπολυθεῖσα τοῦ σώματος ἢ ἡνωμένη αὐτῷ. Ἐν ἐκείνῃ τοίνυν τῇ λήξει τῆς τελευταίας μακαριότητος αἱ ψυχαὶ ἔξω τῶν σωμάτων ἔσονται.

[5.10.6] Ἔτι, πρὸς τὴν τελείαν τοῦ ἀνθρώπου μακαριότητα ζητεῖται τελεία ἐνέργεια τοῦ νοῦ, ὅπέρ ἐστιν ἡγεμονικώτερον ἐν τῷ ἀνθρώπῳ. Ἀλλ’ ἡ ἐνέργεια τῆς νοερᾶς ψυχῆς τῆς χωρὶς οὔσης ἐστὶ τελειοτέρα ἢ τῆς ἡνωμένης σώματι· ὡς γὰρ λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, πᾶσα δύναμις ἑνοειδὴς

**5-7** ἐν – κληρονομήσει] I Cor. 15, 50: Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. **13-14** ἡ – δευτέρῳ] Ar., Phys. II, 200a.1-200a.15: ἐν τῇ γενέσει – τῷ λόγῳ.

**6** οὐ] deest M **12** οὐ μενεῖ] remanere non potest Aq. **25** ἔξω] ἐκ a. corr. P **27** ὅπέρ – ἀνθρώπῳ] deest Aq.

μᾶλλον ἔστιν ἄπειρος ἢ ἡ πεπληθυσμένη. **Τὰ δὲ χωριστὰ εἴδη καθ' αὐτά εἰσιν ἑνοειδῆ, τὰ δὲ συνεζευγμένα ὕλῃ ἀμηγέπῃ πρὸς πλῆθος σκεδάννυνται. Ἐν** P 138v **ἐκείνῃ ἄρα τῇ τελείᾳ | μακαριότητι αἱ ψυχαὶ οὐκ ἔσονται ἡνωμέναι σώματι.**

**[5.10.7] Ἔτι, τὰ στοιχεῖα ὅσα εἰσὶν ἐν μίξει, ἐφίενται φυσικῇ ὀρέξει τοῦ ἰδίου πού. Ἡ δὲ φυσικὴ ὄρεξις οὐχ οἷά τε εἶναι ματαία. Ὅθεν τὸ παρὰ φύσιν οὐ δύναται εἶναι ἀίδιον. Οὐκ ἄρα οἷον τε μὴ τὰ ἐν τῷ μικτῷ σώματι στοιχεῖα ὀψὲ καὶ ὅτε τύχοι πρὸς τὸν ἴδιον τόπον ἀναλῦσαι. Ὡδὶ δὲ τὸ μικτὸν σῶμα φθαρήσεται. Ἄρα μετὰ τὴν ἐν τῇ φθορᾷ κατάστασιν οὐ μενεῖ τὰ ἀνθρώπεια σώματα, ἅ εἰσι μικτά.**

**[5.10.8] Ἄνευ δὲ τούτων, πᾶσα φυσικὴ κίνησις ὁτουοῦν σώματος τῆς τοῦ οὐρανοῦ κινήσεως ἤρτηται. Ἀλλ' ἡ τῆς καρδίας κίνησις, ἧς ἄνευ οὐχ οἵά τε εἶναι ἡ τοῦ ἀνθρωπείου σώματος ζωή, ἐστὶ κίνησις φυσική. Παυσαμένης τοίνυν τῆς οὐρανίου κινήσεως ἀδύνατός ἐστι μεῖναι· καὶ κατὰ τὸ εἰκὸς οὐδὲ τοῦ ἀνθρωπείου σώματος ἡ ζωή.**

**[5.10.9] Ἔτι, τὰ μέλη τοῦ ἀνθρωπείου σώματος τῷ μείζονι μέρει τέτακται πρὸς τὰς προσηκούσας χρήσεις τῷ ζωώδει βίῳ, ὥσπερ φαίνεται ἔκ τε τῆς κοιλίας καὶ τοῦ στομάχου καὶ τῶν ὁμοίων, ἃ τέτακται πρὸς τὴν θρέψιν. Ὁ δὲ ζωώδης βίος ἐν τῷ ἀνθρώπῳ οὐ μενεῖ ἐν ἐκείνῃ τῇ μακαριότητι. Οὐδ' ἄρα τὰ τοῦ σώματος μέλη· ἄλλως γὰρ οὐκ εἰκῆ ἔσονται. Καὶ ταύτῃ οὐδὲ τὸ ἀνθρώπειον σῶμα μενεῖ.**

**[5.10.10] Ἀλλ' ἐναντίον ἐστὶ τὸ λεγόμενον ἐν τῷ δεκάτῳ πέμπτῳ τῆς Πρὸς Κορινθίους·** δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο, ἐνδύσασθαι ἀ**φ**θα**ρ**σίαν. **Τοῦτο δὲ τὸ φθαρτόν ἐστι τὸ σῶμα. Τὸ σῶμα ἄρα μενεῖ ἀφθαρσίαν ἐνδεδυκός.**

**[5.10.11] Ἔτι, ἐν τῷ τρίτῳ τῆς Πρὸς Φιλιππησίους λέγεται** μετα**μορφώ**σει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. **Ἀλλ' ὁ Χριστός, ὃ σῶμα εἰσάπαξ ἐν τῇ ἀναστάσει ὑπέστη, οὔτε ἀπέδυ οὔτε ἀποδύσεταί ποτε. Φησὶ γὰρ ἐν τῷ τῆς πρὸς Ῥωμαίους ἕκτῳ·** ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. **Καὶ οἱ ἅγιοι ἄρα, ἀιδίως βιώσονται, μετὰ τῶν**

**29-30** ὡς – πεπληθυσμένη] Liber de causis, prop. 17: omnis virtus unita plus est infinita quam virtus multiplicata. **50-51** ἐν – ἀφθαρσίαν] I Cor. 15, 53: δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. **53-55** ἐν – αὐτοῦ] III Phil. 3, 21: ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα. **56-57** ἐν – ἀποθνήσκει] Rom. 6, 9: εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει.

**45** χρήσεις] deest M

**σωμάτων μεθ’ ὧν ἀναστήσονται χρήσεις· καὶ ταύτῃ τὰ ἀνθρώπεια σώματα, μετὰ τὸ κοσμικὸν τέλος διαμενοῦσιν.**

**[5.10.12] Ἀπόκρισις. Ῥητέον, καθάπερ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ εἰκοστῷ δευτέρῳ Περὶ τῆς πόλεως τοῦ Θεοῦ,** ὁ Πορφύριος ἐτίθετο πρὸς τὸ τελείαν ἔχειν μακαριότητα τὴν ψυχὴν πᾶν σῶμα φευκτέον εἶναι αὐτῇ**, καὶ οὕτω, κατ’ ἐκεῖνον, ἀδύνατον ἐν εὐδαιμονίᾳ τελείᾳ τὴν ψυχὴν διατελεῖν σώματι ἡνωμένην. Ἧς δὴ δόξης Ὠριγένης ἅπτεται ἐν τῷ τοῦ αὐτοῦ Περὶ ἀρχῶν, λέγων ἐνίους δοξάσαι τοὺς ἁγίους τὰ κατὰ τὴν ἀνάστασιν ἀνειλημμένα σώματα ὁτιδήποτε ἀποθέσθαι, ὡς ταύτῃ καθ’ ὁμοιότητα Θεοῦ ἐν ὀλβιότητι τελείᾳ διενεγκεῖν. Ἀλλ’ αὕτη ἡ θέσις, καὶ ἄνευ τοῦ τῇ πίστει εἶναι ἀντίπαλος, ὡς ἐκ τῶν παραχθεισῶν μαρτυριῶν καὶ πολλῶν ἄλλων δειχθῆναι δύναται, ἔτι καὶ τοῖς λογισμοῖς ἀπάδει. Οὐ γὰρ οἷον τε μακαριότητος παρεῖναι τελειότητα, ἔνθα φύσεως ἄπεστι τελειότης. Ἐπεὶ δὲ ἡ τῆς ψυχῆς καὶ | (P 139r) τοῦ σώματος ἕνωσίς ἐστι φύσικὴ καὶ οὐσιώδης, ἀλλ’ οὐ συμβατική, οὐκ ἐνδέχεται τὴν τῆς ψυχῆς φύσιν εἶναι τελείαν, εἰ μὴ τῷ σώματι συνάπτοιτο· καὶ διατοῦτο ἡ ψυχὴ διαζυγεῖσα τοῦ σώματος, οὐ δύναται ἀντιλαμβάνεσθαι τῆς τελευταίας μακαριότητος. Ὃ δὴ καὶ ὁ Αὐγουστῖνος ἐν τῷ τέλει τῆς Εἰς τὴν γένεσιν ἐξηγήσεως φησίν, ὅτι αἱ τῶν ἁγίων ψυχαὶ οὐχ οὕτω τελείως ἀπολαύουσι τῆς θείας θεωρίας πρὸ τῆς ἀναστάσεως, ὥσπερ μεταταῦτα· ἀμέλει κἀν τῇ ἐσχάτῃ τελειότητι τῆς μακαριότητος δεήσει τὰ ἀνθρώπεια σώματα ἡνῶσθαι ταῖς ψυχαῖς. Ἡ δὲ προειρημένη θέσις πρόεισι κατὰ τὴν δόξαν τῶν λεγόντων τὴν ψυχὴν συμβατικῶς ἑνοῦσθαι τῷ σώματι, ὥσπερ τὸν ναύτιλον τῇ νηὶ ἢ τὸν ἄνθρωπον τῷ ἱματίῳ. Ὅθεν καὶ Πλάτων εἴρηκε τὸν ἄνθρωπον εἶναι ψυχὴν σώματι ἐνδεδυμένην, ὡς ὁ Γρηγόριος ὁ Νυσσαεὺς φησίν. Ἀλλὰ τοῦτ’ ἀσύστατόν ἐστιν. Ὡδὶ γὰρ ὁ ἄνθρωπος οὐκ ἂν εἴη ὂν καθ’ αὑτό, ἀλλὰ κατὰ συμβεβηκός· οὐδ’ ἂν εἴη ἐν τῷ τῆς οὐσίας γένει, ἀλλ’ ἐν τῷ τοῦ συμβεβηκότος γένει, ὥσπερ τοῦθ’ ὃ φημὶ περιβεβλημένον ἢ ὑποδεδημένον. Φαίνεταί τε**

**60-62** ὁ – αὐτῇ] Aug., De civ. XXII, cap. 26 (PL 41, col. 794): Sed Porphyrius ait, inquiunt, ut beata sit anima, corpus esse omne fugiendum. **74-76** ὁ – μεταταῦτα] Aug., De gen. ad litt. XII, cap. 35, n. 68 (PL 34, col. 483): Sed si quem movet, quid opus sit spiritibus defunctorum corpora sua in resurrectione recipere, si potest eis etiam sine corporibus summa illa beatitudo praeberi ... et raptam hominis a carnis sensibus mentem, et post mortem ipsa carne deposita, transcensis etiam similitudinibus corporalium, non sic videre posse incommutabilem substantiam, ut sancti Angeli vident; **80-81** Πλάτων – φησίν] Greg. Nix., De an., cap. 10.

**64** Περὶ] deest M **65** τὰ] deest P **66** Θεοῦ] τοῦ Θεοῦ M **79** ναύτειλον] ναύτολον M **85** τε] deest M

τοὺς προεισενηνεγμένους λόγους περὶ τῶν μικτῶν σωμάτων μὴ ἔχειν χώραν ἐν τῷ ἀνθρώπῳ· ὁ γὰρ ἄνθρωπος τάξεως εἴληχε πρὸς τὴν τοῦ παντὸς τελειότητα ὥσπερ οὐσιῶδες μόριον αὐτοῦ, ἐφόσον ἔστι τι ἐν τῷ ἀνθρώπῳ, ὃ μὴ περιέχεται οὔτε ἐν τοῖς στοιχείοις οὔτε ἐν τοῖς οὐρανίοις σώμασιν, εἴτουν ἡ λογικὴ ψυχή. Τὸ σῶμα τε τοῦ ἀνθρώπου τέτακται πρὸς τὸν ἄνθρωπον οὐ πρὸς τὸν ζωώδη βίον μόνον, ἀλλὰ καὶ πρὸς τὴν τελειότητα τῆς φύσεως αὐτοῦ. Κἂν ἐκ τῶν ἐναντίων συγκέηται τὸ ἀνθρώπειον σῶμα, ἔνεστι μέντοι αὐτῷ ἀρχὴ ἄφθαρτος, ᾗ δύναται ἀπὸ τῆς φθορᾶς συντηρεῖν ἄνευ βίας, διὰ τὸ ὑφαίστιος εἶναι· ᾗ καὶ δύναται αὐτάρκης εἶναι ἀρχὴ κινήσεως τῆς τοῦ οὐρανοῦ κινήσεως παυσαμένης, διὰ τὸ μὴ ἠρτῆσθαι ταύτης.

**[5.10.13]** Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι διὰ τῆς σαρκὸς καὶ τοῦ αἵματος, ἡ τῆς σαρκὸς καὶ τοῦ αἵματος νοεῖται φθορά. Ὅθεν καὶ ἐν τῇ αὐτῇ μαρτυρίᾳ ὑπάγεται· οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομήσει.

**[5.10.14]** Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν αἰτία τῆς μίξεως τοῦ ἀνθρωπείου σώματος κατὰ τὸ γίνεσθαι, διὰ δὲ τοῦ ουσιώδους εἴδους, ἡ συντήρησις αὐτοῦ ἐστί, καὶ περαιτέρῳ δι᾽ ἀρχῶν μετεωροτέρων τοῦ οὐρανοῦ, ὡς ἐκ τῶν ἄνω ζητηθέντων φαίνεται.

**[5.10.15]** Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ λογικὴ ψυχὴ ἐκ τῆς τελείας πρὸς τὸν Θεὸν ἑνώσεως παντάπασιν ὑπὲρ τὴν φύσιν τὴν νίκην ἀναιρήσεται. Καὶ ταύτῃ, εἰ καὶ ἡ προσληφθεῖσα ὕλη αὐτῇ ἔστι φθαρτή, ἐκ τῆς ψυχικῆς τέως δυνάμεως ἀφθαρσίαν κληρώσεται.

**[5.10.16]** Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ αἰσθάνεσθαι ἐν τῷ ἀνθρώπῳ ἔστιν ἐξ ἀρχῆς ἀφθάρτου, εἴτουν τῆς λογικῆς ψυχῆς· ἐν τοῖς ἀλόγοις δέ ἐστιν ἐξ ἀρχῆς φθαρτῆς· | [P 139v] καὶ διατοῦτο τὸ αἰσθητικὸν σῶμα τοῦ ἀνθρώπου ἀιδίως δύναται διαμένειν, οὔκουν γε μὴν τὸ τοῦ ἀλόγου αἰσθητικὸν σῶμα.

**[5.10.17]** Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ ψυχὴ ἡνωμένη σώματι μᾶλλόν ἔοικε τῷ Θεῷ ἢ τοῦ σώματος χωρισθεῖσα διὰ τὸ ἐκείνως τελειοτέρα εἶναι τῇ φύσει. Ἐπιτοσοῦτο γάρ τι τῷ Θεῷ ὁμοιότερον ἐστίν, ἐφόσον τέλειον ὑπάρχει, εἰ καὶ μὴ παραπλήσιός ἐστιν ἥ τε τοῦ Θεοῦ ὁμοιότης καὶ ἡ τῆς κτίσεως.

**93** ὑφαίστιος] ὑφέστιος M **98** αἰτία] deest M (causa Aq.) **99** γίνεσθαι] γενέσθαι P (fieri Aq.) **108** τὸ] deest P

**[5.10.18] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ ψυχὴ ἡ τῷ σώματι ἡνωμένη, οὐ πληθύνεται κατὰ τὰ ὑλικὰ εἴδη, ἅ εἰσι διαιρετὰ τῇ τοῦ ὑποκειμένου διαιρέσει, ἀλλ' ἐν ἑαυτῇ μένει ἁπλῆ καὶ μία. Ὅθεν ἡ αὐτῆς ἐνέργεια οὐκ ἐμποδίζεται τῇ τοῦ σώματος ἑνώσει ἐπειδὰν τὸ σῶμα ᾖ ὑποχείριον τῇ ψυχῇ. Νῦν γὰρ εἴ τι ἐγγίνεται αὐτῇ ἐμπόδιον, συμβαίνει ὅτι μὴ κατὰ κράτος δεσπόζει τοῦ σώματος.**

**[5.10.19] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ φυσικὴ τῶν στοιχείων ὄρεξις τοῦ τείνειν εἰς τὸν ἴδιον αὐτῶν τόπον τῇ τῆς ψυχῆς δεσποτείᾳ εἰς τὸ σῶμα κατασχεθήσεται, ὥστε μὴ γενέσθαι τὴν τῶν στοιχείων ἀνάλυσιν· τὰ γὰρ στοιχεῖα τελεώτερον ἕξουσι τὸ εἶναι ἐν τοῖς τῶν ἀνθρώπων σώμασιν ἢ ἐν τοῖς ἰδίοις αὐτῶν τόποις.**

**[5.10.20] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ τῆς καρδίας κίνησις τὴν αἰτίαν σχήσεται ἐκ τῆς φύσεως τῆς λογικῆς ψυχῆς, ἢ μὴ ἐξῆπται τῆς οὐρανίου κινήσεως. Καὶ διατοῦτο ἡ κίνησις ἐκείνη οὐ παύσεται τῆς οὐρανίου κινήσεως παυσαμένης.**

**[5.10.18] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι πάντα τὰ μέλη τοῦ σώματος μενοῦσιν, οὐ διὰ τὴν χρῆσιν τοῦ ζωώδους βίου, ἀλλὰ διὰ τὴν τελειότητα τῆς ἀνθρωπείας φύσεως.**

**Τέλος τοῦ πέμπτου βιβλίου.**

**118** κατὰ κράτος] κατακράτος P; κατὰ κράτως M **132** Τέλος – βιβλίου] deest P

## Βιβλίον ἕκτον

## Κεφάλαιον πρῶτον

### Πότερον ὁ Θεὸς δύναταί τι ποιεῖν παρὰ τὰς φυσικὰς αἰτίας ἐν τοῖς κτιστοῖς ἢ παρὰ τὴν φύσιν ἢ παρὰ τὸν τῆς φύσεως δρόμον ἢ οὔ.

[6.1.1] Ἡ ζήτησίς ἐστι περὶ τῶν θαυμάτων. Καὶ δὴ πρῶτον ζητεῖται, πότερον δύναται ὁ Θεὸς ἐν τοῖς κτιστοῖς τι ποιεῖν παρὰ τὰς φυσικὰς αἰτίας ἢ παρὰ τὴν φύσιν ἢ παρὰ τὸν τῆς φύσεως δρόμον. Καὶ δοκεῖ μὴ πάνυ. Ἐν γὰρ τῇ Ἐξηγήσει τοῦ ἑνδεκάτου τῆς πρὸς Ῥωμαίους φησίν· ὅτι ὁ πάντων δημιουργὸς Θεὸς τῶν φύσεων οὐδὲν παρὰ τὴν φύσιν ποιεῖ.

[6.1.2] Ἔτι, ἑτέρα Ἑρμηνεία φησὶν εἰς τὸ αὐτό· οὕτως ὁ Θεὸς παρὰ τὸν τῆς φύσεως νόμον ποιεῖν οὐ δύναται, ὅπως παρ’ ἑαυτόν. Παρ’ ἑαυτόν δὲ ποιεῖν οὐ δύναται, διὰ τὸ ἑαυτὸν ἀρνήσασθαι μὴ δύνασθαι, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῆς Πρὸς Τιμόθεον δευτέρας. Οὐδ’ ἄρα παρὰ τὴν | τῆς φύσεως
P 140r τάξιν, ἥτις ἐστὶν ὁ νόμος τῆς φύσεως, ὁ Θεὸς ποιεῖν δύναται.

[6.1.3] Ἔτι, καθάπερ ἡ τάξις τῆς ἀνθρωπίνης δικαιοσύνης ἀπορρεῖ ἀπὸ τῆς θείας δικαιοσύνης, οὕτως ἡ τῆς φύσεως τάξις ἀπὸ τῆς θείας σοφίας· αὐτὴ γάρ ἐστιν ἡ πάντα χρηστῶς διαχειρίζουσα, ὡς λέγεται ἐν τῷ τῆς Σοφίας ὀγδόῳ. Ἀλλὰ παρὰ τὴν τάξιν τῆς ἀνθρωπίνης δικαιοσύνης ὁ Θεὸς ποιεῖν οὐ δύναται· ταύτῃ γὰρ ἔσται αἰτία τῆς ἁμαρτίας, ἣ μόνῃ τῇ τάξει τῆς δικαιοσύνης διαμάχεται. Ἐπεὶ τοίνυν οὐχ ἧττων ἐστὶν ἡ τοῦ Θεοῦ σοφία τῆς αὐτοῦ δικαιοσύνης, δοκεῖ μηδὲ παρὰ τὴν τῆς φύσεως τάξιν δύνασθαι ποιεῖν.

[6.1.4] Ἔτι, ἡνίκα ὁ Θεὸς ἐνεργεῖ ἐν τοῖς δημιουργήμασι διὰ τῶν σπερματικῶν λόγων, οὐ γίνεταί τι παρὰ τὸν τῆς φύσεως δρόμον. Ἀλλ’ ὁ Θεὸς οὐ δύναταί τι προσφυῶς ποιεῖν ἐν τῇ φύσει ἄνευ τῶν σπερματικῶν λόγων τῶν τῇ φύσει ἀποκεκληρωμένων. Ὁ Θεὸς ἄρα οὐ δύναται, ὡς εἰκός, παρὰ τὸν τῆς φύσεως δρόμον τι ποιεῖν. Ἀπόδειξις τῆς μέσης. Φησὶ γὰρ ὁ Αὐγουστῖνος, ἐν τῷ Περὶ Τριάδος τρίτῳ· τὰ ὁρατὰ φάσματα τὰ τοῖς πατράσι προβεβλημένα εἰσὶ διὰ

**7-9** Cf. Rom. 11, 24: εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ. **11-13** Παρ’ – δευτέρας] II Timoth. 2, 13: εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει˙ ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. **16-18** αὐτὴ – ὀγδόῳ] Sap. 8, 1: διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

**1** Βιβλίον] Ζητήματά τινα Θωμᾶ τοῦ Ἀκονίου διδασκάλου τῶν Λατίνων ἕκτον add. ante Βιβλίον M | ἕκτον] ε’ον P **11** νόμον] δρόμον M (legem Aq.) | ὅπως ¨ super ¨ et καθὰ in marg. sin. P **24** προσφυῶς ποιεῖν] ποιεῖν προσφυῶς M (convenienter operari Aq.)

μέσης τῆς τῶν ἀγγέλων διακονίας, διὰ τὸ τὸν Θεὸν τὰ μὲν οὐράνια σώματα διοικεῖν διὰ τῶν πνευμάτων, ὁμοίως δὲ καὶ τὰ ὑποβεβηκότα διὰ τῶν ὑπερκειμένων, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ φησί. Παραπλησίως δὴ δύναται λέγεσθαι, ὅτι ἀτταδήποτε ἀποτελέσματα, διοικεῖ διὰ τῶν αἰτίων. Ἐπεὶ τοίνυν ἐν ταῖς φυσικαῖς αἰτίαις οἱ σπερματικοὶ λόγοι καταβέβληνται, δοκεῖ καθηκόντως τὸν Θεὸν μὴ δύνασθαι ἐνεργεῖν ἐν τοῖς φυσικοῖς ἀποτελέσμασιν εἰ μὴ τῶν σπερματικῶν λόγων μεσιτευόντων. Καὶ οὕτως οὐδὲν γενήσεται ἀπ' αὐτοῦ, παρὰ τὸν τῆς φύσεως δρόμον.

[6.1.5] Χωρὶς δὲ τούτων, ὁ Θεὸς οὐ δύναται ποιεῖν τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ἅμα ἀληθεῖς. Ἐπεὶ γὰρ τοῦτ' ἐστὶ παρὰ τὸν τοῦ ὄντος λόγον, ἐφόσον ἐστὶν ὄν, ἔστιν ἔτι καὶ παρὰ τὸν λόγον τῆς δημιουργίας· πρώτη γὰρ ἀρχὴ τῶν κτιστῶν ἐστι τὸ εἶναι, ὡς λέγεται ἐν τῷ Περὶ Αἰτιῶν βιβλίῳ. Τῆς προειρημένης δὲ ἀποδεικτικῆς ἀρχῆς πρώτης οὔσης πρὸς τὰς ἄλλας ἀρχάς, εἰς ἣν πᾶσαι αἱ ἄλλαι ἀναλύονται, ὡς ἀποδείκνυται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά, ἀνάγκη ἐν ἡτινιοῦν ἀναγκαίᾳ προτάσει περιέχεσθαι τὴν κατάφασιν, καὶ αὖθις τὸ ἀντικείμενον αὐτῇ ἐν ἡτινιοῦν ἀδυνάτῳ. Ἐπεὶ τοίνυν τὰ παρὰ τὸν τῆς φύσεως δρόμον εἰσὶν ἀδύνατα τῇ φύσει, ὥσπερ τὸ τὸν τυφλὸν ὁρῶντα γενέσθαι καὶ τὸν ἀποτεθνηκότα ἀναβιῶναι, εἰς τὸ τὸν ἀντικείμενον ἡ προειρημένη ἀρχὴ περισχεθήσεται. Τὰ παρὰ τὸν δρόμον ἄρα τῆς φύσεως ὁ Θεὸς ποιεῖν οὐ δύναται.

[6.1.6] Ἔτι, ἐξήγησίς τις φησὶν ἐν τῷ τρίτῳ τῆς Πρὸς Ἐφεσίους, ὅτι ὁ Θεὸς παρὰ τὰς αἰτίας, ἃς θελήσει κατεσκεύσασε, μεταβολὴ θελήσεως, | P 140v οὐδεπώποτε <ἂν> δράσειε. Ἀλλὰ τὰς φυσικὰς αἰτίας ὁ Θεός, τῇ αὐτοῦ θελήσει κατεσκεύασεν. Ἄρα παρὰ τὰς φυσικὰς αἰτίας οὐδὲν ποιεῖ οὐδὲ ποιεῖν δύναται, ὡσπεροῦν οὐδὲ μεταβλητὸς εἶναι δύναται· μεταβολὴ γὰρ θελήσεως, φαίνεται, ἐπειδάν τίς τι παρὰ τὰ τέως εἰργασμένα θελήσει διαπράττεται.

**26-29** φησὶ – πνευμάτων] Aug., De Trin. III, cap. 11, n. 13 (PL 42, col. 882): Proinde illa – et loquimur. **29-30** Ὁμοίως – φησί] Aug., De Trin. III, cap. 4, n. 9 (PL 42, col. 873): Sed quemadmodum – per ipsum Deum. **38-39** πρώτη – βιβλίῳ] Liber de causis, prop. 4, 37: prima rerum creatarum est esse et non est ante ipsum creatum aliud. **39-43** Τῆς – ἀδυνάτῳ] Ar., Metaph. IV, 1005b.17-19: ὅτι μὲν οὖν βεβαιοτάτη ἡ τοιαύτη πασῶν ἀρχή, δῆλον· τίς δ' ἔστιν αὕτη, μετὰ ταῦτα λέγωμεν. **48** ἐν – Ἐφεσίους] cf. Eph. 3, 7: οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.

**[6.1.7] Ἔτι, τὸ τοῦ παντὸς ἀγαθόν ἐστι τὸ ἀγαθὸν τῆς τάξεως, εἰς ἣν τείνει ὁ τῶν φυσικῶν δρόμος πραγμάτων. Ἀλλ’ ὁ Θεὸς οὐ δύναται ποιεῖν παρὰ τὸ καθόλου ἀγαθόν· ἐκ γὰρ τῆς αὐτοῦ κορυφαίας ἀγαθότητος πρόεισι τὸ πάντα λίαν εἶναι καλὰ κατὰ τὴν καθόλου τάξιν. Ὁ Θεὸς ἄρα [6.1.8] οὐ δύναται εἶναι αἰτία τοῦ κακοῦ.** Τὸ δὲ κακόν ἐστι στέρησις τοῦ τρόπου καὶ τοῦ εἴδους καὶ τῆς τάξεως. **Ὁ Θεὸς ἄρα οὐ δύναται ποιεῖν παρὰ τὸν τῆς φύσεως δρόμον, ὃς τείνει πρὸς τὴν τοῦ καθόλου τάξιν.**

**[6.1.9] Ἄνευ δὲ τούτων, ἐν τῷ τῆς Γενέσεως πρώτῳ λέγεται, ὅτι** ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσε**ν** ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ**, ἃ** ἐποίησε· **καὶ τοῦτο διὰ τόδε, κατὰ τὴν ἐξήγησιν, ὅτι ἐπαύσατο ἀπὸ πάντων τῶν ποιητέων ἔργων. Ἀλλ’ ἐν τοῖς ἔργοις τῶν ἓξ ἡμερῶν οὐκ ἐποίησέ τι παρὰ τὸν τῆς φύσεως δρόμον. Ὅθεν ὁ Αὐγουστῖνός φησιν, ἐν τῷ εἰς τὴν Γένεσιν δευτέρῳ, ὅτι ἐν τοῖς ἔργοις τῶν ἓξ ἡμερῶν, οὐ ζητεῖται τί ὁ Θεὸς θαυμασιωδῶς ποιῆσαι δύναται, ἀλλὰ τί ἡ φύσις στέγειν δύναται, ἣν ὁ Θεὸς τότε κατεσκεύαζεν. Οὐδ’ ἄρα ὁ Θεὸς μετὰ ταῦτα τι ποιεῖ, παρὰ τὴν τῆς φύσεως διεξαγωγήν.**

**[6.1.10] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἑβδόμῳ τοῦ Μετὰ τὰ φυσικά, ἡ φύσις ἐστὶν αἰτία τῆς τάξεως ἐν ἅπασιν. Ἀλλ’ ὁ Θεὸς οὐ δύναται ποιεῖν τι, εἰ μὴ τεταγμένως· ὅτι, ὡς λέγεται τῷ τρισκεδαικάτῳ τῆς Πρὸς Ῥωμαίους, τὰ δὲ πάντα εἰσὶν** ὑπὸ τοῦ Θεοῦ **δια**τεταγμένα. **Ἄρα οὐ δύναται ποιεῖν τι παρὰ τὴν φύσιν.**

**[6.1.11] Ἔτι, ὥσπερ ὁ λόγος ὁ ἀνθρώπινός ἐστι παρὰ τοῦ Θεοῦ, οὕτω καὶ ἡ φύσις. Ἀλλὰ παρὰ τὰς ἀρχὰς τοῦ λόγου ὁ Θεὸς ποιεῖν οὐ δύναται, ὥσπερ τὸ τὸ γένος μὴ κατηγορεῖσθαι τοῦ εἴδους ἢ τὴν τοῦ τετραγώνου πλευρὰν εἶναι σύμμετρον τῇ διαμέτρῳ. Ἄρα ὁ Θεὸς οὐ δύναται παρὰ τὰς τῆς φύσεως ἀρχὰς ποιεῖν.**

**60-62** ὁ – τάξεως] Aug., De nat. boni, cap. IV (PL 40, col. 553: Malum est corruptio modi, speciei aut ordinis. **63-64** ἐν – ἐποίησε] Gen. non 1 sed 2, 2: καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. **67-70** ὁ – κατεσκεύαζεν] Aug., De gen. ad litt. II: locum non inveni. **72-73** κατὰ – ἅπασιν] cf. Ar., Metaph. VII, 1029a20-21: λέγω δ' ὕλην ἣ καθ' αὑτὴν μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηδὲν λέγεται οἷς ὥρισται τὸ ὄν. **74-75** ὡς – διατεταγμένα] Rom. 13, 1: πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν.

**58** Hic post ἄρα Aq. habet: non potest facere, contra cursum naturae, qui pertinet ad ordinem universi. Praeterea, Deus **62** τάξιν] Ἔτι, τὸ παρὰ τὴν τάξιν κακόν, ὁ δὲ Θεὸς οὐ ποιεῖ τὸ κακόν. Ὁ Θεὸς ἄρα οὐ ποιεῖ παρὰ τὴν τάξιν add. post τάξιν P; deest Aq. **63** ἐν] ὡς ἐν P **78** ὥσπερ] intellige ὥστε

**[6.1.12] Ἔτι, ὅλη ἡ τῆς φύσεως διεξαγωγὴ ἐκ τῆς θείας σοφίας πρόεισι, καθάπερ τὰ τεχνητὰ ἀπὸ τῆς ἀνθρωπείας τέχνης, ὡς ὁ Αὐγουστῖνος τίθησιν ἐπ' ἐκεῖνο τὸ τοῦ Ἰωάννου·** ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν. **Ἀλλ' ὁ τεχνίτης οὐ ποιεῖ παρὰ τὴν ἑαυτοῦ τέχνην εἰ μὴ πλάνῃ, ἣ ἐν Θεῷ εἶναι οὐ δύναται. Οὐδ' ἄρα ὁ Θεός τι ποιεῖν δύναται παρὰ τὸν τῆς φύσεως νόμον.**

**[6.1.13] Παρὰ ταῦτα, ὁ Φιλόσοφος φησὶν ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ, ὅτι** ὥσ**περ ἕκαστον ποιεῖ,** οὕτω **γίνεσθαι** πέφυκεν. **Ἀλλ' ὅπερ οὕτω γίνεσθαι πέφυκεν, ὥσπερ ποιεῖ, οὐ γίνεται παρὰ |** P 141r **τὸν τῆς φύσεως δρόμον. Οὐδὲν ἄρα γίνεται παρὰ τὴν τῆς φύσεως διεξαγωγήν.**

**[6.1.14] Ἔτι, ὁ Ἄνσελμος φησὶν ὅτι·** τὸ σφόδρα ἄτοπον, ἀδύνατόν ἐστι τῷ Θεῷ. **Ἄτοπον δέ ἐστι τὸν τῆς φύσεως δρόμον μεταβαλεῖν, προσῆκον συντηρεῖσθαι. Ἀδύνατον ἄρα ἐστι τὸν Θεὸν παρὰ τὴν τῆς φύσεως διεξαγωγὴν ποιεῖν.**

**[6.1.15] Ἔτι, ὥσπερ ἔχει ἡ ἐπιστήμη πρὸς τὸ ψεῦδος, οὕτως ἔχει καὶ ἡ δύναμις πρὸς τὸ ἀδύνατον. Ἀλλ' ὁ Θεὸς οὐ δύναται γινώσκειν τὸ ψεῦδος τὸ ἐν τῇ φύσει. Ἄρ' οὐδὲ δύναται ποιεῖν τι παρὰ τὸν τῆς φύσεως δρόμον ὂν ἀδύνατον ὂν τῇ φύσει.**

**[6.1.16] Ἔτι, μᾶλλον ἐστὶν ἀδύνατον τὸ καθ' αὐτὸ ἀδύνατον ἢ τὸ κατὰ συμβεβηκός· τὸ γὰρ καθ' αὐτὸ τοιοῦτον μᾶλλον ἐστὶ τοιοῦτον. Ἀλλὰ τὸ γεγονὸς μὴ γενέσθαί ἐστιν ἀδύνατον κατὰ συμβεβηκός· ὅπερ ὁ** Θεὸς ποιεῖν **οὐ δύναται, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν. Ἄρ' οὐδὲ τὰ παρὰ τὸν τῆς φύσεως δρόμον ὄντα ἅ ἐστιν ἀδύνατα καθ' αὑτά, οἷον τὸ τυφλὸν ὁρῶντα γενέσθαι.**

**[6.1.17] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῶν Ἠθικῶν· βίαιόν ἐστιν οὗτινος ἡ ἀρχή ἐστιν ἐξωτερική, μηδὲν εἰσφερούσης τῆς φύσεως εἰ μὴ τὸ πάσχειν. Ἀλλὰ παρὰ τὸν τῆς φύσεως δρόμον τὰ φυσικὰ πράγματα εἰσφέρειν τι οὐ δύναται. Εἰ τοίνυν παρὰ τοῦ Θεοῦ γίγνοιτο, εἰσὶ βίαια. Καὶ ταύτῃ οὐκ**

**84** τὸ – ἦν] Io. 1, 3-4: πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. **87-88** ο – πέφυκεν] Ar., Phys. II, 199a9-11: οὐκοῦν ὡς πράττεται, οὕτω πέφυκε, καὶ ὡς πέφυκεν, οὕτω πράττεται ἕκαστον, ἂν μή τι ἐμποδίζῃ. **91** ὁ – Θεῷ] Ans., Cur Deus I, cap. 20 (col. 392A): parvum inconveniens in Deo impossibile est. **99-101** τὸ – Φυσικῶν] Ar., non Phys. VIII sed Eth. nic. VI, 1139b10: μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα. (cit. Agathonem tragicum poetam saec. V). **104-106** κατὰ – πάσχειν] Ar., Eth. nic. III, 1109b35-1110a3: δοκεῖ δὴ ἀκούσια εἶναι τὰ βίᾳ ἢ δι' ἄγνοιαν γινόμενα· βίαιον δὲ οὗ ἡ ἀρχὴ ἔξωθεν, τοιαύτη οὖσα ἐν ᾗ μηδὲν συμβάλλεται ὁ πράττων ἢ ὁ πάσχων.

**86** νόμον] intellige δρόμον (cursum Aq.) **102** τὰ] deest P; add. in marg. sup. M

ἔσονται μενετά· ὃ δοκεῖ ἄτοπον. Καὶ γὰρ τοῖς θεόθεν φωτιζομένοις τυφλοῖς, διαμένει ἡ ὄψις.

[6.1.18] Ἔτι, παντὸς γένους εἴς τε τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἀντιδιαιρουμένου, ὡς φαίνεται ἐν τῷ τῆς Φυσικῆς τρίτῳ, καὶ πρὸς μὲν τὴν δύναμιν τῆς παθητικῆς δυνάμεως ἀναφερομένης, πρὸς δὲ τὸ ἐνεργείᾳ τῆς ἐνεργητικῆς· ἀνάγκη ἐκείνην μόνην τὴν παθητικὴν δύναμιν εὑρίσκεσθαι ἐν τῇ φύσει, πρὸς ἣν εὑρίσκεται ἐνεργητικὴ φυσικὴ δύναμις· αὕτη γάρ ἐστι τοῦ αὐτοῦ αὐτῇ γένους. Τοῦτο δέ φησι καὶ ὁ Ὑπομνηματιστὴς ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλὰ πρὸς τὰ παρὰ φύσιν οὐχ εὑρίσκεταί τις δύναμις δραστήριος φυσική. Οὐδ’ ἄρα δύναμις παθητική. Ἀλλ’ ἐκεῖνα, ὧν τῇ ἀποβλέψει οὐχ εὑρίσκεται δύναμις παθητικὴ ἐν τοῖς δημιουργήμασι, φαμὲν μὴ δύνασθαι γίνεσθαι, εἰ καὶ ὁ Θεὸς τῇ αὐτοῦ παντοδυναμότητι πάντα δύναται ποιεῖν. Ἄρα τὰ παρὰ τὸν τῆς φύσεως δρόμον γίνεσθαι οὐ δύνανται διὰ τὸ τῆς κτίσεως ἐνδέον, εἰ καὶ μὴ διὰ τὸ ἐνδέον τῆς θείας δυνάμεως.

[6.1.19] Πρὸς τούτοις, εἴ τι ὁ Θεὸς ποιήσει ποτέ, οὐκ ἂν εἴη ἄτοπον, εἰ καὶ ἀεὶ ποιοῖ. Εἴη δ’ ἂν ἄτοπον, εἰ ὁ Θεὸς πάντα τὰ φυσικὰ ἀποτελέσματα δημιουργοίη τῶν φυσικῶν αἰτιῶν μὴ μεσιτευουσῶν· τηνικαῦτα γὰρ τὰ φυσικὰ πράγματα τῶν ἰδίων ἐνεργειῶν ἀποστερηθήσονται. Ἄτοπον ἄρα ἐστὶν ἐνίοτε τρόπῳ τινὶ ἀποτέλεσμά τι ἐν τούτοις τοῖς χαμαιζήλοις ποιεῖν τῶν φυσικῶν αἰτιῶν μὴ μεσιτευουσῶν. Τούτων δὲ μεσιτευουσῶν οὐ ποιεῖ τι παρὰ τὸν
P 141v dρόμον τῆς φύσεως. | Ὁ Θεὸς ἄρα οὐδὲν ποιεῖ παρὰ τὸν τῆς φύσεως δρόμον.

[6.1.20] Ἔτι, τὸ καθ’ αὐτὸ αἴτιον οὐσιώδη τάξιν ἔχει πρὸς τὸ ἴδιον ἀποτέλεσμα· ὁμοίως καὶ τὸ ἀνάπαλιν. Ἀλλ’ ὁ Θεὸς οὐδενὶ χρήματι δύναται ἀφελεῖν τὸ φύσει ἐνὸν αὐτῷ μένοντος αὐτοῦ· ὥσπερ τὸ εἶναι ἄνθρωπον καὶ μὴ εἶναι ζῷον. Ἄρα οὐ δύναται ἀποτέλεσμά τι προάγειν ἄνευ αἰτίας φυσικῆς, ἣ πρὸς τὸ τοιόνδε ἀποτέλεσμα ἔχει οὐσιώδη τάξιν· ὥσπερ ὄψιν ἄνευ φυσικῶν αἰτιῶν, ἐξ ὧν ἡ ὄψις πέφυκε γίνεσθαι.

[6.1.21] Ἔτι, ἄτοπον ἐστί, τὸ μεῖζον ἀγαθὸν παρεθῆναι, εἵνεκα τοῦ ἐλάσσονος. Ἀλλὰ τὸ τοῦ παντὸς ἀγαθόν ἐστι μεῖζον ἤ τι ἀγαθὸν μερικὸν ὁτουοῦν. Ὅθεν ὁ Αὐγουστῖνος φησίν· ὁ Θεὸς ἐποίησεν ἕκαστα καλά, ὁμοῦ δὲ πάντα λίαν καλὰ

**110-115** παντὸς – ἐνεργητικῆς] Ar., Phys. III, 201a9-10: διῃρημένου δὲ καθ'ἕκαστον γένος τοῦ μὲν ἐντελεχείᾳ τοῦ δὲ δυνάμει … **117-118** ἐν – φυσικά] Ar., Metaph. IX, 1050b8-11: πᾶσα δύναμις ἅμα τῆς ἀντιφάσεώς ἐστιν· τὸ μὲν γὰρ μὴ δυνατὸν ὑπάρχειν οὐκ ἂν ὑπάρξειεν οὐθενί, τὸ δυνατὸν δὲ πᾶν ἐνδέχεται μὴ ἐνεργεῖν.

**118** οὐχ] οὐκ P **119** παθητική] deest P (passiva Aq.) **125** ποιοῖ] ποιεῖ M (faceret Aq.) **138** τὶ] ὅτι M (aliquod Aq.)

διὰ τὴν τοῦ παντὸς τάξιν. Ἄτοπον ἄρα ἐστὶ διὰ τὴν σωτηρίαν τοῦ τινος ἀνθρώπου ἢ τοῦ τινος γένους, μεταβαλεῖν τὸν τῆς φύσεως δρόμον, ὃς προσήκει τῇ τοῦ παντὸς τάξει, ἐν ᾗ τὸ ἀγαθὸν αὐτοῦ συνέστηκεν. Οὐδεπώποτε ἄρα ὁ Θεὸς ποιεῖ παρὰ τὸν τῆς φύσεως δρόμον.

[6.1.22] Ἀλλ’ ἰτέον ὁμόσε· ἀπὸ τῆς στερήσεως εἰς τὴν ἕξιν οὐ δύναται γενέσθαι ἀντιπερίστασις κατὰ τὴν φύσιν. Γίνεται δὲ ἐνεργείᾳ θείᾳ. Ὅθεν λέγεται ἐν τῷ ἑνδεκάτῳ τοῦ Κατὰ Ματθαῖον· τυφλοὶ βλέπουσι, κωφοὶ ἀκούουσι, καὶ τὰ λοιπά. Ὁ Θεὸς ἄρα τι ποιεῖ παρὰ τὸν τῆς φύσεως δρόμον.

[6.1.23] Ἔτι, ἡ δύναμις τοῦ κρείττονος οὐκ ἤρτηται τῆς δυνάμεως τοῦ ἥττονος, οὐδὲ κατ’ αὐτὴν ὁρίζεται. Ἀλλ’ ὁ Θεὸς ὑπέρκειται τῆς φύσεως. Ἆρ’ οὐχ ὁρίζεται ἡ αὐτοῦ δύναμις ὑπὸ τῆς φυσικῆς δυνάμεως. Καὶ οὕτως οὐδὲν κωλύει ποιεῖν τὶ παρὰ τὸν τῆς φύσεως δρόμον.

[6.1.24] Ἀπόκρισις. Ῥητέον, ὅτι ἄνευ ἡστινοσοῦν ἀμφισβητήσεως ὁ Θεὸς ἐν τοῖς κτιστοῖς δύναται δρᾶν ἄνευ τῶν κτιστῶν αἰτιῶν, ὡσπεροῦν ἐνεργεῖ καὶ ἐν ἁπάσαις ταῖς κτισταῖς αἰτίαις, ὡς ἐν ἄλλοις δέδεικται. Ἐνεργῶν δὲ ἄνευ τῶν κτιστῶν αἰτιῶν δύναται ἐνεργεῖν ταὐτὰ ἀποτελέσματα, ἃ τούτων μεσιτευουσῶν ποιεῖ, καὶ τῇ αὐτῇ τάξει, ἢ καὶ ἕτερα, καὶ ἑτέρᾳ τάξει· ὡδὶ δὲ δύναται ποιεῖν τι παρὰ τὸν κοινὸν καὶ εἰωθότα δρόμον τῆς φύσεως. Ἧς δὴ ἀληθείας λόγος κατάδηλος ἔσται, εἰ θεωροίημεν τὰ τῇδε τῇ ἀληθείᾳ ἐναντιοῦσθαι δοκοῦντα· ἅπερ εἰσὶ τρία. Πρῶτον γὰρ ἔστι τις δόξα ἀρχαίων φιλοσόφων, οἳ ἐτίθεντο ταῦτα τὰ σωματικὰ μὴ ἔχειν ἄλλην αἰτίαν ὑπεροχικωτέραν, ἥτίς ἐστιν αὐτοῖς αἰτία τοῦ εἶναι, εἰ καί τινες αὐτῶν ἐτίθεντο, ὡς ὁ Ἀναξαγόρας, τὸν νοῦν αἰτίαν ἡστινοσοῦν ἐν αὐτοῖς κινήσεως, οἷον τῆς διακρίσεως καὶ τῆς συγκρίσεως. Κατὰ ταύτην δὴ τὴν δόξαν ὑπ’ οὐδεμιᾶς ὑπὲρ φύσιν αἰτίας τὰ φυσικὰ εἴδη, ἃ τυγχάνει ὄντα τῶν φυσικῶν ἐνεργειῶν ἀρχαί, δύνανται μεταβάλλειν, οὐδ’ αἱ | P 142r τούτων ἐνέργειαι ἐπισχέσθαι· καὶ ταύτῃ τοι οὐδὲν δύναται γίνεσθαι παρὰ τὸν τῆς φύσεως δρόμον τῶν ἐκ τῆς ἀνάγκης τῶνδε τῶν σωματικῶν αἰτιῶν τεταγμένων. Αὕτη μέντοι ψευδεῖ ἔοικεν ἡ δόξα. Δεῖ γὰρ πρῶτον ἐν τοῖς οὖσιν εἶναι αἰτίαν τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις οὖσιν· ὥσπερ τὸ ἄκρως θερμόν ἐστιν αἰτία θερμότητος πᾶσι τοῖς

**146-147** ἐν – λοιπά] Mt. 11, 5: τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται.

**144** ὁμόσε] ὅμόσε P **163** τῆς – συγκρίσεως] segregationis Aq.

θερμοῖς, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά. Οὗ δὴ πέρι διεξοδικώτερον πεπραγμάτευται, ἐν οἷς δέδεικται μηδὲν δύνασθαι εἶναι εἰ μὴ ἐκ τοῦ Θεοῦ. Δεύτερον δὲ τῇ προειρημένῃ ἀληθείᾳ προσίστασθαι δύναται ἄλλων φιλοσόφων δόξα, λεγόντων μὲν τὸν Θεὸν εἶναι αἰτίαν πάντων τῶν ὄντων κατὰ τὸν αὐτοῦ νοῦν, ἠξίουν τῶν δὲ ἔχειν περὶ πάντων τῶν ὄντων, καθόλου τινὰ ἐπιστήμην, καθόσον γινώσκει ἑαυτόν· καὶ ὅτι αὐτός ἐστιν ἀρχὴ τοῦ εἶναι πᾶσι τοῖς οὖσιν, ἀλλὰ μὴ ἰδίαν περὶ ὁτουοῦν ἑκάστου, ἀπὸ δὲ τῆς κοινῆς καὶ καθόλου ἐπιστήμης μὴ ἕπεσθαι τὰ κατὰ μέρος ἀποτελέσματα πλὴν εἰ μὴ μεσιτευόντων τῶν μερικῶν νοημάτων. Εἰ γάρ τι εἴη ἐπιστήμη πᾶσαν πορνείαν εἶναι φευκτέον, οὐκ ἂν φύγοιμι τήνδε τὴν πρᾶξιν, εἰ μὴ ἐν νῷ λάβοιμι τήνδε τὴν πρᾶξιν εἶναι πορνείαν. Καὶ κατατοῦτο οὔ φασιν προϊέναι ἀπὸ τοῦ Θεοῦ μερικὰ ἀποτελέσματα ὅτι μὴ ἄλλων αἰτιῶν μεσιτευουσῶν κατὰ τάξιν, ὥστε αἱ μὲν ἀνωτέρω εἰσὶ μᾶλλον καθόλου, αἱ δ' ὑποβεβηκυῖαι μᾶλλον μερικαί· καὶ κατατοῦτο ὁ Θεὸς οὐδὲν δύναται ποιεῖν παρὰ τὸν τῆς φύσεως δρόμον. Ἀλλὰ καὶ αὕτη ἡ θέσις ἐστὶ ψευδής. Ἐπεὶ γὰρ ὁ Θεὸς τελείως ἑαυτὸν γινώσκει, δεῖ γινώσκειν ὁ,τιδήποτε ἐν αὐτῷ ὁπητιοῦν ἔστιν. Ἔστι δὲ ἐν αὐτῷ εἰκὼν οὐτινοσοῦν κτιστοῦ διὰ τὸ μηδὲν εἶναι δύνασθαι, ὃ μὴ αὐτὸν μιμοῖτο. Ὅθεν ἀνάγκη περὶ πάντων ἰδίαν γνῶσιν ἔχειν, ὥσπερ ἄλλοθι διεξοδικώτερον ἀποδέδεικται. Τρίτον δυνάμενον τῇ προειρημένῃ ἀληθείᾳ ἐμποδὼν γίνεσθαί ἐστι θέσις τινῶν φιλοσόφων, οἵ φασι τὸν Θεὸν ἀνάγκῃ φύσεως τὰ ὄντα ποιεῖν· οὕτω γὰρ ἀνάγκη τὴν τοῦ Θεοῦ ἐνέργειαν ὁρίζεσθαι πρὸς τὸν δρόμον τῶν ὄντων τὸν ὄντα κατὰ τὴν τῆς φύσεως τάξιν. Ὅθεν ὑπὲρ τοῦτον ποιεῖν οὐ δύναται. Ἀλλὰ καὶ τοῦτ' εἶναι ψεῦδος φαίνεται καὶ γὰρ ὑπὲρ πᾶν τὸ ἀνάγκῃ φύσεως ποιοῦν χρὴ εἶναί τι τὸ τὴν φύσιν πρὸς ἓν ὁριζόμενον, ὥσπερ ἄλλοθι καὶ τοῦτο δέδεικται· ὅθεν ἀδύνατον τὸν Θεόν, ὅς ἐστι πρῶτον ποιοῦν, ἀνάγκῃ φύσεως ποιεῖν, ὃ καὶ ἐν ἑτέρᾳ σκέψει καὶ τοῦτο δέδεικται πολλαχῶς. Τούτων τοίνυν τῶν τριῶν ληφθέντων, εἴτουν τοῦ τὸν Θεὸν εἶναι τοῖς φυσικοῖς οὖσιν αἰτίαν τοῦ εἶναι, καὶ τοῦ ἰδίαν γνῶσιν καὶ πρόνοιαν ἔχειν
P 142v περὶ ἑκάστου, καὶ τοῦ μὴ ποιεῖν ἀνάγκῃ φύσεως, ἕπεται δύνασθαι παρὰ | τὸν τῆς φύσεως δρόμον τι ποιεῖν ἐν τοῖς κατὰ μέρος ἀποτελέσμασιν, ἢ κατὰ τὸ εἶναι, ἐφόσον εἶδος τι καινὸν ἐντίθησι τοῖς φυσικοῖς πράγμασιν, ὅπερ ἡ φύσις

**169-170** τὸ – φυσικά] Ar., Metaph. II, 993b.24-26: ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον (οἷον τὸ πῦρ θερμότατον˙ καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος).

**179-180** τήνδε] τὴν δὲ P, M

**εἰσφέρειν οὐ δύναται· ὥσπερ τὸ τῆς δόξης εἶδος, ἢ ταύτῃ τῇ ὕλῃ, ὥσπερ τὴν ὄψιν ἐν τῷ τυφλῷ, ἢ ὅσον πρὸς τὴν ἐνέργειαν, ἐφόσον κατέχει τὰς ἐνεργείας τῶν φυσικῶν πραγμάτων, μὴ δρᾶν, ὃ δρᾶν πεφύκασιν, ὥσπερ** τὸ πῦρ **μὴ κάειν, ὡς ἐν τῷ τοῦ Δανιὴλ τρίτῳ φαίνεται, ἢ τὸ ὕδωρ μὴ ῥεῖν, ὥσπερ εἴρηται περὶ τοῦ κατὰ τὸν Ἰορδάνην νάματος ἐν τῷ Ἰησοῦ πέμπτῳ.**

**[6.1.25] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι παρὰ τὴν μερικὴν φύσιν καὶ ὁ Θεὸς ποιεῖ καὶ τὰ φυσικὰ πράγματα· τὸ γὰρ πῦρ ἐφθάρθαι παρὰ τὴν μερικὴν φύσιν ἐστὶ τοῦ τοιοῦδε πυρός. Ὅθεν ὁ Φιλόσοφος φησὶν ἐν τῷ Περὶ οὐρανοῦ καὶ κόσμου λόγῳ, ὅτι ἡ** φθορ**ά καὶ ἔνδεια πᾶσα** παρὰ φύσιν **ἐστί. Παρὰ δὲ τὴν καθόλου φύσιν οὐδὲν χρῆμα φυσικὸν ποιεῖ· λέγεται γὰρ φύσις μερικὴ τῇ τάξει τῆς μερικῆς αἰτίας πρὸς τὸ μερικὸν ἀποτέλεσμα, φύσις δὲ καθόλου τῇ τάξει τοῦ πρώτου ποιοῦντος ἐν τῇ φύσει, ὅπέρ ἐστιν ὁ οὐρανός, εἰς πάντα τὰ ὑποβεβηκότα ποιητικά. Ἐπεὶ τοίνυν οὐδὲν τῶν ὑποβεβηκότων σωμάτων ποιεῖ εἰ μὴ τῇ δυνάμει τοῦ οὐρανίου σώματος, ἀδύνατόν ἐστί τι σῶμα φυσικὸν παρὰ τὴν καθόλου φύσιν ποιεῖν. Ἀλλ' αὐτὸ τοῦτο ὅ τί ποιεῖ παρὰ τὴν μερικὴν φύσιν, ἐστὶ κατὰ τὴν καθόλου φύσιν. Ὥσπερ δὲ ὁ οὐρανός ἐστιν αἰτία καθόλου ἀποσκοποῦσιν εἰς τὰ ὑποβεβηκότα σώματα, οὕτως ὁ Θεός ἐστιν αἰτία καθόλου προσέχουσι τὸ νοῦν πᾶσι τοῖς οὖσι, πρὸς ὃν δὴ καὶ αὐτὸς ὁ οὐρανός ἐστιν αἰτία μερική. Οὐδὲν γὰρ κωλύει μίαν καὶ τὴν αὐτὴν αἰτίαν εἶναι καθόλου μὲν πρὸς τὰ ὑποβεβηκότα, μερικὴν δὲ πρὸς τὰ ἀνέχοντα ἐπ' αὐτῆς, ὥσπερ καὶ ἐν τοῖς κατηγορικοῖς συμβαίνει· τὸ γὰρ ζῷον, ὅπέρ ἐστι καθόλου πρὸς τὸν ἄνθρωπον, ἐστὶ μερικὸν πρὸς τὴν οὐσίαν. Ὥσπερ οὖν τῇ τοῦ οὐρανοῦ δυνάμει δύναταί τι γίνεσθαι παρὰ ταύτην τὴν φύσιν τὴν μερικήν, οὐκ ἔστι δὲ τοῦτο παρὰ τὴν φύσιν ἁπλῶς, ὅτι τοῦτό ἐστι κατὰ τὴν καθόλου φύσιν, οὕτω τῇ τοῦ Θεοῦ δυνάμει δύναταί τι γίνεσθαι παρὰ τὴν καθόλου φύσιν, ἥτις ἐστὶν ἐκ τῆς τοῦ οὐρανοῦ δυνάμεως, οὐκ ἔσται δὲ ὅμως παρὰ τὴν φύσιν**

**203-204** τὸ – φαίνεται] Dan. 3, 26: καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς **205** περὶ – πέμπτῳ] Ios. 3, 16: καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα σφοδρῶς ἕως μέρους Καριαθιαρίμ, τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἄραβα, θάλασσαν ἁλός, ἕως εἰς τὸ τέλος ἐξέλιπε· καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ. **208-209** ὁ – ἐστί] Ar., De coel. II, 288b.15: καὶ γὰρ αἱ ἐν τοῖς ζῴοις ἀδυναμίαι πᾶσαι παρὰ φύσιν εἰσίν, οἷον γῆρας καὶ φθίσις.

**204** κάειν] καίειν M **209** Hic φθορά Aq. habet: et senium; lacuna ca 6 P; deest M **212** πρώτου ποιοῦντος] ποιοῦντος πρώτου M (primi agentis Aq.) **222** οὐσίαν] ὅτι καὶ τὸ καθόλου μερικόν ποτε γίγνεται. τὸ γὰρ ζῷον ὅσπερ ἐστὶ καθόλου πρὸς τὸν ἄνθρωπον, ἐστὶν μερικὸν πρὸς τὴν οὐσίαν add M; deest P, Aq.

ἁπλῶς. Ἔσται γὰρ κατὰ τὴν καθολικωτάτην φύσιν, ᾗ θεωρεῖται ἐκ τῆς τοῦ Θεοῦ πρὸς πάντα τὰ κτίσματα τάξεως. Καθ’ ὃν δὴ νοῦν ὁ Αὐγουστῖνος ἐν τῇ προεισαχθείσῃ Ἑρμηνείᾳ φησίν, ὅτι ὁ Θεὸς οὐδὲν παρὰ τὴν φύσιν ποιεῖ. Ὅθεν ὑπάγεται. Τοῦτο γάρ ἐστιν ἑκάστῳ κατὰ φύσιν, ὃ ὁ Θεὸς ποιεῖ.

[6.1.26] Ἐξ οὗ δὴ καὶ πρὸς τὸ δεύτερον ἀπάντησις φαίνεται. Καὶ γὰρ ἐν ἐκείνῃ P 143r τῇ Ἐξηγήσει διαλέγεται ὁ Αὐ|γουστῖνος περὶ τοῦ ἀκροτάτου τῆς φύσεως νόμου, ὃς νοεῖται τῇ πρὸς πάντα τὰ κτίσματα τάξει τοῦ Θεοῦ.

[6.1.27] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, ὥσπερ ἐκ τῶν προειρημένων φαίνεται, εἰ καὶ ὁ Θεὸς δύναιτο ποιεῖν παρὰ τὴν τάξιν τοῦ ἑνὸς δημιουργήματος πρὸς τὸ ἕτερον, ὅπέρ ἐστι μερικῆς φύσεως οἱονεὶ ἐφιστᾶσι τὸν νοῦν αὐτῷ, ὅμως οὐ δύναται ποιεῖν παρὰ τὴν τάξιν τῆς κτίσεως πρὸς αὐτόν. Ἡ δὲ τοῦ ἀνθρώπου δικαιοσύνη συνέστηκεν ἀρχοειδῶς ἐν τῇ τάξει τῇ ὀφειλομένῃ τοῦ ἀνθρώπου εἰς τὸν Θεόν. Ὅθεν παρὰ τὸν δρόμον τῆς δικαιοσύνης ὁ Θεὸς ποιεῖν οὐ δύναται. Ὁ δρόμος δὲ τῆς φύσεως ἔστι κατὰ τὴν τάξιν τοῦ ἑνὸς δημιουργήματος πρὸς ἄλλο. Καὶ διατοῦτο παρὰ τὸν τῆς φύσεως δρόμον ὁ Θεὸς ποιεῖν δύναται.

[6.1.28] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, καθάπερ ὁ Θεὸς δύναται ποιεῖν παρὰ τὰς φυσικὰς αἰτίας ἀποτελέσματα ἐν τοῖς σωματικοῖς οὖσιν, οὕτω τοι δύναται ποιεῖν καὶ ἄνευ τῆς τῶν ἀγγέλων διακονίας· οὐκ ἔστιν μέντοι ὁ αὐτὸς λόγος, ἐφ’ ἑκατέρου. Παρὰ μὲν γὰρ τὰς φυσικὰς αἰτίας ποιεῖ, ἵν’ ὁ ἄνθρωπος τὰ ἀποτελέσματα, ἃ μὴ δύναται ταῖς ὁραταῖς αἰτίαις ἀποδιδόναι, εἰς ἄλλην τινὰ ὑψηλοτέραν αἰτίαν ἀναφέρειν συνελαύνηται, καὶ οὕτως ἐκ τοῦ ὁρατοῦ θαύματος ἡ θεία δύναμις δημοσιεύηται. Αἱ δὲ τῶν ἀγγέλων ἐνέργειαι ἀθέαταί εἰσίν. Ἀμέλει καὶ ἡ τούτων λειτουργία, οὐκ ἐπισκοτεῖ μὴ τὸν ἄνθρωπον προσάγεσθαι πρὸς τὴν τῆς θείας δυνάμεως κατανόησιν. Διά τοι τοῦτο καὶ ὁ Αὐγουστῖνος οὔ φησιν ὅτι παρὰ τὴν τῶν ἀγγέλων ὑπουργίαν οὐ δύναται ἐνεργεῖν, ἀλλ’ ὅτι οὐκ ἐνεργεῖ.

[6.1.29] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, ὥσπερ ὁ Θεὸς οὐ δύναται ποιεῖν τὴν ἀπόφασιν καὶ τὴν κατάφασιν εἶναι τῶν ἅμα καὶ ἀληθῆ, οὕτως οὐδὲ δύναται ποιεῖν τὰ ἀδύνατα τῇ φύσει, καθόσον τὰ προειρημένα ἀδύνατα ἐν ἑαυτῇ

**238** κτίσεως] φύσεως M (creaturae Aq.) **250** λειτουργία] λειτουργεία M

**περιέχει, ὥσπερ φαίνεται ἐν τῇ τὸν νεκρὸν ἀναβιοῦν ἀποφάνσει, ὅτι περιέχει ἐν ἑαυτῇ ἀντίφασιν, εἰ τεθείη ἀπ᾽ ἀρχῆς ἐνδοτερικῆς φυσικῶς τὸν τεθνηκότα ψυχαγωγεῖσθαι· ἐκ γὰρ τοῦ λόγου τοῦ ἀποτεθνηκότος ἐστὶ τὸ στέρεσθαι τῆς ζωτικῆς ἀρχῆς. Ὅθεν ὁ Θεὸς οὐ τοῦτο ποιεῖ. Ποιεῖ γὰρ τὸν τεθνεῶτα ἀπὸ ἐξωτερικῆς ἀρχῆς τὴν ζωὴν αὖθις ἀναλέγεσθαι· ὅπερ ἀντίφασιν οὐ περιέχει. Ὁ δ᾽ αὐτὸς λόγος ἐστὶ καὶ περὶ τῶν ἄλλων, ἅ ἐστιν ἀδύνατα, καὶ ταῦθ᾽ ὅμως δύναται ποιεῖν.**

**[6.1.27] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ Θεὸς οὐ ποιεῖ παρὰ τὰ ὄντα θελήσει μεταβλητῇ. Καὶ γὰρ ὁ Θεὸς ἐξ ἀιδίου ἔγνωκεν ἑαυτὸν ποιήσοντα ὅπερ ἐν καιρῷ ποιεῖ. Οὕτω τοίνυν τὸν τῆς φύσεως δρόμον κατεσκεύασεν, ὡς πρότερον διορίσασθαι ἐν τῇ ἀιδίῳ αὐτοῦ θελήσει, ὅτι παρὰ τοῦτον τὸν δρόμον ὀψέ ποτε ἐνεργήσει.**

**[6.1.28] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Θεὸς ποιῶν παρὰ τὸν τῆς φύσεως |**
P 143v **δρόμον οὐκ ἀνατρέπει τὴν ὅλην τάξιν τοῦ παντός, ἐν ᾧ πέπηγε τὸ ἀγαθὸν αὐτοῦ τοῦ παντός, ἀλλά τινα τάξιν μερικῆς αἰτίας πρὸς τὸ αὐτῆς ἀποτέλεσμα.**

**[6.1.29] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ τῆς τιμωρίας κακὸν ἔστι παρὰ τὴν τάξιν ἑνὸς μέρους τοῦ παντὸς πρὸς ἄλλο αὐτοῦ μέρος· ὁμοίως καὶ τὸ κακὸν οὑτινοσοῦν πηρώματος φυσικοῦ. Τὸ δὲ τῆς ἁμαρτίας κακὸν ἔστι παρὰ τὴν τάξιν ὅλου τοῦ καθόλου πρὸς τὸ ἔσχατον τέλος, διὰ τὸ τὴν θέλησιν, ἐν ᾗ ἐστι τὸ τῆς ἁμαρτίας κακόν, ἀπ᾽ αὐτοῦ τοῦ ἐσχάτου τέλους τοῦ καθόλου ἀποβουκολεῖσθαι. Διά τοι τοῦτο καὶ τοῦ τοιοῦδε κακοῦ ὁ Θεὸς αἰτία εἶναι οὐ δύναται· οὐ γὰρ δύναται παρὰ τὴν τάξιν ταύτην ποιεῖν μὴ δυνάμενος ποιεῖν παρὰ τὴν πρώτην τάξιν.**

**[6.1.30] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὸ θαῦμα οὐ γίνεται ἀπὸ τοῦ Θεοῦ ὅτι μὴ ἐν τοῖς προϋπάρχουσι κτίσμασιν, ἅπερ ἀμηγέπῃ ἐν τοῖς ἔργοις τῶν ἓξ ἡμερῶν γέγονε. Τὰ γὰρ θαυμάσια ἔργα κατὰ τὴν ὕλην ἐν τοῖς ἔργοις τῶν ἓξ ἡμερῶν προὐχώρησαν, εἰ καὶ τότε μὴ ἐχρῆν τι θαυμασίως γίνεσθαι παρὰ τὸν τῆς φύσεως δρόμον, ὁπηνίκα ἡ φύσις ἐστοιχειοῦτο.**

**[6.1.31] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ φύσις ἐστὶν αἰτία τοῦ τεταγμένου ἐν πᾶσι τοῖς φυσικοῖς, οὐκ ἐν πᾶσι δὲ ἁπλῶς.**

**257** τεθνηκότα] τεθνεότα M (mortuus Aq.) **259** τεθνεῶτα] τεθνεότα M (mortuus Aq.)

**[6.1.32] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ λογικὸς καὶ ὁ μαθηματικὸς θεωροῦσι μόνον τὰ ὄντα κατὰ τὰς εἰδικὰς ἀρχάς· ὅθεν οὐδέν ἐστιν ἀδύνατον ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς μαθηματικοῖς, εἰ μὴ τὸ ὂν παρὰ τὸν εἰδικὸν τοῦ ὄντος λόγον. Καὶ τὸ τοιοῦτον ἀδύνατον περιέχειν ἀντίφασιν ἐν ἑαυτῷ, καί ἐστιν ἀδύνατον καθ’ αὐτό. Τὰ τοιαῦτα δὲ ἀδύνατα ὁ Θεὸς ποιεῖν οὐ δύναται. Ὁ δὲ φυσικὸς μερικῶς καὶ προσδιωρισμένως θεωρεῖ τὴν φύσιν· ὅθεν καὶ ἀδύνατον ὑπολαμβάνει τὸ τῳδὶ ἀδύνατον. Οὐδὲν δὲ προσίσταται τὸν Θεὸν δύνασθαι ποιεῖν τὰ τοῖς ὑποβεβηκόσι ποιητικοῖς ἀδύνατα.**

**[6.1.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ θεία τέχνη οὐχ ὅλην ἑαυτὴν ἐκφαίνει ἐν τῇ τῶν δημιουργημάτων παραγωγῇ· καὶ διατοῦτο τῇ αὐτοῦ τέχνῃ δύναταί τι τρόπῳ γέ τῳ ποιεῖν ἢ ἔχει ὁ τῆς φύσεως δρόμος. Ὅθεν οὐχ ἕπεται, εἰ δύναταί τι παρὰ τὸν τῆς φύσεως δρόμον ποιεῖν, δύνασθαι ποιεῖν καὶ παρὰ τὴν αὐτοῦ τέχνην· καὶ γὰρ ὁ τεχνίτης ἄνθρωπος δύναταί τι τεχνητὸν ποιεῖν τῇ αὐτοῦ τέχνῃ τῷ ἐναντίῳ τρόπῳ ἢ πρότερον ἐποίει.**

**[6.1.34] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ Φιλόσοφος διαλέγεται περὶ τῶν ἐν τῇ φύσει γιγνομένων· ταῦτα γὰρ οὕτω γίνεται, καθάπερ ἐπιτηδειότητος εἴληχε ποιεῖν.**

**[6.1.35] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸν τῆς φύσεως δρόμον τηρεῖσθαί ἐστι προσῆκον, καθό ἐστιν ὑπὸ τῆς θείας προνοίας τεταγμένον· ὅθεν, εἰ τῆς θείας προνοίας ἡ τάξις ἔχει τι ἰδίᾳ πεπράχθαι, οὐκ ἔστιν ἄτοπον.**

**[6.1.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι οὐ λέγεταί τι εἶναι ψεῦδος**
P 144r **ἁπλῶς καί τινι, | ἀλλὰ τὸ εἶναι ψεῦδός ἐστι ψεῦδος ἁπλῶς. Διά τοι τοῦτο ὁ Θεὸς οὐ δύναται γινώσκειν ψεῦδος, καθάπερ οὐ δύναταί τι ποιεῖν ἀδύνατον, ὅπερ ἁπλῶς ἐστιν ἀδύνατον. Πλήν, ὥσπερ δύναταί τι ποιεῖν ἀδύνατόν τινι, οὕτω δύναταί τι ἐπίστασθαι οὐκ ἐπιστητόν τινι.**

**[6.1.37] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι πᾶν τὸ κατὰ συμβεβηκὸς ἀναφέρεται εἴς τι καθ’ αὐτό· ὅθεν οὐδὲν προσίσταταί τι κατὰ συμβεβηκὸς ἀναφέρεσθαι πρός τι καθ’ αὐτό, τὸν γοῦν τὸν Σωκράτην μὴ δραμεῖν εἰ δεδραμήκει ἀδύνατον ὂν κατὰ συμβεβηκός, δύναται ἀνάγεσθαι ὑπὸ τόδε τὸ καθ’ αὐτὸ**

**291** φύσιν] materiam Aq. (Prochoros legit naturam?) **296** ἔχει] ἔχειν M (habeat Aq.) **313** Hic post αὐτό Aq. habet: esse magis tale : sicut nix sua albedine disgregat visum magis quam albedo parietis, eo quod albedo nivis est maior albedine parietis : similiter

ἀδύνατον τὸ γεγονὸς μὴ γεγονέναι ᾧ συμπλέκεται ἀντίφασις. Ὅθεν οὐδὲν κωλύει τοῦτ᾽ εἶναι μᾶλλον ἀδύνατον ἢ τὸ ἀδύνατόν τινι, εἰ καὶ κατὰ συμβεβηκὸς εἴη ἀδύνατον.

[6.1.38] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἐν ὁτωοῦν πράγματι φυσικῷ ἔστι φυσικὴ τάξις πρὸς τὰς ὑπερκειμένας αἰτίας πάσας· κἀντεῦθεν ἐστὶ τὸ τὰ γινόμενα ἐν τοῖς ὑποβεβηκόσι σώμασιν ἐξ ἐνεργείας τῶν οὐρανίων σωμάτων μὴ εἶναι βίαια, εἰ καὶ δοκεῖ εἶναι ἐναντία ταῖς φυσικαῖς κινήσεσι τῶν ὑποβεβηκότων σωμάτων· ὡς φαίνεται ἐν τῇ σύρτῃ καὶ τῇ ἀμπώτιδι τῆς θαλάσσης, ἃ ἕπεται τῇ κινήσει τῆς σελήνης. Εἰ δὴ τοῦτο πολλῷ ἧττον ἐστὶ βίαιον, τὸ παρὰ Θεοῦ ἐν τούτοις τοῖς ὑποβεβηκόσι γιγνόμενον.

[6.1.39] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὅσο τις δύναμις ποιητική ἐστιν ὑψηλοτέρα, τοσοῦτον τὸ αὐτὸ πρᾶγμα δύναται ἀναφέρειν εἰς ὑψηλότερον ἀποτέλεσμα. Ὅθεν ἡ φύσις δύναται ποιεῖν χρυσὸν ἐκ τῆς γῆς τῇ τῶν ἄλλων στοιχείων μίξει, ὅπερ ἡ τέχνη ποιεῖν οὐ δύναται. Κἀντεῦθεν ἐστὶ τό τι χρῆμα εἶναι ἐν δυνάμει πρὸς διάφορα κατὰ τὴν πρὸς διάφορα ποιητικὰ σχέσιν. Ὅθεν οὐδὲν ἐνίσταται μὴ τὴν κτιστὴν φύσιν εἶναι ἐν δυνάμει πρός τινα ποιητέα διὰ τῆς θείας δυνάμεως, ἃ δύναμις ὑποβεβηκυῖα ποιεῖν οὐ δύναται· ἣ καὶ καλεῖται δύναμις ὑπακοῆς, ᾗ δὴ τὸ τυχὸν κτίσμα εἴκει τῷ Κτίστῃ.

[6.1.40] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἡ τάξις οὑτινοσοῦν κτιστοῦ πρὸς τὴν αὐτοῦ ἐνέργειαν ἔστιν ἀπὸ τοῦ Θεοῦ. Ὅθεν, εἰ ἐκ τῆς θείας προνοίας παρὰ τὴν τῶν φυσικῶν πραγμάτων ἐνέργειάν τι ἀποτέλεσμα προάγοιτο, οὐκ ἔστιν ἄτοπον.

[6.1.41] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ὁ Θεὸς ποιήσειέ τι ἔργον παρὰ τὴν ἐνέργειαν τῆς φυσικῆς αἰτίας, οὔκουν γε μὴν ἀναιρεῖ τὴν τάξιν τῆς αἰτίας πρὸς τὸ αὐτῆς ἔργον. Ἀμέλει κἀν τῷ πυρὶ τῆς καμίνου ἔμενεν ἡ πρὸς τὸ καίειν τάξις, εἰ καὶ μὴ φλέγοι τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ.

[6.1.37] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον ὅτι, ὅταν ὁ Θεὸς ποιῇ τι παρὰ τὸν τῆς φύσεως δρόμον, οὐκ ἀνάστατος γίνεται ὅλη τοῦ παντὸς ἡ τάξις, ἀλλ᾽ ὁ
P 143v δρόμος τῆς τάξεως ἑνὸς μερικοῦ πρὸς ἄλλο. | Ὅθεν οὐκ ἔστιν ἄτοπον, εἴ ποτε παρὰ τὸν τῆς φύσεως δρόμον καινοτομεῖταί τι πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἣ συνέστηκε τῇ τάξει αὐτοῦ πρὸς τὸ τοῦ παντὸς ἔσχατον τέλος.

**316** τὸ] bis scripsit M **317** Hic post συμβεβηκὸς Aq. habet: non **322** ἀμπώτιδι] ἀμπότιδι P; ἀμπότηδι M **340** φλέγοι] φλέγῃ M (combueret Aq.)

## Κεφάλαιον δεύτερον

## Πότερον πάνθ’ ὅσα ποιεῖ ὁ Θεὸς παρὰ τὰς φυσικὰς αἰτίας ἢ παρὰ τὸν τῆς φύσεως δρόμον δύνανται λέγεσθαι θαύματα ἢ οὔ.

**[6.2.1] Δεύτερον ζητεῖται, πότερον πάνθ’ ὅσα ποιεῖ ὁ Θεὸς παρὰ τὰς φυσικὰς αἰτίας, ἢ παρὰ τὸν τῆς φύσεως δρόμον, δύνανται λέγεσθαι θαύματα. Καὶ δοκεῖ μὴ δῆτα. Ὡς γὰρ ἐκ τῶν Αὐγουστίνου λόγων ληφθῆναι δύναται, θαῦμα ἐστί τι ὑπερφυὲς καὶ ἄηθες, ὑπὲρ τὴν τῆς φύσεως εὐχέρειαν καὶ παρ’ ἐλπίδα τοῦ θαυμάζοντος φαινόμενον. Ἐνίοτε δὲ ποιεῖ ὁ Θεὸς παρὰ τὸν τῆς φύσεως δρόμον ἕν τι τῶν καθ’ ἡμᾶς πραγμάτων· ὥσπερ ἐξ ὕδατος οἶνον, ὡς ἐν τῷ τοῦ κατὰ Ἰωάννην δευτέρῳ· ἣ τέως ἐνέργεια, παρὰ τὴν τῶν φυσικῶν αἰτιῶν ἐνέργειαν γέγονεν. Ἆρα οὐχ ἅπαντα ἃ ὁ Θεὸς ποιεῖ παρὰ τὰς φυσικὰς αἰτίας, θαύματα καλεῖσθαι οἷόν τε.**

**[6.2.2] Ἔτι, τὸ θαμὰ συμβαῖνον οὐ δύναται ἄηθες λέγεσθαι. Ἀλλ’ αἱ τοιαῦται παρὰ φύσιν τοῦ Θεοῦ ἐνέργειαι ὑπὸ τοῖς τῶν ἀποστόλων χρόνοις θαμὰ ἐγίνοντο· ὅθεν λέγεται ἐν ταῖς αὐτῶν Πράξεσιν· ἐν** ταῖς πλατείαις **προρριπτεῖσθαι** τοὺς **κάμνοντας, καὶ τὰ λοιπά. Ταῦτ’ ἄρα οὐκ ἦν ἀήθη. Καὶ ταύτῃ οὐδὲ θαύματα ἦν.**

**[6.2.3] Ἔτι, ὅπερ ἡ φύσις δύναται ἐνεργεῖν, οὐκ ἔστιν ὑπὲρ τὴν τῆς φύσεως ῥαστώνην. Ἀλλ’ ἐνίοτε γίγνονταί τινα θεόθεν παρὰ τὰς φυσικὰς αἰτίας, ἃ καὶ ἡ φύσις ποιεῖν δύναται· ὥσπερ φαίνεται, ἡνίκα ὁ Θεὸς τὴν** πενθερὰν **τοῦ Πέτρου ἐθεράπευσεν ἀφ’ ὧν κατείχετο** πυρετῶν**, ὡς λέγεται ἐν τῷ πέμπτῳ τοῦ Λουκᾶ. Ἆρα οὐ γέγονε παρὰ τὴν τῆς φύσεως ῥαστώνην. Καὶ οὕτως οὐδὲ θαῦμα γέγονεν.**

**[6.2.4] Ἔτι, τὸ τὸν τεθνεῶτα ἀναβιοῦν οὐ δύναται συμβαίνειν ἐνεργείᾳ φυσικῆς αἰτίας. Ἀλλ’ ἡ τῶν νεκρῶν ἀναβίωσις, ἐν ᾗ πάντας ψυχαγωγήσει ὁ Θεός, ἐλπίζεται ὑπὸ τῶν ἁγίων· ὅθεν ἐν τῷ συμβόλῳ λέγεται·** προσδοκῶ ἀνάστασιν νεκρῶν. **Ἆρ’ οὐ πᾶν ὃ Θεὸς ἐνεργεῖ παρὰ τὰς φυσικὰς αἰτίας ἔστι**

**6-8** Ὡς – φαινόμενον] Aug., De Trin. III, cap. 5, n. 11 (PL 42, 874): cum vero admonendis hominibus inusitata mutabilitate ingeruntur, magnalia nominantur. **15-16** ὅθεν – λοιπά] Act. 5, 15: ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. **20-22** ὁ – Λουκᾶ] Lc. non 5 sed 4, 38-39: Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς.

**9-10** ὡς – δευτέρῳ] deest M **13** θαμὰ] θαμᾶ P; θαῦμα M (frequenter Aq.) **14** θαμὰ] θαμᾶ P, M **21** Πέτρου] intellige Σίμωνος **21-22** ὡς – Λουκᾶ] deest M

**παρὰ τὴν ἀνθρωπίνην ἐλπίδα. Καὶ οὕτως, οὐκ ἔστι θαῦμα.**

**[6.2.5] Ἔτι, ἡ δημιουργία τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ ἔτι ἡ τῶν ψυχῶν δημιουργία, ἔστιν ὑπὸ τοῦ Θεοῦ ἄνευ τινὸς ποιητικῆς αἰτίας· μόνος γὰρ ὁ Θεὸς δημιουργεῖν δύναται, ὡς ἐν ἑτέρᾳ ζητήσει εἴληπται. Ἀλλ᾽ ὅμως ταῦτα οὐ δύνανται λέγεσθαι θαύματα· ταῦτα γὰρ οὐ γίνονται πρὸς ἔνδειξιν τῆς χάριτος, δι᾽ ἣν μόνην γίνονται τὰ θαύματα, ὡς ὁ Αὐγουστῖνος φησίν, ἀλλὰ πρὸς τὴν τοῦ κόσμου σύστασιν. Οὐκ ἄρα ὅσα ὁ Θεὸς ποιεῖ παρὰ τὰς φυσικὰς αἰτίας, δύνανται λέγεσθαι θαύματα.**

P 145r **[6.2.6] Ἔτι, ἡ τοῦ | ἀσεβοῦς δικαίωσις γίνεται παρὰ μόνου τοῦ Θεοῦ, παρὰ τὰς φυσικὰς αἰτίας, ἀλλ᾽ οὐκ ἔστι θαῦμα, μᾶλλον μὲν οὖν ἐστι θαύματος τέλος· τούτου γὰρ εἵνεκά εἰσι τὰ θαύματα, ἐφ᾽ ᾧ οἱ ἄνθρωποι ἐπιστρέψουσι πρὸς τὸν Θεόν. Οὐκ ἄρα πάνθ᾽ ὅσα ὁ Θεὸς ποιεῖ παρὰ τὰς φυσικὰς αἰτίας, εἰσὶ θαύματα.**

**[6.2.7] Χωρὶς δὲ τούτων, μᾶλλόν ἐστι θαυμαστόν, ὃ γίνεται παρὰ τοῦ ἧττον δυναμένου, ἢ ὃ παρὰ τοῦ μεῖζον. Ἀλλ᾽ ὁ Θεός ἐστιν ἰσχυρότερος τῆς φύσεως. Ἡνίκα δὲ ἡ φύσις τι ἐνεργεῖ, οὐ λέγεται εἶναι θαῦμα· ὥσπερ ἡνίκα δρᾷ τὴν ὑγείαν τοῦ νοσοῦντος, ἤ τι τοιοῦτον. Πολλῷ ἄρα ἧττον δύναται λέγεσθαι θαῦμα, ἡνίκα ὁ Θεὸς τοῦτο ποιεῖ.**

**[6.2.8] Ἔτι, τὰ τέρατα γίνονται παρὰ φύσιν, ὅμως μέντοι οὐ λέγονται θαύματα. Οὐκ ἄρα πάντα τὰ παρὰ φύσιν γινόμενα λέγονται θαύματα.**

**[6.2.9] Παρὰ ταῦτα, τὰ θαύματα γίνονται πρὸς βεβαίωσιν τῆς πίστεως. Ἀλλ᾽ ἡ τοῦ Λόγου σάρκωσις οὐκ ἔστι πρὸς βεβαίωσιν τῆς πίστεως ὡσανεὶ τῆς πίστεως ἀπόδειξις, ἀλλ᾽ ἔστι μᾶλλον οἱονεὶ τῆς πίστεως ἀντικείμενον. Οὐκ ἄρα ἐστὶ θαῦμα, ἐφόσον μάλιστα ὁ Θεὸς τοῦτο πεποίηκε μηδεμιᾶς ἄλλης αἰτίας συλλαμβανομένης. Οὐκ ἄρα πάνθ᾽ ὅσα ὁ Θεὸς ποιεῖ παρὰ τὰς φυσικὰς αἰτίας εἰσὶ θαύματα.**

**[6.2.10] Ἀλλ᾽ ἀνάπαλιν, ὁ Αὐγουστῖνος φησίν, ὅτι τρισσός ἐστιν ὁ τῶν ὄντων δρόμος· φυσικός, θελητικὸς καὶ θαυματώδης. Ἃ δὲ μόνος ὁ Θεὸς ἐνεργεῖ παρὰ τὰς φυσικὰς αἰτίας, οὐ προσήκει τῷ δρόμῳ τῶν φυσικῶν πραγμάτων. Ουδ᾽ αὖ τῶν θελητικῶν· οὐδὲ γὰρ κτιστὴ φύσις ἢ θέλησις ἐν αὐτοῖς ἐνεργεῖ. ρ᾽ ἥκει εἰς τὸν τῶν θαυμάτων δρόμον. Καὶ ταύτῃ εἰσὶ θαύματα.**

**54-55** ὁ – θαυματώδης] non Aug. sed Ans., De pecc. or.: locum non inveni.

**30** δημιουργία] deest M **33** γίνονται] γένονται P **55** ἐνεργεῖ] δημιουργεῖ M (operatur Aq.) **57** θελητικῶν] τῷ θελητικῷ M (voluntarium Aq.)

[6.2.11] Ἔτι, ὁ Ρικάρδος ὁ ἐκ τοῦ Ἁγίου Βίκτορος φησίν, ὅτι θαῦμα ἐστὶν ἔργον δημιουργίας τῆς θείας δυνάμεως δηλωτικόν. Τοιαῦτα δέ εἰσι τὰ παρὰ τοῦ Θεοῦ παρὰ τὰς φυσικὰς αἰτίας γινόμενα. Εἰσὶν ἄρα θαύματα.

[6.2.12] Ἀπόκρισις. Ῥητέον, ὅτι τὸ τοῦ θαύματος ὄνομα εἴληπται ἀπὸ τοῦ θαυμάζειν. Πρὸς δὲ τὸ θαυμάζειν δύο συντρέχει, ὡς δυνατὸν συνελεῖν ἀπὸ τῶν τοῦ Φιλοσόφου ῥημάτων ἐν τοῖς προοιμίοις τῶν Μετὰ τὰ φυσικά. Ὧν ἓν μέν ἐστιν, ἡνίκα ἡ αἰτία τοῦ θαυμαζομένου ἀπόρρητός ἐστι· δεύτερον δέ, ὁπόταν ἐν τῷ θαυμαζομένῳ φαίνεταί τι, δι’ οὗ δοκεῖ τὸ ἐναντίον προσήκειν εἶναι τῷ θαυμαζομένῳ· ὥσπέρ τις δύναται ἐκπλήττεσθαι, εἴ γε ὁρῴη τὸν σίδηρον ἀνιόντα πρὸς τὴν μαγνῆτιν ἀγνοῶν τὴν αὐτῆς δύναμιν, διὰ τὸ δοκεῖν τὸν σίδηρον φυσικῇ κινήσει προσήκειν τείνειν κάτω. Τοῦτο δὲ συμβαίνει διχῇ· ἑνὶ μὲν τρόπῳ καθ’ αὑτό, ἄλλῳ τῷ πρὸς ἡμᾶς. Τῷ μὲν οὖν πρὸς ἡμᾶς, ἡνίκα ἡ αἰτία τοῦ ἀποτελέσματος, ὃ θαυμάζομεν, οὐκ ἔστιν ἀσύνετος ἁπλῶς, ἀλλὰ τούτῳ ἢ ἐκείνῳ· οὔτ’ αὖ ἐν τῷ θαυμαζομένῳ πράγματι ἔστι διάθεσις ἀντικειμένη τῷ ἀποτελέσματι ὃ θαυμάζομεν κατὰ τὴν τοῦ πράγματος ἀλήθειαν, ἀλλὰ κατὰ τὴν τοῦ θαυμάζοντος δόξαν· ἀφ’ οὗ συμβαίνει τὸ ὂν ἑνὶ θαυμαστὸν ἢ θαυμασιῶδες μὴ εἶναι ἄλλῳ· ὥσπερ ὁ μὲν ἐπιστάμενος τὴν δύναμιν τῆς μαγνήτιδος ἢ μαθήσει ἢ διὰ πείρας, οὐ | θαυμάζει τὸ προειρημένον, ὁ δὲ μὴ ἐπιστάμενος θαυμάζει. Καθ’ αὑτὸ δὲ ἔστι τι θαυμαστὸν ἢ θαυμασιῶδες, οὗ ἡ αἰτία ἐστὶν ἁπλῶς ἀπόρρητος τῷ τε πράγματι περίεστιν ἐναντία διάθεσις κατὰ τὴν φύσιν τῷ φαινομένῳ ἀποτελέσματι, καὶ ταῦτα οὐχ ὅπως δύνανται λέγεσθαι θαυμαστὰ ἐν τῷ γίνεσθαι ἢ θαυμασιώδη ἐν τῷ δύνασθαι γίνεσθαι, ἀλλὰ καὶ θαύματα, ὡσανεὶ ἔχοντα ἐν ἑαυτοῖς τὴν αἰτίαν τοῦ θαυμασμοῦ. Αἰτία δὲ ἀπορρητοτάτη καὶ πορρωτάτη τῶν ἡμετέρων αἰσθήσεών ἐστιν ἡ θεία δύναμις, ἢ ἐν τοῖς οὖσιν ἅπασι μυστικωτάτη ἐνεργεῖ. Διά τοι τοῦτο κἀκεῖνα, ἃ μόνῃ τῇ θείᾳ δυνάμει γίνονται, ἐν οἷς ἐστιν ἡ φυσικὴ τάξις πρὸς τὸ ἐναντίον ἀποτέλεσμα ἢ πρὸς τὸν ἐναντίον τρόπον τοῦ ποιεῖν, λέγονται ἰδίως θαύματα. Ἃ δὲ ἢ ἡ φύσις ποιεῖ ἢ ἡμῖν ἤ τινι ἡμῶν ἀσύνετα, ἢ καὶ ὁ Θεὸς ποιεῖ, ἃ μὴ πέφυκεν ἄλλως γίνεσθαι εἰ μὴ ἀπὸ τοῦ Θεοῦ, θαύματα οὐ

P 145[v]

**59-61** Ἔτι – θαύματα] deest P **64** ἓν] deest P (unum Aq.) **66** προσήκειν] προσῆκον M (debere Aq.) **72** ἀσύνετος] ¨ super ἀσύνετος et ¨ ἀκατάληπτος in marg. dex. P

δύνανται λέγεσθαι, ἀλλὰ μόνον θαυμαστὰ ἢ θαυμασιώδη. Διὰ γάρ τοι τοῦτο καὶ ἐν τῷ ὁρισμῷ τοῦ θαύματος τίθεταί τι καὶ ἐπείγεται· ὅπερ ὑπερβαίνει τὴν τῆς φύσεως τάξιν, ἐν τούτῳ ᾧ φησίν, ὑπὲρ τὴν τῆς φύσεως εὐχέρειαν, ᾧ ἀποκρίνεται ἐκ τοῦ μέρους τοῦ γινομένου τὸ λεγόμενον ὑπερφυές. Καὶ ἔτι τίθεταί τι ὑπερβαῖνον τὴν τῆς φύσεως κατάληψιν ἐν τῷ λεγομένῳ παρὰ τὴν ἐλπίδα τοῦ θαυμάζοντος φαινόμενον, ᾧπερ ἐκ τοῦ μέρους τοῦ θαυμαζομένου πράγματος ἀποκρίνεται, τὸ λεγόμενον ἄηθες. Διὰ γὰρ τοῦ ἔθους τι εἰς τὴν ἡμετέραν γνῶσιν συνηθέστερον γίνεται.

[6.2.13] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ ὑπερφυὲς ὃ λέγεται ἐν τῷ ὁρισμῷ τοῦ θαύματος, οὐ προσήκει τῷ τοῦ πράγματος μεγέθει καθ’ αὐτὸ θεωρουμένῳ, ἀλλὰ κατὰ παράθεσιν πρὸς τὴν ῥᾳδιουργίαν τῆς φύσεως. Ὅθεν ἐν ὁτῳδήποτε σμικρῷ πράγματι ὃ Θεός τι ἐνεργεῖ, ὅπερ ἡ φύσις ἐνεργεῖν οὐ δύναται, τοῦθ’ ὑπερφυὲς λογίζεται.

[6.2.14] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἄηθες λέγεται τὸ θαῦμα, ὅτι ἔστι παρὰ τὸν εἰωθότα δρόμον τῆς φύσεως, εἰ καὶ ὁσημέραι ἐπιγίγνοιτο· ὥσπερ ἡ μεταποίησις τοῦ ἄρτου εἰς τὸ τοῦ Χριστοῦ σῶμα καθημέραν πολυπραγμονεῖται, καὶ ὅμως οὐ παύεται εἶναι θαῦμα. Μᾶλλον γὰρ καθήκει λέγεσθαι εἰωθός, ὅπερ ἐν ὅλῃ τῇ τοῦ παντὸς τάξει κοινῇ συμβαίνει ἢ τὸ ἐφ’ ἑνὸς [sola re] συμβαῖνον.

[6.2.15] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι περὶ τὰ ὑπὸ Θεοῦ θαυμασιωδῶς γινόμενα τοιαύτη εἴωθε τεχνολογεῖσθαι διάκρισις, ὅτι ἔνια μὲν γίνεσθαι λέγονται ὑπὲρ τὴν φύσιν, ἔνια δὲ ἐναντίως τῇ φύσει, ἄλλα δὲ παρὰ τὴν φύσιν. Ὑπὲρ τὴν φύσιν μὲν εἰσίν, ἐφόσον ὁ Θεὸς τὸ ἀποτέλεσμα, ὃ ποιεῖ, ἡ φύσις οὐδενὶ τρόπῳ δύναται. Ὃ συμβαίνει διχῇ· ἢ ὅτι αὐτὸ τὸ εἶδος τὸ καταβαλλόμενον ὑπὸ τοῦ Θεοῦ πάντῃ καταβάλλεσθαι ὑπὸ τῆς φύσεως ἀδύνατόν ἐστιν, ὥσπερ τὸ τῆς δόξης εἶδος, ὃ εἰσενέγκαι ἂν τοῖς τῶν ἐκλεκτῶν σώμασιν ὁ Θεός, ἔτι τε ὥσπερ ἡ τοῦ Λόγου σάρκωσις, ἢ ὅτι, εἰ καὶ
P 146r τοιοῦτον εἶδος | δύναται εἴς τινα ὕλην φέρειν, οὐχ ὅμως εἰς τήνδε· ὥσπερ πρὸς τὸ ζωὴν ἐμποιεῖν ἡ φύσις ἔρρωται, ἀλλ’ οὐκ ἐν τῷδε τῷ τεθνεῶτι. Ἐναντίον δὲ τῇ φύσει λέγεται, ἡνίκα ἐν τῇ φύσει μένει ἐναντία διάθεσις πρὸς τὸ ἀποτέλεσμα, ὃ ὁ Θεὸς ποιεῖ· ὥσπερ ἡνίκα ἀλυμάντους διετήρησε παῖδας

**90** τοῦ θαύματος] deest P **94-95** ᾧπερ – ἀποκρίνεται] om. et al. man. rubro atramento add. in marg. sin. M **109** γινόμενα] γενόμενα M

**ἐν τῇ καμίνῳ μενούσης τῆς καιούσης ἐν τῷ πυρὶ δυνάμεως, καὶ ὅτε τὸ πῦρ τοῦ Ἰορδάνου ῥεῖθρον ἔστη μενούσης ἐν αὐτῷ τῆς βαρυτῆτος οἷς ὅμοιόν ἐστι καὶ τὸ τὴν παρθένον ὠδινῆσαι. Παρὰ τὴν φύσιν δὲ λέγεται τὸν Θεὸν ποιεῖν, ἡνίκα προάγει ἀποτέλεσμα, ὅπερ ἡ φύσις προάγειν δύναται, ἐκείνῳ μέντοι τῷ τρόπῳ, ᾧ ἡ φύσις προάγειν οὐ δύναται, ἢ διὰ τὸ ἀπεῖναι τὰ ὄργανα τὰ τῇ φύσει πρὸς τὸ ἔργον διακονούμενα, ὥσπερ ἡνίκα ὁ Χριστὸς μετέβαλε τὸ ὕδωρ εἰς οἶνον ἐν τῷ τοῦ Κατὰ Ἰωάννην δευτέρῳ, ὅπερ τέως φύσις δύναταί τις ποιεῖν, ἐφόσον τὸ ὕδωρ τὸ ἐν τῇ θρέψει τῆς ἀμπέλου ἀνιμηθὲν ἐν ὥρᾳ πεφθὲν εἰς χυμὸν τῇ σταφυλῇ πρόεισιν, ἢ ὅτι ἐν τῇ θείᾳ ἐνεργείᾳ μεῖζον γίνεται τὸ πλῆθος ἢ ἐν τῇ φύσει εἴωθεν, ὥσπερ φαίνεται ἐν τοῖς βατράχοις τοῖς ἀναδοθεῖσιν ἐν Αἰγύπτου, ἢ ὅσον πρὸς τὸν χρόνον, ὥσπερ ὅταν παραχρῆμα τῇ ἐπικλήσει τινὸς ἁγίου θεραπεύηταί τις, ὃν ἡ φύσις οὐκ εὐθύς, ἀλλὰ βάδην καὶ ἐν ἄλλῳ χρόνῳ, οὐκ ἐν ἐκείνῳ θεραπεύειν δύναται· ὡσπεροῦν συνέβη καὶ ἐν τῷ προτεθέντι θαύματι τῆς πενθερᾶς τοῦ Πέτρου. Ὅθεν δῆλον, εἰ πάντα ταῦτα ληφθείη, καὶ ὁ τρόπος καὶ ὁ χρόνος τὴν τῆς φύσεως ῥαστώνην ὑπερβαίνουσι.**

**[6.2.16] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ μέλλουσα τῶν νεκρῶν ἀνάστασις ἔστι παρὰ τὴν ἐλπίδα τῆς φύσεως, εἰ καὶ μὴ παρὰ τὴν ἐλπίδα τῆς χάριτος, περὶ ἧς δὴ τῆς ἐλπίδος περιέχεται ἐν τῷ τετάρτῳ τῆς Πρὸς Ῥωμαίους, ὅτι** ἐπ' ἐλπίδι παρ' ἐλπίδα ἐπίστευσε.

**[6.2.17] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πρὸς τούτοις αἱ λογικαὶ ψυχαί, οὐ πέφυκε κατὰ τὴν φυσικὴν τάξιν γίνεσθαι παρά τινος ἄλλης αἰτίας ἢ ἀπὸ τοῦ Θεοῦ. Καὶ διατοῦτο τῶν τοιούτων πραγμάτων αἱ δημιουργίαι οὐκ εἰσὶ θαύματα.**

**[6.2.17] Ὡς δὲ καὶ περὶ τοῦ ἕκτου ῥητέον, τῆς δικαιώσεως τοῦ ἀσεβοῦς.**

**[6.2.16] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὰ γινόμενα ὑπὸ τῆς φύσεως γίνονται καὶ ὑπὸ τοῦ Θεοῦ· ἀλλὰ ὃ Θεὸς θαυμασιωδῶς ποιεῖ οὐ γίνονται ὑπὸ τῆς φύσεως, καὶ διατοῦτο ὁ λόγος οὐ προχωρεῖ. Καὶ παρὰ ταῦτα, ἡ ἐνεργοῦσα φύσις ἐστὶν αἰτία πρόδηλος ἡμῖν, ὁ δὲ Θεὸς ἀφανής ἐστιν αἰτία. Καὶ διατοῦτο μᾶλλον θαυμάζομεν τὰ τοῦ Θεοῦ ἔργα, ἢ τὰ τῆς φύσεως.**

**138-139** ἐν – ἐπίστευσε] Rom. 4, 18: ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον· οὕτως ἔσται τὸ σπέρμα σου.

**126** ἐν – δευτέρῳ] deest M | τέως] deest P (tamen Aq.) **143** δέ] bis acc. P **144** δικαιώσεως] δικαιόσεως M **147** παρὰ ταῦτα] παραταῦτα M

**[6.2.17] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ σάρκωσις τοῦ Λόγου ἐστὶ θαῦμα θαυμάτων, ὡς οἱ ἅγιοι φασίν, ὅτι τέ ἐστι μεῖζον τῶν ἄλλων θαυμάτων καὶ πρὸς ταύτην πάντα τ’ἄλλα θαύματα τέτακται. Καὶ διατοῦτο οὐ μόνον αὐτὴ** P 146v **ἐπάγεται πάντας πρὸς τὸ πιστεύεσθαι, | ἀλλὰ καὶ τὰ ἄλλα θαύματα παροξύνουσι τοὺς ἀνθρώπους πρὸς τὸ πιστεύειν αὐτῇ. Οὐδὲν γὰρ οἷον ἓν θαῦμα προτρέπεσθαι πρὸς πίστιν ἄλλου, ὥσπερ ἡ τοῦ Λαζάρου ἀνάστασις παρακαλεῖ πάντας πρὸς τὸ τὴν μέλλουσαν πιστεύειν ἀνάστασιν.**

**Κεφάλαιον τρίτον**

**Πότερον τὰ ἄυλα κτίσματα τῇ αὐτῶν φυσικῇ δυνάμει δύνανται θαύματα ποιεῖν ἢ οὔ.**

**[6.3.1] Τρίτον ζητεῖται, πότερον τὰ ἄυλα κτίσματα τῇ αὐτῶν φυσικῇ δυνάμει δύνανται θαύματα ποιεῖν. Καὶ δοκεῖ ταύτῃ. Ὃ γὰρ δύναται ἡ ὑποβεβηκυῖα δύναμις, πολλῷ μᾶλλον δύναται ἡ ὑπερκειμένη. Ἀλλὰ ἡ δύναμις τῆς ἀύλου κτίσεώς ἐστιν ὑπὲρ τὴν δύναμιν τῆς σωματικῆς φύσεως· ὅθεν λέγεται ἐν τῷ τεσσαρακοστῷ πρώτῳ τοῦ Ἰώβ·** οὐκ ἔστι **δύναμις** ἐπὶ γῆς **δυναμένη παρισοῦσθαι** αὐτῇ. **Ἡ νοητὴ ἄρα κτίσις δύναται ποιεῖν ἐκεῖνα τὰ ἀποτελέσματα, ἃ ἡ φύσις ποιεῖ. Ἡνίκα δὲ τὸ ἀποτέλεσμα τὸ φυσικὸν ὑπάρχει οὐκ ἀπ' αἰτίας φυσικῆς, ἀλλὰ κρυφίου ἐστὶ θαῦμα. Ἡ νοητὴ ἄρα κτίσις δύναται ποιεῖν θαύματα.**

**[6.3.2] Ἔτι, ὅσο τί ἐστι μᾶλλον ἐνεργείᾳ, τοσοῦτο ἐστὶ μᾶλλον ποιητικόν· ἕκαστον γὰρ ἐνεργεῖ, καθόσον ἐστὶν ἐνεργείᾳ. Ἀλλὰ τὰ εἴδη τὰ ὄντα τῆς λογικῆς κτίσεως εἰσὶ μᾶλλον ἐνεργείᾳ ἢ τὰ εἴδη τὰ ἐνόντα τῇ σωματικῇ κτίσει, διὰ τὸ μᾶλλον ἄυλα εἶναι. Μᾶλλον ἄρα εἰσὶ ποιητικά. Ἀλλὰ τὰ εἴδη τὰ ἐν τῇ σωματικῇ φύσει ἐκφέρουσιν ὅμοια τῇ φύσει σφίσιν αὐτοῖς. Πολλῷ μᾶλλον ἄρα δύναιντο τοῦτο ποιεῖν τὰ εἴδη τὰ ἐν τῷ νῷ τῆς ἀσωμάτου φύσεως. Ὡδὶ δὲ δύναται ἡ λογικὴ κτίσις ποιεῖν ἀποτελέσματα φυσικὰ ἄνευ τῶν φυσικῶν αἰτιῶν. Ὅπέρ ἐστι θαῦμα.**

**[6.3.3] Ἔτι, ὁ τοῦ ἀγγέλου νοῦς ἐστιν ἐγγυτέρω τοῦ θείου νοῦ ἢ ὁ νοῦς ὁ ἀνθρώπειος. Ἀλλὰ τῷ ἀνθρωπείῳ νῷ ἔνεισίν τινα εἴδη ποιητικά, ἃ δηλονότι εἰσὶν ἐν τῷ νῷ τῷ πρακτικῷ· ὥσπερ τὰ εἴδη τῶν τεχνῶν. Πολλῷ ἄρα κρεῖττον ἐν τῷ ἀγγελικῷ νῷ εἰσιν εἴδη ποιητικά· ἐπεὶ καὶ τὰς ἰδέας ἐν τω θείῳ νῷ, συμβαίνει μάλιστα εἶναι δραστηρίους.**

**[6.3.4] Εἰ δέ τις ἀπαντᾷ λέγων τὰ εἴδη τὰ ποιητικὰ τὰ ἐν τῇ ἀγγελικῇ διανοίᾳ προσάγεσθαι τοῖς ἀποτελέσμασι μεσιτευόντων σωματικῶν ποιητικῶν, ὡσπεροῦν καὶ τὰ εἴδη τοῦ ἀνθρωπείου νοῦ. Ἀλλὰ τοὐναντίονω πᾶσα γὰρ δύναμις ἐξίσχειν ἀδυνατοῦσα εἰς τὸ ἐνεργείᾳ μὴ μεσιτεύοντος ὀργάνου σωματικοῦ, εἰκῇ δίδοταί τινι, εἰ μὴ διδοῖτό οἱ ὄργανον σωματικόν εἰκῇ γὰρ ἡ**

**7-9** ἐν – αὐτῇ] Iob 41, 24: οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου.

**22** ἔνεισιν] ἓν εἰσὶν P

**κινητικὴ δύναμις διδοῖτο τῷ ζῴῳ, ἣν μὴ ἐπιδιδῶται οἱ τὰ τῆς κινήσεως ὄργανα. Ἀλλὰ τῷ ἀγγέλῳ οὐκ ἔστι φύσει σῶμα ἡνωμένον. Ἡ ἄρα δύναμις αὐτοῦ οὐκ ἀντιποιεῖται πρὸς ἄνυσιν τοῦ ἰδίου ἔργου σωματικοῦ ποιοῦντος τινός.**

P 147r **[6.3.5] Ἔτι, πᾶσα δύναμις | ὑπερβαίνουσα τὴν ἀναλογίαν τοῦ ἰδίου ὀργάνου δύναται ἔχειν τινὰ ἐνέργειαν ἰδίαν ἀπὸ τοῦ ὀργάνου ἐκείνου· τοῦ γὰρ ὀφθαλμοῦ μὴ ἀντιπαραβαλλομένου τῇ δυνάμει τῆς ὅλης ψυχῆς μέτεισι πολλὰς ἡ ψυχὴ ἐνεργείας οὐ διὰ τοῦ ὀφθαλμοῦ. Ἀλλὰ σῶμα οὐ δύναται ἀναλογεῖν ὅλῃ τῇ ἀγγελικῇ δυνάμει. Ἆρα δύναται ὁ ἄγγελος ἀποτελέσματά τινα ποιεῖν μὴ μεσιτεύουσι σώμασι. Καὶ ταύτῃ δοκεῖ τῇ τῆς ἰδίας φύσεως δυνάμει δύνασθαι θαύματα ποιεῖν.**

**[6.3.6] Χωρὶς δὲ τούτων, πλέον ὑπερέχει τοῦ ἀγγέλου ἡ δύναμις πᾶσαν δύναμιν σωματικὴν ἢ ὅσον ὑπερβαίνει τὸ σῶμα τοῦ οὐρανοῦ τὰ στοιχειώδη σώματα. Ἀλλ’ ἐκ τῆς τοῦ οὐρανίου σώματος δυνάμεως γίνονταί τινα ἀποτελέσματα ἐν τούτοις τοῖς ὑποβεβηκόσιν ἄνευ τῶν ἐνεργειῶν τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων, αἵ εἰσιν ἴδιαι δυνάμεις τῶν στοιχείων. Πολλῷ ἄρα κρεῖττον ἐκ τῆς τοῦ ἀγγέλου δυνάμεως δύνανταί τινα ἀποτελέσματα ἐν τοῖς φυσικοῖς προάγεσθαι μὴ μεσιτευουσῶν δυνάμεων σωμάτων φυσικῶν.**

**[6.3.7] Ἔτι, κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ Περὶ Τριάδος τρίτῳ,** πάντα τὰ σώματα ἀπὸ τοῦ Θεοῦ διὰ πνεύματος ζωῆς λογικῆς διοικοῦνται· **τοῦτο δ’ αὐτό φησι καὶ Γρηγόριος, ἐν τῷ τετάρτῳ τῶν Διαλόγων. Καὶ ταύτῃ δοκεῖ, ὅτι ἡ κίνησις τοῦ οὐρανοῦ καὶ συμπάσης τῆς φύσεως ἔστι δι’ ἀγγέλων, ὥσπερ ἡ κίνησις τοῦ ἀνθρωπείου σώματος διὰ τῆς ψυχῆς. Ἀλλ’ ἀπὸ τῆς ψυχῆς ἐγχαράττεται εἴδη τῷ σώματι παρὰ τὰς φυσικὰς ποιητικὰς δυνάμεις τοῦ σώματος· ἐκ γὰρ μόνης τῆς φαντασίας διαθερμαίνεταί τις καὶ ψύχεται, ἔστι δ’ οὗ καὶ εἰς πυρετοὺς καταφέρεται ἢ καὶ λέπραν, ὡς ἰατρῶν παῖδες φασίν. Ἦ που τοίνυν ἐκ μόνης διανοίας τοῦ κινοῦντος τὸν οὐρανὸν ἀγγέλου παρὰ τὴν ποίησιν τῶν φυσικῶν**

**49-50** κατὰ – διοικοῦνται] Aug., De trin. III, cap. 4, n. 9 (PL 42, col. 873): Sed quemadmodum corpora crassiora et inferiora per subtiliora et potentiora quodam ordine reguntur, ita omnia corpora per spiritum vitae, et spiritus vitae irrationalis per spiritum vitae rationalem, et spiritus vitae rationalis desertor atque peccator per spiritum vitae rationalem pium et iustum, et ille per ipsum Deum. **50-51** τοῦτο – Διαλόγων] vide [6.4.6].

**33** ἀντιποιεῖται] ἀντιποιῆται M **56** ἰατρῶν παῖδες] medici Aq.

**αἰτιῶν δύναται ἕπεσθαι ἀποτελέσματα ἐν τούτοις τοῖς ὑποβεβηκόσι. Καὶ ταύτῃ δύναται ὁ ἄγγελος ποιεῖν θαύματα.**

**[6.3.8] Ἦ δ’ ὅς· τοῦτο συμβαίνει ἐκ τοῦ τὴν ψυχὴν ὑπάρχειν εἶδος τοῦ σώματος· ὁ δ’ ἄγγελος οὐχ ὑπάρχει εἶδος τῆς σωματικῆς κτίσεως. Ἀλλ’ ἰτέον εὐθύ· ὁτιδήποτε πρόεισιν ἀπὸ τῆς ψυχῆς διὰ τῆς αὐτῆς ἐνεργείας, πρόεισιν ἐξ αὐτῆς ἐφόσον ἐστὶ κινοῦσα, οὐκ ἐφόσον ἐστὶν εἶδος· οὐ γάρ ἐστι διὰ τοῦ ἐνεργεῖν ἡ ψυχὴ εἶδος τοῦ σώματος, ἀλλὰ κινοῦν. Αἱ προειρημέναι δὲ ἐνσημάνσεις, αἳ ἐγγίνονται τῷ σώματι ἀπὸ τῆς ψυχῆς, ἕπονται τοῖς ἐγχαράγμασι τῆς ψυχῆς τῆς ὁτιοῦν φανταζομένης. Οὐκ ἄρα εἰσὶν ἀπὸ τῆς ψυχῆς ἐφόσον ἐστὶν εἶδος, ἀλλ’ ἐφόσον ἐστὶ κινοῦσα.**

**[6.3.9] Παρὰ ταῦτα, ἐντεῦθεν ὁ Θεὸς ἔρρωται πρὸς τὴν τῶν θαυμάτων ποίησιν, ὅτι ἡ δύναμις αὐτοῦ ἐστιν ἄπειρος. Ἀλλ’ ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται, ὅτι** ἡ δύναμις τοῦ νοῦ ἐστιν | (P 147v) ἄπειρος διαφερόντως πρὸς τὰ ὑποβεβηκότα. **Ὃ καὶ ἀποδείκνυσθαι οἷόν τε ἐκ τοῦ κινεῖν τῇ τοῦ οὐρανοῦ κινήσει, ὡς δέδεικται, ᾗ πέφυκεν εἶναι ἀίδιος· ἀίδιον γὰρ κίνησιν κινεῖν οὐ δύναται εἰ μὴ δύναμις ἄπειρος, ὡς ἀποδείκνυται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Ἆρα δοκεῖ τοὺς ἀγγέλους δύνασθαι θαύματα ποιεῖν ἐκ τῆς φυσικῆς δυνάμεως.**

**[6.3.10] Ἔτι, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται, ὅτι** πᾶσα δύναμις ἑνιαία μᾶλλόν ἐστιν ἄπειρος ἢ δύναμις πεπληθυσμένη· **ἐν οἷς δὴ ἑπομένως φησὶν ὅτι, ὅσον ἡ δύναμις τοῦ νοῦ μᾶλλον συμπτύσσεται καὶ ἑνοῦται, μέγεθος ἴσχει καὶ βιαιοτέρα γίνεται, καὶ ἔργα διαπράττεται θαυμάσια. Διαλέγεται δὲ ἐκεῖ ὁ Ὑπομνηματιστὴς περὶ τῆς φυσικῆς δυνάμεως τοῦ νοῦ· τὴν γὰρ δύναμιν τῆς χάριτος οὐκ ᾔδει. Ἄρ’ ὁ ἄγγελος τῇ αὐτοῦ φυσικῇ δυνάμει θαυμάσια ποιεῖν δύναται.**

**[6.3.11] Ἀλλ’ ἴσως καὶ τοιοῦτός τις ἥξει λόγος, ὅτι δύναται ὁ ἄγγελος θαυμάσια ποιεῖν οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ καταβεβλημένῃ ὑπὸ τοῦ Θεοῦ τοῖς φυσικοῖς πράγμασι, προσάγων τὰ τοιαῦτα πρὸς ἄνυσιν τοῦ σκοπουμένου.**

**69-71** ἐν – ὑποβεβηκότα] Liber de Causis, prop. 16: et virtus quidem eius non est facta infinita nisi inferius non superius quoniam ipsa non est virtus pura quae non est virtus, nisi quia est virtus et est res quae non finitur inferius neque superius. Ens autem primum creatum scilicet intelligentia habet finem et virtuti eius est finis secundum quem remanet causa eius. **76-77** ἐν – πεπληθυσμένη] Liber de Causis, prop. 16: omnis virtus unita plus est infinita quam virtus multiplicata.

Ἀλλὰ τοὐναντίον, ἡ προσαγωγὴ τῶν τοιούτων φυσικῶν σπερμάτων, ἐν οἷς εἰσιν αἱ δραστικαὶ τῆς φύσεως δυνάμεις, οὐ δύναται εἶναι εἰ μὴ διὰ τῆς κατὰ τόπον κινήσεως. Ἀλλὰ τοῦ αὐτοῦ λόγου εἶναι δοκεῖ τὸ τὰ σώματα εἴκειν ἢ μὴ εἴκειν τῇ ἀσωμάτῳ φύσει πρὸς τὴν κατόπιν κίνησιν καὶ πρὸς τὰς ἄλλας κινήσεις. Καὶ γὰρ ἡτισοῦν κίνησις φυσικὴ ἔχει ἴδιον καὶ ὡρισμένον κινοῦν. Εἰ ἄρα δύναιτο οἱ ἄγγελοι τῷ αὐτῶν προστάγματι προσάγειν τὰ τοιάδε σπέρματα πρὸς ἀποτέλεσμα φύσεως διὰ τῆς κατόπιν κινήσεως, δύνανται καὶ τῇ τῆς γενέσεως κινήσει ἢ τῇ τῆς ἀλλοιώσεως εἶδός τι εἰς τὴν φύσιν ἐντυποῦν, μόνῳ ἐπιτάγματι. Ὅπερ ὂν τυγχάνει τὸ θαυμάσια ποιεῖν.

[6.3.12] Ἄνευ δὲ τούτων, τῆς αὐτῆς κατὰ γένος ἐστὶ δυνάμεως εἶδος ἐνστίζειν τῇ ὕλῃ καὶ ἐμποδὼν γίνεσθαι ἐνστίζεσθαι· ὥσπερ γὰρ δυνάμει σώματος τὸ εἶδος τοῦ πυρὸς ἐντίθεται τῇ ὕλῃ, οὕτω δυνάμει τινὸς σώματος ἡ καταβολὴ τοῦ τοιοῦδε εἴδους ἐμποδίζεται. Ἀλλὰ τῇ δυνάμει τῆς ἀσωμάτου κτίσεως εἴργεται μὴ ἐγγίνεσθαί τι εἶδος τῇ ὕλῃ ὑπό τινος φυσικῶς δρῶντος· λέγεται γὰρ ὅτι δυνάμει τινὸς γράμματός τις ἐν πυρὶ τεθεὶς οὐ συμπέφλεκται· ὃ σαφὲς μὴ γενέσθαι ὑπὸ θείας δυνάμεως, ἥτις ἀναλόγως τοῖς κατωρθωμένοις, ἄνευ ὡντινωνοῦν γραμμάτων διωθεῖται τὰς κολάσεις ἀπὸ τῶν ἁγίων. Ὡδὶ δὲ λείπεται γενέσθαι ἔργον δαιμονίας δυνάμεως. Δοκεῖ ἄρα τῷ ἴσῳ λόγῳ
P 148r δύ|νασθαι γίνεσθαι τὴν ἀσώματον κτίσιν μόνῳ κελεύσματι τὸ εἶδος τῇ ὕλῃ ἐντήκειν ἄνευ σωματικοῦ ποιοῦντος. Οὐχ ἥκιστά τε τοῦτο θαῦμα εἶναι δοκεῖ, τὸν ἄνθρωπον ἐν πυρὶ κείμενον μὴ πίμπρασθαι· ὥσπερ φαίνεται ἐν τῷ περὶ τοὺς παῖδας θαύματι.

[6.3.13] Ἔτι, κρεῖττόν ἐστι τὸ ἐν τῇ φαντασίᾳ εἶδος κἀν τῇ αἰσθήσει ἢ τὸ ἐν τῇ σωματικῇ ὕλῃ, ὅσῳ καὶ μᾶλλόν ἐστιν ἄυλον. Ἀλλ’ ἡ ἀσώματος φύσις ἐς τὴν φαντασίαν καὶ τὴν αἴσθησιν δύναται ἐνιέναι τι εἶδος, ὡς δοκεῖν τι ἄλλως ἢ ἐστίν. Ὅθεν φησὶν ὁ Αὐγουστῖνος ἐν τῷ ὀκτωκαιδεκάτῳ βιβλίῳ τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ· οὐ πάνυ τοι οἱ δαίμονες φύσεις δημιουργοῦσιν· ἀλλὰ τὰ δ’ ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντα μεταβάλλουσι· καὶ μετὰ ταῦτα ἐπάγει, ὅτι τοῦτο γίνεται μεταβολῇ τῆς φαντασίας. Πολλῷ ἄρα μᾶλλον δύναται ἐνιέναι εἶδος εἰς τὴν ὕλην. Καὶ ταύτῃ τὸ πρότερον.

**111-113** φησὶν – μεταβάλλουσι] Aug., De civ. XVIII, cap. 18, n. 2 (PL 41, col. 574): Nec sane daemones naturas creant, si aliquid tale faciunt, de qualibus factis ista vertitur quaestio; sed specie tenus, quae a vero Deo sunt creata, commutant, ut videantur esse quod non sunt.

**93** τι] deest M **97** δυνάμει] δυνάμεως M (attractio ex τινὸς σώματος; virtute Aq.) **104** κελεύσματι] κελεύματι M **112** Hic post ἀλλὰ Aq. habet: specie tenus; lacuna ca 5 P

[6.3.14] Ἀλλ’ ἐρεῖ τι<ς>, ὅτι ἡ διὰ τῶν δαιμόνων μεταβολὴ τῆς φαντασίας οὐ γίνεται καινῶν εἰδῶν ἐκτυπώσει, ἀλλὰ κατὰ σύγκρισιν καὶ διάκρισιν τῶν προϋπαρχόντων. Ἀλλὰ τοὐναντίον· ἡ ψυχή ἐστι κρεῖττον ἢ ἡ σωματικὴ φύσις. Εἰ τοίνυν ὁ δαίμων τῇ αὐτοῦ δυνάμει δύναται ποιεῖν τοῦθ’ ὅπέρ ἐστιν ἰδίᾳ δύναμις τῆς αἰσθητῆς ψυχῆς, δηλαδὴ τὸ συγκρίνειν καὶ διακρίνειν τὰ φάσματα, δοκεῖ ἄρα πολλῷ μᾶλλον δύνασθαι ποιεῖν τῇ ἰδίᾳ δυνάμει τὰς τῆς σωματικῆς φύσεως ἐνεργείας. Καὶ ταύτῃ τὸ πρότερον.

[6.3.15] Ἔτι, ὥσπερ ἔχει ἡ δύναμις πρὸς τὴν δύναμιν, οὕτως ἔχει καὶ ἡ ἐνέργεια πρὸς τὴν ἐνέργειαν. Ἀλλ’ ἡ δύναμις τοῦ ἀγγέλου οὐκ ἤρτηται τῆς δυνάμεως τῆς σωματικῆς κτίσεως. Οὐδ’ ἄρα ἡ ἐνέργεια τῆς ἐνεργείας. Καὶ οὕτω ἰδίᾳ καὶ χωρὶς ἀπὸ τῶν φυσικῶν αἰτιῶν δύναται θαυμασιωδῶς ἐνεργεῖν.

[6.3.16] Αὖθις, ὥσπερ τὸ ποιεῖν ἐκ τοῦ μηδενὸς ἔστιν ἀπείρου δυνάμεως διὰ τὴν ἄπειρον διάστασιν τοῦ ὄντος πρὸς τὸ μὴ ὄν, οὕτω τὸ ἀναφέρειν τι ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ὕπεστι τῇ πεπερασμένῃ δυνάμει. Ἐν δὲ ταῖς πεπερασμέναις δυνάμεσι μεγίστη ἐστὶν ἡ ἀγγελική. Ὁ ἄρα ἄγγελος τῇ αὐτοῦ δυνάμει δύναται ἀναφέρειν εἰς τὸ ἐνεργείᾳ πάντα τὰ εἴδη τὰ ἐν τῇ ὕλῃ δυνάμει ἄνευ ἐνεργείας τινὸς αἰτίας φυσικῆς. Ὡδὶ δὲ τὸ πρότερον.

[6.3.17] Ἔτι, πᾶν ὃ ποιοῦν ἐπίσχεται παρ’ ἄλλου, ποιεῖ καὶ πάσχει. Ἀλλ’ ὁ ἄγγελος ἐνεργῶν ἐν τοῖσδε τοῖς σωματικοῖς οὐδ’ ὁπητιοῦν πάσχει ἀπ’ αὐτῶν. Οὐκ ἄρα ἐπίσχεται τῇ αὐτοῦ ἐνεργείᾳ θαύματα ποιεῖν ποιῶν παρὰ τὰς φυσικὰς αἰτίας. |

P 148v [6.3.18] Ἀλλὰ τοὐναντίον, ἐντεῦθεν ὁ Θεὸς τὰ θαύματα ποιεῖ, διὰ τὸ τὴν φύσιν ὑποτετάχθαι αὐτῷ. Οὐκ ἔστι δὲ ὑποτεταγμένη τοῖς ἀγγέλοις· οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην ὁ Θεός, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῆς Πρὸς Ἑβραίους. Οἱ ἄρα ἄγγελοι τῇ σφῶν αὐτῶν δυνάμει θαύματα ποιεῖν οὐ δύνανται.

[6.3.18] Ἔτι, ὁ Αὐγουστῖνός φησιν, ἐν τῷ Περὶ Τριάδος τρίτῳ· οὐκ ἔστιν οἰητέον τοῖς ἁμαρτοῦσιν ἀγγέλοις δουλεύειν πρὸς τὸ νεῦμα τὴν τῶν σωματικῶν πραγμάτων φύσιν. Δουλεύοι δ’ ἂν αὐτοῖς, εἰ ἐκ δυνάμεως τῆς ἰδίας φύσεως ἡ νοητὴ κτίσις θαύματα ποιεῖν δύναιτο. Οὐκ ἄρα δύναται θαύματα ποιεῖν.

**139-140** οὐ – Ἑβραίους] Hebr. 2, 5: Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. **142-144** ὁ – φύσιν] Aug., De Trin. III, cap. 8, n. 13 (PL 42, col. 876): Nec ideo putandum est istis transgressoribus angelis ad nutum servire hanc visibilium rerum materiam.

**144** ἂν] bis acc. P

**[6.3.19] Ἀπόκρισις. Ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ, μετὰ τὸ ταύτην ἐπεξεργάσασθαι τὴν ζήτησιν ἀκριβῶς, οὕτως ἐν τέλει κατακλείει τὸν λόγον·** ἐμοὶ δὲ ὀνησιμώτατόν ἐστι μεμνῆσθαι τῶν ἡμετέρων δυνάμεων, τοῖς τε ἐμοῖς ἀδελφοῖς ὑποτίθεμαι μεμνῆσθαι τῶν ἰδίων, ὥστε μὴ ἐπέκεινα τοῦ ἀσφαλοῦς τὴν ἀνθρωπίνην ἄττειν ἀσθένειαν· πῶς γὰρ οἱ ἄγγελοι ἢ μᾶλλον ὁ Θεὸς διὰ τῶν ἀγγέλων αὐτοῦ τοῦτο ποιεῖ, οὔτε ὀφθαλμῶν ὀξύτητα δικνεῖσθαι περιγίγνομαι, οὔτε παρρησίᾳ λόγου ἀπαγγέλλειν, οὔτε προκοπῇ διανοίας καταλαμβάνειν, ὥσθ᾽ οὕτω βεβαίως διαλεχθῆναι περὶ πάντων, ἃ τούτων πέρι εἴωθε ζητεῖσθαι, ὡσανεὶ εἴην ἄγγελος ἢ προφήτης ἢ ἀπόστολος. **Ὅθεν καταστείλας καὶ μηδὲν δισχυριζόμενος μηδὲ κρείττονος καθαπτόμενος γνώμης, πρόεισιν, ἐφόσον ὅ τε λόγος καὶ τὸ τῆς ἐπιστήμης περιὸν συναίρεται. Εἰδέναι ἄξιον τοίνυν, ὅτι περὶ ταύτην τὴν ζήτησιν εὑρίσκονται οἱ φιλόσοφοι διενηνεγμένοι. Ὁ μὲν γὰρ Ἀβίκενος τέθεικε τὴν ἀσώματον οὐσίαν τὴν τὸν οὐρανὸν κινοῦσαν μὴ μόνον μεσιτευούσης τῆς οὐρανίου κινήσεως ἀποτελέσματα ἐν τοῖς ὑποβεβηκόσι σώμασι ποιεῖν, ἀλλὰ παρὰ πᾶσαν σώματος ἐνέργειαν, βουλόμενος τὴν σωματικὴν ὕλην πολλῷ πλέον εἴκειν τοῖς νοήμασι καὶ τῷ κελεύσματι τῆς προειρημένης ἀσωμάτου οὐσίας, ἢ τοῖς ἐναντίοις ἐν τῇ φύσει ποιητικοῖς, ἢ ὁτῳδήποτε σώματι ποιοῦντι, ἐκ ταύτης τε τῆς αἰτίας προϊέναί φησι τὸ ἐνίοτε ἐν τῷ παντὶ τῇ μεταβολῇ τῶν ἀέρων γίνεσθαι νοσημάτων θεραπείας, ἃ δὴ θαύματα ἡμεῖς προσαγορεύομεν· παράδειγμά τε τίθησιν ἀπὸ τῆς ψυχῆς τῆς τὸ σῶμα κινούσης, ἧς πρὸς τὴν φαντασίαν ἄνευ ὁτινοσοῦν σωματικοῦ ποιοῦντος μεταβάλλεται τὸ σῶμα καὶ πρὸς θέρος καὶ ῥίγος, ἔστι δ᾽ οὗ καὶ πρὸς πυρετοὺς | καὶ λέπραν. Αὕτη δὲ ἡ**
P 149r **θέσις ἅλις συμβαίνει ταῖς ὑποτιθεμέναις ἀρχαῖς αὐτῷ· τίθησι γὰρ τὰ φυσικὰ ποιητικά, μόνην τὴν ὕλην διατιθέναι, τὰ δ᾽ οὐσιώδη εἴδη εἶναι παρὰ τῆς ἀσωμάτου οὐσίας, ἣν προσαγορεύει νομέα τῶν εἰδῶν. Ὅθεν δὴ ἡ ὕλη φυσικῇ τάξει ὑποτέτακται τῇ ἀσωμάτῳ οὐσίᾳ κατὰ τὸ λαμβάνειν εἶδος ἀπ᾽ αὐτῆς· διά τοι τοῦτο οὐδέ ἐστι θαυμαστόν, εἰ καὶ παρὰ τὴν τῶν φυσικῶν ποιούντων τάξιν εἴδη τινὰ ἐπιτάγματι μόνῳ ἐνσφραγίζει. Εἰ γὰρ ἡ ὕλη ὑπεξίσταται τῇ χωριστῇ οὐσίᾳ πρὸς ὑποδοχὴν τοῦ οὐσιώδους εἴδους, οὐκ ἂν**

**146-154** ὁ – ἀπόστολος] Aug., De Trin. III, cap. 10, n. 21 (PL 42, col. 881): Mihi autem – aut apostolus.

**151** παρρησίᾳ] παρουσίᾳ M (fiducia Aq.) **154** ὡσὰν] ὡσᾶν P **156** πρόεισιν] πρόειμι M (procedendum est Aq.) **158** τέθεικε] τέθηκε M (posuit Aq.) **162** κελεύματι] κελέσματι (imperio Aq.) **174** Hic post μόνῳ Aq. habet: in materiam.

εἴη ἄτοπον, εἴ γε ὑπεξίσταιτο καὶ κατὰ τὸ ὑποδέχεσθαι διαθέσεις πρὸς εἴδη· τοῦτο γὰρ φαίνεται ἥττονος δυνάμεως. Ἀλλὰ κατὰ τὴν Ἀριστοτέλους δόξαν καὶ τῶν ὀπαδῶν αὐτοῦ, ἀσύστατόν ἐστι τοῦτο. Ὁ γὰρ Ἀριστοτέλης δυσὶ λογισμοῖς ἀποδείκνυσι μὴ τὰ εἴδη ἐντήκεσθαι τῇ ὕλῃ ἀπό τινος οὐσίας χωριστῆς, ἀλλ' ἀναδύνειν εἰς τὸ ἐνεργείᾳ ἐκ τοῦ δυνάμει, τῆς ὕλης διά τινος ἐνεργείας εἴδους ὕλῃ ὑπάρχοντος. Ὧν τὸν πρότερον τίθησιν, ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. Κατὰ γὰρ τὰ ἐκεῖ ἀποδεδειγμένα τὸ γινόμενον κυρίως ἐστὶ τὸ σύνθετον, οὐ τὸ εἶδος, οὐδ' ἡ ὕλη· τὸ σύνθετον γάρ ἐστι τὸ ἰδίως ἔχον τὸ εἶναι. Πᾶν δὲ τὸ ποιοῦν ποιεῖ ὅμοιον· ὅθεν ἀνάγκη τὸ ποιοῦν τὰ φυσικὰ ἐνεργείᾳ ὑπάρχειν διὰ γενέσεως εἶναι σύνθετον, οὐκ εἶδος ἄνευ ὕλης. Τοιαύτη δέ ἐστιν ἡ χωριστὴ οὐσία. Ἡ δὲ δευτέρα ἀπόδειξις τίθεται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Ἐπεὶ γὰρ τὸ αὐτὸ ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν, τὸ δὲ γινόμενον ἢ φθειρόμενον, ἢ ἀλλοιούμενον ἢ αὐξανόμενον ἢ μειούμενον, οὐκ ἀεὶ ὁμοίως ἔχει, ἀνάγκη τὸ ποιοῦν καὶ κινοῦν, τό γε ἧκον εἰς τὴν τοιαύτην αὐτοῦ κίνησιν, μὴ ἀεὶ ὁμοίως ἔχειν, ἀλλ' ἄλλως καὶ ἄλλως. Τοῦτο δὲ οὐχ οἷόν τε εἶναι οὐσία χωριστή, ὅτι πᾶσα ἡ τοιαύτη οὐσία ἐστὶν ἀκίνητος· πᾶν γὰρ τὸ κινούμενόν ἐστι σῶμα, ὡς ἐν τῷ τῆς Φυσικῆς ἕκτῳ δείκνυται. Ἀμέλει τοι καὶ τὸ ὂν ἀμέσως αἰτία ἀναφέρουσα τὸ εἶδος ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ, διὰ γενέσεως καὶ ἀλλοιώσεώς ἐστι σῶμα ἄλλοτε ἄλλως ἔχον, καθὸ προσχωρεῖ καὶ ἀποχωρεῖ κατὰ τὴν τοπικὴν κίνησιν. Κἀντεῦθεν ἐστὶν ὅτι ἡ χωριστὴ οὐσία, τῷ αὐτῆς ἐπιτάγματι τῷ σώματι αἰτία γίνεται ἄμεσος τῆς κατὰ τόπον κινήσεως, καὶ ταύτης μεσιτευούσης αἰτία γίνεται τῶν ἄλλων κινήσεων, αἷς τὸ κινητὸν μεταλαγχάνει εἴδους τινός. Καὶ τοῦτο διὰ τόδε εὐλόγως συμβαίνει. Ἡ γὰρ κατὰ τόπον κίνησίς ἐστι πρώτη καὶ τελειοτάτη τῶν ἄλλων κινήσεων, ὡσὰν μὴ ποικίλλουσα τὸ πρᾶγμα κατὰ τὴν ἔνδον διάθεσιν, ἀλλ' ὅσον πρὸς τὸν ἐκτὸς τόπον· καὶ διατοῦτο διὰ τῆς πρώτης | [P 149v] κινήσεως, δηλαδὴ τῆς κατὰ τόπον, ἡ σωματικὴ οὐσία ἀπὸ τῆς ἀσωμάτου κινεῖται. Κατὰ τοῦτο τοίνυν ἡ σωματικὴ κτίσις ὑπακούει τῷ προστάγματι τῆς ἀσωμάτου κατὰ τὴν φυσικὴν τάξιν πρὸς

**181-183** Ὧν – ὕλῃ] Ar., Metaph. VII, 1033b.16: φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν ὡς εἶδος ἢ οὐσία λεγόμενον οὐ γίγνεται, ἡ δὲ σύνολος ἡ κατὰ ταύτην λεγομένη γίγνεται, καὶ ὅτι ἐν παντὶ τῷ γεννωμένῳ ὕλη ἔνεστι, καὶ ἔστι τὸ μὲν τόδε τὸ δὲ τόδε ; 1033b22-24: ποιεῖ καὶ γεννᾷ ἐκ τοῦδε τοιόνδε, καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε et 1034a5: ἱκανὸν τὸ γεννῶν ποιῆσαι καὶ τοῦ εἴδους αἴτιον εἶναι ἐν τῇ ὕλῃ. **191-192**: Ar., Phys. VI, 240b.8-241a2.5: Ἀποδεδειγμένων δὲ τούτων – ἀδιαίρετόν τι κινεῖσθαι.

**199** ὡσὰν] ὡσᾶν P

**τὴν κατόπιν κίνησιν, οὐ πρὸς μετάληψίν τινος εἴδους. Ὅπερ πρεσβευτέον περὶ τῆς ἀσωμάτου κτιστῆς φύσεως, ἧς ἡ δύναμις καὶ ἡ οὐσία ὁρίζεται κατὰ γένος ὡρισμένον, οὐ περὶ τῆς ἀσωμάτου οὐσίας τῆς ἀκτίστου, ἧς ἡ δύναμις ἄπειρός ἐστιν, οὐ περικλειομένη εἴς τι γένος κατά τινα γένους κανόνα. Καὶ ταύτῃ τῇ δόξῃ ὅσον εἰς τοῦτο φέρει, σύμφρων ἡ πίστις ἐστίν· ὅθεν καὶ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ φησίν, ὅτι** τοῖς ἀγγέλοις δουλεύει πρὸς τὸ νεῦμα ὁμοῦ πᾶσα ἡ σωματικὴ φύσις. **Ἐν τούτῳ μέντοι διαλλάττει τὸ τῆς πίστεως ἀξίωμα τοῦ λόγου τῶν φιλοσόφων. Οἱ μὲν γὰρ προειρημένοι φιλόσοφοι τιθέασι τὰς χωριστὰς οὐσίας κινεῖν ἐν τῷ ἑαυτῶν ἐπιτάγματι μόνα τὰ οὐράνια σώματα τῇ κατὰ τόπον κινήσει· τὴν γὰρ κατὰ τόπον κίνησιν ἐν τούτοις τοῖς ὑποβεβηκόσι μὴ γίνεσθαι ἀμέσως ὑπὸ τῆς χωριστῆς οὐσίας, ἀλλὰ διά τινων μέσων, φύσει ἢ θελήσει ἢ βίᾳ. Ὅθεν καὶ ὁ Ἀλέξανδρος ὁ ὑπομνηματιστὴς πάντα τὰ ἀποτελέσματα τὰ ὑφ' ἡμῶν ἀποδιδόμενα τοῖς ἀγγέλοις ἢ τοῖς δαίμοσιν, ἐν τούτοις τοῖς ὑποβεβηκόσιν ἀποδίδονται φησί, δράσει τῶν οὐρανίων σωμάτων· ὅπερ οὐκ ἀποχρώντως εἰρῆσθαι δοκεῖ. Τὸ γὰρ τοιοῦτον ἀποτέλεσμα οὐ γίνεταί τινι ὡρισμένῳ δρόμῳ, ὥσπερ τὰ γινόμενα δι' ἐνεργείας φυσικῆς τῶν ὑπερκειμένων ἢ ὑποκειμένων σωμάτων. Χωρὶς δὲ τούτων, εὑρίσκονταί τινα ἀποτελέσματα, ἐν οἷς οὐδενὶ τρόπῳ τὰ οὐράνια σώματα δύνανται· ὥσπερ τὸ τὰς ῥάβδους μεταπεσεῖν παραχρῆμα εἰς ὄφεις, καὶ πολλ' ἄττα τοιάδε. Ἀξίωμα δὲ τῆς πίστεως γέγονε μὴ μόνον τῷ αὐτῶν ἐπιτάγματι τοὺς ἀγγέλους κινεῖν κατὰ τόπον τὰ οὐράνια σώματα, ἀλλὰ δὴ καὶ τὰ ἄλλα σώματα, τοῦ Θεοῦ τάξαντος καὶ ἐφιέντος. Κινούντων τοίνυν τῇ αὐτῶν κελεύσει τὰ σώματα ἐν οἷς ὑπόκειται δύναμίς τις δραστήριος φυσικὴ πρός τινος ἀποτελέσματος πρόοδον, ἣν Αὐγουστῖνος σπέρματα φυσικὰ προσαγορεύει, ἡ τούτων ἐνέργεια οὐκ ἂν εἴη κατὰ τὸν τοῦ θαύματος τρόπον, ἀλλὰ κατὰ τὸν τῆς τέχνης. Ἐν γὰρ τοῖς θαύμασι προάγονται τὰ ἀποτελέσματα ἄνευ ἐνεργειῶν φυσικῶν ἀπ' αἰτίας ὑπὲρ φύσιν. Τὸ δὲ προάγειν ἀποτελέσματι ὅπερ ἡ φύσις προβάλλεσθαι δύναται, ἢ ὃ μὴ μεσιτευούσης ἐνεργείας φυσικῶν ἀρχῶν, τέχνης ἐστίν. Ὅθεν ὁ**

**207-209** ὅθεν – φύσις] Aug., De Trin. III, cap. 8, n. 13 (PL 42, col. 876): Nec ideo putandum est istis transgressoribus angelis ad nutum servire hanc visibilium rerum materiam. **226-227** ἣν – προσαγορεύει] cf. Aug., De gen. ad litt. IX, cap. 17, n. 32 (PL 34, col. 406): Super hunc autem motum cursumque rerum naturalem, potestas Creatoris habet apud se posse de his omnibus facere aliud, quam eorum quasi seminales rationes habent.

**205** ὡρισμένον] ὡρισμόν (determinatum Aq.) **208** Hic post ἀγγέλοις Aq. habet: non **212** κατατόπον] κατὰ τόπον P, M **230** Hic post προβάλλεσθαι Aq. habet: non; post μή Aq. habet: ita convenienter; μή bis acc. P **238** ἐπιστήμη] ars Aq.

Φιλόσοφός φησιν ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ, ὅτι ἡ τέχνη μιμεῖται τὴν P 150[r] φύσιν, καί τινα | διαπράττεται ἃ ἡ φύσις οὐχ οἷά τε, ἔτι ἔν τισι [naturam iuvat], καθάπερ ἰατρὸς ἐπικουρεῖ τῇ φύσει πρὸς τὸ θεραπεύειν, ἡ ἀσώματος φύσις ἀλλοιοῦσα καὶ πίπτουσα τὰ νοσήματα τῇ ἐπιπλάσει τῶν πρὸς τοῦτο φυσικὴν δύναμιν ἐχόντων. Εἰς δὲ τὰ τοιαῦτα ἀποτελέσματα προάγειν ἡ τῶν ἀγαθῶν ἀγγέλων ἐπιστήμη ἢ καὶ τῶν πονηρῶν δραστικωτέρα διατελεῖ καὶ κρείττω ἔργα προφέρει ἢ ἡ τῶν ἀνθρώπων ἐπιστήμη· καὶ τοῦτο δυοῖν ἕνεκα. Πρῶτον μέν· ἐπεὶ γὰρ τὰ σωματικὰ ἀποτελέσματα ἐν τοῖς ὑποβεβηκόσι μάλιστα ἤρτηνται τῶν οὐρανίων σωμάτων, τηνικαῦτα διαφερόντως ἡ τέχνη δύναται τυγχάνειν τοῦ ἀποτελέσματος, ἡνίκα ἡ δύναμις τοῦ οὐρανίου σώματος συναιρεῖται. Ὅθεν ἐν τοῖς τῆς γηπονίας ἔργοις καὶ τῆς ἰατρικῆς πάμπολυ ἰσχύει ἡ κατανόησις τῆς τε κινήσεως καὶ τῆς θέσεως τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἄλλων ἀστέρων, ὧν τὰς δυνάμεις, κινήσεις τε καὶ θέσεις ἐπιεικῶς σαφέστερον ἴσασιν οἱ ἄγγελοι φυσικῇ γνώσει ἢ οἱ ἄνθρωποι. Ὅθεν τὰς ὥρας ἐπισημαίνεσθαι δύνανται κρεῖττον, ἐν αἷς ἡ δύναμις τοῦ οὐρανίου σώματος πρὸς τὰ προὖργα ἀποτελέσματα κομιδῇ συναντιλαμβάνεται. Καὶ τόδ’ εἶναι δοκεῖ λόγος τί δήποτε οἱ μελανομάνται ἐν ταῖς τῶν δαιμόνων ἐπικλήσεσι τὰς τῶν ἀστέρων θέσεις παρατηροῦσι. Δεύτερος λόγος ἐστίν, ὅτι τὰς ποιητικὰς καὶ παθητικὰς δυνάμεις ἐν τοῖς ὑποβεβηκόσι σώμασιν ἄμεινον ἴσασι τῶν ἀνθρώπων καὶ ῥᾷον καὶ θᾶττον προσάγειν δύνανται πρὸς τὰ ἀποτελέσματα, ὡσὰν κελεύσματι μόνῳ τοπικῶς κινοῦντες. Ὅθεν δὴ καὶ ἰατρῶν παῖδες θαυμάσια ἔργα ἰατρεύοντες ἐπιτελοῦσιν οἱ πλείστας τῶν φυσικῶν πραγμάτων δυνάμεις ἐπιστάμενοι. Τρίτος λόγος δύναται εἶναι ἐπεὶ γὰρ τὸ ὄργανον ποιεῖ οὐ μόνον τῇ ἑαυτοῦ δυνάμει, ἀλλὰ καὶ τῇ τοῦ κινοῦντος, ὅθεν δὴ καὶ τὸ οὐράνιον σῶμα ἀποτέλεσμά τι ἔχει ἐκ τῆς κινούσης ἀσωμάτου οὐσίας, ὥσπερ τὸ εἶναι ζωῆς αἴτιον, ὡς φαίνεται ἐν τοῖς ἐκ σηπεδόνος γεγεννημένοις ζῴοις, καὶ ἡ φυσικὴ θέρμη, ἐφόσον ἐστὶν ὄργανον τῆς θρεπτικῆς καὶ αὐξητικῆς ψυχῆς, δρᾷ πρὸς εἶδος σαρκός, οὐκ ἔστιν ἄτοπον τιθέναι αὐτὰ τὰ φυσικὰ σώματα, ἐφόσον κινεῖται διὰ τῆς

**231-233** ὁ – τισι] cf. Ar., Phys. II, 193b21 et 198b15.

**245** κινήσεις τὲ] καὶ τὰς κινήσεις M (et motus Aq.) **247** τὰ προύργα] προύργον M **253** ὡσὰν] ὡσᾶν | κελεύσματι] κελέσματι M

**ἀσωμάτου οὐσίας, λαγχάνειν κρείττονος ἐνεργείας. Ὅπερ δοκεῖ δύναται ἐντεῦθεν. Ἐν γὰρ τῷ τῆς Γενέσεως ἕκτῳ λέγεται·** οἱ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς, ἐν ταῖς ἡμέραις ἐκείναις· μετ**ὰ γὰρ τὸ** εἰσ**ελθεῖν τοὺς** υἱο**ὺς** τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων καὶ ἐ**κεῖναι** ἐγέννων**, οὗτοι εἰσὶν** οἱ **δυνατοὶ** ἀπ' αἰῶνος οἱ **ἄνδρες** οἱ ὀνομαστοί**· καὶ γὰρ Ἐξήγησίς τις ἐκεῖ φησίν·** οὐκ ἔστιν | [P 150v] ἄπιστον, ὑπό τινων δαιμόνων περὶ γυναῖκας μεμηνότων, τοὺς τοιούσδε ἀνθρώπους, τοὺς γίγαντας φημί, γεγεννῆσθαι. **Οὕτω τοίνυν φαίνεται τοὺς ἀγαθοὺς ἀγγέλους ἢ καὶ τοὺς κακοὺς δυνάμει φυσικῇ θαύματα ποιεῖν μὴ δύνασθαι, ἀλλά τινα θαυμασιώδη ἔργα, πρὸς ἃ ἡ τούτων ἔχει ἐνέργεια, καθάπερ τέχνη.**

**[6.3.20] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, εἰ καὶ ἡ φυσικὴ δύναμις τοῦ ἀγγέλου ἢ τοῦ δαίμονός ἐστι μείζων ἢ ἡ φυσικὴ τοῦ σώματος δύναμις, ὅμως οὐκ ἔστιν οἷα ἀμέσως παραβάλλειν τὸ εἶδος τῇ ὕλῃ, ἀλλὰ σώματι μεσιτεύοντι. Ὅθεν καὶ κρεῖττον τοῦτο ποιεῖ ἢ τὸ σῶμα· τὸ γὰρ πρῶτον κινοῦν, ἀρχοειδέστερόν ἐστιν ἐν τῷ δρᾶν.**

**[6.3.21] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὰ εἴδη τῶν φυσικῶν πραγμάτων τὰ ἐν τῇ ἀγγελικῇ συνεστῶτα διανοίᾳ εἰσὶ μᾶλλον ἐνεργείᾳ ἢ τὰ ἐν τῇ ὕλῃ. Διά τοι τοῦτο καὶ εἰσὶν ἄμεσος ἀρχὴ τῆς τελειότητος τῆς τοῦ νοεῖν ἐνεργείας. Τῆς δὲ ἐνεργείας ἥτις ἐστὶ δρᾶσις ὕλην μεταβάλλουσα, οὐκ ἔστιν ἄμεσος ἀρχή, ἀλλὰ τῆς θελήσεως μεσιτευούσης, καὶ ἡ θέλησις μεσιτευούσης τῆς δυνάμεως. Ἡ δὲ δύναμις ἀμέσως κινεῖ τὴν κατὰ τόπον κίνησιν. Ἧς δὴ κινήσεως παρεμπιπτούσης ἐστὶν αἰτία τῶν ἄλλων κινήσεων, καὶ ἐστὶν αἰτία παρόδου εἴδους ἐς τὴν ὕλην.**

**[6.3.22] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι καὶ τὰ εἴδη τὰ ὄντα ἐν τῷ ἀνθρωπείῳ νῷ οὐκ εἰσὶ ποιητικὰ τῶν ἐκ τέχνης πραγμάτων εἰ μὴ θελήσεως μεσιτευούσης καὶ δυνάμεως κινητικῆς καὶ ὀργάνων φυσικῶν καὶ σκευῶν τεχνικῶν.**

**[6.3.23] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ δύναμις ᾗ δύναταί τι ὄργανον περιάπτεσθαι, ὅπερ αὐτάρκως ἂν αὐτῇ ὑπηρετοῖτο τό γ' ἧκον εἰς πᾶσαν τὴν ἐνέργειαν, προσήκει ἔχειν ὄργανον συνημμένον· ὥσπερ τὸν ὀφθαλμὸν ἡ ὀπτικὴ δύναμις. Οὐδὲν δὲ σῶμα δύναται τῷ ἀγγέλῳ τῷδε τῷ τρόπῳ**

**263-266** ἐν – ὀνομαστοί] Gen. 6, 4: οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

**288** ᾗ] ἢ M (cui Aq.)  **289** ὑπηρετοῖτο] ὑπηρεταῖτο M

**ἀποκρίνεσθαι, ὡς τῇ αὐτοῦ δυνάμει παρισοῦσθαι· διά τοι τοῦτο οὐδὲ ἔσχεν ὁ ἄγγελος σωματικὸν ὄργανον φύσει συζευγμένον. Ὅθεν καὶ οἱ τὰς χωριστὰς οὐσίας θέμενοι φιλόσοφοι μὴ δρᾶν ἐν τούτοις τοῖς ὑποβεβηκόσιν ὅτι μὴ τοῦ οὐρανοῦ μεσιτεύοντος, συνέθεσαν καί τινα οὐσίαν ἀσώματον ἡνῶσθαι τῷ οὐρανῷ ὡς ἰδίῳ ὀργάνῳ, ἣν οὐρανοῦ ψυχὴν ἔφασκον. Ἕτερον δὲ ἀσύναπτον νοῦν ἔλεγον, ἀφ' οὗ ἡ οὐράνιος κινοῖτο ψυχή, ὥσπερ τὸ ἐφιεμένον ἀπὸ τοῦ οὗ ἐφίεται.**

**[6.3.24] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ ἄγγελος, εἰ καὶ τὸν οὐρανὸν κινεῖ, δύναται μέντοι ἔχειν ἐνέργειαν εἰς ταῦτα τὰ ὑποβεβηκότα ἄνευ τῆς τοῦ οὐρανοῦ κινήσεως τῷ κινεῖν ἄλλα σώματα, καὶ ἄνευ ὁτουοῦν σώματος διὰ τοῦ νοεῖν, εἰ καὶ εἶδος ἐν τῇ ὕλῃ ἄνευ σωματικοῦ ποιοῦντος ἀποτυποῦν οὐ**
P 151r **δύναται.**

**[6.3.25] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ οὐρανός, σῶμα δραστήριον ὄν, δύναται ἀμέσως ἀλλοιοῦν καὶ | κινεῖν εἰς εἶδος· οὐκ ἔστι δὲ ὅμοιον περὶ τῶν ἀγγέλων.**

**[6.3.26] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ ψυχὴ φυσικῇ τάξει τῷ ἑαυτῆς ἐπιτάγματι κινεῖ τὸ σῶμα τοπικῶς. Ἡ γὰρ ὀρεκτὴ αὐτῆς δύναμις κρατεῖ τῆς κινήσεως καὶ ὑπείκει τὸ σῶμα πρὸς τὸ νεῦμα· ὅπερ ἔτι ἐστὶ διὰ τῶν κινητικῶν δυνάμεων, ἃ εἰσὶ τοῖς ὀργάνοις πρόσοικοι καὶ κέχυνται ἀπὸ τῆς ψυχῆς ἐς τὸ σῶμα τὸ δι' αὐτῆς εἰδοπεποιημένον. Αἱ δὲ ἄλλαι ἀλλοιώσεις, οἷον τῆς θερμάνσεως ἢ τῆς διαψύξεως καὶ τῶν ἄλλων τῶν ὁμοίων, ἕπονται ἀπὸ τῆς ψυχῆς μεσιτευούσης τῆς κατὰ τόπον κινήσεως. Φαίνεταί τε ἐξ αὐτῆς τῆς φαντασίας ἐπιγίνεσθαι πάθος, δι' οὗ ἀμηγέπῃ ποικίλλεται ἡ τῆς καρδίας κίνησις καὶ τῶν πνευμάτων, ἐξ ὧν ἢ ὑφιεμένων ἢ προχεομένων εἰς τὰ μέλη ἕπεταί τις ἀλλοίωσις ἐν τῇ καρδίᾳ, ἣ καὶ δύναται εἶναι νοσημάτων αἰτία, καὶ μάλιστα εἰ εἴη ἐπιτήδειος ἡ ὕλη.**

**[6.3.27] Ὅθεν καὶ πρὸς τὸ ὄγδοον λύσις ἀπαντᾷ.**

**[6.3.28] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ τοῦ ἀγγέλου δύναμις λέγεται ἄπειρος, πρὸς τὸ ὑποβεβηκός, ἐφόσον μή ἐστι δύναμις ἐν ὕλῃ ἀνειλημμένῃ, καθὸ οὐδὲ ὁρίζεται ὑφειμένου τινὸς ὑποδοχῇ. Οὐκ ἔστιν μέντοι ἄπειρος ἐπὶ τὰ ἄνω, ὡς ἐν**

**309** ἐς] εἰς M **313** ποικίλλεται] ποικίλλεσθαι M (variatur Aq.) **323** περὶ τοῦ] περιτοῦ (de Aq.)

ἐκείνοις λέγεται. Καὶ γὰρ παρὰ τοῦ Θεοῦ εἴληπται, ἐν τῷ ἀγγέλῳ εἶναι ὡρισμένον· καὶ διατοῦτο ἡ αὐτοῦ οὐσία ὁρίζεται εἴς τι γένος, καὶ κατὰ τὸ εἰκὸς ἡ αὐτοῦ δύναμις ὁρίζεται πρός τινα τοῦ ποιεῖν τρόπον· ὃ περὶ τοῦ Θεοῦ λέγεσθαι, οὐχ οἷόν τε.

**[6.3.28]** Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ὁ ἄγγελος ποιεῖ πράγματα μεταβλητὰ μεθόδῳ τέχνης, ὡς ἐν τοῖς ἄνω εἴρηται, ὅμως οὐ ποιεῖ θαύματα.

**[6.3.29]** Πρὸς τὸ ἐνδέκατον ῥητέον ὅτι, εἰ καὶ αἱ κατὰ τόπον κινήσεις τῶν ὑποβεβηκότων σωμάτων εἰσὶν ἀπὸ ὡρισμένων κινούντων φυσικῶν, ὡσπεροῦν καὶ αἱ ἄλλαι κινήσεις, ὅμως ἡ σωματικὴ κτίσις φυσικῇ τάξει τῇ ἀσωμάτῳ εἴκει πρὸς τὰς κατὰ τόπον  κινήσεις, οὐ μὴν πρὸς τὰς ἄλλας τῷ προειρημένῳ λόγῳ, καὶ διαφερόντως εἴ γε ἡ αὐτῆς δύναμις μὴ εἴη πρός τι σῶμα, ὥσπέρ ἐστιν ἡ τῆς ψυχῆς δύναμις πρὸς τὸ ἡνωμένον αὐτῇ σῶμα.

**[6.3.30]** Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, ὥσπερ ἡ νοητὴ κτιστὴ οὐσία οὐ δύναται τῷ αὐτῆς ἐπιτάγματι εἶδος ἐντήκειν τῇ ὕλῃ, οὕτως οὐδὲ τῷ αὐτῆς ἐπιτάγματι κωλύειν δύναται μὴ ἐντήκεσθαι ἀπὸ τοῦ φυσικῶς ποιοῦντος. Καὶ εἴ ποτε τοῦτο ποιοίη, ποιεῖ δι' ἐπιθήκης τινὸς κωλύματος φυσικοῦ, εἰ καὶ τὴν ἀνθρωπίνην αἴσθησιν διαφεύγει, καὶ μάλιστα ὁπόταν δύνηται φλόγα πυρὸς ἀποτρέπειν, ὡς μηδ' ὁπωστιοῦν τῷ καυστῷ πλησιάζειν.

**[6.3.31]** Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ χωριστὴ ἀσώματος οὐσία δύναται μεταβάλλειν τὴν φαντασίαν φυσικῇ δυνάμει, οὐ δι' ἐπιτάγματος [formas] καθιεῖσα τὰς φαντασίας | (P 151v) ἐπὶ τοῦ ὀργάνου, ἀλλὰ κατά τινα τῶν πνευμάτων συγκλόνησιν καὶ τῶν φρενῶν [et humorum]. Φαίνεται γὰρ μεταβολῆς τινος ἐν τούτοις γινομένοις φάσματά τινα ἐμβάλλειν· ὡς ἐν τοῖς φρενολήπτοις καὶ τοῖς καθεύδουσι. Πρὸς δὲ ταύτην τῆς φαντασίας τὴν μεταβολὴν καὶ ἔνια φυσικὰ πράγματα λέγονται δραστηριότητα κεκτῆσθαι· οἷς οἱ μελανομάνται χρῆσθαι ἀγγέλλονται πρὸς τοὺς ὀνείρους.

**[6.3.32]** Ἐντεῦθεν δὲ καὶ πρὸς τὸ τεσσαρεσκαιδέκατον λύσις φαίνεται.

**[6.3.33]** Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι, καθάπερ ἡ τοῦ ἀγγέλου δύναμις ὑπερβαίνει τὴν τοῦ οὐρανίου σώματος, οὕτω καὶ ἡ ἐνέργεια, ὡς εἴρηται, οὐ μέντοι κατὰ τὸ ἀμέσως μόνῳ τῷ κελεύσματι τὸ εἶδος ἐνιέναι τῇ ὕλῃ.

**330** κατὰ τόπον] κατατόπον P, M **331** Post εἴη Aq. habet: determinata **350** κελεύσματι] κελεύματι M

**[6.3.34] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ ὡρισμένη δύναμις δύναται ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ τι ἀναφέρειν, οὐ μὴν οὑτισοῦν ὡρισμένη οὐδὲ ὁτῳδήποτε τρόπῳ· ἡτισοῦν γὰρ δύναμις ὡρισμένη ἔχει τρόπον ὡρισμένον τοῦ ποιεῖν.**

**[6.3.35] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον ὅτι, εἰ καὶ μηδὲν ἐμποδὼν γίνεταί τινι ποιοῦν τι, οὐ δύναται τοῦθ' ὅμως, πρὸς ὃ ἡ δύναμις αὐτοῦ μὴ ἐκτείνεται· ὥσπερ τὸ πῦρ οὐ δύναται ψύχειν, εἰ καὶ μηδὲν ἔξωθεν κωλύει. Ὅθεν οὐδὲν προσίσταται, εἰ καὶ οἱ ἄγγελοι μὴ δύνανται προστάγματι εἶδος ἐς τὴν ὕλην ἐνιέναι ἀπό τινος ἔξωθεν εἴργεσθαι, ἀλλ' ὅτι ἡ φυσικὴ δύναμις αὐτῶν οὐ περιγίνεται.**

**356-357** οὐ – προστάγματι] om. et al. man. add. in marg. sin. M (homoioteleuton)

**Κεφάλαιον πέμπτον**

**Πότερον καὶ οἱ δαίμονες ἐνεργοῦσι πρὸς τὸ θαύματα γίνεσθαι.**

**[6.5.1] Πέμπτον ζητεῖται, πότερον καὶ οἱ δαίμονες ἐνεργοῦσι πρὸς τὸ θαύματα γίνεσθαι. Καὶ δοκεῖ ὡδί. Φησὶ γὰρ ὁ Ματθαῖος ἐν τῷ εἰκοστῷ τετάρτῳ, ἀναστ**ήσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται, **καὶ** δ**ύ**νουσι σημεῖα καὶ τέρατα μεγάλα. **Ταῦτα δὲ οὐκ ἔσται εἰ μὴ δυνάμει δαιμόνων. Οἱ δαίμονες ἄρα ἐνεργοῦσι πρὸς τὸ θαύματα γίνεσθαι.**

**[6.5.2] Ἔτι, τὸ ἀθρόον ἰᾶσθαι τοὺς κάμνοντας θαῦμα ἐστίν· ὥσπερ λέγεται θαῦμα γενέσθαι τὸ τὸν Χριστὸν τὴν** πενθερὰν **τοῦ Πέτρου θεραπεῦσαι, ὡς ἐν τῷ τοῦ Λουκᾶ τετάρτῳ φέρεται. Τοῦτο δὲ καὶ οἱ δαίμονες ποιεῖν δύνανται· φάρμακά τε γάρ τινα προσαγόμενα τοῖς νοσοῦσι ἐπισπεύδουσι τὴν ὑγείαν. Οἵ τε δαίμονες κινεῖν δύνανται θεραπείας τῇ ἑαυτῶν φύσει δραστηρίους πρὸς ὑγίειαν, ὥσπερ ἄριστα ἐπίστανται συμβάλλεσθαι πρὸς ὑγείαν. Καὶ ταύτῃ, ὡς δοκεῖ, δύνανται ἀθρόον ἰᾶσθαι. Δύνανται ἄρα θαύματα ποιεῖν.**

**[6.5.3] Ἔτι, τὸ ποιεῖν τοὺς κωφοὺς φθέγγεσθαι θαῦμα ἐστί. Μεῖζον δὲ θαῦμα δοκεῖ τὸν κῦνα διαλέγεσθαι ἢ ᾄδειν· ὅπερ ἀναγινώσκεται Σίμων ὁ μάγος τερατευόμενος δυνάμει δαίμονος. Δύναται ἄρα θαύματα ποιεῖν.**

**[6.5.4] Ἔτι, Μάξιμος, ὁ Βαλλέριος ἱστορεῖ τὸ τῆς Τύχης ἄγαλμα τὸ ἐν τῇ Ῥώμῃ ἐν τῇ ὁδῷ τῇ Λατίνᾳ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς τοῦτον ἀναβοῆσαι τὸν τρόπον τούτοις τοῖς ῥήμασι·** νομίμως με, ματρῶναι ἑωράκατε νομίμως τὲ καθωσιώσατε. 
P 154r **Τὸ δὲ τοὺς λίθους διαλέγεσθαι | μεῖζόν ἐστι θαῦμα ἢ τὸ τοὺς κωφοὺς λαλεῖν· καίπερ ὂν θαῦμα. Ἐοίκασι τοίνυν οἱ δαίμονες θαύματα ποιεῖν.**

**[6.5.5] Ἔτι, ἀναγινώσκεται ἐν ταῖς ἱστορίαις,** ὅτι παρθένος τις ἱέρεια εἰς σύμβολον τοῦ τὴν παρθενίαν αὐτῆς πεφυλάχθαι ὕδωρ εἰς ἀγγεῖον διάτρητον ἐκ τοῦ Τυβέρεως διεκόμισε, καὶ ὅμως τὸ ὕδωρ οὐχ ὑπερρύῃ· ὅπερ γενέσθαι οὐκ ἂν ἠδύνατο, εἰ μὴ ὅτι κατείχετό τινι οὐ φυσικῇ δυνάμει. **Ὃ φαίνεται εἶναι θαῦμα ἐν τῇ διαιρέσει τῇ κατὰ τὸν Ἰορδάνην καὶ στάσει. Οἱ δαίμονες ἄρα δύνανται θαύματα ποιεῖν.**

**4-6** Φησὶ – μεγάλα] Mt. 24, 24: ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. **8-10** τὸ – φέρεται] Lc. 4, 28-30: Ἀναστὰς – ἐθεράπευσεν αὐτούς. **18-21** Μάξιμος – δυνάμει] Max. Val., Facta et dicta I, cap. 8: rite me, matronae, dedistis riteque dedicastis. **23-26** ἀναγινώσκεται – ὑπερρύῃ] Aug., De civ. X, cap. 16 (PL 41, col. 295): virgo Vestalis – theurgica.

**9** τὸν Χριστὸν] τοῦ Χριστοῦ P **12** θεραπείας] θεραπείαν M; medicinas Aq. **17** Δύναται] δύνανται M **18** ὁ] deest P; in marg. sup. M **21** καθοσιώσατε] καθαρσιώτατε M

**[6.5.6] Ἔτι, πολλῷ δυσκολώτερον ἐστὶν ἄνθρωπον μεταβάλλεσθαι εἴς τι ζῷον ἄλογον ἢ τὸ ὕδωρ μεταβάλλειν εἰς οἶνον. Ἀλλὰ** τὸ ὕδωρ **μεταβάλλειν εἰς** οἶνόν **ἐστι θαῦμα, ὡς φαίνεται ἐν τῷ δευτέρῳ τοῦ Κατὰ Ἰωάννην. Πολλῷ ἄρα μᾶλλον τὸ τὸν ἄνθρωπον μεταμορφοῦσθαι εἴς τι ζῷον ἄλογον. Ἀλλὰ** τῇ τοῦ δαίμονος δυνάμει οἱ ἄνθρωποι μεταμορφοῦνται εἰς ἄλογα, καθάπερ ὁ Μάρων ἱστορεῖ τοὺς ἑταίρους, Διομήδους ἐπανιόντας ἀπὸ τῆς Τροίας διαστραφῆναι εἰς παμπληθῆ τε χρόνον μετὰ ταῦτα περὶ τὸ ἡρῶον αὐτοῦ πέτασθαι. Ἱστορεῖ τὲ τὴν Κύκην τὴν ἐπὶ μαγκανίας διαβόητον τοὺς ἑταίρους Ὀδυσσέως εἰς θηρία μεταστῆσαι, καὶ ὅτι ἀρκάδες λίμνην τινὰ περαιούμενοι ἠμείφθησαν εἰς λύκους**. Οἱ δαίμονες ἄρα θαύματα δύνανται ποιεῖν.**

**[6.5.7] Παρὰ ταῦτα, αἱ δυσπραγίαι τοῦ Ἰὼβ δαίμονος διαπραττομένου ἐσπουδάσθησαν· ὃ δῆλον ἐκ τοῦ τὸν Θεὸν δοῦναί οἱ ἐξουσίαν ἐν πᾶσι τοῖς ὑπάρχουσιν Ἰώβ. Ἀλλ' αἱ τοιαῦται ἐπήρειαι οὐκ ἄνευ θαύματος συνέβαινον, ὡς φαίνεται ἐν τῷ καταφερομένῳ πυρὶ οὐρανόθεν καὶ ἐν τῷ τυφῶνι τῷ τὴν οἰκίαν ἐπ' ἀπωλείᾳ τῶν παίδων καταβαλόντι. Οἱ δαίμονες ἄρα δύνανται θαύματα ποιεῖν.**

**[6.5.8] Ἔτι, τὸ τὴν ῥάβδον εἰς ὄφιν μεταβαλεῖν τὸν Μωυσῆν, θαῦμα γέγονεν. Ἀλλ' ὁμοίως τοῦτο πεποιήκασι καὶ οἱ μάγοι τοῦ Φαραὼ τῇ τῶν δαιμόνων δυνάμει, ὡς περιέχεται ἐν τῷ τῆς Ἐξόδου ἑβδόμῳ. Ἄρα δοκεῖ ὅτι οἱ δαίμονες θαύματα ποιεῖν δύνανται.**

**[6.5.9] Ἔτι, ἡ τῶν θαυμάτων ποίησις μᾶλλον ἀφέστηκε τῆς ἀνθρωπίνης δυνάμεως ἢ τῆς ἀγγελικῆς. Ἀλλὰ διὰ πονηρῶν ἀνθρώπων ἔστιν οὗ γίνεται θαύματα. Ὅθεν ἐκ προσώπου τῶν πονηρῶν ἀνθρώπων λέγεται ἐν τῷ τοῦ Ματθαίου ἑβδόμῳ,** Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ πολλὰς δυνάμεις πεποιήκαμεν. **Ἄρα καὶ διὰ τῶν δαιμόνων ἀληθῆ θαύματα γίνεσθαι δύνανται.**

**30-31** Ἀλλὰ – Ἰωάννην] Io. 2, 9: ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος. **32-38** τῇ – λύκοις] Aug., De civ. XVIII, cap. 16-18 **40-42** αἱ – Ἰώβ] cf. Iob 2, 6: εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· ἰδοὺ παραδίδωμί σοι αὐτόν, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον. **47-48** τοῦτο – ἑβδόμῳ] cf. Ex. 7.8-13: Καὶ εἶπε – Κύριος. **52-54** ἐν – πεποιήκαμεν] Mt. 7, 22: πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;

**30-32** Ἀλλὰ – ἄλογον] deest M **34** Μάρων] intellige Βάρων (Varro Aq.); Μάρος M **35** aves – quae] lacuna ca 7 P; deest M **34-37** ἐπανιόντας – μεταστῆσαι] deest M **36** Κύκην] intellige Κίρκην **40** ποιεῖν] deest M **47-48** Ἀλλ' – ἑβδόμῳ] deest M **48-49** δοκεῖ – δύνανται] deest M

**[6.5.10] Ἀλλὰ τοὐναντίον, ὑπὸ τοῖς καιροῖς ἀντιχρίστου ὁ διάβολος μεγίστην ἰσχὺν ἕξει πρὸς τὸ θαυματοποιεῖν. Ὡς γὰρ λέγεται ἐν τῷ τῆς Ἀποκαλύψεως εἰκοστῷ,** δεῖ αὐτὸν λυθῆναι χρόνον **ὀλίγον, ὃ νοεῖται περὶ τοῦ καιροῦ τοῦ Ἀντιχρίστου. Καὶ ὅμως οὐ ποιήσει θαύματα ἀληθῆ· ὃ δῆλον διὰ τοῦ εἰρημένου** P 154$^{v}$ **ἐν τῷ δευτέρῳ τῆς Πρὸς Θεσσαλονικεῖς | δευτέρας, ὅτι** ἡ παρουσία τοῦ ἀντιχρίστου, ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψευδ**έσιν. Οἱ δαίμονες ἄρα θαύματα ἀληθῆ ποιεῖν οὐ δύνανται.**

**[6.5.11] Ἀπόκρισις. Ῥητέον ὅτι, ὥσπερ οἱ ἀγαθοὶ ἄγγελοι διὰ τῆς χάριτός τι ποιεῖν δύνανται ὑπὲρ τὴν φυσικὴν δύναμιν, οὕτως οἱ πονηροὶ ἄγγελοι ἧττον δύνανται ὑπὸ τῆς θείας προνοίας συμπιεζόμενοι ποιεῖν, εἴπερ ἡ φυσικὴ δύναμις ἐπιτρέπει. Ὡς γὰρ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ,** εἰσί τινα, ἃ οἱ πονηροὶ ἄγγελοι δύνανται μὲν ποιεῖν, εἰ ἐπιτρέποιντο, διατοῦτο δὲ ποιεῖν οὐ δύνανται, ὅτιπερ οὐκ ἐπιτρέπονται**, διὸ καὶ δεῖσθαι μὲν λέγονται, διὰ τὸ εἴργεσθαι τῶν δυνατῶν τῇ αὐτῶν φύσει, λύεσθαι δέ, ἡνίκα τῇ θείᾳ ψήφῳ, ὡς τρέπονταί τι ποιεῖν τῶν τῇ φύσει δυνατῶν. Ἔνια δὲ οὐ δύνανται ποιεῖν, κἂν ἀφίωνται, ὡς ἐκεῖ καὶ τοῦτο λέγεται· ὁ γὰρ θεόθεν αὐτοῖς τοῖς φύσεως τρόπος παρεσχημένος τοῦτο οὐκ ἐπιτρέπει. Πρὸς οὖν τὰ τοιαῦτα, ἃ τῆς φύσεως αὐτῶν ὑπερβαίνει τὸ πρόχειρον, οὐδεμία τούτοις παρὰ Θεοῦ δίδοται δύναμις· ἐπεὶ γὰρ ἡ θαυματώδης ἐνέργειά ἐστί τι θεῖον καὶ γνώρισμα ἐπίσημον τῆς θείας δυνάμεως καὶ ἀληθείας, εἰ τοῖς δαίμοσιν, ὧν ὅλη ἡ θέλησις εἰς τὸ κακὸν τείνει, δύναμίς τις παρασχεθείη τοῦ ποιεῖν θαύματα, ἔσται ὁ Θεὸς τοῦ ψεύδους αὐτῶν μάρτυς· ὃ τῇ θείᾳ ἀγαθότητι οὐ προσήκει. Ὅθεν ταῦτα μόνον ἐνίοτε τὰ ἔργα ποιοῦσιν, ἃ θαύματα τοῖς ἀνθρώποις δοκεῖ, ἡνίκα ὁ Θεὸς συγχωροίη, ὧν πρὸς τὴν ποίησιν ἡ φυσικὴ δύναμις ἐξικνεῖται. Καθάπερ τε ἐν τοῖς φθάσασι φαίνεται, ταῦτα μόνα δύνανται τὰ ἀποτελέσματα προάγειν κατὰ τεχνικὴν μέθοδον, πρὸς ἃ εὑρίσκονται φυσικαί τινες δυνάμεις ἐν τοῖς σώμασιν, ἅπερ αὐτοῖς ἐν τῇ κατὰ τόπον κινήσει εἴκουσιν, ὡς ταύτῃ δύνασθαι εἴς τι ἀποτέλεσμα θᾶττον ταῦτα προσάγειν.**

**56-58** ὑπὸ – εἰκοστῷ] Apoc. 20, 3: καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον. **59-61** τοῦ – ψευδέσιν] II Thess. 2, 9: οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους. **66-68** ὡς – ἐπιτρέπονται] Aug., De Trin. III, cap. 9, n. 18 (PL 42, col. 878): ex cuius ineffabili potentatu fit etiam ut quod possent hi angeli si permitterentur ideo non possint quia non permittuntur.

**57** θαυματοποιεῖν] ποιεῖν θαύματα M (operandum Aq.) **58** εἰκοστῷ] deest M **60** Θεσσαλονικεῖς] Θεσσαλονεικεῖς $^{a. corr.}$ P **73** παρὰ Θεοῦ] παραθεοῦ M **78** ἐνίοτε – ἔργα] τὰ ἔργα ἐνίοτε M (interdum opera Aq.) **81** προάγειν] παράγειν M (producere Aq.) **85** ἀκολουθείᾳ] ἀκολουθίαν P **86** βλέπομεν] deest M (videmus Aq.)

Ταῖς τοιαύταις δὲ δυνάμεσι καὶ φυσικαὶ μεταβολαὶ τῶν σωμάτων δύνανται γίνεσθαι, ὥσπερ κἀν τῇ φυσικῇ τῶν ὄντων ἀκολουθίᾳ τὶ γὰρ ἔκ τινος γίνεσθαι δύνασθαι βλέπομεν. Οὐχ ἥκιστά τέ τινος μεταβολῇ σώματος ἔργα τινὰ ἃ μὴ κατὰ πᾶν εἰσὶ φύσεις, ἐν τῇ φαντασίᾳ φαίνεσθαι δύνανται, συγκλονήσει τοῦ τῆς φαντασίας ὀργάνου κατὰ τὴν τῶν πνευμάτων διαφορὰν καὶ τῶν ἀναθυμιάσεων· πρὸς ὃ καὶ ἔνια σώματα ἐξωτερικὰ δραστηριότητα ἴσχει, ὥστε τούτων προσενεχθέντων δοκεῖν εἶναί τι ἄλλου εἴδους ἢ ἐστίν, ὥσπερ φαίνεται ἐν τοῖς φρενολήπτοις καὶ τοῖς κατεχομένοις. Δύνανται τοίνυν οἱ δαίμονες θαυματωδῶς ἐνεργεῖν διχῇ· ἑνὶ μὲν τρόπῳ ἀληθεῖ τῶν σωμάτων μεταβολῇ, ἑτέρῳ δὲ φαινάκη τινὶ τῶν αἰσθήσεων ἔκ τινος ἀλλοιώσεως περὶ τὴν P 155r φαντασίαν. | Οὐδ’ ἑτέρα μέντοι ἐνέργειά ἐστιν οἱονεὶ θαῦμα, ἀλλὰ μεθόδῳ τεχνικῇ, ὡς ὑπείπομεν. Καὶ διατοῦτο ῥητέον καθάπαξ διὰ τῶν διαμόνων ἀληθῆ θαύματα μὴ δύνασθαι γίνεσθαι.

[6.5.12] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι σημεῖα καὶ τέρατα λέγονταί τινα, ἃ δυνάμει φυσικῇ γίνεσθαι δύνανται, ἀνθρώποις μέντοιγε θαυμαστά, ἢ καὶ κατ’ ἐξαπάτησιν τῶν αἰσθήσεων, ὡς εἴρηται.

[6.5.13] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐδὲν κωλύει δαιμόνων τεχνάσμασι θᾶττόν τινα δύνασθαι θεραπεύεσθαι ἢ κατὰ φύσιν εἰς αὐτῇ ἐπιτρέποιτο, ὅτι τοῦτο καὶ ἀνθρώπων τέχναις γιγνόμενον ὁρῶμεν· οὐ μέντοι δοκεῖ δύνασθαι ἐξ ἀπήνης ἰᾶσθαι, εἰ καί τινα ἄλλα ἀποτελέσματα δύναται ποιεῖν ὡσανεὶ ἐξαπίνης, τὰ γὰρ προσαγόμενα φάρμακα τοῖς ἀνθρώποις, δρῶσι πρὸς ὑγίειαν, οἷον ὄργανα. Ἡ δὲ φύσις ἐστὶν ὥσπερ πρῶτον ποιοῦν. Ὅθεν δεῖ τοιαῦτα προσάγεσθαι, ἃ δύνανται παρὰ τῆς φύσεως κινεῖσθαι· καὶ εἰ πλεῖα προσάγοιντο, οὐκ ἂν λυσιτελήσειε πρὸς ὑγείαν, ἀλλὰ μᾶλλον ἐμποδίσαιεν. Ὅθεν ἐκεῖναι αἱ νόσοι, ὧν πρὸς τὴν ὑγείαν ἡ τῆς φύσεως δύναμις οὐδενὶ τρόπῳ δύναται, ἐνεργείᾳ δαιμόνων θεραπεύεσθαι οὐ δύνανται. Ἰδίᾳ δέ ἐστι περὶ ἐκείνων τῶν ἀποτελεσμάτων, ἃ ἤρτηται ἔξωθέν τινων ποιούντων ὥσπερ ἀπὸ αἰτίας πρώτης. Πλὴν ἰστέον ὅτι, εἰ καὶ ἐξαπίνης ὑγίειαν ἐμποιοῖεν οἱ δαίμονες, οὐκ ἂν εἴη θαῦμα ἐν τῷ ποιεῖν μεσιτευούσης φυσικῆς δυνάμεως, εἰς τοῦτο ποιοῖεν.

**91** Δύνανται] οὐ δύνανται P (Possunt Aq.) **98** γίνεσθαι δύνανται] δύνανται γίνεσθαι M fieri possunt Aq.) **101** ἐπιτρέποιτο] ἐπιτρέποι M (relinquatur Aq.) **107** ἀλλὰ] καὶ add. post ἀλλὰ M; deest Aq. **108** ὧν] ὡς M (quarum Aq.) **112** εἰς] intellige εἰ (si Aq.)

[6.5.14] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ φθέγμα τῶν κυνῶν καὶ τὰ ἄλλα τὰ τοιάδε ἃ Σίμων ὁ μάγος ἐποίει, δύνανται γίνεσθαι χλεύῃ δαιμόνων καὶ οὐκ ἔργῳ ἀληθείας. Εἰ μέντοι καὶ κατὰ ἀλήθειαν τοῦτο γίγνοιτο, οὐδὲν ἄτοπον ἕπεται. Οὐ γὰρ δύναμιν ὁ δαίμων παρείχετο τῷ κυνὶ τοῦ διαλέγεσθαι, ὥσπερ δίδοται τοῖς κωφοῖς διὰ θαύματος, ἀλλ' αὐτὸς ὁ δαίμων διά τινος κατὰ τόπον κινήσεως φθόγγον εὐμόρφου, ἐγγραμμάτου καὶ ἐνάρθρου φωνῆς ὁμοιότητα καὶ τρόπον ἔχοντος. Ταύτῃ τοι καὶ ἡ τοῦ Βαλαὰμ ὄνος δοκεῖ διειλέχθαι, πλὴν ἀγγέλου ἀγαθοῦ ἐργαζομένου.

[6.5.15] Τὸ δ' ὅμοιον λέγομεν καὶ περὶ τοῦ τετάρτου περὶ τῆς τοῦ ἀγάλματος φωνῆς. Τούτῳ γὰρ γέγονε δαίμονι τῇ τοῦ ἀέρος κινήσει φθόγγους ἁρμόττοντι ὁμοίους ἀνθρωπίνῃ προσλαλιᾷ.

[6.5.16] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οὐκ ἔστιν ἀπαράδεκτον εἰς σύστασιν σωφροσύνης τὸν ἀληθῆ Θεὸν διὰ τῶν αὐτοῦ ἀγαθῶν ἀγγέλων τὴν τοιαύτην τοῦ ὕδατος κάθεξιν διὰ θαύματος ἐργάσασθαι, ὅτι εἴ τινα κἀν τοῖς εἰδωλολάτραις σημεῖα γέγονε, παρὰ Θεοῦ γέγονεν. Εἰ δὲ καὶ διὰ δαιμόνων γέγονεν, οὐδ' οὕτω διαμάχεται τοῖς προειρημένοις. Τὸ γὰρ ἠρεμεῖν καὶ κινεῖσθαι κατὰ τόπον ἀπὸ τῆς αὐτῆς ἀρχῆς κατὰ τὸ γένος ἐστί· τῇ γὰρ φύσει, ᾗ κινεῖται εἰς τόπον καὶ ἠρεμεῖ ἐν τόπῳ. Ὅθεν καθάπερ οἱ δαίμονες κινεῖν δύνανται σώματα κατὰ τόπον, οὕτω δύνανται καὶ κατέχειν ἀπὸ τῆς κινήσεως.
P 155v | Οὐ μέντοι θαῦμα ἐστίν, ὥσπερ ὅταν γίνηται θεόθεν τοῦτο γὰρ κατὰ φυσικὴν δύναμιν τοῦ δαίμονος συμβαίνει πρὸς τὸ τοιοῦτον ἀποτέλεσμα ὡρισμένως.

[6.5.17] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐκεῖναι αἱ μεταμορφώσεις, περὶ ὧν ὁ Μάρων ἱστορεῖ, οὐ γεγόνασι κατὰ ἀλήθειαν, ἀλλὰ κατὰ φαντασίαν, ἐνεργείᾳ δαιμονίᾳ, τοῦ ἀνθρώπειου φανταστικοῦ μεταβαλόντος, εἴς τι σωματικὸν εἶδος, ὥσπερ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ ὀκτωκαιδεκάτῳ Περὶ τῆς πόλεως τοῦ Θεοῦ.

[6.5.18] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι διά τινος κινήσεως ἀέρος οἱ δαίμονες, τοῦ Θεοῦ ἐπιτρέποντος, δύνανταί τινας ἐπηρείας ἐπεγείρειν, ἡνίκα καὶ πνευμάτων κινήσει τοῦτο φυσικῶς γινόμενον θεωροῦμεν· καὶ κατὰ τούτων τῶν τρόπων γέγονε τῷ Ἰὼβ τὰ δυσπραγήματα.

**136-140** ὁ – Θεοῦ]Aug., De civ. XVIII, cap.18 (PL 41, col. 874): Quid credendum sit de transformationibus, quae arte daemonum hominibus videntur accidere.

**117** τοῦ διαλέγεσθαι] διὰ τοῦ λέγεσθαι (loquendi Aq.) **120** διειλέχθαι] διαλέχθαι P **133** γίνηται] γίνεται M (fit Aq.) **136** Μάρων] ὁ Ὅμηρος M; Varro Aq. **142-143** τούτων – τρόπων] intellige τοῦτον τὸν τρόπον

[6.5.19] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι περὶ τῆς ἐνεργείας τῶν μάγων τοῦ Φαραὼ δισσῆς δόξης ἡ ἐξήγησις ἅπτεται· μία μὲν οὖν ἐστίν, ὅτι οὐ γέγονεν ἀληθὴς μεταβολὴ τῶν ῥάβδων εἰς τοὺς ὄφεις, ἀλλὰ τοῦτο γέγονε κατὰ δόξαν μόνον κατά τινα χλεύην. Ὁ δ’ Αὐγουστῖνος ἐν τῇ εἰς τὸ Ἐξηγήσει φησὶ τὴν μεταβολὴν τῶν ῥάβδων εἰς τοὺς ὄφεις γενέσθαι ἀληθῆ, ὅπερ ἐντεῦθεν ἀποδείκνυσιν. Ἡ γὰρ Γραφὴ τῶν αὐτῷ προσρήματι ὀνομάζει, εἰ τὰς ῥάβδους τῶν μάγων κατὰ τὰς ῥάβδους τοῦ Μωυσέως, ἣν δηλαδὴ συμβαίνει ἀληθῶς εἰς ὄφιν μεταβαλεῖν. Ὅτι δὲ ἐνεργείᾳ δαιμόνων αἱ ῥάβδοι εἰς ὄφεις μεταβέβληνται, οὐκ ἦν θαῦμα· τοῦτο γὰρ οἱ δαίμονες πεποιήκεσαν διά τινων σπερμάτων καταβεβλημένων, ἐχόντων ἰσχὺν πρὸς τὸ σήπειν τὰς ῥάβδους καὶ μεταβάλλειν εἰς ὄφεις. Τὸ δὲ παρὰ τοῦ Μωσέως γεγενημένον θαῦμα ὑπῆρχε· θείᾳ γὰρ δυνάμει ἄνευ ἐνεργείας φυσικῆς δυνάμεως τοῦτο γέγονε.

[6.5.20] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἀνθρώπων μοχθηρῶν τοὺς τρόπους τὸ τῆς ἀληθείας ὑποστάντων κήρυγμα· ὁ Θεὸς εἰς μαρτύριον τῆς ἀληθείας τῆς δι’ αὐτῶν καταγγελλομένης, δι’ αὐτῶν θαύματα ποιεῖ· τοῦτο δὲ περὶ τῶν δαιμόνων λέγεσθαι οὐχ οἷόν τε.

[6.5.21] Πρὸς τὸ ἔνατον αὖθις ῥητέον τὸ ἐκ τοῦ ἐναντίου ἀντιπίπτον, ὅτι ἡ τοῦ διαβόλου δύναμις ἐν τοῖς χρόνοις Ἀντιχρίστου λυθήσεσθαι λέγεται, διὰ τὸ πολλὰ αὐτῷ ἐφίεσθαι, ἃ νῦν μὴ ἐφεῖται· ὅθεν καὶ πολλὰ ἐργάσεται πρὸς ἐξαπάτην τῶν ἀξίων διὰ τὸ μὴ πείθεσθαι τῇ ἀληθείᾳ. Ἐργάσεται δὲ πολλά, ἐν οἷς οὐκ ἔσται ἀληθὲς ἔργον, οὐδ’ ἀληθὲς θαῦμα· ἔνια δὲ ἀληθεῖ σωμάτων μεταβολῇ, ἐν οἷς, εἰ καί εἰσιν ἀληθεῖς ἐνέργειαι, οὐκ ἔσονται ὅμως θαύματα ἀληθῆ· ἔσονται γὰρ διὰ φυσικῶν αἰτιῶν γεγενημένα. Ἃ καὶ ψεύδη λέγονται, ὅσον πρὸς τὸν τοῦ ποιοῦντος σκοπόν, ὃς διὰ τῶν τοιούτων θαυμασίων ἔργων ἐπάγεται τοὺς ἀνθρώπους πρὸς τὸ πιστεύειν τῷ ψεύδει. |

**146** ἀλλὰ – γέγονε] deest M **164** ἀξίων] ἀναξίων M (qui meruerunt Aq.)

P 156r

**Κεφάλαιον ἕκτον**

**Πότερον οἱ ἄγγελοι ἔχουσι σώματα φυσικῶς αὐτοῖς ἡνωμένα ἢ οὔ.**

**[6.6.1] Ἕκτον ζητεῖται, πότερον οἱ ἄγγελοι ἔχουσι σώματα φυσικῶς αὐτοῖς ἡνωμένα. Καὶ δοκεῖ οὕτως. Ἐν παντὶ γὰρ ζῴῳ ἔστι σῶμα, πνεύματι ἡνωμένον φυσικῶς. Ἀλλ' οἱ ἄγγελοι καὶ οἱ δαίμονες εἰσὶ ζῷα· φησὶ γὰρ ὁ Γρηγόριος ἐν τῇ Εἰς τὰ ἐπιφάνεια ὁμιλίᾳ,** ὅτι τοῖς Ἰουδαίοις, ὡς λόγῳ χρωμένοις, ζῷον λογικόν, εἴτουν ἄγγελος ὤφειλε κηρῦξαι. **Περὶ δὲ τῶν δαιμόνων ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τρίτῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως·** οἱ δαίμονες ἀέρια εἰσὶ ζῷα, ὅτι τὰ σώματα τῶν ἀέρων ἡ φύσις αὐτοῖς ἐμποιεῖ. **Ἄρα οἱ ἄγγελοι καὶ οἱ δαίμονες, ἔχουσι σώματα φυσικῶς σφίσιν ἡνωμένα.**

**[6.6.2] Ἔτι, ὁ Ὠριγένης φησὶν ἐν τῷ Περὶ ἀρχῶν, ὅτι οὐδεμία οὐσία νοητὴ ἄνευ σώματος εἶναι δύναται, εἰ μὴ μόνος ὁ Θεός. Ἐπεὶ τοίνυν οἱ ἄγγελοι καὶ οἱ δαίμονές εἰσιν οὐσία κτιστή, δοκεῖ ἔχειν σώματα φυσικῶς αὐτοῖς ἡνωμένα.**

**[6.6.3] Ἔτι, ἡ φαντασία καὶ τὸ θυμικόν, καὶ <τὸ> ἐπιθυμητικόν εἰσι δυνάμεις, ὀργάνοις χρώμεναι. Ταῦτα δέ εἰσι κἀν τοῖς δαίμοσι. Τῷ δ' αὐτῷ λόγῳ κἀν τοῖς ἀγγέλοις· φησὶ γὰρ ὁ Διονύσιος, ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, ὅτι οἱ δαίμονες εἰσὶ** θυμὸς ἄλογος, ἐπιθυμία, φαντασία προπετής. **Ἄρα ἔχουσι σώματα ἑαυτοῖς ἡνωμένα.**

**[6.6.4] Ἔτι, οἱ ἄγγελοι, ἢ εἰσὶ σύνθετοι ἐξ ὕλης καὶ εἴδους ἢ οὔ. Εἰ σύνθετοι εἰσὶν ἐξ ὕλης καὶ εἴδους, ἀνάγκη αὐτοὺς εἶναι σώματα· ἐπεὶ γὰρ ἡ ὕλη θεωρουμένη καθ' αὑτὴν ἔστι μία, οὐ γὰρ ποικίλλεται εἰ μὴ τοῖς εἴδεσιν, ἀνάγκη πάντων τῶν διάφορων φύσιν ἐχόντων νοεῖσθαι διάφορα τὰ εἴδη, εἰλημμένα ἐν διαφόροις μέρεσι τῆς ὕλης· καὶ γὰρ ἡ ὕλη κατὰ ταύτην διάφορα εἴδη δέξασθαι ἀδυνάτως ἔχει. Ἡ διαφορὰ δὲ τῶν μερῶν νοεῖσθαι οὐ δύναται ἐν τῇ ὕλῃ ἄνευ τῆς κατ' αὐτὴν διαιρέσεως, οὐδ' αὖ ἡ διαίρεσις ἄνευ διαστημάτων· ἡ γὰρ ἄποσος οὐσία ἀδιαίρετός ἐστιν, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς βιβλίῳ. Δεῖ ἄρα πάντα τὰ ἔχοντα ὕλην ἔχειν διάστημα καὶ κατὰ**

**6-8** φησὶ – κηρῦξαι] Greg. Nyss., Homil. in ev. I, homilia 10: Quia videlicet Iudaeis, tanquam ratione utentibus, rationale animal, id est angelus, praedicare debuit; **9-10** ὁ – ἐμποιεῖ] Aug., De gen. ad litt. III, cap. 10, n. 14 (PL 34, col. 285): Quapropter, etsi daemones aeria sunt animalia, quoniam corporum aeriorum natura vigent. **12-13** ὁ – Θεός] Or., De princ. I, cap. 6. **17-19** φησὶ – προπετής] Ps.-Dion., De div. nom., cap. 4 (PG 3, col. 725B Ritter, p. 169): Ἄλλως τε τί τὸ ἐν δαίμοσι κακόν; Θυμὸς ἄλογος, ἄνους ἐπιθυμία, φαντασία προπετής. **25-28** Ἡ – βιβλίῳ] Ar., Phys. III, 185a33-185b11: τὸ γὰρ ἄπειρον – συνεχές.

**1 et 4** Hic post ἄγγελοι Aq. habet: et daemones **6** ἡνωμένον] ἡνωμένῳ M (unitum Aq.) **10** λογικόν] lacuna ca 10 M **18** amoris] lacuna ca 7 P **21** ἐξ – εἴδους] deest M **23** διάφορων] διὰ φόνον P (diversorum Aq.)

τὸ εἰκὸς εἶναι σῶμα. Εἰ δὲ οὐκ εἰσὶ σύνθετοι ἐξ ὕλης καὶ εἴδους, ἢ εἰσὶν εἴδη καθ’ αὐτὰ ὑφεστῶτες, ἢ εἰσὶν εἴδη σώμασιν ἡνωμένα. Εἰ μὲν οὖν εἰσὶν εἴδη καθ’ αὐτὰ ὑφεστῶτα, δεῖ μὴ ἔχειν τὸ εἶναι ἀπ’ ἄλλου αἰτιατόν· ἐπεὶ γὰρ τὸ εἶδος ἐστὶν ἀρχὴ τοῦ εἶναι, ἐφόσον τοιοῦτον, τὸ εἶδος μόνον ὂν οὐκ ἔχει τὸ εἶναι αἰτιατόν, ἀλλὰ μόνον ἐστὶν αἰτία τοῖς ἄλλοις τοῦ εἶναι. Εἰ δ’ εἰσὶν εἴδη σώμασιν ἡνωμένα, ἀνάγκη ἔχειν σώματα φυσικῶς σφίσιν αὐτοῖς ἡνωμένα· | P 156v ἡ γὰρ τῆς ὕλης καὶ τοῦ εἶδους ἕνωσίς ἐστι φυσική. Λείπεται τοίνυν ἀναγκαῖον εἶναι ἓν τούτων τῶν τριῶν τιθέναι, εἴτουν τὸ τοὺς ἀγγέλους εἶναι σώματα, ἢ τὸ εἶναι ἀκτίστους οὐσίας, ἢ τὸ ἔχειν σώματα φυσικῶς ἑαυτοῖς ἡνωμένα. Ἀλλὰ τὰ πρῶτα δύο ἀδύνατα τυγχάνει ὄντα. Τὸ τρίτον ἄρα θετέον.

[6.6.5] Χωρὶς δὲ τούτων, τὸ εἶδος, ἐφόσον τοιοῦτόν ἐστιν, καθό τι εἰδοποιεῖται. Τοῦτο τοίνυν ὅπερ εἶδος μόνον ἐστίν, ἔστι μόνον εἰδοποιοῦν, οὐδενὶ τρόπῳ εἰδοποιούμενον· ὅπέρ ἐστι μόνου τοῦ Θεοῦ, ὅς ἐστι πρῶτον εἶδος, ἀφ’ οὗ τἆλλα πάντα εἰσὶν ἐνείδεα, ὥς φησιν Αὐγουστῖνος ἐν τῷ ὀγδόῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ. Οἱ ἄγγελοι ἄρα οὐκ εἰσὶν εἴδη μόνον· καὶ ταύτῃ εἰσὶν εἴδη σώμασιν ἡνωμένα.

[6.6.6] Ἔτι, ὥσπερ ἡ ψυχὴ οὐ δύναται ἐνεργεῖν τι ἀποτέλεσμα εἰς τὰ ἔξω σώματα εἰ μὴ σωματικῶν ὑπουργούντων ὀργάνων, οὕτως οὐδ’ ὁ ἄγγελος, εἰ μή τισι σωματικαῖς δυνάμεσιν, αἷς χρῆται ὡσανεὶ ὀργάνοις. Ἀλλ’ ἡ ψυχὴ πρὸς τὸ ἐκπληροῦν τὰς ἰδίας ἐνεργείας ἔχει σωματικὰ ὄργανα φυσικῶς αὐτῇ ἡνωμένα. Ἄρα καὶ οἱ ἄγγελοι.

[6.6.7] Ἔτι, πρώτη κίνησις ἐν τοῖς σώμασιν ἐστίν, ᾗ κινεῖται τὸ σῶμα ἀπὸ τῆς ἀσωμάτου οὐσίας. Πρώτη δὲ κίνησίς ἐστιν ἡ τοῦ κινοῦντος ἑαυτό, ὡς περιέχεται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς, ὅτι τὸ δι’ ἑαυτὸ ὂν ἐστι πρότερον τοῦ δι’ ἄλλο. Τὸ ἄρ’ ἀμέσως κινούμενον ὑπὸ τῆς ἀσωμάτου οὐσίας, κινεῖται κινοῦν, ὥσπερ τὰ φυσικῶς ἡνωμένα σώματα. Ἐπεὶ τοίνυν οἱ ἄγγελοι καὶ οἱ δαίμονες κινοῦσιν ἀμέσως σώματα, ὡς ἐν τοῖς φθάσασιν εἴρηται, δοκεῖ ἔχειν σώματα φυσικῶς αὐτοῖς ἡνωμένα.

**41-43** ὅς – Θεοῦ] Aug., De civ. VIII, cap. 6 (PL 41, col. 231): Cum igitur in eorum conspectu et corpus et animus magis minusque speciosa essent, si autem omni specie carere possent, omnino nulla essent: viderunt esse aliquid ubi prima esset incommutabilis et ideo nec comparabilis. **51-53** Πρώτη – ἄλλο] Ar., Phys. VIII.

**31** αἰτιατόν] αἰτιατοῦ (causatum Aq.) **36** ἢ] deest P; in marg. sup. M; vel Aq. **40** μόνον] ἓν; tantum Aq.

[6.6.8] Ἔτι, βέλτιον ἔχει τὸ ζῆν τὸ ζῶν καὶ τὸ ζωὴν παρέχον, ἢ ὃ μόνον ζῇ· ὡς τὸ φῶς τελειώτερον ἐνυπάρχει τῷ λάμποντι καὶ φωτίζοντι, ἢ τῷ λάμποντι μόνον. Ἀλλ’ ἡ ἀνθρώπινη ψυχή, καὶ ζωὴν παρέχεται σώματι, φυσικῶς αὐτῇ ἡνωμένῳ. Καὶ ὁ ἄγγελος ἄρα, ὃς οὐχ ἧττον ἄμεινον ζῇ τῆς ψυχῆς.

[6.6.9] Πρὸς δὲ τούτοις, πᾶσα κίνησις σώματος διαφόρως κινουμένου ἐστὶ κίνησις κινοῦντος ἑαυτό· τὸ γὰρ κινούμενον μιᾷ κινήσει μόνον οὐ δοκεῖ εἶναι κινοῦν ἑαυτό, ὡς λέγεται ἐν τῷ τῆς Φυσικῆς ὀγδόῳ. Ἀλλὰ τὸ τοῦ οὐρανοῦ σῶμα κινεῖται διαφόροις κινήσεσιν. Ὅθεν οἱ πλανῆται παρὰ τῶν ἀστρονόμων ἐνίοτε μὲν λέγονται προποδίζειν, ἐνίοτε δὲ ὑποδίζειν, ἐνίοτε δ’ αὖ στηρίζειν. Ἡ κίνησις ἄρα τῶν ὑπερκειμένων σωμάτων ἐστὶ κινητῶν κινούντων ἑαυτά. Καὶ ταύτῃ τὰ σώματα ἐκεῖνα εἰσὶ σύνθετα ἐξ οὐσίας σωματικῆς καὶ πνευματικῆς. Ἀλλ’ ἐκείνη ἡ πνευματικὴ οὐσία οὐκ ἔστιν ἀνθρώπινη ψυχή. Ἀλλ’ οὐδὲ Θεός. Ἔστιν ἄρα ἄγγελος. Ὁ ἄρα ἄγγελος ἔχει σῶμα αὐτῷ ἡνωμένον. |

P 157r [6.6.10] Ἔτι, οὐδὲν ποιεῖ ὑπὲρ τὸ ἑαυτοῦ εἶδος. Ἀλλὰ τὰ οὐράνια σώματα ποιοῦσι ζωὴν ἐν τούτοις τοῖς ὑποβεβηκόσιν, ὡς φαίνεται ἐν τοῖς ζῴοις τοῖς ἐκ σηπεδόνος γινομένοις τῇ δυνάμει τῶν οὐρανίων σωμάτων. Ἐπεὶ τοίνυν ἡ ζῶσα οὐσία ἐστὶ κρείττων τῆς μὴ ζώσης, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῇ Περὶ τῆς ἀληθοῦς θρησκείας παραγματείᾳ, δοκεῖ τὰ οὐράνια σώματα, ἔχειν ζωήν· καὶ οὕτως ἔχειν οὐσίας νοητὰς σφίσιν αὐτοῖς φυσικῶς ἡνωμένας. Καὶ ταύτῃ τὸ πρότερον.

[6.6.11] Ἔτι, πρῶτον κινητὸν ἔστι τὸ οὐράνιον σῶμα. Ἀλλ’ ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ τῆς Φυσικῆς ὀγδόῳ, ὅτι πάντα τὰ κινούμενα, ἀναφέρεται πρὸς πρῶτον κινητόν, ὅπερ ἀφ’ ἑαυτοῦ κινεῖται. Ὁ οὐρανὸς ἄρα ἐστὶν ἀφ’ ἑαυτοῦ κινούμενος. Ἄρα ἐστὶ σύνθετον ἐκ σώματος κινουμένου, καὶ κινοῦντος ἀκινήτου· ὅπέρ ἐστιν οὐσία νοητή. Ὡδὶ δὲ τὸ πρότερον.

[6.6.12] Ἔτι, κατὰ τὸν Διονύσιον ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, τὸ ὑπερκείμενον τῆς ὑποκειμένης φύσεως ἀεὶ ἅπτεται τοῦ ὑπερκειμένου τῆς ὑποκειμένης τῆς θείας σοφίας ἄριστα ταττούσης τὰ ὄντα. Ἀλλ’ ὑπερκείμενον ἐν τῇ σωματικῇ φύσει ἐστὶ τὸ οὐράνιον σῶμα, ἐφόσον

**62-63** τὸ – ὀγδόῳ] Ar., Phys. VIII, 255a.10: ἄλογον δὲ καὶ τὸ μίαν κίνησιν κινεῖσθαι μόνην ὑφ' αὑτῶν, εἴγε αὐτὰ ἑαυτὰ κινοῦσιν. **72-74** Ἐπεὶ – ζωήν] Aug., De vera rel., cap. 29. **77-79** ὁ – κινεῖται] Ar., Phys. VIII, 255b12-15: ἔτι ὁρῶμεν ὅτι δυνατὸν κινηθῆναι μήτε κινούμενον μήτ' ἔχον ἐν ἑαυτῷ μηδεμίαν κίνησιν, οἷον ἐπὶ τῶν ἀψύχων, ὧν οὔτε μέρος οὐδὲν οὔτε τὸ ὅλον κινούμενον ἀλλ' ἠρεμοῦν κινεῖταί ποτε. **82-84** ἐστὶν – πρότερον] cf. Ps.-Dion., De div. nom., cap. 7, n. 3 (PG 3, col. 872A, Ritter pp. 197-198).

**58** ἐνυπάρχει] ὑπάρχει M (est in Aq.) **59** Hic post ψυχή Aq. habet: vivit

**ἐστὶν ἐπιφανέστατον πάντων τῶν σωμάτων. Ἅπτεται τοίνυν τῆς ἀσωμάτου φύσεως καὶ ταύτῃ ἑνοῦται. Καὶ οὕτως τὸ πρότερον.**

**[6.6.13] Ἔτι, τὸ τοῦ οὐρανοῦ σῶμα ἐστὶ κρεῖττον τοῦ ἀνθρώπειου σώματος, ὡς τὸ ἀίδιον τοῦ φθαρτοῦ. Ἀλλὰ τὸ ἀνθρώπειον σῶμα ἐστὶν ἡνωμένον φυσικῶς οὐσίᾳ νοητῇ. Πολλῷ ἄρα μᾶλλον τὸ οὐράνιον σῶμα· τοῦ γὰρ κρείττονος σώματος, κρεῖττον τὸ εἶδος. Καὶ ταύτῃ τὸ πρότερον.**

**[6.6.14] Ἔτι, εὑρίσκομέν τινα ζῷα ἐκ γῆς μορφωθέντα, ὥσπερ τὸν ἄνθρωπον καὶ τὰ θηρία, τινὰ δὲ ἐκ τῶν ὑδάτων, ὥσπερ ἰχθύες καὶ πτηνά, ὡς φαίνεται ἐν τῷ τῆς Γενέσεως πρώτῳ. Ἄρα ἔσονταί τινα καὶ ἀέρια καί τινα πύρινα καὶ ἄλλα οὐράνια. Ταῦτα δὲ οὐκ εἰσὶν ἄλλα εἰ μὴ ἄγγελοι καὶ δαίμονες. Ἐπεὶ γὰρ ταῦτα εἰσὶ κρείττονα σώματα, δεῖ ἐν αὐτοῖς εἶναι τὰ κρείττω ζῷα. Οἱ ἄγγελοι ἄρα καὶ οἱ δαίμονές εἰσι ζῷα. Καὶ ταύτῃ περίκεινται σώματα φυσικῶς ἡνωμένα.**

**[6.6.15] Ἔτι, τοῦτο αὐτὸ δοκεῖ διὰ τοῦ Φιλοσόφου, ὃς τούτῳ τῷ τρόπῳ τίθησιν εἶναί τι ζῷον τῇ στεγανότητι τῆς γῆς ἐρειδόμενον, ἕτερον δὲ τῇ ὑγρᾷ οὐσίᾳ ἀπονενεμημένον, ἄλλο δὲ δι' ἀέρος πλανώμενον, ἄλλο δὲ θειότητος πλῆρες, ὅπερ οὐ δύναται νοεῖσθαι πλὴν εἰ μὴ ἄγγελος. Ὁ ἄγγελος ἄρα ἐστὶ ζῷον. Καὶ οὕτως τὸ πρότερον.**

**[6.6.16] Ἔτι, οὐδὲν κινεῖται εἰ μὴ τὸ σῶμα, ὡς ἀποδείκνυται ἐν τῷ τῆς Φυσικῆς ἕκτῳ. Ἀλλὰ ὁ ἄγγελος κινεῖται. Ἄρα ἤ ἐστι σῶμα ἢ ἔχει σῶμα φυσικῶς αὐτῷ ἡνωμένον.**

**[6.6.17] Παρὰ ταῦτα, ὁ Λόγος τοῦ Θεοῦ ἐστι κρείττων ἢ ὁ ἄγγελος. Ἀλλὰ ὁ Λόγος τοῦ Θεοῦ ἥνωται σώματι. Οὐκ ἔστι | τοίνυν παρὰ τὴν ἀξίαν τοῦ**
P 157v **ἀγγέλου, εἰ τεθείη τῷ σώματι φυσικῶς ἡνῶσθαι.**

**[6.6.18] Ἔτι, ὁ Πορφύριος φησίν, ὅτι τὸ θνητὸν προστεθὲν τῷ ὅρῳ τοῦ ἀνθρώπου διίστησιν ἡμᾶς ἀπὸ τῶν θεῶν. Δι' ὧν οὐ δυνατὸν εἰ μὴ τοὺς ἀγγέλους νοεῖσθαι. Οἱ ἄγγελοι ἄρα εἰσὶ ζῷα. Καὶ ταύτῃ σώμασι φυσικῶς ἡνωμένοι.**

**92-94** εὑρίσκομέν – πρώτῳ] Gen. 1, 1-31. **104-105** οὐδὲν – ἕκτῳ] Ar., Phys. VI, 240b.8-12: τὸ ἀμερὲς οὐκ ἐνδέχεται κινεῖσθαι πλὴν κατὰ συμβεβηκός, οἷον κινουμένου τοῦ σώματος ἢ τοῦ μεγέθους τῷ ἐνυπάρχειν, καθάπερ ἂν εἰ τὸ ἐν τῷ πλοίῳ κινοῖτο ὑπὸ τῆς τοῦ πλοίου φορᾶς ἢ τὸ μέρος τῇ τοῦ ὅλου κινήσει. **110-112** ὁ – νοεῖσθαι] Porph., Isagoge, cap. de differentia.

**110** προστεθὲν] προστιθὲν M (additum Aq.) **111** τῶν θεῶν] τὸν θεόν M | δυνατόν] δύναται M **113** ἡνωμένοι] ἡνωμένα M

**[6.6.19] Ἀλλ᾽ ἐκ τοῦ ἐναντίου, ὁ Δαμασκηνός φησι τὸν** ἄγγελον **εἶναι** οὐσίαν νοεράν**,** ἀεικίνητον**,** αὐτεξούσιον**,** ἀσώματον**.**

**[6.6.20] Ἔτι, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται ὅτι** ὁ νοῦς ἐστὶν οὐσία ἀδιαίρετος· **ἐν οἷς φησὶ τὸ Ὑπόμνημα, ὅτι οὔτε ἐστὶ μέγεθος οὔτε ἐν μεγέθει κατενηνεγμένος. Ἀλλ᾽ ὁ ἄγγελός ἐστιν νοῦς· ὃ φαίνεται διὰ τοῦ Διονυσίου, ὃς καλεῖ τοὺς ἀγγέλους** ἀγάλματα θεῖα**, καὶ** θείους νόας**. Ὁ ἄγγελος ἄρα, οὐκ ἔστι σῶμα· οὔτε σώματι ἡνωμένος.**

**[6.6.21] Ἔτι, αἱ διαφοραὶ αἱ διαιροῦσαι τὸν ἄγγελον ἀπὸ τῆς ψυχῆς ἐστι τὸ ἡνωμένον καὶ τὸ οὐχ ἡνωμένον τῷ σώματι. Εἰ τοίνυν ὁ ἄγγελος εἴη τῷ σώματι ἡνωμένος, ἐν οὐδενὶ τῆς ψυχῆς διοίσει. Ὅπέρ ἐστιν ἄτοπον.**

**[6.6.22] Ἔτι, εὑρίσκεταί τις οὐσία ἀσώματος ἠρτημένη ἀπὸ τοῦ σώματος ὅσον πρὸς τὴν ἀρχὴν καὶ ὅσον πρὸς τὸ τέλος, ὥσπερ ἡ φυτικὴ ψυχὴ καὶ ἡ αἰσθητική, ἑτέρα δὲ ἠρτημένη τοῦ σώματος ὅσον πρὸς τὴν ἀρχὴν καὶ οὐχ ὅσον πρὸς τὸ τέλος, καθάπερ ἡ ἀνθρωπίνη ψυχή. Ἄρα ἔστι τις καὶ ἡ μὴ σώματος δεομένη, οὔτε τό γ᾽ ἧκον εἰς τὴν ἀρχὴν οὔτε τό γ᾽ ἧκον πρὸς τὸ τέλος. Καὶ αὕτη οὐχ οἷόν τε εἶναι ἄλλη ἢ ἄγγελος ἢ δαίμων.**

**[6.6.23] Ἐφ᾽ οἷς ἅπασι τοῦτο ἂν εἴποιμι, ὅτι ἔνια εἴδη ἐστίν, ἃ μή ἐστι μήτε ψυχὴ μήτε πνεῦμα, ὥσπερ τὸ εἶδος τοῦ λίθου· τὶ δὲ ὅπερ ἐστὶ ψυχή, ἀλλ᾽ οὐ πνεύμα, ὥσπερ τὸ εἶδος τοῦ ἀλόγου· τὶ δὲ ὅπερ ἐστὶ ἡ ψυχὴ καὶ πνεῦμα, ὥσπερ τὸ εἶδος τοῦ ἀνθρώπου. Ἄρα ἐστὶ καὶ ὅπέρ ἐστι πνεῦμα καὶ οὐ ψυχή. Καὶ τὸ τοιοῦτον ἐστὶν ὁ ἄγγελος καὶ ταύτῃ οὐκ ἔστι σώματι ἡνωμένος φυσικῶς, ὅπέρ ἐστιν ἐκ τοῦ λόγου τῆς ψυχῆς.**

**[6.6.24] Ἀπόκρισις. Ῥητέον, ὅτι πρὸς τὸ πιστεύειν τὰς ἀσωμάτους οὐσίας, οἱ ἀρχαῖοι διαφόρως διειλέχθησαν. Τινὲς μὲν γὰρ εἰρήκασι, μηδεμίαν οὐσίαν ἀσώματον εἶναι, ἀλλὰ πάσας ὑπάρχειν σώματα· ἐν ᾧ καὶ ἑαυτὸν πλανηθῆναι ὁ Αὐγουστῖνος ὁμολογεῖ ποτε ἐν τῷ Περὶ ἐξομολογήσεως βιβλίῳ. Αὕτη δὲ ἡ θέσις καὶ παρὰ φιλοσόφοις ἀπεδοκιμάσθη. Ἀριστοτέλης**

**114-115** ὁ – ἀσώματον] Dam., De fid. orth. II, cap. 3 (PG 94, col. 865B): Ἄγγελος τοίνυν ἐστὶν οὐσία νοερά, ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, Θεῷ λειτουργοῦσα, κατὰ χάριν ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα. **116-117** ἐν – ἀδιαίρετος] Liber de causis, prop. 7, 64: intelligentia est substantia quae non dividitur. **118-119** ὁ – νόας] Ps.-Dion., De coel. hier., cap. 3, n. 2 (PG 3, col. 165A, Ritter p. 18) … ἀγάλματα θεῖα …; cap. 11, n. 1 (PG 3, col. 284C, Suchla p. 41): … θεῖοι νόες ὀνομάζονται…

**118** ὃ] ὡς M (quod Aq.) **126** ἑτέρα δὲ] deest P (quaedam autem Aq.) **130** Hic post δαίμων Aq. habet: Quod autem sit aliqua quae indigeat corpore quantum ad finem et non quantum ad principium, non est possibile. **140** Hic post πάσας Aq. habet: substantias

**μὲν οὖν ταύτῃ τῇ μεθόδῳ ταύτην ἀνασκευάζει. Ἀνάγκη γάρ φησιν εἶναί τινα δύναμιν ἄπειρον κινοῦσαν· ἄλλως γὰρ κίνησιν ἀίδιον κινεῖν εἶναι ἀδύνατον. Ἐπὶ τούτοις δείκνυσι πᾶσαν δύναμιν ἐν μεγέθει εἶναι πεπερασμένην. Ὅθεν λείπεται ἀναγκαῖον εἶναί τινα δύναμιν τὸ παράπαν ἀσώματον, τὴν συνέχειαν** P 158r **τῆς κινήσεως δημιουργοῦσαν. Πάλιν τοῦτ᾽ ἀποδεί|κνυσιν ἑτέρῳ τρόπῳ, ὅτι ἡ ἐνέργεια ἔστι πρὸ τῆς δυνάμεως καὶ φύσει καὶ χρόνῳ ἁπλῶς διαλεγομένοις· εἰ γὰρ καὶ ἐν ἑνί τινι ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προϊόντι ἡ δύναμις τῷ χρόνῳ πρεσβυτέρα ἐστίν, ἀλλ᾽ ἐπεὶ χρὴ τὸ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀναφέρεσθαι διά τινος ἐνεργείᾳ ὄντος, ἀνάγκη τὴν ἐνέργειαν εἶναι ἁπλῶς τῆς δυνάμεως προτέραν καὶ χρόνου. Ὅθεν, ἐπεὶ τὸ οὐράνιον σῶμα ἔστιν ἐν δυνάμει, ὅπερ ἡ αὐτοῦ κίνησις δείκνυσιν, ἀνάγκη πρὸ πάντων τῶν σωμάτων εἶναι οὐσίαν ἀκίνητον καὶ ἀίδιον. Τρίτος δὲ λόγος δύναται ληφθῆναι πρὸς τοῦτο ἐκ τῶν δοξῶν τῶν Πλατωνικῶν. Ἀνάγκη γὰρ πρὸ τοῦ ὡρισμένου εἶναι καὶ μερικοῦ προϋπάρχειν τι μὴ μερικόν· ὥσπερ, εἰ ἡ τοῦ πυρὸς φύσις μερικῶς καὶ οἱονεὶ μεθεκτῶς εὑρίσκεται ἐν τῷ σιδήρῳ, ἀναγκαῖον πρότερον εὑρίσκεσθαι τὴν πυρίνην φύσιν ἐν τῷ ὄντι κατὰ τὴν οὐσίαν πῦρ. Ὅθεν, ἐπεὶ τὸ εἶναι καὶ αἱ λοιπαὶ τελειότητες καὶ τὰ εἴδη εὑρίσκονται ἐν τοῖς σώμασιν, ὡσανεὶ μεριστῶς, καθό εἰσιν ἐν ὕλῃ ληπτά, ἀναγκαῖον προϋπάρχειν τινὰ οὐσίαν ἀσώματον, ἥτις οὐ μερικῶς, ἀλλὰ σύν γέ τινι πληρώματι τοῦ καθόλου τὴν τελειότητα τοῦ εἶναι ἐν ἑαυτῇ περιέχει. Ὅτι δὲ μόνα τὰ σώματα ἔθεσαν εἶναι οὐσίας, ἐντεῦθεν παρήχθησαν, ὅτι τὴν φαντασίαν διίσχειν νῷ μὴ περιγιγνόμενοι, ᾗ μόνον ἐστὶ τῶν σωμάτων, πρὸς τὸ γινώσκειν τὰς ἀσωμάτους οὐσίας, αἳ μόνῳ τῷ νῷ θηράσιμαί εἰσιν, οὐκ ἐφικέσθαι ἴσχυσαν. Ἕτεροι δὲ γεγόνασιν οἱ τὴν ἀσώματον οὐσίαν τιθέμενοι μέν, φάσκοντες δὲ εἶναι ταύτην σώματι ἡνωμένην, μηδέ τινα οὐσίαν ἀσώματον πάντῃ εὑρίσκεσθαι μὴ οὖσαν σώματος εἶδος. Διὸ καὶ ἠξίουν αὐτὸν τὸν Θεὸν χρηματίζειν ψυχὴν τοῦ κόσμου, ὥσπερ περὶ Ὁμήρου φησὶν ὁ Αὐγουστῖνος ἐν τῷ ἑβδόμῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ,** ὅτι ὁ Θεός ἐστι ψυχὴ κινήσει καὶ λόγῳ κυβερνῶν τὸν κόσμον. **Ὅθεν ἔλεγον ὅλον τὸν κόσμον εἶναι Θεὸν διὰ τὴν ψυχὴν καὶ οὐ διὰ τὸ σῶμα· ὥσπερ καὶ ὁ ἄνθρωπος λέγεται διὰ τὴν ψυχὴν**

**169-171** ὥσπερ – κόσμον] Aug., De civ. IV, cap. 31, n. 2 (PL 41, col. 138): …Deus, qui crediderunt eum esse animam motu ac ratione mundum gubernantem.

**152** χρόνου] χρόνῳ M

σοφὸς καὶ οὐ διὰ τὸ σῶμα. Καὶ διατοῦτο οἱ Ἕλληνες ὅλῳ τῷ κόσμῳ καὶ πᾶσι τοῖς αὐτοῦ μέρεσι θεότητος λατρείαν ὑπεῖχον. Ἀλλὰ καὶ αὕτη ἡ θέσις δι' αὐτῶν τῶν φιλοσόφων ἐξηλέλεγκται πολυειδῶς. Πρῶτον μέν, ὅτι ἡνωμένη τινὶ σώματι δύναμις καθάπερ εἶδος ὡρισμένη ἔκτηται ἐνέργειαν διὰ τὸ τοιῷδε σώματι ἡνῶσθαι. Ὅθεν, ἐπεὶ ἀνάγκη εἶναί τι ἐνεργοῦν ὡσανεὶ διὰ πάντων χεόμενον τῶν σωμάτων, διὸ τὸ πρῶτον κινοῦν οὐ δύναται εἶναι σῶμα, ὡς ἐν τοῖς προλαβοῦσι δέδεικται. Λείπεται ἐξ ἀνάγκης εἶναί τι ἀσώματον, ὅπερ οὐδενὶ σώματι ἥνωται· ὅθεν Ἀναξαγόρας τέθεικε τὸν νοῦν ἄμικτον, | P 158v ὥστε ἄρχειν, καθάπερ εἴρηται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Ἡ γὰρ ἀρχή ἐστι τινος ὑπερέχοντος τῶν ἀρχομένων καὶ οὐχί τινος τῶν ὑποτεταγμένων, οὐδὲ τούτοις προσδεδεμένου. Δεύτερον ὅτι, εἴ τις οὐσία ἀσώματός ἐστι σώματι ἡνωμένη ὡς εἶδος, δεῖ ταύτην κινουμένην κινεῖν ἑαυτὴν κατὰ τὸν τοῦ ζῴου τρόπον, ὡσανεὶ σύνθετον ἐκ σωματικῆς οὐσίας καὶ πνευματικῆς. Τὸ κινοῦν δὲ ἑαυτὸ κινεῖ κατὰ θέλησιν, ἐφόσον ἐφίεται τινός· ἡ γὰρ ὄρεξίς ἐστι κινοῦν κινούμενον, τὸ δὲ ἐφετὸν ἐστὶ κινοῦν, οὐ κινούμενον. Χρὴ τοίνυν ὑπὲρ τὴν ἀσώματον οὐσίαν τὴν σώματι συνημμένην εἶναι τι ἄλλο ὑπερβεβηκὸς κινοῦν αὐτήν, ὥσπερ τὸ ἐφετὸν κινεῖ τὴν ὄρεξιν. Καὶ τοῦτο ἀναγκαῖον εἶναι νοητὸν ἀγαθόν. Τοῦτο γάρ ἐστι τὸ ὀρεκτόν, διὰ τὸ ἁπλῶς εἶναι ἀγαθόν· τὸ δὲ αἰσθητὸν ἀγαθὸν ἢ ὀρεκτὸν φιλεῖται διὰ τὸ εἶναι τόδε καὶ νῦν ἀγαθόν. Τὸ νοητὸν δὲ ἀγαθὸν ἀνάγκη εἶναι ἀσώματον. Οὐ γὰρ ἂν εἰ μὴ ἄυλον εἴη νοοῖτο. Ἐντεῦθεν δὲ χρὴ εἶναι νοῦν· ἡτισοῦν γὰρ οὐσία ἀσώματός ἐστι νοερὰ διὰ τὸ τῆς ὕλης ἀποτετειχίσθαι. Δεῖ δὴ ἐπὶ τῆς σώματι ἡνωμένης οὐσίας εἶναι ἄλλην οὐσίαν ὑπερκειμένην, ἀσώματον καὶ νοεράν, ἄζυγον σώματος. Καὶ αὕτη ἡ ἀπόδειξίς ἐστιν Ἀριστοτέλους ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Οὐχ οἷόν τε γὰρ λέγεσθαι τὸ κινοῦν ἑαυτὸ μηδενὸς ἐπιθυμεῖν ἔξω ἑαυτοῦ. Οὐδὲ γὰρ πώποτ' ἂν κινηθείη· ἡ γὰρ κίνησίς ἐστιν, ἐφ' ᾧ μεταποιήσασθαί τινος τῶν ἔξωθεν τρόπῳ τινί. Τρίτον, ὅτι τὸ κινοῦν ἑαυτὸ δύναται κινεῖσθαι καὶ μὴ κινεῖσθαι, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Εἰ οὖν τὸ κινούμενον ἐξ

**180-181** ὅθεν – Φυσικῆς] Ar., Phys. VIII, 256b24-26: διὸ καὶ Ἀναξαγόρας ὀρθῶς λέγει, τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι, ἐπειδή γε κινήσεως ἀρχὴν αὐτὸν εἶναι ποιεῖ. **199-200** τὸ – Φυσικῆς] Ar., Phys. VII, 294a8-9: οὕτω καὶ περὶ κίνησιν ὁμοταχὲς τῷ ἐν ἴσῳ χρόνῳ κινεῖσθαι ἴσον τοσονδί.

**186** ἑαυτό] ἑαυτῷ M (seipsum Aq.)

**ἑαυτοῦ κινεῖται συνεχῶς, ἀνάγκη βεβαιωθῆναι ἐν τῷ κινεῖσθαι ἀπ' ἄλλου, ὃ πάντῃ ἐστὶν ἀκίνητον. Τὸν οὐρανὸν δέ, οὗ τὴν ψυχὴν ἔλεγον Θεόν, ὁρῶμεν συνεχῶς κινούμενον. Ὅθεν δεῖ ὑπὲρ τὴν οὐσίαν ἐκείνην ἥτις ἐστὶ ψυχὴ τοῦ κόσμου, ἥτίς ποτε ἐστίν, εἶναι ἄλλην ἀνέχουσαν οὐσίαν, ἣ οὐδενὶ σώματι συνῆπται καὶ καθ' αὑτὴν ὑπάρχει ὑφεστηκυῖα. Οἱ δὲ θέμενοι πᾶσαν οὐσίαν σώματι συνημμένην εἶναι, ἐντεῦθεν ἠπάτηνται, τὸ τὴν ὕλην πιστεύειν αἰτίαν τοῦ ὑφεστάναι καὶ τῆς ἀτομότητος ἐν πᾶσι τοῖς οὖσι, καθάπερ ἐστὶν ἐν τοῖς σωματικοῖς οὖσιν. Ἀμέλει οὐδὲ ὑφεστάναι ἐπίστευον τὰς ἀσωμάτους οὐσίας εἰ μὴ ἐν σώματι, ὥσπερ καὶ ἐν ἀντιθέσεως σχήματι εἴρηται ἐν τῷ Ὑπομνήματι τοῦ Περὶ αἰτιῶν βιβλίου. Τούτων ἀντιτεθεισῶν τῶν δοξῶν Πλάτων καὶ Ἀριστοτέλης ἐπρέσβευσαν εἶναί τινας οὐσίας ἀσωμάτους, καὶ τούτων τὰς μὲν εἶναι σώματι ἡνωμένας, τὰς δ' οὐδενί. Ὁ μὲν γὰρ Πλάτων**
P 159r **τέθεικε δύο οὐσίας χωριστάς, δηλαδὴ | τὸν Θεὸν τὸν πατέρα παντός τοῦ καθόλου, ἐν τῇ ἄκρα ἄντυγι, ὑπὸ δὲ τῷ τὸν νοῦν αὐτοῦ, ὃν πρῶτον νοῦν ἐκάλει, ἐν ᾧ εἰσιν οἱ πάντων λόγοι ἢ ἰδέαι, ὡς ὁ Μακρόβιος διηγεῖται. Οὐσίας δὲ ἀσωμάτους σώμασιν ἡνωμένας ἐτίθετο παμπληθεῖς· ἃς μὲν συνεζευγμένας τοῖς οὐρανίοις σώμασιν, ἃς οἱ Πλατωνικοὶ θεοὺς ὠνόμαζον, ἃς δ' αὖ συνημμένας ἀερίοις σώμασιν, ἃς ἔλεγον εἶναι δαίμονας. Ὅθεν Αὐγουστῖνος ἐν τῷ ὀγδόῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ εἰσάγει τοῦτον τὸν ὁρισμὸν περὶ δαιμόνων παρ' Ἀπολλωνίου ἐκδοθέντα·** δαίμονές εἰσι ζῷα τῷ νῷ λογικά, τῆς ψυχῆς παθητά, τῷ σώματι ἀέρια, τῷ χρόνῳ ἀίδια. **Καὶ πάσαις ταῖς προειρημέναις ἀσωμάτοις οὐσίαις τῷ λόγῳ τῆς αὐτῶν ἀιδιότητος οἱ καθ' Ἕλληνας πλατωνίζοντες ἔλεγον οἰστίαν εἶναι λατρείαν θεότητος. Καὶ περαιτέρω δὲ ἀσωμάτους οὐσίας ἐτίθεσαν ἡνωμένας σώμασι γηίνοις τοῖς παχυτέροις δηλαδὴ καὶ ὑδατίνοις, αἵ εἰσιν αἱ τῶν ἀνθρώπων ψυχαὶ καὶ τῶν ζῴων. Ὁ δ' Ἀριστοτέλης ἐν δυσὶ μὲν συγχωρεῖ Πλάτωνι, ἐν δυσὶ δὲ ἀφίσταται. Συγχωρεῖ μὲν ἐν τῷ τιθέναι τὴν ἀνωτάτω οὐσίαν μήτε σῶμα μήτε σώματι ἡνωμένην, καὶ αὖθις ἐν τῷ τιθέναι τὰ οὐράνια σώματα εἶναι ἔμψυχα. Διίσταται δὲ ἐν τῷ τιθέναι πολλὰς οὐσίας ἀσωμάτους, σώμασιν ἀσυνάπτους, εἴτουν κατὰ τὸν ἀριθμὸν τῶν οὐρανίων κινήσεων, καὶ ἐν τῷ ἀπογινώσκειν**

**214-215** ὑπὸ – διηγεῖται] Macrob., In somn. Scip. I. **219-221** Αὐγουστῖνος – ἀίδια] Aug., De civ. VIII, cap. 16 (PL 41, col. 241): Breviter autem eos definiens ait daemones esse genere animalia, animo passiva, mente rationalia, corpore aeria, tempore aeterna.

**201** Hic post ἄλλου Aq. habet exteriori **203** δή] δεῖ P (oportet Aq.) **206** εἶναι] deest P, Aq. **214** ἄντιγι] ἀντίγι P; ἂν τιγι M; intellige ἄντυγι (gradu Aq.) | πρῶτον] paternum Aq. (Prochoros legit primum?) **227** Συγχωρεῖ] συγχωρῶν M (Differt Aq.)

εἶναι τινὰ ζῷα ἀέρια. Ὃ καὶ Πλάτωνι εὔλογον ἔχει, ὡς ἐκ τριῶν δῆλον ἂν γένοιτο. Πρῶτον μὲν ὅτι τὸ μικτὸν σῶμα κρεῖττόν ἐστι τοῦ στοιχειώδους, καὶ διαφερόντως ὅσον πρὸς τὸ εἶδος· τὰ γὰρ στοιχεῖα τῶν μικτῶν σωμάτων εἰσὶν ὕλη. Ὅθεν δεῖ τὰς ἀσωμάτους οὐσίας, αἵ εἰσιν ὑπερηφανώτερα εἴδη, τοῖς μικτοῖς σώμασιν ἑνοῦσθαι, καὶ οὐ τοῖς πρώτοις στοιχείοις. Οὐδὲν <δὲ> σῶμα μικτὸν εἶναι δύναται, ἐν ᾧ ἡ γῆ καὶ τὸ ὕδωρ οὐ περιγίγνονται κατὰ τὴν τῆς ὕλης ποσότητα, ἐφόσον τὰ μετεωρότερα στοιχεῖα μᾶλλον πλεονεκτεῖ τῷ τῆς δυνάμεως δραστηρίῳ, ὡς μᾶλλον τῷ εἴδη προσήκοντα, καὶ διατοῦτο, εἰ κατὰ τὸ ποσὸν ὑπερβάλλοιντο, οὐκ ἂν συντηροῖτο ἡ ὀφειλομένη ἀναλογία τῆς μίξεως· τὰ γὰρ ὑπερκείμενα κατακράτος περιέσονται τῶν ὑποβεβηκότων. Καὶ διατοῦτο ἀμήχανον τὰς ἀσωμάτους οὐσίας ἑνοῦσθαι ὡς εἴδη ψιλοῖς τοῖς στοιχειώδεσι σώμασιν, ἀλλὰ μὴ τοῖς μικτοῖς, ἐν οἷς κατὰ τὴν ὕλην πολλῷ τῷ περιόντι, ἀφθονωτέρα ἐστὶν ἡ γῆ καὶ τὸ ὕδωρ. Δεύτερον, ὅτι τὸ ὁμογενὲς σῶμα καὶ ὁμοειδὲς ἀνάγκη ἔχειν τὸ αὐτὸ εἶδος ἐν τῷ ὅλῳ καὶ τοῖς μέρεσι. Τὸ ὅλον δὲ τοῦ ἀέρος σῶμα καθορῶμεν μιᾶς φύσεως ὄν. Ὅθεν χρή, εἰ οὐσίαί τινες γίνονται μέρεσί τισι τοῦ ἀέρος ἥνωνται καὶ τῷ ὅλῳ ἀέρι ἡνῶσθαι. Καὶ ταύτῃ ὁ σύμπας ἀὴρ ἔσται ζῷον· | ὃ παραλόγως εἰρῆσθαι δοκεῖ, εἰ καὶ τοῦτο
P 159v ἀρχαῖοί τινες ἐνόμισαν, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς πρώτῳ, οἳ ἔφασαν πάντα τὸν ἀέρα εἶναι πλήρη θεῶν. Τρίτον, ὅτι ἡ νοητὴ οὐσία, εἰ οὐκ ἔχει ἐν ἑαυτῇ ἄλλην δύναμιν, ἢ νοῦν καὶ θέλησιν, μάτην σώματι ἑνοῖτο· αὗται γὰρ αἱ ἐνέργειαι ἄνευ σώματος ἐπιτελοῦνται. Πᾶν γὰρ εἶδος σώματος σωματικῶς τινα ἐνέργειαν μέτεισιν. Εἰ δέ τινας ἔχουσι δυνάμεις, ὅπερ οἱ Πλατωνικοὶ φρονῆσαι δοκοῦσι περὶ δαιμόνων, λέγοντες αὐτοὺς εἶναι τῷ νῷ παθητικούς, ἐπεὶ τὸ πάθος οὐ δύναται εἶναι εἰ μὴ ἐν τῷ τῆς αἰσθητικῆς ψυχῆς μέρει, ὡς ἀποδείκνυται ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς, ἀνάγκη τὰς τοιαύτας οὐσίας σώμασιν ὀργανικοῖς ἑνοῦσθαι, ὡς αἱ ἐνέργειαι τὴν τῶν τοιούτων δυνάμεων δι᾽ ὡρισμένων ὀργάνων ἐκπληροῖντο. Τοιοῦτον δὲ οὐ δύναται εἶναι τὸ ἀέριον σῶμα· οὐ γάρ ἐστιν οἷον σχῆμα ἴσχειν. Ὅθεν δῆλον τὰς ἀσωμάτους οὐσίας, μὴ δύνασθαι ἀερίοις σώμασι φυσικῶς εἶναι ἡνωμένας. Πότερον δὲ οὐσίαι

**248-249** ἀρχαῖοι – θεῶν] Ar., De an. I, 411a.7-8: καὶ ἐν τῷ ὅλῳ δή τινες αὐτὴν μεμῖχθαί φασιν, ὅθεν ἴσως καὶ Θαλῆς ᾠήθη πάντα πλήρη θεῶν εἶναι. **254-255** ἐπεὶ – Φυσικῆς] Ar., Phys. VII, 248a.6-8: φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι τὸ ἀλλοιοῦσθαι καὶ ἡ ἀλλοίωσις ἔν τε τοῖς αἰσθητοῖς γίγνεται καὶ ἐντῷ αἰσθητικῷ μορίῳ τῆς ψυχῆς.

**233** διαφερόντως] διαφέρειν M (maxime Aq.) **247** ὃ παραλόγως] ὅπερ ἀλόγως P (quod irrationabiliter Aq.) **259** φυσικῶς] φυσικοῖς M (naturaliter Aq.)

τινὲς ἀσώματοι τοῖς οὐρανίοις σώμασίν εἰσιν ἡνωμέναι ὡς εἴδη, **Αὐγουστῖνος μὲν ἐν ἀπορίᾳ καταλείπει ἐν τῷ δευτέρῳ τῆς Εἰς τὴν γένεσιν Ἐξηγήσεως. Ἱερώνυμος δὲ διισχυρίζεσθαι δοκεῖ ἐπ' ἐκείνῳ τῷ τοῦ Ἐκκλησιαστοῦ πρώτῳ τὸ περιὸν πάντα** κύκλῳ πνεῦμα· **ἔτι τε ὁ Ἀριστοτέλης. Παρὰ πάντων μέντοιγε τῶν παρόντων ἀπογινώσκεσθαι δοκεῖ διὰ τόδε. Ἐπεὶ γὰρ ὁ τῶν μακαρίων ἀριθμὸς ἐκ μόνων τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων κατὰ τὴν ἱερὰν Γραφὴν συνέστηκεν, οὐ δύνανται ἐκεῖναι αἱ ἀσώματοι οὐσίαι οὔτε ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐξετάζεσθαι οὔτε ἐν ἀγγέλοις, οἵ εἰσιν ἀσώματοι. Ἀλλ' ὅμως ὁ Αὐγουστῖνος ἐν τῇ Εὐχαριστίᾳ, ἄδηλον μεθίησιν οὕτω λέγων· οὐδὲ ἐκεῖνο εὔπορον, πρότερον εἰς τὴν αὐτὴν ἑταιρείαν, δηλαδὴ τῶν ἀγγέλων,** τελεῖ ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ πάντα τὰ ἄστρα, εἰ καὶ οὔκουν οὐδὲ εἰ τὰ φωτεινὰ σώματα δοκεῖ μὴ οὐ σὺν νοήσει ἢ αἰσθήσει εἶναι. **Ἀλλ' ἐν τούτῳ βεβαίως τῆς Πλάτωνος καὶ Ἀριστοτέλους διδασκαλίας, ἢ τῆς πίστεως διαφέρεται ἐν τῷ πλείους οὐσίας τιθέναι, πάντῃ σωμάτων χηρευούσας, ἥτις ἐκείνων ἐτίθετο. Ἡ δὴ θέσις καὶ εὐλογωτέρα δοκεῖ, τριῶν εἵνεκα. Πρῶτον μὲν ὅτι, καθάπερ τὰ μετέωρα σώματα μείζονος ἀξίας εἰσὶ τῶν χαμαιζήλων, οὕτως αἱ ἀσώματοι οὐσίαι καὶ τῶν ὑπερεχόντων σωμάτων εἰσὶν ἐπιτιμώτεραι· τὰ σώματα δὲ τὰ ὑπερκείμενα ἐπιτοσοῦτον ὑπερτείνουσι τὰ ὑποκείμενα, ὅτι ἡ γῆ, παρεξεταζομένη τῷ οὐρανῷ, ἐστὶ κέντρον πρὸς σφαῖραν, ὡς ἀξιοῦσιν οἱ ἀστρονόμοι. Ὅθεν καὶ αἱ ἀσώματοι οὐσίαι, ὡς ὁ Διονύσιός φησιν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῆς Οὐρανίου ἱεραρχίας, πᾶσαν τὴν πληθὺν τῶν ὑλικῶν**
P 160r **εἰδῶν ὑπερβαίνουσιν. Ὅπερ ἐν τῷ τοῦ | Δανιὴλ ἑβδόμῳ λέγεται· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρίσταντο αὐτῷ. Ὧ καὶ τῇ χύσει τῆς θείας ἀγαθότητος συνᾴδει, ὡς ἐκεῖνα δηλαδή, ἃ κρείττω τυγχάνει, ὄντα ἀφθονώτερα εἰς τὸ προενεγκεῖν. Κἀπειδὴ τὰ ὑπερκείμενα τῶν ὑφειμένων οὐκ ἤρτηται οὐδὲ πρὸς ταῦτα ὁρίζονται αἱ τούτων δυνάμεις, οὐ**

**259-261** Πότερον – Ἐξηγήσεως] Aug., De gen. ad litt. II, cap. 18, n. 38 (PL 34, col. 279). Solet etiam quaeri, utrum caeli luminaria ista conspicua corpora sola sint, an habeant rectores quosdam spiritus suos. **262-263** Ἱερώνυμος – πνεῦμα] Eccl. 1, 6: αὐτὸς ἀνατέλλων ἐκεῖ πορεύεται πρὸς νότον καὶ κυκλοῖ πρὸς βορρᾶν· κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. **263** ἔτι – Ἀριστοτέλης] cf. non Ar. sed Or., De princ. I, cap. 7 **268-271** ὁ – εἶναι] Aug., Enchir., cap. 58 (PL 40, col. 260): Sed ne illud quidem certum habeo, utrum ad eamdem societatem pertineant sol et luna et cuncta sidera quamvis nonnullis lucida esse corpora non cum sensu vel intellegentia videantur.

**261** καταλείπει] κατέλειπε M (relinquit Aq.) **263** τε] deest P (et Aq.) Ἀριστοτέλης] Origenes Aq. **270** εἰ] suprascripsit P, M (nonnullis Aq.) | οὐ] lacuna ca 6 M **277** ἐπιτοσοῦτον – ὑποκείμενα] deest P (homoioteleuton ex ὑποκείμενα) **280** τετάρτῳ] α'ῳ M; XIV Aq.

δεῖ ταῦτα μόνα ἀνατιθέναι τοῖς ὑπερκειμένοις, ἃ διὰ τῶν ὑποβεβηκότων ἀποτελεσμάτων δηλοῦνται. Δεύτερον δέ, ὅτι ἐν τῇ τῶν φυσικῶν πραγμάτων τάξει μεταξὺ τῶν διεχουσῶν φύσεων πολλοὶ βαθμοὶ μέσοι εὑρίσκονται, ὥσπερ μεταξὺ ζῴων καὶ φυτῶν εὑρίσκονταί τινα ζῷα, ἃ καὶ τῆς φύσεως κοινωνεῖ τῶν φυτῶν ὅσον πρὸς τὴν ἵδρυσιν, καὶ τοῖς ζῴοις ὅσον πρὸς τὴν αἴσθησιν. Ἐπεὶ τοίνυν ἡ ἀνωτάτω οὐσία ἥτις ἐστὶν ὁ Θεός, εἰς τὸ παντελὲς διέστηκε τῆς τῶν σωμάτων φύσεως, εὔλογον δοκεῖ συχνοὺς βαθμούς φύσεων ἑκατέρων μεταξὺ εὑρίσκεσθαι, καὶ οὐκ ἐκείνας μόνον τὰς οὐσίας, τὰς οὔσας ἀρχὰς κινήσεων. Τρίτον, ὅτι ὁ Θεός, ἐπεὶ οὐ μόνον καθόλου πρόνοιαν τῶν ὄντων ποιεῖται, ἀλλὰ καὶ πρὸς τὰ καθέκαστα αὐτὴν ἐκτείνει, ἐν οἷς ἐνίοτε, ὡς εἴρηται, παρὰ τὴν τάξιν τῶν καθόλου αἰτιῶν ἐνεργεῖ, οὐ μόνον ἀνάγκη τιθέναι οὐσίας ἀσωμάτους τῷ Θεῷ ὑπηρετουμένας ἐν ταῖς καθόλου αἰτίαις τῆς φύσεως, αἵ εἰσιν αἱ οὐράνιαι κινήσεις, ἀλλὰ κἀν τοῖς ἄλλοις ἃ ὁ Θεὸς μερικῶς ἐν τοῖς καθέκαστα ἐνεργεῖ, καὶ ἰδίως ὅσον πρὸς τοὺς ἀνθρώπους, ὧν αἱ ψυχαὶ ταῖς οὐρανίαις κινήσεσιν οὐκ εἴκουσιν. Οὕτω τοίνυν τῇ ἀληθείᾳ τῆς πίστεως ἑπόμενοί φαμεν τοὺς ἀγγέλους καὶ τοὺς δαίμονας μὴ περικεῖσθαι σώματα φυσικῶς ἡνωμένα, ἀλλ' εἶναι πάντῃ ἀσωμάτους, ὡς ὁ Διονύσιος φησί.

[6.6.25] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐν πολλοῖς χωρίοις, τῶν αὐτοῦ βιβλίων ὅσον πρὸς τὰ τῶν ἀγγέλων καὶ δαιμόνων σώματα μηδὲν διισχυριζόμενος χρῆται τῇ δόξῃ τῶν Πλατωνικῶν. Ὅθεν καὶ ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ ἑκατέραν δόξαν μεθοδεύει περὶ τῆς τῶν δαιμόνων κολάσεως πραγματευόμενος, καὶ τῶν λεγόντων δηλαδὴ τοὺς δαίμονας ἀέρια σώματα περιβεβλῆσθαι καὶ τῶν λεγόντων αὐτοὺς πάντῃ ἀσωμάτους. Γρηγόριος δὲ ζῷον τὸν ἄγγελον προσαγορεύει καταχρηστικῶς ληφθέντος τοῦ ὀνόματος ὑπὲρ ὁτουδήποτε ζῶντος.

[6.6.26] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Ὠριγένης ἐν πολλοῖς ταῖς τῶν Πλατωνικῶν ἕπεται δόξαις. Ὅθεν καὶ ταύτης τῆς δόξης γενέσθαι δοκεῖ, ὅτι πᾶσαι αἱ ἀσώματοι κτισταὶ οὐσίαι ἥνωνται σώμασιν, εἰ καὶ τοῦτο οὐκ ἀποδείκνυσιν, ἀλλ' ἐν ἀμφιβόλῳ καταλείπων ἄλλης ὑποθέσεως ἅπτεται.

**306-309** ἐν – ἀσωμάτους] cf. Aug., De civ. I, cap. 10, n. 1 (PL 41, col. 23): quomodo – sentitur.

**293** φύσεων] deest P (naturarum Aq.) **312** τῆς δόξης γενέσθαι] γενέσθαι τῆς δόξης M (opinionis videtur Aq.)

**[6.6.27] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Διονύσιος ἀναμφισβητήτως τοὺς**
P 160$^{v}$ **ἀγγέλους καὶ τοὺς δαίμονας ἀσωμάτους εἶναι | βούλεται. Χρῆται δὲ μεταφορικῶς τῷ τοῦ** θυμοῦ **ὀνόματι καὶ τῷ τῆς** ἐπιθυμίας **ἀντὶ τῆς πλημμελοῦς θελήσεως καὶ τῷ τῆς** φαντασίας **ἀντὶ τοῦ πλανωμένου νοῦ ἐν τῷ προαιρεῖσθαι, ᾗ δὴ** πᾶν **φαῦλος ἐστὶν** ἀγνο**ῶν, ὡς ὁ Φιλόσοφός φησιν ἐν τῷ τρίτῳ τῶν Ἠθικῶν. Κἀν τῷ τεσσαρεσκαιδαικάτῳ τῆς Παροιμίας λέγεται·** πλανῶ**νται οἱ τὸ** κακ**ὸν ἐργαζόμενοι.**

**[6.6.28] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, εἰ οἱ ἄγγελοι τiθοῖντο ἐξ ὕλης καὶ εἴδους συγκείμενοι, καὶ διατοῦτο ἀνάγκη ἔσονται ἐνσώματοι ἐκ τοῦ προειρημένου λόγου, εἰ μὴ τεθείη τὴν αὐτὴν εἶναι ὕλην ἀγγέλων καὶ σωμάτων. Δύναται δὲ λέγεσθαι ἄλλην εἶναι ἀπὸ τῆς τῶν σωμάτων ὕλης διακεκριμένην οὐ διαμετρήσεως διαιρέσει, ἀλλὰ τῇ τάξει καὶ καθ' ἑτερογενὲς εἶδος· ἀναλογεῖ γὰρ ἡ δύναμις τῇ ἐνεργείᾳ. Μᾶλλον δὲ πιστεύομεν μὴ εἶναι τοὺς ἀγγέλους, ἐξ ὕλης καὶ εἴδους συγκειμένους, ἀλλ' εἶναι εἴδη μόνον, καθ' ἑαυτοὺς ὑφεστῶτα. Οὐδὲ δεῖ διατοῦτο εἶναι ἀκτίστους· τὸ γὰρ εἶδός ἐστιν ἀρχὴ τοῦ εἶναι, ὡς ᾧ τί ἐστιν, ἐφόσον μέντοι καὶ τὸ εἶναι τοῦ εἴδους καὶ τὸ εἶναι τῆς ὕλης ἐν τῷ συνθέτῳ εἰσὶν ἀπ' ἄλλου ποιοῦντος. Εἰ τοίνυν ἡ οὐσία κτιστὴ εἶδος μόνον οὖσα, δύναται ἔχειν ἀρχὴν τοῦ εἶναι ποιητικήν, καὶ οὐκ εἰδικήν.**

**[6.6.29] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς, καὶ ἐν τοῖς εἰδικοῖς αἰτίοις τὸ πρῶτον καὶ τὸ ὕστερον εὑρίσκεται· ὅθεν οὐδὲν κωλύει ἓν εἶδος μετοχῇ ἑτέρου εἴδους εἰδοποιεῖσθαι. Καὶ ταύτῃ αὐτὸς ὁ Θεός, ὅς ἐστιν εἶναι μόνον ἐστὶν ἀμηγέπη εἶδος πάντων τῶν ὑφεστώτων εἰδῶν ἢ τοῦ εἶναι μετέχει, καὶ οὐκ εἰσὶ τὸ εἶναι αὐτῶν.**

**[6.6.30] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ δύναμις τοῦ ἀγγέλου κατὰ τὴν τῆς φύσεως τάξιν ἐστὶν ὑπερκειμένη, καὶ κατὰ τὸ εἰκὸς καθολικωτέρα ἢ ἡ τῆς ἀνθρωπίνης ψυχῆς δύναμις. Ὅθεν οὐκ ἠδύνατο ἔχειν σωματικὸν ὄργανον αὐτῇ ἐξαρκούντως ἀποκρινόμενον εἰς τὰς ἐνεργείας, αἷς εἰς τὰ ἔξωθεν σώματα ἐνεργεῖ. Καὶ διατοῦτο οὐκ ὤφειλε σωματικοῖς τισιν ὀργάνοις συνδεῖσθαι, ὥσπερ ἡ ψυχὴ τῇ ἑνώσει συνδεῖται.**

**316-320** ὁ – προαιρεῖσθαι] Ps.-Dion., De div. nom., cap. 4, n. 23 (PG 3, col 725B, Ritter p. 171). **317-321** Χρῆται – Ἠθικῶν] Ar., Eth. nic. III, 1110b28-29: ἀγνοεῖ μὲν οὖν πᾶς ὁ μοχθηρὸς ἃ δεῖ πράττειν καὶ ὧν ἀφεκτέον. **321-322** τῷ – ἐργαζόμενοι] Prov. 14, 22: πλανώμενοι τεκταίνουσι κακά, ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί. **334-335** κατὰ – εὑρίσκεται] Ar., Phys. II.

**326** διακεκριμένην] διακεκριμένας M (divisa Aq.) **335** πρῶτον] μοναχὸν P (prius Aq.) **338** ἃ] ἢ P (quae Aq.) **341** ὅθεν] ὥστε M (unde Aq.)

**[6.6.31] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὸ κινοῦν ἑαυτῷ ἐστι πρῶτον ἐν τοῖς κινουμένοις τῷ λόγῳ τοῦ κινοῦντος ἀκινήτου. Ὅθεν, εἰ τὸ κινοῦν ἀκίνητον κινεῖ, εἴτε σῶμα φυσικῶς ἡνωμένον ἑαυτῷ εἴτε μή, ὁ αὐτὸς λόγος μένει τῆς προτερήσεως.**

**[6.6.32] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ ἡνωμένη τῷ σώματι ψυχὴ ζωοποιεῖ τὸ σῶμα οὐ μόνον ὡς ποιοῦν, ἀλλὰ καὶ ὡς εἶδος. Οὕτω δὲ τὸ σῶμα ζωοποιεῖν ἧττόν ἐστιν ἢ τὸ ζῆν καθ' αὑτὸ μόνον ἁπλῶς διαλεγομένοις. Ἡ γὰρ ψυχὴ τούτῳ τῷ τρόπῳ τὸ σῶμα ζωοποιεῖν δύναται, ἐφόσον ἔχει τὸ εἶναι** P 161r **χαμαίζηλον, | καθὸ αὐτῇ καὶ τῷ σώματι δύναται εἶναι σύνθεσις ἐξ ἑκατέρου. Τὸ εἶναι δὲ τοῦ ἀγγέλου, ὑψηλότερον ὄν, οὐ δύναται τούτῳ τῷ τρόπῳ μετέχεσθαι τῷ σώματι. Ὅθεν ζῇ μόνον καὶ οὐ ζωοποιεῖ ὡς εἶδος.**

**[6.6.33] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ ὑποποδισμὸς ὁ ὁρώμενος ἐν τοῖς πλανήταις καὶ ἡ στήριξις καὶ ὁ προποδισμὸς οὐ προΐασιν ἐκ ποικιλίας τῆς κινήσεως ἑνὸς καὶ τοῦ αὐτοῦ κινητοῦ, ἀλλ' ἐκ διαφόρων κινήσεων διαφόρων κινητῶν, ἢ τῷ τιθέναι τοὺς ἐκκεντρικοὺς ἐπικύκλους κατὰ τὸν Πτολεμαῖον, ἢ ἐν τῷ τιθέναι διαφορὰν κινήσεων κατὰ τὰς διαφορὰς τῶν πόλων, ὥσπερ ἀξιοῦσιν ἕτεροι. Πλὴν εἰ καὶ ἑτεροειδῶς κινοῦνται τὰ οὐράνια σώματα, οὐ διατοῦτο μᾶλλον δείκνυται κινεῖσθαι διὰ κινοῦντος θελητικοῦ συνημμένου ἢ χωριστοῦ.**

**[6.6.34] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὰ οὐράνια σώματα, εἰ καὶ μὴ ἔμψυχα εἰσί, κινοῦνται ὅμως ἀπ' οὐσίας ζώσης χωριστῆς, ἧς τῇ δυνάμει ἐνεργοῦσιν ὥσπερ δυνάμεως ὄργανα πρώτου ποιητικοῦ. Κἀντεῦθεν ποιοῦσι ψυχὴν ἐν τοῖς ὑποβεβηκόσι.**

**[6.6.35] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ φιλόσοφος ἀποδεικνὺς ἃ ἠπόρηκε δύο, ὑποδιαιρῶν φησίν, ὅτι τὰ κινητὰ ἢ ἀναφέρονται εὐθὺς πρὸς κινοῦν ἀκίνητον, ἢ πρὸς κινοῦν ἑαυτό· οὗ θάτερον μέρος ἐστὶ κινοῦν ἀκίνητον, εἰ καὶ ἐκεῖνος μᾶλλον τὸ δεύτερον σκέλος αἱρεῖσθαι φαίνεται. Πλὴν ἤν τις τὸ πρῶτον διαιρέσεως μόριον ἕληται, οὐδὲν ἄτοπον ἐκ τῶν αὐτοῦ ἀποδείξεων ἕψεται.**

**351** αὐτὸ μόνον] αὐτὴν μόνην P **352** τὸ – δύναται] τὸ σῶμα post δύναται M **359** Πτολεμαῖον] Πτολομαῖον P **365** κινοῦνται] δ' habet post κινοῦνται M **372** πρῶτον πρότερον P

**[6.6.36] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ ὑπερκείμενον ἐν τοῖς σώμασιν ἅπτεται τοῦ ὑποκειμένου τῇ ἀσωμάτῳ φύσει μετουσίᾳ τινὶ τῶν ἰδιοτήτων αὐτοῦ, ὥσπερ φαίνεται τοῦθ', ὅτι ἐστὶν ἄφθαρτον, οὐ διὰ τοῦ ἑνοῦσθαι δέ.**

**[6.6.37] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ ἀνθρώπινον σῶμα ὅσον πρὸς τὴν ὕλην ἀτιμώτερόν ἐστι τοῦ οὐρανίου σώματος, ἀλλὰ τὸ τοῦ ἀνθρώπου σῶμα εἶδος κέκτηται τιμιώτερον, εἴ γε τὰ οὐράνια σώματά εἰσιν ἄψυχα. Κρείττω μέντοι καθ' αὐτὸ λέγω τὸ εἶδος, οὐ καθὸ τὸ σῶμα εἰδοποιεῖ. Τελεωτέρῳ γὰρ τρόπῳ τὸ εἶδος τοῦ οὐρανοῦ τελεῖ τὴν ὕλην ᾗ παρέχεται τὸ εἶναι ἄφθαρτον ἢ ἡ λογικὴ ψυχή. Τὸ σῶμα τοῦτο δὲ διὰ τόδε· ἡ γὰρ ἀσώματος οὐσία ἡ κινοῦσα τὸν οὐρανόν ἐστιν ὑψηλοτέρας ἀξίας, ἢ ὥστε σώματι ἑνοῦσθαι.**

**[6.6.38] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὰ ἀέρια σώματα εἶναι οὐ δύνανται τοῖς προειρημένοις λόγοις.**

**[6.6.39] Καὶ διατοῦτο λύσις ἐμφαίνεται πρὸς τὸ πεντεκαιδέκατον, ὃ πρόεισιν ἐκ τῆς τοῦ Πλάτωνος δόξης.**

P 161v **[6.6.40] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ὁ ἄγγελος οὐ κινεῖται μετρητῷ διαστήματι, | ὥσπερ τὰ σώματα κινοῦντα· ἀλλ' ὅμως ἡ κίνησις λέγεται κατὰ τῆς τῶν ἀγγέλων κινήσεως καὶ τῶν σωμάτων.**

**[6.6.41] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ὁ Λόγος τοῦ Θεοῦ οὐχ ἥνωται τῷ σώματι ὡς εἶδος. Ταύτῃ γὰρ γένοιτ' ἂν μία φύσις ἐκ τοῦ Λόγου καὶ τῆς σαρκός, ὅπέρ ἐστιν αἱρετικόν.**

**[6.6.42] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὁ Πορφύριος ἐν τούτῳ ἕπεται τῇ δόξῃ τοῦ Πλάτωνος, ὃς θεοὺς ὀνομάζει τοὺς δαίμονας, οὓς ἐτίθετο ζῷα, καὶ τὰ οὐράνια σώματα.**

**380** τὸ$^{2}$] deest P **381** Τελεωτέρῳ] τελειωτέρῳ M **390** κινοῦντα] deest M (moventur Aq.) **393** ἂν] bis acc. P

## Κεφάλαιον ἕβδομον

## Πότερον οἱ ἄγγελοι ἢ καὶ οἱ δαίμονες δύνανται σῶμα προσλαμβάνειν ἢ οὔ.

[6.7.1] Ἕβδομον ζητεῖται, πότερον οἱ ἄγγελοι ἢ καὶ οἱ δαίμονες δύνανται σῶμα προσλαμβάνειν. Καὶ δοκεῖ μή. Σῶμα γὰρ ἡνῶσθαι τῇ ἀσωμάτῳ οὐσίᾳ οὐ δύναται, εἰ μὴ ᾖ ὅσον πρὸς τὸ εἶναι, ἢ ὅσον πρὸς τὴν κίνησιν. Ἀλλ᾽ οἱ ἄγγελοι οὐ δύνανται ἔχειν σώματα ἡνωμένα ἑαυτοῖς ὅσον πρὸς τὸ εἶναι· ταύτῃ γὰρ εἶεν αὐτοῖς φυσικῶς ἡνωμένα, ὅπέρ ἐστιν ἐναντίον τοῖς προειρημένοις. Λείπεται ἄρα μὴ δύνασθαι τοῖς σώμασιν ἑνοῦσθαι εἰ μὴ ἐφόσον κινοῖεν αὐτά. Ἀλλ᾽ οὐκ ἀπόχρη τοῦτο πρὸς τὸν τῆς προσλήψεως λόγον. Ὡδὶ γὰρ ὁ ἄγγελος καὶ ὁ δαίμων προσλαμβάνοιεν ὃ κινοῦσι σῶμα, ὅπερ δῆλον εἶναι ἀπάτην· κινεῖ γὰρ ὁ ἄγγελος τὴν γλῶτταν τῆς ὄνου τοῦ Βαλαάμ, οὐ μέντοι ταύτην λέγεται προσειληφέναι. Οὐκ ἄρα οἷόν τε λέγεσθαι τὸν ἄγγελον ἢ τὸν δαίμονα σῶμα ἀναιρεῖσθαι.

[6.7.2] Ἔτι, εἰ οἱ ἄγγελοι ἢ οἱ δαίμονες σώματα ἀναιροῦνται, τοῦτο οὐκ ἔστι τῆς ἑαυτῶν εἵνεκα χρείας, ἀλλὰ δι᾽ ἡμᾶς, ἢ νουθετητέους ὄντας τό γ᾽ ἧκον εἰς τοὺς ἀγαθοὺς ἀγγέλους, ἢ ἐξαπατητέους ὅσον πρὸς τοὺς πονηρούς. Ἀλλὰ πρὸς ὁπότερον ἀπόχρη μόνη ἡ κατὰ φαντασίαν ὅρασις. Οὐ δοκεῖ ἄρα σώματα ἀναιρεῖσθαι.

[6.7.3] Ἔτι, ὁ Θεὸς ἐν τῇ Παλαιᾷ Διαθήκῃ τοῖς πατράσιν ὧπται, ὥσπερ καὶ οἱ ἄγγελοι φανθῆναι ἀναγινώσκονται, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ. Ἀλλ᾽ οὐ ῥητέον τὸν Θεὸν σῶμα ἀνειληφέναι εἰ μὴ κατὰ τὸ τῆς σαρκώσεως μυστήριον. Οὐδ᾽ ἄρα οἱ ὁρώμενοι ἄγγελοι σώματα ἀναιροῦνται.

[6.7.4] Χωρὶς δὲ τούτων, ὥσπερ τὸ ἑνοῦσθαι σώματι φυσικῶς συμβαίνει τῇ ψυχῇ, οὕτω τὸ μὴ ἑνοῦσθαι φυσικῶς συμβαίνει τῷ ἀγγέλῳ. Ἀλλ᾽ ἡ ψυχὴ οὐ δύναται τοῦ σώματος ἀποκρίνεσθαι, ὁπηνίκα βούλεται· ἀλλ᾽ ἡ ψυχὴ οὐ δύναται τοῦ σώματος ἀποκρίνεσθαι, ὁπηνίκα βούλεται. Ἆρα οὐδ᾽ ὁ ἄγγελος δύναται σῶμα ἀναιρεῖσθαι.

[6.7.5] Ἔτι, οὐδεμία οὐσία πεπερασμένη ἔρρωται ὁμοῦ πρὸς πολλὰς ἐνεργείας. Ὁ δ᾽ ἄγγελός | P 162r ἐστιν οὐσία τις πεπερασμένη. Οὐκ ἄρα δύναται ὁμοῦ ἐν ἡμῖν διακονεῖν καὶ σῶμα λαμβάνειν.

**19-21** ὁ – τρίτῳ] cf. Aug., De trin. III, cap. 11-12.

**2, 4** σῶμα] σώματα V (corpus Aq.) **10** Ὡδὶ] ὁδὶ V **15** νουθετητέους] νουθετικοὺς P (νουθετηκοὺς? a. corr.) (instruendos Aq.) **30** διακονεῖν] διακονεῖσθαι V (ministrare Aq.)

**[6.7.6] Ἔτι, ἐν τῷ προσλαμβάνοντι καὶ τῷ προσλαμβανομένῳ χρὴ εἶναί τινα ἀναλογίαν. Ἀλλ’ ἐν τῷ σώματι καὶ τῷ ἀγγέλῳ οὐκ ἔστι τις ἀναλογία, διὰ τὸ εἶναι γενῶν διαφόρων καί, ὡς εἰκός, ἀπαράβλητα. Ὁ ἄγγελος ἄρα οὐ δύναται σῶμα προσλαμβάνεσθαι.**

**[6.7.7] Ἄνευ δὲ τούτων, εἰ ὁ ἄγγελος προσλαμβάνεται σῶμα, ἢ σῶμα προσλαμβάνεται οὐρανίου ἤ τι ἐκ τῆς τῶν τεσσάρων φύσεως στοιχείων. Ἀλλ’ ὅτι μὲν οὐκ ἐκ τοῦ οὐρανίου σώματος, οὐ γὰρ διαιρεῖσθαι δύναται τοῦτο οὐδὲ τοῦ ἰδίου τόπου ἀποσπᾶσθαι. Ὁμοίως δ’ αὖ οὐδὲ τοῦ πυρίνου σώματος· ταύτῃ γὰρ δαπανήσειε τὰ ἄλλα σώματα, οἷς ἂν ὁμιλοίη. Οὐδ’ αὖ πάλιν ἀέριον σῶμα ἀναιρεῖσθαι δύναται· ὁ γὰρ ἀὴρ ἀσχημάτιστός ἐστιν. Οὐδ’ ὑδαρόν· τὸ γὰρ ὕδωρ οὐ κατέχει σχῆμα. Οὐδ’ αὖ γεῶδες παραπλησίως· καὶ γὰρ ἐξαπίνης ἀφανίζεται, ὡς φαίνεται διὰ τοῦ ἐν τῷ Τωβίᾳ ἀγγέλου. Ἄρα τρόπῳ σῶμα ἀναλαμβάνει.**

**[6.7.8] Ἔτι, πᾶσα πρόσληψις πρός τινα ἕνωσιν τελευτᾷ. Ἀλλ’ ἐκ τοῦ ἀγγέλου καὶ τοῦ σώματος οὐ δύναται γενέσθαι ἓν τρόπῳ γέ τῳ ἐκείνων τῶν τριῶν τῆς ἑνότητος, οὓς τίθησιν ὁ Φιλόσοφος ἐν τῷ τῆς Φυσικῆς πρώτῳ· οὐ γὰρ δύνανται γίνεσθαι** ἓν τῷ συνεχεῖ, **οὐδὲ τῷ** ἀδιαιρέτῳ, **οὐδ’ αὖ τῷ** λόγῳ. **Ἄρα ὁ ἄγγελος οὐ δύναται σῶμα προσλαμβάνεσθαι.**

**[6.7.9] Ἔτι, εἰ ὁ ἄγγελος σῶμα προσλαμβάνει, ἢ ἔχει τὸ παρ’ αὐτῶν προσλαμβανόμενον σῶμα ἀληθινὸν εἶδος ὃ ὁρᾶται ἢ οὔ. Εἰ μὲν οὖν ἀληθινόν ἐστι τὸ εἶδος, ἐπειδὰν ἐνίοτε φαίνηται ἐν εἴδει ἀνθρώπων, τὸ σῶμα τὸ παρ’ αὐτῶν προσλαμβανόμενον ἔσται ἀληθινὸν σῶμα ἀνθρώπινον. Ὅπερ ἀδύνατον, εἰ μὴ λέγοιτο τὸν ἄγγελον προσλαμβάνεσθαι ἄνθρωπον· ὃ δοκεῖ εἶναι ἄτοπον. Εἰ δὲ μή ἐστιν ἀληθῆ εἴδη, οὐδὲ ταύτῃ προσᾴδων φαίνεται· οὐ γὰρ προσήκει τις ὑπόκρισις τῷ ἀγγέλῳ τῆς ἀληθείας. Οὐδενὶ ἄρα τρόπῳ ὁ ἄγγελος σῶμα προσλαμβάνει.**

**[6.7.10] Ἔτι, ὥσπερ ἐν τοῖς ἄνω εἴληπται, οἱ ἄγγελοι καὶ οἱ δαίμονες, τῇ δυνάμει τῆς ἰδίας φύσεως οὐ δύνανται ποιεῖν ἐν τούτοις τοῖς σωματικοῖς**

**46-47** οὓς – λόγῳ] Ar., Phys. I, 185b.6-8: λέγεται δ' ἓν ἢ τὸ συνεχὲς ἢ τὸ ἀδιαίρετον ἢ ὧν ὁ λόγος ὁ αὐτὸς καὶ εἷς ὁ τοῦ τί ἦν εἶναι **41-42** οὐδ’ – ἀγγέλου] cf. Tob. 12, 21: καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν.

**35** ἢ] ὃ P (aut Aq.) **36** τεσσάρων] α’ M (quattuor Aq.) **39** ὁμιλοίη] μετέλθῃ M (adhaereret Aq.) **40** ὑδαρόν] ὕδωρ M (aqueum Aq.) **41** σχῆμα] σῶμα P (figuram Aq.) **55** τῷ ἀγγέλῳ] τῷ ἀν(θρώπ)ῳ[a. corr.] V | ἄρα] γὰρ M (ergo Aq.) **59** Ἀλλ’ αἰ] ἀλλὰ P

ἀποτελέσματά τινα εἰ μὴ μεσιτευουσῶν τῶν φυσικῶν δυνάμεων. Ἀλλ’ αἱ φυσικαὶ δυνάμεις οὐκ ἐνυπάρχουσι τοῖς σωματικοῖς πράγμασι πρὸς τὸ διαπλάττειν εἶδος ἀνθρωπείου σώματος, εἰ μὴ καθωρισμένος τρόπος γεννήσεως καὶ ὡρισμένῳ σπέρματι. Καθ’ ὃν δὴ τρόπον συμβαίνει τοὺς ἀγγέλους μὴ ἀναιρεῖσθαι σῶμα ἀνθρώπινον. Ὁ δ’ αὐτὸς λόγος ἐστὶ καὶ περὶ P 162v τῶν ἰδεῶν τῶν ἄλλων σωμάτων, | ἐν αἷς οἱ ἄγγελοι ἐνίοτε φαίνονται. Οὐκ ἄρα οἷόν τε εἶναι τοὺς ἀγγέλους σώματα προσλαμβάνεσθαι.

[6.7.11] Παρὰ ταῦτα, ἀνάγκη τὸ κινοῦν ἐγχεῖν τι τῷ κινουμένῳ σώματι. Οὐ δύναται δὲ ἐγχεῖν εἰ μὴ τρόπῳ γέ τῳ συνάπτοιτο. Ἐπεὶ τοίνυν οὐ δύναταί τις εἶναι συνάφεια τῶν ἀγγέλων πρὸς τὰ σώματα, δοκεῖ ὅτι ἐνδύναται κινεῖν· καὶ κατὰ τὸ εἰκὸς οὐδὲ προσλαμβάνειν.

[6.7.12] Ἀλλ’ ἔλεγεν, ὅτι οἱ ἄγγελοι μόνῳ τῷ τῆς βουλήσεως ἐπιτάγματι κινοῦσι τὰ σώματα τῇ κατὰ τόπον κινήσει. Ἀλλὰ τοὐναντίον, τὸ κινοῦν καὶ τὸ κινούμενον δεῖ εἶναι ὁμοῦ, ὡς ἀποδείκνυται ἐν τῷ τῆς Φυσικῆς ἑβδόμῳ. Ἀλλ’ ἐκ τοῦ τὸν ἄγγελόν τι προστάττειν τῇ ἰδίᾳ βουλήσει οὐ γίνεται ὁμοῦ μετὰ τοῦ σώματος, ὅπερ ἐπιτάγματι κινεῖσθαι λέγεται. Ἄρα μόνῳ ἐπιτάγματι κινεῖν οὐ δύναται.

[6.7.13] Ἔτι, ἡ σωματικὴ κίνησις οὐχ ὑπακούει τοῖς ἀγγέλοις πρὸς τὸ νεῦμα, ὅσον πρὸς τὴν αὐτῶν μόρφωσιν, ὥσπερ ἐν τοῖς φθάσασιν εἴρηται. Τὸ δὲ σχῆμα ἐστί τις μορφή. Ἄρα ἀδύνατον μόνῳ προστάγματι τοὺς ἀγγέλους σῶμα τι διαπλάττειν πρὸς τὸ ἔχειν μορφὴν ἀνθρώπου ἤ τινος ζῴου, ἐν ᾧ ὁ ἄγγελος φαίνεται.

[6.7.14] Ἔτι, ἐν ἐκείνῳ τῷ ἐν τοῖς Ψαλμοῖς, Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, φησὶν ἡ Ἐξήγησις, ὅτι οἱ δαίμονες ἔξωθεν περικάθηνται τοῖς ἀγάλμασιν, ἔνδον μέντοιγε εἶναι οὐ δύνανται. Τῷ δ’ αὐτῷ λόγῳ οὐδὲ ἐν τοῖς ἄλλοις σώμασιν. Ἀλλ’ εἰ σώματα ἀναιροῦνται, ἀνάγκη ταῦτα ὑποδεδυκέναι. Οὐ λεκτέον ἄρα, σώματα ἀναιρεῖσθαι.

[6.7.15] Ἔτι, εἰ προσλαμβάνουσί τι σῶμα, ἢ παντὶ ἑνοῦνται τῷ σώματι ἤ τινι μέρει αὐτοῦ· εἰ τινὶ μέρει αὐτοῦ μόνον, οὐ δύνανται ὅλον τὸ σῶμα κινεῖν, εἰ

**71-72** τὸ – ἑβδόμῳ] Ar., Phys. VII, 242a58-60: ἀνάγκη ἅμα γίγνεσθαι τὴν τοῦ κινουμένου καὶ τὴν τοῦ κινοῦντος κίνησιν (ἅμα γὰρ κινεῖ τὸ κινοῦν καὶ κινεῖται τὸ κινούμενον). **81** ἐν – αὐτοῦ] Ps. 10, 4: Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.

**59** Ἀλλ’ αἱ] Ἀλλὰ V **61** καθωρισμένος τρόπος] intellige καθωρισμένῳ τρόπῳ **68** κινεῖν] κρίνειν (movere Aq.) **72** δεῖ] ἀεὶ (oportet Aq.) **87** μέρει – μόνον] μόνον μέρει αὐτοῦ M (solum alicui parti eius Aq.)

μὴ τὸ ἓν μέρος κινοῦσι θατέρου μεσιτεύοντος, ὅπερ οὐ δοκεῖ οἷόν τε συμβαίνειν, εἰ μὴ τὸ ἀνειλημμένον σῶμα ἔχει μέρη ὀργανικὰ ὡρισμένα πρὸς κίνησιν, ὅπέρ ἐστι μόνων τῶν ἐμψύχων σωμάτων. Εἰ δ’ αὖ ὅλῳ τῷ σώματι ἑνοῦνται ἀμέσως, ἀνάγκη ἐν ὁτῳδήποτε μορίῳ τοῦ ἀνειλημμένου σώματος ἐνυπάρχειν τὸν ἄγγελον, καὶ συμβαίνει ὅλου ὄντος ἀμεροῦς εἶναι ὁμοῦ αὐτὸν ἐν πλείοσι τόποις, ὅπέρ ἐστι μόνου τοῦ Θεοῦ. Οὐ δύναται ἄρα ὁ ἄγγελος σῶμα ἀναλαμβάνειν.

[6.7.16] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ ἀναγινωσκόμενον περὶ τῶν ἀγγέλων τῶν φανέντων τῷ Ἀβραάμ, ὡς περιέχεται ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς Γενέσεως, οἳ ὤφθησαν, μετὰ προσειλημμένων σωμάτων. Τὸ δ’ αὐτό φησι καὶ ἡ ἑρμηνεία περὶ τοῦ ὀφθέντος ἀγγέλου τῷ Τωβίᾳ.

[6.7.17] Ἀπόκρισις. Ῥητέον, ὅτι ἔνιοι τῶν τῇ θείᾳ Γραφῇ πιστευόντων, ἐν ᾗ τῶν ἀγγέλων | P 163r ἐποψίαι ἀναγινώσκονται, ἔφασαν τοὺς ἀγγέλους μηδέποτε σώματα προσλαμβάνεσθαι· ὥσπερ φαίνεται περὶ τοῦ Ῥαββὶ Μωυσέως, ὃς ταύτην τὴν δόξαν ἐπρέσβευσε. Φησὶ γὰρ πάντα τὰ ἐν τῇ ἱερᾷ Γραφῇ ἀναγινωσκόμενα περὶ τῆς τῶν ἀγγέλων ἐπιφανείας συμβαίνειν ἐν ὁράσει προφητικῇ, δηλαδὴ κατὰ τὴν ἐν φαντασίᾳ ὄψιν, ἐνίοτε μὲν ὕπαρ, ἐνίοτε δὲ καθ’ ὕπνους. Ἀλλ’ αὐτὴ ἡ θέσις τὴν ἀλήθειαν τῆς Γραφῆς οὐ σῴζει. Ἐκ γὰρ αὐτοῦ τοῦ τῆς διαλέξεως τρόπου, ᾧ ἡ Γραφὴ χρῆται, δίδοται νοεῖσθαί τι ἀπαγγέλλεται, ὡς χρήματι πραχθὲν καὶ τί ποτε κατὰ τὸν τῆς προφητικῆς ὁράσεως τρόπον. Ἐπειδὰν γάρ τινα ὀφείλωσι νοεῖσθαι κατὰ τὸν τῆς προφητικῆς ὁράσεως τρόπον, τίθενταί τινα ῥήματα προσήκοντα τῇ ὁράσει, ὥσπερ τὸ λεγόμενον ἐν τῷ ὀγδόῳ τοῦ Ἐζεκιήλ· *καὶ ἐξῆρε με Πνεῦμα μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ ἤγαγέ με εἰς Ἱερουσαλὴμ ἐν ὁράσει Κυρίου*. Ὅθεν δῆλον τὰ ἁπλῶς ἀπαγγελλόμενα καὶ ἁπλῶς νοεῖσθαι καθήκειν πεπράχθαι. Οὑτωσὶ δὲ ἀναγινώσκεται περὶ πλειόνων ἐποψιῶν ἐν τῇ Παλαιᾷ Διαθήκῃ. Ὅθεν ἁπλῶς συγχωρητέον ἐστὶ τοὺς ἀγγέλους ποτὲ μὲν σώματα ἀναιρεῖσθαι μορφοῦντας σώματα αἰσθητὰ τῇ ἐξωτερικῇ καὶ σωματικῇ ὁράσει ὑποκείμενα,

**95-97** τὸ – σωμάτων] cf. Gen. 18, 2: ἀναβλέψας δέ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν. **110-111** ἐν – Κυρίου] Ez. 8, 3: καὶ ἐξέτεινεν ὁμοίωμα χειρὸς καὶ ἀνέλαβέ με τῆς κορυφῆς μου καὶ ἀνέλαβέ με πνεῦμα ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ καὶ ἤγαγέ με εἰς Ἱερουσαλὴμ ἐν ὁράσει Θεοῦ ἐπὶ τὰ πρόθυρα τῆς πύλης τῆς ἐσωτέρας τῆς βλεπούσης εἰς βορρᾶν, οὗ ἦν ἡ στήλη τοῦ κτωμένου.

**89** πρὸς] περὶ M (ad Aq.) **105** σῴζει] σῴζεται M (salvat Aq.) **106** νοεῖσθαι] ἑνοῦσθαι M (utitur Aq.) **106-107** τι – ποτε] deest P, V (quid significetur ut res gesta, et quid Aq.) **108** ὀφείλωσι] οφείλουσι M **108-109** νοεῖσθαι – τρόπον] deest M (homoioteleuton ex τρόπον) **119** τεταγμέναι] τεταγμένα M (intellige ἐποψίαι)

ἐνίοτε δ’ αὖθις εἴδη τινὰ τῇ φαντασίᾳ μορφοῦντες φαίνονται κατὰ τὴν φαντασιώδη ὅρασιν. Τοῦτο δὲ προσῆκόν ἐστι τρισὶ λογισμοῖς. Πρῶτον μὲν καὶ κυρίως, ὅτι πᾶσαι ἐκεῖναι αἱ κατὰ τὴν Παλαιὰν Διαθήκην ἐποψίαι πρὸς ἐκείνην εἰσὶ τὴν ἐποψίαν τεταγμέναι, καθ’ ἣν ὁ τοῦ Θεοῦ παῖς ὁρατὸς ὤφθη τῷ κόσμῳ, ὡς ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ φησίν. Ἀμέλει κἀπειδὴ ὁ τοῦ Θεοῦ Υἱὸς ἀληθινὸν ἀνείληφε σῶμα καὶ οὐ φανταστόν, ὡς οἱ Μανιχαῖοι μυθεύονται, προσῆκον γέγονε καὶ τοὺς ἀγγέλους ἀληθινὰ σώματα ἀναιρουμένους τοῖς ἀνθρώποις φαντάζεσθαι. Δεύτερος δὲ λόγος ληφθῆναι δύναται, ἐκ τῶν Διονυσίου ῥημάτων ἐν τῇ Πρὸς Τίτον ἐπιστολῇ· φησὶ γὰρ ὅτι διατοῦτο ἐν τῇ θείᾳ Γραφῇ τὰ θεῖα ἡμῖν ὑπὸ αἰσθητοῖς παραδίδονται, πρὸς τοῖς ἄλλοις λόγοις διὰ τὸ τὸν ἄνθρωπον ὅλον, ὅσον ἐφικτόν, ἐκ τῆς τῶν θείων μετουσίας τελειοῦσθαι, καὶ μὴ τὸν νοῦν μόνον θηρώμενον τὴν νοητὴν ἀλήθειαν, ἀλλὰ καὶ τὴν αἰσθητὴν φύσιν διὰ τῶν αἰσθητῶν μορφωμάτων, ἅπέρ εἰσιν οἱονεί τινες εἰκόνες τῶν θείων. Ὅθεν ὁμοίως, ἐπειδήπερ οἱ ἄγγελοι τοῖς ἀνθρώποις φαίνονται πρὸς τὸ τελειοῦν αὐτούς, προσήκει <οὐ> μόνον τὸν νοῦν φωτίζειν διὰ τῆς νοητῆς ὁράσεως, ἀλλὰ καὶ τῆς φαντασίας προνοεῖσθαι
P 163v κατὰ τὴν φανταστικὴν ὅρασιν καὶ τῆς ἐξωτερικῆς αἰσθήσεως τῆς | διὰ τῆς φανταστικῆς ὄψεως τῶν ἀνειλημμένων δηλαδὴ σωμάτων. Ὅθεν καὶ ἡ ὅρασις αὕτη τρισσὴ παραδίδοται δι’ Αὐγουστίνου τῆς Εἰς τὴν γένεσιν Ἐξηγήσεως. Τρίτος λόγος δύναται εἶναι ὅτι, εἰ καὶ οἱ ἄγγελοι τῇ φύσει κρείττους εἰσὶν ἡμῶν διὰ τῆς χάριτος, ὅμως τυγχάνομεν τῆς αὐτῶν ἰσότητος καὶ κοινωνίας, καθάπερ τῷ εἰκοστῷ δευτέρῳ τοῦ Κατὰ Ματθαῖον περιέχεται· ἔσονται γάρ φησιν, ὡς ἄγγελοι ἐν τῷ οὐρανῷ. Καὶ διατοῦτο, ἵνα τῆς σφῶν αὐτῶν οἰκειότητος ἡμῖν μεταδώσωσιν τῷ ἰδίῳ τρόπῳ, διὰ τῆς τῶν σωμάτων ἀναλήψεως συμμορφοῦνται, ἵνα τὸ ἡμέτερον λαμβάνοντες τὸν ἡμῶν νοῦν διαστῆναι παρασκευάσωνται πρὸς τὸ σφέτερον, ὥσπερ καὶ ὁ τοῦ Θεοῦ Υἱός, συγκαταβαίνων ἡμῖν, πρὸς ἑαυτὸν ἡμᾶς ἐπανήγαγεν. Οἱ δαίμονες δὲ εἰς

**124-129** ἐκ – θείων] cf. Dion., Epist. IX, Ad Titum, (PG 3, col. 1104B): ... διὰ δή τινων κρυφίων καὶ ἀποτετολμημένων αἰνιγμάτων ἐκφαίνωσι τὴν θείαν καὶ μυστικὴν καὶ ἄβατον τοῖς βεβήλοις ἀλήθειαν. Διὸ καὶ ἀπιστοῦμεν οἱ πολλοὶ τοῖς περὶ τῶν θείων μυστηρίων λόγοις· θεώμεθα γὰρ μόνον αὐτὰ διὰ τῶν προσπεφυκότων αὐτοῖς αἰσθητῶν συμβόλων. **133-134** ἡ – Ἐξηγήσεως] Aug., De gen. ad litt. XI, cap. 7 et 24. **137-138** τῷ – οὐρανῷ] Mt. 22, 30: ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ᾽ ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι.

**133** ὄψεως] καὶ τῆς σωματικῆς add. M; deest Aq. **136** τυγχάνομεν] τυγχάνωμεν P (adispiscimur Aq.) **140** διαστῆναι] διανατῆναι M (assurgere Aq.)

ἀγγέλους φωτὸς μετασχηματιζ**όμενοι, ὅπερ οἱ ἀγαθοὶ ἄγγελοι πρὸς τὴν ἡμετέραν τελειότητα πραγματεύονται, αὐτοὶ πρὸς ἀπάτην μεταχειρίζουσι.**

**[6.7.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι οὐ πᾶν σῶμα ὃ κινεῖ ὁ ἄγγελος προσλαμβάνει. Προσλαμβάνειν γὰρ λέγεται τὸ ὡσανεὶ πρὸς ἑαυτὸν λαμβάνειν. Προσλαμβάνει τοίνυν ὁ ἄγγελος σῶμα, οὐκ ἐφ’ ᾧ τῇ ἑαυτοῦ φύσει συνάψει, ὥσπερ ὁ ἄνθρωπος προσλαμβάνει τὸν σῖτον, οὐδ’ ὡς ἑνῶσαι τῷ ἑαυτοῦ προσώπῳ, ὥσπερ ὁ τοῦ Θεοῦ Υἱὸς προσλαμβάνει τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ πρὸς ἑαυτοῦ δήλωσιν ἐκείνῳ τῷ τρόπῳ, ᾧ τὰ νοητὰ διὰ τῶν αἰσθητῶν δείκνυσθαι δύνανται. Τηνικαῦτα τοίνυν ὁ ἄγγελος σῶμα προσλαμβάνειν λέγεται, ἡνίκα σώματι τούτῳ τῷ τρόπῳ εἰδοποιεῖ ὥστ’ ἔχειν ἐπιτηδείως πρὸς ἐναργῆ παράστασιν αὐτοῦ. Ὥσπερ φαίνεται διὰ τοῦ Διονυσίου ἐν τῷ τέλει τῆς Οὐρανίου Ἱεραρχίας· δείκνυσι γὰρ διὰ τῶν σωματικῶν μορφῶν τὰς τῶν ἀγγέλων ἰδιότητας νοεῖσθαι.**

**[6.7.19] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐ μόνον ἡ κατὰ φαντασίαν ὅρασίς ἐστιν ὠφέλιμον πρὸς τὴν ἡμετέραν μυσταγωγίαν, ἀλλὰ καὶ ἡ σωματική, ὡς εἴρηται.**

**[6.7.20] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ, πάσας φησὶ τὰς θεοφανείας ἐν τῇ παλαιᾷ νομοθεσίᾳ ἀναγινωσκομένας, γενέσθαι ὑπουργίᾳ τῶν ἀγγέλων, αἵ, εἴτε εἶεν φαντασιώδεις εἴτε σωματικαί, τὸ τοῦ ὁρῶντος φῶς ἀνθρώπου εἰς Θεὸν <δεῖ> ἀναφέρειν· ὥσπερ ἐκ τῶν αἰσθητῶν σχημάτων ἐφικτόν ἐστιν ἀνθρώπῳ πρὸς Θεὸν ἀναφέρεσθαι. Τὰ φαινόμενα τοίνυν σώματα ἐν ταῖς εἰρημέναις ἐποψίαις οἱ ἄγγελοι μὲν ἀνειλήφεσαν, ἀλλ’ ὁ Θεὸς ἐν αὐταῖς δείκνυσθαι λέγεται, ὅτι αὐτὸς ἦν τὸ τέλος, εἰς ὃ διὰ τῆς προβολῆς τῶν τοιούτων σωμάτων τὴν ἀνθρωπίνην |**
P 164$^{r}$ **διάνοιαν οἱ ἄγγελοι μετεωρίζειν ἐσκόπουν. Καὶ διατοῦτο ἐν ἐκείναις ταῖς ἐπιφανείαις ἡ Γραφὴ ἐνίοτε μὲν τοῦ Θεοῦ μέμνηται ὡς φανέντος, ἐνίοτε δὲ ἀγγέλου.**

**142-143** Οἱ – μεταχηματιζόμενοι] II Cor. 11, 14: καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. **151-154** ὁ – Ἱεραρχίας] cf. Ps.-Dion., De coel. hier., cap. 8, n. 2 (PG 3, cols 240C-241A, Ritter p. 34). **159-162** ὁ – ἀναφέρειν] Aug., De Trin. III, cap. 11, n. 22 (PL 42, col. 882): Proinde illa omnia quae Patribus visa sunt cum Deus illis secundum suam dispensationem temporibus congruam praesentaretur per creaturam facta esse manifestum est…

**147** ὁ] deest M **148** ἑνῶσαι] ἓν ὡσανεὶ M (uniat Aq.) **153** ἐναργῆ] ἐναργεῖ M (intellige παράστασιν) **165** δείκνυσθαι] δεικνῦσθαι M

[6.7.21] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι οὐδὲν χρῆμα δύναται ὑπὲρ τὸ ἑαυτοῦ εἶναι· παντὸς γὰρ ὄντος δύναμις ἐκ τῆς αὐτοῦ οὐσίας ἀπορρεῖ ἢ οὐσίαν προϋποτίθησιν. Κἀπειδὴ ἡ ψυχὴ κατὰ τὸ ἑαυτῆς εἶναι ἑνοῦται τῷ σώματι ὡς εἶδος, οὐκ ἔστιν ἐν τῇ αὐτῆς δυνάμει λύεσθαι ἑαυτὴν τῆς τοῦ σώματος ἑνώσεως. Παραπλησίως δὲ οὐκ ἔστιν ἐν τῇ τοῦ ἀγγέλου δυνάμει ἑνοῦν ἑαυτὸν σώματι κατὰ τὸ εἶναι ὡς εἶδος. Δύναται δὲ σῶμα ἀναλαμβάνειν τῷ προειρημένῳ τρόπῳ, ᾧ ἑνοῦται ὡς κινῶν καὶ ὡς τῷ σχήματι τὸ σχηματιζόμενον.

[6.7.22] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι αὗται αἱ δύο ἐνέργειαι, τὸ σῶμα ἀναιρεῖσθαι καὶ ὑπηρετεῖσθαι, εἰσὶ τεταγμέναι πρὸς ἀλλήλας. Καὶ διατοῦτο οὐδὲν προσίσταται ὁμοῦ ταῦτα τὸν ἄγγελον ἀνύτειν.

[6.7.23] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι, εἰ ἡ ἀναλογία ληφθείη κατὰ τὴν συμμέτρησιν, οὐ δύναται εἶναι τὸν ἄγγελον πρὸς τὸ σῶμα ἀναλογίᾳ· οὐδὲ γάρ εἰσι τὰ τούτων μεγέθη ἑνὸς γένους οὐδὲ λόγου τοῦ αὐτοῦ. Οὐδὲν δὲ ὅμως κωλύει εἶναί τινα σχέσιν τοῦ ἀγγέλου πρὸς τὸ σῶμα ὡς κινοῦντος πρὸς κινούμενον, καὶ ὡς εἰκονιζομένου πρὸς εἰκονίζον· ἃ ἀναλογίᾳ δύναται λέγεσθαι.

[6.7.24] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἐξ ὁτουοῦν στοιχείου δύναται ὁ ἄγγελος σῶμα ἀναιρεῖσθαι ἢ καὶ ἐκ πολλῶν στοιχείων μικτῶν, πλεῖον μέντοι προσήκειν ἐκ τοῦ ἀέρος τὸ σῶμα προσλαμβάνεσθαι, ὃς δύναται ῥᾳδίως πυκνοῦσθαι καὶ ταύτῃ σχῆμα δέχεσθαι καὶ κατέχειν, καὶ κατά τινος φωτεινοῦ σώματος ἀντίθεσιν ποικίλλως χρώννυσθαι, ὥσπερ ἐν ταῖς νεφέλαις φαίνεται, ὥστε, ὅσον ἐν τῷ παρόντι, μηδεμίαν εἶναι διαφορὰν πότερον ἀέρα καθαρὸν ἢ ἀναθυμίασιν ἢ καπνόν, ἃ εἰς τὴν τοῦ ἀέρος φύσιν τείνει.

[6.7.25] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐκείνῃ τῇ διαιρέσει διαιρεῖται τὸ ἁπλῶς ἕν. Ὧδὶ δὲ ὁ ἄγγελος τῷ σώματι οὐχ <ἁπλῶς> ἑνοῦται, ἀλλὰ κατά τι, ὥσπερ ὁ κινῶν τῷ κινουμένῳ καὶ ὡς τὸ εἰκονιζόμενον τῷ εἰκονίζοντι, ὡς ἐν τοῖς φθάσασιν εἴρηται.

**[6.7.26] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὰ σώματα ἐκεῖνα ἃ οἱ ἄγγελοι προσλαμβάνουσιν, ἔχουσι μὲν ἀληθινὰς μορφὰς ὅσον πρὸς τοῦθ', οὗπερ ἡ αἴσθησις μεταλαμβάνειν δύναται, ἅπέρ εἰσι τὰ καθ' αὑτὰ αἰσθητά, ὥσπερ χρῶμα καὶ σχῆμα· οὔκουν γε μὴν ὅσον πρὸς τὴν φύσιν τοῦ εἴδους, ἥπερ αἰσθητὴ ὑπάρχει οὖσα κατὰ συμβεβηκός. Οὐ διατοῦτο δ' ὅμως ἀνάγκη εἶναί τινα ἐκεῖ σκηνήν· οὐ γὰρ τὰς ἀνθρωπείους μορφὰς προβάλλουσιν οἱ ἄγγελοι, ὥστε ἄνθρωποι εἶναι πιστευθῆναι· ἀλλ' ὡς διὰ τῶν ἀνθρωπίνων** P 164v **ἰδιοτήτων, αἱ ἀγγελικαὶ δυνάμεις | γνωσθεῖεν· ὥσπερ οὐδὲ τὰ μεταφορικὰ διαλέξεις ψευδεῖς τυγχάνουσιν, ἐν αἷς ἔκ τινων εἰκόνων ἄλλ' ἄττα δηλοῦνται.**

**[6.7.27] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ <αἱ> φυσικαὶ δυνάμεις τῶν σωμάτων, οὐχ ἅλις ἔχουσι πρὸς τὸ εἰσάγειν ἀληθινὸν εἶδος ἀνθρωπείου σώματος, εἰ μὴ τῷ καθήκοντι τρόπῳ τῆς γενέσεως, ἀπαρκοῦσι μέντοι πρὸς τὸ ἐμποιεῖν ὁμοιότητα ἀνθρωπίνων σωμάτων ὅσον πρὸς τὸ χρῶμα καὶ τὸ σχῆμα καὶ τὰ ἔξωθεν τούτοις ἐπισυμβαίνοντα, καὶ διαφερόντως ἡνίκα πρὸς πολλὰ τούτων ἀποχρῆναι δοκεῖ ἡ τοπικὴ κίνησις ἐνίων σωμάτων, δι' ἧς καὶ ἀναθυμιάσεις πυκνοῦνται, καὶ μαναὶ γίνονται καὶ διαφόρως αἱ νεφέλαι σχηματίζονται.**

**[6.7.28] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ ἄγγελος κινῶν τὸ ἀνειλημμένον σῶμα ἐγχεῖ μᾶλλον αὐτῷ καὶ ἅπτεται οὐχ ἁφῇ σωματικῇ, ἀλλ' ἀσωμάτῳ, διὰ τῆς ἑαυτοῦ δυνάμεως.**

**[6.7.29] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ ἐπίταγμα τοῦ ἀγγέλου ζητεῖ ἐκπλήρωσιν δυνάμεως. Ὅθεν δῆλον εἶναί τινα ἁφὴν ἀσώματον πρὸς τὸ κινούμενον σῶμα.**

**[6.7.30] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ σχῆμα ἐστὶ τὸ εἶδος, ὃ κατὰ ἀποτομὴν ὕλης καὶ συμπίλησιν καὶ ἀραίωσιν καὶ φορὰν πρός τινα κίνησιν τοιόνδε γίγνεσθαι δύναται ἐν τῇ ὕλῃ. Ὅθεν οὐκ ἔστιν ὁ αὐτὸς λόγος περὶ τουτουί τοῦ εἴδους καὶ τῶν λοιπῶν.**

**199** τὰς ... μορφὰς] τοὺς ... μορφοὺς P **223** συμπίλησιν] συμπίλωσιν M **225** τουτουί] τοῦτουὶ P

**[6.7.31] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ εἶναι ἔν τινι σώματι δύναται νοεῖσθαι διχῇ· ἑνὶ μὲν τρόπῳ εἶναι ἐντὸς τῶν ὅρων τῆς ποσότητος καὶ ταύτῃ οὐδὲν κωλύει τὸν διάβολον ἔν τινι σώματι εἶναι, ἑτέρῳ τρόπῳ, ὥστ᾽ εἶναι ἐν τῇ τοῦ πράγματος οὐσίᾳ, ὥσπερ ἔχειν τὸ εἶναι τῷ πράγματι, καὶ ἐνεργεῖν ἐν αὐτῷ, ὅπέρ ἐστι μόνου τοῦ Θεοῦ, εἰ καὶ λέγοιτο μὴ εἶναι τι μέρος τῆς οὐσίας τοῦ τινος πράγματος. Δύναται δὲ καὶ οὕτω νοεῖσθαι ὁ δαίμων μὴ εἶναι ἐν τῷ εἰδώλῳ, ὥσπερ οἱ εἰδωλολάτραι ᾤοντο, ὥστε δηλαδὴ ἐκ τοῦ ἀγάλματος καὶ τοῦ ἐνοικοῦντος πνεύματος γίνεσθαι ἕν.**

**[6.7.32] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ὁ ἄγγελός ἐστιν ὅλος ἐν ὅλῳ τῷ ἀνειλημμένῳ σώματι καὶ ἐν παντὶ μορίῳ αὐτοῦ. Τῷ αὐτῷ λόγῳ, ᾧ καὶ ἡ ψυχή. Εἰ γὰρ καὶ μὴ ἔστιν εἶδος τοῦ ἀνειλημμένου σώματος ὥσπερ ἡ ψυχή, ἔστιν ὅμως κινῶν. Τὸ κινοῦν δὲ καὶ τὸ κινούμενον ἀνάγκη εἶναι ὁμοῦ. Καὶ ὅμως οὐχ ἕπεται εἶναι ἐν πλείοσι τόποις ὁμοῦ· παραβάλλεται γὰρ ὅλον τὸ ἀνειλημμένον σῶμα πρὸς τὸν ἄγγελον ὥσπερ εἰς τὸ πρότερον.**

**226** νοεῖσθαι] κινεῖσθαι P (intelligi Aq.)  **229** ὥσπερ ἔχειν] ὡς παρέχον P (ut sit Aq.)  **233** ἐνοικοῦντος] ἑνὸς κινοῦντος P (habitante Aq.)

### Κεφάλαιον ὄγδοον

### Πότερον ὁ ἄγγελος καὶ ὁ δαίμων διὰ τοῦ ἀνειλημμένου σώματος δύναται τὰς τῶν ζώντων σωμάτων ἐνεργείας ἀνύειν ἢ οὔ.

**[6.8.1] Πότερον ὁ ἄγγελος καὶ ὁ δαίμων διὰ τοῦ ἀνειλημμένου σώματος δύναται τὰς τῶν ζώντων σωμάτων ἐνεργείας ἀνύειν. Καὶ δοκεῖ μή. Ὁτῳδήποτε γὰρ ἔχειν προσήκει δύναμιν πρός τι ἔργον, προσήκειν αὐτῷ ἔχειν τάδε, ὡς ἄνευ τοῦτο τὸ ἔργον κτηθῆναι οὐχ οἷόν τε· ἄλλως γὰρ ἡ τοιαύτη δύναμις τηνάλλως ἐνείη αὐτῷ. Ἀλλὰ τὰ τοιάδε ἔργα τῶν ζώντων σωμάτων ἄνευ τῶν τοῦ σώματος ὀργάνων γίνεσθαι οὐ δύνανται. Ἐπεὶ τοίνυν ὁ ἄγγελος οὐκ ἔχει σωματικὰ ὄργανα φυσικῶς αὐτῷ ἡνωμένα, δοκεῖ μὴ δύνασθαι τὰ προειρημένα ἔργα μετιέναι.**

**[6.8.2] Ἔτι, ἡ ψυχή ἐστι κρείττων τῆς φύσεως. Ἀλλ' ὁ ἄγγελος οὐ δύναται τὸ τῆς φύσεως ἔργον ποιεῖν εἰ μὴ μεσιτευούσης τῆς φυσικῆς δυνάμεως. Πολλῷ ἄρα ἧττον δύναται τὰ τῆς ψυχῆς ἔργα ποιεῖν διὰ τοῦ προσειλημμένου σώματος, ὃ ψυχῆς στέρεται.**

**[6.8.3] Ἔτι, ἐν πάσαις ταῖς τῆς ψυχῆς ἐνεργείαις, αἳ δι' ὀργάνων ἀποπληροῦνται, αἱ τῶν αἰσθήσεων ἐνέργειαί εἰσιν ἐγγύτεραι τῆς νοερᾶς ἐνεργείας, ἥτίς ἐστιν ἰδία τοῖς ἀγγέλοις. Ἀλλ' ὁ ἄγγελος διὰ τοῦ ἀνειλημμένου σώματος οὐ δύναται αἰσθάνεσθαι ἢ φαντάζεσθαι. Πολλῷ ἄρα ἧττον δύναται τὰ ἄλλα τῆς ψυχῆς ἔργα διαπράττεσθαι.**

**[6.8.4] Ἔτι, ἡ προσλαλιὰ οὐκ ἔστιν ἄνευ φωνῆς. Ἡ δὲ φωνή ἐστι φθόγγος διὰ στόματος ζῴου προϊών. Ἐπεὶ τοίνυν ὁ σώματι ἀνειλημμένῳ προσχρώμενος ἄγγελος οὐκ ἔστι ζῷον, δοκεῖ μὴ δύνασθαι διαλέγεσθαι διὰ τοῦ ἀνειλημμένου σώματος, καὶ πολλῷ ἧττον τὰ ἄλλα ποιεῖν. Ἡ γὰρ λαλιά ἐστιν ἐγγυτάτη αὐτῷ, ἐφόσον ἐστὶ προφήτης τοῦ νοῦ.**

**[6.8.5] Ἔτι, τελευταία τῆς φυσικῆς ψυχῆς ἐνέργεια ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἀτόμῳ ἐστὶν ἡ γέννησις· πρότερον γὰρ τρέφεται τὸ ζῷον ἢ γεννᾷ. Ἀλλ' οὐ δύναται λέγεσθαι περὶ τοῦ ἀγγέλου ἢ τοῦ δαίμονος τὸ ἀνειλημμένον παρ' αὐτῶν σῶμα τρέφεσθαι ἢ κινήσει αὐξήσεως κινεῖσθαι. Οὐκ ἄρα οἷόν τε τὸ προσλαμβανόμενον σῶμα γεννᾶν.**

**5** μή] bis acc. P  **8** ἐνείη] λεγείη M (adesset Aq.)  **26** φυσικῆς] intellige φυτικῆς (vegetabilis Aq.)

**[6.8.6] Ἀλλ’ ἔλεγεν, ὅτι ὁ ἄγγελος ἢ ὁ δαίμων διὰ τοῦ ἀνειλημμένου σώματος γεννᾶν δύναται οὐ σπέρματι ἐκπίπτοντι τοῦ ἀνειλημμένου σώματος, ἀλλὰ σπέρματι ἀνθρώπου ἐν γυναικὶ μεταχεομένῳ, ὥσπερ καὶ τὰ ἄλλα ἴδια προσάγοντες σπέρματά τινα ἀληθῆ καὶ φυσικὰ ἀποτελέσματα δημιουργοῦσιν. Ἀλλὰ τοὐναντίον, τὸ σπέρμα τοῦ ζῴου διαφερόντως πρὸς τὴν γένεσιν ἐνεργεῖ, διὰ τῆς φυσικῆς θέρμης. Εἰ τοίνυν ὁ δαίμων σπέρμα** P 165v **ἀπενέγκαι διά τινος μεγάλου | διαστήματος, ἀδύνατον δοκεῖ μὴ ἀποψυχθῆναι τὴν φυσικὴν θέρμην. Οὐκ ἄρα δυνατὸν γενέσθαι τὴν ἀνθρωπίνην γέννησιν τῷ προειρημένῳ τρόπῳ.**

**[6.8.7] Χωρὶς δὲ τούτων, κατατοῦτο ἐκ τοῦ τοιοῦδε σπέρματος οὐκ ἂν γεννηθείη ὁ ἄνθρωπος, εἰ μὴ κατὰ τὴν δύναμιν τοῦ ἀνθρωπείου σπέρματος. Ἐκεῖνο τοίνυν οἱ θρυλλούμενοι ἐκ τῶν δαιμόνων φύεσθαι, οὐκ ἂν εἶεν μείζονος ἡλικίας, οὐδὲ ῥωμαλεότεροι τῶν ἄλλων τῶν διὰ σπέρματος ἀνθρωπείου φυομένων, καίπερ τῷ τῆς Γενέσεως ἕκτῳ λεγομένῳ, καὶ ἐν τῷ εἰσιέναι τοὺς** υἱο**ὺς** τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων **καὶ ἐκεῖναι ἔτικτον, ἔφυσαν** οἱ γίγαντες οἱ **δυνατοὶ** ἄν**δρες** οἱ ἀπ’ αἰῶνος ὀνομαστοί.

**[6.8.8] Ἔτι, ἡ σίτισις, πρὸς τὴν θρέψιν τέτακται. Εἰ τοίνυν οἱ ἄγγελοι ἐν τοῖς προσειλημμένοις σώμασιν οὐ τρέφονται, δοκεῖ μηδὲ σιτιεῖσθαι.**

**[6.8.9] Παρὰ ταῦτα, πρὸς τὸ δεικνύναι τὴν ἀλήθειαν τοῦ ἀνισταμένου ἀνθρωπείου σώματος ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν βεβρωκέναι ἠθέλησεν. Εἰ δὴ οἱ ἄγγελοι ἢ οἱ δαίμονες ἐν τοῖς ἀνειλημμένοις σώμασιν ἐστίαν δύναιντο, οὐκ ἂν εἴη τὸ σιτεῖσθαι ἐναργὴς ἀπόδειξις τῆς ἀληθοῦς ἀναστάσεως· ὅπερ ἔοικε ψεύδει. Οὐκ ἄρα οἱ ἄγγελοι ἢ οἱ δαίμονες, διὰ τοῦ προσλαμβανομένου σώματος ἐστίαν δύνανται.**

**[6.8.10] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ λεγόμενον ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς Γενέσεως περὶ τῶν ἀγγέλων τῶν ὀφθέντων τῷ Ἀβραάμ· ἐστιασθέντες δὲ** εἰ**ρήκεσαν** πρὸς αὐτόν· ποῦ **ἐστι** Σάρρα ἡ γυνή σου;**Ἄρα ἐσθίουσι καὶ διαλέγονται οἱ ἄγγελοι ἐν τοῖς προλαμβανομένοις σώμασιν.**

**44-46** τῷ – ὀνομαστοί] Gen. 6, 4: οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ᾽ ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾽ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. **55-57** ἐν – σου] Gen. 18, 9: Εἶπε δὲ πρὸς αὐτόν· ποῦ Σάρρα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἰδοὺ ἐν τῇ σκηνῇ. εἶπε δέ· ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου. Σάρρα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς, οὖσα ὄπισθεν αὐτοῦ.

**42** θρυλλούμενοι] θρηλλούμενοι P **44** λεγομένῳ] λέγομεν M (dicatur Aq.) **48** σιτιεῖσθαι] σιτιᾶσθαι M

**[6.8.11] Ἔτι, ἐν τῷ ἕκτῳ τῆς Γενέσεως, ἐπ' ἐκεῖνο τὸ** ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ **καὶ τὰ λοιπά, φησὶν ἡ ἐξήγησις τοῦ Ἱερωνύμου· ἀληθὲς εἶναι τὸ ἐλοΐ ἑβραϊκὸν ὄνομα σημαίνειν θεὸν ἢ θεούς. Διατοῦτο ὁ Ἀκύλας ἑκατέρων τοὺς υἱούς, εἴτουν τοῦ Θεοῦ καὶ τῶν θεῶν, ἐτόλμησε θεοὺς λέγειν, νοῶν τοὺς ἁγίους ἢ τοὺς ἀγγέλους. Δοκεῖ ἄρα τοὺς ἀγγέλους γεννᾶν.**

**[6.8.12] Παρὰ ταῦτα, ὥσπερ διὰ τῆς τοῦ ἀνθρώπου τέχνης οὐδὲν γίνεται εἰκῆ, οὕτως οὐδὲ διὰ τῆς τοῦ ἀγγέλου. Μάτην δὲ ἀφομοιοῖεν τὰ διαπλαττόμενα σώματα τρόπῳ διακείμενα σώματος ὀργανικοῦ, ἣν μὴ τοῖς ὀργάνοις ἐκείνοις χρῶνται. Δοκεῖ ἄρα μετιέναι ἐν τοῖς προσλαμβανομένοις σώμασιν ἔργα πρόσφορα τοῖς ὀργάνοις, ὥσπερ τὸ ὁρᾶν δι' ὀφθαλμῶν καὶ ἀκούειν δι' ὤτων, ὡς δὲ καὶ περὶ τῶν λοιπῶν.**

**[6.8.13] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡτισοῦν ἐνέργεια ἐκ δυοῖν τὸ φυσικὸν εἶδος λαμβάνειν δοκεῖ, εἴτουν ἐκ τοῦ ποιοῦντος καὶ τοῦ τέλους. Ἡ γὰρ θέρμανσις τῆς ψύχεως διενήνοχεν, ὅτι ἡ μὲν αὐτῶν ἐκ θέρμης πρόεισι καὶ εἰς θέρμην τελευτᾷ, ἡ δὲ ἐκ ψύχους καὶ εἰς ψύχος. Ἰδίως μέντοιγε ἡ ἐνέργεια, ὥσπερ καὶ**
P 166r **ἡ κίνησις, | ἀπὸ τοῦ τέλους τὸ εἶδος ἴσχει, ἀπὸ δὲ τῆς ἀρχῆς τὸ εἶναι φυσικήν. Κίνησις γὰρ καὶ ἐνέργειαι φυσικαὶ λέγονται αἱ οὖσαι ἀπ' ἀρχῆς ἐνδοτερικῆς. Ἐπιστητέον τοίνυν ὅτι ἐν ταῖς τῆς ψυχῆς ἐνεργείαις αἱ μὲν οὐκ εἰσὶ μόνον ἀπὸ τῆς ψυχῆς ὥσπερ ἀπὸ ἀρχῆς, ἀλλὰ καὶ τελευτῶσι πρὸς τὴν ψυχὴν καὶ πρὸς τὸ ἔμψυχον σῶμα. Καὶ αἱ τοιαῦται ἐνέργειαι τοῖς ἀγγέλοις ἐν τοῖς ἀνειλημμένοις σώμασιν ἀποδίδοσθαι οὐχ οἷαί τε, οὔτε κατὰ τὴν ὁμοιότητα τοῦ εἴδους οὔτε κατὰ τὸ περιὸν τῆς φύσεως τῆς ἐνεργείας, ὥσπερ τὸ αἰσθάνεσθαι καὶ αὐξάνεσθαι καὶ τρέφεσθαι καὶ τὰ ὅμοια. Ἡ μὲν γὰρ αἴσθησίς ἐστι κίνησις ἀπὸ τῶν ὄντων εἰς τὴν ψυχήν, ἥ τε αὔξησις καὶ θρέψις ἐστὶ κατὰ τό τι γίνεσθαι καὶ προστίθεται τῷ ζῶντι σώματι. Τινὲς δ' αὖ ἐνέργειαι εἰσὶν αἳ ἀπὸ μὲν τῆς ψυχῆς καθάπερ ἀπὸ ἀρχῆς εἰσί, τελευτῶσι δ' ὅμως πρός τι ἐξωτερικὸν ἀποτέλεσμα· καὶ εἰ μὲν τὰ τοιαῦτα ἀποτελέσματα κατὰ μόνην τὴν τοῦ σώματος διαίρεσιν ἢ τοπικὴν κίνησιν προϊέναι**

**59-60** ἐν – λοιπά] Gen. 6, 2: ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο.

**79** οἷαι] οἷον M **82** ὄντων ἐστὶν] ἐστὶν habet post ὄντων P; deest M, Aq.

δύνανται, ἡ τοιαύτη ἐνέργεια ἀποδοθήσεται τῷ ἀγγέλῳ, κατὰ τὸ ἀνειλημμένον σῶμα ὅσον πρὸς τὴν ὁμοιότητα τοῦ εἴδους ἐν τῷ ἀποτελέσματι, οὐ μέντοι ἔσται τῆς φύσεως φυσικὴ ἐνέργεια, ἀλλ’ ὁμοιότης τῆς τοιαύτης ἐνεργείας· ὥσπερ φαίνεται ἐν τῇ προσλαλιᾷ, ᾗ τυποῦται κατὰ τὸν τῶν ὀργάνων τρόπον καὶ τοῦ ἀέρος, καὶ ἡ σίτησις, ἣ τελεῖται τῇ τοῦ σίτου διαιρέσει, καὶ εἰς τὰ εἴσω μετακομιδῇ. Ὅθεν ἡ τοῖς ἀγγέλοις ἀποδιδομένη προσλαλιὰ ἐν τοῖς ἀνειλημμένοις σώμασιν οὐκ ἔστι τῷ ὄντι φυσικὴ ὁμιλία, ἀλλ’ ὁμοιωματική τις τῇ ὁμοιότητι τοῦ ἀποτελέσματος, ὡς δὲ καὶ τῆς σιτίσεως πέρι ῥητέον. Ὅθεν καὶ ἐν τῷ τοῦ Τωβίου δωδεκάτῳ φησὶν ὁ ἄγγελος· ἐδόκουν μέν, μεθ’ ἡμῶν ἐσθίειν καὶ πίνειν, ἀλλ’ ἔγωγε ἀοράτῳ σίτῳ καὶ ποτῷ, ὃ παρὰ τοῖς ἀνθρώποις ὁρᾶσθαι οὐχ οἷα τε χρῶμαι. Εἰ δὲ τὸ τοιόνδε ἀποτέλεσμα ἀπαιτοίη μεταβολὴν κατὰ τὸ εἶδος, τότε οὐ δύναται γίνεσθαι διὰ τοῦ ἀγγέλου, εἰ μὴ δήπου μεσιτευούσης φυσικῆς ἐνεργείας, ὥσπερ φαίνεται περὶ τῆς γεννήσεως.

[6.8.14] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὰς τοιαύτας ἐνεργείας οὐ φυσικῶς ὁ ἄγγελος μέτεισι. Καὶ διατοῦτο οὐκ ἀνάγκη ἔχειν φυσικῶς ὄργανα ἑαυτῷ ἡνωμένα.

[6.8.15] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἀληθεῖς ψυχῆς ἐνεργείας ὁ ἄγγελος οὐ ποιεῖ, ἀλλὰ μιμητάς, ὡς εἴρηται.

[6.8.16] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἤδη εἴρηται, τί δήποτε οὐ δύναται αἰσθήσεις τοῖς ἀγγέλοις ἐν τοῖς προσειλημμένοις σώμασιν ἀποδιδόναι.

[6.8.17] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἀληθὴς διάλεξις ἀποδίδοσθαι οὐ
P 166v δύναται ἐν τῷ ἀνειλημμένῳ σώματι, | ἀλλὰ μόνον δραματική, ὡς εἴρηται.

[6.8.18] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τοῖς ἀγαθοῖς ἀγγέλοις τὸ γεννᾶν οὐκ ἀποδίδοται, ἀλλὰ τοῖς δαίμοσιν ἔστι δὲ δόξα δισσή. Ἔνιοι μὲν γάρ φασιν ὅτι οἱ δαίμονες, οὐδενὶ τρόπῳ γεννᾶν δύνανται ἐν τοῖς ἀνειλημμένοις σώμασι,

**97-99** Ὅθεν – χρῶμαι] cf. Tob. 12, 18: πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε.

**διὰ τοὺς προτεθέντας λόγους ἐκ τοῦ ἐναντίου. Ἐνίοις δὲ δοκεῖ γεννᾶν δύνασθαι, οὐ διὰ σπέρματος σώματος μὲν τοῦ ἀνειλημμένου σώματος ἀποσπωμένου, οὐδὲ διὰ δυνάμεως τῆς ἰδίας φύσεως, ἀλλὰ διὰ σπέρματος ἀνθρώπου προστεθέντος ἐπὶ γεννήσει, διὰ τὸ ἕνα καὶ τὸν αὐτὸν δαίμονα οὕτως ὑποπίπτειν ἀνδρί, ὥστε τὸ παρ' αὐτοῦ ὑποδεχθὲν σπέρμα εἰς γυναῖκα μετεγχέαι, πρὸς ἣν ῥικνωθείη. Καὶ ταύτης ἐκ περιουσίας ἀντιλαμβάνεσθαι τῆς δόξης εὔλογον ἔνεστιν, ἐπεὶ καὶ τὰ ἄλλα φυσικὰ πράγματα τὰ ἴδια προσάγοντες σπέρματα ποιεῖν δύνανται, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ.**

**[6.8.19] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι πρὸς τὸ μὴ ἐξατμισθῆναι τὸ σπέρμα δύναται ὁ δαίμων θεραπείας τινὰς ἐπάγειν, νῦν μὲν τῇ ταχυτῆτι τῆς κινήσεως, νῦν δὲ ἐπιπλάττων τινὰ ζώπυρα, δι' ὧν ἡ φυσικὴ θέρμη συντηρεῖται ἐν τῷ σπέρματι.**

**[6.8.20] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι πόρρω πάσης ἀμφιβολίας ἡ γέννησις, τῷ προειρημένῳ τρόπῳ γεγονυῖα, δυνάμει τοῦ ἀνθρωπείου σπέρματος γίνεται. Ὅθεν ὁ ταύτῃ γεννηθεὶς ἄνθρωπος οὐκ ἔστιν υἱὸς δαίμονος, ἀλλὰ τοῦ ἀνδρὸς οὗ γέγονε τὸ σπέρμα. Ὅμως οὐδὲν οἷον διὰ τοῦ τοιούτου τρόπου γεννᾶσθαι καὶ ἰσχυροτέρους καὶ ὑπερφυεστέρους· οἱ γὰρ δαίμονες, βουλόμενοι ἐν τοῖς αὐτῶν ἀποτελέσμασι θαυμαστοί τινες δοκεῖν, παρατηροῦντες ὡρισμένας θέσεις ἀστέρων καὶ τὴν τοῦ ἀνδρὸς καὶ γυναικὸς διάθεσιν δύνανται πρὸς τόδε συναίρεσθαι, καὶ διαφερόντως, εἰ τὰ σπέρματα ἐν οἷς εἰσιν ὀργάνοις, διὰ τῆς τοιαύτης χρήσεως τυγχάνουσί τινος αὐξήσεως ἀληθοῦς.**

**[6.8.21] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ σίτισις ἀποδίδοται τοῖς ἀγγέλοις ἐν τοῖς ἀνειλημμένοις σώμασιν οὐχ ὅσον πρὸς τὸ τέλος, ὅπέρ ἐστιν ἡ θρέψις, ἀλλ' ἁπλῶς ὅσον πρὸς τὴν τῆς βρώσεως ἐνέργειαν, ὁμοίως τὲ τῷ Χριστῷ μετὰ τὴν ἀνάστασιν, οὗ τῷ σώματι οὐκ ἦν τι τότε προσληπτέον. Ἐν τούτῳ μέντοι διαφέρει, ὅτι ἡ μὲν τοῦ Χριστοῦ σίτισις γέγονεν ἀληθῶς φυσικὴ σίτισις, ὡσὰν**

**120-123** Καὶ – τρίτῳ] cf. Aug., De Trin. III, cap. 8-9 (PL 42, cols 877-888): ita non solum malos sed nec bonos angelos fas est putare creatores si pro subtilitate sui sensus et corporis semina rerum istarum nobis occultiora noverunt et ea per congruas temperationes elementorum latenter spargunt atque ita et gignendarum rerum et accelerandorum incrementorum praebent occasiones…

**115** προτεθέντας] προταθέντας P **116** σπέρματος] σώματος P (semen Aq.) **121** εὔλογον] ἄλογον M (rationabiliter Aq.) **122** προσάγοντες] προσάγονται M (intellige δαίμονες) **135**] ἐν οἷς] ἀν(θρώπ)οις P (in quibus Aq.) **141** ὡσὰν] ὡσᾶν P

τοιούτου οὖσα ὃς ἔχει ψυχὴν φυτικήν, καὶ ταύτῃ ἀπόδειξις γενέσθαι ἴσχυσε τῆς κατὰ τὴν φύσιν ἀληθείας· ἐν ἑκατέρᾳ μέντοιγε σιτήσει, οὐ μεταβέβληται είς σάρκα καὶ αἷμα τὸ σιτίον, ἀλλὰ ἀναλέλυται είς τὴν προϋπάρχουσαν ὕλην.

P 167r **[6.8.22] Καὶ διὰ τούτου ὑπανοίγνυται ἀπόκρισις | πρὸς τὸ ἔνατον.**

**[6.8.23] Πρὸς δὲ τὸ πρῶτον τῶν ἀπὸ τοῦ ἐναντίου ἀπαντώντων λεκτέον, ὅτι ἡ σίτισις καὶ ἡ λαλιὰ τῷ τρόπῳ τοῖς ἀγγέλοις εἰσὶν ἀπονεμητέα, εἴρηται.**

**[6.8.22] Πρὸς τὸ δεύτερον ῥητέον· διὰ μὲν τῶν υἱῶν τοῦ Θεοῦ νοεῖ τις τοὺς υἱοὺς Σήθ, οἳ ἦσαν υἱοὶ Θεοῦ κατὰ χάριν καὶ τῶν ἀγγέλων κατὰ τὴν μίμησιν. Υἱοὶ δὲ τῶν ἀνθρώπων ἐλέγοντο οἱ υἱοὶ τοῦ Κάιν, οἳ ἀφίσταντο τοῦ Θεοῦ σαρκικῶς ζῶντες.**

**[6.8.23] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὰ τῶν αἰσθήσεων ὄργανα, προσλαμβάνονται οἱ ἄγγελοι οὐ πρὸς τὸ χρῆσθαι, ἀλλ' ὡς σύμβολα. Ὅθεν καὶ εἰ μὴ διὰ τούτων αἰσθάνοιντο, οὐκ εἰκῇ προσλαμβάνονται.**

**151** υἱοὶ] υἱεῖς P **153** ζῶντες] ζῶντος P (viventes Aq.)

**Κεφάλαιον ἔνατον**

**Πότερον ἡ ἐνέργεια τοῦ θαύματος ἀποδοτέα ἐστὶ τῇ πίστει ἢ οὔ.**

**[6.9.1] Ἔνατον ζητεῖται, πότερον ἡ ἐνέργεια τοῦ θαύματος ἀποδοτέα ἐστὶ τῇ πίστει. Καὶ δοκεῖ οὐ δῆτα. Φησὶ γὰρ ὁ Γρηγόριος, ὅτι** τὰ χαρίσματα τὰ προῖκα διδόμενα, διαφέρουσι τῶν ἀρετῶν, ὅτι αἱ μὲν ἀρεταὶ πᾶσι τοῖς ἁγίοις ἐνυπάρχουσι, τὰ δὲ χαρίσματα τὰ προῖκα διδόμενα διαφόροις ἀπονέμονται**, κατ' ἐκεῖνο τὸ δωδέκατον τῆς Πρὸς Κορινθίους πρώτης·** διαιρέσεις χαρισμάτων εἰσίν**. Ἀλλὰ τὸ ποιεῖν θαύματά ἐστι τῆς χάριτος τῆς προῖκα διδομένης· ὅθεν ἐν τῷ αὐτῷ ἀποστόλῳ λέγεται** ἐνεργήματα δυνάμεων **καὶ τὰ λοιπά. Ἄρα τὰ θαύματα οὐκ ἀποδοτέα ἐστὶ τῇ πίστει.**

**[6.9.2] Ἦ δ' ὅς, ὅτι τῇ μὲν πίστει ἀποδίδοται ὡς γέρας, τῇ δὲ χάριτι τῇ προῖκα διδομένῃ ὡς ἐκπληρωτικῇ. Ἀλλ' ἐναντίον ἐστὶν ὅ φησιν ἡ Ἐξήγησις ἐν τῷ τοῦ Κατὰ Ματθαῖον ἑβδόμῳ·** Κύριε, **οὐ** τῷ σῷ ὀνόματι προεφητεύσαμεν**, καὶ τὰ ἑξῆς. Τὸ δὲ προφητεύειν, φησί, καὶ δυνάμεις ποιεῖν καὶ δαίμονας ἐλαύνειν οὐ τῆς ἀξίας τοῦ ποιοῦντος ἐστίν, ἀλλὰ τῆς ἐπικλήσεως τοῦ Χριστοῦ. Οὐκ ἄρα ἐστὶ τῇ πίστει ἀποδοτέον ἡ τῶν θαυμάτων ποίησις.**

**[6.9.3] Ἔτι, ἡ ἀγάπη ἐστὶν ἀρχὴ καὶ ῥίζα τοῦ τυγχάνειν γερῶν, ἧς ἄνευ ἡ πίστις ἀγέραστος ἐστὶν εἰδεχθὴς οὖσα. Ἄρα μᾶλλον ἐστὶν ἀποδοτέα τῇ ἀγάπῃ ἡ τῶν θαυμάτων ἐνέργεια, ἢ τῇ πίστει ὡς ἔπαθλον.**

**[6.9.4] Ἔτι, ἐπεὶ οἱ ἅγιοι προσευχόμενοι θαύματα ποιοῦσι, προσήκει ταύτῃ μάλιστα τῇ ἀρετῇ τὴν τῶν θαυμάτων ἐργασίαν ἀνατιθέναι, ἢ ποιεῖν τὴν εὐχὴν ὑπακούεσθαι. Τοῦτο δὲ ποιεῖ ἡ ἀγάπη. Ὅθεν λέγεται ἐν τῷ ὀκτωκαιδεκάτῳ τοῦ Κατὰ Ματθαῖον·** ἐὰν δύο συμφωνήσωσιν **ἐξ** ὑμῶν ἐπὶ τῆς γῆς, περὶ παντὸς οὗ ἂν αἰτήσωνται γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου**· κἀν τοῖς Ψαλμοῖς λέγεται· ἀγαλλιῶ ἐν** Κυρίῳ**, καὶ** δῴη σοι τὰ αἰτήματα τῆς καρδίας σου**· ἡ γὰρ**

**7-8** κατ' – εἰσὶν] I Cor. 12, 4: Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα· **8-9** ἐν – λοιπά] I Cor. 12, 10: ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. **12-14** ἐν – ἑξῆς] Mt. 8, 22: πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; **22-24** ὅθεν – μου] Mt. 18, 19: Πάλιν ἀμὴν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. **24-25** κἀν – σου] Ps. 36, 4: κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου

P 167v **ἀγάπη ἐστὶν ἡ ποιοῦσα τοὺς ἀνθρώπους | ἀγαλλιᾶσθαι ἐν Θεῷ, διὰ τῆς πρὸς Θεὸν ἀγάπης καὶ ἐν τοῖς ἀνθρώποις διὰ τὴν τοῦ Κυρίου ἀγάπην. Τῇ ἀγάπῃ ἄρα χρὴ καθοσιοῦσθαι τὴν τῶν θαυμάτων ἐργασίαν.**

**[6.9.5] Ἔτι, λέγεται ἐν τῷ Κατὰ Ἰωάννην ἐν τῷ ἐννάτῳ·** οἴδαμεν ὅτι ὁ Θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει. **Ἡ δ' ἀγάπη ἐστὶ μόνη ἡ τὰ ἁμαρτήματα ἀποκαθαιρομένη ὡς γὰρ λέγεται ἐν τῷ δεκάτῳ τῶν Παροιμιῶν·** ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν εἰς τὴν ἀγάπην. **Ἄρα καὶ οὐκ εἰς τὴν πίστιν ἀνοιστέον τὴν τῶν θαυμάτων ἐνέργειαν.**

**[6.9.6] Χωρὶς δὲ τούτων, οἱ ἅγιοι ἄνθρωποι οὐ μόνον εὐχόμενοι ἐπιτυγχάνουσι τῆς τῶν θαυμάτων ποιήσεως, ἀλλὰ γὰρ καὶ ποιοῦσιν ἐξουσίᾳ, ὡς φησὶ Γρηγόριος, ἐν τῷ δευτέρῳ τῶν Διαλόγων. Τοῦτο δὲ ἐστίν, ἐφόσον ὁ ἄνθρωπος ἑνοῦται τῷ Θεῷ, ὡς ταύτῃ τὴν θείαν δύναμιν συνεῖναι τῷ ἀνθρώπῳ. Ἣν δὴ ἕνωσιν ἡ ἀγάπη δημιουργεῖ· ὁ γὰρ προσκολλώμενος τῷ Κυρίῳ δηλαδὴ δι' ἀγάπης, ἓν πνεῦμα ἐστίν, ὡς λέγεται ἐν τῷ ἕκτῳ τῆς Πρὸς Κορινθίους πρώτης. Τῇ ἀγάπῃ ἄρα ἐξαιρετέον τὴν θαυματοποιΐαν.**

**[6.9.7] Ἔτι, τῇ ἀγάπῃ ἀντίκειται διαφερόντως ὁ φθόνος· ἡ γὰρ ἀγάπη συγχαίρει ἐπὶ τοῖς ἀγαθοῖς, περὶ ὧν ὁ φθόνος ἀνιᾶται. Ἀλλὰ τὸ ἐπιχαίρειν τοῖς κακοῖς διὰ τῆς βασκανίας ἀποδίδοται τῷ φθόνῳ, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Πρὸς Γαλάτας ἐν τῇ Ἐξηγήσει. Ἄρα καὶ ἡ τῶν θαυμάτων ἐνέργεια ἀποδοτέα ἐστὶ τῇ ἀγάπῃ, ἥτις γίνεται διὰ λύπην ἐν ταῖς συμφοραῖς.**

**[6.9.8] Ἄνευ δὲ τούτων, ὁ νοῦς οὔκ ἔστιν ἐνεργείας ἀρχὴ εἰ μὴ τῇ τῆς βουλήσεως μεσιτείᾳ. Ἔστι δ' ἡ μὲν πίστις ἐν τῷ νῷ, ἡ δὲ ἀγάπη ἐν τῇ θελήσει. Οὐδ' ἄρα ἡ πίστις ἐνεργεῖ ὅτι μὴ διὰ τῆς ἀγάπης· ὅθεν ἐν τῷ πέμπτῳ τῆς Πρὸς Γαλάτας λέγεται·** πίστις δι' ἀγάπης ἐνεργουμένη. **Ὥσπερ τοίνυν ἡ ἐργασία τῆς πρακτικῆς τῆς ἀρετῆς μᾶλλον ἀνάγεται πρὸς τὴν ἀγάπην ἢ πρὸς τὴν πίστιν, οὕτω καὶ ἡ τῶν θαυμάτων ἐνέργεια.**

**29-30** ἐν – ἀκούει] Io. 9, 31: οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. **31-32** ἡ – ἀγάπη] I Petr. 4, 8: πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. **34-36** οἱ – Διαλόγων] Greg. Magn., Dialog. II, cap. 30. **42-44** τὸ – Ἐξηγήσει] cf. Gal. 3, 1: Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος; **48-49** ἐν – ἐνεργουμένῃ] Gal. 5, 6: ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

**45** ἥτις – συμφοραῖς] deest A; γίνεται – συμφοραῖς add. in marg. sin. P **46** ὁ] ων a. corr. P

**[6.9.9] Ἔτι, πάντα τἄλλα θαύματα, πρὸς τὴν τοῦ Χριστοῦ σάρκωσιν τέτακται, ἥτις ἐστὶ θαῦμα θαυμάτων, ἀλλ᾽ ἡ τοῦ Χριστοῦ σάρκωσις ἀποδίδοται τῇ ἀγάπῃ· ὅθεν λέγεται ἐν τῷ τρίτῳ τοῦ Κατὰ Ἰωάννην·** οὕτως ὁ Θεὸς ἠγάπησε τὸν κόσμον ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ δοῦναι**, καὶ τὰ λοιπά. Ἄρα τὰ θαύματα προστασσέσθωσαν τῇ ἀγάπῃ καὶ οὐ τῇ πίστει.**

**[6.9.10] Ἔτι, τὸ τὴν Σάραν καὶ ἀφηλικεστέραν καὶ στεῖραν ἐκ τοῦ γεγηρακότος συλλαβεῖν υἱὸν θαῦμα ἦν. Τοῦτο δὲ ἀποδίδοται τῇ ἐλπίδι, ὡς λέγεται ἐν τῷ τετάρτῳ τῆς Πρὸς Ῥωμαίους·** ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσε**. Τὸ ποιεῖν ἄρα θαύματά ἐστιν ἀποδοτέον τῇ ἐλπίδι καὶ οὐ τῇ πίστει.**

**[6.9.11] Ἔτι, τὸ θαῦμά ἐστί τι ὑπερφυὲς καὶ ἄηθες, ὡς ὁ Αὐγουστῖνος φησί. Τὸ δ᾽ ὑπερφυές ἐστιν ἀντικείμενον τῇ ἐλπίδι. Τῇ ἐλπίδι ἄρα ἐχρῆν ἀνατιθέναι τὴν τῶν θαυμάτων ἐργασίαν.**

**[6.9.12] Πρὸς δὲ τούτοις τὸ θαῦμα ἐστὶ παραστατικὸν τῆς θείας δυνάμεως.** P 168r **Ἀλλ᾽ ὥσπερ τῇ ἀγαθότητι, | ἣ ἐξαιρεῖται τῷ ἁγίῳ Πνεύματι, ἀποκρίνεται ἡ ἀγάπη, καὶ τῇ ἀληθείᾳ, ἣ τῷ Υἱῷ ἀποδίδοται, ἀποκρίνεται ἡ πίστις, οὕτω καὶ τῇ δυνάμει, ἣ ἀνατίθεται τῷ Πατρί, ἀποκρίνεται ἡ ἐλπίς. Ἄρα τὸ ποιεῖν θαύματα ἀποδοτέον ἐστὶ τῇ ἐλπίδι καὶ οὐ τῇ πίστει.**

**[6.9.13] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι οἱ φαῦλοι ἄνθρωποι ἐνίοτε ποιοῦσι θαύματα διὰ τῆς κοινῇ πᾶσι δικαιοσύνης. Ἡ θαυματουργία ἄρα ἀποδοτέα μᾶλλον ἐστὶ τῇ δικαιοσύνῃ ἢ τῇ πίστει.**

**[6.9.14] Ἔτι, ἐν τῷ ἕκτῳ τῶν Πράξεων λέγεται ὅτι·** στέφανος πλήρης **χάριτος καὶ ἀνδρείας,** ἐποίει τέρατα καὶ σημεῖα ἐν τῷ λαῷ μεγάλα**. Ἔοικεν ἄρα ἀποδίδοσθαι τῇ ἀνδρείᾳ.**

**[6.9.15] Ἔξω δὲ τούτων, ἐν τῷ Κατὰ Ματθαῖον φησὶν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς μὴ δυναμένοις θεραπεῦσαι τὸν δαιμονῶντα·** τοῦτο τὸ γένος οὐκ **ἐξέρχεται,** εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ**. Ἀλλὰ τὸ δαίμονας ἐλαύνειν ἐν τοῖς**

**54-55** οὕτως – λοιπά] Io. 3, 16: οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. **58-59** ὡς – ἐπίστευσε] Rom. 4, 18: ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον· οὕτως ἔσται τὸ σπέρμα σου. **61** τὸ – φησί] cf. Aug., De Trin. III, cap. 5, n. 11 (PL 42, col. 874). **72-73** ἐν – μεγάλα] Act. 6, 8: Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. **75-77** ἐν – νηστείᾳ] Mt. 17, 21: τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

**θαύμασι καταλογίζεται. Ἡ δὲ νηστεία ἐστὶ πρᾶξις τῆς κατὰ τὴν ἐγκράτειαν ἀρετῆς. Τῇ ἐγκρατείᾳ τοίνυν ἀνενεκτέον τὴν τῶν θαυμάτων ποίησιν.**

**[6.9.16] Ἔτι, ὁ Βοήτιός φησιν, ὅτι τὸ συνεῖναι γυναικὶ ἀεὶ καὶ τὸ θῆλυ ἀγνοεῖν, μεῖζον ἐστὶν ἢ νεκρὸν ἀνιστᾶν. Τοῦτο δὲ ποιεῖ ἡ σωφροσύνη. Τῆς ἀγνοίας ἄρα ἐστὶ τὸ θαύματα ποιεῖν καὶ οὐ τῆς πίστεως.**

**[6.9.17] Ἔτι, τὸ τὴν πίστιν μειοῦν οὐκ ἔστιν ἀπονεμητέον τῇ πίστει, ἀλλὰ τὰ θαύματα μειοῖ τὴν πίστιν. Οἱ γὰρ ἄπιστοι ἐλογίζοντο ταῦτα τῇ μαγικῇ τέχνῃ. Οὐκ ἄρα προσήκει προσνέμεσθαι τῇ πίστει ἡ τῶν θαυμάτων ἄνυσις.**

**[6.9.18] Ἔτι, τὴν τοῦ Πέτρου καὶ Ἀνδρέου πίστιν συνίστησιν ὁ Γρηγόριος ἐκ τοῦ μηδέον θαύμασι προσεσχηκότος πεπιστευκέναι. Ἡ τῶν θαυμάτων ἄρα ἐνέργεια, μειοῖ τὴν πίστιν· ᾡδὶ δὲ τὸ πρότερον.**

**[6.9.19] Ὑπὲρ ταῦτα ἔτι, τεθείσης τῆς αἰτίας, τίθεται τὸ ἀποτέλεσμα. Εἰ τοίνυν ἡ πίστις ἐστὶν αἰτία τοῦ θαυματοποιεῖν, πάντες οἱ πίστιν ἔχοντες θαύματα ἐργάσονται· ὃ ψεύδει ἔοικε. Οὐκ ἄρα τῇ πίστει ἀνήκει ἡ θαυματουργία.**

**[6.9.20] Ἀλλ' ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Μάρκου εἰρημένον ἐν τῷ ἐσχάτῳ·** σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι **καὶ τὰ λοιπά.**

**[6.9.21] Ἔτι, ἐν τῷ τοῦ Ματθαίου ἑπτακαιδεκάτῳ φησὶν ὁ Κύριος·** ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

**[6.9.22] Χωρὶς δὲ τούτων, εἰ ἓν ἀντικείμενον εἴη αἰτία τοῦ ἀντικειμένου, καὶ τὸ λοιπὸν ἀντικείμενόν ἐστιν αἰτία τοῦ λοιποῦ. Ἀλλ' ἡ ἀπιστία ἐστιν αἰτία ἐμποδὼν γινομένη τῇ τῶν θαυμάτων ἐνεργείᾳ· ὅθεν λέγεται ἐν τῷ ἕκτῳ τοῦ**
P 168v **Κατὰ Μᾶρκον περὶ Χριστοῦ·** καὶ οὐκ **ἐδύνατο** | ἐκεῖ **(ὅπέρ ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ),** ποιῆσαι **θαύματα,** εἰ μὴ ὀλίγοις **ἀσθενέσι** τὰς χεῖρας **ἐπιθεὶς** ἐθεράπευσε**, καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν· καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ**

**86-87** συνίστησιν – πεπιστευκέναι] Greg. Magn., Hom. in evang. I, cap. 5, no. 1-5: fratres charissimi – Jesu Christo. **92-94** τὸ – λοιπά] Mc. 16, 17: σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς. **95-97** ἐν – ὑμῖν] Mt. 17, 20: ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· διὰ τὴν ἀπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. **100-103** ἐν – αὐτῶν] Mr. 6, 5: καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε.

**80** Βοήτιος] Bernardus Aq. **87** προσεσχηκότος] προσεσχηκότας M **98** εἴη αἰτία] εἰ καί τινα M (est causa Aq.)

τοῦ Ματθαίου λέγεται τὸν Κύριον ἀποκρίνασθαι τοῖς μαθηταῖς πυνθανομένοις, τί δήποτε οὐκ ἠδυνήθημεν ἐκβαλεῖν τὸ δαιμόνιον, ὅτι· διὰ τὴν ἀπιστίαν ἡμῶν. Ἄρα καὶ ἡ πίστις ἐστὶν αἰτία τοῦ ποιεῖν θαύματα.

[6.9.23] Ἀπόκρισις. Ῥητέον, ὅτι οἱ ἅγιοι ἄνδρες θαύματα ποιοῦσι διχῇ κατὰ τὸν Γρηγόριον ἐν τῷ δευτέρῳ τῶν Διαλόγων, εἴτουν τῇ εὐχῇ τυγχάνοντες, ὡς θεόθεν γίνεσθαι τὰ θαύματα, καὶ κατ᾽ ἐξουσίαν. ἑκατέρῳ δὲ τρόπῳ αὐτάρκη ἡ πίστις ἀποδίδωσι τὸν ἄνθρωπον πρὸς τὸ θαυματοποιεῖν· ταύτης γάρ ἐστιν ἐξαίρετον λάχος τὴν εὐχὴν εἰσακούεσθαι τὴν περὶ τῆς τῶν θαυμάτων ποιήσεως. Ὅπερ τούτῳ τῷ λόγῳ δοκεῖν δύναται· καὶ γὰρ οὑτωσὶν ἐν τοῖς φυσικοῖς πράγμασιν ὁρῶμεν, ὅτι πᾶσαι αἱ μερικαὶ αἰτίαι λαμβάνουσι τὴν τοῦ ποιεῖν δραστηριότητα ἐκ τῆς καθόλου αἰτίας, τὸ ὡρισμένον μέντοι καὶ ἀίδιον ἀποτέλεσμα ἀποδίδοται αὐτῇ τῇ μερικῇ αἰτίᾳ, ὥσπερ φαίνεται ἐκ τῶν ποιητικῶν δυνάμεων τῶν ὑποβεβηκότων σωμάτων ἀποσκοποῦσιν εἰς τὴν δύναμιν τοῦ οὐρανίου σώματος, καὶ ἐκ τῶν ὑποβεβηκυιῶν σφαιρῶν, αἵ, κἂν ἕπωνται τῇ κινήσει τῆς πρώτης σφαίρας, ἔχουσιν ὅμως ἕκασται κινήσεις ἰδίας. Ἔχει τοίνυν οὕτω καὶ περὶ τῶν ἀρετῶν, αἷς ἀμοιβαὶ πρόκεινται· πάσαις γάρ ἐστι δραστηριότης πρὸς τὴν τῶν γερῶν ἀπόληψιν ἐκ τῆς ἀγάπης, ἥτις ἡμᾶς ἑνοῖ τῷ Θεῷ, ἀφ᾽ οὗ ἀπολαμβάνομεν τὸ τὴν βούλησιν ἡμῶν τελειωθῆναι, ὅπερ οἱονεί τι γέρας καὶ ἔπαθλόν ἐστιν. Ἕκασται μέντοι τῶν ἀρετῶν ἰδίων γερῶν ἀξιοῦνται ἀναλόγως αὐταῖς ἀποκρινομένων· ὥσπερ ἡ ταπείνωσις εἴληχε τὴν ὕψωσιν καὶ ἡ πενία τὴν βασιλείαν. Ὅθεν τῆς ἀγάπης ἐνίοτε παυομένης διὰ τῆς πράξεως τῶν ἄλλων ἀρετῶν, καὶ εἰ μηδένα ἀποφέρεταί τις ἀξίως, ἔκ τινος μέντοι θείας ἐλευθεριότητός τινες εὐεργεσίαι κατάλληλοι ἀποδίδονται ἐκ τῶν τοιούτων πράξεων ἐν τούτῳ γοῦν τῷ κόσμῳ. Ὅθεν λέγεται, ὅτι διὰ τῶν ὄντων ἐκ τοῦ γένους τοῦ ἀγαθοῦ ἄνευ ἀγάπης γινομένων ἀξιοῦνταί τινες κατὰ τὸ συνάδον ἐνίοτε ἐπιδόσεως τῶν προσκαίρων ἀγαθῶν. Καθ᾽ ὃν δὴ τρόπον καὶ ἡ πίστις ἆθλον ἴσχει, τὴν τῶν θαυμάτων ἐργασίαν, εἰ

**103-106** ἐν – ἡμῶν] Mt. 17, 19-20: Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ᾽ ἰδίαν εἶπον· διατί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; 20 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· διὰ τὴν ἀπιστίαν ὑμῶν. **107-109** ὅτι – ἐξουσίαν] cf. Greg. Magn., Dial. II, cap. 30 (col. 30G): Οἵτινες ἑκουσίῳ θελήματι καὶ πόθῳ τῷ Θεῷ προσκολλῶνται, ἡνίκα τῶν πραγμάτων ἡ ἀνάγκη ἀπαιτῇ τὴν τῶν θαυμάτων ἐπίδειξιν, πολυτρόπως ἐπιτελοῦσιν· ποτὲ μὲν γὰρ ἐκ δεήσεως γίνονται, ποτὲ δὲ κατ᾽ ἐξουσίαν ... ὅτι δὲ καὶ ἑκατέρῳ τρόπῳ θαυμάσια ποιοῦσιν.

**110** θαυματοποιεῖν] θαυματουργεῖν P **121** τελειωθῆναι] τελειοθῆναι M **126** εὐεργεσίαι] ἀεργασίαι (beneficia Aq.)

**καὶ ἡ τῆς ἀναλήψεως τοῦ ἄθλου ῥίζα ἔστιν ἐκ τῆς ἀγάπης. Οὗ δὴ λόγος τριχῇ ἀποδίδοσθαι δύναται. Πρῶτον μὲν ὅτι τὰ θαύματα ἀποδείξεις τινὲς τῆς πίστεως ὑπάρχουσιν, ἐπεὶ διὰ τῶν τὴν φύσιν ὑπερβαινόντων ἔργων ἡ ἀλήθεια ἀποδείκνυται τῶν τὸν φυσικὸν λόγον ὑπερβαλλομένων· ὅθεν ἐν τῷ τελευταίῳ τοῦ Κατὰ Ματθαῖον λέγεται·** ἐκεῖνοι οἱ ἐξελθόντες ἐκήρυξαν
P 169r πανταχοῦ, τοῦ | Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. **Δεύτερος λόγος ἐστίν, ὅτι ἡ πίστις κράτιστα ἐπὶ τῆς θείας δυνάμεως ἐρείδεται, ἣν λαμβάνει ὡς λόγον ἢ μέσον ὅρον πρὸς τὸ ὁμολογεῖν τὰ ὑπὲρ φύσιν δοκοῦντα· καὶ διατοῦτο ἡ θεία δύναμις ἐν τῇ τῶν θαυμάτων ἐνεργείᾳ διαφερόντως συνίσταται. Τρίτος λόγος ἐστίν, ὅτι τὰ θαύματα παρὰ τὰς φυσικὰς αἰτίας γίνονται· ἡ πίστις δέ ἐστιν ἡ λαμβάνουσα τὴν ἀπόδειξιν οὐκ ἐκ λόγων φυσικῶν ἢ αἰσθητῶν, ἀλλ' ἐκ τῶν θείων πραγμάτων. Ὅθεν, ὥσπερ ἡ τῶν προσκαίρων πραγμάτων πενία βραβεῖον ἴσχει τὸν θεῖον πλοῦτον, καὶ ἡ ταπεινότης ἀντιλαμβάνει τὴν οὐράνιον ἀξίαν, οὕτω καὶ ἡ πίστις, ὡσανεὶ περιορῶσα τὰ φυσικῶς γενόμενα, τὴν τοῦ θαύματα ποιεῖν δύναμιν ἀποφέρεται ὡς παρὰ τὴν φυσικὴν δύναμιν ἐνεργουμένων. Παραπλησίως τε διὰ τῆς πίστεως ὁ ἄνθρωπος μάλιστα διατίθεται ἐξουσίᾳ θαύματα ποιεῖν. Ὃ δὴ ἐκ τριῶν λόγων προὖπτον ὑπάρχει. Πρῶτον μὲν προείρηται γὰρ ὅτι οὕτως ἐξουσίᾳ θαύματα ποιεῖν λέγονται, οὐχ ὡσανεὶ τῶν θαυμάτων ὄντες ἡγεμονικοί τινες αὐτουργοί, ἀλλ' ὥσπερ ὄργανα θεῖα, τὸ θεῖον πρόσταγμα, ᾧπερ ἡ φύσις εἴκει, ἐν τοῖς θαύμασιν ἀμηγέπη, αὐτοῖς τοῖς φυσικοῖς πράγμασι διαπορθμεύοντες. Τὸ δὲ τὸν θεῖον Λόγον ἡμῖν οἰκεῖν ἔστι διὰ τῆς πίστεως ἥτις ἐστὶ μετουσία τις ἐν ἡμῖν τῆς θείας ἀληθείας· ἐντεῦθέν τοι δι' αὐτῆς τῆς πίστεως, ὁ ἄνθρωπος διατίθεται πρὸς τὸ θαύματα ποιεῖν. Δεύτερον, ὅτι οἱ ἅγιοι, ἐξουσίᾳ θαύματα ποιοῦντες, ἐνεργοῦσιν ἐν τῇ τοῦ ποιοῦντος Θεοῦ δυνάμει ἐν τῇ φύσει. Ἡ γὰρ ἐνέργεια τοῦ Θεοῦ πρὸς ὅλην τὴν φύσιν παραβάλλεται ὥσπερ ἡ τῆς ψυχῆς ἐνέργεια πρὸς τὸ σῶμα· τὸ σῶμα δὲ ὑπὸ τῆς ψυχῆς ἀλλοιοῦται παρὰ τὴν τάξιν τῶν φυσικῶν ἀρχῶν, μάλιστα διά τινος φαντασίας ἐγκεκωλυμένης, δι' ἧς τὸ σῶμα διαθερμαίνεται, ἐπιθυμίᾳ ἢ ὀργῇ ἢ καὶ μεταβάλλει πρὸς πυρετοὺς ἢ λέπραν. Τοῦτο τοίνυν**

**134-137** ἐν – σημείων] Mc. 16, 20: ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. ἀμήν.

**134** λόγον] λόγων M **135** Ματθαῖον] Ματθαῖου M

**ποιεῖ τὸν ἄνθρωπον ἐπιτήδειον πρὸς τὸ θαύματα ποιεῖν, τὸ παρεχόμενον τῇ αὐτοῦ καταλήψει τινὰ πῆξιν καὶ βεβαιότητα. Ὅπέρ ἐστι διὰ τῆς βεβαίου πίστεως. Ὅθεν ἡ τῆς πίστεως βεβαιότης μάλιστα ἐνεργεῖ πρὸς τὸ ποιεῖν θαύματα. Ὃ δῆλον ἐκ τοῦ λεγομένου ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ Κατὰ Ματθαῖον·** ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε **καὶ τὰ λοιπά, καὶ Ἰάκωβος ἐν τῷ πρώτῳ·** αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος. **Τρίτον ὅτι, ἐπεὶ τὰ δι' ἐξουσίας θαύματα τρόπῳ τινὶ δεσποτείας γίνονται, ἐκεῖνο διαφερόντως αὐτάρκη πεποίηκε, πρὸς τὸ ἐξουσίᾳ θαύματα ποιεῖν, ὅπερ ἀποδίδωσιν ἐπιτήδειον πρὸς τὸ αὐθεντεῖν. Τοῦτο δὲ γίνεται, ἐφόσον διακρίνεται καὶ ἀποχωρεῖ | (P 169v) τῶν ὀφειλόντων ἄρχεσθαι παρ' αὐτοῦ. Ὅθεν καὶ ὁ Ἀναξαγόρας φησίν, ὅτι ὁ νοῦς ἦν ἄμικτος, ἐφ' ᾧ ἄρχειν. Ἡ πίστις δὲ ἀποσπᾷ τὸν νοῦν ἀπὸ τῶν φυσικῶν καὶ τῶν αἰσθητῶν κἀν τοῖς νοητοῖς καθιδρύει. Ὅθεν διὰ πίστεως ἀποδίδοται ὁ ἄνθρωπος ἐπιτήδειος πρὸς τὰ θαύματα δι' ἐξουσίας ποιεῖν. Κἀντεῦθεν ἐστὶ τὸ ἄλλας μὲν ἀρετὰς πρὸς τὸ θαύματα ποιεῖν διαφερόντως συναίρεσθαι, αἳ τὸν νοῦν ἀπὸ τῶν σωματικῶν πραγμάτων μάλιστα ἀφιστῶσιν, ὥσπερ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια, αἳ ἀνέχουσιν ἀπὸ τῶν ἡδονῶν, δι' ὧν ὁ ἄνθρωπος εἰς τὰ αἰσθητὰ καταβαπτίζεται ἄλλαι δὲ πρὸς τὸ διατιθέναι τὰ παρόντα ῥυθμίζουσιν, οὐ διατιθέασι δὲ πρὸς τὸ ποιεῖν θαύματα.**

**[6.9.24] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ ποιεῖν θαύματα, ἀποδίδοται τῇ χάριτι τῇ προῖκα διδομένῃ ὥσπερ ἀρχῇ προσεχῇ, τῇ πίστει δέ, ὥσπερ παρασκευαζούσῃ πρὸς κοινωνίαν τῆς αὐτῆς χάριτος.**

**[6.9.25] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι, εἰ καὶ ἐνίοτέ τις ἁμαρτωλὸς θαύματα ποιεῖ, οὐκ ἔστι τοῦτο ἐκ τοῦ ἐπιβάλλοντος αὐτῷ, φημὶ δὲ τοῦ κατ' ἀξίαν, ἀλλ' ἔστιν ἔκ τινος καταλληλίας, ἐφόσον τὴν πίστιν ὁμολογεῖ μετὰ παρρησίας, ἧς εἰς μαρτύριον ὁ Θεὸς τὰ θαύματα ποιεῖ.**

**164-166** ἐν – διακρινόμενος] Mt. 21, 21: ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. **165-166** Ἰάκωβος – διακρινόμενος] Iac. 1, 6: αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ.

**165** διακριθῆτε] διακριθῆται M **172** καὶ] ἀπὸ post καὶ M; deest P; Aq.

[6.9.26] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐκ τοῦ τὴν ἀγάπην μείζονα ἀρετὴν ὑπάρχειν τῆς πίστεως παρέχεται αὐτῇ δραστηριότητα πρὸς τὸ τυγχάνειν τῶν θαυμάτων. Ἡ πίστις μέντοι τὸ μᾶλλον προσᾴδει πρὸς τὸ ἰδικῶς ἀξιοῦσθαι τῆς τῶν θαυμάτων ἐνεργείας· ἡ γὰρ πίστις ἐστὶ τελειότης τοῦ νοῦ, οὗ ἡ ἐνέργεια συνέστηκεν ἐν τῷ τὰ νοούμενα πράγματα ἀμηγέπως ἐνυπάρχειν αὐτῷ, ἡ δ᾽ἀγάπη ἐστὶ τελειότης τῆς βουλήσεως, ἧς ἡ ἐνέργεια ἐστὶν ἐν τῷ τὴν θέλησιν εἰς αὐτὰ τείνειν τὰ πράγματα. Ὅθεν διὰ μὲν τῆς ἀγάπης ὁ ἄνθρωπος ἐν τῷ Θεῷ τίθεται καὶ ἓν μετ᾽ αὐτοῦ γίνεται, διὰ τῆς πίστεως δὲ αὐτὰ τὰ θεῖα τίθενται ἐν ἡμῖν. Ὅθεν λέγεται ἐν τῷ ἑνδεκάτῳ τῆς Πρὸς Ἑβραίους, ὅτι ἐστὶν ὑπόστασις πραγμάτων ἐλπιζομένων. Χωρὶς δὲ τούτων, τὰ θαύματα γίνονται, ἐπὶ βεβαιώσει τῆς πίστεως.

[6.9.27] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀγάπη εἴληχεν, ὡς εἴρηται, τὸ εἰσακούεσθαι τὰς τῶν ἀνθρώπων ἀξιώσεις, ὥσπερ ἀρχὴ καθόλου τῆς ἀπολήψεως τῶν κατ᾽ ἀξίαν· τὸ δὲ εἰδικῶς ἐπακούεσθαι ἐν τοῖς ποιητέοις θαύμασιν ἡ πίστις ἀναδεῖται, ὡς εἴρηται.

[6.9.28] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι, καθάπερ ἡ Ἐξήγησις ἐκεῖ φησί, τὸ ῥῆμα ἐκεῖνο ἐστὶ τοῦ τυφλοῦ, ὃς μήπω ἦν ὁλοκλήρως τῇ σοφίᾳ πεφωτισμένος· ὅθεν ἔννοιαν ψευδῆ περιέχει. Καὶ γὰρ ἐνίοτε ὁ Θεὸς τῶν ἁμαρτωλῶν ἐπακούει ἐκ τῆς ἰδίας ἐλευθεριότητος, εἰ καὶ μὴ ἐκ τοῦ σφίσιν ἐπιβάλλοντος.
P 170r Καὶ ταύτῃ ἡ εὐχὴ αὐτῶν | ἐπιτυγχάνει, εἰ καὶ μὴ ἔστιν ἀμειπτέα· ὥσπερ ἐνίοτε καὶ ἡ τῶν δικαίων εὐχὴ ἐπέχοιτο κατ᾽ ἀξίαν, ἀλλ᾽ οὐκ ἐπιτυγχάνει· ἡ γὰρ ἐπιτυχία τείνει ὡς τὰ αἰτήματα καὶ ἐρείδεται εἰς μόνην τὴν χάριν, ἡ δὲ ἀμοιβὴ τείνει πρὸς τὸ τέλος οὗ τις ἀξιοῦται καὶ ἐρείδεται εἰς τὴν δικαιοσύνην.

[6.9.29] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ ἀγάπη ἑνοῖ τῷ Θεῷ οἱονεὶ τὸν ἄνθρωπον ἕλκουσα εἰς τὸν Θεόν, διὰ τῆς πίστεως δὲ τὰ θεῖα πρὸς ἡμᾶς μεταχωρεῖ, ὡς εἴρηται πρότερον.

[6.9.30] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ φθόνος ἐν τῇ βασκανίᾳ οὐδὲν ἀνύει, εἰ μὴ φαντασία ἐπίμονος πρός τι συνεργοίη.

**195-196** λέγεται – ἐλπιζομένων] Hebr. 11, 1: ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. **202-203** καθάπερ – πεφωτισμένος] Aug., Tract. in Io. 44: Caeci huius illuminati commendo mysterium. Genus humanum est iste caecus…

**188** δραστηριότητα] δραστηριότητα [a. corr.] P **197** πίστεως] οὐ μέν γε ἐπιβεβαιώσε τῆς ἀγάπης add. M; non habet P, Aq. **207** ἐπέχοιτο] ἀπέχοιτο P **212-213** πρὸς – μεταχωρεῖ] μεταχωρεὶ πρὸς ἡμᾶς M **215** συνεργοίη] συνεργήει M (cooperaretur Aq.)

**[6.9.31] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος ἀποδείκνυσιν, ὅτι ἡ πίστις διὰ τῆς ἀγάπης τῶν ἀμοιβῶν ἀξιοῦται. Τοῦτο δὲ ἐν τοῖς φθάσασι συγκεχώρηται, καὶ χωρὶς τούτων ἡ ἔνστασις ἰσχύειν ἐκείνοις, ἃ ἰδίᾳ δυνάμει ὁ ἄνθρωπος ποιεῖ· ἐν οἷς ὁ νοῦς τὴν βούλησιν ἰθύνει, ἢ πάλιν τῇ ἀνυτούσῃ δυνάμει ἐπιτάττει. Ἐν οἷς δὲ ἡ θεία δύναμίς ἐστιν ἡ διαπραττομένη, μόνη ἡ πίστις, ἣ τῇ θείᾳ δυνάμει ἐπερείδεται, ἀπόχρη πρὸς τὸ ἐνεργεῖν.**

**[6.9.32] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη προΐησι περὶ τῆς ἐνεργείας τοῦ θαύματος, ᾗ δή ἐστιν ἀπὸ τοῦ Θεοῦ, ὃς πρὸς πάντα ἃ ἐν τοῖς κτίσμασιν ἐνεργεῖ, ἐξ ἀγάπης κινεῖται. Ὁ γὰρ θεῖος** ἔρως οὐκ εἴασεν αὐτὸν ἄγονον, **ὡς ὁ Διονύσιός φησιν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων. Ἡμεῖς δὲ διαλεγόμεθα περὶ τῆς ἐνεργείας τοῦ θαύματος, ἥ ἐστιν ἀπὸ τοῦ ἀνθρώπου. Ὅθεν ὁ λόγος οὐκ ἔστι πρὸς τὸ προκείμενον.**

**[6.9.33] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τῇ ἐλπίδι οὐκ ἰδίως ἀποδίδοται τὸ ποιεῖν θαύματα· ἡ γὰρ ἐλπὶς τάττεται πρὸς τὸ κατασχεῖν τί. Ὅθεν ἔστι μόνον περὶ τῶν ἀιδίων. Ἡ δὲ πίστις ἐστὶ τῶν ἀιδίων τε πέρι καὶ τῶν προσκαίρων· ὅθεν δύναται ἐπιλαμβάνεσθαι τῆς τῶν θαυμάτων ποιήσεως. Καὶ διατοῦτο ἐν τῷ προτεθέντι λογίῳ κυριώτερος γίνεται ἡ μνήμη περὶ τῆς πίστεως, ἢ τῆς ἐλπίδος· λέγεται καὶ γάρ,** ὃς ἐπ᾽ ἐλπίδι ἐπίστευσε.

**[6.9.34] Πρὸς τὸ ἐνδέκατον ῥητέον, ὅτι ἀντικείμενον τῆς ἐλπίδος ἐστί, τὸ μεταληπτέον ὑπερφυές, οὐ τὸ ποιητέον.**

**[6.9.35] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τῇ ἐλπίδι ἀποκρίνεται ἡ θεῖα δύναμις, κατὰ τὸ ἀνάστημα τῆς αὐτῆς μεγαλειότητος, ἧς εἰς τὴν μετουσίαν τείνει· ἀλλ᾽ αὐτῇ τῇ δυνάμει, καθὸ ἐστὶ θαυμάτων αὐτουργός, διαφερόντως ἐνιδρύεται ἡ πίστις.**

**[6.9.36] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ κοινὴ** δικαιοσύνη, **ἔστιν ἐκ τῆς** πίστεως, **δι᾽ ἧς ἡ σύμπασα ἐκκλησία δικαιοῦται, κατ᾽ ἐκεῖνο τὸ τρίτον τῆς Πρὸς Ῥωμαίους·** δικαιοσύνη δὲ Θεοῦ, διὰ πίστεως Ἰησοῦ Χριστοῦ.

**224-226** Ὁ – ὀνομάτων] Ps.-Dion., De div. nom., cap. 14 (PG 3, col. 708B, Ritter p. 155): Αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως ἐν τἀγαθῷ καθ᾽ ὑπερβολὴν προϋπάρχων οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν, ἐκείνησε δὲ αὐτὸν εἰς τὸ πρακτικεύεσθαι κατὰ τὴν ἁπάντων γενητικὴν ὑπερβολήν. **233** ὃς – ἐπίστευσεν] Rom. 4, 18: ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον. **241-242** κατ᾽ – Χριστοῦ] Rom. 3, 22: δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας˙ οὐ γάρ ἐστι διαστολή. **243** δικαιοσύνη – Χριστοῦ ] Rom. 3, 22: δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας˙ οὐ γάρ ἐστι διαστολή.

**232** προτεθέντι] προταθέντι P **243** τὰ] lacuna ca 5 post τὰ

[6.9.37] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ περὶ τὰ δεινὰ ἀνδρεία
P 170v καὶ ἡ τῆς | ὁμολογίας παρρησία ἦν ἐν τοῖς μάρτυσιν διὰ τὴν περὶ τὴν Τριάδα πίστιν.

[6.9.38] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι καὶ ἡ ἐγκράτεια δρᾷ πρὸς τὸ ποιεῖν θαύματα, οὐ μὴν οὕτως ἀρχοειδῶς, καθάπερ ἡ πίστις.

[6.9.39] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ τὸ τῷ θήλει συνδιαιτᾶσθαι, καὶ τὸ θῆλυ ἀγνοεῖν ἐστι δυσεπιχείρητον, ὅμως οὐκ ἔστι θαῦμα ἰδίως ὑποτεθέντος τοῦ θαύματος· καὶ γὰρ κτιστῆς δυνάμεως ἤρτηται, δηλαδὴ τοῦ αὐτεξουσίου.

[6.9.40] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ πονηρὰ περὶ τὰ τὴν εἰς τὴν τῆς πίστεως βεβαίωσιν θαύματα ὑπόληψις τῶν τοῖς θαύμασι διαλαμβανομένων οὐ περιαιρεῖται τὴν ἰσχὺν αὐτῶν ὅσον πρὸς τοὺς εὐγνώμονας.

[6.9.41] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ἡ πίστις Πέτρου τε καὶ Ἀνδρέου ἐπαινεῖται διὰ τὴν περὶ τὸ πιστεύειν ὁρμήν, ἣ τοσοῦτο μεῖζον ἐγεγόνει, ὅσον ἡττόνων ἐδεῖτο βοηθημάτων πρὸς τὸ πιστεύειν, ἃ δὴ βοηθήματα καθ’ αὐτὰ θαύματα ὑπάρχειν.

[6.9.42] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἡ πίστις οὐκ ἔστιν ἀποχρῶσα αἰτία πρὸς τὸ θαύματα ποιεῖν, ἀλλὰ διατίθησι μόνον. Γίνονται δὲ θαύματα, κατὰ τὴν τάξιν τῆς θείας προνοίας, ἣ τοῖς ἀνθρώποις πρόσφορα φάρμακα κατὰ διαφόρους αἰτίας ποικίλως οἰκονομεῖν.

**248** θήλει] θῆλυ a. corr. P **254** διαλαμβανομένων] διαβαλλομένων M **259** θαύματα ὑπάρχειν] θαυμαστὰ ὑπάρχει M

## Κεφάλαιον δέκατον

## Πότερον οἱ δαίμονες ἀναγκάζονταί τισιν αἰσθητοῖς καὶ σωματικοῖς πράγμασιν ἢ λόγοις ἢ ἔργοις πρὸς τὸ θαύματα ποιεῖν, ἃ διὰ τῶν μαγικῶν τεχνῶν γίνεσθαι δοκοῦσι.

**[6.10.1] Δέκατον ζητεῖται, πότερον οἱ δαίμονες ἀναγκάζονταί τισιν αἰσθητοῖς καὶ σωματικοῖς πράγμασιν ἢ λόγοις ἢ ἔργοις πρὸς τὸ θαύματα ποιεῖν, ἃ διὰ τῶν μαγικῶν τεχνῶν γίνεσθαι δοκοῦσι. Καὶ δοκεῖ ταύτῃ. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ δεκάτῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ, εἰσάγων τὰ ῥήματα τοῦ Πορφυρίου, ὅτι** ἀνδρός τινος ἐν τῇ Χαλδαίᾳ φθόνος καθήψατο, ὃς ἐξορκίσας τὰς ἀσωμάτους δυνάμεις, ἱκετείαις δέδεχε τὰ ηὐγμένα παρά του μὴ προέσθαι αὐτῷ. **Καὶ ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ αὐτοῦ βιβλίου φησίν·** οὐκ ἐδυνήθην, ἣν μὴ πρῶτον παρὰ τῶν δαιμόνων λεγόντων μάθῃ, τίνος ἐφίεταί τις αὐτῶν καὶ τί ἀποτροπιάζεται, καὶ τίνι θέλγεται ὀνόματι ἢ ἀναγκάζεται. **Οἱ δαίμονες ἄρα παρὰ τῶν μάγων ἀναγκάζονται.**

**[6.10.2] Ἔτι, ὁ ποιῶν τι παρὰ τὴν ἑαυτοῦ θέλησιν τρόπῳ τινὶ βιάζεται. Ἀλλ' οἱ δαίμονες ἐνίοτε ποιοῦσι τι οὐκ ἑκόντες εἶναι διὰ τῶν μάγων ἐξορκιζόμενοι.**
P 171r **Ἔστι γὰρ θέλησις τῷ δαίμονι [semper] ἐπάγεσθαι | τοὺς ἀνθρώπους εἰς τὴν ἁμαρτίαν καὶ ὅμως τίς τῇ μαγικῇ τέχνῃ πρὸς αἰσχροὺς ἔρωτας παροξυνθεὶς τῇ αὐτῇ τέχνῃ ἀνεῖται τῆς ἐπείξεως τῆς βίας. Οἱ δαίμονες ἄρα βιάζονται ὑπὸ τῶν μάγων.**

**[6.10.3] Ἔτι, περὶ Σολομῶντος ἀναγινώσκεται, ὅτι τινὰς ἀφορκισμοὺς πεποίηκεν, οἷς οἱ δαίμονες συνηλαύνοντο τῶν πολιορκουμένων σωμάτων ἀποχωρεῖν. Ἄρα διὰ τῶν ἀφορκισμῶν οἱ δαίμονες ἀναγκάζεσθαι δύνανται.**

**[6.10.4] Ἔτι, οἱ δαίμονες προσκαλούμενοι παρὰ τῶν μάγων παραγίνονται, ἢ τοῦτο πάσχουσι κηλούμενοι ἢ ἀναγκαζόμενοι. Ἀλλ' οὐκ ἀεὶ προσκαλούμενοι κηλοῦνται· προσκαλοῦνται γὰρ διά τινων, οἷς οἱ δαίμονες ἀπεχθάνονται,**

**7-11** Φησὶ – αὐτῷ] Aug., De civ. X, cap. 9, n. 2 (PL 41, col. 287): Conqueritur, inquit, vir in Chaldaea bonus, purgandae animae magno in molimine frustratos sibi esse successus, cum vir ad eadem potens tactus invidia adiuratas sacris precibus potentias alligasset, ne postulata concederent. **11-13** ἐν – ἀναγκάζεται] Aug., De civ. XXI, cap. 6, n. 1 (PL 41, col. 717): Neque enim potuit, nisi primum ipsis docentibus, disci quid quisque illorum appetat, quid exhorreat, quo invitetur nomine, quo cogatur.

**10** ηὐγμένα] intellige ἠγμένα (postulata Aq.) **25** κηλούμενοι] καλούμενοι M (alliciuntur Aq.) **26** κηλοῦνται] καλοῦνται M (alliciuntur Aq.) **28** ἀπολούμενοι] ἀποποιούμενοι (morentur Aq.)

**ὥσπερ διὰ παρθενίας τῆς ἱκετευούσης, καίπερ αὐτοὶ πρὸς τὰς ἐξαγίστους συνουσίας τοὺς ἀνθρώπους κατασπᾶν μὴ ἀπολούμενοι. Δοκεῖ τοίνυν ἐνίοτε αὐτοὺς ἀναγκάζεσθαι.**

**[6.10.5] Ἔτι, σπουδὴ τοῖς δαίμοσίν ἐστιν ἀποστρέφειν τοὺς ἀνθρώπους ἀπὸ τοῦ Θεοῦ. Ἀλλ᾽ αὐτοὶ ἐπικληθέντες διά τινων εἰς τὴν περὶ τὸ θεῖον εὐλάβειαν προκαλουμένων, ὥσπερ τῇ ἐπικλήσει τῆς θείας μεγαλειότητος, παραγίνονται. Οὐκ ἄρα ἐθελονταὶ τοῦτο ποιοῦσιν, ἀλλὰ βεβιασμένοι.**

**[6.10.6] Χωρὶς δὲ τούτων, εἰ** μειλίσσονταί τισιν αἰσθητοῖς, οὐ μειλίσσονται τούτοις, ὥσπερ τὰ ζῷα ταῖς τροφαῖς, ἀλλ᾽ ὥσπερ πνεῦμα συμβόλοις, προσήκουσι τῇ ἀγάπῃ διὰ ποικίλων γενῶν λίθων καὶ βοτανῶν καὶ ξύλων καὶ ζῴων καὶ ᾠδῶν καὶ ῥυθμῶν**, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ. Ἀλλὰ συμβόλοις μειλίσσεσθαι, οὐ πάνυ τοι φαίνονται. Ἐκείνου γάρ ἐστι τὸ σημείοις μαλίσσεσθαι, οὗπέρ ἐστι τὸ σημείοις χρῆσθαι, ὅπέρ ἐστι μόνου τοῦ αἴσθησιν ἔχοντος· καὶ γὰρ σύμβολον ἐστίν, ὃ παρὰ τὸ εἶδος, ὃ ταῖς αἰσθήσεσιν ἐντίθησι ποιεῖ ἄλλό τι τῇ καταλήψει προσγίνεσθαι. Οἱ δαίμονες ἄρα οὐδενὶ τρόπῳ μειλίσσονται, ἀλλὰ μᾶλλον ἀναγκάζονται.**

**[6.10.7] Ἔτι, ὁ Ματθαῖος φησὶν ἐν τῷ τινα εἰρηκέναι πρὸς τὸν Θεόν,** Κύριε ἐλέησον τὸν υἱόν μου, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει**, ἐν δὲ τῷ Μάρκῳ λέγεται, ὅτι προσ**ήνεγκα τὸν υἱόν μου πρὸς σέ, ἔχοντα πνεῦμα **κωφόν,** ἄλαλον**. Φησὶ τοίνυν ἡ Ἐξήγησις ἐν τῷ προειρημένῳ τοῦ Ματθαίου· ὁ Μάρκος κωφὸν καὶ ἄλαλον φησίν, ὃν ὁ Ματθαῖος σεληνιαζόμενον ὀνομάζει, οὐχ ὅτι ἡ σελήνη τοῖς δαίμοσι δουλεύει, ἀλλ᾽ οἱ δαίμονες τὸν τῆς σελήνης δρόμον παρατηροῦντες τοὺς ἀνθρώπους λωβῶνται. Ἄρα τῇ παρατηρήσει τῶν οὐρανίων σωμάτων καὶ τῶν ἄλλων σωματικῶν οἱ δαίμονες προσποίησίν τινος ἀναγκάζονται.**

P 171v **[6.10.8] Ἄνευ δὲ τούτων, ἐπεὶ οἱ δαίμονες δι᾽ ὑπερηφανίαν ἥμαρτον, | οὐκ ἔστιν ὃ πιθανὸν τὸ τέγκεσθαι τοῖς δοκοῦσι κατασπᾶν τὸ γαύρωμα αὐτῶν.**

**34-38** εἰ – Θεοῦ] Aug., De civ. XXI, cap. 6, n. 1 (PL 41, col. 717): Illiciuntur autem daemones ad inhabitandum per creaturas, quas non ipsi, sed Deus condidit, delectabilibus pro sua diversitate diversis, non ut animalia cibis, sed ut spiritus signis, quae cuiusque delectationi congruunt, per varia genera lapidum herbarum, lignorum, animalium, carminum, rituum. **44-45** ὁ – πάσχει] Mt. 27, 15: Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει˙ πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ. **45-47** Ἐν – ἄλαλον] Mc. 9, 16: καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε˙ διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον.

**35** τούτοις] τοῦτο M (eis Aq.) **39-40** οὐ – μαλίσσεσθαι] deest M **53** ἐπεὶ] deest P (cum Aq.) **54** κατασπᾶν] καταπᾶν M (derogare Aq.) **55** γοήτων] γοητῶν M **59** ἄφθορον] ἔκφορον M

**Καλοῦνται δὲ ἀπειλαῖς τῆς δυνάμεως τῶν γοήτων καὶ ψεύδεσιν ἀπίστοις ὅπερ ὑποσπᾷ τὴν γνῶσιν αὐτῶν. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ δεκάτῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ, εἰσάγων τὰ τοῦ Πορφυρίου ῥήματα λέγοντος·** τίς ἐστιν ἄνθρωπος οὕτω περικοπῇ φρενῶν ἔνοχος, ὃς ἀπειλεῖ τούτοις καὶ μορμολύττεται ψευδῶς, ὥστε ἄφθορον θέσθαι τὴν ἀλήθειαν; καὶ γὰρ καὶ τὸν οὐρανὸν συνθράσσειν ἀνατείνονται καὶ ἄττα ἕτερα ὅμοια ἀνθρώπῳ ἀδύνατα, ἵν’ οὗτοι οἱ θεοί, ὡσανεὶ παιδισκάρια ἀφρονέστατα ταῖς ψευδέσι καὶ γελοίοις ἀπειλαῖς, κατεπτυχότες τὸ προστασσόμενον διαπράξωνται. **Οἱ δαίμονες ἄρα οὐ τέγκονται ἐπικληθέντες.**

**[6.10.9] Ἔτι, ἡ τοῦ δαίμονος θέλησις τείνει εἰς τὸ τοὺς ἀνθρώπους κατενεγκεῖν εἰς τὴν τῶν εἰδώλων θεραπείαν· ὃ ἐξαιρέτως γίνεται διὰ τὸ τὸ πνεῦμα προσεδρεύειν ταῖς εἰκόσι τῶν δαιμόνων. Εἰ τοίνυν αὐθόρμητοι ἐπικληθέντες φοιτῶσιν, ἀεὶ παρὰ τὰ τοιαῦτα φοιτῷεν. Οὐκ αἰεὶ δὲ παραγίνονται ἄλλαις ἐνδήλοις καιροῖς καὶ παρατετηρημένοις καὶ ὡρισμέναις ᾠδαῖς καὶ ῥυθμοῖς καὶ εἰκόσι καθιερωμέναις, ἢ μᾶλλον βεβήλοις. Αἱ ἄρα ἐπικλήσεις γίνονται τοῖς δαίμοσιν οὐ κατὰ θέλξιν, ἀλλὰ κατὰ βίαν.**

**[6.10.10] Ἔτι, οἱ δαίμονες ἐπικλήσεσι προσάγονται ἐνίοτε ταῖς μαγικαῖς τέχναις, ὥστε τοὺς ἀνθρώπους εἰς αἰσχροὺς ἔρωτας κάμπτειν. Τοῦτο δὲ εἰ δαίμονες οἴκοθεν σκοποῦσιν, οὐκ ἂν οὖν εἴη χρείᾳ θέλγεσθαι. Ἀλλ’ ἀεὶ τοῦτο ποιοῖεν ἐπικληθέντες. Οὐ ποιοῦσι δὲ ἀεί. Ἡνίκα τοίνυν τοῦτο ποιοῦσιν ἐπικληθέντες, οὐχ ὡς μειλιχθέντες, ἀλλ’ ὡσανεὶ βεβιασμένα ποιοῦσιν.**

**[6.10.11] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ λεγόμενον ἐν τῷ ἑνδεκάτῳ τοῦ Ἰώβ· οὐκ ἔστι δύναμις ἐπὶ τῆς γῆς δυναμένη παραβάλλεσθαι αὐτῷ· εἴτουν τῷ διαβόλῳ. Ἡ μείζων δὲ δύναμις οὐ βιάζεσθαι ὑπὸ τῆς ἥττονος. Οὐκ ἄρα διά τινος γηίνου οἱ δαίμονες βιάζεσθαι δύνανται.**

**[6.10.12] Ἔτι, οὐκ ἔστι τὸ αὐτὸ ἐπιμελεῖσθαι καὶ βιάζεσθαι. Ἡ γὰρ ἐπίκλησίς ἐστι τῶν μειζόνων, ὡς ὁ Πορφύριος φησί, τοῖς χείροσι δὲ προστάσσεται. Οἱ δαίμονες δὲ φοιτῶσιν ἐπικεκλημένοι. Οὐκ ἄρα βιάζονται.**

**56-62** Φησὶ – διαπράξωνται] Aug., De civ. X, cap. 11, n. 2 (PL 41, col. 290): homo vitio cuilibet obnoxius intendit minas eosque territat falso, ut eis extorqueat veritatem. Nam et caelum se collidere comminatur et cetera similia homini impossibilia, ut illi dii tamquam insipientissimi pueri falsis et ridiculis comminationibus territi quod imperatur efficiant.

**62** κατεπτυχότες] κατεπτυχότος P | διαπράξωνται] διαπράξονται M (efficiant Aq.) **72** κάμπτειν] κάπτειν M **82** φοιτῶσιν] φυτῶσιν P (veniunt Aq.)

**[6.10.13] Ἀλλ’ ἔλεγεν, ὅτι βιάζονται τῇ θείᾳ δυνάμει. Ἀλλὰ τοὐναντίον, τὸ τοὺς δαίμονας ἀναγκάζειν ἐκ θείας δυνάμεως ἐστὶ διὰ τοῦ δώρου τῆς χάριτος, ᾧ τελειοῦται ἡ τάξις τῶν οὐρανίων ἐξουσιῶν. Τοῦτο δὲ τὸ τῆς χάριτος δῶρον οὐ περίεστι τοῖς ἀπίστοις καὶ βεβήλοις ἀνθρώποις, οἷοί εἰσὶν οἱ γόητες. Ἄρα οὐδὲ τῇ θείᾳ δυνάμει τοὺς δαίμονας ἀναγκάζειν δύνανται.**

P 172r **[6.10.14] Ἔτι, τὸ ποιεῖν τὰ ὑπὸ τῆς θείας δυνάμεως ἀρχοειδῶς γινόμενα | οὐκ ἔστιν ἁμαρτία· ὥσπερ τὸ ποιεῖν θαύματα. Εἰ τοίνυν οἱ μάγοι τῇ θείᾳ δυνάμει τοὺς δαίμονας ἀναγκάζουσι χρώμενοι ταῖς μαγικαῖς τέχναις, οὐκ ἂν ἁμαρτάνοιειν. Ὃ ψεῦδος εἶναι δοκεῖ. Οὐ τοίνυν οἱ δαίμονες τρόπῳ τινὶ ταῖς μαγικαῖς τέχναις ἀναγκάζονται.**

**[6.10.15] Ἀπόκρισις. Ῥητέον, ὅτι περὶ τὰ ἀποτελέσματα τῶν μαγικῶν τεχνῶν πολυσχεδὴς γέγονε δόξα. Τινὲς γὰρ ἔφασαν, ὥσπερ Ἀλέξανδρος, ὅτι τὰ ἀποτελέσματα τῶν μαγικῶν τεχνῶν γίνονται διά τινων δυνάμεων τοῖς ὑποβεβηκόσι πράγμασι γεγενημένων ἐκ δυνάμεών τινων ὑποβεβηκότων σωμάτων μετὰ παρατηρήσεως τῶν οὐρανίων κινήσεων. Ὅθεν ὁ Αὐγουστῖνός φησιν ἐν τῷ δεκάτῳ Περὶ τῆς πόλεως τοῦ Θεοῦ, ὅτι** τῷ **Πορφυρίῳ** δοκεῖ βοτάναις καὶ λίθοις καὶ ζῴοις καὶ φθόγγοις ὡρισμένοις, τισὶν αὖ φωναῖς καὶ σχηματισμοῖς καὶ πλάσεσι καί τισι παρατετηρημέναις κινήσεσιν ἀστέρων ἐν τῇ τοῦ οὐρανοῦ στροφῇ γίνεσθαι ἐν τῇ γῇ παρὰ τῶν ἀνθρώπων δυνάμεις ἀποχρώσας, ποικίλοις ἀποτελέσμασι τῶν ἀστέρων ἐνεργουμένας. **Αὕτη δὲ ἡ θέσις, οὐκ αὐτάρκης δοκεῖ. Εἰ γὰρ καὶ πρός τινα μαγικαῖς τέχναις γίνεσθαι δοκοῦνται, τῶν μετεώρων καὶ ταπεινῶν σωμάτων αἱ δυνάμεις αὐταρκεῖν δύνανται ὥσπερ πρός τινας σωμάτων μεταβολάς, ἔνια ὅμως γίνονται ταῖς μαγικαῖς τέχναις, πρὸς ἃ οὐδεμία δύναμις σώματος ἐκτείνεσθαι δύναται. Συμβαίνει γὰρ τοὺς λόγους μὴ εἶναι, εἰ μὴ ἐκ νοῦ. Διὰ δὲ τῶν μαγικῶν τεχνῶν διαλέξεις τινες ἀποκρινομένων τινῶν ἀκούονται· ὅθεν ἀνάγκη τοῦτο γίνεσθαι διά τινος νοῦ, καὶ μάλιστα ἡνίκα περί τινων ἀπορρήτων διὰ τῶν τοιούτων ἀποκρίσεων οἱ ἄνθρωποι διδάσκονται. Οὐδ’ οἷόν τε τοῦτο λέγεσθαι ὅτι ἀλλοιώσει τῆς φαντασίας μόνης γίνεται τῷ τῆς σιωπῆς· τηνικαῦτα γὰρ αἵδε αἱ**

**97-102** ὁ – ἐνεργουμένας] Aug., De civ. X, cap. 11, n. 2 (PL 41, col. 290): Et quod ei videtur herbis et lapidibus et animantibus et sonis certis quibusdam ac vocibus et figurationibus atque figmentis, quibusdam etiam observatis in caeli conversione motibus siderum fabricari in terra ab hominibus potestates idoneas variis effectibus exsequendis.

**111** σιωπῆς] σιοπής M; lacuna ca 5 P; praestigii Aq.

φωναὶ οὐκ ἂν ἀκούοιντο ὑπὸ τῶν περιεστώτων ἀνθρώπων· ἀλλὰ μὴν ὑπὸ τῶν ἐγρηγορότων καὶ τὰς αἰσθήσεις ἐχόντων λελυμένας ἀκούεσθαι δύνανται. Ὅθεν λείπεται τοῦτο γίνεσθαι ἢ δυνάμει τῆς ψυχῆς τοῦ τῇ μαγικῇ χρωμένου τέχνῃ ἀνθρώπου, ἢ ἀπ' ἄλλου ἐξωτερικοῦ νοῦν ἔχοντος. Τὸ πρῶτον δὲ εἶναι οὐχ οἷόν τε. Δῆλον δὲ ἐκ δυοῖν. Πρῶτον μέν, ὅτι ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐξ ἰδίας δυνάμεως οὐ δύναται ἐλθεῖν εἰς τὴν τῶν ἀγνοουμένων κατάληψιν εἰ μὴ διά τινων ἐγνωσμένων αὐτῇ· ὅθεν θελήσει τῆς ψυχῆς τοῦ ἀνθρώπου οὐ δύναται γενέσθαι ἀποκάλυψις τῶν ἀπορρήτων τῶν γινομένων διὰ τῶν μαγικῶν τεχνῶν, ἐφόσον πρὸς τὴν δαδουχίαν τῶν τοιούτων μυστηρίων οὐκ αὐταρκοῦσιν αἱ τοῦ ἡμετέρου λόγου ἀρχαί.
P 172v Δεύτερον ὅτι, εἰ τῇ ἰδίᾳ δυνάμει τὰ τοιαῦτα | ἀποτελέσματα ἡ τοῦ μάγου ψυχὴ ποιοίη, οὐκ ἂν δέοιτο χρῆσθαι ἐπικλήσεσιν ἢ τοιούτοις τισὶν ἐξωτερικοῖς πράγμασι. Συμβαίνει δὲ ἄρα τὰ τοιαῦτα ἀποτελέσματα τῶν μαγικῶν τεχνῶν διά τινων μὲν ἐξωτερικῶν πνευμάτων γίνεσθαι, οὐ μὴν δὲ διὰ πνευμάτων δικαίων καὶ ἀγαθῶν. Ὅπερ δυοῖν φανερόν. Πρῶτον μέν, ὅτι τὰ ἀγαθὰ πνεύματα τὴν σφῶν οἰκειότητα οὐκ ἂν βεβήλοις ἀνθρώποις παράσχοιεν· οἷοι μάλιστά εἰσιν οἱ τὰς μαγικὰς τέχνας μετιόντες. Δεύτερον, ὅτι οὐκ ἂν συνεπιλαμβάνοιντο ἀνθρώποις πρὸς τὸ τυχεῖν ἀθεμίτων· ὅπερ πλειστάκις γίνεται διὰ τῶν μαγικῶν τεχνῶν. Λείπεται τοίνυν τοῦτο γίνεσθαι διὰ τῶν πονηρῶν πνευμάτων, οὓς δαίμονας φαμέν. Οἱ τοιοῦτοι δὲ δαίμονες δύνανται νοεῖσθαι ἀναγκάζεσθαι διχῇ· ἑνὶ μὲν τρόπῳ διά τινος ὑπερκειμένης δυνάμεως ἀνάγκην τοῦ ποιεῖν αὐτοῖς ἐπαγούσης· ἑτέρῳ τρόπῳ, κατά τινας ἴυγγας, ὥσπερ οἱ ἄνθρωποι λέγονται πρός τι συνελαύνεσθαι, οὗ τῇ ἐπιθυμίᾳ θέλγονται. Οὐδενὶ δὲ τρόπῳ διὰ τῶν σωματικῶν πραγμάτων οἱ δαίμονες συνελαύνεσθαι δύνανται, εἰ μὴ ὑποτίθοιντο ἔχειν σώματα ἀέρια, καὶ κατὰ τὸ εἰκὸς ἔχειν αἰσθητὰς ἐπιθυμίας πρὸς τρόπον τοῖς ἄλλοις ζῴοις, ὥσπερ καὶ ὁ Ἀπολλώνιος τέθεικεν, εἶναι τοὺς δαίμονας ζῷα τῷ σώματι ἀέρια, τῷ νῷ παθητικά. Οὕτω γὰρ βιάζεσθαι

**139-140** ὥσπερ – παθητικά] Aug., De civ. VIII, cap. 16 (PL 41, col. 241): Breviter autem eos definiens ait daemones esse genere animalia, animo passiva, mente rationalia, corpore aeria, tempore aeterna.

**120** δαδουχίαν] δεδουχίαν M **137** τέθεικεν] τέθηκεν M

**δύνανται ἑκατέρῳ τρόπῳ, καὶ σωματικῇ δυνάμει τῶν οὐρανίων σωμάτων, ὧν ταῖς ἐνεργείαις εἴς τινα πάθη προάγονται, καὶ τοῖς ὑποβεβηκόσι σώμασιν, οἷς κηλοῦνται, καθάπερ Ἀπολλώνιός φησιν ἥδεσθαι κνί<σ>σαις θυσιῶν καί τισι τοιούτοις. Ἀλλὰ τῆς δόξης τῆσδε τὸ ψεῦδος δέδεικται ἐν ταῖς ἔμπροσθεν ζητήσεσι. Λείπεται τοίνυν τοὺς δαίμονας, δι’ ὧν αἵμασι καὶ τέχναι τὸ τέλειον ἴσχουσι, καὶ ἀναγκάζεσθαι καὶ θέλγεσθαι. Ἀναγκάζονται μὲν γὰρ ἀπό τινος ὑπερκειμένου, ἐνίοτε μὲν τοῦ Θεοῦ, ἐνίοτε δὲ τῶν ἁγίων ἢ ἀγγέλων ἢ ἀνθρώπων τῇ τοῦ Θεοῦ δυνάμει. Τῇ γὰρ τῶν ἐξουσιῶν τάξει προσήκειν λέγεται τοὺς δαίμονας ἀναγκάζειν. Οἱ δ’ ἅγιοι ἄνθρωποι, ὥσπερ τοῦ δώρου τῶν δυνάμεων μεταλαμβάνουσιν, ἐφόσον θαύματα ποιοῦσιν, οὕτω τοῦ δώρου τῶν ἐξουσιῶν, ἐφόσον ἐλαύνουσι τοὺς δαίμονας. Ἐνίοτε μέντοι βιάζονται καὶ παρὰ τῶν ὑπερεχόντων δαιμόνων, ἢ δὴ μόνη βία διὰ τῆς τῶν μάγων τέχνης γίγνεσθαι δύναται. Αὖθις τε ἀναγκάζονται οἱονεὶ θελγόμενοι διὰ τῶν μαγικῶν τεχνῶν, οὐ τοῖς σωματικοῖς πράγμασι καθ’ αὑτά, ἀλλά του χάριν ἄλλου. Πρῶτον μέν, ὅτι διὰ τῶν τοιούτων σωματικῶν πραγμάτων ἴσασι ῥᾷον δύνασθαι ἀνύτειν τὸ ἀποτέλεσμα, εἰς ὃ τούτους ἐπιβοῦνται, καὶ τῶν τοιούτων αὐτοῖς ἐφίενται, ἵνα δηλαδὴ ἡ τούτων δύναμις, διὰ θαύματος ἄγοιτο· καὶ διατοῦτο ἐν ὡρισμένῳ συναστερισμῷ ἐπικληθέντες μᾶλλον ἐπιφοιτῶσιν. Δεύτερον, ἐφόσον τὰ τοιαῦτα σωματικά εἰσι σύμβολά τινων νοητῶν, οἷς ἥδονται. Ὅθεν ὁ Αὐγουστῖνός φησιν ἐν τῷ εἰκοστῷ πρώτῳ**

P 173r **τοῦ Περὶ τῆς πόλεως | τοῦ Θεοῦ,** ὅτι μειλίσσονται οἱ δαίμονες ἐν τούτοις τοῖς πράγμασιν οὐχ ὥσπερ τὰ ζῷα ταῖς τροφαῖς, ἀλλ’ ὥσπερ πνεύματα συμβόλοις. **Ὅτι γὰρ οἱ ἄνθρωποι εἰς σύμβολον ὑποταγῆς τῷ Θεῷ θυσίας προσφέρουσι καὶ προσκυνήσεις ποιοῦνται, ἥδονται σύμβολα τοῦ τοιούτου σεβάσματος σφίσι παρέχεσθαι. Θέλγονται δὲ διάφοροι δαίμονες διαφόροις συμβόλοις, καθὸ διαφόροις πάθεσιν αὐτῶν μᾶλλόν εἰσι πρόσφορα. Τρίτον, θέλγονται τούτοις τοῖς σωματικοῖς πράγμασιν, ἐφόσον οἱ ἄνθρωποι διὰ τούτων εἰς**

**159-162** Ὅθεν – συμβόλοις] Aug., De civ. XXI, cap. 6 (PL 41, col. 717): Illiciuntur autem daemones ad inhabitandum per creaturas, quas non ipsi, sed Deus condidit, delectabilibus pro sua diversitate diversis, non ut animalia cibis, sed ut spiritus signis.

**150** μέντοι] δὲ M (etiam Aq.) **160** μειλίσσονται] μαλίσονται M (alliciuntur Aq.)

ἁμαρτίαν ἐμπίπτουσι· κἀντεῦθεν ἐστὶν τὸ προσχαίρειν τοῖς ψεύδεσι καὶ δι’ ὧν οἱ ἄνθρωποι εἰς πλάνην καὶ ἁμαρτίαν ὑποφέρεσθαι δύνανται.

[6.10.16] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι οἱ δαίμονες λέγονται ἀναγκάζεσθαι διὰ τῶν μαγικῶν τεχνῶν τοῖς προειρημένοις τρόποις.

[6.10.17] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦτο αὐτὸ ἀπόχρη τῷ διαβόλῳ, εἴ γε διὰ τοῦ τι κακὸν κωλύειν καὶ πρός τι ἀγαθὸν συμπράττειν ῥᾷον εἰς τὴν ἑαυτοῦ οἰκειότητα καὶ ὑπουργίαν τοὺς ἀνθρώπους ἐφέλκεται. Καὶ γὰρ καὶ αὐτοὶ ἑαυτοὺς μετασχηματίζουσιν εἰς ἄγγελον φωτός, ὡς περιέχεται ἐν τῷ ἑνδεκάτῳ τῆς Πρὸς Κορινθίους δευτέρας.

[6.10.18] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, εἰ ὁ Σολομὼν τοὺς ἐξορκισμοὺς αὐτοῦ πεποίηκε καθ’ ὃν δὴ χρόνον ἦν ἐν τῇ τῆς σωτηρίας καταστάσει, δυνατὸν ἐνεῖναι τοῖς ἐξορκισμοῖς ἐκείνοις, δύναμιν βιαστικὴν τῶν δαιμόνων ἐκ τῆς θείας δυνάμεως. Εἰ δὲ ἐπὶ τῶν χρόνων εἴργασται τοῦτο, καθὼς τὰ εἴδωλα προσεκύνησεν, ὡς νοεῖσθαι διὰ μαγικῶν τεχνῶν συνθεῖναι, οὐ γέγονεν ἐν ἐκείνοις τοῖς ἐξορκισμοῖς δύναμις βιαστικὴ τῶν δαιμόνων, εἰ μὴ τῷ προειρημένῳ τρόπῳ.

[6.10.19] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι παρὰ παρθένων καλούμενοι, παραγίνονται, ἵν’ ἐκ τούτου εἰς δόξαν θεότητος σφετέρους αὐτῶν τοὺς ἀνθρώπους προκαλέσωνται, ὡσανεὶ καθαρότητα ἀγαπῷεν.

[6.10.20] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι διατοῦτο τῇ ἐπικλήσει τῆς θείας δυνάμεως ἐφίστανται, βουλόμενοι ὑπόνοιαν εἶναι παρὰ πᾶσι μὴ εἶναι ἀτελεῖς παντάπασι τῆς θείας δικαιοσύνης. Οὐ γὰρ οὕτω τῆς θεότητος ἐφίενται, ὡς τῷ ἀνωτάτω Θεῷ βούλεσθαι τοπαράπαν παρισοῦσθαι· χαίρουσι γὰρ παρέχεσθαι αὐτοῖς λατρείαν θεότητος παρὰ τῶν ἀνθρώπων, ὡς ὑπὸ Θεῷ τελοῦσι.

[6.10.21] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι οἱ δαίμονες οὐ λέγονται θέλγεσθαι συμβόλοις, ὡσανεὶ αὐτοὶ τοῖς συμβόλοις χρώμενοι· ἀλλ’ ὅτι οἱ ἄνθρωποι τούτοις χρῆσθαι εἰώθασιν, ἥδονται τούτοις οἷς οἱ ἄνθρωποι χρῶνται διὰ τὰ συμβαλλόμενα.

**173-175** καὶ – δευτέρας] II Cor. 11, 14: καὶ οὐ θαυμαστόν˙ αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.

**179** καθὼς] καθ’οὓς M (ut Aq.) **189** παρισοῦσθαι] ἰσοῦσθαι M (aequari Aq.) **190** χαίρουσι] χείρασι (gaudent Aq.)

P 173v **[6.10.22] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, καθάπερ ἡ Ἐξήγησίς φησιν ἐκεῖ, οἱ δαίμονες τεταγμέναις περιόδοις τῆς σελήνης τοῖς ἀνθρώποις μάλιστα ἐπιτίθενται, ὥστε πονηρὸν προστρίψαι συνειδὸς τοῖς τοῦ Θεοῦ δημιουργήμασιν ἐν | τῷ τὰ κτίσματα γενέσθαι δῆθεν, ἐφ’ ᾧ δουλεύειν τοῖς δαίμοσιν. Καὶ διατοῦτο τοὺς ἀνθρώπους ἀποπλανᾶν.**

**[6.10.23] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, εἰ καὶ τὰ προειρημένα ψεύδη ὑφαίρεσιν τῆς δυνάμεως τοῦ διαβόλου ποιεῖν δοκεῖ, ὅμως τοῦτ’ ἔστιν αὐτοῖς ἡδύ, τὸ τοὺς ἀνθρώπους εἰς τὰ ψεύδη ῥιζοῦν. Αὐτὸς γάρ ἐστι ψεύστης καὶ ὁ Πατὴρ αὐτοῦ.**

**[6.10.24] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι πρὸς τὰς εἰκόνας παρακαλούμενοι παραγίνονται ὡρισμέναις ὥραις καὶ συμβόλοις ὡρισμένοις τοῖς προειρημένοις λόγοις.**

**[6.10.25] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἰ καὶ ἀεὶ οἱ δαίμονες ἐφίενται εἰς τὴν ἁμαρτίαν καθέλκειν τοὺς ἀνθρώπους, τηνικαῦτα μέντοι μᾶλλον τοῦτο ἐπιχειροῦσιν, ἡνίκα καὶ μάλιστα ἐπιρρεπεῖς τε εἰσὶν εἰς τοῦτο οἱ ἄνθρωποι καὶ πλείστους ἐπάγεσθαι δύνανται.**

**198** περιόδοις – σελήνης] τῆς σελήνης περιόδοις M (periodis lunae Aq.) | τοῖς – μάλιστα] μάλιστα τοῖς ἀνθρώποις P (homines magis Aq.) **201** ἀποπλανᾶν] ἀπεπλανᾶν M (in errorem mittant Aq.)

## <Βιβλίον ἕβδομον>

## Κεφάλαιον πρῶτον

## Πότερον ὁ Θεός ἐστιν ἁπλοῦς ἢ οὔ.

**[7.1.1] Ἡ ζήτησις ἔστι περὶ τῆς ἁπλότητος τῆς θείας οὐσίας. Καὶ πρῶτον ζητεῖται ἐν κεφαλαίῳ, εἰ ὁ Θεός ἐστιν ἁπλοῦς. Καὶ δοκεῖ οὔ. Ἀφ' ἑνὸς γὰρ ἁπλοῦ οὐ πέφυκεν εἶναι εἰ μὴ ἕν· τοῦτο γὰρ ἀεὶ ποιεῖ ταὐτὸ κατὰ τὸν Φιλόσοφον. Ἀλλ' ἀπὸ τοῦ Θεοῦ πρόεισι πλῆθος. Αὐτὸς ἄρα οὐκ ἔστιν ἁπλοῦς.**

**[7.1.2] Ἔτι, τοῦ ἁπλοῦ εἰ ἔστιν ἐπαφή, ὅλου ἐστίν. Ἀλλὰ τοῦ Θεοῦ ἅπτονται οἱ μακάριοι. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ τοῦ ὁρᾶν τὸν Θεὸν βιβλίῳ· τὸ ἅπτεσθαι τῇ διανοίᾳ τοῦ Θεοῦ ἀπόθετός ἐστι μακαριότης. Εἰ τοίνυν ἁπλοῦς εἴη, ὅλου ἐφάπτονται αὐτοῦ οἱ μακάριοι. Ὅλου δέ ἐστιν ἐπαφὴ τῇ καταλήψει. Ὁ Θεὸς ἄρα παρὰ τῶν μακαρίων καταλαμβάνεται· ὅπέρ ἐστιν ἀδύνατον. Ὁ Θεὸς ἄρα οὐκ ἔστιν ἁπλοῦς.**

**[7.1.3] Ἔτι, τὸ αὐτὸ οὐκ ἔστιν ἐν λόγῳ διαφόρων αἰτιῶν. Ἀλλ' ὁ Θεός ἐστιν ἐν λόγῳ διαφόρων αἰτιῶν, ὡς φαίνεται ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἐν αὐτῷ ἄρα δεῖ εἶναι διάφορα. Δεῖ ἄρα αὐτὸν εἶναι σύνθετον.**

**[7.1.4] Χωρὶς δὲ τούτων, ἔνθα ἔστιν ἄλλο καὶ ἄλλο, ἔστι σύνθετον. Ἀλλ' ἐν τῷ Θεῷ ἔστιν ἄλλο καὶ ἄλλο, εἴτουν ἡ ἰδιότης καὶ ἡ οὐσία. Ἐν τῷ Θεῷ ἄρα ἔστι σύνθεσις.**

**[7.1.5] Ἀλλ' ἔλεγεν, ὅτι ἡ ἰδιότης ταυτόν ἐστι τῇ οὐσίᾳ. Ἀλλ' ἰτέον εὐθύ· ἡ κατάφασις καὶ ἡ ἀπόφασις οὐκ ἀληθεύονται κατὰ τοῦ αὐτοῦ. Ἀλλ' ἡ μὲν θεία οὐσία ἐστὶ μεθεκτὴ τοῖς τρισὶ προσώποις, ἡ δὲ ἰδιότης ἐστὶν ἀμέθεκτος. Ἡ ἰδιότης ἄρα καὶ ἡ οὐσία οὐκ εἰσὶ τὸ αὐτό.**

**[7.1.6] Ἔτι, καθ' οὗ κατηγοροῦνται διάφοροι κατηγορίαι, ἐστὶ σύνθετον. Ἀλλ'** P 174r **ἐν τῇ θείᾳ κατηγορίᾳ ὑπάγεται οὐσία | καὶ πρός τι, ὥς φησιν ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Ὁ Θεὸς ἄρα ἐστὶ σύνθετος.**

**5-7** Ἀφ' – Φιλόσοφον] Ar., De gen. **9-10** φησὶ – μακαριότης] Aug., De viv. II, **14-15** ὁ – φυσικά] Ar., Metaphys. XI. **25-26** ἐν – βιβλίῳ] Boet., De Trin.: Decem omnino praedicamenta traduntur quae de rebus omnibus universaliter praedicantur, id est substantia, qualitas, quantitas, ad aliquid, ubi, quando, habere, situm esse, facere, pati.

**6** τοῦτο – ταυτὸ] deest M (idem enim facit idem Aq.) **11** Ὅλου] ὅλος P (quod totum Aq.) **29** πληθύς] πλῆθος (pluralitas Aq.)

**[7.1.7] Ἔτι, ἐν ὁτῳοῦν χρήματι ἔστιν** οὐσία, δύναμις καὶ ἐνέργεια, **ὥς φησιν ὁ Διονύσιος· ἀφ’ οὗ δοκεῖ τὴν ἐνέργειαν ἕπεσθαι δυνάμει καὶ οὐσίᾳ. Ἀλλ’ ἐν ταῖς θείαις ἐνεργείαις εὑρίσκεται πληθύς. Ἐν τῇ οὐσίᾳ ἄρα εὑρίσκεται πλῆθος. Κἀντεῦθεν σύνθεσις.**

**[7.1.8] Παρὰ ταῦτα ὁπηδήποτε εὑρίσκεται πλῆθος εἰδῶν, ἐκεῖ ἀνάγκη εἶναι σύνθεσιν. Ἀλλ’ ἐν τῷ Θεῷ εὑρίσκεται πλῆθος εἰδῶν· ὡς γάρ φησιν ὁ Ὑπομνηματιστής, πάντα τὰ εἴδη εἰσὶν ἐνεργείᾳ, ἐν τῷ πρώτῳ κινοῦντι, ὥσπερ δυνάμει ἐν τῇ πρώτῃ ὕλῃ. Ἐν τῷ Θεῷ ἄρα ἔστι σύνθεσις.**

**[7.1.9] Ἔτι, ὅτί ποτε ἐπιγίγνεται ἄλλῳ, μετὰ πλῆρες τὸ εἶναι, ἔπεστιν αὐτῷ κατὰ συμβεβηκός. Ἀλλά τινα λέγονται κατὰ τοῦ Θεοῦ ἐκ χρόνου, ὥσπερ τὸ εἶναι Δημιουργόν, καὶ Κύριον. Ἐνυπάρχουσιν ἄρα αὐτῷ κατὰ συμβεβηκός. Τοῦ συμβεβηκότος δὲ πρὸς τὸ ὑποκείμενον ὑπάρχει τις συνθήκη. Ἐν τῷ Θεῷ ἄρα ἐστὶ σύνθεσις.**

**[7.1.11] Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Ἱλαρίου λεγόμενον, ἐν τῷ Περὶ Τριάδος ὀγδόῳ·** οὐ τῷ ἀνθρωπίνῳ τρόπῳ ἐκ συνθέτων ἐστὶν ὁ Θεός, ὥστ’ εἶναι ἐν αὐτῷ ἄλλα τὰ ἐχόμενα παρ’ αὐτοῦ, καὶ ἄλλα ἅπέρ ἐστιν αὐτὸς ὁ ἔχων.

**[7.1.12] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ·** τοῦτο ἀληθῶς ἀληθὲς ἓν ἐστίν, ἐν ᾧ οὐκ ἔστιν ἀριθμός. **Ἔνθα δέ ἐστι σύνθεσις, ἔτι τὶς ἀριθμός. Ὁ Θεὸς ἄρα ἐστὶν ἀσύνθετος, καὶ πανταχῶς ἁπλοῦς.**

**[7.1.13] Ἀπόκρισις. Ῥητεόν, ὅτι τὸ τὸν Θεὸν εἶναι ἁπλοῦν, τρόποις πᾶσιν ἀντιληπτέον ἐστίν. Ὃ τό γε νῦν εἶναι, τρισὶ λόγοις δύναται ἀποδείκνυσθαι· ὧν πρῶτος τοιοῦτος τίς ἐστι. Δέδεικται γὰρ ἔν τινι διαλέξει, πάντα τὰ ὄντα ἀφ’ ἑνὸς πρώτου ὄντος εἶναι, ὃ πρῶτον ὂν Θεὸν φαμέν. Εἰ δὲ καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ, ὃ ἐνίοτε μὲν εὑρίσκεται ἐνεργείᾳ,**

**27-28** ἐν – Διονύσιος] Ps.-Dion., De coel. hier., cap. 11 (PG 3, col. 284D, Ritter pp. 41-42): εἰς τρία διῄρηνται τῷ κατ’ αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντς οἱ θεῖοι νόες, εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. **32-34** ὡς – ὕλῃ] Av., Comm. Metaph. XI, comm. 18 **41-44** τὸ – ἔχων] Hilar., De Trin. VIII, (PL 10, col. 269 A): Non humano modo ex compositis Deus est, ut in eo aliud sit quod habetur, et aliud sit ipse qui habeat. **45-46** ὁ – ἀριθμός] Boet., De Trin., cap. 2, no. 3: Quocirca hoc vere unum in quo nullus numerus, nullum in eo aliud praeterquam id quod est.

**31** Παρὰ ταῦτα] Πρὸς ταῦτα P (praeterea Aq.) | ὁπηδήποτε] ἐπειδήποτε M (qualibet Aq.) **39** Hic post σύνθεσις Aq. habet: Praeterea, ubicumque sunt multae res, ibi est compositio. Sed in Deo sunt tres personae, quae sunt tres res, ut dicit Augustinus [in lib. De Doct. Christ., lib. I, cap. 5]. Ergo in Deo est compositio.

ἐνίοτε δὲ εὑρίσκεται δυνάμει, ἡ δύναμις τῷ μὲν χρόνῳ προτέρα ὑπάρχει τῆς ἐνεργείας, τῇ δὲ φύσει ὑστέρα, ἁπλῶς μέντοι ἀνάγκη τὴν ἐνέργειαν προτέραν τῆς δυνάμεως, μὴ ὅπως φύσει ἀλλὰ καὶ χρόνῳ ὑπάρχειν· πᾶν γὰρ ὂν δυνάμει, ἀναφέρεται εἰς τὸ ἐνεργείᾳ ἀπό τινος ὄντος ἐνεργείᾳ. Ἐκεῖνο τοίνυν τὸ ὄν, ὃ πάντα τὰ ὄντα ποιεῖ εἶναι ἐνεργείᾳ, καὶ ἐκεῖνο ἀπ' οὐδενὸς ἐστὶν ἄλλου, δεῖ εἶναι εἰλικρινῶς ἐνέργεια ἀνεργῆ ἡστινοσοῦν δυνάμεως. Εἰ γὰρ εἴη τρόπῳ γέ τῳ ἐν δυνάμει, δεήσει τὶ ὂν πρότερον εἶναι, δι' οὗ γενήσεται ἐνεργείᾳ. Ἐν παντὶ δὲ συνθέτῳ ἡτινιοῦν συνθήκη, χρὴ τὴν
P 173v δύναμιν | μίγνυσθαι ἐνεργείᾳ. Ἐν γὰρ τοῖς συνθέτοις ἢ τὸ ἓν αὐτῶν ἐξ ὧν ἐστὶν ἡ σύνθεσις ἐστὶν ἐν δυνάμει πρὸς θάτερον ὥσπερ ἡ ὕλη πρὸς τὸ εἶδος, καὶ τὸ ὑποκείμενον πρὸς τὸ συμβεβηκός, καὶ τὸ γένος πρὸς τὴν διαφοράν· ἢ πάντα γοῦν τὰ μέρη εἰσὶν ἐν δυνάμει πρὸς τὸ ὅλον. Τὰ γὰρ μέρη ἀναφέρεται πρὸς τὴν ὕλην, τὸ δὲ ὅλον πρὸς τὸ εἶδος, ὡς φαίνεται ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς, καὶ ταύτῃ οὐδὲν σύνθετον δύναται εἶναι ἐνέργεια καθαρά. Τὸ πρῶτον δὲ ὄν, ὅπέρ ἐστιν ὁ Θεός, ἀνάγκη εἶναι ἐνέργειαν εἰλικρινῆ, ὡς δέδεικται. Ἀδύνατον ἄρα τὸν Θεὸν εἶναι σύνθετον· διά τοι τοῦτο ἀναγκαῖον εἶναι, πάντῃ ἁπλοῦν. Δεύτερος λόγος ἐστίν, ὅτι εἰ ἡ σύνθεσις οὐκ ἔστιν ὅτι μὴ ἐκ διαφόρων, αὐτὰ τὰ διάφορα δέονταί τινος ποιητικοῦ πρὸς τὸ ἑνωθῆναι. Οὐ γὰρ ἥνωνται τὰ διάφορα, ἐφόσον τοιαῦτα. Πᾶν δὲ σύνθετον, ἔχει τὸ εἶναι, καθὸ τὰ ἐξ ὧν συντίθενται ἑνοῦνται. Ἀνάγκη γὰρ ἄρα πᾶν σύνθετον ἠρτῆσθαι ἀπ' ἄλλου προτέρου ποιοῦντος. Τὸ πρῶτον ἄρα ὄν, ὅπέρ ἐστιν ὁ Θεός, ἀφ' οὗ πάντα εἰσίν, οὐ δύναται εἶναι σύνθετον. Τρίτος λόγος ἐστίν, ὅτι ἀνάγκη τὸ πρῶτον ὄν, ὅπέρ ἐστιν ὁ Θεός, εἶναι τελειότατον, καὶ κατὰ τὸ εἰκὸς ἄριστον· οὐ γάρ εἰσιν ἀτελεῖς αἱ τῶν ὄντων ἀρχαί, ὥσπερ ᾠήθησαν. Ἄριστον δέ ἐστιν, ἐν ᾧ μηδὲν ὑπάρχει, τὸ στερόμενον ἀγαθότητος, ὥσπερ λευκότατόν ἐστιν, ἐν ᾧ μηδὲν μελανίας ἐπιμίγνυται. Τοῦτο δὲ οὐχ οἷόν τε ἐν οὐδενὶ συνθέτῳ εἶναι. Τὸ γὰρ ἀγαθὸν ὃ ἀνίσχει ἐκ τῆς συνθήκης τῶν μερῶν, καθὸ τὸ σύνολόν ἐστιν ἀγαθόν, οὐκ ἔνεστι τίνι τῶν μερῶν. Ὅθεν τὰ μέρη οὐκ εἰσὶν ἀγαθὰ ἐκείνῃ τῇ ἀγαθότητι, τῇ οὔσῃ ἰδίᾳ τοῦ ὅλου. Ἀνάγκη ἄρα τὸ φιλόσοφος τίθησιν ἐν τῷ

**65-67** Τὰ – καθαρά] Ar., Phys. II, 195a15-25: ἅπαντα δὲ – φαινόμενον ἀγαθόν.

**67** δὲ] deest M (autem Aq.) **77** Hic post ὥσπερ Aq. habet: Pythagoras et Leucippus; lacuna ca 17 P; deest M **80** ἀνίσχει] ἀνίχθη M (resultat Aq.)

**ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, καὶ ὁ Ἱλάριος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ, ὥς φησιν ὅτι** ὁ Θεὸς φῶς ὤν, οὐ συνίσταται ἐξ ἀλαμπῶν, οὐδὲ δύναμις ὢν ἐξ ἀσθενῶν συγκροτεῖται**.**

**[7.1.14] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ σκοπὸς τοῦ Ἀριστοτέλους ἐστίν, οὐ τὸ μὴ δύνασθαι ἀφ' ἑνός πλῆθος προϊέναι. Ἡνίκα γὰρ τὸ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ, καὶ τὰ ἀποτελέσματα ἐνδεῖ πρὸς τὸ ἐμφαίνειν τὴν ἑαυτῶν αἰτίαν, τὸ ὂν ἑνιαῖον ἐν τῇ αἰτίᾳ ἀνάγκη πληθύνεσθαι ἐν τοῖς ἀποτελέσμασιν· ὥσπερ ἐν τῇ τοῦ ἡλίου δυνάμει εἰσὶν ὥσπερ ἓν πάντα τὰ εἴδη τῶν γενητῶν σωμάτων, καὶ ὅμως ἐν τοῖς ἀποτελέσμασι διακρίνεται. Ἀφ' οὗ δὴ συμβαίνει κατὰ μίαν** P 175r **καὶ τὴν αὐτὴν δύναμίν τι δύνασθαι | διάφορα ἀποτελέσματα προφέρειν, ὥσπερ τὸ πῦρ διὰ τῆς αὐτοῦ θέρμης τήκει καὶ πήγνυσι καὶ μαλάττει, καὶ σκληρύνει καὶ καίει, καὶ μελανοῖ, καὶ λευκαίνει. Καὶ ὁ ἄνθρωπος τῇ δυνάμει τοῦ λόγου προσλαμβάνεται διαφόρους ἐπιστήμας, καὶ ἐργάζεται διαφόρων τεχνῶν ἔργα· ὅθεν καὶ πολλῷ μᾶλλον ὁ Θεός, κατὰ μίαν καὶ ἁπλῆν αὐτοῦ δύναμιν, δύναται πολλὰ δημιουργεῖν. Ὡς τοῦτ' οὐ τοῦτο πῆ λέγειν ὁ Φιλόσοφος, ἀλλὰ ὅτι τὶ μένειν τὸ αὐτὸ οὐ ποιεῖ διάφορα, εἰ εἴη ποιοῦν ἀνάγκῃ φύσεως, εἰ μή ποτε κατὰ συμβεβηκὸς τοῦτο ἐπέλθῃ, τῇ ἑτερότητι τῆς ἐπικειμένης ὕλης, ἢ τινὸς ἄλλου συμβεβηκότος. Τοῦτο μέντοι οὐκ ἔστι πρὸς τὸ προκείμενον.**

**[7.1.15] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἔστι τοῦ Θεοῦ ὅλου ἐπαφῆ παρὰ τῶν μακαρίων τῇ διανοίᾳ, οὐχ ὁλοκλήρως μέντοιγε, ὅτι ὁ τρόπος τῆς τοῦ Θεοῦ καταλήψεως, ὑπερβάλλεται τὸν τρόπον τοῦ κτιστοῦ νοῦ ἐπ' ἄπειρον· καὶ ταύτῃ ὁ κτιστὸς νοῦς, οὐ δύναται τὸν Θεὸν οὕτω τελείως νοεῖν, ὥσπερ ἐστὶ νοητῶς, καὶ διατοῦτο οὐ δύναται αὐτὸν καταλαμβάνειν.**

**[7.1.16] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Θεὸς καθ' ἓν καὶ τὸ αὐτό ἐστιν ἐν λόγῳ διαφόρων αἰτιῶν· ἡ γὰρ ἐνέργεια, πρῶτον ποιητικὸν ἔστι καὶ ἀρχέτυπον πάντων τῶν εἰδῶν, ἔστι καὶ ἀγαθότης εἰλικρινής, καὶ κατὰ τὸ εἰκὸς τέλος πάντων.**

**[7.1.17] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἰδιότης καὶ ἡ οὐσία ἐν τῷ Θεῷ, οὐ διαφέρουσι πράγματι ἀλλὰ λόγῳ μόνῳ· αὐτὴ γὰρ ἡ πατρότης ἐστὶν ἡ θεία οὐσία, ὡς μεταταῦτα δειχθήσεται.**

**83-85** Φιλόσοφος – συγκροτεῖται] Ar., Metaph. XI et Hilar., De Trin., cap. 7 (PL 10, col. 223 AB): Deus, qui vita est, subsistit : neque qui virtus est, ex infirmibus continetur : neque qui lux est ex obscuris coaptatur : neque qui spiritus est, ex disparibus formabilis est.

**86** ὅτι] deest P (deest Aq.) **91** δὴ] δὲ (Et Aq.) **100** ἐπικειμένης] deest M (ex diversitate Aq.) ἢ] ὑποκείμενόν ἐστι ἢ M; ὑποκείμενόν ἐστι deest Aq. **103** τρόπος] τρίτος P (modus Aq.) 108 γὰρ] γὰρ ἐστιν M **112** λόγῳ] τῷ λόγῳ P

**[7.1.18] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι κατὰ τοῦ ὄντος τὸ αὐτὸ πράγματι καὶ διαφέροντος τῷ λόγῳ, οὐδὲν προσίσταται τὰ ἀντιφατικὰ κατηγορεῖσθαι, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ τῆς Φυσικῆς, ὥσπερ φαίνεται κἂν τῷ σημείῳ, ὅπερ ὂν πράγματι τὸ αὐτό, διάφορον τῷ λόγῳ, ἐστὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους· καὶ καθὸ ἔστιν ἀρχή, οὐκ ἔστι τέλος, καὶ ἀνάπαλιν. Διάτοι τοῦτο τῆς οὐσίας καὶ τῆς ἰδιότητος ὂν τό γε ταυτὸ πράγματι, καὶ διαφερόντως τῷ λόγῳ, οὐδὲν κωλύει, ἐντεῦθεν μὲν εἶναι μεθεκτόν, ἄλλοθεν δὲ ἀμέθεκτον.**

**[7.1.19] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὰ ἀπολελυμένα καὶ τὰ ἀναφορικὰ ἐν τοῖς θείοις οὐ διαφέρουσι πράγματι, ἀλλὰ τῷ λόγῳ ὡς εἴρηται· διατοῦτο οὐδεμία σύνθεσις πράγματι καταλείπεται.**

**[7.1.20] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ ἐνέργεια τοῦ Θεοῦ, δύναται θεωρεῖσθαι, ἢ ἐκ τοῦ μέρους τοῦ ἐνεργοῦντος καὶ ἐκ τοῦ μέρους τοῦ ἐνεργουμένου. Εἰ ἐκ τοῦ μέρους τοῦ ἐνεργοῦντος, κατατοῦτο οὐκ ἔστιν ἐν τῷ Θεῷ, εἰ μὴ μία ἐνέργεια, ἥτις ἐστὶν ἡ οὐσία αὐτοῦ· οὐδὲ γὰρ ποιεῖ τὰ ὄντα δι'**
P 175v **ἐνεργείας τινός, ἥτις ἐστὶ μέση τοῦ τε Θεοῦ καὶ αὐτοῦ | τοῦ ἐνεργουμένου· ἀλλὰ διὰ τοῦ ἰδίου νοεῖν καὶ τοῦ ἰδίου θέλειν, ἅπέρ ἐστιν ἡ οὐσία αὐτοῦ. Εἰδὲ ἐκ τοῦ μέρους τοῦ ἐνεργουμένου, εἰσὶ διάφοραι ἐνέργειαι, καὶ διάφορα ἀποτελέσματα τῆς θείας ἐνεργείας. Τοῦτο δὲ σύνθεσιν ἐν αὐτῷ οὐ παρεισάγει.**

**[7.1.21] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ εἶδος τοῦ ἀποτελέσματος, εὑρίσκεται ἄλλως ἐν τῷ ποιοῦντι φυσικῶς, καὶ ἄλλως ἐν τῷ ποιοῦντι διὰ τέχνης. Ἐν γὰρ τῷ ποιοῦντι διὰ φύσεως, εὑρίσκεται τὸ εἶδος τοῦ ἀποτελέσματος, καθὸ τὸ ποιοῦν κατὰ τὴν ἑαυτοῦ φύσιν ἀφομοιοῖ τὸ ἀποτέλεσμα ἑαυτῷ, πᾶν γὰρ τὸ ποιοῦν, ποιεῖ ὅμοιον ἑαυτῷ. Ὃ ἐφαρμόττειν λέγεται· ἡνίκα δὲ τὸ ἀποτέλεσμα οὐ τελείως ἀφομοιοῦται τῷ ποιοῦντι, ὡσὰν μὴ παρισούμενον τῇ δυνάμει τοῦ ποιοῦντος, τότε τὸ εἶδος τοῦ ἀποτελέσματος ἔστιν ἐν τῷ ποιοῦντι οὐ κατὰ τὸν αὐτὸν λόγον, ἀλλ' ὑπερηφανωτέρῳ τρόπῳ, ὡς φαίνεται**

**114-116** κατὰ – Φυσικῆς] cf. Ar., Phys. III, 202b8-10: οὔτε μίαν δυοῖν κωλύει οὐθὲν τὴν αὐτὴν εἶναι (μὴ ὡς τῷ εἶναι τὸ αὐτό, ἀλλ' ὡς ὑπάρχει τὸ δυνάμει ὂν πρὸς τὸ ἐνεργοῦν).

**123** καταλείπεται] καταλείπτεῖ M (relinquitur Aq.) **126** Εἰ] εἰ δὲ M (Si Aq.) **127-129** οὐδὲ – αὐτοῦ] deest M **137** Ὃ] ἣ M (Quod Aq.) **138** ὡσὰν] ὡσᾶν P **140** Hic post ποιοῦντι, Aq. habet: secundum eamdem rationem, ut patet in agentibus univocis, ut cum ignis generat ignem; quando vero effectus non perfecte assimilatur agenti, utpote non adaequans agentis virtutem, tunc forma effectus est in agente.

**ἐν τοῖς ὁμωνύμοις ποιητικοῖς, ὥσπερ ὅταν ὁ ἥλιος γεννᾷ πῦρ. Ἐν τοῖς διὰ τέχνης δὲ ποιοῦσι, τὰ εἴδη τῶν ἀποτελεσμάτων, προϋπάρχουσι μέν, κατὰ τὸν αὐτὸν λόγον, οὐ κατὰ τὸν αὐτὸν δὲ τρόπον τοῦ εἶναι· ἐν γὰρ τοῖς ἀποτελέσμασιν ἔχει τὸ εἶναι ὑλικόν· ἐν δὲ τῇ τοῦ τεχνήτου διανοίᾳ, ἔχει τὸ εἶναι διανοητόν. Ἐπεὶ δὲ λέγεται ἐν τῷ εἶναί τι ὥσπερ τοῦτο ὃ νοεῖται, καὶ ὥσπερ τὸ εἶδος ᾧ νοεῖται, τὰ εἴδη τῶν ἀποτελεσμάτων εἰσὶν ἐν τῇ διανοίᾳ τοῦ τεχνήτου, ὥσπερ τοῦθ' ᾧ νοεῖται. Καθὸ γὰρ ὁ τεχνίτης νοεῖ τὸ εἶδος τοῦ τεχνητοῦ, προάγει αὐτὸ ἐς τὴν ὕλην. Ἑκατέρῳ δὲ τρόπῳ τὰ εἴδη τῶν ὄντων εἰσὶν ἐν τῷ Θεῷ· αὐτὸς γὰρ ποιῶν τὰ ὄντα διὰ νοῦ, οὐκ ἔστιν ἄνευ ἐνεργείας τῆς ἑαυτοῦ φύσεως. Ἐν δὲ τοῖς ὑποβεβηκόσι τεχνήταις, ἡ τέχνη ποιεῖ ἐξωτερικῆς φύσεως δυνάμει, ᾗ χρῆται ὀργάνῳ, ὥσπερ ὁ κουροπλάθος τῷ πυρὶ πρὸς τὸ ὀπτῆσαι τὰς πλίνθους. Ἡ θεία δὲ τέχνη, οὐ χρῆται ἐξωτερικῇ δυνάμει πρὸς τὸ ποιεῖν· ποιεῖ γὰρ τῇ δυνάμει τῆς ἰδίας φύσεως, τὸ ἑαυτῆς ἀποτέλεσμα. Τὰ εἴδη τοίνυν τῶν ὄντων, καθὸ εἰσὶν ἐν τῇ θείᾳ φύσει ὡς ἐν δυνάμει ποιητικῇ, οὐκ εἰσὶ κατὰ τὸν αὐτὸν λόγον, ἐφόσον τὰ τοιαῦτα ἀποτελέσματα οὐ παρισοῦνται ἐκείνῃ τῇ δυνάμει. Ὅθεν εἰσὶν ἐκεῖ ὡς ἓν πάντα τὰ εἴδη, ἃ ἐν τοῖς ἀποτελέσμασι πληθύνεται, καὶ ταύτῃ οὐδεμία πρόεισιν ἐντεῦθεν σύνθεσις· ἢ ἐν τῷ αὐτοῦ νῷ, ἢ ἐν τοῖς νοουμένοις, καθ' ἓν καὶ τὸ αὐτό, ὅπέρ ἐστιν ἡ οὐσία αὐτοῦ. Ἐκ γὰρ τοῦ καθ'ἕν νοεῖσθαι πολλά, οὐκ εισάγει σύνθεσιν τοῦ νοῦ· ὅθεν οὐδὲ ἐκ τούτου τοῦ μέρους ἕπεται σύνθεσις ἐν τῷ Θεῷ.**

**[7.1.22] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι αἱ ἀναφοραὶ αἱ λεγόμεναι περὶ τοῦ Θεοῦ ἐκ χρόνου, οὐκ εἰσὶν ἐν αὐτῷ πραγματικῶς, ἀλλὰ μόνον κατ' ἐπίνοιαν. Ἐκεῖ**
P 176r **γάρ ἐστι πραγματικὴ ἀναφορά, ἔνθα πράγματι τὶ ἤρτηται ἀπ' ἄλλου, | ἢ ἁπλῶς ἢ κατά τι. Καὶ διατοῦτο τῇ ἐπιστήμῃ ἐστὶ πραγματικὴ ἀναφορὰ πρὸς τὸ ἐπιστητόν, ἀλλ' οὐ τὸ ἀνάπαλιν, ἀλλὰ κατ' ἐπίνοιαν μόνον, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Διά τοι τοῦτο ἐπεὶ ὁ Θεὸς ἀπ' οὐδενὸς ἄλλου ἤρτηται, ἀλλὰ τὸ ἀνάπαλιν πάντα ἤρτηνται αὐτοῦ,**

**165-167** τῇ – φυσικά] Ar., Metaph. V, 1021a26-30: τὰ μὲν οὖν κατ' ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι πάντα ἐστὶ πρός τι τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ὅ ἐστιν, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς ἐκεῖνο· τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλο πρὸς αὐτὸ λέγεσθαι πρός τι λέγονται.

**150** τεχνίτης] τεχνήτης P, M **153** τεχνίταις] τεχνήταις P, M **163** οὐκ εισάγει] συνεισάγει P (non inducit Aq.) **170** πέμπτῳ] θ'ω M (V Aq.)

**ἐν μὲν τοῖς ἄλλοις οὖσιν εἰσὶν αἱ πρὸς τὸν Θεὸν ἀναφοραὶ πράγματι· ἐν δὲ αὐτῷ πρὸς τὰ ὄντα ἐπινοίᾳ μόνον, καθὸ ὁ νοῦς οὐ δύναται νοεῖν τοῦτο πρὸς ἐκεῖνο, εἰ μὴ ἀνάπαλιν νοοίη τὴν ἀναφορὰν ἐκείνην πρὸς τοῦτο.**

**[7.1.23] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ πληθὺς τῶν προσώπων, οὐδεμίαν σύνθεσιν ἐν τῷ Θεῷ εἰσάγει. Τὰ γὰρ πρόσωπα, διχῇ δύνανται θεωρεῖσθαι. Ἑνὶ μὲν τρόπῳ, καθὸ παραβάλλονται πρὸς τὴν οὐσίαν, μεθ' ἧς εἰσὶ τὸ αὐτὸ πράγματι, ᾡδὶ δὲ δῆλον, μηδεμίαν λείπεσθαι σύνθεσιν. Ἑτέρῳ δὲ τρόπῳ, καθὸ παραβάλλονται πρὸς ἄλληλα καὶ οὕτω παραθεωροῦνται ὡς διακεκριμένα, οὐχ ὡς ἡνωμένα. Καὶ διατοῦτο οὐδ' ἐντεῦθεν οἷόν τε εἶναι σύνθεσιν· πᾶσα γὰρ σύνθεσις, ἕνωσις ἐστίν.**

**169-171** ἐν δὲ αὐτῷ] αἱ δὲ ἐν αὐτῷ M (in ipso autem Aq.) **173** θεωρεῖσθαι] θεωρῆσθαι M

## Κεφάλαιον δεύτερον

## Πότερον ἐν τῷ Θεῷ ἡ ὕπαρξις ἢ ἡ οὐσία ἔστι ταυτὸ ὅπερ τὸ εἶναι, ἢ οὔ.

**[7.2.1] Δεύτερον ζητεῖται, πότερον ἐν τῷ Θεῷ ἡ ὕπαρξις ἢ ἡ οὐσία ἐστὶ ταυτὸ ὅπερ τὸ εἶναι. Καὶ δοκεῖ οὔ. Φησὶ γὰρ ὁ Δαμασκηνὸς ἐν τῷ πρώτῳ βιβλίῳ, ὅτι μὲν ὁ Θεὸς ἔστι, φανερόν ἐστί· τὶ δὲ ἐστὶ κατὰ τὴν οὐσίαν καὶ τὴν φύσιν, ἀκατάληπτόν ἐστι πάντῃ τῷ ἀνθρώπῳ καὶ ἄγνωστον. Οὐκ ἄρα ἔστι τὸ αὐτὸ τὸ εἶναι τοῦ Θεοῦ καὶ ἡ οὐσία αὐτοῦ ἢ ἡ ὕπαρξις.**

**[7.2.2] Ἀλλ' ἔλεγεν ὅτι καὶ αὐτὸ τὸ εἶναι τοῦ Θεοῦ ἄγνωστον ἐστὶν ἡμῖν τί ποτέ ἐστιν, ὥσπερ καὶ ἡ αὐτοῦ οὐσία. Ἀλλὰ τοὐναντίον· δύο ἐρωτήσεις εἰσὶ διάφοροι, τὸ εἰ ἔστι, καὶ τί ἐστιν· ὧν πρὸς μὲν τὴν μίαν ἐπιστάμεθα ἀποκρίνασθαι, πρὸς τὴν ἄλλην δ' οὔ, ὡς ἐκ τοῦ προειρημένου λόγου φαίνεται. Ὅπερ τοίνυν ἀποκρίνεται πρὸς τὸ εἴ ἐστι περὶ Θεοῦ καὶ τί ἐστιν, οὐκ ἔστι τὸ αὐτό· πρὸς μὲν γὰρ τὸ εἰ ἔστιν, ἀποκρίνεται τὸ εἶναι· πρὸς δὲ τὸ τί ἐστιν, ἡ οὐσία ἢ ἡ φύσις, οὐδέν. Οὐκ ἄρα ἐστὶ τὸ αὐτὸ τὸ εἶναι καὶ ἡ οὐσία ἢ ἡ ὕπαρξις.**

**[7.2.3] Ὑπολαβὼν δὲ ἔφη, ὅτι τὸ εἶναι τοῦ Θεοῦ γινώσκεται οὐ καθ' αὐτό, ἀλλ' ἐξ εἰκόνος τῆς δημιουργίας. Ἀλλὰ τοὐναντίον· ἐν τῇ κτίσει ἔστι καὶ εἶναι καὶ οὐσία ἢ φύσις· καὶ ἐπεὶ ἑκάτερον ἔχει ἀπὸ τοῦ Θεοῦ, καθ' ἑκάτερον τῷ Θεῷ ἀφομοιοῦται· τὸ γὰρ ποιοῦν ποιεῖ ὅμοιον ἑαυτῷ. Εἰ τοίνυν λέγοιτο τὸ εἶναι τοῦ Θεοῦ γινώσκεσθαι ἐν εἰκόνι τῷ κτιστῷ εἶναι, ἀνάγκη καὶ τὴν αὐτοῦ οὐσίαν γινώσκεσθαι ἐν εἰκόνι τῇ κτιστῇ οὐσίᾳ. Καὶ ταύτῃ περὶ τοῦ Θεοῦ εἰσόμεθα οὐ μόνον εἰ ἔστιν, ἀλλὰ καὶ τί ἐστιν.**

**[7.2.4] Ἔτι, ἕκαστον διαφέρει ἀπ' ἄλλου κατὰ τὴν ἑαυτοῦ οὐσίαν. Κατὰ δὲ τὸ εἶναι, ὃ κοινόν ἐστι πᾶσιν, οὐδὲν οὐδενὸς διαφέρει. Ἀμέλει τοι καὶ ὁ Φιλόσοφός φησιν | [P 176v] ὅτι τὸ ὂν οὐ δεῖ τίθεσθαι ἐν τοῖς ὅροις. Κατὰ γὰρ τοῦτο τὸ ὁριζόμενον ἀπ' οὐδενὸς διακρίνεται. Οὐδενὸς ἄρα χρήματος διακεκριμένου ἡ οὐσία ἐστὶ τὸ εἶναι αὐτοῦ κοινοῦ ὄντος πᾶσιν. Ἀλλ' ὁ Θεός ἐστί τι διακεκριμένον τῶν ἄλλων. Τὸ εἶναι ἄρα αὐτοῦ οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ.**

**4-6** Φησὶ – ἄγνωστον] Dam., De fid. orth. I, cap. 1 et 3 (PG 94, 789A-791A): Ἄρρητον οὖν τὸ θεῖον καὶ ἀκατάληπτον ... Οὐκ ἀφῆκε μέντοι ἡμᾶς ὁ Θεὸς ἐν παντελεῖ ἀγνωσίᾳ ... κατὰ τὸ ἐφικτὸν ἡμῖν τὴν ἑαυτοῦ ἐφανέρωσε γνῶσιν. **24-26** ὁ – διακρίνεται] Ar., Metaph. III, : ταῦτα γὰρ κατὰ πάντων μάλιστα λέγεται τῶν ὄντων. οὐχ οἷόν τε δὲ τῶν ὄντων ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὄν· ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους καὶ εἶναι καὶ μίαν εἶναι ἑκάστην, ... ὥστ' εἴπερ τὸ ἓν γένος ἢ τὸ ὄν, οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται. ἀλλὰ μὴν εἰ μὴ γένη, οὐδ' ἀρχαὶ ἔσονται, εἴπερ ἀρχαὶ τὰ γένη.

**14** οὐδέν] deest M, Aq. **14-15** Οὐκ – ὕπαρξις] deest Aq.

**[7.2.5] Ἔτι, οὐκ εἰσὶ διάφορα τὰ ὄντα εἰ μὴ ἐκεῖνα ὧν ἐστὶ διάφορον τὸ εἶναι. Ἀλλὰ τὸ εἶναι τούτου τοῦ ὄντος, οὐκ ἔστι διάφορον ἀπὸ τοῦ εἶναι ἄλλου ὄντος, ἐφόσον ἐστὶν εἶναι, ἀλλ' ἐφόσον ἐστὶν ἐν τοιαύτῃ ἢ τοιαύτῃ φύσει. Εἰ τοίνυν εἴη τὶ εἶναι ὃ μὴ ἔστιν ἔν τινι φύσει, ἢ διαφέρει ἀπ' αὐτοῦ τοῦ εἶναι, τοῦτο οὐκ ἔσται διάφορον ἀπ' ἄλλου τινὸς εἶναι. Καὶ ταύτῃ ἕπεται, εἰ ἡ οὐσία τοῦ Θεοῦ ἐστὶ τὸ εἶναι αὐτοῦ, εἶναι αὐτὸν τὸ εἶναι τὸ κοινὸν πᾶσιν.**

**[7.2.6] Χωρὶς δὲ τούτων, τὸ εἶναι ᾧ μὴ ὑπάρχει προσθήκη, ἔστι τὸ κοινὸν πᾶσιν εἶναι. Ἀλλ' ὁ Θεὸς εἰ ἔστι τὸ ἑαυτοῦ εἶναι, ἔσται ὄν, ᾧ μὴ ἔσται προσθήκη. Ἆρα ἔσται τὸ κοινόν· ὡδὶ δὲ κατηγορηθήσεται, καθ' ὁτουοῦν, καὶ ἔσται ὁ Θεὸς μεμιγμένος τοῖς οὖσι πᾶσιν, ὅπέρ ἐστιν αἱρετικόν, καὶ ἀπεναντίας τῷ Φιλοσόφῳ ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγοντι ὅτι** ἡ πρώτη αἰτία διοικεῖ τὰ ὄντα, ἀνεπίμικτος οὖσα αὐτοῖς**.**

**[7.2.7] Ἔτι, τῷ πάντῃ ἁπλῷ, οὐ προσήκει τὶ τῶν κατὰ συνθήκην γινομένων. Τὸ δ' εἶναι, ἐστὶ τοιοῦτον· οὕτω γὰρ ἔχειν δοκεῖ τὸ εἶναι πρὸς τὴν οὐσίαν, ὥσπερ καὶ ἡ λευκότης πρὸς τὸ λευκόν. Ἀπεοικότως τοίνυν λέγεται, τὴν θείαν οὐσίαν ὑπάρχειν τὸ εἶναι.**

**[7.2.8] Παρὰ ταῦτα, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ ἑβδομαδῶν βιβλίῳ·** πᾶν τὸ ὄν, μετέχει τοῦ εἶναι, ἵν' ᾖ· τινὸς δὲ μετέχει, ἵν' ᾖ τί. Ὁ δὲ Θεός ἐστι τί. **Ἆρα παρὰ τὸ αὐτοῦ εἶναι, ἔστιν ἐν αὐτῷ τὶ ἄλλο, ὅπερ ἔχει ἵν' ᾖ τί.**

**[7.2.9] Ἔτι, τῷ Θεῷ, ὃς ἐστὶ τελειότατος, οὐκ ἔστιν ἀποδοτέον τὸ ἀτελέστατον. Ἀλλὰ τὸ εἶναι ἔστιν ἀτελέστατον, ὥσπερ ἡ πρώτη ὕλη· ὥσπερ γὰρ ἡ πρώτη ὕλη διορίζεται ὑπὸ πάντων τῶν εἰδῶν, οὕτω καὶ τὸ εἶναι κοινότατον τὴν φύσιν ἐστίν· ἔχει δὲ τὸ διορίζεσθαι, κατὰ πάσας τὰς ἰδίας κατηγορίας. Καθάπερ οὖν ἡ πρώτη ὕλη οὐκ ἔστιν ἐν τῷ Θεῷ, οὕτως οὐδὲ τὸ εἶναι χρὴ τῇ θείᾳ φύσει ἀποφέρεσθαι.**

**[7.2.10] Ἄνευ δὲ τούτων, τὸ δηλούμενον τρόπῳ ἀποτελέσματος, οὐ προσήκει τῇ πρώτῃ οὐσίᾳ, ᾗ ἔστιν ἄναρχος. Ἀλλὰ τὸ εἶναι ἐστὶ τοιοῦτον· πᾶν γὰρ τὸ ὄν, διὰ τῶν ἀρχῶν τῆς αὐτοῦ οὐσίας, ἔχει τὸ εἶναι. Ἀπειδόντως ἄρα λέγεται τὴν οὐσίαν τοῦ Θεοῦ εἶναι τὸ εἶναι αὐτοῦ.**

**39-40** ἀπεναντίας – αὐτοῖς] Liber de causis, prop. 20, 155: causa prima regit res creatas omnes praeter quod commisceatur cum eis. **45-46** ὁ – τί] Boet., De hebd. (PL64, col. 1320A): Omne quod est participat eo quod est esse, ut sit; alio vero participat ut aliquid sit.

**29-34** Ἔτι – πᾶσιν] [7.2.5] est post [7.2.6] P **45** ἑβδομαδῶν] ἑβδόμων P (hebdomadibus) **48** τελειότατος] τελειότης M (perfectissimus Aq.) **50-51** κοινότατον – ἐστίν] κοινότατον τῇ φύσει αὐτοῦ M (sit imperfectissimum Aq.)

**[7.2.11] Πρὸς δὲ τούτοις, ἅπασι πᾶσα πρότασις ἔστι καθ’ αὐτὴν ἐγνωσμένη, ἐν ᾗ τὸ αὐτὸ καθ’ αὐτοῦ κατηγορεῖται. Ἀλλ’ εἰ ἡ οὐσία τοῦ Θεοῦ εἴη, τὸ ἴδιον εἶναι αὐτοῦ, τὸ αὐτὸ ἔσται ἐν τῷ ὑποκειμένῳ καὶ τῷ κατηγορουμένῳ· ἡνίκα λέγεται ὁ Θεὸς ἐστίν. Ἔσται ἄρα ἤδη ἡ πρότασις τῶν καθ’ αὐτὴν τὴν γνωρίμων, ὅπερ οὐ δοκεῖ ἀψευδεῖν, ἔστι γὰρ ἀποδεικτή.**

P 177r **[7.2.12] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Ἰλλαρίου | λεγόμενον, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ·** τὸ εἶναι, οὐκ ἔστι συμβεβηκὸς τῷ Θεῷ, ἀλλ’ ὑφεστῶσα ἀλήθεια. **Ὃ δέ ἐστιν ὑφεστώς, τοῦτο ἐστὶν ἡ οὐσία τοῦ πράγματος. Τὸ ἄρα εἶναι τοῦ Θεοῦ, ἐστὶν ἡ οὐσία αὐτοῦ.**

**[7.2.13] Ἔτι, ὁ Ῥαββὶ Μωυσῆς φησίν, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὢν διὰ τοῦ εἶναι, καὶ ζῶν, ἐν ζωῇ, οὐδὲ ἔστι δυνατὸς ἐν δυνάμει, καὶ σοφὸς ἐν σοφίᾳ. Ἐν τῷ Θεῷ ἄρα οὐκ ἔστιν ἄλλο ἡ οὐσία, ἢ τὸ εἶναι αὐτοῦ.**

**[7.2.14] Ἔτι, ἕκαστον τῶν ὄντων κυρίως παρονομάζεται, ἀπὸ τοῦ** τί ἦν εἶναι **αὐτοῦ· τὸ γὰρ ὄνομα κυρίως σημαίνει** τὴν οὐσίαν, **καὶ** τὸ τί ἦν εἶναι, **ὡς φέρεται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλὰ τοῦτο τὸ ὄνομα τὸ ὄν, παρὰ τὰ λοιπὰ ὀνόματα, ἔστιν ἐξαίρετον τοῦ Θεοῦ, ὡς φαίνεται ἐν τῷ τετάρτῳ τῆς Ἐξόδου τιθέμενον ἀπὸ τοῦ εἶναι. Δοκεῖ ἄρα τὸ εἶναι τοῦ Θεοῦ, εἶναι τὴν οὐσίαν αὐτοῦ.**

**[7.2.15] Ἀπόκρισις. Ῥητέον, ὅτι ἐν τῷ Θεῷ, οὐκ ἔστιν ἄλλο οὐσία, καὶ ἄλλο τὸ εἶναι. Οὗ τινος εἰς ἐνέργειαν, ἐπιστητέον ἂν εἴη, ὅτι ἡνίκα αἰτίαι τινες διάφορα ἀποτελέσματα προάγουσαι κοινωνοῦσιν ἐν ἑνί τινι κατὰ τὰ διάφορα ἀποτελέσματα, ἀνάγκη τοῦτο τὸ κοινὸν ἐκ δυνάμεως τινὸς ὑπερκειμένης αἰτίας, ἧς τοῦτο ἐστὶν ἴδιον ἀποτέλεσμα. προϊέναι ἀπ’ ἄλλης δὲ αἰτίας, κατὰ τὴν αὐτῆς ἰδίαν φύσιν ἢ τὸ εἶδος· αἱ γὰρ διάφοραι αἰτίαι, διαφόρους φύσεις ἔχουσαι καὶ εἴδη, ἀνάγκη ἔχειν ἴδια ἀποτελέσματα. Ὅθεν εἰ ἔν τινι ἑνὶ ἀποτέλεσμα τὶ ἀμηγέπη συμβαίνουσιν αὗται, ἐκεῖνο οὐκ ἔστιν ἴδιον τινὸς αὐτῶν, ἀλλά τινος ὑψηλοτέρας, ἧς τῇ**

**64-66** τὸ – ἀλήθεια] Hilar., De Trin., cap. 7 (PL 10, col. 208B): Esse enim non est accidens nomen, sed subsistens veritas, et manens causa, et naturalis generis proprietas. **72-73** τὸ – φυσικά] Ar., Metaph. V, 1017b21-23: ἔτι τὸ τί ἦν εἶναι, οὗ ὁ λόγος ὁρισμός, καὶ τοῦτο οὐσία λέγεται ἑκάστου. συμβαίνει δὴ κατὰ δύο τρόπους τὴν οὐσίαν λέγεσθαι, τό θ' ὑποκείμενον ἔσχατον, ὃ μηκέτι κατ' ἄλλου λέγεται, καὶ ὃ ἂν τόδε τι ὂν καὶ χωριστὸν ᾖ. **73-75** τοῦτο – εἶναι] cf. Ex. 3, 14: καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωυσῆν λέγων· ἐγώ εἰμι ὁ ὤν. καὶ εἶπεν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς.

**61** ἡ] deest P **63** Hic post ἀποδεικτή Aq. habet: Non ergo ipsum esse Dei substantia. **73** φέρεται] φαίνεται M (habetur Aq.) **81** Hic post ἀποτέλεσμα Aq. habet: Et hoc ideo quia, cum proprius effectus

δυνάμει ἐνεργοῦσιν· ὥσπερ φαίνεται καὶ γὰρ διάφορ’ ἄττα συντιθέντα, συνέρχονται ἐν τῷ θερμαίνειν, ὥσπερ τὸ πίπερ, τὸ ζιντζίβερ, καὶ τὰ ὅμοια· εἰ καὶ ἕκαστον αὐτῶν ἔχει τὸ ἴδιον αὐτοῦ ἀποτέλεσμα διακεκριμένον τοῦ ἑτέρου ἀποτελέσματος. Ὅθεν τὸ κοινὸν ἀποτέλεσμα, ἀναγκαῖον ἀναφέρειν εἰς προτέραν αἰτίαν ᾗ ἐστιν ἴδιον, εἴτουν εἰς τὸ πῦρ. Ὁμοίως κἀν ταῖς οὐρανίαις κινήσεσιν, ἕκασται τῶν πλανήτων σφαῖραι ἔχουσιν ἰδίας κινήσεις, καὶ ὅμως ἔχουσί τι κοινὸν ἕν, ὃ ἀνάγκη εἶναι ἴδιον τινὸς ὑπερκειμένης σφαίρας, πάσας ἀνελιττούσης τῇ διενεκῇ κινήσει. Πᾶσαι δὲ αἱ κτισταὶ αἰτίαι, κοινωνοῦσιν ἐν ἑνὶ ἀποτελέσματι, ὅπέρ ἐστι τὸ εἶναι, εἰ καὶ ἕκασται ἴδιον ἔχουσιν ἀποτέλεσμα, ἐν οἷς διακρίνονται. Ἡ γὰρ θερμότης, ποιεῖ θερμὸν εἶναι, καὶ ὁ τῶν οἴκων ἐργάτης ἄλλως αἰτία ἐστί, ποιεῖ γὰρ οἶκον εἶναι. Συμβαίνουσιν οὖν ἐν τῷ ποιεῖν εἶναι, διαφέρουσι δὲ ἐν τῷ τὸ μὲν πῦρ, πῦρ δημιουργεῖν, τὸν δὲ οἰκοδόμον οἰκίαν. Ἀνάγκη ἄρα εἶναί τινα αἰτίαν ὑψηλοτέραν τούτων πασῶν, ἧς τῇ δυνάμει πάντα ταῦτα δημιουργεῖ εἶναι, καὶ ταύτης εἶναι, τὸ εἶναι ἴδιον | P 177v ἀποτέλεσμα. Καὶ αὐτὴ ἡ αἰτία, ἔστιν ὁ Θεός. Τὸ ἴδιον δὲ ἀποτέλεσμα, ἡστινοσοῦν αἰτίας πρόεισιν ἀπ’ αὐτῆς κατὰ τὴν ὁμοιότητα τῆς αὐτοῦ φύσεως. Ἀνάγκη τοίνυν τοῦτο τὸ εἶναι, εἶναι οὐσίαν ἢ φύσιν Θεοῦ. Καὶ διατοῦτο λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, ὅτι ὁ νοῦς, οὐ δίδωσι τὸ εἶναι, εἰ μὴ ἐφόσον ἐστὶ θεῖος, καὶ ὅτι πρῶτον ἀποτέλεσμα ἐστὶ τὸ εἶναι, καὶ οὐκ ἔστι πρὸ αὐτοῦ κτιστόν τι.

**[7.2.16]** Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ ὂν καὶ τὸ εἶναι, πολλαχῶς λέγεται, ὡς φαίνεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ἐνίοτε μὲν γὰρ σημαίνει τὴν οὐσίαν τοῦ πράγματος, ἢ τὸ ἐνεργείᾳ τοῦ εἶναι. Ἐνίοτε δέ, τὸ τῆς προτάσεως ἀληθές, καὶ ἐν τοῖς τὸ εἶναι μὴ ἔχουσιν· ὥσπερ φαμὲν τὴν τυφλότητα εἶναι, διατὶ ἀληθὲς ὑπάρχειν τὸν τυφλὸν ἄνθρωπον εἶναι. Ἡνίκα τοίνυν ὁ Δαμασκηνὸς ἀξιοῖ τὸ εἶναι τοῦ Θεοῦ ὑπάρχειν ἡμῖν φανερόν, λαμβάνεται τῷ δευτέρῳ τρόπῳ, καὶ οὐ τῷ πρώτῳ. Τῷ μὲν γὰρ πρώτῳ τρόπῳ ἔστι τὸ εἶναι τοῦ Θεοῦ ταυτὸν τῇ οὐσίᾳ αὐτοῦ· καὶ καθάπερ ἡ οὐσία αὐτοῦ

**103-105** λέγεται – τί] cf. Liber de causis, prop. 9. **106-107** ὅτι – φυσικά] Ar., Metaph. V, 1017 a7-1017a30: Τὸ ὄν – τῶν ἄλλων.

**87** ζιντζίβερ] τζιτζιερ M (zinziber Aq.) **95** διακρίνονται] διακρίνεται (distinguuntur Aq.) | ὁ] ἐκ P **100** δὲ] οὖν M (autem Aq.) **101** ἡστινοσοῦν] ὅτινοσοῦν M (intellige αἰτίας) **108** τὸ] ὅ P (intellige σημαίνει) **113** ταυτὸν] ταύτῃ M (intellige τὸ εἶναι)

ἔστιν ἀκατάληπτος, οὕτω καὶ τὸ εἶναι· τὸ δὲ δευτέρῳ τρόπῳ ἐπιστάμεθα τὸν Θεὸν εἶναι, ὅτι ταύτην τὴν πρότασιν ἐν τῷ ἡμετέρῳ νῷ συνειλήχαμεν ἐκ τῶν ἀποτελεσμάτων αὐτοῦ.

[7.2.17] Καὶ αὕτη φαίνεται λύσις, καὶ πρὸς τὸ δεύτερον, καὶ τὸ τρίτον.

[7.2.18] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ θεῖον εἶναι, [quod] ἔστιν ἡ οὐσία αὐτοῦ, καὶ οὐκ ἔστι τὸ κοινὸν εἶναι, ἀλλ' ἔστιν εἶναι διακεκριμένον ἀφ' ὁτουοῦν ἄλλου εἶναι. Ὅθεν ὁ Θεὸς κατ' αὐτὸ τὸ ἴδιον αὐτοῦ εἶναι διαλλάττει ἀφ' ὅτουοῦν ἄλλου ὄντος.

[7.2.19] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὥσπερ λέγεται ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ, αὐτὸ τὸ εἶναι τοῦ Θεοῦ διακρίνεται καὶ ἀτομίζεται, ἀφ' οὗ δή ποτε ἄλλου εἶναι, κατὰ τὸ εἶναι καθ' αὐτὸ ὑφεστῶς, καὶ μὴ ἐπιγίνεσθαι ἄλλῃ φύσει, ἥτις ἐστὶν ἄλλο ἀπ' αὐτοῦ τοῦ εἶναι. Πᾶν δὲ ἄλλο εἶναι ὃ μὴ ἔστιν ὑφεστῶς, δεῖ ἀτομίζεσθαι διὰ τῆς ὕλης καὶ τῆς οὐσίας τῆς ἐν τῷ τοιούτῳ εἶναι ὑφεστώσης. Καὶ ἐν τούτοις ἀληθὲς ἐστίν, ὅτι τὸ τοιοῦτον εἶναι, ἔστιν ἄλλο ἀπὸ τοῦ εἶναι ἐκείνου, κατὰ τὸ εἶναι ἑτέρας φύσεως· ὥσπερ εἰ εἴη μία θέρμη, καθ' ἑαυτὴν ὑφεστῶσα, ἄνευ ὕλης ἢ ὑποκειμένου, ἐξ αὐτοῦ τούτου διακριθήσεται, ἀπὸ πάσης ἄλλης θέρμης· εἰ καὶ αἱ θέρμαι αἱ ἐν ὑποκειμένοις ὑπάρχουσαι οὐ διακρίνονται εἰ μὴ τοῖς ὑποκειμένοις.

[7.2.20] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ κοινὸν εἶναι ἐστίν, ᾧ μὴ ἔστι τις προσθήκη· οὗ ὅμως ἐκ τοῦ λόγου οὐκ ἔστι, τὸ μὴ δύνασθαι οἱ προσθήκην γίγνεσθαι· ἀλλὰ τὸ θεῖον εἶναι ἐστὶ τὸ κοινόν, ὃ μὴ ἔστι προσθήκη, καὶ ἐκ τοῦ λόγου αὐτοῦ ἐστί, τὸ μὴ δύνασθαι οἱ γίνεσθαι προσθήκην· ὅθεν τὸ θεῖον εἶναι, οὐκ ἔστι τι κοινὸν εἶναι. Ὥσπερ καὶ τῷ κοινῷ ζῴῳ οὐ γίνεται προσθήκη, ἐν τῷ αὐτοῦ λόγῳ τῆς τοῦ λογικοῦ | [P 178r] διαφορᾶς· τέως μέντοι οὐκ ἔστιν ἐκ τοῦ αὐτοῦ λόγου, τὸ μὴ δύναται οἱ τὴν τοῦ λογικοῦ προσθήκην γίνεσθαι· τοῦτο γάρ ἐστιν ἐκ τοῦ λόγου τοῦ λογικοῦ ζῴου, ὅπέρ ἐστιν εἶδος τοῦ ζῴου.

[7.2.21] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ τοῦ σημαίνειν τρόπος ἐν τοῖς ὀνόμασιν, ἃ παρ' ἡμῖν τοῖς οὖσιν ἐπιτίθενται, ἕπεται τῷ τρόπῳ τοῦ νοεῖν· τὰ γὰρ ἐν τῇ φωνῇ, σύμβολά ἐστι τῶν ἐν τῇ ψυχῇ παθημάτων, ὡς λέγεται ἐν

**122-125** ὥσπερ – εἶναι] Liber de causis, prop. 4: prima rerum creatarum est esse et non est ante ipsum creatum aliud.

**119** διακεκριμένον] τι διακεκριμένον M (distinctum Aq.) **126** τῆς ὕλης] naturam Aq. (Prochoros legit materiam?) **127** ἀληθὲς ἀληθὴς P (verum Aq.) **133**] προσθήκη] πρόσθεσις P (additio Aq.) | λόγου] λίου M (ratione Aq.) **142** ἐπιτίθενται] ἐπιτίθεται M

**τοῖς προοιμίοις τοῦ Περὶ ἑρμηνείας. Ὁ δὲ ἡμέτερος νοῦς οὕτω νοεῖ τὸ εἶναι, ὥσπερ εὑρίσκεται ἐν τοῖς ὑποβεβηκόσι πράγμασιν, ἀφ' ὧν τὰς ἐπιστήμας αἱρεῖ, ἐν οἷς τὸ εἶναι, οὐκ ἔστιν ὑφεστῶς, ἀλλὰ προσίσχεται ἄλλο. Ὁ δὲ λόγος εὑρίσκει, ὅτι τὶ εἶναι ἔστιν ὑφεστῶς· διατοῦτο εἰ καὶ τοῦθ' ὃ φαμὲν εἶναι, ἔμφασιν ἔχει κατὰ τὸν τῆς συνθέσεως τρόπον, ὁ νοῦς ὅμως τὸν τοιοῦτον τοῖς τοῦ εἶναι σημείοις τρόπον ὑπερβαίνει, ἀποδιδοὺς τῷ Θεῷ, τὸ σημαινόμενον, οὐ τῷ τρόπῳ δὲ τοῦ σημαίνειν.**

**[7.2.22] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὰ εἰρημένα ὑπὸ τοῦ Βοητίου, νοεῖται περὶ ἐκείνων οἷς τὸ εἶναι διαφέρει κατὰ μετουσίαν, καὶ κατ' οὐσίαν· ὃ γὰρ κατὰ τὴν ἰδίαν οὐσίαν ἐστίν, ἀκριβῶς ἐπιστατοίημεν, μᾶλλον ὀφείλει λέγεσθαι, ὅτι ἔστιν αὐτὸ τὸ εἶναι ὅπέρ ἐστι ταυτὸ τούτῳ ὅπέρ ἐστι.**

**[7.2.23] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τοῦθ' ὃ φημὶ εἶναι, ἔστι παρὰ τὰ ἄλλα τελειότατον· ὅπερ ἐντεῦθεν δῆλον· τὸ γὰρ ἐνεργείᾳ ἔστι τελειότερον τῆς δυνάμεως. Ὁτιοῦν δὲ εἶδος σημαινόμενον, οὐ νοεῖται ἐνεργείᾳ, εἰ μὴ καθὸ εἶναι τίθεται. Ἡ γὰρ ἀνθρωπότης καὶ ἡ πυρότης, δύναται θεωρεῖσθαι, ὡσὰν ἐν τῷ τῆς ὕλης δυνάμει ὑπάρχουσα, ἢ ὡς ἐν τῇ τοῦ ποιοῦντος δυνάμει· ἢ καὶ ὡς ἐν τῷ νῷ· ἀλλὰ καθὸ τὸ εἶναι ἔχει ἀποτελεῖται ἐνεργείᾳ ὑφεστῶσα. Ὡς φαίνεται, δι' οὗ φαμὲν ὅτι τὸ εἶναι ἐστὶ τοῦ αὐτὸ ἐνεργείᾳ πάντων τῶν ὄντων ποιητικόν, καὶ διατοῦτο ἐστὶ τελειότης πασῶν τῶν τελειοτήτων. Οὐδ' οἰητέον ἐστίν, ὅτι τοῦθ' ὃ φημὶ εἶναι προστεθήσεταί τι εἰδοποιητικώτερον διορίζον αὐτό, ὥσπερ τὸ ἐνεργείᾳ τὴν δύναμιν· πᾶν γὰρ ὃ τοιοῦτον ἔστιν, ἔσται ἄλλο κατὰ τὴν οὐσίαν ἐκείνου, ᾧ προστίθεται πρὸς τὸ διορίζεσθαι. Οὐδὲν δὲ οἷόν τε προστίθεσθαι τῷ εἶναι, ὅπερ ἀλλότριον εἴη ἀπ' αὐτοῦ, ἐφόσον μηδὲν ἀλλότριον ἔστιν αὐτοῦ, πλὴν εἰ τὸ μὴ ὄν, ὅπερ οὐ δύναται εἶναι οὔτε δύναμις, οὔτε εἶδος, οὔτε διαφορά. Ὅθεν οὐχ οὕτως διορίζεται τὸ εἶναι διὰ τῶν ἄλλων ὥσπερ ἡ δύναμις διὰ τῆς ἐνεργείας, ἀλλ' ὥσπερ μᾶλλον ἡ ἐνέργεια διὰ τῆς δυνάμεως. Ἐν γὰρ τῷ ὁρισμῷ τῶν εἰδῶν, τίθενται αἱ ἴδιαι**

**141-143** τὰ – ἑρμηνείας] Ar., De interpr. I, 16a9-11: ἔστι δέ, ὥσπερ ἐν τῇ ψυχῇ ὁτὲ μὲν νόημα ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδεσθαι ὁτὲ δὲ ἤδη ᾧ ἀνάγκη τούτων ὑπάρχειν θάτερον, οὕτω καὶ ἐν τῇ φωνῇ.

**146** αἱρεῖ αἱρεῖται P (capit Aq.) **149** σημείοις] σημασίας M **153** ἐπιστατοίημεν] ἐπιστητοίημεν M (attendamus Aq.) **159** ὡσᾶν] ὡσὰν M **162** ποιητικόν] ποιητικὴ M (intellige τὸ εἶναι)

διαφοραὶ ἐν ὕλης χώρα, ὡς ὅταν λέγωμεν τὴν ψυχὴν εἶναι ἐντελέχεια σώματος, φυσικοῦ ὀργανικοῦ. Καὶ κατὰ τοῦτον τὸν τρόπον, τόδε τὸ εἶναι, P 178[v] ἀπὸ τοῦδε τοῦ εἶναι διακρίνεται, ἐφόσον ἐστὶ τοιαύτης | ἢ τοιαύτης φύσεως. Διά τοι τοῦτο καὶ ὁ Διονύσιός φησιν, εἰ καὶ τὰ ζῶντα εἰσὶ κρείττω, ἢ τὰ ὄντα, ὅμως τὸ εἶναι ἐστὶ κρεῖττον, ἢ τὸ ζῆν· τὰ γὰρ ζῶντα οὐ μόνον ἔχουσι τὴν ζωήν, ἀλλὰ σὺν ἅμα τῇ ζωῇ, ἔχουσι καὶ τὸ εἶναι.

**[7.2.24]**Πρὸς τὸ δέκατον ῥητέον, ὅτι κατὰ τὴν τῶν ποιούντων τάξιν, ἔστι καὶ ἡ τάξις τῶν τελῶν, οὕτως ὥστε τῷ πρώτῳ ποιοῦντι ἀποκρίνεται τὸ ἔσχατον τέλος, καὶ ἀναλόγως κατὰ τάξιν τὰ ἄλλα τέλη τοῖς ἄλλοις ποιητικοῖς. Εἰ γὰρ θεωρηθείη ὁ τῆς πόλεως ἔπαρχος καὶ ὁ τοῦ στρατηγοῦ ἡγεμών, καὶ εἷς εἰδικὸς στρατιώτης, συμβήσεται τὸν μὲν τὰς τῆς πόλεως ἀνέχοντα φροντίδας εἶναι πρῶτον ποιοῦντα, οὗ πρὸς τὰ ἐπιτάγματα ὁ ἡγεμὼν τοῦ στρατοῦ πρὸς τοὺς πολέμους ὑπέξεισιν· ὑπὸ δὲ τῷ τὴν τάξιν ὁ στρατιώτης τηρεῖ, ὃς τοῖς κελεύσμασι τοῦ ἡγεμόνος τῆς στρατιᾶς, βάλλει ταῖς χερσίν. Ἔστι δὲ τοῦ μὲν στρατιώτου τέλος, καταβάλλειν τοὺς ἀνταγωνιστάς· ὃ περαιτέρω τάττεται πρὸς τὴν νίκην τοῦ στρατοῦ, ὃ τέλος ὑπάρχει τοῦ στρατηγοῦ· καὶ τοῦτο ἔτι τάττεται πρὸς τὴν τῆς πόλεως εὐετηρίαν ἢ τῆς βασιλείας, ὅπέρ ἐστι τέλος τοῦ τὰ κοινὰ πεπιστευμένου, ἢ τοῦ βασιλέως. Τὸ τοίνυν εἶναι ὅπέρ ἐστιν ἴδιον ἀποτέλεσμα, καὶ τέλος τῆς ἐνεργείας τοῦ πρώτου ποιοῦντος, δεῖ τὴν τελευταῖαν χώραν ἐπέχειν τοῦ τέλους. Τὸ τέλος δὲ εἰ καὶ πρότερον ὑπάρχει τῷ σκοπῷ, ἔστιν ὅμως ὕστερον τῇ ἐνεργείᾳ, καὶ ἔστιν ἀποτέλεσμα τῶν ἄλλων αἰτιῶν ἀποκρινόμενον τῷ πρώτῳ ποιοῦντι, τὴν αἰτίαν ἴσχον ἐκ τῶν ἄλλων ἀρχῶν, εἰ καὶ ἡ αἰτία τὸ πρῶτον εἶναι, ἔστιν ἡ πρώτη ἀρχὴ ποιητική.

**[7.2.25]** Πρὸς τὸ ἐνδέκατον ῥητέον, ὅτι ἔστι τις πρότασις καθ’ αὑτὴν ἐγνωσμένη ἀφ’ ἑαυτῆς· ἢ τέως, τῷ δ’ ἢ τωδί, οὐκ ἔστι καθ’ αὑτὴν ἐγνωσμένη· ἡνίκα δηλαδὴ τὸ κατηγορούμενον ἔστιν ἐκ τοῦ λόγου τοῦ

**176-178** ὁ –εἶναι] cf. Ps.-Dion., De div. nom., cap. 5, (PG 3, col. 820B, Ritter p. 184): καὶ εἰ βούλει τῶν ζώντων, ὡς ζώντων, ἀρχὴν φάναι τὴν αὐτοζωήν· καὶ τῶν ὁμοίων, ὡς ὁμοίων, τὴν αὐτοομοιοότητα· καὶ τῶν ἡνωμένων, ὡς ἡνωμένων, τὴν αὐτοένωσιν.

**194** Hic post αἰτιῶν Aq. habet: Et ideo ipsum esse creatum, quod est proprius effectus.

**ὑποκειμένου, καὶ ὁ τοῦ ὑποκειμένου λόγος, ἔστιν ἄγνωστος τινί· ὥσπερ εἴ τις ἀγνοοίη τί ἐστι τὸ ὅλον, οὐκ ἔστιν αὐτῷ γνώριμος, ἥ δε ἡ πρότασις καθ’ αὐτήν· πᾶν τὸ ὅλον ἔστι μεῖζον τοῦ ἰδίου μέρους· αὗται γὰρ αἱ προτάσεις, εἰσὶ γνώριμαι, ἐγνωσμένων τῶν ὅρων, ὡς λέγεται ἐν τοῖς ὑστέροις τῶν Ἀναλυτικῶν. Αὕτη δὲ ἡ πρότασις ἣ ὁ Θεὸς ἐστί, τό γε ἐξ αὐτῆς ἔστι καθ’ αὐτὴν γνώριμος· τὸ γὰρ αὐτὸ ἐστὶν ἐν τῷ ὑποκειμένῳ καὶ τῷ κατηγορουμένῳ, τὸ δέ γ’ ἧκον πρὸς ἡμᾶς, οὐκ ἔστι καθ’ αὐτὴν γνώριμος· τὶ γάρ ἐστιν ὁ Θεός, οὐκ ἴσμεν· ὅθεν παρ’ ἡμῖν, ἀποδείξεως δεῖται, ἀλλ’ οὐ καὶ παρ’ ἐκείνοις τοῖς ὁρῶσι τὴν τοῦ Θεοῦ οὐσίαν. |**

**203-205** πᾶν – Ἀναλυτικῶν] cf. Ar., Analyt. I, 74b21-26: δῆλον δ' ἐκ τούτων καὶ ὅτι εὐήθεις οἱ λαμβάνειν οἰόμενοι καλῶς τὰς ἀρχάς, ἐὰν ἔνδοξος ᾖ ἡ πρότασις καὶ ἀληθής, οἷον οἱ σοφισταὶ ὅτι τὸ ἐπίστασθαι τὸ ἐπιστήμην ἔχειν. οὐ γὰρ τὸ ἔνδοξον ἡμῖν ἀρχή ἐστιν, ἀλλὰ τὸ πρῶτον τοῦ γένους περὶ ὃ δείκνυται˙ καὶ τἀληθὲς πλεύρῳ ἢ ἑκάστῳ ἢ πᾶσιν.

P 179$^{r}$

## Κεφάλαιον τρίτον

## Πότερον ὁ Θεὸς ἔστι ἔν τινι γένει ἢ οὔ.

**[7.3.1] Τρίτον ζητεῖται, πότερον ὁ Θεὸς ἔστιν ἔν τινι γένει. Καὶ δοκεῖ ὡδί. Φησὶ γὰρ ὁ Δαμασκηνός·** ἡ οὐσία **ἐν τοῖς θείοις** σημαίνει τὸ κοινὸν εἶδος τῶν ὁμοειδῶν **προσώπων·** ἡ δ' ὑπόστασις **δείκνυσι** τὸ ἄτομον**, εἴτουν τὸν** Πατέρα**, τὸν** Υἱὸν **καὶ τὸ** ἅγιον Πνεῦμα**,** Πέτρον **ἢ** Παῦλον**. Παραβάλλεται τοίνυν ὁ Θεὸς πρὸς τὸν Πατέρα, καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ὥσπερ εἶδος πρὸς ἄτομα. Ἀλλ' ὅπη ποτ' ἂν ᾖ συνδραμεῖν εἶδος καὶ ἄτομα, ἐκεῖ ἔστιν εὑρεῖν γένος [et differentia]· τὸ γὰρ εἶδος γίνεται ἐκ γένους καὶ διαφορᾶς. Δοκεῖ ἄρα τὸν Θεὸν εἶναι ἐν γένει τινί.**

**[7.3.2] Ἔτι, ἃ μηδενὶ τρόπῳ διαφέρουσιν, εἰσὶ πάντῃ ταυτά. Ἀλλ' ὁ Θεὸς οὐκ ἔστι ταυτὸν τοῖς ἄλλοις οὖσιν. Ἄρα τρόπῳ τινὶ διαφέρει αὐτῶν. Πᾶν δ' ὃ διενήνοχεν ἄλλου, διαφορᾷ τινι διίσταται ἀπ' αὐτοῦ. Ἐν τῷ Θεῷ ἄρα ἔστι τις διαφορά, ᾗ διαφέρει τῶν ἄλλων. Οὐ συμβατικὴ δέ· οὐ γάρ ἐστιν ἐν τῷ Θεῷ τι συμβεβηκός, ὡς ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Πᾶσα δὲ οὐσιώδης διαφορά ἐστι τινὸς γένους διαιρετική. Ὁ Θεὸς ἄρα ἐστὶν ἔν τινι γένει.**

**[7.3.3] Ἔτι, ταυτὸν λέγεται γένει καὶ εἴδει καὶ ἀριθμῷ, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν Τοπικῶν. Καὶ τὸ ἕτερον ἄρα ὁμοίως· εἰ γὰρ τῶν πολλαχῶς ἐστι τὸ ἓν τῶν ἀντικειμένων, καὶ τὸ λοιπὸν ὁμοίως. Ἢ τοίνυν ὁ Θεός ἐστιν ἕτερος τῇ κτίσει τῷ ἀριθμῷ μόνον, ἢ καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει· καὶ ταύτῃ ἕψεται συνιέναι τῇ κτίσει ἐν τῷ γένει. Καὶ ταύτῃ ἔσται ὑπὸ γένος. Εἰ δ' αὖ τῷ γένει ἕτερός ἐστι τῇ κτίσει, δεήσει ἔτι εἶναι ἔν τινι γένει ἄλλῳ χωρὶς τῆς κτίσεως· ἡ γὰρ ἑτερότης ἐκ πλήθους γίνεται, καὶ οὕτως ἡ τοῦ γένους ἑτερότης πλῆθος γενῶν ζητεῖ. Ὁτωδήποτε τοίνυν τρόπῳ ῥηθείη, ἀνάγκη τὸν Θεὸν ὑπὸ γένος εἶναι.**

**3-6** Φησὶ – Παῦλον] Dam., De fid. orth. III, cap. 4 (PG 94, col. 997A): ἡ μὲν οὐσία, τὸ κοινὸν καὶ περιεκτικὸν εἶδος τῶν ὁμοειδῶν ὑποστάσεων σημαίνει, οἷον, Θεός, ἄνθρωπος, ἡ δὲ ὑπόστασις, ἄτομον δηλοῖ, ἤτοι Πατέρα, Υἱὸν, Πνεῦμα ἅγιον, Πέτρον, Παῦλον. **14-15** Οὐ – βιβλίῳ] Boet., De Trin., cap. 2: Nulla igitur in eo diversitas, nulla ex diversitate pluralitas, nulla ex accidentibus multitudo atque idcirco nec numerus. **18-19** ταυτὸν – Τοπικῶν] cf. Ar., Top. I, 102b27-30: Μὴ λανθανέτω δ' ἡμᾶς ὅτι τὰ πρὸς τὸ ἴδιον καὶ τὸγένος καὶ τὸ συμβεβηκὸς πάντα καὶ πρὸς τοὺς ὁρισμοὺς ἁρμόσει λέγεσθαι.

**12** αὐτῶν] αὐτοῖς M

**[7.3.4] Χωρὶς δὲ τούτων, ᾧ προσήκει ὁ τοῦ γένους λόγος, καθ' αὐτὸ ἔστιν ἐν γένει. Λόγος δὲ τῆς οὐσίας ἐστὶ τὸ καθ' αὑτὴν εἶναι, ὃ μάλιστα διαφέρει τῷ Θεῷ. Ὁ Θεὸς ἄρα ἐστὶν ἐν γένει.**

**[7.3.5] Ἔτι, πᾶν τὸ ὁριζόμενον, ἀνάγκη εἶναι ὑπὸ γένος· ἀλλ' ὁ Θεὸς ὁρίζεται· λέγεται γὰρ εἶναι ἐνέργεια καθαρά· ὁ Θεὸς ἄρα ἐστίν, ἔν τινι γένει.**

**[7.3.6] Ἔτι, ὃ κατηγορεῖται ἄλλου ἐν τῷ τί ἐστι καὶ ἔστιν ἐπιπλέον, ἢ ἔχει πρὸς αὐτὸ ὥσπερ εἶδος, ἢ ὥσπερ γένος. Ἀλλὰ τὰ κατηγορούμενα πάντα τοῦ Θεοῦ, κατηγοροῦνται ἐν τῷ τί ἐστι· πᾶσαι γὰρ αἱ κατηγορίαι, ἐπειδὰν κατὰ Θεοῦ λέγονται, εἰς οὐσίαν μεταβάλλουσιν, ὥς φησιν ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· φαίνεται δὲ μὴ μόνον τῷ Θεῷ προσήκειν, ἀλλὰ καὶ ἄλλοις· καὶ οὕτως εἰσὶν ἐπιπλέον. Ἄρα παραβάλλονται πρὸς τὸν Θεόν, ἢ ὡς εἴδη πρὸς τὸ ἄτομον, ἢ ὡς γένος πρὸς εἶδος· | ὁποτέρῳ δὲ τρόπῳ ἀναγκαῖον εἶναι τὸν Θεὸν ἐν γένει.** P 179v

**[7.3.7] Παρὰ ταῦτα, ἕκαστον μετρεῖται τῷ τέλει τινι τοῦ ἰδίου γένους, ὡς λέγεται ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλ' ὥς φησιν ἐκεῖ τὸ Ὑπόμνημα, τοῦθ' ᾧ μετροῦνται πᾶσαι αἱ οὐσίαι, ἔστι τὸ γένος. Ὁ Θεὸς ἄρα ἐν τῷ αὐτῷ γένει ἐστὶ σὺν ταῖς ἄλλαις οὐσίαις.**

**[7.3.8] Ἀλλὰ τοὐναντίον, πᾶν τὸ ὑπὸ γένος, προστίθησί τι τῷ γένει, καὶ κατὰ τὸ εἰκός ἐστι σύνθετον. Ἀλλ' ὁ Θεός ἐστι πάντῃ ἁπλοῦς. Οὐκ ἄρα ἐστὶν ἐν γένει.**

**[7.3.9] Ἔτι, πᾶν ὅπέρ ἐστιν ἐν γένει, δύναται ὁρίζεσθαι ἢ ὑπ' ἄλλῳ ὡρισμένῳ παραλαμβάνεσθαι. Ἀλλ' ἐπεὶ ὁ Θεός ἐστιν ἀόριστος, οὐκ ἔστι τοιοῦτον. Οὐκ ἄρα ἐστὶν ἐν γένει.**

**[7.3.10] Ἀπόκρισις. Ῥητέον, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ἐν γένει· ὅπερ ἔν γε τῷ παρόντι τρισὶ λογισμοῖς δεδεῖχθαι οἶοντε· πρῶτον μέν, ὅτι οὐδὲν τίθεται ἐν γένει, κατὰ τὸ ἑαυτοῦ εἶναι, ἀλλὰ τῷ τῆς οὐσίας αὐτοῦ λόγῳ· ὅπερ δῆλον ἐντεῦθεν· τὸ γὰρ εἶναι ἑκάστου, ἔστιν ἴδιον αὐτῷ καὶ διακεκριμένον, ἀπὸ τοῦ εἶναι οὑτινοσοῦν ἄλλου ὄντος· ὁ δὲ τῆς οὐσίας λόγος δύναται εἶναι κοινός· διό τοι καὶ ὁ Φιλόσοφός φησιν, ὅτι τὸ ὄν, οὐκ ἔστι γένος. Ὁ δὲ Θεός, ἐστὶν αὐτὸ τὸ εἶναι αὐτοῦ· ὅθεν ἀνέφικτον εἶναι ἐν γένει. Δεύτερος λόγος**

**55** ὁ – γένος] cf. Ar., Metaph. III, 1053a24-25: ἀεὶ δὲ συγγενὲς τὸ μέτρον· μεγεθῶν μὲν γὰρ μέγεθος…

**44** τι] deest P (aliquid Aq,) **50** ὅπερ] ὥσπερ P (quod quidem Aq.) **51** δεδεῖχθαι] δεδῆχθαι M (ostendi Aq.)

ἐστίν, ὅτι εἰ καὶ ὕλη μὴ εἴη τὸ γένος, μὴ δ’ εἶδος ἡ διαφορά, ὅμως μὲν ὁ τοῦ γένους λόγος, λαμβάνεται ἐκ τῆς ὕλης· ὁ δὲ τῆς διαφορᾶς, ἐκ τοῦ εἴδους, ὥσπερ φαίνεται· ἐν γὰρ τῷ ἀνθρώπῳ, ἔστι φύσις αἰσθητική, ἐξ ἧς λαμβάνεται ὁ τοῦ ζῴου λόγος, καὶ ἔστιν ὑλικός, ἀποσκοποῦσιν εἰς τὸ εἶδος τοῦ ἀνθρώπου, ἀφ’ οὗ λαμβάνεται ὁ τοῦ λογικοῦ λόγος, καὶ ἔστιν εἰδικὸς ὡς πρὸς τὸ ζῷον. Τὸ γὰρ ζῷον ἐστὶ τὸ ἔχον τὴν αἰσθητικὴν φύσιν· καὶ τὸ λογικὸν τὴν λογικήν. Ὅθεν ἐν παντὶ ὅπέρ ἐστιν ἐν γένει, ἀνάγκη εἶναι σύνθεσιν ὕλης καὶ εἴδους, ἢ ἐνεργείας καὶ δυνάμεως· ὅπερ ἐν τῷ Θεῷ ἀδύνατον εἶναι, ὅς ἐστιν ἐνέργεια εἰλικρινής, ὡς δέδεικται. Ἀφ’ ὧν λείπεται, μὴ οἷον τ’ εἶναι ὑπὸ γένος. Τρίτος λόγος ἐστίν, ὅτι ἐπεὶ ὁ Θεός ἐστιν ἁπλοῦς, ἢ ἁπλῶς τέλειος, περιείληφεν ἐν ἑαυτῷ τὰς τελειότητας πάντων τῶν γενῶν· τοῦτο γάρ ἐστιν ὁ λόγος τοῦ ἁπλῶς τελείου, ὡς λέγεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Τὸ δ’ ὂν ἔν τινι γένει ὁρίζεται πρὸς τὰ ὄντα τοῦ αὐτοῦ γένους, καὶ οὕτως οὐ δύναται εἶναι ὁ Θεὸς ἔν τινι γένει· ὡδὶ γὰρ οὐκ ἂν εἴη ἀπείρου οὐσίας, οὐδ’ ἀπολύτου τελειότητος, ἀλλ’ ἡ αὐτοῦ οὐσία καὶ τελειότης
P 180r περιγράφοιτο, λόγῳ τινὸς γένους ὡρισμένου. Ἐξ οὗ δὴ περαιτέρῳ πέφανται, τὸν Θεὸν μὴ εἶναι εἶδος, ἢ ἄτομον, μὴ τ’ αὖ ἔχειν διαφοράν, μή δ’ ὅρον· πᾶς γὰρ ὅρος, ἔστιν ἐκ γένους, καὶ εἴδους· ὅθεν οὐδὲ περὶ αὐτοῦ ἀπόδειξιν γενέσθαι δυνατόν, | ὅτι μὴ ἐκ τῶν ποιημάτων, καὶ γὰρ τὸ μέσον τῆς ἀποδείξεως τὸ διατὶ ὅρος ἐστὶ ἐκ γένους καὶ εἴδους.

[7.3.11] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Δαμασκηνὸς διαλέγεται, παραδειγματικῶς, καὶ οὕτω κυρίῳ λόγῳ· ἔχει γὰρ τὸ ὄνομα τῆς θείας οὐσίας, ὅπερ ἐστὶν ὁ Θεός, ὁμοιότητα πρὸς τὸ εἶδος, κατὰ τὸ πλειόνων, τῷ ἀριθμῷ διακεκριμένων προσωπικῶς κατηγορεῖσθαι· οὐ μέντοι εἶδος ἰδίως δύναται λέγεσθαι, τὸ γὰρ εἶδος, οὐκ ἔστι τι ἓν τῷ ἀριθμῷ κοινὸν πλείοσι, ἀλλὰ τῷ λόγῳ μόνον· ἡ θεία δὲ οὐσία, μία τῷ ἀριθμῷ, ἔστι κοινὴ τοῖς τρισὶ προσώποις· ὅθεν ὁ μὲν Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἰσὶν εἷς Θεός, Πέτρος δὲ καὶ Παῦλος, οὐκ εἰσὶν εἷς ἄνθρωπος.

**67-69** τοῦτο – φυσικά] Ar., Metaph. V, 1021b30-1022a1: τὰ μὲν οὖν καθ' αὑτὰ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν τῷ κατὰ τὸ εὖ μηδὲν ἐλλείπειν μηδ' ἔχειν ὑπερβολὴν μηδὲ ἔξω τι λαβεῖν, τὰ δ' ὅλως κατὰ τὸ μὴ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει μηδ' εἶναί τι ἔξω.

**73** ἐκ – εἴδους] deest P, Aq.

[7.3.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ διάφορον καὶ τὸ ἕτερον, διαφέρουσιν ὡς φησὶν ὁ Φιλόσοφος ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἕτερον γὰρ ἀπολελυμένως λέγεται, τὸ μὴ τὸ αὐτὸ ὄν· τὸ δὲ διαφέρον λέγεται κατά τι· πᾶν γὰρ τὸ διαφέρον τινος, τῷ δέ τινι διαφέρει. Εἰ τοίνυν ἰδίως ἐκλάβοιμεν τοῦτο τὸ ὄνομα τὸ διάφορον, οὕτως ἡ πρότασις αὕτη οὐκ ἔστιν ἀληθής· ἡ λέγουσα ὅτι τὰ ὄντα καὶ μηδενὶ τρόπῳ διαφέροντα, εἰσὶ πάντη τὰ αὐτά. Εἰ δὲ τοῦτο τὸ ὄνομα τὸ διαφέρον καταχρηστικῶς ληφθείη, οὕτως ἐστὶν ἀληθής· καὶ ταύτῃ συγχωρητέον ἐστὶν ἐπὶ Θεοῦ, τὸ τῶν ἄλλων ὄντων διαφέρειν. Οὐ γάρ γε ἑπόμενον ἐστὶ διαφέρειν τινι διαφορᾷ, ἀλλ' ὅτι διαφέρει ἐκείνων κατὰ τὴν οὐσίαν αὐτοῦ· τοῦτο γὰρ ἀναγκαῖον ἐν τοῖς πρώτοις καὶ ἁπλοῖς λέγεσθαι. Ὁ γὰρ ἄνθρωπος, διαφέρει τοῦ ὄνου τῇ τοῦ λογικοῦ διαφορᾷ· τὸ δὲ λογικὸν ἐπέκεινα, οὐ διαφέρει τοῦ ὄνου τινὶ διαφορᾷ· οὕτω γὰρ ἂν εἴη κενομβατεῖν εἰς τὸ ἄπειρον.

[7.3.13] Πρὸς τὸ τρίτον, ὅτι ὁ Θεὸς λέγεται ἑτερογενής, παρὰ τὰ ἄλλα δημιουργήματα· οὐ μήν, καὶ ἔν τινι γένει ὑπάρχειν, ἀλλ' εἶναι ἔξω γένους ἔξω γένους πανταχῶς.

[7.3.14] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ εἶναι καθ' αὑτό, οὐκ ἔστιν ὅρος τῆς οὐσίας, ὡς ὁ Ἀβίκενός φησι. Τὸ γὰρ εἶναι, οὐ δύναται εἶναί τινος γένος, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά· οὐ γὰρ δύναται προστίθεσθαι πρὸς τὸ εἶναί τι ὃ μὴ μετέχει αὐτοῦ· τὴν δὲ διαφορὰν οὐ δεῖ μετέχειν τοῦ γένους. Ἀλλ' εἰ ἡ οὐσία δύναται ἔχειν ὅρον, μηδὲν ἐνισταμένου τοῦ εἶναι αὐτὴν γένος τὸ γενικώτατον, τοῦτό ἐστιν οὐσία πρᾶγμα, οὗ τοῖς ἐνυπάρχουσιν ὀφείλεται εἶναι οὐκ ἐν ἄλλῳ. Καὶ ταύτῃ οὐ καθήκει τῷ Θεῷ ὁ τῆς οὐσίας λόγος, ἐπεὶ τὸ αὐτοῦ εἶναι, οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ. Ὅθεν ὁ Θεὸς οὐκ ἔστιν ἐν τῷ τῆς οὐσίας γένει, ἀλλ' ἔστιν ὑπὲρ πᾶσαν οὐσίαν.

[7.3.15] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ Θεὸς ὁρίζεσθαι, οὐ δύναται. Πᾶν γὰρ P 180v ὅπερ ὁρίζεται, | ἐν τῷ τοῦ ὁρίζοντος νῷ καταλαμβάνεται· ὁ δὲ Θεὸς ἐστίν, ἀκατάληπτος νῷ· ὅθεν τὸ λεγόμενον ὁ Θεὸς ἔστιν ἐνέργεια καθαρά, οὐκ ἔστιν ὅρος αὐτοῦ.

**85-86** τὸ – φυσικά] cf. Ar., Metaph. X, 998b23-27: ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους καὶ εἶναι καὶ μίαν εἶναι ἑκάστην, ἀδύνατον δὲ κατηγορεῖσθαι ἢ τὰ εἴδη τοῦ γένους ἐπὶ τῶν οἰκείων διαφορῶν ἢ τὸ γένος ἄνευ τῶν αὐτοῦ εἰδῶν, ὥστ' εἴπερ τὸ ἓν γένος ἢ τὸ ὄν, οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται.

**97** Hic post ἄπειρον Aq. habet: sed se ipso. **98** παρὰ] πρὸς M (ab Aq.) **108** καθήκει] καθῆκον M (conveniet Aq.) | οὐκ] deest M (non Aq.)

**[7.3.16] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τῷ λόγῳ τοῦ γένους προσήκει, τὸ συνωνύμως κατηγορεῖσθαι. Οὐδὲν δὲ κατὰ Θεοῦ καὶ τῆς κτίσεως συνωνύμως κατηγορεῖσθαι δύναται, ὡς ὑποκατιοῦσι δειχθήσεται. Ὅθεν καὶ τὰ περὶ τοῦ Θεοῦ λεγόμενα κατηγοροῦνται κατ᾽ αὐτοῦ οὐσιωδῶς, οὐχ ἥκιστα ὅμως κατηγοροῦνται αὐτοῦ ὡς γένος.**

**[7.3.17] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ μὴ ὁ Θεὸς ἀνήκει εἰς τὸ τῆς οὐσίας γένος, οἱονεὶ ἐν γένει περιειλημένος, ὥσπερ τὸ εἶδος ἢ ὥσπερ τὸ ἄτομον ὑπὸ τὸ γένος περιέχεται, δύναται ὅμως λέγεται εἶναι ἐν τῷ τῆς οὐσίας γένει κατὰ ἀνάλυσιν, ὥσπερ ἀρχή, καὶ ὥσπερ τὸ σημεῖον ὑπάρχει ἐν τῷ τοῦ συνεχοῦς ποσοῦ γένει· καὶ ἡ μονάς, ἐν τῷ τοῦ ἀριθμοῦ γένει· καὶ κατατοῦτο ἔστι μέτρον τῶν οὐσιῶν πασῶν, ὥσπερ ἡ μονάς, τῶν ἀριθμῶν.**

**125** τῶν ἀριθμῶν] τῷ ἀριθμῷ P (numerorum Aq.)

**Κεφάλαιον τέταρτον**

**Πότερον τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον καὶ τὰ ὁμόστοιχα κατηγοροῦσι τοῦ Θεοῦ συμβεβηκὸς ἢ οὔ.**

**[7.4.1] Τέταρτον ζητεῖται πότερον τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, καὶ τὰ ὁμόστοιχα, κατηγοροῦσι τοῦ Θεοῦ συμβεβηκός. Καὶ δοκεῖ οὕτως. Ὃ γὰρ κατηγορεῖται κατὰ ἄλλου μὴ σημαῖνον οὐσίαν, ἀλλὰ τὸ τῇ φύσει ἑπόμενον, συμβεβηκὸς κατηγορεῖ. Ἀλλ' ὁ Δαμασκηνός φησιν ἐν τῷ πρώτῳ βιβλίῳ, ὅτι** τὸ ἀγαθόν, καὶ **τὸ** δίκαιον, καὶ **τὸ ἅγιον, λεγόμενα περὶ Θεοῦ,** ἕπονται τῇ φύσει, οὐκ αὐτὴν δὲ τὴν οὐσίαν **σημαίνει. Κατηγοροῦσιν ἄρα τοῦ Θεοῦ συμβεβηκός.**

**[7.4.2] Ἀλλ' ἔλεγεν, ὅτι ὁ Δαμασκηνὸς διαλέγεται κατὰ τὸν τρόπον τῆς τῶν ὀνομάτων σημασίας. Ἀλλὰ τοὐναντίον, ὁ τοῦ ὀνομάζειν τρόπος, ὃς ἕπεται τῷ λόγῳ τοῦ γένους, ζητεῖ πρὸς πρᾶγμα ἀναφέρεσθαι· τὸ δὲ γένος κατηγορούμενον, σημαίνει τὴν ὕπαρξιν τοῦ ὑποκειμένου, ἐφόσον κατηγορεῖται ἐν τῷ τί ἐστι. Τοῖς δὲ προειρημένοις ὀνόμασι προσήκει τὸ σημαίνειν κατὰ τρόπον ἑπομένου φύσει ἐκ τοῦ λόγου τοῦ γένους· εἰσὶ γὰρ ἐν τῷ τῆς ποιότητος γένει, ἢ κατὰ τὸν ἴδιον λόγον πρὸς ὑποκειμένην ἀπόβλεψιν ἔχει· ποιότης γὰρ ἐστί, καθ' ἣν ποιοὶ λέγονται. Ἀνάγκη ἄρα τοῦτον τοῦ σημαίνειν τὸν τρόπον ἀναφέρεσθαι πρὸς πρᾶγμα, ὥστε δηλαδὴ τὰ διὰ τῶν προειρημένων ὀνομάτων σημαινόμενα εἶναι ἑπόμενα τῇ φύσει τοῦ καθ' οὗ κατηγοροῦμεν· καὶ κατὰ τὸ εἰκὸς συμβεβηκότως.**

**[7.4.3] Ἦ δ' ὅς, ὅτι ταῦτα τὰ ὀνόματα οὐ κατηγοροῦνται τοῦ Θεοῦ ὅσον πρὸς τὸ αὐτῶν γένος, ὅπέρ ἐστι ποιότης· οὐ γὰρ ἰδίως λέγονται κατὰ τοῦ Θεοῦ τὰ παρ' ἡμῶν λαμβανόμενα | ὀνόματα.** P 181r **Ἀλλὰ τοὐναντίον, οὗ ἀπαγορεύεται τὸ γένος, ψευδῶς κατηγορεῖται τὸ εἶδος. Ὃ γὰρ μὴ ἔστι ζῷον, ψευδῶς λέγεται ἄνθρωπος. Εἰ τοίνυν τὸ γένος τῶν προειρημένων, ὅπέρ ἐστι ποιότης, οὐ κατηγορεῖται τοῦ Θεοῦ, τὰ προειρημένα ὀνόματα οὐ μόνον οὐ κυρίως κατηγοροῦνται, ἀλλὰ καὶ ψευδῶς κατὰ τοῦ Θεοῦ. Καὶ οὕτως ἔσται ψεῦδος τὸ λεγόμενον, ὅτι ὁ Θεός ἔστι δίκαιος, ἢ ὅτι ὁ Θεὸς ἔστιν ἅγιος· ὅπερ ἄτοπον ὂν τυγχάνει. Δεῖ ἄρα λέγειν τὰ προειρημένα ὀνόματα κατηγορεῖν τοῦ Θεοῦ συμβεβηκός.**

**7-9** ὁ – σημαίνει] Dam., De fid. orth. I, cap. 9 (PG 94, col. 897B): Τὸ δὲ ἀγαθὸν, καὶ δίκαιον, καὶ ὅσιον, καὶ τὰ τοιαῦτα, παρέπονται τῇ φύσει, οὐκ αὐτὴν δὲ τὴν οὐσίαν δηλοῖ.

**28** ὅτι – ἔστιν] deest M (quod Deus est Aq.)

[7.4.4] Ἔτι, ὁ Φιλόσοφός φησιν, ἐν τῷ πρώτῳ τῆς Φυσικῆς, ὅτι τοῦθ’ ὅπερ ἀληθῶς ἐστιν οὐσία, οὐδενὶ συμβαίνει. Τῷ αὐτῷ ἄρα λόγῳ, ὅπέρ ἐστι καθ’ αὑτὸ συμβεβηκός, πανταχοῦ ἔστι συμβεβηκός. Ἀλλ’ ἡ δικαιοσύνη καὶ ἡ σοφία καὶ τὰ ὁμόστοιχα, εἰσὶ καθ’ αὑτὰ συμβεβηκός. Κἂν τῷ Θεῷ ἄρα εἰσὶ συμβεβηκότα.

[7.4.5] Ἔτι, πάντα τὰ ὄντα, ἐν τοῖς κτιστοῖς ἀφομοιοῦνται τῷ Θεῷ, ὅς ἐστιν εἶδος ἀρχέτυπον πάντων. Ἀλλ’ ἡ σοφία καὶ ἡ δικαιοσύνη καὶ τὰ τοιαῦτα ἐν τοῖς κτιστοῖς πράγμασιν, εἰσὶ συμβεβηκότα. Καὶ ἐν τῷ Θεῷ ἄρα εἰσὶ συμβεβηκότα.

[7.4.6] Χωρὶς δὲ τούτων, ἔνθα ἐστὶ ποσότης καὶ ποιότης, ἐκεῖ ἐστὶ συμβεβηκός. Ἀλλ’ ἐν τῷ Θεῷ δοκεῖ εἶναι ποσότης καὶ ποιότης· φαμὲν γὰρ τὸν Υἱὸν ὅμοιον τῷ Πατρὶ καὶ ἴσον. Ἡ δὲ ὁμοιότης γίνεται, ἐν τοῖς ἓν τῇ ποιότητι. Καὶ ἡ ἰσότης ἐν τοῖς ἓν τῇ ποσότητι. Ἐν τῷ Θεῷ ἄρα ἔστι συμβεβηκός.

[7.4.7] Ἔτι, ἕκαστον μετρεῖται, τῷ πρώτῳ τοῦ ἰδίου γένους. Ἀλλ’ ὁ Θεὸς οὐ μόνον ἔστι μέτρον τῶν οὐσιῶν, ἀλλὰ καὶ πάντων τῶν συμβεβηκότων· ὅτι αὐτὸς ἔστι δημιουργὸς καὶ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος. Ἐν αὐτῷ ἄρα, οὐ μόνον ἐστὶν οὐσία, ἀλλὰ καὶ συμβεβηκός.

[7.4.8]Ἔτι, τοῦθ’ οὗ ἄνευ δύναταί τι νοεῖσθαι, συμβεβηκότως συμβατικῶς κατ’ αὐτοῦ κατηγορεῖται. Ἐντεῦθεν γὰρ ἀποδείκνυσιν ὁ Πορφύριος τινὰ εἶναι συμβεβηκότα ἀχώριστα· ὅτι δύναται νοεῖσθαι κόραξ λευκὸς καὶ Αἰθίοψ λάμπων τὴν χροιάν. Ἀλλ’ ὁ Θεὸς δύναται νοεῖσθαι ἄνευ τοῦ ἀγαθοῦ, ὡς φαίνεται διὰ τοῦ Βοητίου, ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ. Τὸ ἀγαθὸν ἄρα συμβεβηκὸς σημαίνει ἐν τῷ Θεῷ, τῷ δ’ αὐτῷ λόγῳ καὶ τὰ ὁμόστοιχα.

[7.4.9] Παρὰ ταῦτα, ἐν τῇ τοῦ ὀνόματος σημασίᾳ, δύο δεῖ θεωρεῖν· εἴτουν τὸ ἀφ’ οὗ τὸ ὄνομα τίθεται, καὶ τοῦθ’ ᾧ τίθεται. Ὅσον δὲ πρὸς ἑκάτερον, τοῦτο τὸ ὄνομα τὸ σοφία, δοκεῖ συμβεβηκὸς σημαίνειν· τὸ γὰρ ἀφ’ οὗ τίθεται ἐστίν, τὸ ποιεῖν σοφόν, ὅπερ ἔοικεν εἶναι ἐνέργεια τῆς σοφίας· ἀπὸ δὲ τοῦ ᾧ

**30-31** ὁ – συμβαίνει] Ar., Phys. I, 186b4-10: εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν ἀλλὰ <τὰ ἄλλα> ἐκείνῳ, τί μᾶλλον τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ μὴ ὄν; εἰ γὰρ ἔσται τὸ ὅπερ ὂν [ταὐτὸ] καὶ λευκόν, τὸ λευκῷ δ' εἶναι μὴ ἔστιν ὅπερ ὄν (οὐδὲ γὰρ συμβεβηκέναι αὐτῷ οἷόν τε τὸ ὄν· οὐδὲν γὰρ ὂν ὃ οὐχ ὅπερ ὄν), οὐκ ἄρα ὂν τὸ λευκόν· οὐχ οὕτω δὲ ὥσπερ τι μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. τὸ ἄρα ὅπερ ὂν οὐκ ὄν· ἀληθὲς γὰρ εἰπεῖν ὅτι λευκόν, τοῦτο δὲ οὐκ ὂν ἐσήμαινεν. **47-49** ἀποδείκνυσιν – χροιάν] Porph., Praedicabilia , cap. De accidente? **49-50** Ἀλλ’ – βιβλίῳ] Boet., De hebd., (PL 64, col. 1312C): Amoveamus igitur primi boni praesentiam paulisper ex animo, quod esse quidem constat, idque ex omnium doctorum indoctorumque sententia, barbararum quoque gentium religionibus cognosci potest.

**38** καὶ] ἢ P (et Aq.) **41** ἓν] ἐν M (uno Aq.) **46** συμβεβηκότως] συμβατικῶς M (accidentaliter Aq.) **54** τίθεται] τέθειται M (imponitur Aq.)

**ἐπιτίθεται, ἔστι ποιότης | τις. Ἄρα πᾶσι τρόποις τοῦτο τὸ ὄνομα καὶ τὰ ἄλλα τὰ ὁμόλογα, σημαίνουσι συμβεβηκὸς ἐν αὐτῷ, οὗ κατηγοροῦνται· καὶ οὕτως ἐν τῷ Θεῷ, ἔστι συμβεβηκός.**

**[7.4.10] Ἀλλ' ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Βοητίου εἰρημένον· ὅτι ἐπεὶ ὁ Θεός ἐστιν εἶδος ἁπλοῦν, ὑποκείμενον εἶναι οὐ δύναται. Πᾶν δὲ συμβεβηκός, ἔστιν ἐν ὑποκειμένῳ. Ἐν τῷ Θεῷ ἄρα οὐ δύναται εἶναί τι συμβεβηκός.**

**[7.4.11] Ἔτι, πᾶν συμβεβηκός, ἤρτηται ἄλλου. Ἀλλ' οὐδὲν τοιοῦτον εἶναι δύναται ἐν Θεῷ· τὸ γὰρ ἤρτηται ἄλλου, ἀνάγκη εἶναι αἰτιατόν· ὁ Θεὸς δέ ἐστιν αἰτία πρώτη, οὐδενὶ τρόπῳ αἰτιατή. Ἐν τῷ Θεῷ ἄρα συμβεβηκὸς εἶναι οὐ δύναται.**

**[7.4.12] Πρὸς τούτοις συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Ἀλλ' ἐν τῷ Θεῷ τοῦτ' εἶναι οὐχ οἷόν τε· ἔστι γὰρ ἀμετάβλητος, ὡς ἀποδείκνυται παρὰ τοῦ Φιλοσόφου ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς. Ἐν τῷ Θεῷ ἄρα συμβεβηκὸς εἶναι οὐχ οἷον τε.**

**[7.4.13] Ἔτι, ὁ Ῥαββὶ Μωυσῆς, φησί, τὰ τοιαῦτα ὀνόματα, οὐ δηλοῦσιν ἐν τῷ Θεῷ, ἐνθεωρήσεις προσκειμένας ἐπὶ τῇ οὐσίᾳ αὐτοῦ. Πᾶν δὲ συμβεβηκός, δηλοῖ ἐνθεώρησιν προσκειμένην ἐπὶ τῇ οὐσίᾳ <αὐτοῦ>. Τὰ προειρημένα ἄρα ὀνόματα, οὐ δηλοῦσι συμβεβηκὸς ἐν τῷ Θεῷ.**

**[7.4.14] Ἀπόκρισις. Ῥητέον, ὅτι ἄνευ ἡστινοσοῦν ἀμφισβητήσεως, ἀπρὶξ κατέχειν δεῖ ἐν τῷ Θεῷ μηδὲν συμβεβηκὸς εἶναι· ὃ τό γε νῦν εἶναι, δύναται τρισὶ λογισμοῖς δείκνυσθαι. Πρῶτος τοίνυν λόγος ἐστίν, ὅτι οὐδενὸς φύσει ἢ οὐσίᾳ ἢ εἴδει, ἐξωτερικόν τι συμμίγνυται, εἰ καὶ τὸ ἔχον τὴν φύσιν ἢ τὴν οὐσίαν ἢ τὸ εἶδος, δύναταί τι ἐξωτερικόν, ἐν ἑαυτῷ ἀπολαμβάνειν· ἡ γὰρ ἀνθρωπότης οὐκ ἀναμάττεται ἐν ἑαυτῇ, εἰ μὴ τὸ ὂν ἐκ τοῦ τῆς ἀνθρωπότητος λόγου. Ὅπερ ἐντεῦθεν δῆλον· ἐν γὰρ τοῖς ὅροις τοῖς οὐσίαν δηλοῦσιν, ὁτιοῦν προστεθὲν ἢ ὑφαιρεθὲν ποικίλλει τὸ εἶδος, ὥσπερ κἀν τοῖς ἀριθμοῖς, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά. Ὁ ἄνθρωπος δὲ ὁ τὴν**

**59-60** τὸ – δύναται] Boet., De Trin., cap. 2 (PL 64, col. 1312C): Quocirca hoc vere unum, in quo nullus numerus, nullum in eo aliud praeterquam id quod est, neque enim subjectum fieri potest : forma enim est, formae subjectae esse non possunt … Forma vero, quae est sine materia, non poterit esse subjectum, nec vero inesse materiae ; neque enim esset forma, sed imago. Ex his enim formis quae praeter materiam sunt, istae formae venerunt quae sunt in materia et corpus efficiunt. **67-69** ἐν – Φυσικῆς] Ar., Phys. VII, 259b22-24: ὥστ' εἴπερ ἀνάγκη συνεχῶς εἶναι κίνησιν, εἶναί τι δεῖ τὸ πρῶτον κινοῦν ἀκίνητον καὶ κατὰ συμβεβηκός **80-82** ἐν – φυσικά] Ar., Metaph. VIII, 1043b36-1044a21: καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος.

**70** τοιαῦτα] τοιάδε M (huiusmodi Aq.) | δηλοῦσιν] δοκοῦσιν P (significant Aq.) **70-73** [7.4.13] ante [7.4.12] Aq. **80-82** ἐν – φυσικά] deest M

**ἀνθρωπότητα ἔχων, δύναταί τι ἄλλο ἴσχειν, ὃ μὴ ἔστιν ἐκ τοῦ τῆς ἀνθρωπότητος λόγου, ὥσπερ λευκότητα καὶ ἄλλ’ ἄττα τοιαδί, ἃ μὴ ἔνεστι τῇ ἀνθρωπότητι, ἀλλὰ τῷ ἀνθρώπῳ. Ἐν ἡτινιοῦν δὲ κτίσει εὑρίσκεται διαφορὰ ἔχοντος καὶ ἐχομένου. Καὶ ἐν μὲν τοῖς συνθέτοις κτίσμασιν εὑρίσκεται δισσὴ διαφορά, καὶ γὰρ αὐτὸ τὸ ὑποκείμενον ἢ τὸ ἄτομον, ἔχει τὴν φύσιν τοῦ εἴδους, ὥσπερ ὁ ἄνθρωπος τὴν ἀνθρωπότητα, καὶ περαιτέρῳ ἔχει τὸ εἶναι ἄν· ὁ γὰρ ἄνθρωπος, οὔτε ἐστὶν ἡ ἀνθρωπότης, οὔτε ἔστι τὸ εἶναι αὐτοῦ· ὅθεν ἐν τῷ ἀνθρώπῳ δύναται εἶναί τι συμβεβηκός, οὐκ ἀν τῇ δὲ τῇ ἀνθρωπότητι, ἢ τῷ εἶναι | αὐτῆς. Ἐν δὲ ταῖς ἁπλαῖς οὐσίαις, ἔστι μία μόνον διαφορά, τοῦ ὄντος καὶ τοῦ εἶναι αὐτοῦ. Ἐν γὰρ τοῖς ἀγγέλοις ὁτιοῦν ὑποκείμενον ἔστιν ἡ αὐτοῦ φύσις· ἡ γὰρ τοῦ ἁπλοῦ οὐσία, ἔστιν αὐτὸ τὸ ἁπλοῦν, ὥς φησιν ὁ Ἀβίκενος· οὐκ ἔστι δὲ τὸ εἶναι αὐτοῦ· ὅθεν αὐτὴ ἡ οὐσία, ἔστιν ὑφεστηκυῖα ἐν τῷ αὐτῆς εἶναι. Διά τοι τοῦτο κἂν ταῖς τοιαύταις οὐσίαις, δυνατὸν εὑρεθῆναι συμβεβηκός τι νοητόν, ἀλλ’ οὐχ ὑλικόν. Ἐν δὲ τῷ Θεῷ, οὐδεμία ἐστὶ διαφορὰ ἔχοντος καὶ ἐχομένου, ἢ μετέχοντος καὶ μετεχομένου· καὶ μὴν αὐτός ἐστι καὶ ἡ φύσις αὐτοῦ, καὶ τὸ εἶναι αὐτοῦ· καὶ διατοῦτο οὐδὲν ἀλλότριον οὐδὲ συμβεβηκὸς δύναται αὐτῷ ἐνυπάρχειν. Καὶ τούτου δοκεῖ ἅπτεσθαι τοῦ λογισμοῦ ὁ Βοήτιος, ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ λέγων·** τὸ ὂν δύναται ἔχειν τι ἄνευ οὗ αὐτὸ ἐστίν· αὐτὸ δὲ τὸ ὂν τὸ εἶναι αὐτοῦ, οὐδὲν ἄλλο παρ’ ἑαυτὸ ἔχει μεμιγμένον. **Δεύτερος λόγος ἐστίν, ὅτι ἐπεὶ τὸ συμβεβηκὸς ἔξω ἐστὶ τῆς οὐσίας τοῦ ὑποκειμένου, καὶ τὰ διάφορα οὐ συνάπτονται εἰ μὴ** P 182r **κατά τινα αἰτίαν, ἀνάγκη, εἰ μὴ τὸ συμβεβηκὸς ἐπιγίγνεται τῷ ὑποκειμένῳ, τοῦτο γίνεσθαι ἀπό τινος αἰτίας. Οὐ δύναται δὲ εἶναι ἀπό τινος αἰτίας ἐξωτερικῆς, ἕψεται γὰρ ταύτην τὴν αἰτίαν τὴν ἐξωτερικήν, δρᾶν ἐν τῷ Θεῷ, καὶ εἶναι πρεσβυτέραν αὐτοῦ, ὥσπερ τὸ κινοῦν τοῦ κινουμένου, καὶ τὸ ποιοῦν τοῦ γινομένου. Οὕτω γὰρ γίνεται τὸ συμβεβηκός. Παραπλησίως τέ, οὐχ οἷόν τε εἶναι ἔκ τινος ἐνδοτέρῳ αἰτίας, ὥσπερ ἔστιν ἐν τοῖς καθ’ αὐτὰ συμβεβηκόσιν, ἃ ἔχει τὴν αἰτίαν ἐν τῷ ὑποκειμένῳ. Τὸ γὰρ ὑποκείμενον, οὐ δύναται εἶναι αἰτία τοῦ συμβεβηκότος, ἐκ τοῦ αὐτοῦ οὗ ὑποδέχεται τὸ**

**93** ἡ – Ἀβίκενος] Avic., Metaph. V, cap. 5. **100-102** ὁ – μεμιγμένον] Boet., De hebd., (PL 64, cols 1311 B. 1311C): Id quod est, habere potest aliquid praeterquam quod ipsum est, potest ; ipsum vero esse, nihil aliud praeter se habet admixtum.

**88** ἄν] deest M **104** τῷ ὑποκειμένῳ] Deo Aq. **108** Hic post συμβεβηκός Aq. habet: in aliquo subiecto ab extrinseco in quantum exterius agens agit in subiectum in quo causatur accidens.

**συμβεβηκός· οὐδεμία γὰρ δύναμις κινεῖ αὐτὴν πρὸς τὴν ἐνέργειαν. Ὅθεν ἀνάγκη ἀφ’ ἑτέρου εἶναι τὸ συμβεβηκός, καὶ ἀφ’ ἑτέρου τὴν τοῦ συμβεβηκότος αἰτίαν, καὶ ταύτῃ εἶναι σύνθετον· ὥσπερ ταυτὶ τὰ δεχόμενα τὸ συμβεβηκός, διὰ τῆς τοῦ εἴδους φύσεως. Δέδεικται δὲ ἐν τοῖς ἄνω, μὴ εἶναι τὸν Θεὸν σύνθετον. Ὅθεν ἀδύνατον ἐν αὐτῷ εἶναι συμβεβηκός. Τρίτος λόγος ἐστίν, ὅτι τὸ συμβεβηκὸς παραβάλλεται πρὸς τὸ ὑποκείμενον, ὥσπερ τὸ ἐνεργείᾳ πρὸς δύναμιν, ἐφόσον ἐστί τι εἶδος αὐτοῦ. Ἀμέλει κἀπειδὴ ὁ Θεός ἐστιν ἐνέργεια καθαρὰ ἄνευ μίξεως ἡστινοσοῦν δυνάμεως, οὐ δύναται εἶναι συμβεβηκότος ὑποκείμενον. Ὡδὶ τοίνυν δείκνυται ἐκ τῶν προειλημμένων μὴ εἶναι ἐν τῷ Θεῷ σύνθεσιν ὕλης καὶ εἴδους, καὶ οἱωνδήποτε μερῶν οὐσιωδῶν, οὐδὲ γένους καὶ διαφορᾶς, καὶ ὑποκειμένου καὶ συμβεβηκότος· ἔτι τε φαίνεται τὰ προειρημένα ὀνόματα, μὴ κατηγορεῖν ἐν τῷ Θεῷ, συμβεβηκός.**

P 182v **[7.4.15] Πρὸς τὸ πρῶτον οὖν ῥητεόν, ὅτι ὁ | Δαμασκηνός, οὐ διαλέγεται περὶ τούτων τῶν ὀνομάτων, ὅσον πρὸς τοῦθ’ ὃ κατηγοροῦσι τοῦ Θεοῦ, ἀλλ’ ὅσον πρὸς τοῦτο ἀφ’ οὗ τίθενται πρὸς τὸ σημαίνειν. Ἐπιτίθενται γὰρ ἀφ’ ἡμῶν πρὸς τὸ σημαίνειν ἔκ τινων συμβατικῶν εἰδῶν, ἐν τοῖς κτιστοῖς εὑρισκομένων. Θέλει γὰρ ἐντεῦθεν ἀποδεικνῦναι, διὰ τῶν εἰρημένων ὀνομάτων περὶ Θεοῦ μὴ δηλοῦσθαι ἡμῖν τὴν οὐσίαν αὐτοῦ.**

**[7.4.16] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι εἰ καὶ τῆς ἀνθρωπείας ἀγαθότητος καὶ σοφίας καὶ δικαιοσύνης ἡ ποιότης ἐστὶ γένος, οὐκ ἔστιν ὅμως γένος αὐτῶν, καθὸ τοῦ Θεοῦ κατηγοροῦνται· διότι ἡ ποιότης, ἐφόσον τοιοῦτον, λέγεται συμβεβηκὸς διὰ τὸ ἐνείρεσθαι, ὁπητιοῦν ὑποκειμένῳ. Ὁ δὲ Θεός, οὐκ ἐντεῦθεν σοφίᾳ καὶ δικαιοσύνῃ ὀνομάζεται, ἀλλὰ μᾶλλον ἔκ τινος τελειότητος, ἢ ἔκ τινος ἐνεργείας· ὅθεν τὰ τοιαῦτα ἥκει εἰς τὴν θείαν κατηγορίαν, κατὰ τὸν τῆς διαφορᾶς λόγον, καὶ οὐ κατὰ τὸν τοῦ γένους αὐτοῦ. Καὶ διατοῦτο ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ Τριάδος ἕκτῳ βιβλίῳ·** νοῶμεν ὅσον δυνάμεθα ἄνευ ποιότητος τὸ ἀγαθόν, καὶ ἄνευ ποσότητος τὸ μέγα. **Διά τοι τοῦτο οὐκ ἀνάγκη τοῦτον τὸν τρόπον τὸν ἑπόμενον τῇ φύσει εὑρίσκεσθαι ἐν τῷ Θεῷ.**

**139-140** ὁ – μέγα] Aug., De Trin. V, cap. 1, n. 2 (PL 42, col. 911): ut sic intellegamus Deum, si possumus, quantum possumus, sine qualitate bonum, sine quantitate magnum, sine indigentia creatorem, sine situ praesentem, sine habitu omnia continentem, sine loco ubique totum 3, sine tempore sempiternum, sine ulla sui mutatione mutabilia facientem, nihilque patientem.

**116** Hic post συμβεβηκός Aq. habet: per naturam materiae, et causant accidens. **122** δείκνυται] δέδεικται P (patet Aq.) | προειλημμένων] προειλημένων a. corr. P **123** ὕλης – εἴδους] εἴδους καὶ ὕλης a. corr. P **129** ἐν – εὑρισκομένων] εὑριμένων ἐν τοῖς κτιστοῖς M (in creaturis repertis Aq.) **140** ποσότητος] ποιότητος M (quantitate Aq.)

[7.4.17] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ τὸ ἀγαθὸν καὶ τὸ δίκαιον συνωνύμως τοῦ Θεοῦ κατηγοροῖντο, καὶ τῶν ἄλλων ἕψεται ψευδῆ εἶναι τὴν κατηγορίαν, ἀπαγορευομένου τῷ Θεῷ τοῦ γένους. Οὐδὲν δὲ τοῦ Θεοῦ πέρι καὶ τῆς κτίσεως συνωνύμως κατηγορεῖται, ὡς ἐν τοῖς κατόπιν δειχθήσεται· ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[7.4.18] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ σοφία ἡ οὖσα συμβεβηκός, οὐκ ἔστιν ἐν τῷ Θεῷ· ἀλλ' ἄλλη σοφία οὐ συνωνύμως προσαγορευομένη· καὶ διατοῦτο ὁ λόγος οὐχ ἕπεται.

[7.4.19] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οἱ τύποι οὐ τελείως ἀεὶ παριστῶσι τὰ ἀρχέτυπα· ἀμέλει καὶ ἐνίοτε τὸ ὑπάρχον ἐν τῷ ἀρχετύπῳ, ἐνδεῶς καὶ ἀτελῶς εὑρίσκεται ἐν τῷ τύπῳ, καὶ μάλιστα ἐν τοῖς ἀποτυπουμένοις πρὸς τὸν Θεόν, ὅς ἐστιν ἀρχέτυπον πᾶσαν τὴν τῆς κτίσεως ἀναλογίαν ὑπερβαλλόμενον.

[7.4.20] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ ὁμοιότης καὶ ἡ ἰσότης ἐπὶ Θεοῦ λέγονται, οὐχ ὅτι ἔστιν ἐκεῖ ποσότης καὶ ποιότης, ἀλλ' ὅτι περὶ τοῦ Θεοῦ φαμέν τινα ἃ παρ' ἡμῖν δηλοῦσι ποσότητα ἢ ποιότητα, ἐπειδ' ἂν φαμὲν τὸν Θεὸν μέγαν καὶ σοφόν, καὶ τὰ ὁμόλογα.

[7.4.21] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὰ συμβεβηκότα οὐ λέγονται ὄντα εἰ μὴ τῇ πρὸς τὴν οὐσίαν ἀναφορᾷ, ὥσπερ πρὸς πρῶτον ὄν· ὅθεν οὐκ ἀνάγκη μετρεῖν τὰ συμβεβηκότα ἑνὶ πρώτῳ συμβεβηκότι, ἀλλ' ἑνὶ πρώτῳ ὅπέρ ἐστιν οὐσία.

[7.4.22] Πρὸς τὸ ὄγδοον | ῥητέον, ὅτι πᾶν οὗ ἄνευ δύναταί τι χρῆμα
P 183r νοεῖσθαι κατὰ τὴν αὐτοῦ οὐσίαν νοούμενον, λόγον ἔχει συμβεβηκότος· οὐ γὰρ οἷόν τε μὴ νοεῖσθαι τὸ ἐκ τῆς οὐσίας τοῦ πράγματος, κατὰ τὴν οὐσίαν αὐτοῦ νοουμένου· ὥσπερ εἰ νοεῖτο τί ἐστιν ἄνθρωπος, μὴ νοουμένου τί ἐστι ζῷον. Τὸν Θεὸν δὲ οὐχ ὁρῶμεν ἡμεῖς ἐνταῦθα κατὰ τὴν οὐσίαν, ἀλλ' ἐκ τῶν ἀποτελεσμάτων αὐτοῦ, καταλαμβάνομεν αὐτόν. Ὅθεν οὐδὲν προσίσταται θεωρεῖν αὐτὸν ἐκ τῶν κατὰ τὸ εἶναι ἀποτελεσμάτων, καὶ οὐκ ἐκ τῶν τῆς ἀγαθότητος· ᾧ δε γὰρ ὁ Βοήτιος διαλέγεται. Ἰστέον μέντοι ὅτι εἰ καὶ ἡμεῖς

**148** προσαγορευομένη] προσαγορεύει M (intellige σοφία; dicta Aq.) **153** τὴν] τῆς M **159** τὰ – λέγονται] τὰ συμβεβηκότα οὐ λέγονται (accidentia non dicuntur Aq.)

**νοοῦμεν ἀμηγέπη τὸν Θεόν, μὴ νοοῦντες τὴν αὐτοῦ ἀγαθότητα, οὐ μέντοι δυνάμεθα νοεῖν τὸν Θεόν, νοοῦντες αὐτὸν μὴ εἶναι ἀγαθόν· οἷον οὐδὲ τὸν ἄνθρωπον, νοοῦντες αὐτὸν μὴ εἶναι ζῷον· τοῦτο γὰρ ἀποφήσειε τὴν οὐσίαν τοῦ Θεοῦ, ἥτις ἐστὶν ἡ ἀγαθότης. Οἱ ἅγιοι δὲ ἐν τῇ πατρίδι, οἳ τὸν Θεὸν ὁρῶσι κατὰ τὴν οὐσίαν, ὁρῶντες τὸν Θεὸν ὁρῶσι τὴν αὐτοῦ ἀγαθότητα.**

**[7.4.23] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τοῦτο τὸ ὄνομα τὸ σοφία, ἀληθίζεται κατὰ τοῦ Θεοῦ, ὅσον πρὸς τὸ ἀφ' οὗ τίθεται τὸ ὄνομα. Τίθεται δὲ ἀπὸ τοῦ ποιεῖν σοφόν, ἀλλ' ἀπὸ τοῦ νοεῖσθαι ἔχειν τὰ ἐπιστητά. Ἡ γὰρ ἐπιστήμη, ἐφόσον ἐπιστήμη, ἀναφέρεται πρὸς τὰ ἐπιστητά· ἐφόσον δέ ἐστι συμβεβηκὸς ἢ εἶδος, ἀναφέρεται πρὸς τὸν ἐπιστάμενον· τοῦτο δὲ τὸ ἔχειν τὰ διὰ τῆς σοφίας μαθητά, ἔστι συμβεβηκὸς τῷ ἀνθρώπῳ, ἀλλ' οὐ τῷ Θεῷ.**

**177** Hic post ὄνομα Aq. habet: Non

### Κεφάλαιον πέμπτον

### Πότερον τὰ προειρημένα ὀνόματα σημαίνουσι τὴν θείαν οὐσίαν, ἢ οὔ.

**[7.5.1] Πέμπτον ζητεῖται, πότερον τὰ προειρημένα ὀνόματα, δηλοῦσι τὴν θείαν οὐσίαν. Καὶ δοκεῖ οὐ δῆτα. Φησὶ γὰρ ὁ Δαμασκηνὸς ἐν τῷ τετάρτῳ βιβλίῳ· δεῖ** ἕκαστον τῶν **ἐν** Θεῷ λεγομένων οὐ **τὸ** τί ἐστι κατʼ οὐσίαν οἴεσθαι σημαίνειν, ἀλλʼ **ὅτι μὴ** ἔστι **δεικνῦναι,** ἢ σχέσιν τινὰ πρός τι τῶν **ἀφʼ ὧν διακρίνεται,** ἤ **τι** τῶν ἑπομένων τῇ φύσει, ἢ ἐνέργειαν **οὐσίας. Πᾶν γὰρ ὃ οὐσιωδῶς κατὰ ἄλλου κατηγορεῖται, σημαίνει τί ἐστιν ἡ αὐτοῦ οὐσία. Οὐκ ἄρα τὰ προειρημένα οὕτως οὐσιωδῶς κατηγορεῖται τοῦ Θεοῦ, ὡσὰν τὴν αὐτοῦ οὐσίαν σημαίνοντα.**

**[7.5.2] Ἔτι, οὐδὲν ὄνομα τὸ σημαῖνον οὐσίαν τινός, δύναται ἀληθῶς ἀποφάσκεσθαι αὐτοῦ. Φησὶ δὲ ὁ Διονύσιος ἐν τῷ δευτέρῳ κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας, ὅτι ἐν τοῖς θείοις αἱ μὲν ἀποφάσεις εἰσὶν ἀληθεῖς, αἱ δὲ**
P 183v **καταφάσεις ἀνάρμοσται. Τὰ τοιάδε ἄρα ὀνόματα οὐ σημαίνουσι τὴν | οὐσίαν τοῦ Θεοῦ.**

**[7.5.3] Ἔτι, ταῦτα τὰ ὀνόματα σημαίνουσι τὰς εἰς τὰ ὄντα προόδους τῆς θείας ἀγαθότητος, ὥσπερ φησὶν ὁ Διονύσιος ἐν τῷ Περὶ θείων ὀνομάτων βιβλίῳ. Ἀλλʼ αἱ προϊοῦσαι ἐκ τοῦ Θεοῦ ἀγαθότητες οὐκ εἰσὶν αὐτὴ ἡ θεία οὐσία. Τὰ τοιαῦτα ἄρα ὀνόματα οὐ σημαίνουσι τὴν οὐσίαν τοῦ Θεοῦ.**

**[7.5.4] Ἔτι, ὁ Ὠριγένης φησίν, ὅτι ὁ Θεὸς λέγεται σοφὸς τὸ σοφίας ἡμᾶς πληροῦν. Τοῦτο δὲ οὐ δηλοῖ τὴν θείαν οὐσίαν, ἀλλὰ ἀποτέλεσμα. Τὰ προειρημένα ἄρα ὀνόματα οὐ σημαίνουσι τὴν θείαν οὐσίαν.**

**[7.5.5] Χωρὶς δὲ τούτων, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ φησὶν ὅτι** ἡ πρώτη αἰτία οὐκ ὀνομάζεται εἰ μὴ τῷ ὀνόματι τοῦ πρώτου αἰτιατοῦ, ὅπέρ ἐστι νοῦς. **Ἡνίκα δὲ ἡ αἰτία ὀνομάζεται τῷ ὀνόματι τοῦ αἰτιατοῦ αὐτῆς, οὐκ ἔστιν ἡ κατηγορία κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὴν αἰτίαν. Τὰ περὶ Θεοῦ ἄρα λεγόμενα ὀνόματα οὐ κατηγοροῦνται αὐτοῦ οὐσιωδῶς, ἀλλʼ αἰτιωδῶς μόνον.**

**4-7** ὁ – οὐσίας] Dam., De fid. orth. I, cap. 4: Χρὴ τοίνυν ἕκαστον τῶν ἐπὶ Θεοῦ λεγομένων, οὐ τὶ κατʼ οὐσίαν ἐστὶ σημαίνειν οἴεσθαι, ἀλλʼ ἢ τί οὐκ ἔστι δηλοῦν, ἢ σχέσιν τινὰ πρός τι τῶν ἀντιδιαστελλομένων, ἤ τί τῶν παρεπομένων τῇ φύσει, ἢ ἐνέργειαν. **16-17** ταῦτα – βιβλίῳ] Ps.-Dion., De div. nom., cap. 4: locum non inveni. **23-24** ἐν – αἰτιατοῦ] Liber de causis, prop. 5, no. 63: et ipsa quidem non significatur nisi ex causa secunda quae est intelligentiaet non nominatur per nomen causati sui primi nisi per modum altiorem et meliorem.

**9** ὡσὰν] ὡσἂν P **20** τὸ] τῷ P

[7.5.6] Ἔτι, τὰ ὀνόματα, ἔστι σύμβολα τῶν ἐν τῇ ψυχῇ παθημάτων, κατὰ τὸν Φιλόσοφον ἐν τοῖς Περὶ ἑρμηνείας προοιμίοις. Ἀλλ’ ἡμεῖς τὴν θείαν οὐσίαν νοεῖν οὐ δυνάμεθα· οὐ γὰρ ἴσμεν περὶ Θεοῦ τί ἐστιν, ἀλλ’ ὅτι ἐστὶν ὥς φησιν ὁ Δαμασκηνός. Οὐκ ἄρα αὐτὸν δυνάμεθα προσαγορεύειν προσρήματί τινι, οὐδὲ σημαίνειν τὴν οὐσίαν αὐτοῦ.

[7.5.7] Ἔτι, πάντα τῆς θείας ἀγαθότητος μετέχει, ὡς φαίνεται διὰ τοῦ Διονυσίου, ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων. Ἀλλὰ πάντ’ οὐ μετέχει τῆς οὐσίας αὐτοῦ, ἥτις ἐστὶν ἐν μόνοις τοῖς τρισὶ προσώποις. Ἡ θεία ἄρα ἀγαθότης, οὐ σημαίνει τὴν οὐσίαν αὐτοῦ.

[7.5.8] Ἄνευ δὲ τούτων, τὸν Θεὸν εἰδέναι οὐ δυνάμεθα, εἰ μὴ ἐκ τῆς ὁμοιότητος τῆς κτίσεως πρὸς αὐτόν· ὅτι, ὥς φησιν ὁ Ἀπόστολος ἐν τῇ πρώτῃ τῆς Πρὸς Ῥωμαίους, τὰ ἀόρατα τοῦ Θεοῦ, καὶ τὰ λοιπά. Ἀλλ’ ὥσπερ ἴσμεν αὐτόν, οὕτω καὶ ὀνομάζομεν. Οὐκ ἄρα ὀνομάζομεν αὐτόν, ὅτι μὴ ἐκ τῆς πρὸς τὴν κτίσιν ὁμοιότητος. Ἀλλ’ ὅταν τι ὀνομάζηται ἐκ τῆς πρὸς ἕτερον ὁμοιότητος, τὸ ὄνομα τοῦτο οὐ κατηγορεῖται αὐτοῦ οὐσιωδῶς, ἀλλὰ μεταφορικῶς· ὅπερ διὰ τούτου δῆλον, ὅτι κατὰ μὲν τὸ ὕστερον κατὰ τούτου λέγεται, κατὰ δὲ τὸ πρότερον ἐκείνου, ἀφ’ οὗ ἡ ὁμοιότης λαμβάνεται· καίτοι τὸ σημαῖνον οὐσίαν τινός, πρῶτον περὶ αὐτοῦ κατηγορεῖται.

[7.5.9] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικὰ τὸ δηλοῦν τὴν οὐσίαν ἐστί, τὸ δηλοῦν τόδε καὶ μηδὲν ἕτερον. Εἰ τοίνυν τοῦτο τὸ ὄνομα τὸ ἀγαθὸν σημαίνει τὴν θείαν οὐσίαν, οὐδὲν ἔσται ἐν τῇ θείᾳ οὐσίᾳ, ὃ τούτῳ τῷ ὀνόματι μὴ δηλωθείη, ὥσπερ οὐδὲ ἔστι τι ἐν τῇ οὐσίᾳ τῇ ἀνθρωπίνῃ, ὃ μὴ
P 184r δηλοῦται | τούτῳ τῷ ὀνόματι τῷ ἄνθρωπος. Ἀλλὰ τοῦτο τὸ ὄνομα τὸ ἀγαθόν, οὐ σημαίνει σοφίαν. Ἡ σοφία ἄρα οὐκ ἔσται θεῖα οὐσία, καὶ τῷ ἴσῳ λόγῳ οὐ δὲ τὰ ἄλλα πάντα· οὐκ ἄρ’ οἷόν τε τὰ τοιαῦτα ὀνόματα δηλοῦν τὴν θείαν οὐσίαν.

[7.5.10] Ἔτι, ὥσπερ ἡ ποσότης ἔστιν αἰτία τῆς ἰσότητος, καὶ τῆς ὁμοιότητος ἡ ποιότης, οὕτω καὶ ἡ οὐσία τῆς ταυτότητος. Εἰ τοίνυν πάντα τὰ τοιαδὶ ὀνόματα δηλοῦσι τὴν θείαν οὐσίαν, κατὰ ταῦτα, οὐ θεωρηθήσεται ἢ ἰσότης, ἢ ὁμοιότης

**28-29** τὰ – προοιμίοις] Ar., De interpr., 16a2-17: Ἔστι μὲν – κατὰ χρόνον. **29-31** Ἀλλ’ – Δαμασκηνός] vide supra in apparatu fontium [7.5.1].4-7. **39-40** ὥς – λοιπά] Rom. 1, 20: τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. **47-48** κατὰ – ἕτερον] Ar., Metaph. VIII.

**28-29** ἐν – προοιμίοις] deest M **42** ὁμοιότητος] παρ’ ὁμοιότητος M **30** ὅτι] quoniam Aq.

**πρὸς αὐτόν, ἀλλὰ μᾶλλον ταυτότης· καὶ οὕτως ἡ κτίσις ῥηθείη ἡ αὐτὴ τῷ Θεῷ διὰ τὸ τὴν αὐτοῦ σοφίαν καὶ ἀγαθότητα μιμεῖσθαι, ἢ ἄλλο τοιοῦτον ὅπερ ἄτοπόν ἐστιν.**

**[7.5.11] Παρὰ ταῦτα, ἐν τῷ Θεῷ, ὅς ἐστιν ἀρχὴ πάσης τῆς φύσεως, οὐ δύναται εἶναί τι ἐναντίον τῇ φύσει· οὔτε αὐτός τι ἐναντίον τῇ φύσει ποιεῖ, ὡς περιέχεται ἐν τῇ Ἐξηγήσει τοῦ ἐνδεκάτου τῆς Πρὸς Ῥωμαίους. Ἔστι δὲ παρὰ φύσιν τὸ τὸ συμβεβηκὸς εἶναι οὐσίαν. Ἐπεὶ τοίνυν ἡ σοφία, καὶ ἡ δικαιοσύνη, καὶ τὰ ὁμόλογα εἰσὶ καθ' αὐτὰ συμβεβηκότα, ἀδύνατον εἶναι ἐν τῷ Θεῷ οὐσίαν.**

**[7.5.12] Ἔτι, τοῦ Θεοῦ λεγομένου εἶναι ἀγαθόν, ὁ ὅρος οὗτος συμπλέκεται. Οὐδεμία δ' ἂν εἴη συμπλοκὴ εἰ ἡ ἀγαθότης τοῦ Θεοῦ ἔστιν ἡ οὐσία αὐτοῦ. Οὐκ ἄρα δοκεῖ τὸ ἀγαθὸν σημαίνειν τὴν θείαν οὐσίαν· τῷ δ' αὐτῷ λόγῳ, καὶ τὰ ἄλλα τὰ ὅμοια ὀνόματα.**

**[7.5.13] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι ὁ Θεὸς πᾶν εἶδος τοῦ ἡμετέρου, οὐ διαπέφευγε, καὶ διατοῦτο ἐν τοῖς σμικροτάτοις νοεῖσθαι οὐ δύναται. Τοῦτο δὲ οὐκ ἂν εἴη, [si] ταῦτα τὰ ὀνόματα σημαίνειεν τὴν θείαν οὐσίαν, καὶ γὰρ ὁ Θεὸς ἀνταποκρίνοιτο ἂν τῷ εἴδει τοῦ ἡμετέρου νοῦ. Τὰ τοιαῦτα ἄρα ὀνόματα, οὐ σημαίνουσι τὴν θείαν οὐσίαν.**

**[7.5.14] Πρὸς τούτοις, ὁ Διονύσιός φησιν ἐν τῷ πρώτῳ κεφαλαίῳ τῆς Θεολογίας, ὅτι ἄριστα ὁ ἄνθρωπος ἑνοῦται τῷ Θεῷ ἐν τῷ νοεῖν, ὁπόταν νοῶν, οὐδὲν περὶ αὐτοῦ νοεῖ. Τοῦτο δ' οὐκ ἂν εἴη, εἰ ἃ γινώσκει καὶ ἑρμηνεύει, ἔστιν ἡ θεία οὐσία. Τὸ πρότερον ἄρα.**

**[7.5.15] Ἀλλ' ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Αὐγουστίνου εἰρημένον ἐν τῷ ἑβδόμῳ τοῦ Περὶ Τριάδος·** ἐπὶ τοῦ Θεοῦ τοῦτο ἐστὶ τὸ εἶναι, ὅπερ τὸ δυνατὸν εἶναι, ἢ σοφὸν εἶναι· καὶ ὅτί ποτ' ἂν περὶ ἐκείνης τῆς ἁπλότητος εἴποις, ἡ αὐτοῦ οὐσία δηλοῦται. **Πάντ' ἄρα τὰ τοιάδε, σημαίνουσι τὴν θείαν οὐσίαν.**

**60-62** ὡς – λοιπά] cf. Rom. 11, 24: εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; **70-71** ὁ – δύναται] Aug.? **75-77** ὁ – νοεῖ] Dion., Myst. theol., cap. 1, no. 1 (col. 997B): σὺ δὲ, ὦ φίλε Τιμόθεε, τῇ περὶ τὰ μυστικὰ θεάματα συντόνῳ διατριβῇ καὶ τὰς αἰσθήσεις ἀπόλειπε, καὶ τὰς νοερὰς ἐνεργείας, καὶ πάντα αἰσθητὰ καὶ νοητά, καὶ πάντα οὐκ ὄντα καὶ ὄντα, καὶ πρὸς ἕνωσιν, ὡς ἐφικτὸν, ἀγνώστως ἀνατάθητι τοῦ ὑπὲρ πᾶσαν οὐσίαν καὶ γνῶσιν. **79-82** τὸ – δηλοῦται] Aug., De Trin. VI, cap. 4, n. 6 (PL 42, col. 927): Deo autem hoc est esse quod est potentem esse aut iustum esse, aut sapientem esse et si quid de illa simplici multiplicitate vel multiplici simplicitate dixeris quo substantia eius significetur.

**58** σοφίαν{οὐσίαν M (sapientiam Aq.) **67, 81** ἂν] bis acc. P **72** σημαίνειεν] σημαίνειν P (significarent Aq.) **85** καὶ εἰ] καὶ ἡ M (etsi Aq.)

**[7.5.16] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ,** ὅτι ἐπαιδ᾽ ἄν τις ταῖς ἄλλαις κατηγορίαις ἄνευ τῶν πρός τι ἐπὶ τῆς θείας χρῆται κατηγορίας, πάντα μεταβάλλονται εἰς τὴν οὐσίαν· ὥσπερ τὸ δίκαιος, καὶ εἰ ποιότητα σημαίνειν δοκείη, σημαίνει ὅμως οὐσίαν· ὡς δὲ καὶ τὸ μέγας, καὶ τὰ τοιαῦτα.

P 184v **[7.5.17] Ἔτι πᾶν | ὅπερ λέγεται κατὰ μετουσίαν, ἀναφέρεται πρός τι καθ᾽ αὑτὸ καὶ οὐσιωδῶς λεγόμενον. Ἀλλὰ τὰ προειρημένα ὀνόματα φαμὲν κατὰ τῶν δημιουργημάτων, κατὰ μετουσίαν. Ἄρα ἀναφερόμενα εἰς τὸν Θεὸν ὥσπερ εἰς αἰτίαν πρώτην, ἀνάγκη λέγεσθαι οὐσιωδῶς κατὰ τοῦ Θεοῦ· ὡδὶ δὲ ἕπεται σημαίνειν τὴν αὐτοῦ οὐσίαν.**

**[7.5.18] Ἀπόκρισις. Ῥητέον ἂν εἴη ὅτι ἔνιοι ἠξίωσαν ταῦτα τὰ ὀνόματα περὶ Θεοῦ λεγόμενα, μὴ δηλοῦν τὴν θείαν οὐσίαν· ὃ μάλιστα ἐναργῶς φησὶν ὁ Ῥαββὶ Μωυσῆς. Δῶμεν δὲ ταῦτα τὰ ὀνόματα, διχῇ εἶναι νοητέα περὶ Θεοῦ· ἑνὶ μὲν τρόπῳ, κατὰ τὴν τοῦ ἀποτελέσματος ὁμοιότητα· οἷον, εἰ λέγοιμεν τὸν Θεὸν σοφόν, οὐχ ὥς τι τῆς σοφίας οὔσης ἐν αὐτῷ, ἀλλ᾽ ὅτι κατὰ τοὺς σοφούς, ἐν τοῖς αὐτοῦ ἀποτελέσμασιν ἐνεργεῖ, τάττων δηλαδὴ ἕκαστον πρὸς τὸ ὀφειλόμενον τέλος· παραπλησίως τε φαμὲν ζῶντα αὐτὸν διὰ τὸ κατὰ τὰ ζῶντα ἐνεργεῖν, εἴτουν ὡσὰν ἀφ᾽ ἑαυτοῦ ποιῶν. Ἑτέρως κατὰ τὸν τῆς ἀποφάσεως τρόπον· οἷον, καθὸ φαμὲν τὸν Θεὸν εἶναι ζῶντα, οὐ δηλοῦντες τὴν ζωὴν εἶναι ἐν αὐτῷ τι, ἀλλ᾽ ἀποφάσκοντες τοῦ Θεοῦ ἐκεῖνον τοῦ εἶναι τὸν τρόπον, ᾧ τὰ ἄψυχα ὑφεστᾶσιν. Ὁμοίως τε ὁπηνίκα φαμὲν τὸν Θεὸν εἶναι νοοῦντα, οὐ σκοποῦμεν δηλοῦν εἶναί τι τὸν νοῦν ἐν αὐτῷ, ἀλλ᾽ ἀπαγορεύομεν τοῦ Θεο τοῦτον τὸν τρόπον τοῦ εἶναι, ᾧ τὰ ἄλογα ὑπάρχουσιν· οὕτω δὲ καὶ περὶ τῶν ἄλλων. Ἑκάτερος δὲ τῶν τρόπων δοκεῖ εἶναι, οὐκ ἀποχρῶν καὶ ἀπᾶδον. Ὁ μὲν πρῶτος δισσῷ λόγῳ· ὧν πρῶτος ἐστὶν ὅτι κατὰ ταύτην τὴν ἔννοιαν, οὐδεμία ἔσται διαφορά· τούτου τὲ ὃ φαμὲν εἶναι τὸν Θεὸν σοφόν, καὶ τοῦ εἶναι ὀργιζόμενον, ἢ εἶναι πῦρ. Λέγεται γὰρ ὀργίζεσθαι διὰ τὸ ἐνεργεῖν κατὰ τοὺς ὀργιζομένους, ἐφόσον τιμωρεῖται· τοῦτο γὰρ οἱ ὀργισμένοι ἄνθρωποι εἰώθασι ποιεῖν. Λέγεταί τε πῦρ, διὰ τὸ ἐνεργεῖν τῷ τοῦ**

**83-85** ὁ – οὐσίαν] Boet., De Trin., cap. 4: At haec cum … deo quod magno. **92-94** ταῦτα – Θεοῦ] Maiminides, Doctrina Perplexorum, 1, c. 58?

**91** αὐτοῦ] deest M **92** ἠξίωσαν] ἠξίοσαν M **99** ὡσὰν] ὡσᾶν P **108** εἶναι] deest M

πυρὸς τρόπῳ, ἐφόσον καθαιρείται τοὺς ῥύπους· ὅπερ τὸ πῦρ τῷ ἰδίῳ τρόπῳ ποιεῖ. Τοῦτο δέ ἐστιν ἐναντίον τῇ δόξῃ τῶν ἁγίων καὶ τῶν προφητῶν διαλεγομένων περὶ Θεοῦ, οἳ ἔνια μὲν περὶ τοῦ Θεοῦ δοκιμάζουσιν, ἔνια δ' ἀπαγορεύουσι· ψηφίζονται μὲν γὰρ αὐτὸν εἶναι ζῶντα, σοφόν, καὶ τὰ ὁμόστοιχα, καὶ μὴ εἶναι σῶμα μήτε πάθεσιν ὑποκεῖσθαι. Κατὰ δὲ τὴν προειρημένην δόξαν πάντα περὶ αὐτοῦ δι' ἴσου λόγου δύνανται λέγεσθαι καὶ ἀπαγορεύεσθαι, καὶ οὐ μᾶλλον τάδε ἢ τάδε. Δεύτερος λόγος, ὅτι ἐπεὶ κατὰ τὴν ἡμετέραν πίστιν τιθέμεθα τὴν κτίσιν μὴ αἰεὶ εἶναι, ᾧ καὶ αὐτὸς συγχωρεῖ,
P 185r ἕψεται μὴ δύνασθαι λέγειν εἶναι σοφόν, | ἢ ἀγαθόν, πρὸ τοῦ τὴν κτίσιν εἶναι. Συμβαίνει γὰρ πρὸ τοῦ τὴν κτίσιν εἶναι μηδὲν ἐν τοῖς ἀποτελέσμασιν ἐνεργεῖν, μήτε κατὰ τὸν τοῦ σοφοῦ, μήτε κατὰ τὸν τοῦ ἀγαθοῦ τρόπον. Τοῦτο δὲ πάντῃ πρὸς τὴν ὑγειᾶ διαμάχεται πίστιν· εἰ μὴ τάχά που θέλει λέγειν πρὸ τῶν δημιουργημάτων σοφὸν λέγεσθαι δύνασθαι, οὐ διὰ τὸ ἐνεργεῖν κατὰ τοὺς σοφούς, ἀλλ' ὅτι δύναιτο ὡς σοφὸς ἐνεργεῖν. Ὡδὶ δὲ ἕψεται τὶ ὂν ἐν τῷ Θεῷ διὰ τούτου τοῦ ὀνόματος δηλοῦσθαι, καὶ οὕτω κατὰ τὸ εἰκὸς τὴν οὐσίαν, καὶ γὰρ ὁτίποτέ ἐστιν ἐν τῷ Θεῷ, ἔστιν ἡ οὐσία αὐτοῦ. Ὅ τε δεύτερος τρόπος τῷ αὐτῷ λόγῳ εἶναι δοκεῖ ἄτοπος. Οὐ γάρ ἐστί τι ὄνομα ὁτουοῦν εἴδους, δι' οὗ οὐκ ἂν ἀποφαθείη τις τρόπος τοῦ εἶναι, μὴ προσήκων τῷ Θεῷ. Ἐν γὰρ τῷ ὀνόματι, οὐτινοσοῦν εἴδους περιέσχεται σημασία διαφορᾶς, δι' ἧς ἀποκλείεται τὶ εἶδος, ὃ ἐκείνῳ ἀντιδιαιρεῖται· ὥσπερ ἐν τῷ τοῦ λέοντος ὀνόματι, περιέχεται ἡ τοῦ τετράποδος διαφορά, δι' ἧς ὁ λέων διακρίνεται τοῦ ὄρνιθος. Εἰ τοίνυν αἱ κατὰ τοῦ Θεοῦ κατηγορίαι μὴ εἰσάγοιντο εἰ μὴ πρὸς τὸ ἀποφάσκειν, ὥσπερ φαμὲν τὸν Θεὸν εἶναι ζῶντα, διὰ τὸ μὴ ἔχειν τὸ εἶναι, οἷον τὰ ἄψυχα, ὡς αὐτὸς φησίν, οὕτω δυνάμεθα λέγειν τὸν Θεὸν εἶναι λέοντα, ὅτι μὴ ἔχει τὸ εἶναι τῷ τῶν ὀρνίθων τρόπῳ. Ἄλλως τε ὁ νοῦς τῆς ἀποφάσεως, ἀεὶ βέβηκεν ἐπί τινος καταφάσεως· ὅπερ ἐντεῦθεν προὖπτον ὂν τυγχάνει· πᾶς γὰρ ἀποφατικὴ διὰ τῆς καταφατικῆς ἀποδείκνυται· ὅθεν εἰ μή τι ὁ ἀνθρώπινος νοῦς περὶ Θεοῦ καταφατικῶς διανοοῖτο, οὐδὲν ἂν περὶ αὐτοῦ δύναιτο ἀποφάσκειν. Οὐκ ἂν δὲ γινώσκοι, εἰ μηδὲν ὃ περὶ αὐτοῦ λέγοι, ἀληθεύοιτο περὶ αὐτοῦ καταφατικῶς. καὶ διατοῦτο κατὰ τὴν δόξαν τοῦ

**Διονυσίου ἀξιωτέον, ὃ ταύτῃ δῆλον. Ἐπεὶ γὰρ πᾶν τὸ ποιοῦν ποιεῖ ἐφόσον ἐστί, καὶ κατὰ τὸ εἰκὸς ποιεῖ ὅμοιον ἑαυτῷ, ἀμηγέπη ἀνάγκη τὸ γεγενημένον εἶδος εἶναι ἐν τῷ ποιοῦντι, διαφόρως μέντοι· ἐπεὶ γὰρ τὸ ἀποτέλεσμα παρισοῦται τῇ δυνάμει τοῦ ποιοῦντος, ἀνάγκη κατὰ τὸν αὐτὸν λόγον εἶναι τὸ εἶδος ἐκεῖνο ἐν τῷ ποιοῦντι, κἂν τῷ γινομένῳ· τό τε γὰρ τὸ ποιοῦν καὶ τὸ γινόμενον, συμπίπτουσιν ἐς τὸ αὐτὸ εἶδος, ὃ συμβαίνει ἐν πᾶσι τοῖς ποιοῦσι συνωνύμοις· ὁ γὰρ ἄνθρωπος, ἄνθρωπον γεννᾷ, καὶ τὸ πῦρ, πῦρ. Ἡνίκα δὲ τὸ ἀποτέλεσθαι ὑστερίζει τῆς δυνάμεως τοῦ ποιοῦντος, τὸ εἶδος οὐκ ἔστι κατὰ τὸν αὐτὸν λόγον ἐν τῷ ποιοῦντι καὶ τῷ γινομένῳ, ἀλλὰ κρειττόνως ἐν τῷ ποιοῦντι· καθὸ γάρ ἐστιν ἐν τῷ ποιοῦντι, ἔχει δύναμιν τὸ ποιοῦν πρὸς τὸ προάγειν ἀποτελέσματα. Ὅθεν ἐπειδ' ἂν μὴ πᾶσι ἡ τοῦ ποιοῦντος δύναμις μὴ προΐηται πρὸς τὸ γιγνόμενον,**
P 185v **λείπεται τὸν τρόπον, | ᾧ τὸ εἶδος ἐστὶν ἐν τῷ ποιοῦντι παριέναι τὸν τρόπον, ᾧ ἐστὶν ἐν τῷ γινομένῳ. Καὶ τοῦθ' ὁρῶμεν ἐν πᾶσι τοῖς ποιοῦσιν ὁμωνύμοις, ὥσπερ ἡνίκα ὁ ἥλιος γεννᾷ πῦρ. Συμβαίνει δὲ μηδὲν ἀποτέλεσμα σύμμετρον εἶναι τῇ δυνάμει τοῦ πρώτου ποιοῦντος, ὅπέρ ἐστιν ὁ Θεός· ἄλλως γὰρ ἐκ μιᾶς δυνάμεως τῆς αὐτοῦ, οὐκ ἂν προέρχεται εἰ μὴ ἓν ἀποτέλεσμα. Ἀλλ' ἐπειδὰν ἐκ τῆς μιᾶς αὐτοῦ δυνάμεως εὑρίσκωμεν συχνὰ καὶ ποικίλλα ἀποτελέσματα προϊόντα, δαδουχεῖται ἡμῖν ὁτιοῦν ἀποτέλεσμα αὐτοῦ ἐνδεῖν παρὰ τὴν τοῦ ποιοῦντος δύναμιν. Ἓν τοίνυν οὐδ' ὁτιοῦν εἶδος τινὸς ἀποτελέσματος θείου ἔστι κατὰ τὸν αὐτὸν λόγον, καθ' ὅν ἐστιν ἐν τῷ τοῦ Θεοῦ νῷ· οὐχ ἥκιστά τε ἀνάγκη ὑπάρχειν ἐκεῖ, κατά τινα τρόπον ὑψηλότερον· κἀντεῦθεν ἐστὶ πάντα τὰ εἴδη τὰ ἐν διαφόροις ἀποτελέσμασι, διακεκριμένως καὶ διαφόρως ἀπ' ἀλλήλων ὄντα ἐν αὐτῷ ἑνοῦσθαι, ὥσπερ ἂν εἰ ἐν μιᾷ δυνάμει κοινῇ, ὥσπερ καὶ πάντα τὰ εἴδη τὰ διὰ τῆς ἡλιακῆς δυνάμεως, ἐν τούτοις τοῖς χαμαιζήλοις προηγμένα εἰσιν ἐν τῷ ἡλίῳ κατὰ μίαν τὴν αὐτοῦ δύναμιν, ᾗ πάντα τὰ γενητά, διὰ τῆς τοῦ ἡλίου ἐνεργείας κατὰ τὰς αὐτῶν μορφὰς ἀφομοιοῦνται. Οὕτω γὰρ καὶ τῶν κτιστῶν ὄντων αἱ τελειότητες ἀφομοιοῦνται τῷ Θεῷ κατὰ τὴν ἑνιαῖαν καὶ ἁπλῆν**

**140-142** κατὰ – imperfecte] Ps.-Dion., De div. nom. XII.

**144** ἐπεὶ] ἐπὰν M (quia Aq.) **145** παρισοῦται] παρισῶται M (aequat Aq.) **158** ἐπειδὰν] ἐπειδᾶν P | εὑρίσκωμεν] εὑρίσκομεν M (inveniamus Aq.) **141** Hic post ἀξιωτέον Aq. habet: quod huiusmodi nomina significant divinam substantiam, quamvis deficienter et imperfecte

οὐσίαν τὴν αὐτοῦ. Ὁ δ’ ἡμέτερος νοῦς, ἀπὸ τῶν κτιστῶν πραγμάτων τὴν γνῶσιν ἀναματτόμενος, τυποῦται ταῖς ἰδέαις τῶν τελειοτήτων ταῖς εὑρισκομέναις ἐν τοῖς κτίσμασιν, ὥσπερ τῆς σοφίας, τῆς δυνάμεως, τῆς ἀγαθότητος, καὶ τῶν ὡσαύτως. Ἀμέλει καθάπερ τὰ κτιστὰ διὰ τῶν ἰδίων τελειοτήτων ὁπωσοῦν εἰ καὶ ἐνδεῶς ἀφομοιοῦνται τῷ Θεῷ, οὕτω καὶ ὁ ἡμέτερος νοῦς, ταῖς τελειότησι τούτων τῶν εἰδῶν μορφοῦται. Ἡνίκα δὲ ὁ νοῦς διὰ τοῦ ἑαυτοῦ εἴδους ἀφομοιοῦται πράγματί τινι, καὶ τηνικαῦτα, τοῦθ’ ὃ συλλαμβάνει καὶ ἀπαγγέλλει, κατ’ ἐκεῖνο τὸ νοητὸν εἶδος ἀληθεύεται τοῦ πράγματος ἐκείνου πέρι, ᾧ κατὰ τὸ αὐτοῦ εἶδος ἀφομοιοῦται· ἡ γὰρ γνῶσις, ἔστιν ἀφομοίωσις τοῦ νοῦ πρὸς τὸ γνωστὸν πρᾶγμα. Ὅθεν ἐκεῖνα ἀνάγκη ἅπερ ὁ νοῦς τούτων τῶν εἰδῶν ταῖς τελειότησι μεμορφωμένος περὶ Θεοῦ διανοεῖται ἢ ἀποφαίνεται, ἐν τῷ Θεῷ ἀληθῆ καθεστάναι διὰ τὸ ἕκαστον τῶν προειρημένων εἰδῶν ἐκεῖνα ἀποκρίνεσθαι, ᾧ πάντ’ εἰσὶν ὅμοια. Εἰ δὴ ταῦτα τὰ νοητὰ εἴδη τοῦ ἡμετέρου νοῦ τῇ θείᾳ οὐσίᾳ παρισοῖντο κατὰ τὴν ὁμοιότητα, αὐτὴν ἂν ἐγινώσκομεν, καὶ αὐτὴ ἡ γνῶσις τοῦ νοῦ ἦν ἂν τέλειος ὅρος τοῦ Θεοῦ, ὥσπερ τὸ ζῷον, πεζὸν δίπουν, ἔστι τέλειος ὅρος τοῦ ἀνθρώπου. Ἀλλ’ οὐ τελείαν | (P 186r) τὴν θείαν οὐσίαν ἐμφαίνει τὸ προσειρημένον εἶδος, ὡς εἴρηται· καὶ διατοῦτο τὰ τοιάδε ὀνόματα ἃ ὁ νοῦς ἐκ τῶν τοιούτων νοημάτων τῷ Θεῷ ἀποδίδωσιν εἰ καὶ σημαίνει τοῦθ’ ὅπέρ ἐστιν ἡ θεία οὐσία, οὐ τελείως μέντοι αὐτὴν κατὰ τὸ τί ἐστι δηλοῖ, ἀλλὰ καθὸ ὑφ’ ἡμῶν νοεῖται. Λεγέσθω τοίνυν οὑτωσὶν ὅτι ὁτιοῦν τούτων τῶν ὀνομάτων δηλοῖ τὴν θείαν οὐσίαν, οὐχ ὡσὰν μέντοι περιλαμβάνων αὐτήν, ἀλλὰ ἀτελῶς· καὶ διατοῦτο τὸ ὁ ὢν ὄνομα, μάλιστα τῷ Θεῷ διαφέρει, ἐπεὶ μή τι εἶδος ὁρίζει τῷ Θεῷ, ἀλλὰ δηλοῖ τὸ εἶναι ἀδιορίστως. Καὶ τοῦτ’ ἐστιν ὅ φησιν ὁ Δαμασκηνός, ὅτι τοῦτο τὸ ὄνομα τὸ ὁ ὤν, δηλοῖ οὐσίας πέλαγος ἀόριστον. Αὕτη δὲ ἡ λύσις κρατύνεται διὰ τῶν τοῦ Διονυσίου λόγων, ὅς φησιν ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, ὅτι ἐπεὶ ἡ θεότης πάντα ἁπλῶς καὶ ἀπεριορίστως ἐν ἑαυτῇ τὰ ὄντα προείληφεν, ἐκ διαφόρων εἰκότως ὑμνεῖται καὶ ὀνομάζεται. Ἁπλῶς μὲν οὖν εἴρηκεν, ἐπεὶ αἱ τελειότητες αἱ ἐν τοῖς κτίσμασι κατὰ διάφορα εἴδη τῷ Θεῷ ἀπονέμονται κατὰ τὴν ἁπλῆν αὐτοῦ οὐσίαν· ἀπεριορίστως δὲ ἐφ’ ᾧ

**193-194** φησιν – ἀόριστον] Dam., De fid. orth. I, cap. 12 (PG 94, col. 833). **195-197** διὰ – ὀνομάζεται] Ps.-Dion., De div. nom., cap. 1, n. 7 (PG 3, col. 597A, Ritter p. 120): Πάντα δὲ ἁπλῶς καὶ ἀπεριορίστως ἐν ἑαυτῇ τὰ ὄντα προείληφε ταῖς παντελέσι τῆς μιᾶς αὐτῆς καὶ παναιτίου προνοίας ἀγαθότησι καὶ ἐκ τῶν ὄντων ἁπάντων ἐναρμονίως ὑμνεῖται καὶ ὀνομάζεται.

**175** τῷ – οὕτω] οὕτω ante τῷ M **181** διανοεῖται] διαιρεῖται P (cogitat Aq.) **183** νοητὰ] ὀνόματα M (intelligibilis Aq.) **191** ὡσὰν] ὡσᾶν P

ἐνδείξασθαι, ὅτι οὐδεμία τελειότης ἐν τοῖς κτίσμασιν εὑρίσκεται τὴν θείαν οὐσίαν περιειληφυῖα, ἵν’ οὕτως ὁ νοῦς ὑπὸ τῷ ταύτης λόγῳ τῆς τελειότητος τὸν Θεὸν ἐν ὁρίσαιτο. Ἔτι τὲ βεβαιοῦται τοῦτο διὰ τοῦ φερομένου ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι ἁπλῶς τέλειόν ἐστι τὸ ἔχον ἐν ἑαυτῷ τὰς τελειότητας πάντων τῶν γενῶν· ὅπερ ἐκεῖ τὸ Ὑπόμνημα Περὶ Θεοῦ φησιν εἰρῆσθαι.

[7.5.19] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Δαμασκηνὸς νοεῖ τὰ τοιαῦτα ὀνόματα μὴ δηλοῦν τί ἐστιν ὁ Θεός· ὡσᾶν ὁριζόμενα τὴν αὐτοῦ οὐσίαν, καὶ εἴσω ποιούμενα· ὅθεν καὶ ὑπάγει τοῦτο τὸ ὄνομα τὸ ὃ ὢν ὅπερ ἀδιορίστως δηλοῖ τὴν οὐσίαν τοῦ Θεοῦ, ἰδιαίτατα τῷ Θεῷ ἀφοσιοῦται.

[7.5.20] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὕτως ὁ Διονύσιος φησὶ τὰς ἀποφάσεις τούτων τῶν ὀνομάτων εἶναι ἀληθεῖς, ὥστε ὡς μὴ διισχυρίζεσθαι τὰς καταφάσεις εἶναι ψευδεῖς, ἀλλὰ ἀναρμόστους· ὅσο γὰρ πρὸς τὸ δηλούμενον πρᾶγμα, ἀληθῶς τῷ Θεῷ ἀποφέρονται· ὅπερ ἐν αὐτῷ τρόπῳ τινὶ ἐστίν, ὡς ἤδη δέδεικται· ὅσον δὲ πρὸς τὸν τρόπον ὃν δηλοῦσι τοῦ Θεοῦ ἀποφάσκεσθαι δύνανται· ὅτι οὖν γὰρ αὐτῶν τῶν ὀνομάτων σημαίνει τι εἶδος οὐσίας ὡρισμένον, καὶ ταύτῃ τῷ Θεῷ ἀνατίθενται, ὡς εἴρηται. Καὶ διατοῦτο τοῦ Θεοῦ ἀπολύτως ἀποφάσκεσθαι δύνανται, ὅτι μὴ προσήκουσιν αὐτῷ, κατὰ τὸν τοῦ ὀνομάζειν τρόπον· ὁ μὲν γὰρ τῶν ὀνομάτων τρόπος ἐστί, καθὸ εἰσὶν ἐν τῷ ἡμετέρῳ νῷ· τῷ Θεῷ δὲ προσήκουσιν ὑπεροχικωτέρῳ τρόπῳ· ὅθεν ἡ κατάφασις ἀνάρμοστος λέγεται μονονουχὶ | P 186v οὐ πάντῃ ἡρμοσμένη τῷ διαφόρῳ τοῦ τρόπου. Καὶ διατοῦτο, κατὰ τὰς διδασκαλίας Διονυσίου, τριχῇ ταῦτα περὶ Θεοῦ λέγονται. Πρῶτον μέν, καταφατικῶς· ὡς ὅταν λέγομεν ὅτι ὁ Θεός ἐστι σοφός· ὃ περὶ αὐτοῦ δέον ἐστὶν ἀποφαίνεσθαι, διὰ τὸ εἶναι ἐν αὐτῷ τῆς σοφίας ὁμοιότητα τῆς χεομένης ἀπ’ αὐτοῦ· ὅτι δὲ μὴν ἔστιν ἐν τῷ Θεῷ

**202-204** ἐν – γενῶν] cf. Ar., Metaph. V, 1021b.12-15: Τέλειον λέγεται ἓν μὲν οὗ μὴ ἔστιν ἔξω τι λαβεῖν μηδὲ ἓν μόριον (οἷον χρόνος τέλειος ἑκάστου οὗτος οὗ μὴ ἔστιν ἔξω λαβεῖν χρόνον τινὰ ὅς τούτου μέρος ἐστὶ τοῦ χρόνου), καὶ τὸ κατ' ἀρετὴν καὶ τὸ εὖ μὴ ἔχον ὑπερβολὴν πρὸς τὸ γένος. **210-212** ὁ – ἀναρμόστους] Ps.-Dion., De coel. hier. II, cap. 3 (Ritter, p. 12-13): Εἰ τοίνυν αἱ μὲν ἀποφάσεις ἐπὶ τῶν θείων ἀληθεῖς, αἱ δὲ καταφάσεις ἀνάρμοστοι τῇ κρυφιότητι τῶν ἀπορρήτων, οἰκειοτέρα μᾶλλόν ἐστιν ἐπὶ τῶν ἀοράτων ἡ διὰ τῶν ἀνομοίων ἀναπλάσεων ἐκφαντορία. **221-222** κατὰ – λέγονται] Ps.-Dion., De Myst. theol. I; De coel. hier. II; De div. nom. I et II.

**201** περιειληφυῖα] παρειληφέναι[a. corr.] M **212** ἀναρμόστους] ἀναρμόστως M (incompactas Aq.) **220-221** τῷ διαφόρῳ] τῷ διαφόρως M (propter diversum Aq.) **225** νοῶμεν] ὁρῶμεν [a.corr.] M (intelligimus Aq.)

τοιαύτη σοφία οἷαν ἡμεῖς νοῶμεν καὶ ὀνομάζομεν, δυνατὸν ἀληθῶς ἀπαγορεύειν, καὶ ὅταν λέγηται ὁ Θεὸς οὐκ ἔστι σοφός. Αὖθις ἐπεὶ ἡ σοφία οὐκ ἀποφάσκεται τοῦ Θεοῦ ὡσανεὶ αὐτὸς λείποιτο σοφίας, ἀλλ' ὅτι ὑπερβαλλόντως ἔνεστιν ἐν αὐτῷ ὑπὲρ ὃ λέγομεν ἢ νοοῦμεν, διατοῦτο χρὴ λέγειν τὸν Θεὸν εἶναι ὑπέρσοφον. Καὶ οὕτω διὰ τοῦ τρισσοῦ τρόπου τούτου τῆς διαλέξεως καθ' ὃν ὁ Θεὸς λέγεται σοφός, ἐκ περιουσίας ὁ Διονύσιος δίδωσι νοεῖν, ὅπως ἀναθετέον ἂν εἴη ταῦτα τῷ Θεῷ.

[7.5.21] Πρὸς τὸ τρίτον λεκτέον, ὅτι ταῦτα τὰ ὀνόματα λέγονται σημαίνειν τὰς θείας προόδους, καὶ γὰρ πρῶτον τίθενται πρὸς τὸ σημαίνειν αὐτάς· καθὸ δὲ ἐν τοῖς κτίσμασι καὶ ἀπὸ τῆς τούτων ὁμοιότητος χειραγωγεῖται ὁ ἡμέτερος νοῦς, τὰ ὀνόματα ταῦτα τῷ Θεῷ ὑπεροχικοτέρῳ τρόπῳ ἀποδίδωσι.

[7.5.22] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὁ λόγος τοῦ Ὠριγένους, οὐκ ἔστι νοητέος· ὅτι τοῦτο σκοποῦμεν σημαίνειν, ἡνίκα φαμὲν τὸν Θεὸν εἶναι σοφόν, τὸ τὸν Θεὸν εἶναι αἰτίαν σοφίας, ἀλλ' ὅτι ἐκ τῆς σοφίας ἧς ἐστὶν αἰτία, ὁ ἡμέτερος νοῦς ψυχαγωγεῖται, σοφίαν ἐκεῖ ὑπεροχικῶς ἀνάπτειν, ὡς εἴρηται.

[7.5.23] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι, ὁπόταν λέγηται ὁ Θεὸς νοῦς, ὀνομάζεται τῷ ὀνόματι τοῦ ἰδίου αἰτιατοῦ· τὸ γὰρ ὄνομα ὃ τοῦ ἰδίου αἰτιατοῦ τὴν οὐσίαν δηλοῖ, οὐ δύναταί οἱ ὡρισμένως ἀποδίδοσθαι, κατὰ τὸν δηλωτικὸν τρόπον τοῦ ὀνόματος· καὶ ταύτῃ εἰ καὶ ἀμηγέπῃ αὐτῷ προσήκει τοὔνομα, οὐ προσήκει ὅμως αὐτῷ ὡς ὄνομα αὐτοῦ· ὃ γὰρ δηλοῖ τοὔνομα ἔστιν ὁ ὅρος· τῷ αἰτιατῷ δὲ γίγνεται ὡς ὄνομα αὐτοῦ.

[7.5.24] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος δοκιμάζει τὸ τὸν Θεὸν μὴ δύνασθαι ὀνομάζεσθαι ὀνόματι τὴν οὐσίαν αὐτοῦ ὡρισμένῳ καὶ περιλαμβάνοντι, ἢ καὶ τῶν ἰδίων εἴσω μέτρων ποιουμένῳ· ὡδὶ γὰρ ἀγνοοῦμεν περὶ Θεοῦ τί ἐστί.

[7.5.25] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὥσπερ πάντα μετέχει τῆς τοῦ Θεοῦ ἀγαθότητος, οὐ τῆς αὐτῆς τῷ ἀριθμῷ, ἀλλ' ἐν εἰκόσι Θεοῦ, οὕτω μετέχουσι καὶ τοῦ θείου εἶναι ἐν εἰδώλοις τοῦ θείου εἶναι. Ἀλλ' ἐν τούτῳ διενήνοχεν· ἡ μὲν γὰρ ἀγαθότης ἐμφαίνει τινὸς αἰτίας σχέσιν· τὸ γὰρ ἀγαθόν ἐστιν ἐκχυτικὸν ἑαυτοῦ· ἡ δὲ οὐσια δηλοῦται ἐν ἐκείνῳ ῷ ἐστὶν ὡς ἠρεμοῦσα.

**238** αἰτία] αἰτίας M **248** περιλαμβάνοντι] περιλαμβάνειν M

**[7.5.26] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐν τῷ ἀποτελέσματι εὑρίσκεται, καθὸ** P 187r **ἀφομοιοῦται τῇ ἑαυτοῦ | αἰτία, καί τι ἀπέοικε πρὸς τὴν αὐτοῦ αἰτίαν· ὃ συμβαίνει, ἢ ἐκ γῆς ἰδίας ὕλης, ἢ ἐξ ἄλλου τοιούτου, ὥσπερ φαίνεται ἐν τῇ πλίνθῳ τῇ διὰ πυρὸς σκληρυνθείσῃ. Τὸ γὰρ θέρεσθαι τὸν πηλὸν ἀπὸ τοῦ πυρός, τῷ πυρὶ ὁμοιοῦται· ἐν ᾧ δὲ θερόμενος παχύνεται καὶ σκληρύνεται, διαφέρει τοῦ πυρός, καὶ ἔχει τοῦτο ἐκ τοῦ τῆς ὕλης πεφυκότος. Εἰ τοίνυν τοῦθ' ᾧπερ ὁ πηλὸς ἀφομοιοῦται τῷ πυρί, κατὰ τοῦ πυρὸς ῥηθείη, ἰδίως ῥηθήσεται περὶ αὐτοῦ καὶ ὑπεροχικῶς, καὶ κατὰ τὸ πρότερον. Τὸ γὰρ πῦρ θερμότερον τυγχάνει ὂν ἢ ὁ πηλός, καὶ αὖθις κατὰ τὸ κρεῖττον· ἡ γὰρ πλίνθος ἐστὶ θερμὴ θερμανθεῖσα ὡσανεί, τὸ δὲ πῦρ φυσικῶς. Εφαιμενί δὲ τοῦθ' ᾧ ἡ πλίνθος τοῦ πυρὸς διαφέρει, φαμὲν κατὰ τοῦ πυρός, ψεῦδος ἔσται· καὶ τὸ ὄνομα τῶν τοιῶνδε ἀποτελεσμάτων κατὰ τὸν ἴδιον νοῦν θεωρούμενον, κατὰ τοῦ πυρὸς οὐ δύναται λέγεσθαι, εἰ μὴ μεταφορικῶς. Ψεῦδος γάρ ἐστι τὸ πῦρ, ὅπέρ ἐστι τὸ λεπτότατον τῶν σωμάτων παχὺ λέγεσθαι. Σκληρόν τε τὸ πῦρ δύναται λέγεσθαι τῇ βίᾳ τῆς ἐνεργείας, καὶ τῷ μὴ ῥαδίως δύνασθαι πάσχειν. Παραπλησίως τοίνυν ἔνια θεωροῦνται ἐν τῇ κτίσει καθ' ὃ ἀφομοιοῦται τῷ Θεῷ, ἃ ὅσον πρὸς τὸ δηλούμενον πρᾶγμα, οὐδὲν ἀτελὲς σημαίνουσιν· ὥσπερ τὸ εἶναι, τὸ ζῆν, καὶ τὸ νοεῖν, καὶ τὰ ὁμόστοιχα· καὶ ταῦτ' ἰδίως λέγονται περὶ Θεοῦ· μᾶλλον μὲν οὖν καθ' αὐτὸν πρότερον περὶ Θεοῦ καὶ ὑπεροχικωτέρως, ἢ κατὰ τῶν δημιουργημάτων· τινὰ δ' εἰσὶν οἷς ἡ κτίσις διαφέρει τοῦ Θεοῦ προσήκοντα αὐτῇ, ᾗ δὴ ἐστὶν ἐκ τοῦ μηδενός, ὥσπερ δύναμις, στέρησις, κίνησις, καὶ ἄλλ' ἄττα τοιάδε· καὶ ταῦτα ψεύδονται περὶ Θεοῦ. Καὶ ὅσα ὀνόματα ἐν τῷ ἑαυτῷ νῷ, τοιάδε τινὰ ἀποτελέσματα περιέχουσι, περὶ Θεοῦ λέγεσθαι οὐ δύνανται εἰ μὴ μεταφορικῶς, ὥσπερ λέων, λίθος, καὶ τὰ ὡσαύτως, διὰ τὸ ἔχειν ἐν τοῖς ἑαυτῶν ὅροις ὕλην. Λέγονται δὲ ταῦτα μεταφορικῶς διὰ τὴν ὁμοιότητα τοῦ ἀποτελέσματος.**

**[7.5.27] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν ἐκ τοῦ σημαίνοντος οὐσίαν ὁριστικῶς καὶ καθ' ὑπογραφήν. Οὕτω δὲ οὐδὲν τούτων τῶν ὀνομάτων οὐσίαν σημαίνει, ὡς εἴρηται.**

**256** αἰτίαν] οὐσίαν M (causa Aq.) **305** φαμὲν] φαῖμεν P (dicamus Aq.) **320** ἑαυτῶν] ἑαυτοῖς M

**[7.5.28] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι εἰ καὶ αἱ τοιαῦται τελειότητες ἐν τῷ Θεῷ εἰσὶν αὐτὴ ἡ θεία οὐσία, ὅμως ἐν τῇ κτίσει, οὐκ εἰσὶν οὐσιώδεις αἱ προειρημέναι θεῖαι τελειότητες· καὶ διατοῦτο κατὰ ταύτας τὰ κτίσματα οὐ λέγονται ταυτὰ τῷ Θεῷ, ἀλλ' ὅμοια.**

**[7.5.29] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τοῦτο ἐστὶ παρὰ τὴν φύσιν, εἰ ἡ τοῦ αὐτοῦ λόγου σοφία τῇ οὔσῃ συμβεβηκός, ἐν τῷ Θεῷ μὴ εἴη συμβεβηκός·**
P 187v **τοῦτο δ' οὐκ ἔστιν ἀληθές, | ὡς ἐκ τῶν προειρημένων φαίνεται. Οὐ μὴν τὸ εἰσαχθὲν θέσπιμα ἔστι πρὸς τὸ προκείμενον· οὐδὲ γὰρ παρὰ τὴν φύσιν τὶ ποιεῖ, ὁ μηδὲν ἐν ἑαυτῷ ποιῶν.**

**[7.5.30] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ συμπλοκὴ τοῦ τοιούτου ὅρου, ἐφόσον λέγεται ὁ Θεός ἐστιν ἀγαθός, οὐκ ἀναφέρεται πρός τινα συμπλοκὴν οὖσαν ἐν τῷ Θεῷ, ἀλλὰ πρὸς τὴν ἐν τῷ ἡμετέρῳ νῷ οὖσαν σύνθεσιν.**

**[7.5.31] Πρὸς τὸ τρισκεδαίκατον ῥητέον, ὅτι ὁ Θεὸς διαφεύγει τὸ εἶδος τοῦ ἡμετέρου νοῦ, ὡσὰν ὑπερβαῖνον πᾶν εἶδος τοῦ ἡμετέρου νοῦ· οὐχ οὕτω δὲ ὡς τὸν ἡμέτερον νοῦν κατὰ μηδὲν εἶδος νοητὸν τῷ Θεῷ ἀφομοιοῦσθαι.**

**[7.5.32] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἐκ τοῦ τὸν ἡμέτερον νοῦν τῇ θείᾳ οὐσίᾳ μὴ παρισοῦσθαι, τοῦθ' ὅπέρ ἐστιν ἡ θεία οὐσία, διαμένει τὸν ἡμέτερον νοῦν ὑπερβαῖνον, καὶ οὕτως ἔστιν ἄγνωστος ἡμίν· καὶ διατοῦτο ἐκεῖνο ἐστὶν ἔσχατον τῆς ἀνθρώπειας γνώσεως περὶ τοῦ Θεοῦ, τὸ γνῶναι ἑαυτόν, ἀγνοοῦντα τὸν Θεόν, ἐφόσον ἴσμεν, τοῦθ' ὅπέρ ἐστιν ὁ Θεός, πᾶν ὃ περὶ αὐτοῦ νοοῦμεν, ὑπερβαῖνειν.**

**338** ὡσὰν] ὡσᾶν M **345** ὑπερβαῖνειν] ὑπερβαῖνον M (excedere Aq.)

**Κεφάλαιον ἕκτον**

**Πότερον ταῦτα τὰ ὀνόματα εἰσὶ συνώνυμα ἢ οὔ.**

**[7.6.1]Ἕκτον ζητεῖται, πότερον ταῦτα τὰ ὀνόματα εἰσὶ συνώνυμα. Καὶ δοκεῖ ταύτῃ. Συνώνυμα γὰρ ὀνόματα λέγονται τὸ αὐτὸ ἃ πάντῃ σημαίνουσιν. Ἀλλὰ πάντα ταῦτα τὰ ὀνόματα κατὰ Θεοῦ λεγόμενα σημαίνουσι τὸ αὐτό· δηλοῦσι γὰρ τὴν θείαν οὐσίαν, ἥτίς ἐστι πάντῃ ἁπλῆ καὶ μία, ὡς δέδεικται. Πάντα ἄρα ταῦτα τὰ ὀνόματα εἰσὶ συνώνυμα.**

**[7.6.2] Ἔτι, ὁ Δαμασκηνός φησιν ὅτι ἐν τοῖς θείοις πάντα εἰσὶν ἕν, ἄνευ τῆς ἀγεννησίας καὶ τῆς προόδου. Ἀλλὰ τὰ ἓν σημαίνοντα ὀνόματα εἰσὶ συνώνυμα. Πάντ᾽ ἄρα τὰ περὶ Θεοῦ λεγόμενα ὀνόματα, ἄνευ τῶν δηλούντων τὰς προσωπικὰς ἰδιότητας, εἰσὶ συνώνυμα.**

**[7.6.3]Ἔτι, ὅσα ἑνὶ καὶ τῷ αὐτῷ εἰσι τὰ αὐτά, καὶ ἀλλήλοις εἰσὶ τὰ αὐτά. Ἀλλ᾽ ἡ σοφία ἐν τῷ Θεῷ ἐστι τὸ αὐτὸ τῇ οὐσίᾳ· ὡς δὲ καὶ ἡ θέλησις καὶ ἡ δύναμις. Ἡ σοφία ἄρα καὶ ἡ δύναμις καὶ ἡ θέλησις ἐν τῷ Θεῷ πανταχῶς εἰσι ταυτό. Καὶ ταύτῃ ἕπεται πάντα τάδε τὰ ὀνόματα εἶναι συνώνυμα.**

**[7.6.4] Ἀλλ᾽ ἔλεγεν ὅτι, εἰ καὶ ταῦτα τὰ ὀνόματα σημαίνουσι τὶ ἐν τῷ πράγματι, δηλοῦσιν ὅμως λόγους διαφόρους· καὶ διατοῦτο οὐκ εἰσὶ συνώνυμα. Ἀλλὰ τοὐναντίον· ὁ λόγος ᾧ μηδένα ἀποκρίνεται πρᾶγμά τι μάταιόν τι χρῆμα καὶ κενὸν ὑπάρχει. Εἰ τοίνυν οἱ τῶνδε τῶν ὀνομάτων λόγοι εἰσὶ πολλοί, τὸ δὲ τὸ πρᾶγμα ἕν, δοκεῖ τούτους τοὺς λόγους εἶναι κενοὺς καὶ ψευδεῖς.**

**[7.6.5] Ἦ δ᾽ ὃς ὑπολαβών, ὅτι οἱ λόγοι οἵδε οὐκ εἰσὶ κενοί, ἐφόσον ἀποκρίνεταί τι αὐτὸς ὂν ἐν τῷ Θεῷ. Ἀλλ᾽ ἰτέον εὐθύ, κατατοῦτο τὰ κτίσματα** P 188r **τῷ Θεῷ ἀφομοιοῦνται, καθὸ προῆλθον ἀπ᾽ αὐτοῦ, | τῇ τῆς ἰδέας ὁμοιότητι. Ἀλλὰ πλῆθος ἰδεῶν ἢ λόγων ἰδεῶν οὐ θεωροῦνται κατὰ τὰς ἀποβλέψεις τὰς πρὸς τὸν Θεόν· καὶ γὰρ ὁ Θεὸς κατὰ μίαν οὐσίαν ἐστὶν ἰδέα πάντων. Οὐδ᾽ ἄρα τῶν ὀνομάτων οἱ λόγοι, οὓς περὶ τοῦ Θεοῦ φαμεν, ἐκ τῆς τῶν κτισμάτων ὁμοιότητος ἔχουσί τι ἀποκρινόμενον ἐκ τοῦ τῆς θείας οὐσίας μέρους.**

**[7.6.6] Χωρὶς δὲ τούτων, τοῦθ᾽ ὃ μάλιστα ἐστὶν ἕν, οὐχ οἷόν τε εἶναι ῥίζα καὶ ὑπόθεσις πλήθους. Ἀλλ᾽ ἡ θεία οὐσία ἐστὶ μάλιστα ἕν. Οἱ λόγοι ἄρα τῶν προειρημένων ὀνομάτων οὐ δύνανται ἐπὶ τῆς θείας οὐσίας βαίνειν ἢ ἐρριζῶσθαι.**

**8-9** ὁ – προόδου] locum non inveni.

**4** ἃ] deest M (omnia Aq.)

[7.6.7] Ἔτι, τῶν ἀναφορῶν ἡ διάκρισις τῶν οὐσῶν πράγματι ἐν Θεῷ, δημιουργεῖ πλῆθος προσώπων. Εἰ τοίνυν τούτοις τῶν ἀποδιδομένων αὐτῷ τοῖς λόγοις τὶ ἀποκρίνεται ἐν τῷ Θεῷ πράγματι, κατὰ τὸ πλῆθος τῶν ἀποδιδομένων ἔσται καὶ προσώπων πλῆθος ἐν τῷ Θεῷ· καὶ ταύτῃ ἔσται πληθὺς ἐν τῷ Θεῷ, καὶ πρόσωπα πλείω τῶν τριῶν· ὅπέρ ἐστιν αἱρετικόν· καὶ οὕτω δοκεῖ τὸ παράπαν ταῦτα τὰ ὀνόματα εἶναι συνώνυμα.

[7.6.8] Ἀλλὰ τοὐναντίον· ταῦτα τὰ ὀνόματα συνώνυμα ὄντα, ἀλλήλοις συναπτόμενα, ἀδολεσχίαν εἰσάγει· ὥσπερ εἰ λέγοιτο, ἱμάτιον καὶ ἐσθής· εἰ τοίνυν ταυτὶ τὰ ὀνόματα εἴη συνώνυμα, ἔσται ἀδολεσχία ἐπειδὰν λέγηται, ο Θεὸς ἀγαθός, σοφός· ὅπέρ ἐστι ψεῦδος.

[7.6.9] Παρὰ ταῦτα, ὁτιοῦν ἀπαγορεύων τῶν συνωνύμων τινός, ἀπαγορεύει καὶ τὸ λοιπόν. Ἀλλά τινες ἀπεῖπον τὴν αὐτοῦ δύναμιν, οἳ μὴ ἀπειρήκεσαν τὴν αὐτοῦ γνῶσιν, ἢ τὴν αὐτοῦ ἀγαθότητα. Ταῦτ᾽ ἄρα τὰ ὀνόματα, οὐκ εἰσὶ συνώνυμα.

[7.6.10] Ἀπόκρισις. Ῥητέον ὅτι τοῦτο φαίνεται διὰ τοῦ Ὑπομνήματος ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ὅ φησιν ὅτι ταῦτα τὰ ὀνόματα λεγόμενα περὶ τοῦ Θεοῦ, οὐκ εἰσὶ συνώνυμα· οὗ τὴν ἀπόδοσιν, ῥᾴδιόν ἐστιν ὑποστῆναι κατὰ τὰς ἐκείνων δόξας, οἳ ἔλεγον ταῦτα τὰ ὀνόματα, μὴ δηλοῦν τὴν θείαν οὐσίαν, ἀλλά τινας ἐπιβολὰς προσούσας οὐσιώδεις, ἢ τρόπους ἐνεργειῶν ἐν τοῖς ἀποτελέσμασιν, ἢ καὶ τὰς τῶν ποιημάτων ἀποφάσεις. Ὑποτεθέντος δὲ ταῦτα τὰ ὀνόματα δηλοῦν τὴν θείαν οὐσίαν, ὥσπερ ἐν τοῖς ἄνω δέδεικται, ἡ σκέψις περιέχειν δοκεῖ μείζω δυσχέρειαν· ὡδὶ γὰρ εὑρίσκεται ἓν καὶ τὸ αὐτὸ ἁπλοῦν σημαινόμενον διὰ πάντων τούτων τῶν ὀνομάτων, ὅπέρ ἐστιν ἡ θεία οὐσία. Ἰστέον μέντοι, ὅτι ἡ τοῦ ὀνόματος σημασία, οὐκ ἀμέσως φέρεται πρὸς τὸ πρᾶγμα, ἀλλὰ τοῦ νοῦ μεσιτεύοντος· εἰσὶ γὰρ αἱ φωναὶ σύμβολα τῶν ἐν τῇ ψυχῇ παθημάτων· αὐτὰ δὲ τὰ νοήματα, εἰκόνες τῶν πραγμάτων, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τοῖς προοιμίοις τοῦ Περὶ ἑρμηνείας. μὴ εἶναι τοίνυν ὀνόματά τινα συνώνυμα δύναται κωλύεσθαι, ἢ ἐκ τοῦ μέρους τῶν σημαινομένων πραγμάτων, | [P 188v] ἢ ἐκ τοῦ μέρους τῶν νοουμένων λόγων, διὰ τῶν ὀνομάτων οὓς πρὸς τὸ σημαίνεσθαι τὰ ὀνόματα ἐπιτίθενται.

**46-48** φαίνεται – συνώνυμα] Aver., Comm. Metaph. IX, comm. 39 **56-58** εἰσὶ – ἑρμηνείας] Ar., De princ., 16a4.

**49** ταῦτα] τάδε P (haec Aq.)

Τῶν οὖν Περὶ Θεοῦ λεγομένων ὀνομάτων τινὰ συνώνυμα εἶναι κωλύεσθαι οὐ δύνανται τῇ ἑτερότητι τῶν σημαινομένων πραγμάτων κατὰ τὰ προειλημμένα, ἀλλὰ μόνον κατὰ τοὺς λόγους τῶν ὀνομάτων, ἃ ἕπονται τοῖς νοήμασι. Καὶ διατοῦτο φησὶ τὸ Ὑπόμνημα ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι ἡ πληθὺς ἐν τῷ Θεῷ ἐστι μόνον κατὰ τὴν ἐν τῷ νῷ διαφοράν, καὶ οὐκ ἐν τῷ εἶναι· ὅπερ ἡμεῖς φαμὲν ἓν μὲν τῷ πράγματι, πολλὰ δὲ τῷ λόγῳ. Οὗτοι δὲ οἱ διάφοροι λόγοι, ἐν τῷ ἡμετέρῳ νῷ ὑπάρχοντες, οὐ δύνανται τοιοῦτοι λόγοι εἶναι, οἷς μηδὲν ἀποκρίνεται τῷ τοῦ πράγματος μέρει· ταῦτα γὰρ ὧν εἰσὶν οὗτοι οἱ λόγοι, ὁ νοῦς τῷ πράγματι εἴ τοι τῷ Θεῷ ἀποδίδωσιν. Ὅθεν εἰ μηδὲν εἴη ἐν τῷ Θεῷ ἢ καθ' αὐτόν, ἢ κατὰ τὸ αὐτοῦ ἀποτέλεσμα, ὃ τούτοις τοῖς λόγοις ἀποκρίνεται, ὁ νοῦς ἔσται ψευδὴς ὁ ἀποδιδούς, αἵ τε προτάσεις, αἵ τε ἀποδόσεις, αἳ τὰ τοιαῦτα δηλοῦσαι· ὅπέρ ἐστιν ἄτοπον. Εἰσὶ δέ τινες λόγοι, οἷς ἔξωθεν νοουμένῳ πράγματι οὐδὲν ἀποκρίνεται· ἀλλὰ ταῦθ' ὧν εἰσὶν οἱ τοιοῦτοι λόγοι, ὁ νοῦς οὐκ ἀποδίδωσι, πράγμασιν ᾗ δὴ ἐν ἑαυτοῖς εἰσίν, ἀλλὰ καθὸ νοοῦνται· ὥσπερ φαίνεται περὶ τοῦ λόγου τοῦ γένους, καὶ τοῦ εἴδους καὶ τῶν ἄλλων τῶν νοητῶν ἐπιβολῶν· οὐδὲν γάρ ἐστιν ἐν τοῖς ἔξω τῆς ψυχῆς πράγμασιν, οὗ τινος ὁμοιότης ἔστιν ὁ λόγος τοῦ γένους καὶ τοῦ εἴδους· οὔκουν γε μὴν ὁ νοῦς ψευδὴς ὢν τυγχάνει· ταῦτα γὰρ ὧν οὗτοι εἰσὶν οἱ λόγοι, τουτέστι τὸ γένος καὶ τὸ εἶδος, οὐκ ἀποδίδωσι πράγμασι καθὸ εἰσὶν ἔξω τῆς ψυχῆς, ἀλλὰ καθὸ μόνον εἰσὶν ἐν τῷ νῷ. Ὁ γὰρ νοῦς εἰς ἑαυτὸν ἀνακάμπτων, ὥσπερ νοεῖ τὰ ὑφεστῶτα πράγματα ἔξω τῆς ψυχῆς, οὕτω νοεῖ ταῦτα τὰ νοηθέντα· καὶ ταύτῃ καθάπέρ ἐστι νοήματι ἢ λόγος, ᾧ ἀποκρίνεται τὸ πρᾶγμα αὐτὸ τὸ τῆς ψυχῆς ἔξω διατελοῦν, οὕτως ἐστὶ καὶ νόημά τι ἢ λόγος, ᾧ ἀποκρίνεται νοούμενον πρᾶγμα καθὸ τοιοῦτον· ὥσπερ τῷ τοῦ ἀνθρώπου λόγῳ ἢ τῇ τοῦ ἀνθρώπου ἐπινοίᾳ, ἀποκρίνεταί τι πρᾶγμα ἔξω τῆς ψυχῆς· τῷ λόγῳ δὲ ἢ τῇ τοῦ ἀνθρώπου ἐπινοίᾳ, ἀποκρίνεται μόνον τὸ νοούμενον πρᾶγμα. Οὐχ οἷόν τε δὲ εἶναι τοὺς λόγους τῶν Περὶ Θεοῦ λεγομένων ὀνομάτων, μὴ οὕτως ἀποδίδοσθαι τῷ Θεῷ, ὡσὰν ἐν αὐτῷ ὄντας, ἀλλὰ καθὸ νοεῖται· τοῦτο γὰρ ψεῦδος ὂν δείκνυται· εἴη γὰρ ἂν ὁ νοῦς, ἡνίκα λέγεται ὁ Θεὸς ἀγαθὸς εἶναι· ὅτι ὁ Θεὸς οὕτω νοεῖται, οὐ μὲν ὅτι ἐστί. Καὶ διατοῦτο ἔνιοι

**64-67** Καὶ – εἶναι] Aver., Comm. Metaph. XI, comm. 39.

**74** νοουμένῳ] νοούμενον M (intellige πράγματι) **89** ὡσὰν] ὡσᾶν P

**φασίν, ὅτι τούτοις τοῖς διαφόροις λόγοις τῶν ὀνομάτων, ἀποκρίνονται διάφορα συσημαινόμενα, ἃ ἔστι διάφορα τοῦ Θεοῦ ἀποτελέσματα· βούλονται γὰρ δηλοῦν, ἐπειδὰν λέγηται ὁ Θεὸς ἀγαθός, τὴν οὐσίαν αὐτοῦ σὺν γέ τῳ ἀποτελέσματι συσσημαίνεσθαι· ὥστ’ εἶναι τὴν διάνοιαν ὁ Θεὸς** P 189r **ἐστί, καὶ αἰτία τῆς ἀγαθότητος ἐστίν, ὥσπερ | ἡ διαφορὰ τῶν τοιούτων λόγων, τὴν αἰτίαν ἴσχει ἐκ τῆς διαφορᾶς τῶν τοιούτων ἀποτελεσμάτων. Ἀλλὰ τοῦτο ἀτόπως ἔοικε· τοῦ γὰρ ἀποτελέσματος καθ’ ὁμοιότητα προϊόντος τῆς αἰτίας, πρῶτον δεῖ νοεῖσθαι τὴν αἰτίαν ὁποιανοῦν, ἢ τὸ ἀποτέλεσμα τοιόνδε. Οὔκουν τοίνυν σοφὸς ὁ Θεὸς προσαγορεύεται, ὅτι σοφίας ἐστὶν αἰτία, ἀλλ’ ὅτι ἐστὶ σοφός· διατοῦτο καὶ σοφίας ποιητὴς ἐστίν. Ὅθεν ὁ Αὐγουστῖνος φησίν· ὅτι ὁ Θεὸς ἐστίν, ἡμεῖς ἐσμέν· ἐφόσον δὲ ἄκρως ἀγαθός, ἀγαθοί ἐσμέν. Ἔτι τοίνυν κατατοῦτο ἕψεται, κατὰ τὸ πρότερον λέγεσθαι περὶ τῆς κτίσεως ἢ τοῦ Θεοῦ· ὥσπερ ἡ ὑγίεια πρότερον λέγεται περὶ τοῦ ὑγιοῦς, ἢ περὶ τοῦ ὑγιεινοῦ· ὑγιὴς γὰρ λέγεται τῷ λόγῳ, ᾧ ὑγείας ἐστὶ ποιητικόν. Ἔτι, εἰ μηδὲν ἄλλο νοεῖται ὁπόταν λέγηται ὁ Θεὸς ἔστιν ἀγαθός, εἰ μὴ ὅτι ὁ Θεὸς ἐστί, καὶ ἔστιν ἀγαθότητος δημιουργός· ἕψεται τῷ αὐτῷ λόγῳ πάντα τὰ ὀνόματα τῶν θείων ἀποτελεσμάτων, αὐτοῦ δύνασθαι κατηγορεῖσθαι, ὥστε λέγεσθαι τὸν Θεὸν εἶναι οὐρανόν· ὅτι τὲ ἐστί, καὶ ὅτι δημιουργεῖ τὸν οὐρανόν. Καὶ αὖθις εἰ τοῦτο λέγεται ἐκ τῆς κατ’ ἐνέργειαν αἰτίας, νοοῖτο περὶ τῆς κατὰ δύναμιν ἐνεργείας, ὡς λέγεσθαι ἀγαθὸν ὅτι τέ ἐστι καὶ ἔχει φαίνεται εἶναι ψεῦδος· κατὰ γὰρ τοῦτο, οὐ δυνάμεθα λέγειν τὸν Θεὸν ἐξ αἰῶνος εἶναι ἢ σοφόν, ἢ τὶ τοιοῦτον· οὐ γὰρ ἦν ἐξ αἰῶνος αἰτία ἐνεργείᾳ. Εἰ τοῦτον δύναμιν προχυτικὴν ἀγαθότητος, καὶ τηνικαῦτα δεήσει λέγειν, ὅτι τουτὶ τὸ ὄνομα τὸ ἀγαθόν, δηλοῖ τὴν δύναμιν ἐκείνην. Ἐκείνη τε ἡ δύναμις ἔστι τι ὑπερέχον, ἀρχέτυπον τοῦ ἰδίου ἀποτελέσματος, ὥσπερ καὶ ἡτισοῦν δύναμις ποιητικοῦ ὁμωνύμου. Ὅθεν ἕψεται τὸν νοῦν τὸν νοοῦντα τὴν ἀγαθότητα ἀφομοιοῦσθαι πρὸς ἐκεῖνο τὸ ὂν ἐν Θεῷ· καὶ πρὸς τοῦθ’ ὅπέρ ἐστιν ὁ Θεός. Καὶ διατοῦτο ῥητέον ὅτι πάντες οὗτοι οἱ πολλοὶ λόγοι καὶ διάφοροι, ἔχουσί τι ἀποκρινόμενον ἐν αὐτῷ τῷ Θεῷ· οὗτινος πᾶσαι αἵδε αἱ τοῦ νοῦ ἐπίνοιαι, εἰσὶν ἀγάλματα. Συμβαίνει γὰρ ἑνὸς εἴδους μὴ οἷόν τε εἶναι ὅτι μὴ μίαν ὁμοιότητα κατὰ τὸ εἶδος τοῦ αὐτοῦ**

**101-102** ὁ – ἐσμέν] Aug., De doctr. christ. II, cap. 32.

**103** ἢ] deest P (quam Aq.)  **110-113** αἰτίας – τοῦτον] ·,· post αἰτίας et ·,· νοοῖτο – τοῦτον in marg. dex. P

οὖσαν λόγου τῷ εἴδει· δύνανται μέντοιγε εἶναι διάφοραι ὁμοιότητες ἀτελεῖς, ὡς ὁτιοῦν εἶδος ἐνδεῖ πρὸς τὴν ἔμφασιν. Ἐπεὶ τοίνυν, ὡς ἐκ τῶν φθασάντων φαίνεται, αἱ τῶν ἐν τοῖς κτίσμασιν εὑρισκομένων τελειοτήτων ἔννοιαι, εἰσὶν ἀτελεῖς ὁμοιότητες, καὶ οὐ τοῦ αὐτοῦ λόγου· αὐτῇ τῇ θείᾳ οὐσίᾳ, οὐδὲν προσίσταται αὐτὴν τὴν μίαν οὐσίαν πάσαις ταῖς προειρημέναις ἐννοίαις ἀποκρίνεσθαι, ὡσανεὶ δι᾽ αὐτῶν ἀτελῶς παριστανομένην. Καὶ ταύτῃ πάντες μὲν οἱ λόγοι εἰσὶν ἐν τῷ ἡμετέρῳ νῷ, ὥσπερ ἐν ὑποκειμένῳ· ἀλλ᾽ ἐν τῷ Θεῷ ὡς ἀληθεῖς ποιοῦντα ταύτας τὰς ἐννοίας· καὶ οὐ γὰρ ἂν εἶεν εἴη ἀληθεῖς αἱ τοῦ νοῦ ἐπιβολαὶ ἃς ἔχει περὶ τούτου τοῦ πράγματος, εἰ μὴ τῇ ὁδῷ τῆς ὁμοιότητος, ἐκείναις ταῖς ἐννοίαις τὰ πράγματα ἐκεῖνα ἀποκρίνοιντο. Τῆς τοίνυν διαφορᾶς ἢ τῆς πληθῦος τῶν ὀνομάτων τούτων ἔστιν ἡ αἰτία ἐκ τοῦ μέρους τοῦ ἡμετέρου νοῦ, ὃς οὐ δύναται ἐξικνῦσθαι πρὸς τὸ καθορᾶν ἐκείνην

P 188v | τοῦ Θεοῦ τὴν οὐσίαν, ᾗ δὴ ἐστίν, ἀλλ᾽ ὁρᾷ ταύτην ἐν εἰκόσι πολλαῖς τῶν κτισμάτων τῆς ἀκριβείας παρατοσοῦτο λειπομένων, ἀνισχούσαις καθάπερ ἐν κατόπτρῳ. Ὅθεν εἰ τὴν οὐσίαν αὐτὴν καθορῷεν, οὐκ ἂν δέοιντο οὔτε πολλῶν ὀνομάτων, οὔτε πολλῶν νοημάτων· καὶ διατοῦτο ὁ τοῦ Θεοῦ λόγος ὅς ἐστι τελεία κατάληψις αὐτοῦ, οὐκ ἔστιν εἰ μὴ εἷς· διατοῦτο λέγεται ἐν τῷ τοῦ Ζαχαρίου τελευταίῳ· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν· ὅτε ἡ οὐσία αὐτοῦ φανθήσεται, καὶ οὐκ ἂν ἀναλέγοιτο ἡ τούτου κατάληψις ἐκ τῶν κτισμάτων.

[7.6.11] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι εἰ καὶ ταῦτα τὰ ὀνόματα σημαίνει ἕν τι χρῆμα, κατὰ πολλοὺς μέντοι λόγους ὡς εἴρηται· καὶ διατοῦτο οὐκ εἰσὶ συνώνυμα.

[7.6.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Δαμασκηνὸς νοεῖ πάντα ἐν τοῖς θείοις εἶναι ἕν, κατὰ τὸ πρᾶγμα, ἔξω τῶν προσωπικῶν ἰδιοτήτων· αἳ πραγματικὴν διάκρισιν τῶν προσώπων εἰσάγουσιν· οὔκουν γε μὴν ἀπαγορεύει τὰ περὶ Θεοῦ λεγόμενα λόγῳ διαφέρειν, καὶ διατοῦτο ἀπόκρισις ὑποφαίνεται.

[7.6.13] Πρὸς τὸ τρίτον· ὥσπερ γὰρ ἡ ἀγαθότης καὶ ἡ σοφία εἰσὶν ἓν πράγματι μετὰ τῆς θείας οὐσίας, οὕτω καὶ πρὸς ἄλληλα διαφερόντων μέντοιγε τῷ λόγῳ τούτων τῶν ὀνομάτων, ὡς ὑπείπομεν.

**138-140** λέγεται – ἕν] Zach. 14, 9: καὶ ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς καὶ τὸ ὄνομα αὐτοῦ ἕν.

**127** παριστανομένην] παριστανομένων M (repraesentata Aq.) **129** οὐ] deest P (non Aq.) | εἶεν {εἴη M (essent Aq.) **146** πραγματικὴν διάκρισιν] πραγματικῶς διακρίνονται M (realem distinctionem Aq.) **148** ὑποφαίνεται] διαφαίνεται M (differant Aq.) **149** πράγματι] πρᾶγμα M (secundum rem Aq.) **151** ὀνομάτων] deest M (nominum Aq.)

**[7.6.14] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἤδη φαίνεται ἐκ τῶν εἰρημένων, ὅτι εἰ καὶ ὁ Θεὸς ἔστι πάντῃ ἕν, ὅμως αἱ πολλαὶ αὗται ἐπίνοιαι ἢ οἱ λόγοι, οὐκ εἰσὶ ψευδεῖς· πᾶσι γὰρ τούτοις ἀποκρίνεται ἓν καὶ τὸ αὐτὸ πρᾶγμα, ἀτελῶς δι' αὐτῶν δηλούμενον. Εἶεν δ' ἂν ψευδεῖς, εἰ μηδὲν αὐτοῖς ἀποκρίνοιτο.**

**[7.6.15] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι εἰλικρινοῦς μονάδος οὔσης ἐκ τοῦ Θεοῦ μέρους, πλήθους δὲ ἐκ τοῦ τῶν κτισμάτων ὥσπερ ἀνάγκη ἐν τῷ Θεῷ, νοοῦντα τὰ πολλὰ δημιουργήματα, ἓν εἶδος εἶναι νοητὸν κατὰ τὴν οὐσίαν, τὰς δ' ἀποβλέψεις διαφόρους πρὸς τὰ κτίσματα, οὕτω τοῦ ἡμετέρου νοῦ, ἐκ τῆς πληθῦος τῶν κτισμάτων εἰς τὸν Θεὸν ἀνιόντος, ἀνάγκη εἶναι πολλὰ εἴδη ἔχοντα τὰς ἀναφορὰς πρὸς τὸν ἕνα Θεόν.**

**[7.6.16] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι οὗτοι οἱ λόγοι οὐχ ἵδρυνται τῇ θείᾳ οὐσίᾳ ὥσπερ ἐν ὑποκειμένῳ· ἀλλ' ὥσπερ ἐν αἰτίᾳ τῆς ἀληθείας, ἢ ὥσπερ ἐν δηλουμένῳ διὰ πάντων· ὃ οὐκ ἐλαττοῖ τὴν αὐτοῦ ἁπλότητα.**

**[7.6.17] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ πατρότης καὶ ἡ υἱότης ἔχουσιν ἀντίθεσιν πρὸς ἄλληλα· καὶ διατοῦτο ἀπαιτοῦσι πραγματικὴν διάκρισιν τῶν ὑποκειμένων, ἀλλ' οὐχὶ καὶ ἡ ἀγαθότης καὶ ἡ σοφία.**

**154** ἕν] ὄν P (unus Aq.) **157** ὅτι – οὔσης] ἠλικρινοῦς οὔσης δυνάμεις M (omnimoda unitas Aq.) **158** πλήθους] πλῆθος M | δὲ] deest M | νοοῦντα] νοοῦντες M **165** ὃ] deest M (quod Aq.)

## Κεφάλαιον ἕβδομον

## Πότερον ῥηθεῖεν ἂν τὰ τοιαῦτα ὀνόματα κατὰ τοῦ Θεοῦ καὶ τῶν κτισμάτων συνωνύμως ἢ ὁμωνύμως.

[7.7.1] Ἕβδομον ζητεῖται, πότερον τὰ τοιαῦτα ὀνόματα ῥηθεῖεν ἂν κατὰ τοῦ P 190r Θεοῦ | καὶ τῶν κτισμάτων συνωνύμως ἢ ὁμωνύμως. Καὶ δοκεῖ συνωνύμως. Τὸ γὰρ μέτρον καὶ τὸ μετρούμενόν εἰσιν ἑνὸς λόγου. Ἀλλ’ ἡ θεία ἀγαθότης, ἔστι μέτρον πάσης κτιστῆς ἀγαθότητος, καὶ ἡ αὐτοῦ σοφία πάσης σοφίας. Συνωνύμως ἄρα λέγονται περί τε Θεοῦ καὶ τῶν κτισμάτων.

[7.7.2] Ἔτι, ὅμοιά εἰσιν ὅσα κοινωνεῖ κατ’ εἶδος. Ἀλλ’ ἡ κτίσις, δύναται ὁμοιοῦσθαι τῷ Θεῷ· ὃ δῆλον ἐν τῷ τῆς Γενέσεως πρώτῳ· ποιήσωμεν ἄνθρωπον, καὶ τὰ λοιπά. Τῇ κτίσει ἄρα πρὸς τὸν Θεὸν ἔστι τις κοινωνία κατὰ τὸ εἶδος. Κατὰ πάντων δὲ τῶν κοινωνούντων κατὰ τὸ εἶδος, δύναταί τι κατηγορεῖσθαι συνωνύμως. Τοῦ Θεοῦ ἄρα καὶ τῆς κτίσεως δύναταί τι κατηγορεῖσθαι συνωνύμως.

[7.7.3] Ἔτι, τὸ μεῖζον καὶ τὸ ἧττον οὐ ποιοῦσιν ἕτερα τῷ εἴδει. Εἰ τοίνυν ἡ κτίσις καὶ ὁ Θεὸς ἀγαθὸν λέγοιντο, ἐν τούτῳ δοκοῦσι διέχειν, ὅτι ὁ Θεός ἐστιν ἀγαθότερος πάσης τῆς κτίσεως. Ἡ ἀγαθότης ἄρα τοῦ Θεοῦ καὶ τῆς κτίσεως, οὐ διακρίνεται τῷ εἴδει. Καὶ ταύτῃ συνωνύμως τὸ ἀγαθὸν κατηγορεῖται τοῦ Θεοῦ καὶ τῆς κτίσεως.

[7.7.4] Ἔτι, ἐν τοῖς ἑτερογενέσιν οὐ δύναται εἶναι παράθεσις, καθάπερ ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς· οὐ γὰρ παραβλητὴ ἐστὶν ἡ ταχύτης τῆς ἀλλοιώσεως τῇ ταχυτῆτι τῆς κατὰ τόπον κινήσεως. Ἀλλ’ ἐν τῷ Θεῷ καὶ τῇ κτίσει θεωρεῖται τις παράθεσις· λέγεται γὰρ εἶναι ἄκρως ἀγαθός. Ὁ Θεὸς ἄρα καὶ ἡ κτίσις εἰσὶν ὁμογενῆ, καὶ ταύτῃ δύναταί τι αὐτῶν συνωνύμως καταφάσκεσθαι.

[7.7.5] Χωρὶς δὲ τούτων, οὐδὲν γινώσκεται εἰ μὴ διὰ τοῦ εἴδους τοῦ ὁμολόγου· οὐ γὰρ ἡ λευκότης ἡ ἐν τῷ τοίχῳ διὰ τοῦ εἴδους τοῦ ἐν τῷ ὀφθαλμῷ ἡμῶν γνωσθείη, εἰ μὴ εἴη τοῦ αὐτοῦ λόγου. Ἀλλ’ ὁ Θεὸς διὰ τῆς ἑαυτοῦ ἀγαθότητος, γινώσκει πάντα τἀγαθά ὡς δὲ καὶ διὰ τοῦ ἰδίου εἶναι

**10-11** ἐν – λοιπά] Gen. 1, 26: καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ γῆς γῆς. **20-21** ἐν – Φυσικῆς] cf. Ar., Phys. VII, 249a12-21: αἴτιον δ' – ἀδιάφορον.

**7** αὐτοῦ] αὐτὴ a. corr. P **11-12** κατὰ – εἶδος] κατὰ τὶ εἶδος M (in forma Aq.) **15** ποιοῦσιν ἕτερα] ὕστερα M (diversificant Aq.) **24** Hic post ἀγαθός Aq. habet: et creatura est bona. **27** ὁμολόγου] ὀνόματος M (unius rationis Aq.)

γινώσκει πάντα τὰ ὄντα, καὶ περὶ τῶν ἄλλων οὕτως. Ἡ ἀγαθότης ἄρα τοῦ Θεοῦ, καὶ ἡ κτιστή, εἰσὶν ὁμόλογα· ὡδὶ δὲ συνωνύμως τὸ ἀγαθὸν Θεοῦ τε πέρι καὶ κτίσεως κατηγορεῖται.

[7.7.6] Ἔτι, ἡ οἰκία ἡ οὖσα τῇ διανοίᾳ τοῦ τεχνήτου, καὶ ἡ οὖσα ἐν τῇ ὕλῃ εἰσὶ τοῦ αὐτοῦ λόγου. Ἀλλὰ πάντα τὰ κτίσματα προυληλύθασιν ἐκ τοῦ Θεοῦ ὥσπερ τεχνητὰ ἀπὸ τοῦ τεχνήτου. Ἡ οὖσα ἄρα ἐν τῷ Θεῷ ἀγαθότης, ἔστιν ἑνὸς λόγου, μετὰ τῆς ἐν τοῖς κτίσμασιν ἀγαθότητος· καὶ ταύτῃ τὸ πρότερον.

[7.7.7] Ἄνευ δὲ τούτων, πᾶν τὸ ποιοῦν ὁμονύμως ἀναφέρεται πρός τι συνώνυμον. Τὸ πρῶτον οὖν ποιοῦν ὅπέρ ἐστιν ὁ Θεός, ἀνάγκη εἶναι συνώνυμον. Ἀλλὰ περὶ τοῦ ποιοῦντος συνωνύμου καὶ τοῦ ἰδίου αὐτοῦ ἀποτελέσματος, κατηγορεῖταί τι συνωνύμως. Τοῦ Θεοῦ ἄρα καὶ τῆς κτίσεως, κατηγορεῖταί τι συνωνύμως.

[7.7.8] Ἀλλ' ἀντίξοον ἐστί, τὸ ὑπὸ τοῦ Φιλοσόφου λεγόμενον, ἐν τῷ δεκάτῳ
P 190v τῶν Μετὰ τὰ φυσικά· | τῷ αἰωνίῳ, καὶ τῷ ὑπὸ χρόνον, οὐδὲν ἔστιν κοινὸν εἰ μὴ τὸ ὄνομα. Ἀλλ' ὁ μὲν Θεὸς αἰώνιος, ἡ δὲ κτίσις ὑπὸ χρόνον. Τῷ Θεῷ ἄρα καὶ τοῖς κτίσμασιν, οὐδὲν εἶναι κοινὸν δύναται, εἰ μὴ τοὔνομα· καὶ ταύτῃ καταφάσκονται ὁμονύμως τὰ προειρημένα ὀνόματα τοῦ Θεοῦ καὶ τῆς κτίσεως.

[7.7.9] Ἔτι, τοῦ γένους ὄντος μορίου πρώτου τοῦ ὅρου ὑφαιρεθέντος τοῦ γένους, ἀνατρέπεται ὁ ἀποδοθεὶς λόγος διὰ τοῦ ὀνόματος· ὅθεν εἴ τι ὄνομα τίθεται πρὸς τὸ δηλοῦν τὸ ὂν ἐν ἄλλῳ γένει, ἔσται ὄνομα ὁμώνυμον· ἀλλ' ἡ σοφία λελεγμένη περὶ τῆς κτίσεως, ἔστιν ἐν γένει τῆς ποιότητος. Ἐπεὶ τοίνυν ἡ σοφία ἡ λεγομένη περὶ τοῦ Θεοῦ οὐκ ἔστι ποιότης, ὡς ἐν τοῖς ἄνω δέδεικται, δοκεῖ τοῦτο τὸ ὄνομα τὸ τῆς σοφίας, ὁμωνύμως κατηγορεῖσθαι τοῦ Θεοῦ καὶ τῶν κτισμάτων.

[7.7.10] Ἔτι, ἔνθα ἐστὶ μηδεμία ὁμοιότης, ἐκεῖ οὐχ οἷόν τέ τι κοινῶς κατηγορεῖσθαι, εἰ μὴ ὁμωνύμως. Ἀλλ' ἐν τῷ Θεῷ καὶ τῇ κτίσει, οὐδεμία ἐστὶν ὁμοιότης· λέγεται γὰρ ἐν τῷ τοῦ Ἡσαΐου τεσσαρακοστῷ· τίνι ὁμοιώσεταί με, καὶ τὰ λοιπά. Δοκεῖ ἄρα, μηδὲν δύνασθαι κατηγορεῖσθαι περὶ Θεοῦ τῆς κτίσεως συνωνύμως.

**42-44** ὑπὸ – ὄνομα] Ar., Metaph. X, 1050b27 ss. **57-58** λέγεται – λοιπά] Is. 40, 18: τίνι ὡμοιώσατε Κύριον καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν;

[7.7.11] Ἀλλ’ ἔλεγεν ὅτι, εἰ καὶ ὁ Θεὸς οὐ δύναται λέγεσθαι ὅμοιος τῇ κτίσει, ἡ κτίσις ὅμως λέγεται ὁμοία τῷ Θεῷ. Ἀλλ’ ἐναντίον ἐστὶ τὸ λεγόμενον ἐν τοῖς Ψαλμοῖς· ὁ Θεὸς τὶς ὁμοιωθήσεταί σοι, εἴτουν οὐδείς.

[7.7.12] Ἔτι, κατὰ τὸ συμβεβηκός, οὐ δύναταί τι ὅμοιον ὑπάρχειν τῇ οὐσίᾳ. Ἀλλ’ ἡ σοφία ἐν τῇ κτίσει, ἔστι συμβεβηκός, ἐν τῷ Θεῷ δὲ ἔστιν οὐσία. Ὁ ἄνθρωπος ἄρα οὐ δύναται τῇ θείᾳ σοφίᾳ ἀφομοιοῦσθαι, διὰ τῆς ἑαυτοῦ σοφίας.

[7.7.13] Πρὸς τούτοις, ἐπεὶ ἐν τῇ κτίσει ἄλλο ἐστὶ τὸ εἶναι, καὶ ἄλλο ἐστὶ τὸ εἶδος ἢ ἡ φύσις, διὰ τοῦ εἴδους ἢ τῆς φύσεως οὐδὲν ἀφομοιοῦται τούτῳ ὅ ἐστιν εἶναι. Ἀλλ’ ἐκεῖνα τὰ προειρημένα ὀνόματα, περὶ μὲν τῶν κτισμάτων, σημαίνουσί τινα φύσιν, ἢ εἶδος· ὁ δὲ Θεός ἐστιν αὐτὸ τοῦθ’ ὅπέρ ἐστι τὸ ἴδιον εἶναι. Ἄρα διὰ τῶν λεγομένων περὶ τῆς κτίσεως οὐ δύναται αὐτὴ ἡ κτίσις ἀφομοιοῦσθαι τῷ Θεῷ, καὶ ταύτῃ τὸ πρότερον.

[7.7.14] Ἔτι, πλεῖον διαφέρει τῆς κτίσεως ὁ Θεός, ἢ ὁ ἀριθμὸς τῆς λευκότητος. Ἀλλ’ εὔηθές ἐστι τὸν ἀριθμὸν λέγειν ἐοικέναι τῇ λευκότητι, ἢ τὸ ἀνάπαλιν. Πολλῷ ἄρα εὐηθέστερόν ἐστι τινὰ κτίσιν λέγεσθαι ἐοικέναι τῷ Θεῷ, καὶ ταύτῃ τοῦθ’ ὃ πρότερον.

[7.7.15] Ἔτι, τὰ ἀλλήλοις ἐοικότα, εἰς ἕν τι συνίασι· τὰ δὲ μεταβλητὰ καὶ τὰ ἀμετάβλητα, ἐν οὐδενὶ συμβαίνουσι πρὸς ἄλληλα. Ἔστι δὲ ὁ Θεὸς πάντῃ ἀμετάβλητος. Οὐκ ἄρα οἷόν τε εἶναι τινὰ εἰκασίαν Θεοῦ καὶ δημιουργίας.

[7.7.16] Ἀπόκρισις. Ῥητέον, ὅτι ἀδύνατόν ἐστί τι συνωνύμως κατηγορεῖσθαι τοῦ Θεοῦ καὶ τῆς κτίσεως· ὃ σαφὲς ἐντεῦθεν· πᾶν γὰρ ἀποτέλεσμα ποιοῦντος
P 191$^{r}$ συνωνύμου, παρισοῦται | τῇ δυνάμει τοῦ ποιοῦντος. Οὐδεμία δὲ κτίσις, πεπερασμένη οὖσα, δύναται συμπαρεκτείνεσθαι τῇ δυνάμει τοῦ πρώτου ποιοῦντος, ἀπείρῳ οὔσῃ. Ὅθεν ἀδύνατόν ἐστιν ὁμοιότητα Θεοῦ συνωνύμως ἐν τῇ κτίσει ληθφῆναι. Τὸ δ’ αὐτὸ δῆλον· εἰ γὰρ καὶ εἷς εἴη λόγος τοῦ εἴδους τοῦ ὄντος ἔν τε τῷ ποιοῦντι καὶ τῷ ἀποτελέσματι, ὁ διάφορος τοῦ εἶναι μέντοι τρόπος, κωλύει τὴν συνωνυμίαν τῆς κατηγορίας· εἰ γὰρ καὶ ὁ αὐτὸς εἴη λόγος τοῦ οἴκου τοῦ ὄντος ἐν τῇ ὕλῃ, καὶ τοῦ οἴκου τοῦ ὄντος ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου, ὁ αὐτὸς γάρ ἐστι λόγος ἀμφοτέρων, ὅμως οὐ συνωνύμως ἑκατέρου

65 ἀφομοιοῦσθαι] ὁμοιοῦσθαι P (similari Aq.); cf. [7.7.13].72 80 συνωνύμως] συνώνυμον M (univoce Aq.) 82 ποιοῦντος] α’ου ποιοῦντος M (agentis Aq.) 88 τοῦ$^{2}$ – ὄντος deest M 89 τεχνίτου] τεχνήτου M, P

ὁ οἶκος κατηγορεῖται, διὰ τὸ τὸ μὲν εἶδος τοῦ ἐν τῇ ὕλῃ οἴκου εἶναι ὑλικόν, τὸ δὲ ἐν τῇ διανοίᾳ τοῦ τεχνήτου ἄυλον. Δοθέντος τοίνυν κατὰ τὸ ἀδύνατον, τοῦ αὐτοῦ εἶναι λόγου τὴν ἐν Θεῷ καὶ ἀνθρώποις ἀγαθότητα, τὸ ἀγαθὸν ὅμως οὐ συνωνύμως περὶ αὐτοῦ κατηγορηθήσεται· ἐφόσον τὸ μὲν ἐν τῷ Θεῷ ἄυλον καὶ ἁπλοῦν· τὸ δὲ ἐν τῇ κτίσει ὑλικὸν καὶ πολυειδὲς γίνεται. Ἔτι, τὸ ὄν, οὐ λέγεται συνωνύμως κατὰ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος, διὰ τὸ τὴν μὲν οὐσίαν ὑπάρχει ὄν, ὡσανεὶ καθ’ αὑτὴν ἔχουσαν τὸ εἶναι, τὸ δὲ συμβεβηκὸς ὡς οὗ τῷ εἶναι ἐστίν, ἐν τῷ ἐνυπάρχειν. Ἀφ’ οὗ ῥητέον φαίνεται, ὅτι ἡ διάφορος πρὸς τὸ εἶναι σχέσις ἐμποδὼν γίνεται τῇ συνωνυμίᾳ τῆς κατηγορίας τοῦ ὄντος. Ὁ δὲ Θεὸς ἑτέρῳ τρόπῳ ἔχει πρὸς τὸ εἶναι, ἤ τις ἑτέρα κτίσις· αὐτὸς γάρ ἐστι τὸ εἶναι αὐτοῦ, ὃ οὐδεμιᾷ ἑτέρᾳ κτίσει προσήκει. Ὅθεν τὸ ὂν οὐ συνωνύμως τοῦ Θεοῦ καὶ τῶν κτισμάτων κατηγορεῖται· καὶ κατὰ τὸ εἰκὸς οὐδέ τι τῶν ἄλλων κατηγορητῶν, ἐν οἷς ἐστὶ τὸ πρῶτον ὄν. Διαφόρως γὰρ ὑπάρχοντος ἐν τῷ πρώτῳ ἀνάγκη διαφορὰν ἐν τοῖς ἄλλοις εὑρίσκεσθαι· διὸ καὶ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων, οὐδὲν συνωνύμως κατηγορεῖται. Τινὲς δὲ ἄλλως εἰρήκασιν, ὅτι τοῦ Θεοῦ καὶ τῆς κτίσεως οὐδὲν καταφάσκεται ἀναλογικῶς, ἀλλ’ ὁμωνύμως ψιλῶς. Καὶ ταύτης προύστη τῆς δόξης ὁ Ῥαββὶ Μωυσῆς, ὡς ἐκ τῶν αὐτοῦ λόγων φαίνεται. Αὕτη δὲ ἡ δόξα, οὐκ ἂν δύναιτο εἶναι ἀληθής· ἐν γὰρ τοῖς καθαρῶς ὁμωνύμοις, ἅ φησιν ὁ Φιλόσοφος ἀπὸ τύχης ὁμώνυμα, οὐ λέγεταί τι περὶ ἑνὸς κατὰ τὴν πρὸς ἕτερον ἀπόβλεψιν. Πάντα δὲ τὰ περὶ Θεοῦ λεγόμενα καὶ τῶν κτισμάτων, λέγονται περὶ Θεοῦ κατά τινα πρὸς τὰ κτίσματα ἀπόβλεψιν, ἢ τὸ ἀνάπαλιν, ὥσπερ δῆλον ἐν πάσαις ταῖς ἑρμηνείαις ταῖς κειμέναις ἐν τῇ ἀναπτύξει τῶν θείων ὀνομάτων. Ὅθεν ἀδύνατον καθαρὰν εἶναι ὁμωνυμίαν. Ἔτι, ἐπεὶ πᾶσα ἡ ἡμετέρα περὶ Θεοῦ γνῶσις ἐκ τῶν κτισμάτων λαμβάνεται, ἣν μή τις ᾖ κοινωνία εἰ μὴ κατὰ τοὔνομα μόνον, οὐδὲν περὶ τοῦ Θεοῦ εἰσόμεθα, ἀλλ’ ὀνόματα μόνον διάκενα, οἷς πράγματα μὴ ὑπείη. Ἕψεταί τε πάσας τὰς ἀποδείξεις τὰς ὑπὸ τῶν φιλοσόφων ἐκδοθείσας |
P 191v εἶναι σοφιστικάς· οἷον, εἰ λέγοιτο, πᾶν τὸ ὂν ἐν δυνάμει ἀναφέρεσθαι εἰς τὸ ἐνεργείᾳ διὰ τοῦ ὄντος ἐνεργείᾳ, κἀντεῦθεν συμπεραίνοιτο τὸν Θεὸν εἶναι ὂν ἐνεργείᾳ, ἐφόσον διατοῦτο πάντα εἰς τὸ εἶναι παράγεται, ἔσται ἡ τῆς

**109** Πάντα] ταῦτα M (Omnia Aq.) **110** καὶ] ἢ M (et Aq.) **112** κειμέναις] deest M (positas Aq.)

ὁμωνυμίας ἀπάτη· ὡδὶ δὲ καὶ περὶ τῶν ἄλλων ἐφεξῆς. Καὶ παρὰ ταῦτα τὸ αἰτιατὸν χρὴ εἶναι ὁπωσοῦν ὅμοιον τῇ αἰτίᾳ· ὅθεν δεῖ κατὰ τὸν τοῦ αἰτιατοῦ, καὶ τῆς αἰτίας, μὴ καθαρῶς ὁμωνύμως κατηγορεῖσθαι τὰ κατηγορούμενα, ὥσπερ τὸ ὑγιὲς τῆς ἰατρικῆς καὶ τοῦ ζῴου. Καὶ διατοῦτο ἑτέρως ῥητέον, ὅτι τοῦ Θεοῦ καὶ τῆς κτίσεως, οὐδὲν καταφάσκεται συνωνύμως· οὐ μέντοι τὰ κατηγορούμενα καθαρῶς ὁμωνύμως κατηγοροῦνται, ἀλλ' ἀναλογικῶς. Ὅπέρ ἐστι κατὰ τάξιν ἢ ἀπόβλεψιν πρὸς ἕν τι, ἢ διχῇ ἐνδέχεται. Ἑνὶ μέν, καθὸ πολλὰ βλέπει πρὸς ἕν τι, ὥσπερ κατὰ ἀπόβλεψιν πρὸς μίαν τὴν ὑγίειαν, τὸ ζῷον λέγεται ὑγιεινόν, ὡς ταύτης ὑποκείμενον· καὶ ἡ ἰατρική, ὡς ταύτης ποιητικόν· καὶ τὸ σῖτον, ὡς ταύτης φυλακτικόν· καὶ τὸ οὖρος, ὡς σύμβολον ταύτης. Ἑτέρῳ τρόπῳ καθὸ τὶ κατηγορεῖται κατὰ δύο, κατὰ ἀπόβλεψιν τοῦ ἑνὸς πρὸς ἕτερον, ὥσπερ τὸ ὂν κατὰ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος· καὶ θεωρεῖται καθ' ὃ τὸ συμβεβηκὸς πρὸς τὴν οὐσίαν ἔχει τὴν ἀπόβλεψιν, οὐ καθὸ ἡ οὐσία καὶ τὸ συμβεβηκὸς πρός τι τρίτον ἀναφέρεται. Ἐν μὲν δὴ τῷ πρώτῳ τρόπῳ τῆς κατηγορίας ἀνάγκη εἶναι τὶ πρότερον, πρὸς ὃ ταῦτα τὴν ἀπόβλεψιν ἔχει, ὥσπερ ἐν τῇ ὑγείᾳ καὶ τοῖς λεγομένοις ὑγιεινοῖς· ἐν δὲ τῷ δεύτερον οὔ, ἀλλ' ἀνάγκη τὸ ἓν εἶναι πρότερον τοῦ ἑτέρου. Καὶ διατοῦτο ἐπεὶ μὴ ἔστι τι τοῦ Θεοῦ πρότερον, ἀλλ' αὐτὸς ὑπάρχει πρεσβύτερον τῆς κτίσεως, προσήκει ἐν ταῖς θείαις κατηγορίαις, ὁ δεύτερος τρόπος τῆς ἀναλογίας, καὶ οὐχ ὁ πρῶτος. Ἐν τῇ τοιαύτῃ δὲ ἀναλογικῇ κατηγορίᾳ, ἐνίοτε μὲν θεωρεῖται ἡ αὐτὴ τάξις, καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸ πρᾶγμα· ἐνίοτε δέ, οὐχ ἡ αὐτή. Ἡ γὰρ τάξις τοῦ ὀνόματος ἕπεται τῇ τάξει τῆς καταλήψεως· ἔστι γὰρ σύμβολον τῆς νοητῆς καταλήψεως. Ἡνίκα τοίνυν τὸ ὂν πράγματι πρότερον, εὑρίσκεται καὶ τῇ καταλήψει πρότερον. Εὑρίσκεται γὰρ ταυτὸ πρότερον καὶ τῷ τοῦ ὀνόματος λόγῳ, καὶ τῇ φύσει τοῦ πράγματος· ὥσπερ ἡ οὐσία ἔστι προτέρα τοῦ συμβεβηκότος τῇ φύσει, ἐφόσον ἡ οὐσία ἐστὶν αἰτία τοῦ συμβεβηκότος, ἀλλὰ καὶ τῇ καταλήψει· καὶ γὰρ ἐν τῷ ὅρῳ τοῦ συμβεβηκότος παραλαμβάνεται. Διά τοι τοῦτο ὂν λέγεται πρότερον κατὰ τῆς οὐσίας ἢ τοῦ συμβεβηκότος, καὶ κατὰ τὴν φύσιν καὶ κατὰ τὸν τοῦ ὀνόματος λόγον. Ἡνίκα δ' αὖθις, τοῦθ' ὅπέρ ἐστι πρότερον κατὰ τὴν φύσιν, ἔστιν ὕστερον τῇ καταλήψει· τηνικαῦτα ἐν τοῖς

**131-133** καὶ – ἀναφέρεται] deest Aq.

ἀναλογικοῖς, οὐκ ἔστιν ἡ αὐτὴ τάξις κατὰ τὸ πρᾶγμα καὶ κατὰ τὸν τοῦ ὀνόματος λόγον, ὥσπερ ἡ τοῦ ὑγιάζειν δύναμις, ἡ ἐν τοῖς ὑγιεινοῖς οὖσα, προτέρα ἔστι φυσικῶς τῆς οὔσης ἐν τῷ ζῴῳ ὑγιείας, καθάπερ αἰτία τοῦ P 192r ἀποτε|λέσματος. Ἀλλ’ ἐπεὶ ταύτην τὴν δύναμιν διὰ τοῦ ἀποτελέσματος συνορῶμεν, διατοῦτο ἀπὸ καὶ τοῦ ἀποτελέσματος προσαγορεύομεν. Καὶ διατοῦτο ὑγιεινὸν φάρμακον, ἔστι τῇ μὲν τοῦ πράγματος τάξει πρότερον· τὸ δὲ ζῷον ὑγιεινὸν κατὰ τὸ πρότερον ἐπικαλεῖται τῷ λόγῳ τοῦ ὀνόματος· οὕτω τοι δὴ ἐπεὶ ἐκ τῶν ἄλλων ὄντων εἰς τὴν τοῦ Θεοῦ καὶ τῶν ἄλλων ὄντων εἰς τὴν τοῦ Θεοῦ γνῶσιν δικνούμεθα τὰ πράγματα μὲν τῶν ὀνομάτων, τῶν περὶ θεοῦ καὶ τῶν ἄλλων ὄντων λεγομένων, κατὰ τὸ πρότερον εἰσὶν ἐν τῷ Θεῷ τῷ ἰδίῳ αὐτῷ τρόπῳ· ὁ δὲ  τοῦ ὀνόματος λόγος κατὰ τὸ ὕστερον, ὅθεν καλεῖσθαι λέγεται ἀπὸ τῶν ἰδίων κτισμάτων.

[7.7.17] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισι περὶ τοῦ μέτρου ᾧ τὸ μετρούμενον δύναται παρισοῦσθαι, ἢ συμμετρεῖσθαι· τοιοῦτον δὲ μέτρον οὐκ ἔστιν ὁ Θεός, καὶ γὰρ ἐπ’ ἄπειρον παρελαύνει πάντα τὰ ὑπ’ αὐτοῦ μετρούμενα.

[7.7.18] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ ὁμοιότης τῆς κτίσεως, πρὸς τὸν Θεόν, ἐνδεῖ πρὸς τὴν ὁμοιότητα τῶν συνωνύμων δυσί. Πρῶτον μέν, ὅτι οὐκ ἔστι κατὰ μετουσίαν ἑνὸς εἴδους, ὥσπερ δύο θερμὰ μεταλήψει μιᾶς θέρμης· τὸ γὰρ τοῦ Θεοῦ καὶ τῆς κτίσεως κατηγορούμενον, τοῦ μὲν Θεοῦ, κατ’ οὐσίαν κατηγορεῖται· τῆς δὲ κτίσεως, κατὰ μετουσίαν· ὡς ταύτῃ τοιαύτην τὴν πρὸς τὸν Θεὸν ὁμοιότητα νοεῖσθαι, οἷα τοῦ θερμοῦ πρὸς τὴν θέρμην, οὐχ οἷα τοῦ θερμοῦ πρὸς τὸ θερμότερον. Δεύτερον, ὅτι αὐτὸ τὸ εἶδος τὸ μετεχόμενον ἐν τῇ κτίσει ὑστερεῖ τῷ λόγῳ τῆς θείας δυνάμεως, ὥσπερ ἡ θέρμη τοῦ πυρὸς ὑστερεῖ τῆς ἡλιακῆς δυνάμεως, δι’ ἧς τὴν θέρμην ποιεῖ.

[7.7.19] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ μᾶλλον καὶ τὸ ἧττον, τριχῇ δύναται θεωρεῖσθαι, καὶ τοσαυτάκις κατηγορεῖσθαι. Ἑνὶ μὲν τρόπῳ, κατὰ μόνην τὴν ποσότητα τοῦ μετεχομένου· ὥσπερ ἡ χιὼν λέγεται λευκοτέρα τοῦ τοίχου, διὰ τὸ τελεωτέραν εἶναι τὴν ἐν χιόνι λευκότητα, ἢ τὴν ἐν τοίχῳ, ἀλλ’ ὅμως εἰσὶ τοῦ αὐτοῦ λόγου· ὅθεν ἡ τοιαύτη κατὰ τὸ μεῖζον καὶ τὸ ἧττον διαφορά, οὐ

**139-161** Ἐν – κτισμάτων] deest Aq. **150** κατὰ] deest P **157-159** εἰς – ὄντων] deest P **168** εἴδους] εἴδη M (formae Aq.)

διακρίνει τὸ εἶδος. Ἑτέρῳ τρόπῳ, καθὸ τὸ μὲν ἓν μετέχεται, θάτερον δέ, κατ' οὐσίαν λέγεται· ὡσ' ἂν εἰ λέγοιμεν τὴν ἀγαθότητα εἶναι κρείττω, ἢ τὸ ἀγαθόν. Τρίτῳ τρόπῳ, καθὸ ὑπεροχικωτέρῳ τρόπῳ ἔνεστι τὸ αὐτὸ ἐνὶ τινὶ ἢ ἑτέρῳ, ὥσπερ ἡ θέρμη τῷ ἡλίῳ μᾶλλον ἢ τῷ πυρί· οὗτοι δὲ οἱ δύο τρόποι κωλύουσι τὸ ἓν κατὰ τὸ εἶδος καὶ τὴν συνωνυμίαν τῆς κατηγορίας· καθ' οὕς τι κατηγορεῖται μᾶλλον μὲν τοῦ Θεοῦ, ἧττον δὲ τῆς κτίσεως, ὡς ἐκ τῶν προειρημένων φαίνεται.

[7.7.20] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὁ Θεός, οὐ παραβάλλεται τοῖς κτίσμασιν λεγόμενος κρείττων, ἢ ἄκρον ἀγαθόν· οὐ γὰρ μετέχει τῆς φύσεως τοῦ αὐτοῦ P 192v γένους | μετὰ τῶν κτισμάτων, ὥσπερ τοῦ γένους εἶδος, ἀλλ' ἔστιν ὡσανεὶ ἀρχὴ γένους.

[7.7.21] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὅσο τὸ νοητὸν εἶδος κρεῖττον ἐστὶν ἔν τινι, τοσοῦτον ἐντεῦθεν ἐγγίνεται τελειοτέρα γνῶσις· ὥσπερ ἐκ τοῦ ἐν τῷ νῷ εἴδους τοῦ λίθου· ἢ τοῦ ἐν τῇ αἰσθήσει· ὅθεν ὁ Θεὸς κατατοῦτο τελειότατα δύναται γινώσκειν τὰ ὄντα, διὰ τῆς αὐτοῦ οὐσίας· καθὸ ἡ οὐσία αὐτοῦ ἔστιν ὑπερανέχουσα τῶν ὄντων ὁμοιότης, καὶ οὐ πάρισος.

[7.7.22] Πρὸς τὸ ἔκτον ῥητέον, ὅτι ἐν τῷ Θεῷ καὶ τοῖς κτίσμασιν, ἔστι διττὴ ὁμοιότης· μία τῆς κτίσεως πρὸς τὸν θεῖον νοῦν, καὶ ταύτῃ τὸ νοούμενον εἶδος διὰ τοῦ Θεοῦ ἔστιν ἑνὸς λόγου μετὰ τοῦ νοουμένου πράγματος, εἰ καὶ μὴ τὸν αὐτὸν κέκτηται τοῦ εἶναι τρόπον· τὸ μὲν γὰρ νοούμενον εἶδος ἔστι μόνον ἐν τῷ νῷ, τὸ δὲ τῶν κτισμάτων εἶδος πραγματικῶς. Ἑτέρῳ τρόπῳ καθὸ αὐτὴ ἡ θεῖα οὐσία ἔστι πάντων τῶν ὄντων ὁμοιότης ὑπερκειμένη, καὶ οὐ τοῦ αὐτοῦ λόγου. Καὶ ἐκ τούτου τοῦ τρόπου τῆς ὁμοιότητος συμβαίνει τὸ ἀγαθὸν κατηγορεῖσθαι κοινῇ τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, ἀλλ' οὐκ ἐκ τοῦ πρώτου. Οὐ γάρ ἐστιν οὗτος λόγος τοῦ Θεοῦ, δι' ὃν ἀγαθὸς λέγεται, τὸ νοεῖν τὴν τῆς κτίσεως ἀγαθότητα· καίτοι καὶ ἐκ τῶν προειρημένων φαίνεται, ὅτι μὴ δὲ ἡ ἐν τῇ τοῦ τεχνήτου ψυχῇ οἰκίᾳ μετὰ τῆς ἐν τῇ ὕλῃ οἰκίας, συνωνύμως οἰκίᾳ λέγεται.

[7.7.23] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὸ ὁμώνυμον ποιοῦν, ἀνάγκη πρότερον εἶναι τοῦ συνωνύμου ποιοῦντος· τὸ γὰρ ποιοῦν συνώνυμον, οὐκ ἔχει τὴν αἰτίαν δι' ὅλου τοῦ εἴδους, ἄλλως γὰρ καὶ αὐτὸ ἑαυτοῦ αἴτιον ἂν εἴη, ἀλλὰ

**201** ὑπερκειμένη] ὑπερμένη P (superexcellens Aq.)

μόνον ἐπί τι ἄτομον τοῦ εἴδους· τὸ δὲ ὁμώνυμον ποιοῦν, τὴν αἰτίαν ἔχει ἐφ’ ὅλον τὸ εἶδος· ὅθεν χρεὼν τὸ πρῶτον ποιοῦν ὁμώνυμον ὑπάρχειν.

**[7.7.24]** Πρὸς δὲ τὸ πρῶτον τῶν ἐκ τοῦ ἐναντίου ἀνθυποφερομένων, ῥητέον ἂν εἴη, ὅτι ὁ Φιλόσοφος περὶ τῆς φυσικῆς κοινότητος καὶ οὐ τῆς λογικῆς διαλέγεται. Τὰ γὰρ διάφορα ἔχοντα τοῦ εἶναι τὸν τρόπον, οὐκ ἐπικοινωνεῖ ἔν τινι κατὰ τὸ εἶναι ὃ θεωρεῖ ὁ φυσικός· δύνανται μέντοι κοινωνεῖν κατά τινα κοινὴν ἐπιβολὴν ἣν ὁ λογικὸς θεωρεῖ. Καὶ διατοῦτο κατὰ μὲν τὸν φυσικόν, τό τε στοιχειῶδες καὶ οὐράνιον σῶμα, οὐκ εἰσὶν ὁμογενῆ· κατὰ δὲ τὸν λογικὸν ὁμολογεῖται. Οὐχ ἥκιστα μέντοι ὁ Φιλόσοφος οὐ σκοπεῖ τὴν ἀναλογικὴν κοινωνίαν ἀποφάσκειν, ἀλλὰ τὴν συνωνυμικήν. Βούλεται γὰρ δεικνῦναι τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον μὴ κοινωνεῖν ἐν τῷ γένει.

**[7.7.25]** Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι εἰ καὶ ἡ ἑτερότης τοῦ γένους ἀναιρεῖ τὴν συνωνυμίαν, τὴν ἀναλογίαν ὅμως οὐκ ἀναιρεῖ. Ὅπερ οὕτω φαίνεται. Τὸ P 193r γὰρ ὑγιεινόν, ὃ λέγεται περὶ τῶν οὔρων, ἔστιν ἐν τῷ | γένει τοῦ σημείου· καθὸ δὲ λέγεται κατὰ τῆς ἰατρικῆς, ἔστιν ἐν τῷ γένει τῆς αἰτίας.

**[7.7.26]** Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Θεὸς οὐδενὶ τρόπῳ εἶναι ὅμοιος λέγεται τῇ κτίσει, ἀλλὰ ἀνάπαλιν· ὡς γάρ φησιν ὁ Διονύσιος ἐν τῷ ἐνάτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· ἐν τῷ αἰτίῳ καὶ αἰτιατῷ, οὐ λαμβάνομεν τὴν ἀντιστροφὴν τῆς ὁμοιότητος, ἀλλ’ ἐν τοῖς συστοίχοις μόνον· ὁ γὰρ ἄνθρωπος οὐ λέγεται ὅμοιος τῇ ἑαυτοῦ εἰκόνι, ἀλλὰ ἀνάπαλιν, διὰ τὸ εἶδος ἐκεῖνο, καθὸ θεωρεῖται ἡ ὁμοιότης, κατὰ τὸ πρότερον εἶναι ἐν τῷ ἀνθρώπῳ ἢ ἐν τῇ Γραφῇ. Καὶ διατοῦτο οὐ λέγομεν τὸν Θεὸν ὅμοιον τοῖς κτίσμασιν, ἀλλὰ ἀνάπαλιν.

**[7.7.27]** Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι λεγομένου μηδεμίαν κτίσιν εἶναι ὁμοίαν τῷ Θεῷ, ὡς ἐν τῷ αὐτῷ κεφαλαίῳ φησὶν ὁ Διονύσιος, τοῦθ’ ὑποληπτέον καθὸ τὸ αἰτιατὸν μειονεκτεῖ τῆς ἰδίας αἰτίας καὶ μάλιστα τοῦ ὡσὰν ἀπαραβλήτως αὐτοῦ λειπομένῃ. Ὅπερ οὐκ ἔστι κατὰ τὸ ποσόν τοῦ μετεχομένου, ἀλλὰ τοῖς ἑτέροις δυσὶ τρόποις, ὡς εἴρηται ἐν τοῖς ἄνω.

**214-215** ὁ – διαλέγεται] Ar., Metaph. X, 1050b27 ss. **227-229** ὡς – μόνον] Ps.-Dion., De div. nom., cap. 9.

**212** ὁμώνυμον{ὁμωνύμως M (aequivocum Aq.) **218** λογικὸν] λόγον M (logicum Aq.) **229** συστοίχοις] στοιχείοις (coordinatis Aq.) **236** τοῦ] τοῦ Θεοῦ M **237** ὡσὰν] ὡσᾶν P

**[7.7.28] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ συμβεβηκὸς ἕν, οὐδ' ὁτιοῦν ὅμοιον οὐσίᾳ οὐδεμιᾷ εἶναι δύναται τῇ ὁμοιότητι τῇ θεωρουμένῃ κατὰ τὸ ὁμόλογον εἶδος· κατὰ δὲ τὴν ὁμοιότητα τὴν οὖσαν ἐν τῷ αἰτιατῷ καὶ τῷ αἰτίῳ, οὐδὲν κωλύει. Τὴν γὰρ πρώτην οὐσίαν, ἀνάγκη εἶναι αἰτίαν πάντων τῶν συμβεβηκότων.**

**[7.7.29] Ὡς δὲ καὶ πρὸς τὸ ἕκτον ῥητέον.**

**[7.7.30] Πρὸς δὲ τὸ ἕβδομον, ὅτι ἡ λευκότης οὐκ ἔστιν ἀρχὴν τοῦ γένους τοῦ ἀριθμοῦ· καὶ διατοῦτο οὐδεμία ὁμοιότης τοῦ ἑνὸς πρὸς θάτερον θεωρεῖται. Ὁ δὲ Θεὸς ἔστιν ἀρχὴ παντὸς γένους· καὶ διατοῦτο ὅπώς ποτε αὐτῷ πάντα ἀφομοιοῦται.**

**[7.7.31] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισι περὶ τῶν κοινωνούντων ἐν τῷ γένει ἢ τῇ ὕλῃ· ὁποῖον οὐκ ἔστι τοῦ Θεοῦ τὸ πεφυκὸς πρὸς τὰ κτίσματα.**

**240** εἶναι] deest M (esse Aq.) | θεωρουμένῃ] ὁμολογουμένῃ M (quae attenditur Aq.)

## Κεφάλαιον ὄγδοον

## Πότερον ἔστι τις ἀναφορὰ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν δημιουργημάτων ἢ οὔ.

**[7.8.1] Ὄγδοον ζητεῖται, πότερον ἔστι τις ἀναφορὰ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν δημιουργημάτων. Καὶ δοκεῖ μή.** Τὰ **γὰρ** πρός τι τῶν ἅμα **εἰσὶ κατὰ τὸν Φιλόσοφον, ἡ δὲ κτίσις οὐ δύναται ἅμα εἶναι μετὰ τοῦ Θεοῦ· ὁ γὰρ Θεὸς πᾶσι τρόποις ἐστὶ πρότερος τῆς κτίσεως. Οὐδεμία ἄρα ἀναφορὰ ἔστι μεταξὺ Θεοῦ καὶ δημιουργίας.**

**[7.8.2] Ἔτι, ἐν ὁποσοισοῦν ἔστι τις ἀναφορά, ἔστι τις καὶ παράθεσις αὐτῶν πρὸς ἄλληλα. Ἐν δὲ τῷ Θεῷ καὶ τῇ κτίσει οὐκ ἔστι τις παράθεσις. Τὰ γὰρ μὴ ὄντα τοῦ αὐτοῦ γένους οὐκ εἰσὶ παραβλητά· ὥσπερ ἀριθμὸς καὶ γραμμή. Οὐκ ἄρα ἔνεστί τις ἀναφορὰ ἐν τῷ Θεῷ καὶ τοῖς κτίσμασιν.**

**[7.8.3] Ἔτι, ἐν ὁτῳδήποτε γένει ἔστι τι ἓν τῶν πρός τι, ἔστι καὶ θάτερον. Ἀλλ' ὁ**
P 193v **Θεὸς οὐκ ἔστιν ἐν τῷ αὐτῷ γένει, μετὰ τῆς κτίσεως. | Οὐκ ἄρα δύνανται ἀναφορικῶς πρὸς ἄλληλα λέγεσθαι.**

**[7.8.4] Ἔτι, ἡ κτίσις οὐ δύναται ἀντικεῖσθαι τῷ Δημιουργῷ· τὸ γὰρ ἀντικείμενον, οὐκ ἔστιν αἰτία τοῦ ἰδίου ἀντικειμένου. Τὰ δὲ πρός τι, ἀντίκεινται ἀλλήλοις. Οὐκ ἄρα ἔστιν ἀναφορὰ ἐν τῷ Θεῷ καὶ τῇ κτίσει πρὸς ἄλληλα.**

**[7.8.5] Παρὰ ταῦτα, καθ' ὁτούποτε ἄρξεταί τι προσφάτως λέγεσθαι, δύναται λέγεσθαι γεγενημένον. Ἄρ' εἴ τι πρὸς τὸν Θεὸν καὶ τὴν κτίσιν λέγοιτο ἀναφορικῶς, ἕπεται τὸν αὐτὸν τρόπον τινὰ γίνεσθαι, ὅπερ ἀδύνατον ὂν τυγχάνει, ἔστι καὶ γὰρ ἀμετάβλητος.**

**[7.8.6] Ἔτι, πᾶν ὃ κατηγορεῖται τινός, κατηγορεῖται αὐτοῦ ἢ καθ' αὐτὸ ἢ κατὰ συμβεβηκός. Ἀλλὰ τὰ παρεχόμενα ἀναφορὰν πρὸς τὴν κτίσιν οὐ κατηγοροῦνται αὐτοῦ καθ'αὐτά· αἱ γὰρ τοιαῦται κατηγορίαι ἐξ ἀνάγκης καὶ ἀεὶ κατηγοροῦνται. Ἀλλ' οὐ δ' αὖ κατὰ συμβεβηκός. Οὐδ' ὁπωστιοῦν ἄρα ἄττα τοιάδε ἀναφορικὰ τοῦ Θεοῦ κατηγορεῖσθαι δύνανται.**

**[7.8.7] Ἀλλ' ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Αὐγουστίνου εἰρημένον ἐν τῷ Περὶ Τριάδος πέμπτῳ βιβλίῳ, ὅτι** ὁ Δημιουργὸς ἀναφορικῶς λέγεται πρὸς τὴν δημιουργίαν, ὥσπερ ὁ δεσπότης πρὸς τὸν δοῦλον.

**4-5** Τὰ – Φιλόσοφον] Ar., Cat., 7a36-7b15: ὅσα συμβεβηκότα – φύσει εἶναι ; 7a23-24: οὐκ ἐπὶ πάντων δὲ τῶν πρός τι ἀληθὲς δοκεῖ τὸ ἅμα τῇ φύσει εἶναι. **27-29** ὑπὸ – δοῦλον] Aug., De Trin. V, cap. 13, n. 14 (PL 42, col. 920): Nam et creator relative dicitur ad creaturam, sicut dominus ad servum.

**2** ἢ οὔ] deest P **4** μή] bis acc. P **19** εἴ] deest M (si Aq.) **20** αὐτον] Θεὸν M (Deus Aq.)

**[7.8.8] Ἀπόκρισις. Ῥητέον ὅτι ἐν τούτῳ διαφέρουσι τῆς ποσότητος καὶ τῆς ποιότητος τὰ πρός τι, ὅτι αὐτὰ μέν εἰσί τινα συμβεβηκότα ἐν ὑποκειμένῳ μένοντα· τὰ δὲ πρός τι οὐ δηλοῦται, καθ’ ἃ ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος φησίν, ὡς ἐν ὑποκειμένῳ μένοντα, ἀλλ’ ὡς ἐν προόδῳ τινὶ πρὸς ἄλλο· ὅθεν καὶ οἱ Πορετάνοι, τὰ πρός τι εἰρήκασι μὴ εἶναι προσκείμενα, ἀλλὰ παρ’ ὑφεστῶτα· ὅπερ ἀμηγέπη ἀληθὲς ὑπάρχει, ὡς ἐν τοῖς κατόπιν δειχθήσεται. Ὃ δὲ ἀποδίδοταί τινι ὡς ἀπ’ αὐτοῦ εἰς ἄλλο προϊόν, οὐ ποιεῖ σύνθεσιν ἐν αὐτῷ, ὥσπερ οὐδὲ ἡ ἐνέργεια σύνθεσιν ποιεῖ μετὰ τοῦ ἐνεργοῦντος. Καὶ διατοῦτο ἀποδείκνυσιν ὁ Φιλόσοφος ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ὅτι τὰ** πρός τι **οὐ δύναται** εἶναι κίνησις**· ὅτι, ἄνευ μεταβολῆς τοῦ ἀναφερομένου πρὸς τὸ ἕτερον, δυνατὸν γίνεσθαι τὴν ἀναφοράν, καὶ ἐκ μόνης τῆς τοῦ ἑτέρου μεταβολῆς, ὥσπερ καὶ περὶ τῆς ἐνεργείας φαίνεται, οὐ γάρ ἐστι μεταβολὴ κατὰ τὴν ἐνέργειαν, εἰ μὴ μεταφορικῶς καὶ καταχρηστικῶς· ὥσπερ τὸ ἐξιὸν ἐκ τῆς** P 194r **ἐκεχειρίας εἰς τὸ ἐνεργεῖν μεταβάλλειν φαμέν, ὅπερ οὐκ ἂν εἴη, εἰ ἡ ἀναφορὰ ἢ ἡ ἐνέργεια σημαίνοιεν τὶ ἐν ὑποκειμένῳ μένον. Ἐντεῦθεν τοίνυν δῆλον ὅτι οὐκ ἔστιν ἐναντίον τῷ λόγῳ ἁπλοῦ τινός, ἡ τῶν ἀναφορῶν πληθύς, ἡ οὖσα μεταξὺ αὐτοῦ καὶ τῶν ἄλλων· μᾶλλον μὲν οὖν ὅσο ἁπλούστερον ἐστί, τοσοῦτο καὶ μετέχουσιν αὐτοῦ πλείονες ἀναφοραί. Ὅσον γὰρ τί ἐστιν ἁπλούστερον, τοσοῦτον ἡ δύναμις αὐτοῦ ἧττον περιγράφεται, | ὅθεν πρὸς πλέω διατείνεται ἡ αὐτοῦ αἰτία. Διατοῦτο ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται, ὅτι** πᾶσα δύναμις ἑνιαῖα μᾶλλον ἐστὶν ἄπειρος, ἢ ἡ δύναμις ἡ πεπληθυσμένη**. Ἀνάγκη δὲ νοεῖσθαι τινὰ ἀναφορὰν ἐν τῇ ἀρχῇ καὶ τοῖς ἐκ τῆς ἀρχῆς· οὐ μόνον τὴν τῆς προόδου ἀναφορὰν καθὸ τὰ ἠργμένα ἴσχουσιν ἐκ τῆς ἀρχῆς, ἀλλὰ καὶ τὴν τῆς ἑτερότητος· δεῖ γὰρ τὸ ἀποτέλεσμα διαστέλλεσθαι τῆς αἰτίας, ἐφόσον μηδὲν ἐστὶν αἰτία ἑαυτοῦ. Καὶ διατοῦτο ἕπεται τῇ ἄκρᾳ τοῦ Θεοῦ ἁπλότητι, ἀπείρους σχέσεις ἢ ἀναφορὰς εἶναι ἐν αὐτῷ τὲ καὶ τῇ κτίσει· ᾗ δὴ τὰ κτίσματα προάγει διάφορα ἀφ’ ἑαυτοῦ, ὁπητιοῦν ὅμως ἀφομοιωμένα ἑαυτῷ.**

**32-33** τὰ – ἄλλο] Boet., De Trin. V, cap. 13, 14 et 15. **38-39** ἀποδείκνυσιν – κίνησις] Ar., Phys. V, 226a23-26: ἐπεὶ δὲ οὔτε οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποὺ κίνησιν εἶναι μόνον· ἐν ἑκάστῳ γὰρ ἔστι τούτων ἐναντίωσις. **49-50** ἐν – πεπληθυσμένη] Liber de causis, prop. 17: omnis virtus unita plus est infinita quam virtus multiplicata.

**31** τὰ] ὅτι τὰ M **34** προσκείμενα] προσεσχημένα P (inhaerentes Aq.) **40** γίνεσθαι] γενέσθαι M (desinere Aq.) **52** ἴσχουσιν] ἀνίσχουσιν M **53** τὸ ἀποτέλεσμα] τὰ ἀποτελέσματα M (effectum Aq.) **58** ἴσου λόγου] ἴσῳ λόγῳ M

[7.8.9] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐκεῖνα τὰ πρός τι εἰσὶν ἅμα ἀληθῆ, ἃ δι' ἴσου λόγου ἀμοιβαδὸν ἀναφέρονται, ὥσπερ πατὴρ πρὸς τὸν υἱόν, δεσπότης πρὸς τὸν δοῦλον, διπλάσιον πρὸς ἥμισυν. Ἐκεῖνα δὲ τὰ πρός τι οἷς μὴ ἔστιν ὁ αὐτὸς λόγος τοῦ ἀναφέρεσθαι ἐξ ἑκατέρου μέρους, οὐκ εἰσὶν ἅμα ἀληθῆ, ἀλλὰ θάτερον, πρότερον φυσικῶς, ὥσπερ καὶ ὁ Φιλόσοφός φησιν, αἰσθήσεώς τε πέρι καὶ αἰσθητοῦ, ἐπιστήμης, καὶ ἐπιστητοῦ. Καὶ οὕτω φαίνεται προσήκειν μὴ εἶναι τὸν Θεὸν καὶ τὴν κτίσιν ὁμοῦ ἀληθῆ, μὴ τοῦ αὐτοῦ ὄντος λόγου τῆς ἀναφορᾶς, ἐξ ἑκατέρου μέρους. Οὐχ ἥκιστα μέντοι οὐκ ἔστιν ἀναγκαῖον καὶ ἐπ' ἐκείνοις τοῖς πρός τι, ἃ εἰσὶν ἅμα ἀληθῆ, τὸ τὰ ὑποκείμενα εἶναι τῶν ἅμα φυσικῶς, ἀλλ' αἱ ἀναφοραὶ μόνον.

[7.8.10] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐ πάντων ἐστὶ καὶ παράθεσις, ὧν ἔστι καὶ ἀναφορὰ πρὸς ἄλληλα, ἀλλ' ὧν μόνον ἐστὶν ἡ ἀναφορὰ κατὰ μίαν ποσότητα, ἢ ποιότητα· ὡς ἐντεῦθεν δύνασθαι τὸ ἓν λέγεσθαι, θατέρου μεῖζον ἢ κρεῖτον, ἢ λευκότερον, ἥ τι τοιοῦτον. Αἱ δὲ τῶν ἀναφορῶν ἑτερότητες, δύνανται καὶ πρὸς ἀλλήλας ἀνεφέρεσθαι, κἂν ἑτερογενεῖς ὦσι· τὰ γὰρ ἑτερογενῆ, εἰσὶ πρὸς ἄλληλα ἕτερα. Μάλιστα μέντοι ὁ Θεὸς εἰ καὶ μὴ ἔστιν ἐν τῷ αὐτῷ γένει μετὰ τῆς κτίσεως, ὡσὰν ἀπειλημμένος ἐν γένει, ἔστιν ὅμως ἐν πᾶσι τοῖς γένεσιν, ὥσπερ ἀρχὴ γένους· κἀντεῦθεν φαίνεται εἶναί τινα ἀναφορὰν τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, ὥσπερ τῆς ἀρχῆς καὶ τοῦ ἠργμένου. [7.8.11] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι οὐκ ἀνάγκη τὰ ὑποκείμενα τῶν ἀναφορῶν εἶναι ὁμογενῆ, ἀλλ' αὐτὰς μόνον τὰς ἀναφοράς· ὡς φαίνεται ἐν τούτῳ ὃ φαμὲν τὴν ποσότητα ἕτερον εἶναι τῆς ποιότητος· πλὴν ὡς εἴρηται, οὐκ ἔστιν ὁ αὐτὸς λόγος Θεοῦ καὶ δημιουργίας, ὥσπερ τὰ ὄντα ἐν διαφόροις γένεσι, καὶ πρὸς ἄλληλα οὐδενὶ τρόπῳ συνταττόμενα.

[7.8.12] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀντίθεσις τῶν πρός τι δυοῖν διενήνοχε τῶν ἄλλων ἀντιθέσεων· ὧν πρῶτον ἐστίν, ὅτι ἐν μὲν τοῖς ἄλλοις
P 194v ἀντικειμένοις, τὸ ἓν λέγεται ἀντικεῖσθαι τῷ ἑτέρῳ, | ἐφόσον αὐτῷ ἀναιρεῖ· ἡ γὰρ ἀπόφασις, ἀναιρεῖ τὴν κατάφασιν· καὶ κατὰ τοῦτο αὐτῇ ἀντίκειται· ἡ δὲ τῆς στερήσεως καὶ τῆς ἕξεως καὶ τῆς ἐναντιότητος ἀντίθεσις, περιέχουσιν

**73** ὡσὰν] ὡσᾶν P

ἀντίθεσιν ἀντιφάσεως, ὡς ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικὰ λέγεται. Τοῦτο δ’ οὐκ ἔστιν ἐν τοῖς πρός τι· οὐδὲ γὰρ κατατοῦτο ἀντίκειται ὁ υἱὸς τῷ πατρὶ ὥστε ἀναιρεῖν, ἀλλὰ διὰ τὸν λόγον τῆς πρὸς αὐτὸν σχέσεως. Ἐντεῦθεν δὲ δημιουργεῖται, ἡ δευτέρα διαφορά, ὅτι ἐν μὲν τοῖς ἄλλοις ἀντικειμένοις αἰεὶ τὸ ἕτερον ἐστὶν ἀτελές· ὃ συμβαίνει τῷ λόγῳ τῆς ἀποφάσεως, ἣ περιέχεται ἐν τῇ στερήσει, καὶ τῷ ἑτέρῳ τῶν ἐναντίων· ὃ καὶ τοῦτο ἐν τοῖς πρός τι οὐκ ἀνάγκη εἶναι, μάλιστα μὲν οὖν ἑκάτερον θεωρεῖσθαι δύναται ὡς τέλειον, ὥσπερ μάλιστα φαίνεται ἐν τοῖς πρός τι τοῖς ἰσοπαραθέτοις, καὶ τῆς προόδου, ὥσπερ τὸ ἴσον καὶ ὅμοιον, καὶ πατὴρ καὶ υἱός. Καὶ διατοῦτο τὰ πρός τι μᾶλλον δύνανται ἀναφέρεσθαι τῷ Θεῷ, ἤπερ αἱ ἄλλαι ἀντιθέσεις. Καὶ τῷ μὲν λόγῳ τῆς πρώτης διαφορᾶς, δύναται θεωρεῖσθαι ἀντίθεσις τῶν πρός τι ἔν τε τῇ κτίσει καὶ τῷ Θεῷ, ἀλλ’ οὐχ ἑτέρα ἀντίθεσις· ἐστὶ μᾶλλον ἡ τῶν ὄντων θέσις ἔστιν ἐκ τοῦ Θεοῦ, ἢ ἡ τούτων ἀναίρεσις, μετὰ σχέσεως τινὸς αὐτῶν πρὸς αὐτόν. Τῷ δὲ λόγῳ τῆς δευτέρας διαφορᾶς ἐν αὐτοῖς τοῖς θείοις προσώποις, ἐν οἷς οὐδὲν ἀτελὲς οἷόν τε εἶναι, ἡ ἀντίθεσις ἔνεστι τῶν πρός τι, καὶ οὐχ ἕτερα μεταταῦτα δειχθήσεται.

[7.8.13] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τοῦ γίνεσθαι ἰδίως ὄντος μεταβάλλειν, οὐκ ἔστιν ἐν τῇ ἀναφορᾷ γίνεσθαι εἰ μὴ κατὰ συμβεβηκός, εἴτουν μεταβληθέντος τούτου, πρὸς ὃ ἕπεται ἡ ἀναφορά, κατὰ τὸ γίνεσθαι. Τὸ γὰρ σῶμα μεταβαλὸν κατὰ τὸ ποσόν, γίνεται ἴσον, οὐχ ὅτι ἡ μεταβολὴ καθ’ αὑτὴν σκοπεῖ τὴν ἰσότητα, ἀλλ’ ὅτι κατὰ συμβεβηκὸς ἔχει πρὸς αὐτήν. Καὶ ὅμως οὐκ ἀνάγκη πρὸς τὸ ἀναφοράν τινα περὶ ἄλλου προσφάτως λέγεσθαι, γενέσθαί τινα μεταβολὴν ἐν αὐτῷ, ἀλλ’ ἀπόχρη τὸ γενέσθαι μεταβολὴν ἔν τινι τῶν ἄκρων· ἡ γὰρ αἰτία τῆς σχέσεως ἐν τοῖς δυσὶν ἔστι τι προσισχόμενον ὁποτέρῳ. Ὅθεν ἐξ ὁτουδήποτε μέρους γένοιτο μεταβολὴ τοῦ τὴν σχέσιν ποιοῦντος, λαμβάνεται ἡ σχέσις ἡ ἐν ἑκατέροις οὖσα. Καὶ κατατοῦτο, καθὸ μεταβολή τις γίνεται ἐν τῇ κτίσει, ἀναφορὰ περὶ Θεοῦ ἄρχεται λέγεσθαι.

**85-87** ἡ – λέγεται] Ar., Metaph. IV, 1005b25-30: οὐκ ἔστι γὰρ ἀναγκαῖον, ἅ τις λέγει, ταῦτα καὶ ὑπολαμβάνειν˙ εἰ δὲ μὴ ἐνδέχεται ἅμα ὑπάρχειν τῷ αὐτῷ τἀναντία (προσδιωρίσθω δ'ἡμῖν καὶ ταύτῃ τῇ προτάσει τὰ εἰωθότα), ἐναντία δ' ἐστὶδόξα δόξῃ ἡ τῆς ἀντιφάσεως, φανερὸν ὅτι ἀδύνατον ἅμα ὑπολαμβάνειν τὸν αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό.

**89** πρὸς αὐτὸν] πρὸς αυτοῦ M (ad ipsum Aq.) **99** μετὰ σχέσεως] μετασχέσεως M

**Ὅθεν αὐτός, οὐ δύναται λέγεσθαι γεγενημένος, εἰ μὴ μεταβολικῶς, διὰ τὸ ἔχειν καθ’ ὅμοιότητα τοῦ γεγενημένου, ἐφόσον ἔχει τι περὶ αὐτοῦ προσφάτως λεγόμενον. Καὶ οὕτω φαμέν,** Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν**.**

**[7.8.14] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τῶν τοιούτων ἀναφορῶν, περὶ Θεοῦ ἀρχομένων λέγεσθαι διὰ τὴν ἐν τῇ κτίσει γινομένην μεταβολήν, φαίνεται αἰτία τὶ δήποτε κατ’ αὐτοῦ λέγονται, ἐκ τοῦ μέρους τῆς κτίσεως, καὶ κατὰ** P 195r **συμβε|βηκὸς λεγόμεναι κατ’ αὐτοῦ. Ὅπερ οὐκ ἔστι συμβεβηκὸς ἐν αὐτῷ ὄν, ὡς ὁ Αὐγουστῖνος φησίν, ἀλλὰ κατά τι ἔξω αὐτοῦ τελοῦν, ὃ πρὸς αὐτὸν συμβατικῶς παραβάλλεται. Οὐ γὰρ ἤρτηται τὸ εἶναι τοῦ Θεοῦ τῆς κτίσεως, ὥσπερ οὐδὲ τοῦ οἰκοδόμου τὸ εἶναι ἤρτηται τοῦ οἴκου. Ὅθεν ὥσπερ συμβαίνει τῷ τῶν οἴκων ἐργάτῃ τὸ εἶναι τὸν οἶκον, οὕτω τῷ Θεῷ, τὸ εἶναι τὴν κτίσιν. Πᾶν γὰρ φαμὲν κατὰ συμβεβηκὸς ἔχειν, οὗ ἄνευ τοῦτο εἶναι δύναται.**

**116** Καὶ – ἡμῖν] Ps. 89, 1: Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

**114** μεταβολικῶς] μεταβεβηκῶς M; intellige μεταφορικῶς (metaphorice Aq.) **115** τοῦ] deest M **124** τὸ] τῷ M

## Κεφάλαιον ἔνατον

## Πότερον αἱ τοιαῦται ἀναφοραὶ αἱ οὖσαι ἐν τῷ Θεῷ καὶ τῇ κτίσει εἰσὶ πράγματι ἐν αὐτοῖς τοῖς κτίσμασι ἢ οὔ.

[7.9.1]Ἔνατον ζητεῖται, πότερον αἱ τοιαῦται ἀναφοραὶ αἱ οὖσαι ἐν τῷ Θεῷ καὶ τῇ κτίσει εἰσὶ πράγματι ἐν αὐτοῖς τοῖς κτίσμασι. Καὶ δοκεῖ οὐ δῆτα. Τινὰ γὰρ πρός τι εὑρίσκονται, ἐν οἷς ἐξ οὐδενὸς μέρους ἡ ἀναφορὰ πράγματι τίθησιν, ὥσπερ ὁ Ἀβίκενός φησι περὶ τῆς οὔσης ἀναφορᾶς ἐν τῷ ὄντι καὶ μὴ ὄντι. Ἀλλ' οὐδένα ἄκρα ἀναφορῶν μᾶλλον πρὸς ἄλληλα διέχουσιν, ὡς ὁ Θεὸς καὶ ἡ κτίσις. Οὐ τίθησιν ἄρα ἀναφορά τι πράγματι ἐξ οὐδετέρου μέρους.

[7.9.2]Ἔτι, πᾶν ἐκεῖνο ἀπορρητέον ἐστί, πρὸς ὃ ἕπεται ἡ πρόοδος ἐπ' ἄπειρον. Ἀλλ' εἰ ἐν τῇ κτίσει ἡ πρὸς τὸν Θεὸν ἀναφορά, ἔστι τι πρᾶγμα, ἡ πρόοδος, ἔσται ἐπ' ἄπειρον. ἡ γὰρ ἀναφορὰ ἐκείνη ἔσται τι κτιστόν, εἰ ἔστι τι πρᾶγμα· καὶ οὕτως ἔσται ἄλλη τις ἀναφορὰ αὐτῆς πρὸς τὸν Θεὸν τῷ ἴσῳ λόγῳ, καὶ οὕτως ἐπ' ἄπειρον. Οὐκ ἄρα οἰητέον τὴν ἀναφορὰν τῆς κτίσεως πρὸς τὸν Θεὸν εἶναί τι χρῆμα.

[7.9.3]Ἔτι, οὐδὲν ἀναφέρεται εἰ μὴ πρός τι ὡρισμένον καὶ ἕν, ὡς λέγεται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά· ὅθεν τὸ διπλάσιον οὐκ ἀναφέρεται πρὸς ὁτιοῦν, ἀλλὰ πρὸς τὸ ἥμισυ, καὶ ὁ πατὴρ πρὸς τὸν υἱόν· ὡδὶ δὲ καὶ περὶ τῶν ἄλλων. Δεῖ δὴ κατὰ τὴν διαφορὰν τῶν ἀναφερομένων εἶναι καὶ τὴν διαφορὰν τῶν πρὸς ἅ ἐστιν ἡ ἀναφορά. Ἀλλ' ὁ Θεός ἐστιν ἓν ὂν ἁπλοῦν. Οὐκ ἄρ' οἷόν τε πρὸς αὐτὸν γενέσθαι ἀναφοράν τινα πάντων τῶν δημιουργημάτων πραγματώδη.

[7.9.4]Ἔτι, κατὰ τοῦτο ἡ κτίσις ἀναφέρεται πρὸς τὸν Θεόν, καθὸ προΐησιν ἀπ' αὐτοῦ. Ἀλλ' ἡ κτίσις προΐησιν ἀπὸ τοῦ Θεοῦ κατὰ τὴν οὐσίαν αὐτήν. Κατὰ τὴν αὐτοῦ ἄρα οὐσίαν ἀνάγεται εἰς τὸν Θεόν, καὶ οὐ κατά τινα ἀναφορὰν ἐπιγινομένην.

[7.9.5] Ἔτι, ἡ ἀναφορά ἐστι μέσον ἐν τοῖς ἄκροις τῆς ἀναφορᾶς. Ἀλλ' οὐδὲν οἷόν τε εἶναι μέσον πράγματι Θεοῦ καὶ κτίσεως ἀμέσως δημιουργηθείσης ὑπὸ τοῦ Θεοῦ. Ἡ πρὸς τὸν Θεὸν ἄρα ἀναφορά, οὐκ ἔστι τι πρᾶγμα ἐν τῇ κτίσει.

**7** ὥσπερ – ὄντι] Avic., Metaph. IV, cap.10. **16-19** οὐδὲν – ἄλλων] Ar., Metaph. IV, 1020b27-29: Πρός τι λέγεται τὰ μὲν ὡς διπλάσιον πρὸς ἥμισυ καὶ τριπλάσιον πρὸς τριτημόριον, καὶ ὅλως πολλαπλάσιον πρὸς πολλοστημόριον καὶ ὑπερέχον πρὸς ὑπερεχόμενον.

**7, 9** τίθησιν] τίθησί τι M **11** εἰ] ἡ P; Deest M | ἡ] deest P

**[7.9.6] Ἔτι, ὁ Φιλόσοφος ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά φησιν ὅτι, εἰ πάντα τὰ δοκοῦντα εἶεν ἀληθῆ, τὰ πράγματα ἕποιντο ἂν τῇ δόξῃ τῇ ἡμετέρᾳ** P 195v **καὶ τῇ | αἰσθήσει. Ἀλλὰ συμβαίνει πάντα ἕπεσθαι τῇ ὑπολήψει ἢ τῇ ἐπιστήμῃ τοῦ ἑαυτῶν δημιουργοῦ. Τὰ κτίσματα ἄρα οὐσιωδῶς ἀναφέρονται εἰς τὸν Θεόν, καὶ οὐ κατά τινα ἀναφορὰν ἐμπεφυκυῖαν.**

**[7.9.7] Ἔτι, μεῖζόν ἐστι διάστημα μεταξὺ δημιουργίας καὶ Θεοῦ, ἢ ἑνὸς δημιουργήματος πρὸς ἄλλο. Οὐκ ἔστι δὲ ἡ ἀναφορὰ δημιουργήματος, πρὸς δημιούργημά τι πρᾶγμα εἰ δοκεῖ, ἐπεὶ γὰρ μὴ ἔστιν οὐσία συμβεβηκὸς ἐξ ἀνάγκης, καὶ οὕτως ἀνάγκη εἶναι ἐν ὑποκειμένῳ· καὶ μὴ ἀπογίνεσθαι ἄνευ τῆς τοῦ ὑποκειμένου μεταβολῆς· οὗ τὸ ἐναντίον περὶ ἀναφορᾶς προείρηται. Ἄρα οὐδὲ τῆς κτίσεως πρὸς τὸν Θεὸν ἔστι τις ἀναφορὰ πράγματι.**

**[7.9.8] Ἔτι, ὥσπερ τὸ κτιστὸν ὂν διέχει τοῦ μὴ ὄντος ἐπ' ἄπειρον, οὕτω καὶ τοῦ Θεοῦ ἐπ' ἄπειρον διέχει. Ἀλλ' ἐν τῷ κτιστῷ ὄντι καὶ τῷ μὴ ὄντι ψιλῶς, οὐκ ἔστι τις ἀναφορά, ὡς ὁ Ἀβίκενός φησιν. Οὐκ ἄρα οὐδὲ ἐν τῷ κτιστῷ καὶ ἀκτίστῳ ὄντι.**

**[7.9.9] Ἀλλ' ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Αὐγουστίνου λεγόμενον, ἐν τῷ Περὶ Τριάδος πέμπτῳ·** ὅτι ὅπερ χρονικῶς ἄρχεται λέγεσθαι ὁ Θεός, ὃ τέως οὐκ ἐλέγετο, προὖπτον ὂν τυγχάνει ἀναφορικῶς λέγεσθαι, οὐ μέντοι κατὰ συμβεβηκὸς λέγεται**, ὡσανεί αὐτῷ τι συμβαίνει· ἀλλ' ἁπλῶς κατὰ συμβεβηκὸς τούτου πρὸς ὃ λέγεσθαί τι ὁ Θεὸς ἀναφορικῶς ἤρξατο. Ἄρα ἡ ἀναφορὰ ἡ πρὸς τὸν Θεόν, τῆς κτίσεως ἔστι τι πρᾶγμα ἐν τῇ κτίσει.**

**[7.9.10] Ἔτι, πᾶν τὸ πρὸς ἄλλο ἀναφερόμενον τῇ αὐτοῦ μεταβολῇ, πραγματικῶς ἀναφέρεται πρὸς αὐτό. Ἀλλ' ἡ κτίσις ἀναφέρεται πρὸς τὸν Θεόν, τῇ αὐτῆς μεταβολῇ. Πραγματικῶς ἄρα ἀναφέρεται πρὸς τὸν Θεόν.**

**30-32** ὁ – αἰσθήσει] Ar., Metaph. IV, 1010a7-9: ἔτι δὲ πᾶσαν ὁρῶντες ταύτην κινουμένην τὴν φύσιν, κατὰ δὲ τοῦ μεταβάλλοντος οὐθὲν ἀληθευόμενον, περί γε τὸ πάντῃ πάντως μεταβάλλον οὐκ ἐνδέχεσθαι ἀληθεύειν. **43-44** Ἀλλ' – φησίν] Avic., Metaph. IV, cap.11. **46-49** τὸ ὑπὸ – συμβαίνει] Aug., De Trin. V, cap. 16, n. 17 (PL 42, col. 922): Quod ergo temporaliter dici incipit Deus quod antea non dicebatur manifestum est relative dici, non tamen secundum accidens Dei quod ei aliquid acciderit, sed plane secundum accidens eius ad quod dici aliquid Deus incipit relative.

**30** τετάρτῳ] β'ῳ M **35** Hic post Ἔτι Aq. habet: inter quae est maior distantia, minus videtur esse relatio. Sed **40** κτίσεως] κτίσεως ὡς M (homoioteleuton) **43** διέχει] διίσχει P (distat Aq.) **49** ὡσανεί] ὡσᾶν εἰ P **51** Hic post ἤρξατο Aq. habet: Sed accidens res aliqua in subiecto est | ἡ] ἐπειδὴ ἕπεται M

[7.9.10] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡ πρὸς τὸν Θεὸν ἀναφορά, ἔστι πρᾶγμα τι ἐν τῇ κτίσει· οὗ πρὸς ἐνάργειαν ἐπιστητέον ἂν εἴη, ὅτι ὥς φησι τὸ Ὑπόμνημα ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά, τὸ εἶναι τῶν πρός τι ἀδρανέστερόν ἐστι πρὸς τὰς ἄλλας κατηγορίας· διὸ καί τινες ᾠήθησαν εἶναι ἐκ τῶν δευτέρων ἐπινοιῶν. Τὰ γὰρ πρῶτα νοητὰ εἰσὶ πράγματα ἔξω τῆς ψυχῆς, εἰς ἃ πρῶτον ὁ νοῦς ἐφ ᾧ νοῆσαι φέρεται. Δεύτερα δὲ νοητὰ λέγονται αἱ τῷ οὗ νοεῖν τρόπῳ ἑπόμεναι ἐπιβολαί· ταῦτα γὰρ ὁ νοῦς δεύτερα νοεῖ, ἐφόσον εἰς ἑαυτὸν ἀνακάμπτει, νοῶν ἑαυτὸν νοοῦντα καὶ τὸν τρόπον ᾧ νοεῖ. Κατὰ ταύτην τοίνυν τὴν θέσιν, ἕψεται πρός τι μὴ εἶναι ἐν τοῖς οὖσιν ἔξω τῆς ψυχῆς, ἀλλ’ ἐν μόνῳ τῷ νῷ, ὥσπερ ἡ τοῦ γένους καὶ τοῦ εἴδους ἐπίνοια, ἢ τῆς διαφορᾶς. Τοῦτο δὲ εἶναι οὐχ οἷόν τε. Ἐν οὐδεμιᾷ γὰρ κατηγορίᾳ τίθεταί τι, εἰ μή τι ὂν εἴη ἔξω τῆς ψυχῆς ὑφεστῶς· τὸ γὰρ ἐν ἐποινίᾳ ὄν, ἀντιδιαιρεῖται πρὸς τὸ ὂν τὸ ταῖς δέκα κατανονεμημένον κατηγορίαις, ὡς φαίνεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Εἰ τοίνυν τὰ πρός τι μὴ εἴη ἐν τοῖς οὖσιν ἔξω τῆς ψυχῆς, οὐκ ἂν |
P 196r τήροιτο εἴς τι γένος ἓν κατηγορίας. Χωρὶς δὲ τούτων τὸ ἀγαθὸν καὶ ἡ τελειότης ἡ οὖσα ἐν τοῖς οὖσιν ἔξω τῆς ψυχῆς, οὐ μόνον λέγεται κατά τι ἀπολύτως ἐνεργείᾳ ἐνιδρυμένη τοῖς οὖσιν, ἀλλὰ καὶ κατὰ τὴν τάξιν ἑνὸς ὄντος πρὸς ἄλλο· ὥσπερ ἐν τῇ τῶν μερῶν τάξει τοῦ στρατοῦ, τὸ τοῦ στρατοῦ συνέστηκεν ἀγαθόν· ταύτῃ γὰρ ὁ Φιλόσοφος τῇ τάξει, τὴν τοῦ παντὸς παραβάλλει τάξιν, ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Δεῖ δὴ ἐν αὐτοῖς τοῖς οὖσιν, εἶναί τινα τάξιν· αὕτη δὲ ἡ τάξις ἀναφορά τις ἐστίν. Ὅθεν ἀνάγκη ἐν αὐτοῖς τοῖς οὖσιν, εἶναί τινας ἀναφοράς, καθ’ ἃς ἄλλο πρὸς ἄλλο τέτακται. Τάττεται δὲ ἓν πρὸς ἄλλο, ἢ κατὰ τὸ ποσόν, ἢ κατὰ τὴν τοῦ ποιεῖν καὶ πάσχειν δύναμιν. Ἐκ γὰρ μόνοιν τούτοιν τοῖν δυοῖν θεωρεῖται τι ἓν τοῖς ἐπισκοποῦσιν εἴς τι ἐξωτερικόν. Μετρεῖται γάρ τι οὐ μόνον τῇ ἰδίᾳ ποσότητι, ἀλλὰ καὶ τῇ ἐξωτερικῇ· τῇ ποιητικῇ τὲ δυνάμει, ὁτιοῦν εἰς ἄλλο δρᾷ τῇ τε παθητικῇ πάσχει παρ’ ἑτέρου· κατὰ δὲ τὴν οὐσίαν καὶ τὴν ποιότητα, τάττεταί τι πρὸς ἑαυτό, ἀλλ’ οὐ πρὸς ἄλλο, εἰ μὴ κατὰ συμβεβηκός, καθὸ ἡ ποιότης, ἢ τὸ οὐσιῶδες εἶδος· ἢ ἡ ὕλη λόγον ἔχει δυνάμεως ποιητικῆς ἢ παθητικῆς, καὶ καθὸ ἐν αὐτοῖς θεωρεῖται ὁ

**57-59** ὥς – ἐπινοιῶν] Aver., Comm. Metaph. XI, text. 19. **67-69** τὸ – φυσικά] cf. Ar., Metaph. V, 1017a22-27: καθ' αὑτὰ – σημαίνει. **73-75** ὥσπερ – φυσικά] Ar., Metaph. XII, 1075 a 11: Ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ὅλου φύσις τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ καθ' αὑτό, ἢ τὴν τάξιν. ἢ ἀμφοτέρως ὥσπερ στράτευμα; καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον οὗτος· οὐ γὰρ οὗτος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ τοῦτόν ἐστιν.

**62** δεύτερα] δευτέρως M (secundo Aq.) **66** τίθεταί] γίνεταί P (ponitur Aq.) **79** ἐπισκοποῦσιν] ἀποσκοποῦσιν P (attenditur Aq.) **80** τι] deest (aliquid Aq.)

**τοῦ ποσοῦ λόγος, ᾗ δὴ τὸ μὲν ἓν τῇ οὐσίᾳ ποιεῖ ταὐτόν, καὶ τὸ ἓν τῇ ποιότητι, ποιεῖ τὸ ὅμοιον· ὁ δ᾽ ἀριθμὸς καὶ ἡ πληθύς, τὸ ἀνόμοιον καὶ ἕτερον ἐν τοῖς αὐτοῖς, καὶ καθό τι μᾶλλον καὶ ἧττον κακὸν θεωρεῖται· οὕτω γὰρ λευκότερον τὶ ἑτέρου λέγεται. Καὶ διατοῦτο ὁ Φιλόσοφος ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, τὰ εἴδη τῶν πρός τι ἀποδιδούς, ἔνια μὲν τίθησιν, ἐκ τοῦ μέρους τοῦ ποσοῦ, ἔστι δ᾽ ἃ ἐκ τῆς τοῦ ποιεῖν καὶ πάσχειν δυνάμεως. Οὕτω τοίνυν χρεὼν τὰ πρός τι τάξιν ἔχοντα πράγματα, πραγματικῶς ἀναφέρεσθαι πρὸς αὐτά, καὶ τὴν ἀναφοράν, εἶναί τι χρῆμα ἐν αὐτοῖς. Πάντα δὲ τὰ ὄντα τάττονται, πρὸς τὸν Θεόν, καὶ ὡς πρὸς ἀρχήν, καὶ ὡς πρὸς τέλος· ἡ γὰρ τάξις τῶν τοῦ παντὸς πρὸς ἄλληλα μερῶν, ἔστι διὰ τὴν τάξιν τὴν οὖσαν ὅλου τοῦ παντὸς πρὸς τὸν Θεόν, ὥσπερ ἡ τῶν μερῶν τοῦ στρατοῦ τάξις, ἔστι διὰ τὴν τάξιν τοῦ στρατοῦ πρὸς τὸν ἡγεμόνα, ὡς φαίνεται ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ὅθεν ἐχρῆν τὰ ὄντα πραγματωδῶς πρὸς τὸν Θεὸν ἀναφέρεσθαι, καὶ ταύτην τὴν ἀναφορὰν εἶναί τι χρῆμα ἐν τοῖς κτίσμασιν.**

**[7.9.11] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι εἰ ἔστι τις ἀναφορὰ ἐν τοῖς κτίσμασι πρὸς ἄλληλα, ἣ ἐν μήδ᾽ ἑτέρῳ τῶν ἄκρων προστίθησί τι πράγματι, τοῦτο οὐκ ἔστι διὰ τὴν τῶν κτισμάτων διέχειαν, ἀλλὰ διὰ τὸ τὴν ἀναφορὰν ἐκείνην, μὴ θεωρεῖσθαι κατά τινα τάξιν ὑπάρχουσαν ἐν τοῖς οὖσιν, ἀλλὰ κατὰ τὴν ἐν τῷ νῷ τάξιν· ὅπερ τέως, οὐχ οἷόν τε λέγεσθαι, περὶ τῆς πρὸς τὸν Θεὸν τάξεως τῶν ὄντων.**

**[7.9.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι αὗται αἱ ἀναφοραί, οὐκ ἀναφέρονται πρός τι δι᾽ ἄλλης | ἀναφορᾶς, ἀλλὰ καθ᾽ αὑτάς· οὐ γάρ εἰσιν αὐθύπαρκτοι αἱ ἀναφοραί. Οὐκ ἔστι δὲ ὅμοιον περὶ τῶν ἐχόντων ἀπόλυτον τὴν οὐσίαν· ὅθεν**
P 196v **οὐχ ἕπεται ἡ πρόοδος ἐπ᾽ ἄπειρον.**

**[7.9.13] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ Φιλόσοφος ἐκεῖ συμπεραίνει, ὅτι εἰ πάντα πρὸς τὸ ἄριστον ἀναφέρεται, ἀνάγκη εἶναι τὰς ἀντιθέσεις πρὸς ἄπειρον τῷ εἴδει. Καὶ ταύτῃ, πρὸς τοῦθ᾽ ὅπέρ ἐστιν ἄπειρον τῷ εἴδει, οὐδὲν προσίσταται ἄπειρα ἀνάγεσθαι. Τοιοῦτον δέ ἐστιν ὁ Θεός· ἡ γὰρ τελειότης τῆς οὐσίας αὐτοῦ πρὸς ἓν οὐδ᾽ ὁτιοῦν γένος ὁρίζεται, ὡς ἐν τοῖς ἄνω εἴληπται. Καὶ διατοῦτο οὐδὲ κωλύει ἄπειρα κτίσματα πρὸς τὸν Θεὸν ἀνάγεσθαι.**

**[7.9.14] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ κτίσις πρὸς τὸν Θεὸν ἀναφέρεται κατὰ τὴν αὐτοῦ οὐσίαν, ὥσπερ κατὰ αἰτίαν ἀναφορᾶς· κατ᾽ αὐτὴν δὲ τὴν ἀναφορὰν**

**88-90** ὁ – δυνάμεως] Ar., Metaph. V, 1021 a 15 ss. (τὰ δὲ ποιητικὰ…) **93-96** ἡ – φυσικά] vide supra in apparatu fontium [7.9.10].73-75. **109-111** ὁ – εἴδει] Ar., Metaph. IV, 1020b32 ss. (λέγεται δὲ ...)

**86** ποιεῖ] τὶ ποιεῖ M **101** διέχειαν] διίσχειαν M (distantiam Aq.) **105** αὐθύπαρκτοι] αὐθύσακτοι M **105-106** οὐ – ἀναφοραί] quia essentialiter relationes sunt Aq.

**εἰδικῶς· ὥσπέρ τι λέγεται ὅμοιον, κατὰ μὲν τὴν ποιότητα αἰτιατικῶς· κατὰ δὲ τὴν ὁμοιότητα, εἰδικῶς· ἐντεῦθεν γὰρ ἡ κτίσις ὁμοίως παρονομάζεται.**

**[7.9.15] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τῆς κτίσεως λεγομένης ἀμέσως ἀναφέρεσθαι πρὸς τὸν Θεόν, ὑπεξαιρεῖται τὸ μέσον ποιητικὸν αἴτιον· οὐ μέντοι ὑπεξαιρεῖται ἡ ἔμμεσος τῆς ἀναφορᾶς σχέσις, ἥτις φυσικῶς ἕπεται πρὸς τὴν παραγωγὴν τοῦ ποσοῦ ἀδιορίστως, οὕτως ἡ σχέσις τῆς δημιουργίας ἕπεται φυσικῶς, πρὸς τὴν πρόοδον τῆς κτιστῆς οὐσίας.**

**[7.9.16] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὰ κτίσματα ἕπονται τῇ ἐπιστήμῃ τοῦ Θεοῦ ὥσπερ ἀποτελέσματα τῇ αἰτίᾳ, οὐχ ὡς ἰδίῳ τοῦ εἶναι λόγῳ, ὡς ταύτῃ μηδὲν ἕτερον εἶναι τὸ τὴν κτίσιν εἶναι, ἢ τὸ ὑπὸ τοῦ Θεοῦ γινώσκεσθαι. Τούτῳ γὰρ τῷ τρόπῳ ἐτίθεσαν οἱ τιθέμενοι πάντα τὰ δοκοῦντα ἀληθῆ πανταχῶς ἕπεσθαι τῇ δόξῃ καὶ τῇ αἰσθήσει, εἴτουν ἕκαστον τοῦτ᾽ εἶναι τὸ εἶναι, τὸ ἠσθῆσθαι, ἢ**
P 197r **δοξάζεσθαι παρ᾽ ἄλλου.**

**[7.9.17] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι αὐτὴ ἡ ἀναφορὰ ἢ μηδέν ἐστιν ἄλλο, ἢ τάξις ἑνὸς δημιουργήματος πρὸς ἄλλο, ἄλλο μὲν ἔχει τὸ εἶναι ἐφόσον ἐστὶ συμβεβηκός· ἄλλο δὲ ἐφόσον ἐστὶ πρός τι ἢ τάξις· καθὸ γὰρ συμβεβηκός ἐστιν, ἔχει τὸ εἶναι ἐν ὑποκειμένῳ, οὐ καθὸ ἔστι πρός τι, ἢ τάξις· κατὰ γὰρ τοῦτο τὸ μόνον πρὸς ἄλλο ἐστίν, ὡσὰν εἰς ἄλλο μεταβαῖνον, καί πως τῷ πράγματι ἐπὶ τῷ ἀναφερομένῳ. Καὶ οὕτως τὸ πρός τι, ἔστι τι χρῆμα προσφυόμενον, εἰ καὶ μὴ ἐκ τούτου, ὅπέρ ἐστι πρός τι· ὥσπερ καὶ ἡ ἐνέργεια, ἐκ μὲν τοῦ θεωρεῖσθαι ὡς ἀπὸ τοῦ ποιοῦντος οὐκ ἔστι συμβεβηκός· καθὸ δέ ἐστι συμβεβηκός, θεωρεῖται ὡς ἐν ὑποκειμένῳ τῷ ποιοῦντι. Καὶ διατοῦτο οὐδὲν κωλύει, εἶναι δηλοῦν τὸ συμβεβηκός, ἄνευ μεταβολῆς τοῦ ἐν ᾧ ἐστίν· οὐ γὰρ ὁ τοῦδε λόγος ἀπαρτίζεται, ᾗ δὴ ἐστὶν ἐν αὐτῷ τῷ ὑποκειμένῳ, ἀλλ᾽ ᾗ εἰς ἄλλο μεταβαίνει· οὗ ὑφαιρεθέντος ὁ λόγος τοῦ τοιούτου συμβεβηκότος, ἀναιρεῖται μὲν τὸ γ᾽ ἧκον εἰς τὴν ἐνέργειαν, μένει δὲ ὅσον πρὸς τὴν αἰτίαν· | ὥσπερ καὶ τῆς ὕλης ὑπερεξαιρουμένης, ἀναιρεῖται ἡ θέρμανσις· μένει μέντοιγε αἰτία θερμάνσεως.**

**[7.9.18] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ κτιστὸν ὄν, οὐκ ἔχει τάξιν πρὸς τὸ μὴ ὄν· πρὸς δὲ τὸ ἄκτιστον ὂν ἔχει τάξιν· καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.**

**120** Hic post παραγωγὴν Aq. habet creaturae; sicut aequalitas sequitur productionem. **131** ἠσθῆσθαι] ἐσθῆσθαι P (sentiri Aq.) **132** τὸ] τί P **133** ὡσὰν] ὡσᾶν P | μεταβαῖνον] μεταβαίνει M (transiens Aq.) **136** πρὸς – ἐστίν] πράγματι M (ad aliud sit Aq.)

## Κεφάλαιον δέκατον

## Πότερον ὁ Θεὸς πράγματι ἀναφέρεται πρὸς τὴν κτίσιν οὕτως, ὥστε αὐτὴν τὴν ἀναφορὰν εἶναί τι πρᾶγμα ἐν Θεῷ ἢ οὔ.

[7.10.1] Δέκατον ζητεῖται, πότερον ὁ Θεὸς πράγματι ἀναφέρεται πρὸς τὴν κτίσιν οὕτως, ὥστε αὐτὴν τὴν ἀναφορὰν εἶναί τι πρᾶγμα ἐν Θεῷ. Καὶ δοκεῖ ταύτῃ. Τὸ γὰρ κινοῦν πράγματι ἀναφέρεται πρὸς τὸ κινούμενον· ἔνθεν τοι καὶ ὁ Φιλόσοφος ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικὰ τίθησι τὴν ἀναφορὰν τοῦ κινοῦντος καὶ τοῦ κινουμένου ὡς εἴδη τῆς τῶν πρός τι κατηγορίας. Ἀλλ’ ὁ Θεὸς παρεξετάζεται πρὸς τὴν κτίσιν.

[7.10.2] Ἀλλ’ ἔλεγεν, ὅτι κινεῖ τὰ κτίσματα ἄνευ μεταβολῆς ἑαυτοῦ· καὶ διατοῦτο οὐ πραγματωδῶς ἀναφέρεται πρὸς τὴν κτίσιν. Ἀλλὰ τοὐναντίον· τὸ ἓν τῶν ἀναφορικῶς ἀντικειμένων οὐκ ἔστιν αἰτία τοῦ θάτερον λέγεσθαι, κατ’ αὐτοῦ· οὐ γὰρ διατοῦτο τί ἐστι διπλάσιον, ὅτί ἐστιν ἥμισυ, οὐδὲ διατοῦτο ὁ Θεός ἐστι Πατήρ, ὅτι ἐστὶν Υἱός. Εἰ τοίνυν τὸ κινοῦν καὶ κινούμενον ἀναφορικῶς λέγονται, οὐ διατοῦτο ἡ τοῦ κινοῦντος ἀναφορὰ ἔστιν ἔν τινι, ὅτι ἔνεστιν ἐν αὐτῷ ἡ τοῦ κινουμένου ἀναφορά. Ὅτι τοίνυν ὁ Θεὸς οὐ κινεῖται, οὐκ ἐμποδὼν γίνεται τῷ μὴ πράγματι ἀναφέρεσθαι ὡς κινοῦν πρὸς τὸ κινούμενον.

[7.10.3] Ἔτι, ὥσπερ ὁ Πατὴρ δίδωσι τὸ εἶναι τῷ Υἱῷ, οὕτως ὁ Δημιουργὸς δίδωσι τὸ εἶναι τῇ δημιουργίᾳ. Ἀλλ’ ὁ Πατὴρ ἀναφέρεται πραγματικῶς πρὸς τὸν Υἱόν. Καὶ ὁ Δημιουργὸς ἄρα πρὸς τὴν δημιουργίαν.

[7.10.4] Ἔτι, τὰ κατ’ ἐξαίρετον λόγον λεγόμενα τοῦ Θεοῦ καὶ οὐ μεταφορικῶς, πρᾶγμα ἐν τῷ Θεῷ δηλούμενον τιθέασιν. Ἀλλ’ ἐν τῷ τῶν ὀνομάτων τούτῳ καταλόγῳ μέμνηται Διονύσιος τοῦ Κύριος ὀνόματος. Τὸ δηλούμενον τοίνυν διὰ τοῦ Κύριος ὀνόματος, πραγματικῶς ἔνεστιν ἐν τῷ Θεῷ. Τοῦτο δέ ἐστιν ἀναφορὰ πρὸς τὴν κτίσιν. Ἄρα, καὶ τὰ λοιπά.

**7-8** ὁ – κατηγορίας] Ar., Phys. V, 225b10-15: Κατ' οὐσίαν δ' οὐκ ἔστιν κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ τῶν ὄντων ἐναντίον. οὐδὲ δὴ τοῦ πρός τι˙ ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος <ἀληθεύεσθαι καὶ μὴ> ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ δὴ ποιοῦντος καὶ πάσχοντος, ἢ κινουμένου καὶ κινοῦντος, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ' ὅλως μεταβολῆς μεταβολή. **23-24** Ἀλλ’ – ὀνόματος] Ps.-Dion., De div. nom., cap. 1.

**9** Hic post κτίσιν Aq. habet: Ergo refertur realiter ad creaturam. **15** οὐ] καὶ P (non Aq.)

**[7.10.5] Παρὰ ταῦτα, ἡ ἐπιστήμη πράγματι ἀναφέρεται πρὸς** τὸ ἐπιστητόν**, ὡς φαίνεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλ' ὁ Θεὸς παρατίθεται πρὸς τὰ κτιστὰ πράγματα ὡς ἐπιστήμωνι πρὸς τὸ ἐπιστητόν. Ἐν τῷ Θεῷ ἄρα ἔστι τις ἡ ἀναφορὰ πρὸς τὰ κτιστά.**

**[7.10.6] Ἔτι, τοῦθ' ὃ κινεῖται, ἀεὶ κέκτηται πραγματικὴν ἀναφορὰν πρὸς τὸ κινοῦν. Ἀλλ' ἡ βούλησις πρὸς τὸ** βουλητὸν **παραβάλλεται, ὡς τὸ** κινούμεν**ον πρὸς τὸ κινοῦν· ἡ μὲν γὰρ ὄρεξις, |** P 197v **ἔστι τι κινούμενον· τὸ δ'** ὀρεκτόν**, τὶ κινοῦν μὴ κινούμενον, ὡς λέγεται ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἐπεὶ τοίνυν ὁ Θεὸς θέλει τὰ ὄντα εἶναι, πάντα γὰρ ὅσα ἠθέλησεν ἐποίησεν, δοκεῖ πραγματικῶς ἀναφέρεσθαι πρὸς τὴν κτίσιν.**

**[7.10.7] Χωρὶς δὲ τούτων, εἰ μὴ ἀναφέροιτο ὁ Θεὸς πρὸς τὴν κτίσιν, οὐ δοκεῖ εἶναι ἕτερος λόγος, εἰ μὴ ὅτι οὐκ ἐκδέχεται τῆς κτίσεως, καὶ ὅτι ὑπερεκπίπτει τὰ δημιουργήματα. Τὰ δ' οὐράνια σώματα, οὔτε ἤρτηται τῶν στοιχειωδῶν· καὶ μονονουχὶ ἀσυμβλήτως ὑπερίσχουσι· κατὰ τοῦτο τοίνυν ἕψεται μηδεμίαν εἶναι πράγματι ἀναφορὰν τῶν ὑπερκειμένων σωμάτων πρὸς τὰ ὑφειμένα.**

**[7.10.8] Ἔτι, πᾶσα παρωνυμία, ἔστιν ἀπὸ τοῦ εἴδους. Τὸ δ' εἶδος, ἐστί τι ἐμφυόμενον τῷ οὗ ἐστίν. Ἐπεὶ τοίνυν ὁ Θεὸς παρονομάζεται ἀπὸ τῶν πρὸς τὰ κτίσματα ἀναφορῶν, δοκεῖ ταύτας τὰς ἀναφορὰς εἶναί τι ἐν αὐτῷ.**

**[7.10.9] Ἄνευ δὲ τούτων ἡ ἀναλογία, ἀναφορά τις πραγματική ἔστιν, ὥσπερ τὸ διπλάσιον πρὸς τὸ ἥμισυ· ἀλλά τις εἶναι δοκεῖ ἀναλογία τοῦ Θεοῦ πρὸς τὰ κτίσματα· ἐν γὰρ τῷ κινοῦντι καὶ κινουμένῳ δεῖ εἶναί τινα ἀναλογίαν. Ἔοικεν ἄρα τὸν Θεὸν πρὸς τὴν κτίσιν πραγματικῶς ἀναφέρεσθαι.**

**[7.10.10] Ἔτι, ἐπεὶ τὰ νοήματα ἐστὶν εἰκόνες τῶν πραγμάτων,** αἱ **δὲ** φωναὶ σύμβολα τῶν **νοημάτων, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῷ Περὶ ἑρμηνείας, ἄλλως τέτακται ταῦτα πρὸς τὸν μαθητήν, καὶ ἄλλως πρὸς τὸν διδάσκαλον. Ὁ μὲν γὰρ διδάσκαλος, ἄρχεται ἀπὸ τῶν πραγμάτων, ἀφ' ὧν τὴν ἐπιστήμην ἀναιρεῖται, ἐπὶ τοῦ ἰδίου νοῦ, οὗ τὰς ἀνειλημένας ἐννοίας σημαίνουσιν αἱ φωναί· ὁ δὲ**

**27-28** ἡ – φυσικά] Ar., Metaph. V, 1021a25-30: ἔτι ἔνια κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα οὕτω λέγεται, οἷον τὸ ἀόρατον. τὰ μὲν οὖν κατ' ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι πάντα ἐστὶ πρός τι τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ὅ ἐστιν, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς ἐκεῖνο· τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλο πρὸς αὐτὸ λέγεσθαι πρός τι λέγονται. **32-34** ἡ – φυσικά] Ar., Metaph. XII, 1072 a 26-28: κινεῖ δὲ ὧδε τὸ ὀρεκτὸν καὶ τὸ νοητόν· κινεῖ οὐ κινούμενα. τούτων τὰ πρῶτα τὰ αὐτά. ἐπιθυμητὸν μὲν γὰρ τὸ φαινόμενον καλόν, βουλητὸν δὲ πρῶτον τὸ ὂν καλόν. **49-51** ἐπεὶ – διδάσκαλον] Ar., De interpr. I, 16a3-6: Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ. καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι τὰ αὐτά, οὐδὲ φωναὶ αἱ αὐταί.

**39** οὔτε] deest P (non Aq.) **43** τῷ] τοῦ M (ei Aq.) **50** ἐν – ἑρμηνείας] deest M

**μαθητὴς ἀπὸ τῶν φωνῶν ἄρχεται, δι᾽ ὧν εἰς τὰς ἐπινοίας ἀπαντᾷ τὰς ἐν τῷ νῷ τοῦ διδασκάλου· ἐκεῖθεν τε εἰς τὴν τῶν πραγμάτων κατάληψιν. Ἀνάγκη τοίνυν τὰ περὶ τῶν προειρημένων ἀναφορῶν λεγόμενα, παρὰ τοῦ διδασκάλου πρότερον εἰλῆφθαι. Ἄρα τοιαῦτα περὶ τοῦ Θεοῦ ἀναφορικὰ ὀνόματα, ἕπονται τοῖς νοήμασι τοῦ διδασκαλικοῦ νοῦ, ἃ τοῖς πράγμασιν αὖθις ἕπονται· ὡδὶ δὲ δοκεῖ τάυτας τὰς ἀναφορὰς εἶναι πράγματα.**

**[7.10.11] Πρὸς τούτοις τὰ τοιαῦτα ἀναφορικά, ἃ περὶ Θεοῦ λέγονται χρονικῶς, ἢ εἰσὶν ἀναφορικὰ κατὰ τὸ εἶναι, ἢ κατὰ τὸ λέγεσθαι. [Si sunt relativa secundum dici], ἃ ἐν οὐδετέρῳ τῶν ἄκρων τιθέασί τι πράγματι. Τοῦτο δέ ἐστι ψεῦδος κατὰ τὰ προειρημένα· ἐν γὰρ τῇ κτίσει πρὸς τὸν Θεὸν ἀναφερομένη, ὑπάρχουσί τι πράγματι. Λείπεται τοίνυν εἶναι ἀναφορικὰ κατὰ τὸ εἶναι· καὶ ταύτῃ δοκεῖ ἐν ἑκατέρῳ τῶν ἄκρων τὶ τίθεσθαι πραγματωδῶς.**

**[7.10.12] Ἐφ ἅπασι δὲ τούτοις, τοῦτο ἐστὶ τῶν πρός τι, τὸ πεφυκός, τὸ τεθέντος**
P 198r **τοῦ ἑνὸς τίθεσθαι τὸ λοιπόν, καὶ τοῦ ἑνὸς ἀναιρουμένου, ἀναι|ρεῖσθαι καὶ τὸ λοιπόν. Εἰ τοίνυν ἔστι τις ἐν τῇ κτίσει ἀναφορὰ πράγματι ἀνάγκη κἂν τῷ Θεῷ πρὸς τὴν κτίσιν εἶναί τινα πράγματι ἀναφοράν.**

**[7.10.13] Ἀλλ᾽ ἀντίπαλόν ἐστι τὸ ὑπὸ τοῦ Αὐγουστίνου εἰρημένον, ἐν τῷ Περὶ Τριάδος πέμπτῳ·** προὖπτον τυγχάνει ὂν τὸν Θεὸν ἀναφορικῶς λέγεσθαι κατὰ συμβεβηκὸς τούτου, πρὸς ὃ λέγεσθαί τι ὁ Θεὸς ἀναφορικῶς ἤρξατο. **Δοκεῖ ἄρα ταύτας τὰς ἀναφορὰς λέγεσθαι περὶ Θεοῦ, οὐ κατά τι ἐν αὐτῷ ὄν, ἀλλὰ κατά τι παρ᾽ αὐτόν· καὶ οὕτως οὐδὲν πραγματικῶς ἐν αὐτῷ τιθέασιν.**

**[7.10.14] Ἔτι,** ὥσπερ τὸ ἐπιστητὸν μέτρ**ον ὂν διατελεῖ τῆς ἐπιστήμης, οὕτω καὶ ὁ Θεός ἐστι μέτρον πάντων τῶν ὄντων, ὡς τὸ Ὑπόμνημα φησὶν ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλὰ τὸ ἐπιστητόν, οὐκ ἀναφέρεται πρὸς τὴν ἐπιστήμην, κατά τινα ἀναφορὰν οὖσαν ἐν αὐτῷ πραγματικῶς, ἀλλὰ μᾶλλον διὰ τὴν ἀναφορὰν τῆς ἐπιστήμης πρὸς αὐτό, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά. Ἄρα δοκεῖ ὅτι οὐδὲ ὁ Θεὸς ῥηθείη ἀναφορικῶς πρὸς τὴν κτίσιν ἀναφορᾷ τινι οὔσῃ πραγματικῶς ἐν αὐτῷ.**

**70-72** τὸ – ἤρξατο] Aug., De Trin. V, cap. 16, n. 17 (PL 42, col. 922): manifestum est relative dici, non tamen secundum accidens Dei quod ei aliquid acciderit, sed plane secundum accidens eius ad quod dici aliquid Deus incipit relative. **75-77** ὥσπερ – φυσικά] Aver., Comm. Metaph. X. **77-80** τὸ – φυσικά] Ar., Metaph. X, 1021a29-30: τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλο πρὸς αὐτὸ λέγεσθαι πρός τι λέγονται.

[7.10.15] Ἔτι, ὁ Διονύσιός φησιν, ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ περὶ θείων ὀνομάτων· ἐν τῇ αἰτίᾳ καὶ τοῖς αἰτιατοῖς οὐ λαμβάνομεν τὴν ἀντιστροφὴν τῆς ὁμοιότητος· τὸ μὲν γὰρ ἀποτέλεσμα εἶναι ὅμοιον λέγεται τῇ αἰτίᾳ· οὔκουν γε μὴν ἀνάπαλιν. Ὁ αὐτὸς δὲ λόγος εἶναι δοκεῖ περὶ τῆς ἀναφορᾶς τῆς ὁμοιότητος καὶ τῶν ἄλλων ἀναφορῶν. Ἔοικεν ἄρα μηδ' ὅσον κατὰ τὰς ἄλλας ἀναφοράς, γίνεσθαι τὴν ἀντιστροφήν, ἐκ τοῦ Θεοῦ εἰς τὰ δημιουργήματα· ὡσὰν τῆς κτίσεως πραγματικῶς ἀναφερομένης πρὸς τὸν Θεόν, καὶ τὸν Θεὸν πραγματικῶς ἀναφέρεσθαι πρὸς τὴν κτίσιν.

[7.10.16] Ἀπόκρισις. Ῥητέον, ὅτι αἱ ἀναφοραὶ αἱ λεγόμεναι ἐκ τοῦ Θεοῦ πρὸς τὰ δημιουργήματα, οὐκ εἰσὶν ἐν αὐτῷ πράγματι. Οὗ πρὸς παράστασιν, ἰστέον ἂν εἴη, ὅτι ἐπεὶ ἡ πραγματικὴ ἀναφορὰ συνέστηκεν ἐν τῇ τοῦ ἑνὸς πρὸς ἄλλο τάξει ὡς εἴρηται, ἐν ἐκείνοις μόνον ἀμοιβαῖα ἀναφορὰ πραγματικὴ εὑρίσκεται· ἐν οἷς ἐξ ἑκατέρου μέρους ὁ αὐτὸς εὑρίσκεται τῆς τάξεως λόγος, τοῦ ἑνὸς πρὸς θάτερον· ὅπερ εὑρίσκεται ἐν πάσαις ταῖς ἀναφοραῖς ταῖς ἑπομέναις τῇ ποσότητι. Ἐπεὶ γὰρ ἀπὸ τῶν αἰσθητῶν πάντα τὸν τοῦ ποσοῦ λόγον ἀνεμαξάμενα τοῦ αὐτοῦ λόγου οὖσα ὑπάρχει ἡ ποσότης ἡ ἐν πᾶσι τοῖς φυσικοῖς σώμασι, καὶ δι' ἴσου λόγου εἰ τὸ ἓν τῶν ἐχόντων ποσότητα πράγματι ἀναφέρεται πρὸς θάτερον, καὶ τὸ λοιπὸν πρὸς αὐτὸ ἀναφέρεται. Ἔχει δὲ μία ποσότης ἁπλῶς πρὸς ἄλλην θεωρουμένη, κατὰ τὸν τοῦ μέτρου καὶ μετρητοῦ λόγον καὶ κατὰ τὸ ὄνομα τοῦ μέρους καὶ ὅλου, καὶ τῶν ἄλλων τῶν ὁμολόγων ἃ ἕπεται τῇ ποσότητι. Ἐν δὲ ταῖς ἀναφοραῖς ταῖς ἑπομέναις τῇ δράσει καὶ
P 198v πείσει, ἢ τῇ ποιοτικῇ δυνάμει καὶ παθητικῇ, οὐκ ἔστιν ἡ τάξις | ἀεὶ ἀμοιβαῖα ἐξ ἑκατέρου μέρους. Δεῖ γὰρ ὁτίποτε ἀεὶ ἔχει λόγον πάσχοντος καὶ κινουμένου, ἢ αἰτία τοῦ τάξιν ἔχειν πρὸς ποιοῦν ἢ κινοῦν, ἐφόσον ἀεὶ τὸ ἀποτέλεσμα ἀποτελεῖται ἐκ τῆς αἰτίας, καὶ ἤρτηται αὐτῆς· ὅθεν καὶ τάττεται πρὸς αὐτήν, ὡς πρὸς ἴδιον τελειωτικόν. Τὰ ποιοῦντα δὲ ἢ τὰ κινοῦντα ἢ καὶ αἰτίαι, ἐνίοτε ἔχουσι τάξιν πρὸς τὰ πάσχοντα, ἢ τὰ κινούμενα, ἢ τὰ αἰτιατά, ἐφόσον δηλαδὴ ἐν αὐτῇ τῇ δράσει, ἢ τῇ πείσει ἢ τῇ κινήσει ἐγγινομένοις, θεωρεῖται τι ἀγαθὸν καὶ τελειότης τοῦ κινοῦντος ἢ ποιοῦντος· ὥσπερ μάλιστα διαφαίνεται ἐν τοῖς συνωνύμοις ποιητικοῖς, ἃ τῇ ἐνεργείᾳ τοῦ ἰδίου εἴδους,

**82-85** ὁ – ἀνάπαλιν] Ps.-Dion., De div. nom., cap. 9, n. 7 (PG 3, col. 913D, Ritter p. 212): ἐπὶ δὲ τοῦ αἰτίου καὶ τῶν αἰτιατῶν οὐκ ἀποδεξόμεθα τὴν ἀντιστροφήν.

**88** ὡσὰν] ὡσ' ἂν et bis acc. P **101** λόγον] λόγος a. corr. P **105** τοῦ] τοῦ αἰτιατοῦ M

τὴν ὁμοιότητα ἐνστίζουσι, καὶ κατὰ τὸ εἰκὸς τὸ εἶναι τοῦ ἰδίου εἴδους, ἀίδιον ὡς ἐνδεχόμενον συντηροῦσι. Τοῦτο τὲ αὐτὸ δείκνυται καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα κινούμενα κινεῖ, ἢ ποιεῖ πρὸς ὁμώνυμα· φύσις γὰρ ἐξ αὐτῆς τῆς ἰδίας κινήσεως τάττεται πρὸς τὸ προάγειν ἀποτελέσματα· ὡσαύτως καὶ ἐν ἅπασιν, ἐν οἷς ὁτιδήποτε ἀγαθὸν τῆς αἰτίας ἀνίσχει, ἐκ τοῦ ἀποτελέσματος. Ἔνια δ’εἰσὶ πρὸς ἃ τὰ ποιοῦντα τὴν τάξιν ἔχει, καὶ οὐκ ἀνάπαλιν· εἰσὶ γὰρ παντάπασιν ἐξωτερικὰ τοῦ γένους τῶν ἐνεργειῶν ἢ τῶν δυνάμεων, αἷς ἕπεται ἡ τοιάδε τάξις· ὥσπερ καταφαίνεται ἐν τῇ ἐπιστήμῃ ἢ πρὸς τὸ ἐπιστητὸν ἀναφέρεται· τὸ γὰρ ἐπιστάμενον διὰ τῆς νοερᾶς ἐνεργείας, τὴν τάξιν ἔχει πρὸς τὸ ἐπιστητὸν πρᾶγμα, ὅπέρ ἐστιν ἔξω τῆς ψυχῆς. Αὐτὸ δὲ τὸ ὂν πρᾶγμα ἔξω τῆς ψυχῆς, οὐκ ἔστιν οἷοντε πάσχειν τῇ τοιαύτῃ ἐνεργείᾳ, ἐφόσον ἡ τοῦ νοῦ ἐνέργεια οὐ μεταβαίνει πρὸς τὴν ἐξωτερικὴν ἐνέργειαν, ἐφ ᾧ μεταβάλλειν τὸ ἐξωτερικὸν ἐκεῖνο πρᾶγμα· ὅθεν καὶ αὐτὸ τὸ ἔξω τῆς ψυχῆς ὄν, πάντα ἔστιν, ἔξω τοῦ τῆς νοήσεως γένους. Καὶ διατοῦτο ἡ ἑπομένη ἀναφορὰ τῇ ἐνεργείᾳ τοῦ νοῦ, οὐ δύναται εἶναι ἐν ἐκείνῃ. Ὁ δ’ αὐτὸς λόγος ἐστὶ καὶ αἰσθήσεως πέρι καὶ αἰσθητοῦ· μεταβάλλει γὰρ τὸ ὄργανον ἡ αἴσθησις τῇ αὐτῆς ἐνεργείᾳ· καὶ διατοῦτο ἔχει τὴν ἀναφορὰν πρὸς τὸ αἰσθητόν, ὥσπερ καὶ τὰ ἄλλα τὰ φυσικῶς ποιοῦντα, πρὸς τὰ πάσχοντα ὑπ’ αὐτῶν· ἡ μέντοι ἀλλοίωσις τοῦ ὀργάνου, οὐ τελειοῖ τὴν αἴσθησιν, ἀλλὰ τελειοῦται, διὰ τῆς ἐνεργείας τῆς αἰσθητικῆς δυνάμεως, ἧς τὸ ἔξω τῆς ψυχῆς, αἰσθητόν ἐστι πάντῃ ἀπείρατον. Ὁμοίως τὲ ὁ ἄνθρωπος παραβάλλεται πρὸς τὴν κίονα ὡς δεξιός, τῷ λόγῳ τῆς ἐνούσης αὐτῷ κινητικῆς δυνάμεως, καθ’ ἣν προσήκει αὐτῷ τὸ δεξιὸν ἢ λαιόν, τὸ ἔμπροσθεν καὶ ὄπισθεν, τὸ ἄνω καὶ κάτω. Ἔνθεν τοι καὶ αἱ τοιαῦται ἀναφοραὶ ἐν τῷ ἀνθρώπῳ ἢ τῷ ζῴῳ εἰσὶ πράγματι, ἀλλ’ οὐκ ἐν τῷ πράγματι τὸ τοιᾶσδε δυνάμεως χηρεῦον. Ἔχει δ’ ὡς καὶ τὸ νόμισμα ἔστι καὶ γὰρ ἔξω τοῦ γένους ἐκείνης | P 199r τῆς ἐνεργείας, δι’ ἧς τίμημα γίνεται, ἤ τίς ἐστι συμφώνησις ἔν τισιν ἀνθρώποις· ὅ τε ἄνθρωπος ἔξω τοῦ γένους τῶν τεχνικῶν ἐνεργειῶν ἐστί, δι’ ὧν αὐτῷ εἰκὼν γίγνεται. Διά τοι τοῦτο, οὔθ’ ὁ ἄνθρωπος ἀναφορὰν ἔχει πραγματικὴν πρὸς τὴν αὐτοῦ εἰκόνα, οὔτε τὸ νόμισμα ὅταν

**115** ἰδίας] μίας M (suo Aq.) **122** τοιαύτῃ] αὐτῇ M (tali Aq.) **135-136** ἀλλ’ – πράγματι] deest P (non autem in re Aq.) **141** γίνηται] γένηται M

**τίμημα γίνηται, ἀλλ’ ἀνάπαλιν. Ὁ δὲ Θεός, οὐ ποιεῖ δι’ ἐνεργείας μεσιτευούσης, ἣ νοοῖτο ἂν ἀπὸ τοῦ Θεοῦ προϊοῦσα, καὶ εἰς τὴν κτίσιν τελευτῶσα· ἀλλ’ ἡ αὐτοῦ ἐνέργεια ἐστὶν ἡ αὐτοῦ οὐσία, καὶ ὅ τί ποτε ἐν αὐτῷ ἐστίν, ἔστιν ἔξω πάντῃ τοῦ γένους τοῦ κτιστοῦ εἶναι, δι’ οὗ ἡ κτίσις ἀναφέρεται πρὸς αὐτόν. Οὐδ’ αὖθις αὖ τι ἀγαθὸν περιγίγνεται τῷ Δημιουργῷ, ἐκ τῆς τῶν ὄντων παραγωγῆς· διὸ μᾶλλον ἡ τούτου ἐνέργεια, ἐλευθέριος ἐστίν, ὡς καὶ ὁ Ἀβίκενός φησι. Φαίνεταί τε μὴ μεταβάλλειν κατὰ τὸ ποιεῖν, ἀλλ’ ἄνευ πάσης αὐτοῦ μεταβολῆς ποιεῖν τὰ μεταβλητά. Ὅθεν λείπεται μηδεμίαν εἶναι αὐτοῦ πραγματικὴν ἀναφορὰν πρὸς τὴν κτίσιν, εἰ καὶ τῆς κτίσεως εἴη πρὸς αὐτόν, ὥσπερ τοῦ ἀποτελέσματος πρὸς τὴν αἰτίαν. Ἐν τούτῳ δὲ ὑφίεται ὁ Ἀβίκενος, ὅτι βούλεται ἀποδεικνῦναι, μὴ εἶναι ἀναφορὰν ἐν τῷ Θεῷ καὶ τοῖς κτίσμασιν, ὅτι ἐπεὶ ὁ Θεὸς μὴ ἔστι σῶμα, οὐκ ἔχει ἀναφοράν, οὔτε πρὸς χρόνον, οὔτε πρὸς τόπον. Μόνης γὰρ ἐν καταλήψει γέγονε τῆς ἑπομένης τῇ ποσότητι** P 19r/v **ἀναφορᾶς, ἀλλ’ οὐ καὶ τῆς ἑπομένης τῇ ἐνεργείᾳ καὶ τῷ πάθει.**

**[7.10.17] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ κινοῦν καὶ ποιοῦν φυσικόν, κινεῖ ἢ ποιεῖ ἐνεργείᾳ, ἢ κινήσει μεσιτευούσῃ, ἣ ἔγκειται μεταξὺ τοῦ κινοῦντος καὶ κινουμένου, ἢ τοῦ ποιοῦντος καὶ πάσχοντος. Ὅθεν ἀνάγκη ἐν τούτῳ γοῦν τῷ μέσῳ κοινωνεῖν τὸ ποιοῦν καὶ πάσχον, καὶ τὸ κινοῦν, ἢ κινούμενον. Καὶ οὕτω ποιοῦν, ἐφόσον ἐστὶ ποιοῦν, οὐκ ἔστιν ἀλλοφυὲς τοῦ γένους τοῦ πάσχοντος, ἐφόσον ἐστὶ πάσχον. Ὅθεν ἑκατέρωθεν ἐστὶ πραγματώδης ἡ τάξις τοῦ ἑνὸς πρὸς θάτερον, καὶ διαφερόντως ἐπειδὰν αὐτὴ ἡ μεθόριος ἐνέργεια ἔστι τις τελειότης ἰδία τοῦ ποιοῦντος, καὶ κατὰ τὸ συμβαῖνον τοῦθ’ ὃ περαίνεται ἡ ἐνέργεια, ἔστιν ἀγαθὸν τούτου. Τοῦτο δὲ οὐκ ἔστιν ἐν τῷ Θεῷ, ὡς εἴρηται· καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.**

**[7.10.18] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦτο τὸ κινοῦν κινεῖσθαι, οὐκ ἔστιν αἰτία τοῦ τίποτε ἄρα ἡ τοῦ κινοῦντος ἀναφορὰ ἔστιν ἐν αὐτῷ πραγματική, ἀλλὰ σημεῖόν τι. Ἐκ τούτου γὰρ διαδείκνυται, ὅτι τρόπῳ τινὶ συμπίπτει ἐν τῷ τοῦ κινουμένου γένει· ἐκ τοῦ καὶ αὐτὸ κινεῖν κινούμενον ἀφ’ οὗ φαίνεται ὅτι αὐτὸ τοῦτο τὸ κινεῖσθαι, ἔστι τι ἀγαθὸν αὐτοῦ καθὸ πρὸς τοῦτο διὰ τῆς ἰδίας κινήσεως τάττεται.**

**150-153** Ἐν – τόπον] Avic., Metaph. VII, cap. 7.

**162** συμβαῖνον] συμβαίνειν M (consequens Aq.)

P 199v **[7.10.19] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὁ | Πατὴρ δίδωσι τὸ εἶναι τῷ Υἱῷ τὸ τοῦ ἰδίου γένους, ἐφόσον ἐστὶ ποιοῦν συνώνυμον· οὐ τοιοῦτον δὲ εἶναι δίδωσιν ὁ Θεὸς τῇ κτίσει· καὶ διὰ τοῦτο οὐκ ἔστιν ὅμοιον.**

**[7.10.20] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τοῦτο τὸ ὄνομα τὸ Κύριος, τρία περιέχει κατὰ τὴν ἰδίαν ἔννοιαν· δηλαδὴ τὴν τοῦ κατακρατεῖν δύναμιν τῶν ὑπηκόων, τὴν πρὸς αὐτοὺς τάξιν, ἣ ἕπεται τῇ τοιαύτῃ δυνάμει, καὶ τὴν διασκευὴν τῆς τάξεως τῶν ὑπὸ χεῖρα πρὸς τὸν Κύριον· ἐν ἑνὶ γὰρ τῶν τῶν πρός τι, ἐνθεωρεῖται ἡ ἐπίνοια τοῦ ἑτέρου. Σῴζεται τοίνυν ἡ σημασία τούτου τοῦ ὀνόματος ἐν τῷ Θεῷ, ὅσον πρὸς τὸ πρῶτον καὶ τὸ τρίτον, οὐχ ὅσον πρὸς τὸ δεύτερον. Ὅθεν ὁ Ἀμβρόσιος φησίν, ὅτι** τοῦτο τὸ ὄνομα τὸ Κύριος, ἔστιν ὄνομα ἐξουσίας· **ὁ Βοήτιός τε φησίν,** κυριότης ἐστίν, ἐξουσία τις, ᾗ ὁ δοῦλος κατακρατεῖται.

**[7.10.21] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ τοῦ Θεοῦ ἐπιστήμη, ἄλλως παραβάλλεται πρὸς τὰ πράγματα, ἢ ἡ ἡμετέρα ἐπιστήμη· παραβάλλεται γὰρ ὥσπερ αἰτία καὶ μέτρον. Τοιαῦτα γάρ εἰσι τὰ ὄντα τῷ ὄντι, οἷα ὁ Θεὸς ἔταξε τῇ ἑαυτοῦ ἐπιστήμῃ. Αὐτὰ δὲ τὰ πράγματα, εἰσὶν αἰτία, καὶ μέτρον τῆς ἡμετέρας ἐπιστήμης. Τῷ τοι καὶ καθάπερ ἡ ἡμετέρα ἐπιστήμη ἀναφέρεται πραγματωδῶς πρὸς τὰ ὄντα, καὶ οὐκ ἀνάπαλιν, οὕτω τὰ ὄντα ἀναφέρονται πραγματικῶς εἰς τὴν τοῦ Θεοῦ ἐπιστήμην καὶ οὐκ ἀνάπαλιν· ἢ ῥητέον ὅτι ὁ Θεὸς νοεῖ τὰ ἄλλα ὄντα, νοῶν ἑαυτόν· ὅθεν ἡ τῆς αὐτοῦ ἐπιστήμης ἀναφορά, οὐ πρὸς τὰ πράγματα ἐστὶν εὐθύ, ἀλλὰ πρὸς αὐτὴν τὴν θείαν οὐσίαν.**

**[7.10.22] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ ὀρεκτὸν ὃ κινεῖ τὴν ὄρεξιν, ἔστι τέλος· τὰ δὲ πρὸς τὸ τέλος, οὐ κινεῖ τὴν ὄρεξιν, ὅτι μὴ τῷ λόγῳ τοῦ τέλους. Τέλος δὲ τῆς θείας θελήσεως, οὐκ ἔστιν ἕτερόν τι, εἰ μὴ ἡ θεία ἀγαθότης. Ὅθεν οὐχ ἕπεται τὰ ἄλλα ὄντα παραβάλλεσθαι πρὸς τὴν θείαν θέλησιν, ὥσπερ κινοῦν πρὸς κινούμενον.**

**[7.10.23] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὰ οὐράνια σώματα, ἀναφέρονται πραγματικῶς πρὸς τὰ ὑποκείμενα, κατὰ τὰς ἑπομένας τῇ ποσότητι ἀναφοράς, διὰ τὸ τὸν αὐτὸν εἶναι λόγον τῆς ποσότητος ἐν ἑκατέροις· καὶ αὖθις ὅσον πρὸς τὰς ἑπομένας ἀναφορὰς τῇ ποιητικῇ δυνάμει καὶ παθητικῇ, κινοῦσι γὰρ**

**180-181** ὁ – ἐξουσίας] Ambr., De fid. I, cap. 1, no. 7 (PL16, col. 530B): Deus enim et Dominus nomen est potestatis. **181-182** ὁ – κατακρατεῖται] Boet., De Trin., cap. 5: At in domino, si servum auferas, perit vocabulum quo dominus vocabatur; sed non accidit servus domino ut albedo albo sed potestas quaedam qua servus coercetur.

**182** ἐστὶν] εἰ ἐστιν M (est Aq.) **184** παραβάλλεται] παραλαμβάνεται M (comparatur Aq.) **193** τοῦ] τῷ τοῦ M **195** παραβάλλεσθαι] deest P (comparentur Aq.)

κινούμενα δι’ ἐνεργείας μέσης, ᾗ μὴ ἔστιν ἡ αὐτῶν οὐσία, καί τι ἀγαθὸν αὐτῶν ἐν τούτῳ θεωρεῖται, ἐν τῷ εἶναι τῶν ὑποβεβηκότων αἴτια.

[7.10.24] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐκεῖνο ἀφ’ οὗ τι παρονομάζεται, οὐκ ἀνάγκη αἰεὶ εἶναι εἶδος, κατὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλ’ ἀπόχρη P 200r δηλοῦσθαι ὡς | ἀπὸ εἴδους κατὰ γραμματικοὺς διαλεγομένοις. Παρονομάζεται γὰρ ὁ ἄνθρωπος τῇ ἐνεργείᾳ ἀπὸ τοῦ ἐνδύματος, καὶ ἀφ’ ἑτέρων τοιούτων, ἃ πραγματωδῶς οὐκ εἰσὶν εἴδη.

[7.10.25] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι εἰ ἡ ἀναλογία νοοῖτο τις ὡρισμένη ὑπεροχή, οὐδεμία ἐστὶ τοῦ Θεοῦ πρὸς τὴν κτίσιν ἀναλογία. Εἰ δὲ διὰ τῆς ἀναλογίας νοοῖτο σχέσις μόνον, οὕτω δῆλον εἶναί τινα τοῦ κτιστοῦ καὶ τῶν κτισμάτων· ἐν μὲν τοῖς κτίσμασι πραγματικῶς, οὔκουν γε μήν, κἀν τῷ Κτίστῃ.

[7.10.26] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ διδάσκαλος ἄρχεται ἀπὸ τῶν πραγμάτων, ὅμως ἄλλως ἀναλαμβάνονται οἱ τῶν ὄντων λόγοι, ἐν τῇ τοῦ διδασκάλου διανοίᾳ, ἢ εἰσὶν ἐν τῇ τῶν πραγμάτων φύσει· ἕκαστον γὰρ λαμβάνεται ἐν ἑτέρῳ τῷ τρόπῳ τοῦ λαμβάνοντος· φαίνεται γὰρ τοὺς λόγους τῶν πραγμάτων, ἐνυπάρχειν τῇ τοῦ διδασκάλου διανοίᾳ ἀΰλως, ἀλλ’ οὐκ ἐν τῇ φύσει τῶν ὄντων.

[7.10.27] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ διαίρεσις αὕτη τῶν ἀναφορῶν, κατὰ τὸ εἶναι καὶ λέγεσθαι, οὐδὲν δρᾷ πρὸς τὸ τὴν ἀναφορὰν εἶναι πραγματώδη. Εἰσὶ γάρ τινα ἀναφορικὰ κατὰ τὸ εἶναι, ἃ μὴ ἔστι πράγματι, ὥσπερ τὸ δεξιόν, καὶ λαιὸν ἐν τῷ κίονι· καί τινα αὖθις ἀναφορικὰ κατὰ τὸ λέγεσθαι, ἃ παρέχονται ἀναφορὰς πραγματώδεις, ὥσπερ τε φαίνεται ἐπιστήμης πέρι καὶ αἰσθητικοῦ. Λέγονται γὰρ ἀναφορικὰ κατὰ τὸ εἶναι, ἡνίκα τὰ ὀνόματα εἰσὶν ἐπικείμενα πρὸς τὸ δηλοῦν αὐτὰς τὰς ἀναφοράς· ἀναφορικὰ δὲ κατὰ τὸ λέγεσθαι, ἡνίκα τὰ ὀνόματα ἐπάγονται πρὸς τὸ δηλοῦν ποιότητας ἤ τι τοιοῦτον πρώτερον, οἷς ὅμως ἕπονται ἀναφοραί. Οὔτε μὴν τὸ γ’ ἧκον εἰς τοῦτο διαφέρει, πότερον εἰσὶν ἀναφοραὶ πραγματικαί, ἢ ἐπινοίᾳ μόνον.

[7.10.28] Πρὸς δὲ τὸ τελευταῖον ῥητέον, ὅτι εἰ καὶ τεθέντος τοῦ ἑνὸς τῶν πρός τι τίθεται καὶ τὸ λοιπόν, οὐχ ὅμως ἀνάγκη τῷ αὐτῷ τρόπῳ ἑκάτερον τίθεσθαι, ἀλλ’ ἀπόχρη τὸ μὴν ἓν τίθεσθαι πράγματι, τὸ δ’ ἄλλο ἐπινοίᾳ.

**211** ἐνὶ] ἐν M **221** τῷ] τῇ M

## Κεφάλαιον ἐνδέκατον

## Πότερον αὗται αἱ ἐκ χρόνου ἀναφοραί εἰσιν ἐν τῷ Θεῷ κατ᾿ ἐπίνοιαν ἢ οὔ.

**[7.11.1] Ἑνδέκατον ζητεῖται, πότερον αὗται αἱ ἐκ χρόνου ἀναφοραί εἰσιν ἐν τῷ Θεῷ κατ᾿ ἐπίνοιαν. Καὶ δοκεῖ μή. Τῇ γὰρ ἐπινοίᾳ ᾗ μὴ ἀποκρίνεταί τι πρᾶγμα, ἔστι μάταιον καὶ κενόν, ὡς ὁ Βοήτιός φησιν. Ἀλλ᾿ αὗται αἱ ἀναφοραί, οὐκ εἰσὶ ἐν τῷ Θεῷ πράγματι, ὡς ἐκ τῶν εἰρημένων φαίνεται. Οὐδ᾿ ἄρα κατ᾿ ἐπίνοιαν.**

P 200v **[7.11.2]Ἔτι, τὰ ὄντα κατ᾿ ἐπίνοιαν μόνον οὐκ ἀποδίδονται | πράγμασιν, εἰ μὴ καθὸ εἰσὶν ἐν τῷ νῷ· ὥσπερ τὸ γένος, τὸ εἶδος καὶ ἡ τάξις. Ἀλλ᾿ αἱ τοιαῦται ἐκ χρόνου ἀναφοραὶ οὐκ ἀποδίδονται τῷ Θεῷ, ᾗ δὴ εἰσὶν ἐν τῷ ἡμετέρῳ νῷ μόνον· οὕτω γὰρ οὐδὲν ἄλλο ἂν εἴη τὸ εἰρημένον** ὁ Θεός ἐστι Κύριος, **ἢ ὅτι ὁ Θεὸς νοεῖται προεστάναι τῶν δημιουργημάτων· ὃ φαίνεται ψεῦδος ὄν. Αἱ τοιαῦται ἄρα ἀναφοραὶ οὐκ εἰσὶν κατ᾿ ἐπίνοιαν ἐν τῷ Θεῷ.**

**[7.11.3] Ἔτι, τοῦτο τὸ Κύριος ὄνομα ἀναφορὰν δηλοῖ, ἐφόσον ἐστὶν ἀναφορικὸν κατὰ τὸ εἶναι. Ἀλλ᾿ ὁ Θεός ἐστι Κύριος, οὐ κατά τι ἐπίνοιαν μόνον. Οὐδ᾿ ἄρα αἱ τοιαῦται ἀναφοραί εἰσι κατ᾿ ἐπίνοιαν ἐν τῷ Θεῷ μόνον.**

**[7.11.4] Χωρὶς δὲ τούτων, οὐδενός πω κτιστοῦ ὄντος νοῦ ὁ Θεὸς ἦν ἔτι καὶ Δημιουργός. Οὐκ ἂν οὖν εἶεν τὰ πράγματα τῶν λόγων οὐδενός πω κτιστοῦ νοῦ ὑπάρχοντος. Ἄρα τὸ Κύριος καὶ Δημιουργὸς καὶ τὰ τοιάδε ὀνόματα οὐ προτείνονται ἐπινοίας μόνον ἀναφορᾶς.**

**[7.11.5] Ἔτι, τὸ ὂν ἐν τῷ ἡμετέρῳ λόγῳ μόνον οὐκ ἦν ἐξ ἀιδίου. Ἀλλά τινες ἀναφοραὶ τοῦ Θεοῦ πρὸς τὴν κτίσιν ἐξ ἀιδίου ὑπῆρχον, ὥσπερ αἱ κατὰ τὰ ὀνόματα τῆς προγνώσεως καὶ τοῦ προορισμοῦ καὶ τῶν ὁμοστοίχων. Αἱ τοιαῦται ἄρα ἀναφοραὶ οὐκ εἰσὶν ἐν τῷ Θεῷ μόνον κατ᾿ ἐπίνοιαν.**

**[7.11.6] Ἀλλὰ τοὐναντίον, τὰ ὀνόματα σύμβολα ἐστὶ τῶν ἐπινοιῶν ἢ τῶν νοημάτων, ὡς λέγεται ἐν τοῖς προοιμίοις τοῦ Περὶ ἑρμηνείας. Συμβαίνει δὲ ταῦτα τὰ ὀνόματα ἀναφορικῶς λέγεσθαι. Δεῖ δὴ ταύτας τὰς ἀναφορὰς ἐν ταῖς ἐπινοίαις εἶναι.**

**4** μή] bis acc. P **25** τῶν ἐπινοιῶν] τῆς ἐπινοίας M (rationes Aq.) **26** νοημάτων] ὀνομάτων P (intellectus Aq.) **26** ἐν – ἑρμηνείας] deest M

[7.11.7] Ἀπόκρισις. Ῥητέον, ὅτι ὥσπερ ἡ πραγματικὴ διαφορὰ συνέστηκεν ἐν τῇ τοῦ πράγματος πρὸς τὸ πρᾶγμα τάξει, οὕτως ἡ κατ᾽ ἐπίνοιαν ἀναφορὰ συνέστηκεν ἐν τῇ τάξει τῶν νοημάτων· ὃ διχῇ ἐνδέχεται συμβαίνειν. Ἑνὶ μὲν τρόπῳ, καθὸ ἥδε ἡ τάξις εὕρηται διὰ τοῦ νοῦ, καὶ ἀποδίδοται τῷ λεγομένῳ ἀναφορικῶς· καὶ αἱ τοιαῦται ἀναφοραί εἰσιν αἱ ἀποδιδόμεναι παρὰ τοῦ νοῦ ἐν τοῖς νοουμένοις πράγμασι, καθὸ νοοῦνται, ὥσπερ ἡ τοῦ γένους ἀναφορὰ καὶ εἴδους· ταύτας γὰρ τὰς ἀναφορὰς ὁ λόγος εὑρίσκεται θεωρῶν τὴν τάξιν τοῦ ἐν τῷ νῷ πρὸς τὰ ἔξω πράγματα, ἢ τὴν τάξιν τῶν νοημάτων πρὸς ἄλληλα. Ἕτερος τρόπος ἐστί, καθὸ αἱ τοιαῦται ἀναφοραὶ ἕπονται τῷ τοῦ νοεῖν τρόπῳ, δηλαδὴ ἡνίκα ὁ νοῦς νοεῖ τι ἐν τῇ πρὸς ἄλλο τάξει, εἰ καὶ αὐτὴν τὴν τάξιν ὁ νοῦς οὐχ εὑρίσκει, ἀλλὰ μᾶλλον ἔκ τινος ἀνάγκης, ἕπεται τῷ τοῦ νοεῖν τρόπῳ. Καὶ ταύτας τὰς ἀναφορὰς ὁ νοῦς οὐκ ἀποδίδωσι τῷ νοουμένῳ, ἀλλ᾽ ἔστιν αὐτῷ. Καὶ τοῦτο συμβαίνει, καθό τινα μὴ ἔχοντα πρὸς ἄλληλα τάξιν, P 201[r] τεταγμένως νοοῦνται· εἰ καὶ ὁ νοῦς μὴ νοοίη αὐτὰ τάξιν ἔχοντα, ὡδὶ γὰρ | ἂν εἴη ἠπατημένος. Πρὸς δὲ τὸ τὰ τυχόντα τάξιν ἔχειν, δεῖ ἑκάτερον εἶναι ὄν, καὶ ἑκάτερον διακεκριμένον, τοῦ γὰρ αὐτοῦ πρὸς ἑαυτὸ οὐκ ἔστι τάξις, καὶ ἕκαστον τακτὸν πρὸς ἄλλο. Ἐνίοτε δὲ ὁ νοῦς λαμβάνει δύο τινὰ ὡς ὄντα, ὧν τὸ ἓν μόνον, ἢ οὐδέτερόν ἐστιν ὄν· ὥσπερ ὅταν λαμβάνῃ δύο ἐσόμενα, ἢ ἓν μὲν παρόν, ἄλλο δὲ ἐσόμενον, καὶ νοεῖ τὸ ἓν συντάξει πρὸς τὸ ἄλλο· φάσκον εἶναι πρότερον τοῦ ἄλλου· ὅθεν αὗται αἱ ἀναφοραί, εἰσὶ μόνης ἐπινοίας, ὡσὰν ἑπόμεναι τῷ τοῦ νοεῖν τρόπῳ. Ἐνίοτε δὲ ὑποτίθεται τὸ ἓν ὡς δύο, καὶ νοεῖ ταῦτα σὺν γέ τινι τάξει· ὡς ὅταν λέγηταί τι εἶναι ταὐτὸ ἑαυτῷ· καὶ οὕτως καὶ ἥδε ἡ ἀναφορὰ ἔστι τῆς ἐπινοίας μόνης. Ποτὲ δὲ αὖθις λαμβάνει δύο τινά, ὡς ἐν τάξει πρὸς ἄλληλα, ἐν οἷς μὴ ἔστι μέση τάξις· μᾶλλον μὲν οὖν θάτερον αὐτῶν αὐτοχρημά ἐστι τάξις· ὡς ὅταν λέγηται τὴν ἀναφορὰν συμβαίνειν τῷ ὑποκειμένῳ· ἔνθέν τοι ἡ τοιαύτη τῆς ἀναφορᾶς ἀναφορὰ πρὸς ὁτιοῦν ἄλλο, ἔστι μόνης τῆς ἐπινοίας. Ἐνίοτε δὲ λαμβάνειν τι ἐν τάξει πρὸς ἄλλο, ἐφόσον ἐστὶ πέρας τῆς τοῦ ἑτέρου τάξεως πρὸς αὐτό, εἰ καὶ αὐτὸ μὴ τάττοιτο πρὸς ἐκεῖνο· ὥσπερ λαμβάνει τὸ ἐπιστητὸν ὥσπερ ὅρον τῆς πρὸς αὐτὸ τάξεως τῆς ἐπιστήμης· καὶ ταύτῃ σὺν γέ τινι τάξει πρὸς τὴν ἐπιστήμην τὸ τοῦ ἐπιστητοῦ

**34** ἐν] deest M **47** ἐσόμενον] ἑπόμενον M (futurum Aq.) **48** μόνης] μόνον (tantum Aq.) | ὡσὰν] ὡσᾶν P **56** τάττοιτο] τάττον τὸ M (ordinetur Aq.)

ὄνομα ἀναφορικῶς ἐμφαίνει· καὶ ἔστιν ἡ ἀναφορὰ τῆς ἐπινοίας μόνον, καὶ αὕτη καὶ παραπλησίως ὀνόματά τινα ἀναφορικὰ τῷ Θεῷ ἀποδίδωσιν ὁ ἡμέτερος νοῦς, ἐφόσον λαμβάνει τὸν Θεὸν ὡς ὅρον τῶν πρὸς αὐτὸν ἀναφορῶν τῶν δημιουργημάτων· ὅθεν αἱ τοιαῦται ἀναφοραί, εἰσὶν ἐπινοίᾳ μόνον.

[7.11.8] Πρὸς τὸ πρωτον οὖν ῥητέον, ὅτι ταῖς τοιαύταις ἀναφοραῖς, ἀποκρίνεταί τι ἐκ τοῦ μέρους τοῦ πράγματος, εἴτουν ἡ τῆς κτίσεως πρὸς τὸν Θεὸν ἀναφορά. Ὥσπερ γὰρ τὸ ἐπιστητὸν λέγεται ἀναφορικῶς, οὐχ ὅτι αὐτὸ ἀναφέρεται πρὸς τὴν ἐπιστήμην, ἀλλ’ ὅτι ἡ ἐπιστήμη πρὸς αὐτό, ὡς περιέχεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά· οὕτως ὁ Θεὸς λέγεται ἀναφορικῶς, διὰ τὸ τὰ δημιουργήματα ἀναφέρεσθαι πρὸς αὐτόν.

[7.11.9] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐκεῖνος ὁ λόγος πρόεισιν ἐκ τῶν ἀναφορῶν ἐκείνων τῆς ἐπινοίας, αἳ εὕρηνται διὰ λόγου καὶ ἀποδίδονται τοῖς
P 201v πράγμασιν οὖσιν ἐν τῷ νῷ. Τοιαῦται δὲ οὐκ εἰσὶν αὗται αἱ ἀναφοραί, ἀλλ’ ἑπόμεναι τῷ τοῦ νοεῖν τρόπῳ.

[7.11.10] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὥσπερ ἐστί τι ταυτὸ ἑαυτῇ πράγματι, καὶ οὐ κατ’ ἐπίνοιαν μόνον, εἰ καὶ ἡ ἀναφορὰ ἐστὶ κατ’ ἐπίνοιαν μόνον, διὰ τὸ τὴν αἰτίαν τῆς ἀναφορᾶς εἶναι πράγματι μίαν, εἴτουν τὸ ἑνιαῖον τῆς οὐσίας ὃ ὁ νοῦς ὑπὸ ἀναφορᾷ νοεῖ, οὕτως ἡ τοῦ | κατακρατεῖν δύναμις τῶν ὑπηκόων, ἔστιν ἐν τῷ Θεῷ πραγματικῶς, ἣν ὁ νοῦς νοεῖ ἐν τάξει πρὸς τοὺς ὑπηκόους, διὰ τὴν τῶν ὑπηκόων τάξιν πρὸς αὐτόν· καὶ διατοῦτο λέγεται ὁ Κύριος ἀναφορικῶς, εἰ καὶ ἡ ἀναφορὰ ἐστὶ τῆς ἐπινοίας μόνον. Τῷ δ’ αὐτῷ τρόπῳ φαίνεται Κύριον εἶναι, οὐδενὸς ὄντος νοῦ, κτιστοῦ.

[7.11.11] Ὅθεν λύσις ὑπανοίγνυται πρὸς τὸ τέταρτον.

[7.11.12] Πρὸς δὲ τὸ πέμπτον ῥητέον, ὅτι ἡ ἀναφορὰ τῆς ἐπιστήμης τοῦ Θεοῦ πρὸς τὰ κτίσματα, οὐκ ἔστι πρώτως καὶ καθ’ αὐτό, ὡς εἴρηται πρότερον, ἀλλὰ πρὸς τὴν οὐσίαν τοῦ κτίστου, δι’ ἧς ὁ Θεὸς πάντα ἐπίσταται.

**66-68** τὸ – φυσικά] Ar., Metaph. V, 1020b30-32: τὰ δ' ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ ἐπιστητὸν πρὸς ἐπιστήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν.

**73** ἑπόμεναι] ἐσόμεναι P (consequentes Aq.) **85** πάντα] πάντας P (omnia Aq.)

## Βιβλίον ὄγδοον

## Κεφάλαιον πρῶτον

### Πότερον αἱ ἀναφοραὶ αἱ περὶ τοῦ Θεοῦ λεγόμεναι ἐξ ἀιδίου ἂν προτείνονται ἐν τῷ τοῦ Πατρὸς ὀνόματι καὶ Υἱοῦ εἰσιν ἀναφοραὶ πραγματικαὶ ἢ οὔ.

**[8.1.1] Ἡ ζήτησίς ἐστι περὶ τῶν ἀναφορικῶς περὶ τοῦ Θεοῦ λεγομένων ἐξ ἀιδίου. Καὶ πρῶτον ζητεῖται, πότερον αἱ ἀναφοραὶ αἱ περὶ τοῦ Θεοῦ λεγόμεναι ἐξ ἀιδίου ἂν προτείνονται ἐν τῷ τοῦ Πατρὸς ὀνόματι καὶ Υἱοῦ εἰσὶν ἀναφοραὶ πραγματικαί, ἢ κατ' ἐπίνοιαν μόνον. Καὶ δοκεῖ μὴ εἶναι πράγματι. Ὡς γάρ φησιν ὁ Δαμασκηνὸς ἐν τῷ πρώτῳ βιβλίῳ, ἐν τῇ ὑπερουσίῳ Τριάδι· τὸ μὲν κοινὸν καὶ ἓν πράγματι θεωρεῖται, λόγῳ δὲ καὶ ἐπινοίᾳ τὸ ἕτερον ὂν ἢ τὸ διακεκριμένον. Ἀλλ' ἡ τῶν προσώπων διάκρισις γίνεται διὰ τῶν ἀναφορῶν. Ἄρα αἱ ἀναφοραί, ἐν τοῖς θείοις εἰσὶν ἐπινοίᾳ μόνον.**

P 202r **[8.1.2] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ·** ἔοικεν ἡ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἀναφορὰ καὶ ἀμφοῖν πρὸς τὸ ἅγιον Πνεῦμα, ὡς τοῦ αὐτοῦ πρὸς τὸ αὐτό. **Ἀλλ' ἡ τῆς ταυτότητος ἀναφορὰ ἔστι κατ' ἐπίνοιαν μόνον. Ἄρα καὶ ἡ ἀναφορὰ τῆς πατρότητος καὶ υἱότητος.**

**[8.1.3] Ἔτι, ἐν τῷ Θεῷ πρὸς τὴν κτίσιν οὐκ ἔστιν ἀναφορὰ πραγματώδης, διὰ τὸ τὸν Θεὸν ἄνευ τῆς ἑαυτοῦ μεταβολῆς τὰ δημιουργήματα προάγειν, ὡς ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος φησίν. Ἀλλὰ πολλῷ μᾶλλον ἀμεταβλήτως προβάλλεται ὁ Πατὴρ τὸν Υἱὸν καὶ ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρός. Οὐκ ἄρα ἔστι τις πραγματικὴ ἀναφορὰ τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐν τοῖς θείοις, καὶ ἀνάπαλιν.**

**[8.1.4] Χωρὶς δὲ τούτων, τὰ ἀτελῆ οὐκ ἀνίενται τῷ Θεῷ· ὥσπερ στέρησις ὕλη καὶ κίνησις. Ἀλλὰ τὰ πρός τι πρὸς τὰ ἄλλα | ὄντα, ἀδρανέστερον ἔχουσι τὸ εἶναι παρὰ τοσοῦτον, ὡς καί τινας εἰκάσαι ἐκ τῶν δευτέρων νοητῶν εἶναι, ὡς φαίνεται διὰ τοῦ Ὑπομνήματος ἐν τῷ ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἐν τῷ Θεῷ ἄρα εἶναι οὐχ οἷόν τε.**

**9-11** ὡς – διακεκριμένον] cf. Ps-Dion., De div. nom. II, cap. 11 (PG 3, col. 640C, Ritter p. 125): ...ἡ θεολογία τὰ μὲν ἡνωμένως παραδίδωσι, τὰ δὲ διακεκριμένως, καὶ οὔτε τὰ ἡνωμένα διαιρεῖν θεμιτὸν οὔτε τὰ διακεκριμένα συγχεῖν, ἀλλ' ἑπομένους αὐτῇ κατὰ δύναμιν ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν. **13-15** ὁ – αὐτό ] Boet., De Trin., cap. 6: et similis est relatio in trinitate patris ad filium et utriusque ad spiritum sanctum ut eius quod est idem ad id quod est idem. **17-19** τῷ – φησίν] Aug., De Trin. V, cap. 16, n. 17 (PL 42, col. 922): Quod de Deo ex tempore dicitur relative dicitur, non accidentaliter, quia in creatura fit mutatio, non in Deo.

**3, 7** ἂν] intellige αἱ (quae Aq.)

**[8.1.5] Ἔτι, πᾶσα ἀναφορά, ἐν τοῖς κτιστοῖς σύνθεσις ποιεῖ, μετὰ τοῦ οὗ ἐστὶν ἀναφορά. Οὐ γὰρ δύναταί τι πρᾶγμα ἄλλο εἶναι ἄνευ συνθέσεως· ἀλλ' ἐν τῷ Θεῷ οὐδεμία σύνθεσις εἶναι δύναται. Ἐν τῷ Θεῷ ἄρα οὐ δύναται πραγματικὴ ἀναφορὰ εἶναι.**

**[8.1.6] Ἔτι, τὰ ἁπλούστατα ἑαυτοῖς ἀναφέρει. Ἀλλὰ τὰ θεῖα πρόσωπα εἰσὶν ἁπλούστατα διά τινων ἀναφορῶν διακρινόμενα· οὐκ ἄρα δεῖ ἀναφορὰς πραγματώδεις ἐν τῷ Θεῷ τιθέναι, ἐφόσον οὐ δι' ἄλλο τι τίθενται, εἰ μὴ πρὸς τὸ διακρίνειν πρόσωπα.**

**[8.1.7] Αὖθις, ὥσπερ αἱ ἀναφοραί εἰσιν ἰδιότητες τῶν θείων προσώπων, οὕτω τὰ κοινῇ ἀνατιθέμενα ῷ Θεῷ εἰσὶν ἰδιότητες τῆς οὐσίας. Ἀλλὰ τὰ ὁμαλῶς ἀποδιδόμενα εἰσὶν ἐν τῷ Θεῷ κατὰ τὰς ἰδίας ἐπινοίας. Αἱ ἀναφοραὶ ἄρα εἰσὶν ἐν τῷ Θεῷ κατ' ἐπίνοιαν καὶ οὐ πράγματι.**

**[8.1.8] Ἔτι, τέλειον ἐστίν, ᾧ μηδὲν ἐνδεῖ, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς. Ἀλλ' ἡ θεία οὐσία, ἔστι τελειότατον. Οὐδὲν ἄρα τῶν εἰς τελειότητα τελούντων ἀπείη ἂν αὐτῷ. Παρέλκον τοίνυν ἐστὶ τιθέναι ἀναφορὰς ἐν τῷ Θεῷ, παρὰ τὰ ἀπολύτως λεγόμενα καὶ οὐσίαν σημαίνοντα.**

**[8.1.9] Ἔτι, τοῦ Θεοῦ ὄντος ἄκρας τῶν ὄντων ἀρχῆς, καὶ τέλους ἐσχάτου, τὰ εἰς ἄλλα πρότερα ἀναγόμενα, ἐν τῷ Θεῷ εἶναι ἀδύνατον, ἀλλὰ μόνον ἐκεῖνα, εἰς ἃ τὰ ἄλλα ἀνάγονται· ὥσπερ τὸ εἶναι κινητὸν ἀνήκει εἰς τὸ ἀκίνητον, καὶ τὸ κατὰ συμβεβηκὸς εἰς τὸ καθ' αὐτό· καὶ διατοῦτο ὁ Θεὸς οὐ κινεῖται, οὐδὲ ἔστιν ἐν αὐτῷ συμβεβηκός. Ἀλλὰ πᾶν πρός τι ἀναφέρεται πρὸς τὸ ἀπολελυμένον, ὅπέρ ἐστι καθ' αὐτό. Οὐδὲν ἄρα ἐστὶν ἐν τῷ Θεῷ πρός τι, ἀλλὰ τὸ καθ' αὐτὸ μόνον λεγόμενον.**

**[8.1.10] Ἔτι, ὁ Θεός ἐστι καθ' αὐτὸ ἀναγκαῖον εἶναι. Πᾶν δὲ ὅ ἐστι καθ' αὐτὸ ἀναγκαῖον, εἶναι ἔστιν ἀνθ' ἕκαστον· τὸ δὲ πρός τι οὐ δύναται εἶναι ἄνευ τοῦ σὺν πρός τι. Τὸ δὲ καθ' αὐτὸ ἀναγκαῖον καὶ τοῦ ἑτέρου ἀναιρουμένου εἶναι δύναται. Ὅθεν οὐκ ἔστι τις ἀναφορὰ πραγματική.**

**[8.1.11] Ἔτι, πᾶσα ἀναφορὰ πραγματική, ὡς ἐν τῇ ὑπαγούσῃ ζητήσει εἴληπται, ἕπεταί τινι ποσότητι, ἢ ἐνεργείᾳ, ἢ πάθει. Ἀλλὰ ποσότης ἐν τῷ Θεῷ οὐκ ἔστι·**

**40** τέλειον – Φυσικῆς] cf. Ar., Phys. III, 207a8-13: οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον· οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηδὲν ἄπεστιν, οἷον ἄνθρωπον ὅλον ἢ κιβώτιον. ὥσπερ δὲ τὸ καθ' ἕκαστον, οὕτω καὶ τὸ κυρίως, οἷον τὸ ὅλον οὗ μηδέν ἐστιν ἔξω· οὗ δ' ἔστιν ἀπουσία ἔξω, οὐ πᾶν, ὅ τι ἂν ἀπῇ. ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν.

φαμὲν γὰρ τὸν Θεὸν ἄνευ ποσότητος εἶναι μέγαν, **ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Ἀριθμός τε ἐν αὐτῷ οὐκ ἔστιν, ὡς ὁ Βοήτιός φησιν, ᾧ ἀναφορὰ ἕπεσθαι δύναται, καὶ εἰ τίθοιτο ἀριθμὸς ὃν ἀναφορὰ ποιεῖ. Δεῖ δή, εἰ ἔστιν ἀναφορὰ ἐν τῷ Θεῷ, προσήκει αὐτῷ κατά τινα ἐνέργειαν αὐτοῦ. Οὐχ** P 202v **οἷόν τε δὲ κατά τινα ἐνέργειαν, ᾗ τὰ κτίσματα παράγει· | ἐν γὰρ τῇ φθασάσει σκέψει, εἴληπται μὴ εἶναι ἐν τῷ Θεῷ πραγματικὴν ἀναφορὰν πρὸς τὰ δημιουργήματα. Οὐδ' αὖ ἕπεται τῇ προσωπικῇ ἐνεργείᾳ ἐν τοῖς θείοις, οἷόν που ἐστὶ τὸ γεννᾶν· ἐπεὶ γὰρ ἐν τοῖς θείοις τὸ γέννᾶν οὐκ ἔστιν εἰ μὴ ὑποκειμένου διακεκριμένου· τὸ δὲ διακεκριμένον, μόνη ἡ ἀναφορὰ ποιεῖ ἐν τοῖς θείοις· δεῖ προεπινοεῖν ἀναφορὰν τῆς τοιαύτης ἐνεργείας· καὶ οὕτως ἡ ἀναφορὰ τῇ τοιαύτῃ ἐνεργείᾳ ἕπεσθαι οὐ δύναται. Λείπεται τοίνυν εἴ τινι ἐνεργείᾳ ἕπεται ἀναφορὰ πραγματικὴ ἐν τῷ Θεῷ ὑπάρχουσα, ἕπεσθαι τῇ ἀιδίῳ ἐνεργείᾳ αὐτοῦ, ἥτις ἐστὶ νοεῖν καὶ θέλειν. Ἀλλὰ καὶ τοῦτο εἶναι οὐχ οἷόν τε· ταύτῃ γὰρ τῇ ἐνεργείᾳ ἕπεται ἡ τοῦ νοοῦντος πρὸς τὸ νοούμενον ἀναφορά, αἳ οὐκ εἰσὶν ἐν τῷ Θεῷ πραγματώδεις· ἄλλως γὰρ δεήσει τὸν νοῦν ἐν τῷ Θεῷ καὶ τὸ νοούμενον πραγματικῶς διακρίνεσθαι· ὃ φαίνεται ψεῦδος ὄν· ἑκάτερον γὰρ ἑκάστων προσώπων κατηγορεῖται· οὐ γὰρ μόνος ὁ Πατήρ ἐστι νοῶν, ἀλλὰ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα ὁμοίως· καὶ ὁστισοῦν αὐτῶν ἔστι νοούμενον. Οὐδεμία ἄρα πραγματικὴ ἀναφορὰ ἐν τῷ Θεῷ εἶναι δύναται, ὡς δοκεῖ.**

**[8.1.12] Ἔτι, ὁ φυσικὸς λόγος τοῦ ἀνθρώπου, δύναται ἐφικέσθαι εἰς τὴν τοῦ θείου νοῦ κατάληψιν· δέδεικται γὰρ ἀποδεικτικῶς παρὰ τῶν φιλοσόφων τὸν Θεὸν εἶναι νοῦν. Εἰ τοίνυν τῇ ἐνεργείᾳ τοῦ νοῦ ἕπονται ἀναφοραὶ πραγματώδεις, αἳ ἐν τοῖς θείοις πρόσωπα διακρίνειν λέγονται, δοκεῖ διὰ τοῦ ἀνθρωπίνου λόγου τὸ Τριττὸν τῶν προσώπων εὑρεθῆναι δύνασθαι, καὶ οὕτω δοκεῖ μὴ εἶναι τοῦτο τὸ κεφάλαιον τῆς πίστεως· ἡ γὰρ** πίστις ἐστὶν ὑπόστασις, **ἡ βλεπομένων** πραγμάτων, **καὶ τὰ λοιπά, ὡς ἐν τῷ ἑνδεκάτῳ τῆς Πρὸς Ἑβραίους.**

**[8.1.13] Ἔτι, τὰ ἀναφορικὰ ἀντιθέσει τινὶ ἀντίκειται. Ἀλλ' ἐν τῷ Θεῷ ἄλλη ἀντίθεσις οὐκ ἔστιν. Οὐδ' ἄρα ἀναφορᾶς.**

**57-59** φαμὲν – βιβλίῳ] Aug., De Trin. V, cap. 1, n. 2 (PL 42, col. 911): ut sic intellegamus Deum, si possumus, quantum possumus, sine qualitate bonum, sine quantitate magnum… **58-59** Ἀριθμός – ποιεῖ] cf. Boet., De Trin., cap. 2: ut sic intellegamus Deum, si possumus, quantum possumus, sine qualitate bonum, sine quantitate magnum… **81-82** ἡ – Ἑβραίους] Hebr. 11, 1: Ἐστὶ δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

**71** ἀναφορά] ἀναφορᾶ a. corr. P

**[8.1.14] Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Βοητίου λεγόμενον, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ, ὅτι** μόνη ἡ ἀναφορὰ πληθύνει τὴν Τριάδα. **Αὕτη δὲ ἡ πληθύς, οὐκ ἔστι κατ’ ἐπίνοιαν μόνον, ἀλλὰ πράγματι, ὡς ὁ Αὐγουστῖνος φησί, ὅτι** ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἰσὶ τρία **πράγματα. Ἀνάγκη ἄρα τὴν ἀναφορὰν ἐν τοῖς θείοις, οὐ κατ’ ἐπίνοιαν μόνον εἶναι, ἀλλὰ καὶ πράγματι.**

**[8.1.15] Ἔτι, οὐδὲν πρᾶγμα γίνεται, εἰ μή τι πρᾶγμα ποιοίη. Ἀλλ’ αἱ ἀναφοραὶ ἐν τοῖς θείοις εἰσὶν ἰδιότητες ποιητικαί, προσώπων· τὸ δὲ πρόσωπόν ἐστιν ὄνομα πράγματος. Δεῖ ἄρα τὰς ἀναφορὰς ἐν τοῖς θείοις εἶναι πράγματα.**

**[8.1.16] Ἔτι, τελειοτέρα ἐστὶν ἡ γέννησις ἐν τοῖς θείοις, ἢ ἐν τοῖς κτίσμασιν. Ἀλλὰ πρὸς τὴν ἐν τοῖς κτίσμασι | γέννησιν, ἕπεται πραγματικὴ ἀναφορά, εἴτουν ἡ τοῦ Πατρὸς καὶ Υἱοῦ. Ἧπου ἄρα ἐν τοῖς θείοις εἰσὶν αἱ ἀναφοραὶ πράγματι.** (P 203r)

**[8.1.17] Ἀπόκρισις. Ῥητέον, ὅτι τῷ δόγματι τῆς καθολικῆς πίστεως ἑπομένοις, ἀναγκαῖον τίθεσθαι ἐν τοῖς θείοις ἀναφορὰς πραγματώδεις. Ἀξιοῖ γὰρ ἡ καθολικὴ πίστις τρία πρόσωπα ἐν τῷ Θεῷ οὔσης μιᾶς. Πᾶς δὲ ἀριθμὸς ἕπεται διακρίσει τινί· ὅθεν χρὴ ἐν τῷ Θεῷ εἶναί τινα διάκρισιν οὐχ ὅπως τὸν νοῦν προσέχουσι τοῖς κτίσμασιν, ἃ τῇ οὐσίᾳ διαλλάττει τοῦ Θεοῦ, ἀλλὰ καί τινος ἀποβλέψει ὑφεστῶτος ἐν τῇ θείᾳ οὐσίᾳ. Αὕτη δὲ ἡ διάκρισις οὐ δύναται εἶναι κατά τι ἀπόλυτον· ὅτι ποτὲ γὰρ ἐν τοῖς θείοις ἀπολελυμένως κατηγορεῖται, τὴν θείαν οὐσίαν δηλοῖ· ὅθεν ἕψεται τὰ θεῖα πρόσωπα τῇ οὐσίᾳ διακρίνεσθαι, ὅπέρ ἐστιν ἡ τοῦ Ἀρείου αἵρεσις. Λείπεται τοίνυν τὴν διάκρισιν ἐν τοῖς θείοις προσώποις, κατὰ μόνα θεωρεῖσθαι τὰ ἀναφορικά. Αὕτη δὲ ἡ διάκρισις, μὴ ἂν δύναιτο εἶναι ἐπινοίᾳ μόνον· τὰ γὰρ ἐπινοίᾳ μόνον διακεκριμένα, οὐδὲν προσίσταται κατ’ ἀλλήλων κατηγορεῖσθαι, καθάπερ φαμὲν τὴν ἀρχὴν εἶναι τέλος· τὸ γὰρ σημεῖον ἓν ὂν πράγματι, ἔστιν ἀρχὴ καὶ τέλος εἰ καὶ τῷ λόγῳ διαφέρει· καὶ ταύτῃ ἕψεται, Πατέρα εἶναι, Υἱόν, καὶ τὸν Υἱὸν Πατέρα, ἐπεὶ γὰρ τὰ ὀνόματα τίθεται πρὸς τὸ δηλοῦν τὰς ἐπινοίας, ἕψεται τὰ πρόσωπα ἐν τοῖς θείοις μὴ διακρίνεσθαι εἰ μὴ τοῖς ὀνόμασιν, ὅπερ ὂν τυγχάνει τῆς Σαβελίου αἱρέσεως. Λείπεται τοίνυν χρῆναι λέγειν, τὰς ἀναφορὰς ἐν τῷ Θεῷ πράγματά**

**85-86** τὸ – Τριάδα] Boet., De Trin., cap. 6: Ita igitur substantia continet unitatem, relatio multiplicat trinitatem. **88-89** ὁ – πράγματα] Aug., De Trin. I, cap. 4, n. 7 (PL 42, col. 824): quod Pater et Filius et Spiritus Sanctus unius eiusdemque substantiae inseparabili aequalitate divinam insinuent unitatem, ideoque non sint tres dii sed unus Deus, quamvis Pater Filium genuerit, et ideo Filius non sit qui Pater est.

107 ἂν] bis acc. P

τινα· ὅπερ ὅπως ποτέ ἐστι μεδοδευτέον τὰς τῶν ἁγίων διερευνήσασθαι προσήκει ῥήσεις, εἰ καὶ μὴ οἷόν τε τελέως ἐφικέσθαι τούτου τὸν λόγον. Ἰστέον τοίνυν ὡς ἐπεὶ πραγματικὴ ἀναφορὰ νοεῖσθαι οὐ δύναται, εἰ μὴ ἡ ἑπομένη τῇ ποσότητι ἢ τῇ ἐνεργείᾳ ἢ τῷ πάθει, ἀνάγκη τινὶ τούτων τῶν τρόπων τίθεσθαι ἐν τῷ Θεῷ τὴν ἀναφοράν. Ἐν δὲ τῷ Θεῷ ποσότης εἶναι ἀνέφικτον, οὔτε συνεχής, οὔτε διακεκριμένη, οὐδέ τι μετὰ τῆς ποσότητος ἔχον ὁμοιότητα, εἰ μὴ πλῆθος ὃ ἡ ἀναφορὰ ποιεῖ, δεῖ τὴν ἀναφορὰν προεπινοεῖσθαι· καὶ ἑνάς, ἢ τῇ οὐσίᾳ προσήκει, ἢ ἡ ἑπομένη ἀναφορά, οὐκ ἔστι πραγματική, ἀλλὰ κατ᾽ ἐπίνοιαν μόνον· ὥσπερ ἡ ἀναφορὰ ἣν προτείνεται τὸ ταυτὸ ὄνομα, ὡς ὑπείπομεν. Λείπεται τοίνυν ἐν αὐτῷ τιθέναι ἀναφορὰν τὴν ἑπομένην τῇ ἐνεργείᾳ. Φημὶ δὲ ἐνέργειαν, οὐ τὴν εἰς πάσχον διαβαίνουσαν· οὐδὲν μὲν γὰρ ἐστὶν ἐν τῷ Θεῷ πάσχον, ἐπεὶ μὴ δὲ ἔστιν ὕλη ἐκεῖ· πρὸς δὲ τὸ ἔξω τοῦ Θεοῦ διατελοῦν, οὐκ ἔστιν ἐν τῷ Θεῷ πραγματικὴ ἀναφορά, ὡς δέδεικται. Λείπεται τοίνυν ἕπεσθαι ἐν τῷ Θεῷ ἀναφορὰν πραγματικήν· τῇ ἐνεργείᾳ τῇ μενούσῃ ἐν τῷ ποιοῦντι· οἷαι εἰσὶ τὸ νοεῖν καὶ θέλειν. Τὸ γὰρ αἰσθάνεσθαι |
P 203v ἀδύνατον προσήκειν τῷ Θεῷ δι᾽ ὀργάνου σωματικοῦ συμπληρούμενον, ὃς ἐστὶ τοπαράπαν ἀσώματος. Διὸ δὴ φησὶ καὶ Διονύσιος ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· ἐν τῷ Θεῷ, τελεία πατρότης ἔστι, εἴτουν οὐ σωματικῶς, οὐδὲ ὑλικῶς, ἀλλὰ νοερῶς. Ὁ νοῦς δὲ νοῶν πρὸς τέτταρα δύναται τάξιν ἔχειν· εἴτουν πρὸς τὸ νοούμενον πρᾶγμα, πρὸς τὸ νοητὸν εἶδος, ὃ γίνεται ὁ νοῦς ἐνεργείᾳ, πρὸς τὸ νοεῖν ἑαυτοῦ, καὶ πρὸς τὸ αὐτοῦ νόημα. Ὃ δὴ νόημα τῶν προειρημένων τριῶν διενήνοχε. Τοῦ μὲν νοουμένου πράγματος, ὅτι τὸ μὲν νοούμενον πρᾶγμα ἔστιν οὗ ἔξω που τοῦ νοῦ διατελεῖ· τὸ δὲ νόημα, οὐκ ἔστιν εἰ μὴ ἐν τῷ νῷ· αὖθις τὲ τὸ νόημα τάττεται πρὸς τὸ νοούμενον πρᾶγμα ὡς πρὸς τέλος· διατοῦτο γὰρ ὁ νοῦς τὴν τοῦ πράγματος κατάληψιν ἐν ἑαυτῷ κυοφορεῖ, ἐφ ᾧ γνῶναι τὸ νοούμενον πρᾶγμα. Τοῦ δὲ νοητοῦ εἴδους διαφέρει· τὸ γὰρ νοητὸν εἶδος ὃ γίνεται ἐνεργείᾳ ὁ νοῦς, θεωρεῖται ὡς ἀρχὴ τῆς ἐνεργείας τοῦ νοῦ, ἐφόσον πᾶν τὸ ποιοῦν ποιεῖ

**131-133** Διὸ – νοερῶς] cf. Ps.-Dion., De div. nom., cap. 2, n. 8 (PG 3, col. 645C, Ritter p. 132): καὶ θεῶν πατέρες γίνονται καὶ ὀνομάζονται νόες πνευματικῶς δηλαδὴ τῆς τοιᾶσδε πατρότητος καὶ υἱότητος ἐκτελουμένης, τουτ᾽ ἔστιν ἀσωμάτως, ἀΰλως, νοητῶς, τοῦ θεαρχικοῦ πνεύματος ὑπὲρ πᾶσαν νοητὴν ἀϋλίαν καὶ θέωσιν ὑπεριδρυμένου καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πάσης πατριᾶς καὶ υἱότητος θείας ὑπεροχικῶς ἐξῃρημένων.

**131** τοπαράπαν] τὸ‿παράπαν P | Διὸ] δι᾽ ὃ P

καθόσον ἐστὶν ἐνεργείᾳ· ἐνεργείᾳ δὲ γίνεται διὰ τοῦ εἴδους· ὅπερ ἀνάγκη εἶναι τῆς ἐνεργείας ἀρχήν. Τῆς δὲ τοῦ νοῦ ἐνεργείας διαφέρει, ὅτι τὸ προειρημένον νόημα θεωρεῖται οἷάπερ τῆς ἐνεργείας πέραν, ὡσ' ἄν τι δι' αὐτῆς συνιστάμενον. Ὁ γὰρ νοῦς δι' ἑαυτοῦ εἰδοποιεῖ τὸν ὅρον τοῦ πράγματος, ἢ καὶ τὴν καταφατικὴν πρόφασιν, καὶ ἀποφατικήν. Τοῦτο δὲ τὸ νόημα ἐν ἡμῖν λόγος ἰδίως καλεῖται· οὗτος γάρ ἐστιν ὁ τῷ λόγῳ δηλούμενος· ἡ γὰρ ἔξω φωνὴ οὔτ' αὐτὸν δηλοῖ τὸν νοῦ, οὔτε τὸ νοητὸν εἶδος, οὔτε τὴν ἐνέργειαν τοῦ νοῦ, ἀλλὰ τὸ νόημα, οὗ μεσιτεύοντος, διέξεισιν εἰς τὸ πρᾶγμα. Οὗτος τοίνυν ὁ τοῦ ἡμετέρου νοῦ λόγος ἢ τόκος ᾧ νοεῖ ἕτερον πρᾶγμα παρ' ἑαυτόν, ἀνίσχει μὲν ἀπ' ἄλλου, ἄλλο δὲ παρίστησιν. Ἀνίσχει μὲν γὰρ ἐκ τοῦ νοῦ διὰ τῆς ἐνεργείας· ἔστι δὲ εἰκὼν τοῦ νοουμένου πράγματος. Ὅταν δ' ὁ νοῦς ἑαυτὸν νοεῖ, ὁ προειρημένος λόγος ἢ τόκος, ἔστι ταυτοῦ οἱονεί τι βλάστημα, καὶ ὁμοιότης, εἴτουν τοῦ νοὸς τοῦ νοοῦντος ἑαυτόν. Καὶ τοῦτο διὰ τόδε συμβαίνει· τὸ γὰρ ἀποτέλεσμα, ὁμοιοῦται τῇ αἰτίᾳ κατὰ τὸ ἴδιον εἶδος· εἶδος δὲ τοῦ νοῦ ἐστί, τὸ νοούμενον πρᾶγμα. Καὶ διατοῦτο ὁ ἀπὸ τοῦ νοῦ ἀνίσχον λόγος, ἔστιν ὁμοιότης τοῦ νοουμένου πράγματος, εἴτ' εἴη ταυτὸν τῷ νοοῦντι τὸν νοῦν, εἴθ' ἕτερον. Ὁ τοιοῦτος δὲ λόγος τοῦ ἡμετέρου νοῦ, ἔστι μὲν ἐξωτερικὸν πρὸς τὸ εἶναι αὐτοῦ τοῦ νοός· οὐ γάρ ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλ' ἔστιν οἱονεὶ ἀποτέλεσμα αὐτοῦ· οὐκ ἔστι μέντοι ἔξω αὐτοῦ τοῦ νοεῖν τοῦ νοός, ἐφόσον αὐτὸ τὸ νοεῖν συμπληροῦσθαι οὐ δύναται, ἄνευ τοῦ προειρημένου λόγου. | P 204r Εἰ τοίνυν εἴη τις νοῦς οὗ τὸ νοεῖν ἔστι τὸ εἶναι αὐτοῦ, δεήσει τὸν λόγον ἐκεῖνον μὴ εἶναι ἀτελῆ ἐκείνου τοῦ νοῦ, ὥσπερ οὐδὲ τὸ νοεῖν ἐστὶν ἀτυχής. Τοιοῦτον δ' ὁ θεῖος νοῦς· ἐν γὰρ τῷ Θεῷ, ταυτόν ἐστι τὸ νοεῖν τῷ εἶναι. Δεῖ δὴ τὸν λόγον αὐτοῦ μὴ εἶναι ἀλλότριον τῆς οὐσίας αὐτοῦ, ἀλλ' ὁμοούσιον αὐτῷ. Οὕτω τοίνυν δύναται εὑρεθῆναι πρόοδόν τινος ἐξ ἄλλου, εἴτουν τοῦ λόγου ἐκ τοῦ τὸν λόγον προφέροντος, τῆς ἑνότητος τῆς οὐσίας φυλαττομένης. Ἔνθα δέ ἐστι πρόοδός τινος, ἐκεῖ ἀνάγκη τιθέναι πραγματικὴ ἀναφοράν, ἢ μόνον ἐκ τοῦ μέρους τοῦ προϊόντος, ἡνίκα μὴ λαμβάνει τὴν αὐτὴν φύσιν, ὥσπερ ἡ ἰδία κέκτηται ἀρχή, ὥσπερ φαίνεται ἐν τῇ προόδῳ τῶν κτισμάτων ἐκ τοῦ Θεοῦ· ἢ ἐξ ἑκατέρου μέρους, ἡνίκα δηλαδὴ τὸ

**προϊὸν ἐφικνεῖται τῆς φύσεως τῆς ἰδίας ἀρχῆς, ὥσπερ φαίνεται ἐν τῇ τοῦ ἀνθρώπου γεννήσει· ἔστι γὰρ ἐνταῦθα πραγματικὴ ἀναφορὰ κἂν τῷ Πατρὶ κἂν τῷ Υἱῷ. Ὁ δὲ ἐν τοῖς θείοις λόγος, ἔστιν ὁμοούσιος τῇ ἰδίᾳ ἀρχῇ, ὡς δέδεικται. Λείπεται τοίνυν ἐν τοῖς θείοις, εἶναι πραγματικὴν ἀναφοράν, κἀκ τοῦ μέρους τοῦ λόγου, κἀκ τοῦ τὸν λόγον προφέροντος μέρους.**

**[8.1.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν τοῖς θείοις προσώποις, ἐκ μὲν τῆς οὐσίας, ἔστιν ἡ ἑνάς· ἔστι δὲ ἡ διάκρισις ἐκ τοῦ μέρους τῆς ἀναφορᾶς ἢ τῆς οὐσίας, οὐδὲν πράγματι διαφέρει· λόγῳ δὲ μόνον, ὡς ἐν τοῖς κάτω δειχθήσεται.**

**[8.1.19] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ ἐν τοῖς θείοις προσώποις ἀναφορά, ἔοικε μέν πως τῇ ἀναφορᾷ τῆς ταυτότητος, εἰ τὸ ἓν τῆς οὐσίας θεωροῖτο· ἀλλ' εἰ ἡ τοῦ ἑνὸς ἀπ' ἄλλου πρόοδος θεωροῖτο ἐν τῇ αὐτῇ φύσει, δεήσει τὰς προειρημένας ἐντεῦθεν ἀναφοράς, ὑπάρχειν πραγματικάς.**

**[8.1.20] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι καθάπερ ὁ Θεὸς οὐ μεταβάλλει ἐν τῇ παραγωγῇ τῆς αὐτοῦ δημιουργίας, οὕτως οὐδ' ἐν τῇ προβολῇ τοῦ ἰδίου λόγου μεταβάλλεται· ἀλλ' ὅμως ἡ μὲν κτίσις οὐχ ἅπτεται τῆς οὐσίας καὶ τῆς φύσεως τῆς θείας· ὅθεν ἡ θεία φύσις, οὐ μετέχεται τῇ κτίσει. Καὶ διατοῦτο ἡ ἀναφορὰ τοῦ Θεοῦ πρὸς τὴν κτίσιν οὐχ ὑπάρχει τι ὂν ἐν τῷ Θεῷ, ἀλλὰ μόνον κατά τι ὅπέρ ἐστιν ἐκ τοῦ εἴδους τῆς κτίσεως. Ὁ δὲ λόγος πρόεισιν ὁμοούσιος αὐτῷ τῷ Θεῷ· καὶ διατοῦτο κατ' ἐκεῖνο τὸ ὂν ἐν τῷ Θεῷ, ἀναφέρεται ὁ Θεὸς πρὸς τὸν ἑαυτοῦ λόγον, οὐ κατ' ἐκεῖνο μόνον ὅπέρ ἐστιν ἐκ τοῦ μέρους τοῦ λόγου. Τότε γάρ ἐστιν ἡ ἀναφορὰ πραγματικὴ ἐκ τοῦ μέρους τοῦ ἑνός, καὶ οὐκ ἐκ τοῦ μέρους τοῦ ἑτέρου, ἡνίχ' ἕπεται διὰ τὸ ἐκ τοῦ ἑνός, καὶ οὐ διὰ τὸ καὶ ἐκ τοῦ ἑτέρου, ὥσπερ φαίνεται ἐν τῷ ἐπιστητῷ καὶ τῇ ἐπιστήμῃ· αὗται γὰρ αἱ**
P 204v **ἀναφοραί, τὴν αἰτίαν ἴσχουσι διὰ τῆς | τοῦ ἐπισταμένου ἐνεργείας, οὐ διά τινος ἐπιστητοῦ.**

**[8.1.21] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀναφορὰ ἔχει εἶναι ἀδρανέστατον, ᾗ ἐστι μόνον ἀναφορά· ὧδε δὲ οὐκ ἔστιν ἐν τῷ Θεῷ· οὐ γὰρ ἔχει ἄλλο εἶναι παρὰ τὸ τῆς οὐσίας εἶναι, ὡς ἐν τοῖς κατόπιν φανθήσεται· ὅθεν ὁ λόγος οὐχ ἕπεται.**

**[8.1.22] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισι περὶ τῆς πραγματώδους ἀναφορᾶς, ᾗ ἕτερον ἔχει τὸ εἶναι ἀπὸ τοῦ εἶναι τῆς οὐσίας, ᾗ ἔνεστιν· οὕτω δὲ οὐκ ἔστιν ἐν τῷ προκειμένῳ, ὡς μετὰ ταῦτα διεχθήσεται.**

**[8.1.23] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τῶν θείων προσώπων ταῖς ἀναφοραῖς διακρινομένων, οὐκ ἄλλων διαφέρουσιν ἢ ἑαυτοῖς· αἱ γὰρ ἀνφοραὶ εἰσὶν αὐτὰ τὰ ὑφεστῶτα πρόσωπα, ὡς ἐν τοῖς ἐπιοῦσι δῆλον ἔσται.**

**[8.1.24] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι αἱ οὐσιώδεις ἀποδόσεις, αἵ εἰσιν ἰδιότητες τῆς οὐσίας, εἰσὶν ἐν τῷ Θεῷ πράγματι καὶ οὐκ ἐπινοίᾳ. Ἡ γὰρ ἀγαθότης τοῦ Θεοῦ ἔστι τι πρᾶγμα, ὡς δὲ καὶ ἡ αὐτοῦ σοφία, καὶ οὕτω περὶ τῶν ἄλλων, εἰ καὶ μὴ τῆς οὐσίας διαλλάττουσιν ὅτι μὴ τῷ λόγῳ μόνον· οὕτω δὲ ἐστὶ καὶ περὶ τῶν ἀναφορῶν, ὡς ὑποκατιοῦσι δειχθήσεται.**

**[8.1.25] Πρὸς δὲ τὸ ὄγδοον, ὅτι ἡ τοῦ Θεοῦ οὐσία εἴη ἂν ἀτελής, εἴ τι ἐποίη ἡ αὐτὴ ὃ μὴ εἴη αὐτή. Ἡ δὲ ἀναφορὰ ἐν τῷ Θεῷ ἐστίν ἡ οὐσία αὐτοῦ, ὡς ἐν τοῖς κάτω δῆλον ἔσται.**

**[8.1.26] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ κίνησις καὶ τὸ συμβεβηκὸς ἀναφέρεται πρός τι πρότερον, ὥσπερ ἀτελὲς πρὸς τέλειον. Τότε γὰρ συμβεβηκὸς ἀτελὲς ἐστίν· ἥ τε κίνησις ὁμοίως ἀτελὴς ἐστὶν ἐνέργεια. Ἀλλὰ τοῦθ’ ὃ λέγεται πρός τι, ἐνίοτε ἕπεται τῇ τελειότητι τοῦ πράγματος, ὡς ἐν τῷ νῷ φαίνεται· ἕπεται γὰρ τῇ ἐνεργείᾳ αὐτοῦ, ἥτίς ἐστιν αὐτοῦ τελειότης· καὶ διατοῦτο ἡ θεία τελειότης οὐ διείργει τιθέναι ἀναφορὰν ἐν τῷ Θεῷ, ὥσπερ διείργει τιθέναι κίνησιν καὶ συμβεβηκός.**

**[8.1.27] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ φυσικὸς λόγος, οὐκ ἀνάγεται πρός τι ὂν ἀλλότριον ἑαυτοῦ, οὐ μέντοι κωλύει ἀναφέρεσθαι πρός τι ἐν αὐτῷ· ὅθεν ἐπεὶ κἂν μὴ λέγηται εἶναι ἀναγκαῖον δι’ ἄλλο, λέγεται εἶναι ἀναγκαῖον καθ’ αὐτό.**

**[8.1.28] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐν τῷ Θεῷ ἀναφορὰ πραγματική, ἕπεται τῇ ἐνεργείᾳ τοῦ νοῦ, οὐχ οὕτω μέντοιγε ὅτι αὕτη θεωρεῖται τοῦ νοοῦντος πρὸς τὸ νοούμενον, ἀλλὰ πρὸς τὸν λόγον· τὸ γὰρ νοούμενον, οὐκ ἀνίσχει ἀπὸ τοῦ νοοῦντος, ἀλλ’ ὁ λόγος.**

[8.1.29] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ φυσικὸς λόγος περιγίγνεται διίσχειν πρὸς τὸ δεικνῦναι τὸν Θεὸν εἶναι νοοῦντα, τὸν τρόπον μέντοι τοῦ νοεῖν οὐ δύναται εὑρεῖν ἀποχρώντως. Ὥσπερ γὰρ περὶ Θεοῦ οὐ γνῶναι δυνάμεθα, τί ἐστιν ἀλλ’ ὅτι ἔστιν, οὕτω περὶ αὐτοῦ γνῶναι δυνάμεθα ὅτι νοεῖν, ἀλλ’ οὐ πῶς νοεῖ. Τὸ δὲ συλλαμβάνειν τὸν λόγον ἐν τῷ νοεῖν, πρὸς τὸν τρόπον τείνει τοῦ νοεῖν· ὅθεν ὁ λόγος τοῦτο ἀποχρώντως οὐ δύναται
P 205r ἀποδεικνῦναι· | ἀλλ’ ἐκ τοῦ ὄντος ἐν ἡμῖν ἀμηγέπη, δι’ εἰκόνος τεκμαίρεται.

[8.1.30] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἐν μὲν ταῖς ἄλλαις ἀντιθέσεσιν, αἰεὶ τὸ ἕτερόν ἐστιν, ὡς ἀτελὲς ἢ μὴ ὄν, ἢ ἔχον τι ἐκ τοῦ μὴ ὄντος· ἡ μὲν γὰρ ἀπόφασις ἔστι μὴ ὄν, ἡ δὲ στέρησις, ἔστι τις ἀπόφασις· τοῖν δὲ δυοῖν ἐναντίοιν, τὸ ἕτερον ἔχει τι ἀεὶ στερήσεως· ὅθεν αἱ μὲν ἄλλαι ἀντιθέσεις ἐν τῷ Θεῷ εἶναι δύνανται· ὥσπερ αἱ τῶν ἀναφορῶν ἀντιθέσεις, αἳ ἐξ οὐδετέρου μέρους τὸ ἀτελὲς προβάλλονται.

**243** Hic post εἶναι Aq. habet non

## Κεφάλαιον δεύτερον

## Πότερον ἡ ἀναφορὰ ἐν τῷ Θεῷ ἐστιν ἡ αὐτοῦ οὐσία ἢ οὔ.

[8.2.1] Δεύτερον ζητεῖται, πότερον ἡ ἀναφορὰ ἐν τῷ Θεῷ ἐστιν ἡ αὐτοῦ οὐσία. Καὶ δοκεῖ οὐ δῆτα. Οὐδεμία γὰρ οὐσία ἐστὶν ἀναφορά· ὅπερ ὂν τυγχάνει πρότασίς τις ἄμεσος, ὡσπεροῦν καὶ τόδε, οὐδεμία οὐσία ἐστὶ ποσότης. Οὐδ’ ἄρα ἡ θεία οὐσία ἐστὶν ἀναφορά.

[8.2.2] Ἀλλ’ ἔλεγεν ὅτι ἡ θεία οὐσία ἐστὶν ἡ ἀναφορὰ κατὰ τὸ πρᾶγμα, οὐ μέντοι κατὰ τὸν λόγον. Ἀλλὰ τοὐναντίον, τῷ λόγῳ ᾧ μὴ ἀποκρίνεταί τι πρᾶγμα, ἔστι μάταιόν τι καὶ κενόν. Ἀλλ’ οὐδὲν διακενῆς ἐν τῷ Θεῷ προσήκει τίθεσθαι. Οὐκ ἄρα οἷον τε τὴν ἀναφορὰν λόγῳ μόνῳ τῆς οὐσίας διαφέρειν.

[8.2.3] Ἔτι, τὰ θεῖα πρόσωπα διακρίνεται ταῖς ἀναφοραῖς· μόνη γὰρ ἡ ἀναφορὰ πληθύνει τὴν ἁγίαν Τριάδα, ὡς ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος
P 205v βιβλίῳ. Εἰ τοίνυν τὰ θεῖα πρόσωπα κατὰ τὴν οὐσίαν μὴ διακρίνοιντο, ἡ δ’ ἀναφορὰ οὐδ’ ὁτιοῦν προστίθησιν ἐπὶ τὴν οὐσίαν πράγματι, ἀλλὰ μόνον ἐπινοίᾳ, ἕπεται τὰ θεῖα πρόσωπα διακρίνεσθαι μόνῃ τῇ ἐπινοίᾳ. Ὅπέρ ἐστι τῆς Σαβελλίου αἱρέσεως.

[8.2.4] Ἔτι, τὰ θεῖα πρόσωπα οὐ διακρίνονται κατά τι ἀπολελυμένον· ἕψεται γὰρ διακρίνεσθαι κατ’ οὐσίαν ἐκ τοῦ τὰ περὶ Θεοῦ ἀπροσδιορίστως λεγόμενα σημαίνειν τὴν οὐσίαν αὐτοῦ, οἷον ἡ ἀγαθότης, ἡ σοφία, καὶ τὰ ὁμόλογα. Εἰ τοίνυν αἱ ἀναφοραί εἰσι ταυτὸ ὅπερ ἡ θεία οὐσία, δεήσει ἢ τὰ πρόσωπα μὴ διακρίνεσθαι κατὰ τὰς ἀναφορὰς ἢ τὴν διάκρισιν τῶν προσώπων εἶναι κατὰ τὴν οὐσίαν.

[8.2.5] Ἔτι, εἰ ἡ ἀναφορά ἐστιν αὐτὴ ἡ τοῦ Θεοῦ οὐσία, ἕψεται, ὥσπερ τὸ τὸν Θεὸν εἶναι τὴν αὐτοῦ μεγαλειότητα προσήκειν τῇ τῆς οὐσίας κατηγορίᾳ, οὕτω καὶ τὸ τὸν Θεὸν εἶναι τὴν αὐτοῦ ἀναφορὰν προσήκειν τῇ αὐτοῦ οὐσίᾳ. Ἄρα καὶ τὴν πατρότητα προσήκει ἀναφέρεσθαι πρὸς τὴν τῆς οὐσίας κατηγορίαν, καὶ οὕτω πᾶν τὸ περὶ Θεοῦ λεγόμενον λέγεσθαι κατ’ οὐσίαν· ὅπέρ ἐστιν ἐναντίον τῷ Αὐγουστίνου ἐν τῷ Περὶ Τριάδος πέμπτῳ, | ὅς φησιν· οὐ πᾶν τὸ περὶ Θεοῦ λεγόμενον λέγεται κατ’ οὐσίαν· λέγεται γὰρ ὁ Θεὸς πρός τι, ὥσπερ ὁ Πατὴρ πρὸς τὸν Υἱόν.

**11-13** τὰ – βιβλίῳ] vide supra in apparatu fontium [8.1.14]. **28-29** τῷ – οὐσίαν] cf. Aug., De Trin. V, cap. 4 et 5.

[8.2.6] Χωρὶς δὲ τούτων, ὅτί ποτε κατηγορεῖται κατὰ τοῦ κατηγορουμένου, κατηγορηθήσεται καὶ κατὰ τοῦ ὑποκειμένου. Ἀλλ’ εἰ ἡ ἀναφορὰ εἴη αὐτὴ ἡ οὐσία, αὕτη ἡ κατηγορία ἀληθὴς ἔσται· ὅτι ἡ θεία οὐσία, ἐστὶν ἡ πατρότης· τῷ δ’ ἴσῳ λόγῳ, καὶ αὐτὴ ἡ υἱότης ἔσται ἡ θεία οὐσία. Ἕψεται τοίνυν τὴν υἱότητα, εἶναι τὴν πατρότητα.

[8.2.7] Ἔτι, τὰ ὄντα τὸ αὐτό, οὕτως ἔχουσιν, ὥσθ’ ὃ κατηγορεῖται κατὰ τοῦ ἑνός, κατηγορεῖται καὶ κατὰ θατέρου, κατὰ γὰρ τὸν Φιλόσοφον ἐν τῷ πρώτῳ τῶν Τοπικῶν, κἂν γὰρ ἥντιναοῦν διαφορὰν ἀποδῶμεν, ἀποδεδειχότες ἐσόμεθα, ὅτι οὐ ταυτό· ἀλλὰ τῆς θείας οὐσίας κατηγορεῖται, τὸ σοφίαν εἶναι καὶ δημιουγεῖν τὰ ὄντα, καὶ ὅσ’ ἄττα τοιάδε, ἃ μὴ δοκεῖ κατηγορεῖσθαι τῆς πατρότητος ἢ υἱότητος. Ἡ ἄρα ἐν τοῖς θείοις ἀναφορά, οὐκ ἔστιν ἡ θεῖα οὐσία.

[8.2.8] Ἔτι, τὸ ποιοῦν διάκρισιν ἐν τοῖς θείοις προσώποις, οὐκ ἔστι τὸ αὐτὸ μετὰ τοῦ ἀδιακρίτου. Οὐκ ἄρα εἰσὶ ταυτὸν οὐσία καὶ ἀναφορά.

P 19r/v [8.2.9] Παρὰ ταῦτα, τὸ αὐτὸ κατὰ τὴν ἑαυτοῦ οὐσίαν οὐ δύναται εἶναι ἀρχὴ τῶν ἐναντίων, ὅτι μὴ κατὰ συμβεβηκός. Ἀλλ’ ἡ διάκρισις, ἧς ἔστιν ἀρχὴ ἡ ἀναφορά, ἐν τοῖς θείοις ἀντίκειται τῇ μονάδι, ἧς ἐστιν ἀρχὴ ἡ οὐσία. Ἡ οὐσία ἄρα καὶ ἡ ἀναφορά, οὐκ εἰσὶ τὸ αὐτό.

[8.2.10] Ἔτι, τῶν ὄντων ταυτό, ἐν ὁτῳδήποτε ἐστὶ τὸ ἕν, ἔστι καὶ θάτερον. Εἰ τοίνυν ἡ θεῖα οὐσία καὶ ἡ πατρότης ἔστι ταυτό, ἐν ᾧ ποτέ ἐστι θεῖα οὐσία, ἔσται καὶ ἡ πατρότης. Ἀλλ’ οὐσία θεῖα ἔστιν ἐν τῇ υἱότητι, οὐκοῦν καὶ ἡ πατρότης· ὅπερ φαίνεται εἶναι ψεῦδος.

[8.2.11] Ἔτι, ἡ ἀναφορὰ καὶ ἡ οὐσία διαφέρουσιν ἐν τοῖς θείοις, λόγω γοῦν. Ἀλλ’ ἔνθα ἐστὶ διάφορος ὁ λόγος, ἢ ὁ ὅρος, ἔστι διάφορον καὶ τὸ εἶναι· ὁ γὰρ ὅρος ἐστὶ λόγος δηλῶν τὸ τί ἦν εἶναι. Ἄρα ἐν τοῖς θείοις, ἕτερον ἔσται τὸ τῆς ἀναφορᾶς εἶναι, καὶ ἕτερον τὸ τῆς οὐσίας. Διενήνοχεν ἄρα οὐσία καὶ ἀναφορὰ κατὰ τὸ εἶναι, καὶ ταύτῃ πραγματικῶς.

[8.2.12] Ἔξω δὲ τούτων, πρός τι λέγονται, ὧν τὸ εἶναι ἔστιν ἐν τῷ πρὸς ἕτερόν πως ἔχειν, ὡς λέγεται ἐν ταῖς κατηγορίαις. Τὸ τοίνυν εἶναι τῆς ἀναφορᾶς ἔστιν ἐν τῇ πρὸς ἄλλο ἀποβλέψει, ἀλλ’ οὐ καὶ τὸ τῆς οὐσίας εἶναι. Οὐσία ἄρα καὶ ἀναφορά, οὐκ εἰσὶ ταυτὸ κατὰ τὸ εἶναι· καὶ ταύτῃ τὸ πρότερον.

**37-39** κατὰ – ταυτό] Ar., Top. I, 108b2-4: περὶ ταὐτοῦ καὶ ἑτέρου χρήσιμον, δῆλον (εὑρόντες γὰρ διαφορὰν τῶν προκειμένων ὁποιανοῦν δεδειχότες ἐσόμεθα ὅτι οὐ ταὐτόν).

[8.2.13] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος πέμπτῳ· τὸ πρός τι λέγεται ἐν τῷ Θεῷ, οὐκ οὐσιωδῶς, ἀλλ᾽ ἀναφορικῶς. Τὸ δὲ τὴν θείαν οὐσίαν P 206r δηλοῦν, λέγεται οὐσιωδῶς. Ἄρα ἐν τοῖς θείοις ἡ ἀναφορά, | οὐ σημαίνει τὴν θείαν οὐσίαν· ὡδὶ δὲ τὸ πρότερον.

[8.2.14] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ὅτι ὁ Θεὸς οὐ τῷ αὐτῷ Θεὸς ἐστίν, ᾧ Πατήρ. Ἀλλὰ τῇ θείᾳ οὐσίᾳ ἐστὶ Θεός· τῇ πατρότητι δέ, ἐστὶ πατήρ. Ἡ οὐσία ἄρα, οὐκ ἔστι πατρότης· καὶ ταύτῃ αἱ ἀναφοραί, ἐν τῷ Θεῷ οὐκ εἰσὶν ἡ θεία οὐσία.

[8.2.15] Ἀλλ᾽ ἀντιστρόφως, ὅτί ποτέ ἐστιν ἐν τῷ Θεῷ, ἔστι Θεός, ὡς ὁ Αὐγουστῖνος ἀξιοῖ. Ἡ δ᾽ ἀναφορὰ ἔστιν ἐν τῷ Θεῷ, ὥσπερ ἡ πατρότης ἐν τῷ Πατρί. Ἡ ἀναφορὰ τοίνυν ἔστιν αὐτὸς ὁ Θεός, καὶ αὐτὴ ἡ θεία οὐσία.

[8.2.16] Ἔτι, πᾶν ὑποκείμενον ἐν ᾧ εἰσὶ διάφορα πράγματα, ἔστι σύνθετον. Ἀλλ᾽ ἐν τῷ προσώπῳ τοῦ Πατρός, ἔστι καὶ πατρότης καὶ οὐσία θεῖα. Εἰ τοίνυν ἡ πατρότης καὶ ἡ θεία οὐσία εἰσὶ δύο πράγματα, ἕψεται τὸ πρόσωπον τοῦ Πατρὸς εἶναι σύνθετον· ὃ φαίνεται ψεῦδος ὄν. Δεῖ ἄρα τὴν ἀναφορὰν ἐν τοῖς θείοις εἶναι τὴν οὐσίαν αὐτήν.

[8.2.17] Ἀπόκρισις. Ῥητέον, ὅτι ὑποτεθέντος εἶναι τὰς ἀναφορὰς ἐν τοῖς θείοις, ἐξ ἀνάγκης δεῖ συνομολογεῖν εἶναι ταύτας τὴν θείαν οὐσίαν, ἐπεὶ δεήσει τιθέναι σύνθεσιν ἐν τῷ Θεῷ, καὶ τὰς ἀναφορὰς εἶναι ἐν τοῖς θείοις συμβεβηκότα, πᾶν γὰρ ὃ ἐμφύεταί τι παρὰ τὴν αὐτοῦ οὐσίαν ἔστι συμβεβηκός. Ἔτι, τὰ δεήσει τὶ πρᾶγμα εἶναι αἰώνιον, ὃ μὴ ἔστιν ἡ τοῦ Θεοῦ οὐσία· ἃ πάντα ἐστὶ παράδοξα τῇ ἐκκλησίᾳ. Πρὸς οὖν σαφήνειαν τούτου, ἐπιστητέον ἂν εἴη ὅτι ἐν τοῖς περιεχομένοις ὑπὸ τῷ τοῦ συμβεβηκότος γένει ἔνια λέγεται, κατὰ τὸν τῶν συμβεβηκότων λόγον, ἔνια δ᾽ οὔ· λόγος γὰρ συμβεβηκότος ἐστὶ τὸ ἐνεῖναι· καὶ διατοῦτο φημὶ ἐκεῖνα κατὰ τὸν τῶν συμβεβηκότων τρόπον ἀπαγγέλεσθαι, ὅσα λέγονται ὡς προσισχόμενα ἑτέρῳ, ὥσπερ τὸ ποσὸν καὶ τὸ ποιόν· τὸ γὰρ ποιὸν δηλοῦται, ὡς τινὸς ἐν ᾧ ἐστίν, ἔχει δ᾽ ὣς καὶ περὶ τοῦ ποιοῦ. Τὸ δὲ πρός τι οὐκ ἀπαγγέλλεται κατὰ τὸν τοῦ συμβεβηκότος λόγον· οὐ γὰρ σημαίνεται ὥς τι, ἐν ᾧ ἐστίν, ἀλλὰ πρὸς τὸ ἔξω

**61-62** ὁ – ἀναφορικῶς] cf. Aug., De Trin. V, cap. 5, n. 6 (PL 42, col. 914): In Deo autem nihil quidem secundum accidens dicitur, quia nihil in eo mutabile est; nec tamen omne quod dicitur, secundum substantiam dicitur. Dicitur enim ad aliquid 13 sicut Pater ad Filium, et Filius ad Patrem, quod non est accidens. **65** ὁ – Πατήρ] cf. Aug., De Trin. VII, cap. 5. (PL 42, cols 913-914). **68-69** ὅτί – ἀξιοῖ] cf. Aug., De Trin. V, cap. 5 (PL 42, cols 913-914).

ὄν. Καὶ διατοῦτο καὶ ὁ Φιλόσοφός φησιν, ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά· ὅτι ἡ ἐπιστήμη ἐφόσον ἔστι πρός τι, οὐκ ἔστι τοῦ ἐπισταλμένου, ἀλλὰ τοῦ ἐπιστητοῦ. Ὅθεν ἔνιοι προσέχοντες τὸν νοῦν τῇ ἀκολουθίᾳ τοῦ ὀνομάζειν ἐν τοῖς ἀναφορικοῖς, εἰρήκασι, ταῦτα μὴ εἶναι προσπεφυκότα ταῖς οὐσίαις, ἀλλ’ οἱονεὶ παρ’ ὑφεστῶτα ταύταις· λέγεται γὰρ ὥς τι μέσον τῆς ἀναφερομένης οὐσίας, καὶ πρὸς τοῦθ’ ὃ ἀναφέρεται. Κἀντεῦθεν εἵπετο, τὸ ἐν τοῖς κτιστοῖς μὴ εἶναι τὰς ἀναφορὰς συμβεβηκότα· τὸ γὰρ ἐνεῖναι ἔστι τὸ τοῦ συμβεβηκότος εἶναι. Ὅθεν καί τινες θεολόγοι κατὰ τοὺς Τορεταρίους τὴν δόξαν, μέχρι καὶ τῆς θείας ἀναφορᾶς ἐκτετακότες εἰσί, φάσκοντες τὰς ἀναφοράς μὴ εἶναι ἐν τοῖς προσώποις· | P 206v ἀλλ’ αὐτοῖς μόνον οὗπερ ὑφεστάναι. Καὶ ἐπεὶ τὰ δεῖ εἶναι ἐν τοῖς προσώποις, εἵπετο τὰς ἀναφορὰς μὴ εἶναι θεῖα συμβεβηκότα· καὶ αὖθις, ἐπεὶ πᾶν συμβεβηκὸς προσίσχετο, εἵπετο τὰς ἀναφορὰς μὴ εἶναι θεῖα συμβεβηκότα. Καὶ ταύτῃ ἐπιλύεται ὁ τοῦ Αὐγουστίνου λόγος, ὃν προεξεθέμεθα· ὅτι αἱ ἀναφοραὶ οὐ κατηγοροῦνται τοῦ Θεοῦ κατ’ οὐσίαν, οὔτ’ αὖ κατὰ συμβεβηκός. Ἀλλὰ πρὸς ταύτην τὴν δόξαν, ἕπεται τὴν ἀναφορὰν μὴ εἶναι πράγματι, ἀλλὰ κατ’ ἐπίνοιαν μόνον· πᾶν γὰρ ἢ ἐστὶν οὐσία, ἢ συμβεβηκός. Ὅθεν καί τινες τῶν ἀρχαίων, ἔθεσαν τὰς ἀναφορὰς εἶναι ἐκ τῶν δευτέρων νοητῶν, ὡς τὸ Ὑπόμνημα φησὶν ἐν τῷ ἐνδεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Καὶ διατοῦτο κἀνταῦθα ἀναγκαῖον τοὺς Τορεταρίους λέγειν τὰς θείας ἀναφορὰς μὴ εἶναι ὅτι μὴ κατ’ ἐπίνοιαν. Καὶ ταύτῃ ἕπεται τὴν διάκρισιν τῶν προσώπων, μὴ εἶναι πραγματικήν· ὅπερ ὂν αἱρετικὸν τυγχάνει. Ἔνθέν τοι ῥητέον, ὅτι οὐδὲν προσίσταται ἐνεῖναί τι προσισχόμενον, ὃ τέως οὐ δηλοῦται ὥσπερ προσισχόμενον, ὥσπερ καὶ ἡ ἐνέργεια οὐ δηλοῦται ὡς ἐν τῷ ἐνεργοῦντι, ἀλλ’ ὡς ἀπὸ τοῦ ἐνεργοῦντος, καὶ ὅμως συμβαίνει τὴν ἐνέργειαν εἶναι ἐν τῷ ποιοῦντι. Ὁμοίως οὖν εἰ καὶ τὸ πρός τι οὐκ ἀπαγγέλλεται ὡς προσισχόμενον, ἀλλ’ ἀνάγκη ὅμως ἐνίσχεσθαι. Κἀντεῦθεν ἡ ἀναφορά, ἔστι τι πρᾶγμα· ἡνίκα δέ ἐστι κατ’ ἐπίνοιαν μόνον, τηνικαῦτα οὐκ ἔστι προσισχόμενον. Καὶ ὥσπερ ἐν τοῖς κτιστοῖς πράγμασιν ἀνάγκ’ εἶναι συμβεβηκός, οὕτως ἀνάγκη ἐν τῷ Θεῷ εἶναι οὐσίαν· ὅτι γὰρ ποτέ ἐστιν ἐν τῷ Θεῷ, ἔστιν ἡ αὐτοῦ οὐσία. Ἀνάγκη ἄρα τὰς ἀναφορὰς κατὰ τὸ πρᾶγμα εἶναι

**89-91** ὁ – ἐπιστητοῦ] Ar., Metaph. V, 1021a29-b10: τὸ δὲ μετρητὸν – κατὰ συμβεβηκός. **105-107** τὰς – φυσικά] Ar., Comm. Metaph. XI, comm. 19.

**τὴν θείαν οὐσίαν· αἳ τέως οὐκ ἔχουσι τὸν τῆς οὐσίας τρόπον, ἀλλὰ καθ’ ἕτερον τρόπον κατηγορίας παρὰ τὰ ἄλλα, τὰ οὐσιωδῶς κατηγορούμενα ἐν τῷ Θεῷ.**

**[8.2.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι οὐδεμία οὐσία οὖσα ἐν γένει, δύναται εἶναι ἀναφορά· ἔστι γὰρ ὡρισμένη πρὸς ἓν γένος· καὶ κατὰ τὸ εἰκὸς ἀποτειχίζεται ἄλλου γένους. Ἀλλ’ ἡ θεία οὐσία οὐκ ἔστιν ἐν τῷ τῆς οὐσίας γένει, ἀλλ’ ἔστιν ὑπὲρ πᾶν γένος συνειληφυῖα ἐν ἑαυτῇ, πάντων τῶν γενῶν τὰς τελειότητας. Ὅθεν οὐδὲν προσίσταται τὸ τῶν ἀναφορῶν ἴδιον εὑρίσκεσθαι ἐν αὐτῇ.**

**[8.2.19] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἕτερος ἐστὶν ὁ λόγος τῆς οὐσίας καὶ τῆς ἀναφορᾶς, καὶ ἑκατέρῳ ἀποκρίνεταί τι πράγματι, ὅπέρ ἐστιν ὁ Θεός· οὐ μέντοι τι πρᾶγμα διακεκριμένον, ἀλλ’ ἓν καὶ τὸ αὐτό. Καὶ τοῦτο διαφερόντως συμβαίνει διὰ τὸ δυσὶ λόγοις ἀποκρίνεσθαι πρᾶγμα ἕν, ἐπειδὰν οὐδέτερον**
P 207r **τελείως εἴσω ποιεῖται αὐτό· | καὶ ταύτῃ ἔστιν ἐν τῷ προκειμένῳ.**

**[8.2.20] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ καὶ ἡ ἀναφορὰ μὴ προστίθησιν ἐπὶ τὴν οὐσίαν πρᾶγματι, ἀλλὰ λόγῳ μόνον· ἡ ἀναφορὰ ὅμως ἐστὶ πρᾶγμα τι, ὥσπερ καὶ ἡ ἀγαθότης ἔστι τι πρᾶγμα ἐν τῷ Θεῷ, εἰ μὴ διαφέρει τῆς οὐσίας εἰ μὴ τῷ λόγῳ. Τὸ δ’ ἐν τῷ ἐστὶ καὶ περὶ τῆς σοφίας, καὶ διατοῦτο καθάπερ τὰ εἰς τὴν ἀγαθότητα τείνοντα ἢ τὴν σοφίαν κατὰ τὸ πρᾶγμα συντρέχουσιν ὡς τὸ νοεῖν, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, οὕτω καὶ τὸ ὂν ἴδιον τῆς πραγματικῆς ἀναφορᾶς, εἴτουν τὸ ἀντικεῖσθαι καὶ διακρίνεσθαι, πραγματικῶς ἐν τοῖς θείοις εὑρίσκεται.**

**[8.2.21] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὰ οὐσιωδῶς ἀποδιδόμενα, οὐ μόνον δηλοῦσι τοῦθ’ ὅπέρ ἐστιν ἡ θεία οὐσία, ἀλλὰ καὶ κατὰ τοιόνδε τρόπον· δηλοῦσι γὰρ τὶ ὡς ἐνυπάρχων τῷ Θεῷ· καὶ διατοῦτο ἡ κατὰ τὰ ἀπολύτως λεγόμενα διαφορά, περιίσταται τὴν τῆς οὐσίας ἑτερότητα. Αἱ δὲ θεῖαι ἀναφοραί, εἰ καὶ δηλοῦσι τοῦθ’ ὅπερ ἐστὶν ἡ θεία οὐσία, οὐ κατὰ τὸν τῆς οὐσίας μέντοι τρόπον, ἢ ὡσ’ ἂν ἐνυπάρχουσαι, ἀλλὰ κατὰ τὸν τοῦ πρὸς ἄλλο τρόπον. Ὅθεν ἡ διάκρισις ἡ θεωρουμένη κατὰ τὰς ἀναφορὰς ἐν τοῖς θείοις, οὐ δηλοῖ διάκρισιν ἐν τῇ οὐσίᾳ, ἀλλὰ μόνον ἐν τῷ πρὸς ἄλλο ἔχειν, κατὰ τὸν τῆς προόδου τρόπον, ὡς ἐν τοῖς φθάσασιν ἐξεθέμεθα.**

**121** οὐσία] οὖσα a. corr. P **128** πράγματι] πράγματι a. corr. P

[8.2.18] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι εἰ καὶ ἡ ἀναφορά ἐστιν ἡ θεία οὐσία, οὐ δηλοῦται μέντοι κατὰ τὸν τῆς οὐσίας τρόπον, ὡς ἐν τοῖς ἄνω ἀνεπτυξάμεθα· καὶ διατοῦτο οὐ λέγονται κατ’ οὐσίαν διακρίνεσθαι, ὃ μὴ προσήκει τῇ οὐσίᾳ κατὰ τὸν τοῦ διαλέγεσθαι τρόπον.

[8.2.18] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος κρατεῖ ἐν τοῖς κατηγορουμένοις καθ’ αὑτά. Καθ’ αὑτὸ δὲ κατηγορεῖται τι τινός, ὃ κατηγορεῖται αὐτοῦ κατὰ τὸν ἴδιον λόγον· ὃ δὲ μὴ κατηγορεῖται κατὰ τὸν ἴδιον λόγον, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ταυτότητα, οὐ κατηγορεῖται καθ’ αὑτό. Τῆς γοῦν θείας οὐσίας λεγομένης εἶναι πατρότητος, οὐ κατηγορεῖται ἡ πατρότης τῆς θείας οὐσίας τῇ τοῦ λόγου ταυτότητι, ἀλλὰ διὰ τὴν ταυτότητα τοῦ πράγματος· ὡς δὲ οὐδὲ ἡ οὐσία τῆς πατρότητος, ὡς ἤδη ὑπείπομεν· ἕτερος γάρ ἐστιν ὁ λόγος τῆς οὐσίας, καὶ ἕτερος τῆς ἀναφορᾶς. Καὶ διατοῦτο ἐν τῇ προειρημένῃ ἐπιχειρήσει τύπτει ἡ τοῦ συμβεβηκότος ἀπάτη· εἰ γὰρ καὶ μηδέν ἐστιν ἐν τῷ Θεῷ συμβεβηκός, ἔστιν ὁμοιότης ὅμως συμβεβηκότος, ἐφόσον τὰ περὶ αὐτοῦ τοῦ ἐπινοηματικῶς λεγόμενα κατηγοροῦνται κατὰ συμβεβηκός, καὶ διαφέρουσι τῷ λόγῳ, εἰ καὶ εἰσὶν ἐν τῷ ὑποκειμένῳ.

[8.2.19] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὥσπερ ὁ Φιλόσοφος φησὶν ἐν τῷ τῆς φυσικῆς τρίτῳ, οὐ δεῖ πάντα τὰ αὐτὰ κατηγορεῖσθαι τῶν αὐτῶν καθ’ οἷον δή
P 207v τινα τρόπον, ἀλλὰ μόνον τῶν αὐτῶν τῷ λόγῳ. Ἡ δὲ θεῖα οὐσία καὶ | ἡ πατρότης, εἰ καὶ εἰσὶ ταυτὸ πράγματι, οὐκ εἰσὶ ταυτὸ τῷ λόγῳ· καὶ διατοῦτο οὐκ ἀνάγκη ὅτί ποτε κατηγορεῖται καθ’ ἑνός, κατηγορεῖσθαι καὶ κατὰ θατέρου. Ἐπιστητέον μέντοι, ὅτι ἔνια εἰσὶ τὰ ἑπόμενα τοῖς ἰδίοις λόγοις τῆς οὐσίας, καὶ ἄλλα τοῖς τῆς ἀναφορᾶς· ὥσπερ φαμέν, τὸ κοινὸν ἕπεσθαι τῇ οὐσίᾳ· τὸ δὲ διακρίνειν, ἕπεσθαι τῇ ἀναφορᾷ. Ὅθεν θάτερον θατέρου ἀποφάσκεται· οὔτε γὰρ ἡ οὐσία διαιρεῖ, οὔτε ἡ ἀναφορὰ ἐστὶ κοινή. Ἔνια δὲ οὐχ ὅσον κατὰ τὸ πρώτως σημαινόμενον, ἀλλ’ ὅσον τῷ τῆς διαλέξεως εἰωθότι τρόπῳ ἔχουσί τινα διαφορὰν πρός τε τὸν τῆς οὐσίας λόγον καὶ τῆς ἀναφορᾶς· καὶ ταῦτα κατηγοροῦνται μὲν τῆς τε οὐσίας ἢ τῆς ἀναφορᾶς, οὐκ

**165-167** ὥσπερ – λόγῳ] Ar., Phys. III, 202b14-16: οὐ γὰρ ταὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν τοῖς αὐτοῖς, ἀλλὰ μόνον οἷς τὸ εἶναι τὸ αὐτό.

ἰδίως δέ· καὶ ταῦτ’ εἰσὶ τὰ ἐπίθετα, καὶ τὰ οὐσιώδη ῥήματα, ὡς τὸ ἀγαθός, σοφός, νοεῖν, θέλειν· τὰ τοιαῦτα γὰρ ὅσον πρὸς τὸ δηλούμενον πρᾶγμα, αὐτὴν δηλοῦσι τὴν οὐσίαν· δηλοῦσι μέντοιγε αὐτὴν ὡς ὑποκείμενον, καὶ οὐ χωρὶς καθ’ αὐτήν. Καὶ διατοῦτο ἰδιώτατα λέγονται κατὰ τῶν προσώπων καὶ τῶν ἐν συνθέσει δηλουμένων οὐσιωδῶν ὀνομάτων, ὡς τὸ Θεός, ἢ Πατήρ, ἢ ἀγαθός, ἢ σοφὸς ἢ δημιουργός, καὶ τὰ ἄλλα τὰ τοιάδε· κατὰ δὲ τῆς οὐσίας χωρὶς δηλουμένης καὶ οὐχ ὑποκειμένου τρόπῳ, ἧττον ἰδίως· καὶ πρός γε τῶν ἀναφορῶν, ταῦτα γὰρ προσήκουσι τῷ ὑποκειμένῳ κατ’ οὐσίαν, ἀλλ’ οὐ κατὰ τὰς ἀναφοράς· ὁ Θεὸς γάρ ἐστιν ἀγαθὸς ἢ δημιουργὸς ἐκ τοῦ οὐσίαν ἔχειν, οὐχ ᾧ ἀναφορὰν κέκτηται.

[8.2.20] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ διάκρισιν ποιοῦν, δύναται εἶναι μετὰ τοῦ μήτε διακρίνοντος μήτε διακρινομένου ταυτὸ πράγματι, οὐ μέντοι λόγῳ.

[8.2.21] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὸ ἑνιαῖον τῆς οὐσίας, οὐκ ἀντίκειται τῇ διακρίσει τῶν ἀναφορῶν· ὅθεν οὐχ ἕπεται τὴν ἀναφορὰν καὶ τὴν οὐσίαν εἶναι ἀναιτίαν ἀντικειμένων.

[8.2.22] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὅσα εἰσὶ ταυτὰ πράγματι καὶ λόγῳ, ἀνάγκη ἐν ὁτωοῦν ἐστὶ τὸ ἓν εἶναι καὶ θάτερον. Οὐκ ἀναγκαῖον δὲ ἐν τοῖς οὖσι μὲν ταυτὰ πράγματι λόγῳ δὲ μή· τὸ γὰρ ἐνεστὼς ἔστι ταυτό, ὅπέρ ἐστιν ἀρχὴ τοῦ μέλλοντος, καὶ πέρας τοῦ παρωχηκότος, οὔκουν γε μὴν ἡ τοῦ μέλλοντος ἀρχὴ λέγεται εἶναι ἐν τῷ παρεληλυθότι· ἀλλὰ τοῦθ’ ὅπερ ἐστὶν ἀρχὴ τοῦ μέλλοντος· ὡδὶ δὴ ῥητέον· οὐ τὴν πατρότητα εἶναι ἐν τῷ Υἱῷ, ἀλλὰ τοῦθ’ ὃ ἐστὶν ἣ ἡ οὐσία.

[8.2.23] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐν τοῖς θείοις, οὐδέτι τρόπος ἔστιν εἶναι εἰ μὴ τῆς θείας οὐσίας, ὥσπερ οὐδὲ νοεῖν εἰ μὴ τοῦ νοῦ· καὶ διατοῦτο, ὥσπερ ἐν τῷ Θεῷ ἓν μόνον νοεῖν, οὕτω καὶ εἶναι ἕν. Τῷ τοι μηδενὶ συγχωρητέον τρόπῳ ἢ οἰητέον, ἄλλο εἶναι τὸ τῆς ἀναφορᾶς εἶναι ἐν τοῖς θείοις, καὶ ἄλλο τὸ τῆς οὐσίας. Ὁ λόγος γὰρ οὐ δηλοῖ τὸ εἶναι, ἀλλ’ εἶναι τί· 
P 208r οἷον τί, ὁτιοῦν ἐστιν. Ὅθεν δύο λόγοι πράγματος ἑνὸς | οὐ δεικνύασι δισσὸν

**αὐτοῦ τὸ εἶναι· ἀλλ’ ὅτι περὶ τοῦ πράγματος, διχῇ δύναται λέγεσθαι ὥσπερ τὸ δύναται λέγεσθαι τί ἐστι καὶ ὡς ἀρχῆς καὶ ως τέλους, τῷ διαφόρῳ λόγῳ τῆς ἀρχῆς καὶ τοῦ τέλους.**

**[8.2.24] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἐφόσον ἡ ἀναφορὰ ὑπάρχει συμβεβηκὸς ἐν τοῖς κτίσμασι, τὸ εἶναι αὐτῆς ἐστὶν ἐνεῖναι· ὅθεν τὸ εἶναι αὐτῆς, οὐκ ἔστι πρὸς ἄλλο ἔχειν.**

**[8.2.25] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὰ ἀναφορικὰ λέγονται κατηγορεῖσθαι τοῦ Θεοῦ, οὐκ οὐσιωδῶς· ὅτι οὐ κατηγοροῦνται κατὰ τὸν τῶν ἐνυπαρχόντων τρόπον τῇ οὐσίᾳ, ἀλλὰ κατὰ τὸν τοῦ πρὸς ἄλλο ἔχειν.**

**[8.2.18] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ Θεός, οὐχ ὡς Θεὸν τούτου καὶ Πατὴρ καλεῖται, διὰ τὸν διάφορον ὀνομάζειν τρόπον, τῆς θεότητος καὶ τῆς πατρότητος, ὡς προτεχνολόγηται.**

**213** Hic post ἔχειν Aq. habet non ideo quin illud quod significant, sit substantia.

## Κεφάλαιον τρίτον

## Πότερον αἱ ἀναφοραὶ ποιοῦσι καὶ διακρίνουσι τὰ πρόσωπα ἢ τὰς ὑποστάσεις ἢ οὔ.

**[8.3.1] Τρίτον ζητεῖται, πότερον αἱ ἀναφοραὶ ποιοῦσι καὶ διακρίνουσι τὰ πρόσωπα ἢ τὰς ὑποστάσεις. Καὶ δοκεῖ μὴ δῆτα. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ·** πᾶν τὸ ἀναφορικῶς λεγόμενον ἔστι τι καὶ τοῦ ἀναφορικοῦ περιαιρεθέντος· ὥσπερ ὁ δεσπότης ἄνθρωπος, καὶ ὁ δοῦλος ἄνθρωπος. **Ἀλλὰ τὰ πρόσωπα ἐν τοῖς θείοις λέγονται ἀναφορικῶς. Εἰσὶν ἄρα τι περιαιρεθείσης τῆς ἀναφορᾶς. Οὐκ ἄρα γίνονται διὰ τῶν ἀναφορῶν· οὐδὲν γὰρ εἶναί τι δύναται ὑφαιρεθέντος τοῦ ἰδίου ποιητικοῦ.**

**[8.3.2] Ἦ δ’ ὃς ὅτι ἄνευ τῆς ἐπινοίας τῆς πατρότητος ἐν τοῖς θείοις ὁ Πατὴρ νοεῖται. Ἀλλὰ τοὐναντίον· συμβαίνει γὰρ τὸν Πατέρα ἔτι ἀναφορικῶς λέγεσθαι. Εἰ τοίνυν παρὰ τὴν πατρότητα δεῖ εἶναί τι ἐν τῷ προσώπῳ, ὅτι ἡ πατρότης ἐστὶ πρός τι, τῷ αὐτῷ λόγῳ καὶ ἄνευ τούθ’ ὃ λέγεται Πατὴρ ἀνάγκη τὶ ἐν τῷ προσώπῳ τιθέναι, ὃ μὴ ἀναφορικῶς λέγεται.**

**[8.3.3] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τοῖς αὐτοῖς φησιν, ὅτι** οὐδεμιᾷ μεθόδῳ οἰητέον ἐστι τὸν Πατέρα λέγεσθαι πρὸς ἑαυτόν· **ἀλλ’ ὅτί ποτε ἄρα λέγεται, πρὸς τὸν Υἱὸν λέγεται. Ταυτὸ ἄρα ὃ πρότερον.**

**[8.3.4] Ἀλλ’ ἔλεγεν, ὅτι τοῦθ’ ὅπερ ὁ Πατήρ ἐστιν, ὑφαιρεθείσης τῆς ἀναφορᾶς ἔστιν ἡ οὐσία. Ἀλλ’ ἰτέον ὁμόσε· τὸ κατελειπόμενον μετὰ τὸ ἀναφορικὸν περιαιρεθέν, διὰ τῆς ἀναφορᾶς εἴς τι φέρεται, ὥσπερ φαίνεται ἐν τοῖς προταθεῖσιν ὑποδείγμασι παρ’ αὐτοῦ· ὁ γὰρ ἄνθρωπος διὰ τῆς τοῦ δεσπότου ἀναφορᾶς πρὸς τὸν δοῦλον ἀναφέρεται. Ἀλλ’ ἡ οὐσία οὐκ ἀναφέρεται ἐν τοῖς θείοις· οὔτε γὰρ γεννᾷ οὔτε γεννᾶται. Οὐχ οἷόν τε τοίνυν νοεῖσθαι περὶ τῆς** P 208v **οὐσίας, ἀλλὰ περὶ τῆς ἀναφορᾶς | τοῦ ὑποκειμένου, ᾧ διαφέρει τὸ γεννᾶν καὶ γεννᾶσθαι.**

**[8.3.5] Ἔτι, πρότερόν ἐστιν ἕκαστον ἐν ἑαυτῷ θεωρουμένων, ἢ ὡς πρὸς ἄλλο ἀναφέρεσθαι. Οὐδὲν δὲ γίνεται διὰ τοῦ κατ’ ἐπίνοιαν ὑστέρου θεωρουμένου. Ἡ τοῦ Πατρὸς ἄρα ὑπόστασις οὐ γίνεται διὰ τῆς ἀναφορᾶς, ᾗ πρὸς ἄλλο ἀναφέρεται.**

**5-8** Φησὶ – ἄνθρωπος] Aug., De Trin. VII, cap. 1, n. 2 (PL 42, col. 934): Huc accedit quia omnis essentia quae relative dicitur est etiam aliquid excepto relativo, sicut homo dominus et homo servus et equus iumentum et nummus arra. **16-17** ὁ – ἑαυτόν] Aug., De Trin. VII, cap. 1, n. 2 (PL 42, col. 934): ullo modo ita putandum est Patrem non dici aliquid ad se ipsum, sed quidquid dicitur ad Filium dici.

**[8.3.6] Ἔτι, αἱ ὑποστάσεις ἐν τοῖς θείοις τελειότεραί εἰσιν, ἢ ἐν τοῖς ἀνθρωπείοις πράγμασιν. Ἀλλὰ παρ' ἡμῖν αἱ τῆς ὑποστάσεως ἰδιότητες, οὔτε ποιοῦσιν, οὔτε διακρίνουσι τὰς ὑποστάσεις, ἀλλ' εἰσὶ σημεῖα τῆς διακρίσεως τῶν γεγονυιῶν ὑποστάσεων. Οὐδ' ἄρα ἐν τοῖς θείοις αἱ ἀναφοραὶ ἢ αἱ ἰδιότητες εἰσὶν ἃ ποιοῦσιν ἢ διακρίνουσι τὰς ὑποστάσεις.**

**[8.3.7] Χωρὶς δὲ τούτων, αὐτῆς τῆς γεννήσεως προεπινοεῖται ἡ γεννῶσα ὑπόστασις· τὸ γὰρ γεννῶν νοεῖται ὡς ἀρχὴ τῆς γεννήσεως, προεπινοεῖται δ' αὖθις καὶ η γέννησις τῆς πατρότητος· αἱ γὰρ ἀναφοραὶ ταῖς ἐνεργείαις καὶ τοῖς πάθεσιν ἕπονται, ὡς ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικὰ λέγεται. Προεπινοεῖν ἄρα ἐστὶ τὴν τοῦ Πατρὸς ὑπόστασιν, ἢ τὴν πατρότητα· οὐκ ἄρα γίνεται τῇ πατρότητι· δι' ἴσου δὲ λόγου, οὐδὲ τοῦ Υἱοῦ ὑπόστασις τῇ υἱότητι.**

**[8.3.8] Ἔτι, οὐδὲν εἶδος ποιεῖ καὶ διακρίνει εἰ μὴ ἐν τῷ ἰδίῳ γένει, τό τε γὰρ λευκὸν καὶ τὸ μέλαν τῷ τῆς ποιότητος γένει διακρίνει· ὁμοίως τὲ τὸ μῆκος ποιεῖ τι καὶ διακρίνει ἐν τῷ τῆς ποσότητος γένει. Καὶ ἡ ἀναφορὰ ἄρα οὐ ποιεῖ οὐδὲ διαιρεῖ ὅτι μὴ ἐν τῷ πρός τι γένει. Ἡ δ' ὑπόστασις ἀποδίδοται, ἐν τῷ τῆς οὐσίας γένει. Ἡ ἀναφορὰ ἄρα οὐ διαιρεῖ οὐδὲ ποιεῖ τὴν ὑπόστασιν.**

**[8.3.9] Παρὰ ταῦτα, ἡ ἀναφορὰ ἐν τοῖς θείοις, ἔστι καὶ θεῖα οὐσία. Εἰ τοίνυν ποιεῖ καὶ διακρίνει τὴν ὑπόστασιν, ἢ καθὸ ἐστὶν οὐσία θεῖα, τοῦτο ποιεῖ ἢ καθὸ ἐστὶν ἀναφορά. Οὐκ ἐφόσον δέ ἐστιν οὐσία θεῖα· ἡ γὰρ θεῖα οὐσία, κοινὴ οὖσα τοῖς τρισὶ προσώποις, οὐ δύναται εἶναι διακρίσεως ἀρχή. Ὡς δέ, οὐ δὲ ἐφόσον ἐστὶν ἀναφορά· τῇ γὰρ ἀναφορᾷ, οὐ δηλοῦταί τι καθ' αὐτὸ ὑπάρχον, ὃ σημαίνει τὸ τῆς ὑποστάσεως ὄνομα, ἀλλὰ μόνον ὡς εἴρηται πρός τι. Ἡ ἀναφορὰ ἄρα οὐ διακρίνει ἢ ποιεῖ τὴν ὑπόστασιν.**

**[8.3.10] Ἔτι, οὐδὲν ποιεῖ ἢ διακρίνει ἑαυτό, ἀλλ' ἐν τοῖς θείοις. Αἱ ἀναφοραί εἰσιν αὐταὶ αἱ ὑποστάσεις· ὥσπερ γὰρ οὐ διαφέρει ἡ θεότης τοῦ Θεός, οὕτως οὐ δὲ ἡ πατρότης τοῦ Πατήρ. Αἱ ἀναφοραὶ ἄρα οὐ ποιοῦσιν, οὐδὲ διακρίνουσιν ὑποστάσεις.**

**[8.3.11] Αὖθις, οὐ ζητητέον ἐστὶ περί τινων δύο τινι διακρίνονται, εἰ μὴ ἕν τινι συμβαίνοιεν· ὃ ἄλλου ἐπιόντος διακρίνεται εἰς ἑκάτερον, ὥσπερ ἔστι κοινὸν**

**38-39** αἱ – λέγεται] cf. Ar., Metaph. V, 1021a14-19: τὰ δὲ ποιητικὰ καὶ παθητικὰ κατὰ δύναμιν ποιητικὴν καὶ παθητικὴν καὶ ἐνεργείας τὰς τῶν δυνάμεων, οἷον τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν ὅτι δύναται, καὶ πάλιν τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον ὡς ἐνεργοῦντα.

**τὸ ζῷον ἀνθρώπῳ καὶ ἵππῳ· διακρίνεται δὲ τῆς τοῦ λογικοῦ καὶ ἀλόγου** P 209r **διαφορᾶς ἐπελθούσης· | καὶ διατοῦτο ζητεῖν δυνάμεθα τῷ ποτὲ ὁ ἄνθρωπος καὶ ὁ ἵππος διακρίνονται. Τὰ δὲ ἐν μηδενὶ συνιόντα οὐ δύνανται τῷ προειρημένῳ τρόπῳ διακρίνεσθαι, ἀλλ' ἑαυτοῖς καὶ οὐκ ἄλλω διακρίνοντι. Ἀλλ' ὑποστάσεις δύο ἐν τοῖς θείοις οὐ δύναται συμβαίνειν εἰ μὴ ἐν τῇ οὐσίᾳ, ἐν οὐδενὶ τρόπῳ τῇ ἀναφορᾷ διακρίνεται. Οὐκ ἄρα οἰητέον τὰς ὑποστάσεις ταῖς ἀναφοραῖς διακρίνεσθαι, ἀλλ' ἑαυταῖς.**

**[8.3.12] Ἔτι, οὐδὲν ποιεῖ ὃ προυποτίθεται. Ἀλλ' ἡ ἀναφορὰ προϋποτίθησι διάκρισιν· τῇ γὰρ ἀναφορᾷ τὶ πρᾶγμα πρὸς ἄλλο ἀναφέρεται· ἡ δ' ἀλλότης τὴν διάκρισιν ἐπιφέρει. Ἡ ἀναφορὰ ἄρα οὐ δύναται εἶναι διακρίσεως ἀρχή.**

**[8.3.13] Ἔτι, ὁ ἐκ τοῦ ἁγίου Βίκτορος Ῥηκάρδος, ἐν τῷ τετάρτῳ φησὶ βιβλίῳ τοῦ Περὶ Τριάδος αὐτοῦ·** ὅτι αἱ ὑποστάσεις ἐν τοῖς ἀγγέλοις διακρίνονται μόνῃ τῇ ποιότητι, ἐν δὲ τοῖς θείοις μόνῃ τῇ προόδῳ. **Ἡ πρόοδος δὲ ἐπινοίᾳ διαφέρει τῆς ἀναφορᾶς, ὥσπερ ἡ γέννησις τῆς πατρότητος. Αἱ θεῖαι ἄρα ὑποστάσεις οὐ διακρίνονται ἀναφορᾷ ἀλλὰ τῇ προόδῳ.**

**[8.3.14] Ἔτι, καθάπερ ὁ Δαμασκηνός φησιν, αἱ θεῖαι ὑποστάσεις ταῖς ἰδίαις ἰδιότησι διακρίνονται. Ἰδιότης δὲ τοῦ Πατρὸς τυγχάνει οὖσα τὸ γεννῆσαι τὸν Υἱόν, ὡς ὁ Αὐγουστῖνος φησί· καὶ ἰδιότης Υἱοῦ ἐστὶ τὸ φῦναι παρὰ Πατρός. Τῇ γεννήσει ἄρα καὶ αὐτῷ τῷ φῦναι ὁ Πατὴρ καὶ ὁ Υἱὸς διακρίνονται προόδῳ καὶ οὐ ἀναφορᾷ.**

**[8.3.15] Ἔτι, εἰσὶν ἀναφοραὶ ἐν τοῖς θείοις, αἳ τὰς ὑποστάσεις οὔτε ποιοῦσιν οὔτε διακρίνουσιν, ὥσπερ καὶ ἡ ἰσότης καὶ ἡ ὁμοιότης. Ἄρα οὐδὲ αἱ ἄλλαι ἀναφοραί, οἷον, ἡ πατρότης καὶ ἡ υἱότης διακρίνουσι τὰς ὑποστάσεις.**

**[8.3.16] Ἀλλ' ἀντίξοον ἐστί, τὸ ὑπὸ τοῦ Βοητίου λεγόμενον, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· ὅτι** μόνη ἡ ἀναφορὰ ἐν τοῖς θείοις πληθύνει τὰ θεῖα πρόσωπα. **Τὸ τῆς Τριάδος δὲ πλῆθος, γίνεται διὰ τῶν γεγονυιῶν ὑποστάσεων καὶ διακριθεισῶν. Μόνη ἄρα ἡ ἀναφορὰ ποιεῖ καὶ διακρίνει τὰ πρόσωπα ἢ τὰς ὑποστάσεις.**

**70-72** ὁ – προόδῳ] Rich. S. Vict., De Trin. IV, cap. 15 (PL 196, col. 939C): patet quod in divina natura variatur existentiarum pluralitas secundum solam originem, in angelica autem natura. solam qualitatem. **75-76** ὁ – διακρίνονται] Dam., De fid. orth. III cap. 6 et 7 (PG 94, col. 1001C-1012C). **84-85** τὸ – πρόσωπα] vide supra in apparatu fontium [8.1.4].85-86.

**78** καὶ οὐ a. corr. P

[8.3.16] Ἔτι, ἐκείνοις μόνοις τινὰ διακρίνεται, ἃ μὴ σφῶν αὐτῶν κοινῇ κατηγορεῖται. Ἀλλὰ μόνα τὰ ἀναφορικά, ἰδικῶς κατηγοροῦνται τῶν θείων προσώπων, καὶ οὐ κοινῶς ὡς ὁ Αὐγουστῖνος ἀξιοῖ. Μόνοις ἄρα τοῖς ἀναφορικοῖς τὰ πρόσωπα ἢ αἱ ὑποστάσεις ἐν τοῖς θείοις διακρίνονται.

[8.3.17] Ἀπόκρισις. Ῥητέον, ὅτι περὶ τούτῳ, εἰσὶ δύο δόξαι· ὧν πρώτη ἐστί, τὸ τὰς ἀναφορὰς ἐν τοῖς θείοις μὴ κατασκευάζειν ὑποστάσεις, μηδὲ διακρίνειν, ἀλλὰ τὰς γεγενημένας καὶ διακεκριμένας δεικνῦναι. Οὗ δὴ πρὸς ἔλεγχον ἰστέον, ὅτι τοῦτο τὸ ὄνομα τὸ ὑπόστασις, σημαίνει οὐσίαν ἄτομον, εἴτουν τὸν μὴ δυναμένην κατὰ πλειόνων κατηγορεῖσθαι. Ἔνθέν τοι καὶ τὰ γένη καὶ τὰ εἴδη, ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ, ὡς τὸ ἄνθρωπος καὶ τὸ ζῷον, οὐ δύνανται
P 209v λέγεσθαι ὑπο|στάσεις, κατὰ γὰρ πλειόνων κατηγοροῦνται· ὁ δὲ Σωκράτης καὶ Πλάτων λέγονται ὑποστάσεις, κατηγοροῦνται γὰρ ἑνὸς μόνου. Εἰ τοίνυν ἐν τοῖς θείοις ἡ Τριὰς τῶν προσώπων ὑποτίθοιτο, ὡς τιθέασιν Ἰουδαῖοι, καί τινες ἀσεβεῖς ἄλλοι, οὐκ ἀνάγκη ἐν τοῖς θείοις ἕτερόν τι ποιητικὸν καὶ διαιρετικὸν τῆς ὑποστάσεως ζητεῖν, εἰ μὴ μόνην τὴν θείαν οὐσίαν. Ὁ γὰρ Θεὸς αὐτὸς ἔστι τι ἄτομον ἐν ἑαυτῷ, διακεκριμένον πάντων ἃ μὴ ἔστι Θεός. Ἀλλ᾽ ἐπεὶ ἡ καθολικὴ πίστις τίθησι μίαν οὐσίαν ἐν τρισὶ προσώποις, οὐ δύναται νοεῖσθαι ἡ θεία οὐσία, ὡς διαιρετικὴ καὶ ποιητικὴ τῆς θείας ὑποστάσεως. Τῇ γὰρ θεότητι νοεῖται καθίσταται τὸ ὃν κοινὸν τοῖς τρισὶ προσώποις, καὶ οὕτω λέγεται ὡς εἴρηται κατὰ πλειόνων, καὶ οὐχ ὡς ὑπόστασις ἀμέθεκτος. Τῷ δ᾽ αὐτῷ λόγῳ, οὐδέ τι τῶν ἀπροσδιορίστως λεγομένων περὶ Θεοῦ δύναται νοεῖσθαι ὡς διακριτικὸν καὶ ποιητικὸν ὑποστάσεως· τὰ γὰρ ἀπολύτως λεγόμενα περὶ Θεοῦ, λέγονται κατὰ τὸν τῆς οὐσίας τρόπον. Δεῖ δὴ τιθέναι διαιρετικόν τι καὶ ποιητικὸν τῆς ὑποστάσεως ἐν τοῖς θείοις, τοῦθ᾽ ὃ εὑρίσκεται πρῶτον μὴ κατὰ πλειόνων λεγόμενον, ἀλλ᾽ ἑνὶ μόνῳ, συμβαῖνον. Τοιαῦτα δέ εἰσι δύο· ἀναφορὰ καὶ πρόοδος, εἴτουν γέννησις καὶ πατρότης, καὶ αὐτὸ τὸ γεννᾶσθαι καὶ ἡ υἱότης, ἃ εἰ καὶ ἐν τῷ Θεῷ εἰσὶ ταυτὸ πράγματι, διαφέρουσι μέντοιγε τῷ λόγῳ, καὶ τῷ τοῦ ὀνομάζειν τρόπῳ. Πρῶτον δὲ τούτων ἐστίν, ἡ πρόοδος κατ᾽ ἐπίνοιαν· ἡ γὰρ ἀναφορά, τῇ προόδῳ ἕπεται. Καὶ διατοῦτο τίθησιν ἡ τοῦ Ἱλαρίου δόξα, ὅτι αἱ ὑποστάσεις ἐν τοῖς θείοις γίνονται καὶ

διακρίνονται τῇ προόδῳ· ὃ δηλοῦται ἐπειδὰν λέγηται, ὁ ὢν ἀπ’ ἄλλου, καὶ ἀφ’ οὗ ἄλλος· καὶ ὅτι ἡ τῆς πατρότητος καὶ υἱότητος ἀναφορὰ κατ’ ἐπίνοιαν ἕπονται πρὸς τὴν ποίησιν καὶ διάκρισιν τῶν προσώπων, καὶ ὅτι διὰ τούτων ὁ ὁρισμὸς καὶ ἡ σύστασις τῶν ὑποστάσεων δείκνυται. Ἐξ ὅτου γὰρ Πατήρ λέγεται, δείκνυται τὸ ἀφ’ οὗ ἄλλος· διὰ δὲ τοῦ λέγεσθαι Υἱός, δείκνυται τὸ ὂν ἀπ’ ἄλλου. Οὐκ ἀνάγκη μέντοι κατὰ τήνδε τὴν ἀξίωσιν λέγειν, ὅτι αἱ θεῖαι ὑποστάσεις, εἰ μὴ ἀποκρίνοιντο ταῖς ἀναφοραῖς, ἀποκριθεῖεν ἂν διά τινων ἀπροσδιορίστων, ἐπεὶ αὐταὶ αἱ πρόοδοι, ἀναφορὰν ὑποφαίνουσιν· ὥσπερ γὰρ Πατὴρ πρὸς Υἱὸν λέγεται, οὕτω γεννῶν πρὸς γεννώμενον. Ἀλλ’ αὕτη ἡ ἀξίωσις, οὐκ ἂν εἰκότως στῆναι δύναιτο. Τὸ διακριτικὸν γὰρ καὶ ποιητικὸν τῆς ὑποστάσεως διχῇ δύναται νοεῖσθαι. Ἑνὶ μὲν τρόπῳ ᾧ διακρίνεται καὶ καθίσταται εἰδικῶς, ὥσπερ ὁ ἄνθρωπος τῇ ἀνθρωπότητι, καὶ ὁ Σωκράτης τῇ σωκρατότητι. |[P 210r] Ἑτέρῳ τρόπῳ διακρίνεται καὶ καθίσταται, οἱονεὶ ὁδῷ τινι διακρίσεως καὶ ποιήσεως· οἷονεὶ λέγοιμεν ὁ Σωκράτης ἐστὶν ἄνθρωπος, ἢ Σωκράτης τῇ αὐτοῦ γεννήσει, ἥτίς ἐστιν ὁδὸς πρὸς τὸ εἶδος, ᾧ εἰδικῶς καθίσταται. Φαίνεται τοίνυν τὴν τινὸς πρόοδον, μὴ δύνασθαι νοεῖσθαι ὡς ποιητικὴν καὶ διακριτικὴν αὐτοῦ, εἰ μὴ διὰ τὸ εἰδικῶς ποιεῖν καὶ διακρίνειν. Εἰ γὰρ μὴ τῇ γεννήσει εἰσάγοιτο ἡ ἀνθρωπότης, οὐκ ἄν ποτε τῇ γεννήσει συσταίη ἄνθρωπος. Ἀδύνατον τοίνυν λέγειν, τὴν τοῦ Υἱοῦ ὑπόστασιν καθίστασθαι αὐτῷ τῷ γεννᾶσθαι αὐτοῦ, εἰ μὴ ἐφόσον νοεῖται τὸ γεννᾶσθαι αὐτοῦ, ὁρίζεσθαι πρός τι ὃ εἰδικῶς ποιεῖ. Αὐτὴ δὲ ἡ ἀναφορὰ πρὸς ἣν ὁρίζεται τὸ γεννᾶσθαι αὐτοῦ, ἔστιν ἡ υἱότης. Δεῖ τοίνυν τὴν υἱότητα εἰδικῶς ποιεῖν καὶ διακρίνειν τὴν τοῦ Υἱοῦ ὑπόστασιν, οὐ τὴν πρόοδον, οὐδὲ τὴν ἐν τῇ προόδῳ νοουμένη ἀναφοράν· ὡσπεροῦν καὶ αὐτὴ ἡ πρόοδος, οὐ σημαίνει τι ὑφεστῶς ἐν φύσει, ἀλλ’ εἰς φύσιν τείνον. Καὶ ἐπεὶ πασῶν τῶν τῆς αὐτῆς φύσεως ὑποστάσεων ἔστιν ὁ αὐτὸς λόγος τοῦ γίνεσθαι καὶ διακρίνεσθαι, διατοῦτο παραπλησίως χρὴ κἀκ τοῦ τῆς πατρότητος μέρους νοεῖν, ὅτι ἡ τοῦ Πατρὸς ὑπόστασις, γίνεται καὶ διακρίνεται αὐτῇ τῇ πατρότητι· οὐ γεννήσει δραστικῇ· οὐδὲ γεννήσει

**141** Hic post ἀναφοράν Aq. habet: quia relatio intellecta in origine.

[inclusa]. Καὶ αὕτη ἐστὶν ἡ δευτέρα δόξα ἡ τὰς ἀναφορὰς ποιεῖν καὶ διακρίνειν τὰς ὑποστάσεις, ἀξιοῦσα καὶ τὰ πρόσωπα· ὃ τῷδε τῷ τρόπῳ, οἷόν τε νοεῖσθαι· ἡ πατρότης γάρ ἐστιν αὐτὴ ἡ θεῖα οὐσία ὡς ἀποδέδεικται· καὶ δ’ ἴσου λόγου δύναται εἶναι ταυτὸ ὅπερ ὁ Θεός· ἡ πατρότης τοίνυν ποιοῦσα τὸν πατέρα, ποιεῖ τὸν Θεόν· καὶ ὥσπερ ἡ πατρότης εἰ καὶ εἴη ἡ θεία οὐσία οὐκ ἔστιν ὅμως ἡ κοινὴ ὥσπερ ἡ οὐσία, οὕτω καὶ ὁ Πατήρ· εἰ καὶ ἔστιν αὐτὸ τοῦτο ὅπερ ὁ Θεός, οὐκ ἔστιν ὅμως κοινὸν ὡς Θεός, ἀλλ’ ἴδιον τῷ Πατρί· ὁ τοίνυν Θεὸς ἐφόσον ἐστὶ Θεός, ἔχει τὴν θείαν οὐσίαν καὶ ἐφόσον ἐστὶ Πατήρ, ἔστιν ἴδιον καὶ ἀπὸ τῶν ἄλλων διακεκριμένον· ὅθεν καὶ ἔστιν ὑπόστασις, τὸ δηλοῦν ὑφεστῶς ἐν φύσει τινὶ διακεκριμένον ἀπὸ τῶν ἄλλων· καὶ κατὰ τοῦτον τὸν τρόπον, ἡ πατρότης ποιοῦσα τὸν Πατέρα, ποιεῖ ὑπόστασιν.

[8.3.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὰ θεῖα πρόσωπα, εἰσί τι ὑφαιρεθέντος τοῦ ἀναφορικοῦ· καὶ τὸ τὶ τοῦτο ἐστὶν ἡ οὐσία, ἥτις οὐ λέγεται ἀναφορικῶς. Οὕτω γὰρ ὁ Αὐγουστῖνος ἀξιοῖ, ὡς ἐκ τῶν τούτου ῥημάτων φαίνεται, τοῖς ἀκριβῶς προσέχουσι τὸν νοῦν.

[8.3.19] Ἀμέλει καὶ συμβαίνομεν κἀν τῷ δευτέρῳ καὶ τρίτῳ.

[8.3.20] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ ἀναφορὰ εἰ καὶ μὴ κατὰ τῆς θείας οὐσίας λέγοιτο ὡς εἰδοποιός, λέγεται μέντοι κατὰ τὸν τῆς ταυτότητος τρόπον· εἰ γὰρ καὶ μὴ λέγοιμεν τὴν οὐσίαν γεννᾶν ἢ ἀναφέρεσθαι, φαμὲν μέντοιγε, ὅτι
P 210v ἔστιν αὐτὴ ἡ γέννησις καὶ ἡ ἀναφορά. Κατὰ μέντοι τῶν οὐσιωδῶν | ὀνομάτων τῶν ὡς ἐν συνθέσει ἀποδιδομένων, τὰ ἀναφορικὰ λέγονται καὶ κατὰ τὸν τῆς εἰδοποιήσεως τρόπον· φαμὲν γὰρ ὅτι ὁ Θεός, γεννᾷ Θεόν, καὶ ὁ Θεὸς ἀναφέρεται πρὸς τὸν Θεόν· τὸ αὐτὸ γὰρ νοεῖται ὑποκείμενον, καὶ τῆς ἀναφορᾶς καὶ τῆς οὐσίας, ὡς δέδεικται, ὅτι δὲ αὐτὰ τὰ οὐσιώδη μὴ διακρίνονται. Τὰ κατὰ τοῦτον τὸν τρόπον τῶν ἀναφορικῶν περιαιρεθέντων, νοοῦνται τὰ ὡς ἐν συνθέσει οὐσιώδη ὀνόματα, οὐ διακεκριμένα, ἃ διὰ τῶν ἀναφορῶν ἀναφορικῶς λέγονται.

[8.3.21] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν ἡτινιοῦν θείῃ ὑποστάσει, ἔστι τοῦθ’ ὅπερ ἀπολελυμένως λέγεται, ὃ εἰς τὴν οὐσίαν τείνει· καὶ τοῦτο κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον, πρότερόν ἐστι τοῦ πρὸς ἄλλο λέγεσθαι. Τοῦτο μέντοι τὸ ἀπολύτως λεγόμενον κοινὸν ὄν, οὐ παρέχεται διάκρισιν πρὸς ὑπόστασιν· ὅθεν οὐχ ἕπεται τὸ προεπινοεῖσθαι τὴν ὑπόστασιν τῆς ἀναφορᾶς αὐτῆς.

**147** inclusa] lacuna ca 11 P

[8.3.22] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐν τοῖς ὑποβεβηκόσι πράγμασιν, αἱ ὑποστάσεις κατ᾽ οὐσίαν διακρίνονται· διατοῦτο αἱ ἰδιότητες αἱ ἑπόμεναι τῇ οὐσίᾳ, οὐ δύνανται εἶναι διακρίσεως ἀρχή, ἀλλὰ μᾶλλον διακρίσεως σημεῖον. Αἱ δὲ θεῖαι ὑποστάσεις οὐδενὶ τρόπῳ διακρίνονται κατ᾽ οὐσίαν· ὅθεν ἀνάγκη τὰς ἰδιότητας εἶναι ἀρχὴν διακρίσεως.

[8.3.23] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τῷ τῆς ὑποστάσεως λόγῳ, δύο ἀναγκαῖον εἶναι· ὧν πρῶτον ἐστί, τὸ εἶναι καθ᾽ αὑτὴν ὑφεστῶς, καὶ ἐν ἑαυτῇ ἄτομον· δεύτερον τὸ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων ὑποστάσεων τῆς αὐτῆς φύσεως. Καὶ μὲν δὴ εἰ συμβαίη ἐν τῇ αὐτῇ φύσει ἄλλας εἶναι ὑποστάσεις· οὐχ ἧττον γὰρ ὑπόστασις ἦν ὁ Ἀδάμ, ἡνίκα μή πω ἦσαν ἄλλαι ἐν ἀνθρώποις. Ἀεὶ τοίνυν ἀναγκαῖον ἐστὶ νοεῖν τὴν γεννῶσαν ὑπόστασιν πρὸ τῆς γεννήσεως, ὅσον πρὸς τοῦθ᾽ ὅτι ἡ ὑπόστασις ὑφέστηκεν ἐν ἑαυτῇ μία οὖσα, οὐ καθόσον ἔστιν ἀπὸ τῶν ἄλλων ὑποστάσεων τῶν ἐν τῇ αὐτῇ φύσει διακεκριμένῃ· διὰ γὰρ μόνης τῆς τοιαύτης γεννήσεως, αἱ τῆς αὐτῆς φύσεως ἄλλαι ὑποστάσεις προΐσχονται· ὥσπερ ὁ Ἀδὰμ οὐκ ἦν διακεκριμένος ἀπὸ τῶν ἄλλων ὑποστάσεων τῆς αὐτῆς φύσεως, πρὶν ἂν ἐκ τῆς αὐτοῦ πλευρᾶς φυσικῶς μορφωθείη ἡ Εὔα, καὶ οἱ αὐτοῦ υἱεῖς ἀπ᾽ αὐτοῦ παραφυεῖεν. Ἐν τοῖς θείοις δὲ οὐ πληθύνονται αἱ ὑποστάσεις εἰ μὴ κατὰ πρόοδον τῶν ἄλλων προσώπων ἀφ᾽ ἑνός. Πότερον τοίνυν ἔστιν νοεῖν τὴν τοῦ Πατρὸς ὑπόστασιν ἢ τὴν γέννησιν, καθὸ ὑφεστῶς ἐστίν· οὐ καθὸ μέντοι διακρίνεται ἀπὸ τῶν ἄλλων ὑποστάσεων τῆς αὐτοῦ φύσεως, ἃ οὐ πρόεισι μὴ προϋποτεθείσης
P 211r ταύτης τῆς γεννήσεως. Εἰ δὲ καὶ ὑποστάσεις | ποιοῖεν αἱ ἀναφοραὶ ἐν τοῖς θείοις, καὶ ταύτῃ ποιοῦσιν αὐτὰς ὑφεστώς, τοῦτο ὅμως ποιοῦσιν, ἐφόσον εἰσὶν οὐσία θεῖα· ἡ γὰρ ἀναφορὰ ἣ ἀναφορὰ οὐκ ἔχει τὸ ὑφεστάναι ἢ ὑφεστῶς ποιεῖν· τοῦτο γὰρ μόνον τῆς οὐσίας ἐξαίρετον ὂν τυγχάνει. Διακρίνουσι δὲ αἱ ἀναφοραί, ἐφόσον εἰσὶν ἀναφοραί· οὕτω γὰρ ἀντίθεται τὸ ἀναφερόμενον. Λείπεται τοίνυν αὐτὴν τὴν πατρότητος ἀναφοράν, ἐφόσον ἐστὶ ποιητικὴ τῆς ὑποστάσεως τοῦ Πατρός, ὃ ἔχει ἐφόσον ἐστὶ ταυτὸν τῇ θείᾳ οὐσίᾳ, προσεπινοεῖσθαι τῆς γεννήσεως· καθὸ δὲ διακρίνει, τάυτῃ ἡ γέννησις τῆς πατρότητος προεπινοεῖται. Ἐκ δὲ τοῦ τοῦ Υἱοῦ μέρους, οὐδεμία δυσχέρεια

**187** Hic post ἄλλας Aq. habet non

λείπεται· ἡ γὰρ ἐπίνοια αὐτοῦ τοῦ γεννᾶσθαι, ἡγεῖται τῆς ὑποστάσεως τοῦ γεννωμένου, ἐφόσον νοεῖται ὁδὸς πρὸς αὐτήν· ἔστι γὰρ ἡ γέννησις ὁδὸς πρὸς τὴν οὐσίαν.

[8.3.24] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι, ὥσπερ ἤδη εἴρηται ἡ ἀναφορά, ἐν τοῖς θείοις οὐ μόνον ἐστὶν ἀναφορά, ἀλλὰ καὶ θεῖα οὐσία κατὰ τὸ πρᾶγμα αὐτό· καὶ διατοῦτο δύναται ποιεῖν τι ὑφεστῶς, καὶ οὐ μόνον ἀναφορικόν τι.

[8.3.25] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ ἀναφορά, ὡς εἴρηται, διακρίνειν ἐφόσον ἐστὶν ἀναφορά, ποιεῖ δὲ ὑπόστασιν ἐφόσον ἐστὶν οὐσία θεῖα, καὶ ἑκάτερον ποιεῖ ἐφόσον ἐστὶν ἑκάτερον οὐσία θεῖα καὶ ἀναφορά.

[8.3.26] Πρὸς τὸ δέκατον ῥητέον, τὸ ἰδίᾳ καὶ χωρὶς καὶ τὸ ὡς ἐν συνθέσει ἐν τοῖς θείοις οὐ διαφέρει πράγματι· οὐ γάρ ἐστιν ἐν τῷ Θεῷ συμβεβηκὸς ἢ ὕλῃ, ἀλλὰ μόνον κατὰ τὸν τοῦ ὀνομάζειν τρόπον· ἀφ᾽ οὗ τρόπου, πρόεισι τὸ νοεῖν τὴν θεότητα, ὡς ποιοῦσαν τὸν Θεόν, καὶ τὸν Θεὸν ὡς ἔχονται θεότητα· ἔχει δ᾽ ὡς, καὶ περὶ τῆς πατρότητος καὶ τοῦ Πατρός· εἰ γὰρ καὶ εἰσὶ ταυτὸ κατὰ τὸ πρᾶγμα, διαφέρουσιν ὅμως τῷ ἔθει τοῦ διαλέγεσθαι.

[8.3.27] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι εἰ καὶ ἐν τοῖς θείοις τὸ κατὰ τὸ πρᾶγμα κοινόν, ἔστιν ἐν μόνῃ τῇ τῆς οὐσίας ἑνάδι, ἐν τοῖς θείοις μέντοι προσώποις, θεωρεῖται κοινότης κατὰ τὸν λόγον, κατ᾽ αὐτὸ τοῦτο τὸ εἶναι ὑποκείμενον· ἣ δὴ κοινότης δηλοῦται ἐν ἅπασι τοῖς οὐσιώδεσι τοῖς ὡς ἐν συνθέσει, ἃ δὴ ἐμφαίνει εἶναι ὑποκείμενον ἐν κοινῷ· ὅπερ τὸ Θεός, ὁ ἔχων θεότητα. Τοῦτο τοίνυν ὅπέρ ἐστιν εἶναι ὑποκείμενον τῆς θείας φύσεως, ἔστι κοινὸν τοῖς τρισὶ προσώποις τῇ τοῦ λόγου κοινότητι, εἰ καὶ τὰ τρία πρόσωπα μὴ εἶεν ἓν ὑποκείμενον. ἀλλὰ τρία· ὥσπερ Σωκράτης καὶ Πλάτων, εἰσὶ δύο ἄνθρωποι, εἰ καὶ τὸ εἶναι ἄνθρωπον ἔστιν αὐτοῖς κοινὸν κατὰ τὸν λόγον. Διαφορὰ δὲ ζητεῖται, οὐκ ἐν ἐκείνοις μόνον ἐν οἷς ἔστι τι κοινὸν πράγματι, ἀλλὰ καὶ ἔν, οἷς ἐστί τι κοινὸν κατὰ τὸν λόγον.

[8.3.28] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ ἀναφορὰ προϋποτίθεται διάκρισιν τινῶν καὶ ἀριθμοῦ, ὡς φέρε εἰπεῖν οὐσίας καὶ ποσότητος ἐνίοτε· ἔστι δ᾽ οὗ καὶ
P 211v ἐνεργείας καὶ πάθους· ἀλλὰ τὴν κατὰ πρός τι | διάκρισιν, οὐ προϋποτίθεται ἡ

ἀναφορά, ἀλλὰ ποιεῖ· ὥσπερ ἡ τοῦ διπλασίου ἀναφορά, προϋποτίθησι τὴν ἑτερότητα τοῦ μεγάλου καὶ τοῦ μικροῦ· ταύτην δὲ τὴν ἀναφορὰν τὴν οὖσαν κατὰ τὸ διπλάσιον καὶ ἥμισυ, οὐ προϋποτίθησιν, ἀλλὰ ποιεῖ. Ἐν τοῖς θείοις δὲ οὐκ ἔστιν ἄλλη διάκρισις, εἰ μὴ ἡ κατὰ τὴν ἀναφοράν.

[8.3.29] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τῇ προόδῳ φησὶ Ῥικάρδος, διαιρεῖσθαι τὰ πρόσωπα, ἐφόσον διακρίνονται ταῖς ἀναφοραῖς τῆς προόδου.

[8.3.30] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ὁ Δαμασκηνὸς ἀντὶ ταυτοῦ χρῆται, τὸ γεννῆσαι τὸν Υἱόν, καὶ εἶναι Πατέρα· καὶ διατοῦτο χρῆται ἐνιαχοῦ τῇ προόδῳ ἀντὶ τῆς ἀναφορᾶς.

[8.3.31] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι αἱ ἀναφοραὶ τῆς ὁμοιότητος καὶ τῆς ἰσότητος, οὐ δύνανται διάκρισιν ποιεῖν τῶν προσώπων, ἀλλὰ μᾶλλον προϋποτίθενται ταύτην ἐκείνῳ. Ὁμοιότης γάρ ἐστιν ἡ αὐτὴ ποιότης τῶν διαφερόντων πραγμάτων, ὡσαύτως καὶ ἰσότης ἐστὶ τῶν διαφερόντων πραγμάτων ἡ αὐτὴ ποσότης. Καὶ ταύτῃ φαίνεται διάκρισιν τῶν ὑποκειμένων πραγμάτων προϋποτίθεσθαι· καὶ τῇ ποσότητι καὶ τῇ ποιότητι.

## Κεφάλαιον τέταρτον

## Πότερον ἀναιρουμένης τῆς ἀναφορᾶς κατ’ ἐπίνοιαν μενεῖ ἡ ὑπόστασις ἐν τοῖς θείοις ἢ οὔ.

**[8.4.1]** Τέταρτον ζητεῖται, πότερον ἀναιρουμένης τῆς ἀναφορᾶς κατ’ ἐπίνοιαν μενεῖ ἡ ὑπόστασις ἐν τοῖς θείοις. Καὶ δοκεῖ τι μή. Τὰ γὰρ ἐν τοῖς κτίσμασιν εἰσὶν ἐκσφραγίσματα τῶν ὄντων ἐν τῷ Θεῷ. Ἀλλ’ ἐν τοῖς ἀνθρώποις ἀποβληθεισῶν τῶν ἀναφορῶν καὶ τῶν ἰδιοτήτων ἔτι μένει η ὑπόστασις. Καὶ ἐν τοῖς θείοις ἄρα ὁμοίως.

**[8.4.2]** Ἔτι, τῷ Πατρὶ οὐκ ἔστι ταυτὸ τό τις εἶναι, καὶ τὸ Πατὴρ εἶναι, ἐπεὶ καὶ ὁ Υἱός ἐστί τις καὶ οὐκ ἔστι Πατήρ. Ἀναιρουμένου τοίνυν τοῦ εἶναι Πατήρ, μενεῖ τὸ εἶναί τις. Ἔστι δέ τις, ἐφόσον ἐστὶν ὑπόστασις. Ἀναιρουμένης τοίνυν αὐτῆς <τῆς> πατρότητος κατ’ ἐπίνοιαν μένει ἡ τοῦ Πατρὸς ὑπόστασις.

**[8.4.3]** Ἔτι, ὁτουοῦν νοουμένου διὰ τοῦ ἰδίου ὅρου δύναται ὁτιοῦν πρᾶγμα νοεῖσθαι ἐκβαλλομένου τοῦ μὴ παραλαμβανομένου ἐν τῷ αὐτοῦ ὅρῳ. Ἀλλ’ ἡ ἀναφορὰ οὐ παραλαμβάνεται ἐν τῷ τῆς ὑποστάσεως ὅρῳ. Ἄρα τῆς ἀναφορᾶς ἐκβαλλομένης, ἔτι νοεῖται ἡ ὑπόστασις.

**[8.4.4]** Ἔτι, Ἰουδαῖοι καὶ Ἕλληνες νοοῦσιν ὑπόστασιν ἐν τῷ Θεῷ· νοοῦσι γὰρ τὸν Θεὸν εἶναι χρῆμά τι καθ’ αὐτὸ ὑφεστώς, οὐ μέντοι νοοῦσιν ἐν αὐτῷ πατρότητα καὶ υἱότητα καὶ τὰς τοιάσδε ἀναφοράς. Καὶ τούτων τοίνυν ἐκχωρουσῶν τῶν ἀναφορῶν ἔτι μενεῖ ἡ ὑπόστασις κατ’ ἐπίνοιαν ἐν τοῖς θείοις.

P 212r **[8.4.5]** Χωρὶς δὲ | τούτων, ὃ ἔχει τὸ εἶναι ἐκ τῆς πρὸς ἄλλο συνθήκης ἐκποδὼν γενομένης τῆς προσθήκης μενεῖ τοῦθ’ ᾧ ἐγγίνεται ἡ προσθήκη· καθάπερ ὁ ἄνθρωπος προστίθησιν ἐπὶ τῷ ζῴῳ τὸ λογικόν· ἔστι γὰρ ζῷον λογικὸν ὁ ἄνθρωπος· ὅθεν ἐκποδὼν γινομένου τοῦ λογικοῦ λείπεται τὸ ζῷον. Ἀλλὰ τὸ πρόσωπον προστίθησιν ἰδιότητα ἐπὶ τῇ ὑποστάσει· ἔστι γὰρ τὸ πρόσωπον ὑπόστασις ἰδιότητι διακεκριμένον πρὸς ἀξίαν τεινούσῃ. Ἐκποδὼν τοίνυν χωρούσης τῆς ἰδιότητος τοῦ προσώπου κατ’ ἐπίνοιαν ἔτι λειφθήσεται ἡ ὑπόστασις.

**5** μή] bis acc. P

**[8.4.6] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· ὅτι** ὁ Λόγος ἐστὶ σοφία γεννητή. **Ἡ σοφία δέ, τὴν ὑπόστασιν ὑποτίθησι· τὸ δὲ γεννητόν, τὴν ἰδιότητα. Οἰχομένου τοίνυν ἀπὸ τοῦ Λόγου τοῦ εἶναι γεννητόν, λειφθήσεται ἡ ὑπόστασις τοῦ λόγου· ὁμολόγως δὲ κἂν τοῖς ἄλλοις προσώποις.**

**[8.4.7] Ἄνευ δὲ τούτων, ἀναιρουμένης τῆς πατρότητος καὶ υἱότητος κατ' ἐπίνοιαν, ἔτι μένει ἐν τοῖς θείοις τὸ τὸ ἀπ' ἄλλου, καὶ ἀφ' οὗ ἄλλος. Τοῦτο δὲ ὑποστάσεις ἐμφαίνει. Ἀναιρουμένων τοίνυν τῶν ἀναφορῶν, ἔστι ἀπολείπονται αἱ ὑποστάσεις ἐν τοῖς θείοις.**

**[8.4.8] Ἔτι, ἀναιρουμένης τῆς εἰδοποιοῦ διαφορᾶς, ἔτι μένει τὸ γένος. Ἀλλ' αἱ προσωπικαὶ ἰδιότητες, ποιοῦσι τὰ πρόσωπα ἐν τοῖς θείοις ὥσπερ διαφοραὶ εἰδοποιοί. Ἄρα ἐκβαλλομένων τῶν ἰδιοτήτων, μενεῖ τὸ γένος τοῦ προσώπου· ὅπερ ὂν ὑπόστασις τυγχάνει.**

**[8.4.9] Ἔτι, ὁ Αὐγουστῖνος φησίν· ὅτι ἀναιρουμένου τοῦ, Πατήρ, ἔτι μένει τὸ ἀγέννητος. Ἀλλὰ τὸ ἀγέννητος ἐστὶν ἰδιότης τις, ἧς ὑποκείμενον εἶναι οὐ δύναται, ὅτι μὴ ἡ ὑπόστασις. Ἐκβαλλομένης ἄρα τῆς πατρότητος, ἔτι μενεῖ ἡ τοῦ Πατρὸς ὑπόστασις.**

**[8.4.10] Ἔτι, ὥσπερ αἱ ἀναφοραί εἰσιν ἰδιότητες τῶν ὑποστάσεων, οὕτως αἱ οὐσιώδεις ἀποδόσεις εἰσὶν ἰδιότητες τῆς οὐσίας. Ἀλλὰ μεθισταμένης κατ' ἐπίνοιαν τῆς οὐσιώδους ἀποδόσεως, ἔτι μένει ἡ ἐπίνοια τῆς θείας οὐσίας. Φησὶ γὰρ ὁ Βοήτιος, ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ, ὅτι εἰ καὶ μεθιστᾶσι τὴν ἀγαθότητα ἀπὸ τοῦ Θεοῦ κατ' ἐπίνοιαν, ἔτι μενεῖ τὸ εἶναι Θεόν. Ἀρ' ὁμοίως μεθισταμένων τῶν ἀναφορῶν, ἔτι μένουσιν αἱ ὑποστάσεις ἐν τοῖς θείοις.**

**[8.4.11] Ἔτι, κατὰ τὸν Βοήτιον· ἴδιον τοῦ νοῦ ἐστί, τὸ τὰ συνημμένα κατὰ φύσιν διακρίνειν. Ἡ ἰδιότης δὲ καὶ ἡ ὑπόστασις, εἰσὶ πράγματι συνημμένα ἐν τῷ Θεῷ. Ὁ νοῦς ἄρα ὁ ἀνθρώπινος, δύναται ταῦτα ἀποκρίνειν ἀλλήλων.**

**[8.4.12] Ἔτι, ἀναιρουμένου τοῦ ἐν ἄλλῳ ὄντος, δύναται νοεῖσθαι τὸ ἐν ᾧ ἐστίν· ὥσπερ ἀναιρουμένου τοῦ συμβεβηκότος, δυνατὸν νοεῖσθαι τὸ κατ' οὐσίαν.**
P 212v **Ἀλλ' αἱ ἀναφοραὶ τίθενται εἶναι ἐν ταῖς θείαις ὑποστάσεσιν. | Ἀναιρουμένων ἄρα τῶν ἀναφορῶν κατ' ἐπίνοιαν ἔτι ὑπομενοῦσιν αἱ ὑποστάσεις.**

**30-31** ὁ – γεννητή] Aug., De Trin. VII, cap. 1-2 (PL 42, cols 931-936). **42-43** ὁ – ἀγέννητος] cf. Aug., De Trin. V, cap. 6, n. 7 (PL 42, cols 914-915). **49-50** ὁ – Θεόν] Boet., De hebd.

[8.4.13] Ἀλλὰ τοὐναντίον. Ἐν τοῖς θείοις διάκρισις οὐχ οἶοντε εἶναι εἰ μὴ κατὰ τὰς ἀναφοράς. Αἱ δ' ὑποστάσεις φασί τι διακεκριμένον. Ἀναιρουμένων τοίνυν τῶν ἀναφορῶν, φροῦδαι αἱ ὑποστάσεις ἐν τοῖς θείοις. Ἔτι, ἐν τοῖς θείοις οὐ τίθενται, ὅτι μὴ δύο τρόποι τοῦ κατηγορεῖν, εἴτουν ἡ κατ' οὐσίαν, καὶ ἡ πρός τι· ἀναιρουμένων τοίνυν τῶν ἀναφορῶν, οὐχ ὑπολείπεται, εἰ μὴ κατὰ τὴν οὐσίαν λεγόμενα. Ταῦτα δέ εἰσι τὰ πρὸς τὴν ὕπαρξιν τείνοντα· εἰ ταύτῃ οὐχ ὑπομένουσιν αἱ ὑποστάσεις διακεκριμέναι.

[8.4.14] Ἀπόκρισις. Ῥητέον, ὅτι ὥσπερ ἐν τοῖς φθάσασιν εἴρηται, τινὲς ἔθεσαν τὰς ὑποστάσεις ἐν τοῖς θείοις μὴ γίνεσθαι μηδὲ διακρίνεσθαι ταῖς ἀναφοραῖς, ἀλλὰ κατὰ μόνην τὴν πρόοδον. Τὰς δ' ἀναφορὰς ἔφασαν ἕπεσθαι αὐτῇ τῇ διακρίσει τῶν προσώπων, ὥσπερ πέρατα τῆς προόδου, ἧς ἡ τελειότης τῆς προόδου δηλοῦται, καὶ οὕτως εἴς τινα ἀξίαν τείνειν. Ὅθεν ἐπεὶ τὰ πρόσωπα δοκεῖ εἶναι ὄνομα ἀξίας καὶ νοῦ, ταῖς τοιαύταις ἀναφοραῖς ἔφασαν τὰς
P 19r/v ὑποστάσεις γίνεσθαι πρόσωπα· καὶ ταύτῃ τοι τὰς ἀναφορὰς ἔλεγον εἶναι ποιητικὰς τῶν προσώπων, καὶ οὐχὶ τῶν ὑποστάσεων. Ἀνθ' ὅτου καὶ παρ' ἐνίοις καὶ ἀναφοραὶ προσωπότητες λέγονται· καὶ διατοῦτο ὥσπερ ἐν ἡμῖν ἀναιρουμένων τῶν εἰς ἀξίαν ἡκόντων, ἃ πρόσωπον τινὰ ποιεῖ, καταλείπεται ἡ αὐτοῦ ὑπόστασις, οὕτω κἂν τοῖς θείοις, ἀναιρουμένων κατ' ἐπίνοιαν τούτων τῶν ἀναφορῶν, εἴτε προσωπικῶν καὶ προσώπων, φασὶ λείπεσθαι τὰς ὑποστάσεις, μὴ μέντοι πρόσωπα. Ἀλλ' ἐπεὶ ἤδη ἐν τοῖς ἄνω δέδεικται, ὅτι αἱ προειρημέναι ἀναφοραὶ τὰς ὑποστάσεις ποιοῦσι καὶ διακρίνουσι, διατοῦτο καθ' ἑτέρους ἀξιωτέον ἂν εἴη, ἀναιρουμένων κατ' ἐπίνοιαν τούτων τῶν ἀναφορῶν, ὥσπερ οὐχ ὑπομένουσι τὰ πρόσωπα, οὕτως οὐδὲ αἱ ὑποστάσεις. Ἀναιρουμένου γάρ τινος ποιητικοῦ, οὐ δύναται μένειν τὸ διὰ τούτου γινόμενον.

[8.4.15] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν τοῖς ἀνθρώποις αἱ ὑποστάσεις οὐ γίνονται, οὔτε διὰ τῶν ἀναφορῶν, οὔτε διὰ τῶν ἰδιοτήτων, ὥσπερ ἐν τοῖς θείοις ὡς δέδεικται· καὶ διατοῦτο οὐδὲ ἔοικε.

[8.4.16] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ Πατὴρ ἀπὸ τοῦ αὐτοῦ ἔχει τὸ εἶναί τι, καὶ εἶναι Πατήρ· ἀπὸ τοῦ αὐτοῦ δὲ φημί, κατὰ τὸ πρᾶγμα καὶ οὐ κατὰ τὸν λόγον, ἀλλὰ μᾶλλον διαφέροντος τῷ λόγῳ· ὥσπερ διαφέρει τὸ γενικὸν τοῦ είδικοῦ, ἢ τὸ κοινὸν τοῦ ἰδίου· ὥσπερ φαίνεται τὸν ἄνθρωπον ἀπὸ τοῦ αὐτοῦ οὐσιώδους ἔχειν τὸ εἶναι ζῷον, καὶ εἶναι ἄνθρωπον· οὐ γὰρ εἰσὶν ἑνὸς οὑτινοσοῦν εἴδη πλείω οὐσιώδη, ἕτερα τῷ πράγματι· ἀπὸ γὰρ τῆς ψυχῆς, P 213r ἐφόσον μὲν ἐστὶν αἰσθητική, | ἔχει τὸ εἶναι ζῷον· ἐφόσον δέ ἐστιν αἰσθητικὴ λογική, ἔχει τὸ εἶναι ἄνθρωπος. Διά τοι τοῦτο ὁ ἵππος ἔστι μὲν ζῷον, ἀλλ’ οὐκ ἄνθρωπος· ὅτι οὐκ ἔχει τὴν αὐτὴν αἰσθητικὴν ψυχὴν τῷ ἀριθμῷ, ἣν ὁ ἄνθρωπος ἔχει· καὶ παρὰ τοσοῦτον, οὐδὲ ἔστι τὸ αὐτὸ τῷ ἀριθμῷ ζῷον. Ἔχει δ’ ὣς καὶ τοῦ προκειμένου πέρι· ὁ γὰρ Πατὴρ ἔχει καὶ τὸ εἶναι τίς, καὶ τὸ εἶναι Πατὴρ ἐκ τῆς ἀναφορᾶς· ἀλλὰ τὸ μὲν εἶναι τὶς ἔχει ἐκ τῆς ἀναφορᾶς κοινῇ ληφθείσης· τὸ δ’ εἶναι ὁδὶ τίς, ἔχει ἐκ τῆς ἀναφορᾶς, ἥτις ἐστὶ πατρότης· καὶ διατοῦτο ὁ Υἱός, ἐν ᾧ ἐστὶν ἡ ἀναφορά, ἀλλ’ οὐχ ἑαυτὴ ἀναφορὰ ἥτις ἐστὶ πατρότης, ἔστι τίς, ἀλλ’ οὐχ ὅδε τίς, ὅς ἐστιν ὁ Πατήρ.

[8.4.17] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ ἐν λόγῳ τινός, διχῇ δύναται πίπτειν· εἴτουν ἀνεπτυγμένως καὶ ἐνεργείᾳ, ἢ συνενπτυγμένως καὶ δυνάμει. Ἐν γὰρ τῷ τοῦ ζῴου λόγῳ, οὐ τίθεται ἡ λογικὴ ψυχὴ ἀνεπτυγμένως, καὶ ἐνεργείᾳ· ὡδὶ γὰρ ἂν πᾶν ζῷον ἔχει ψυχὴν λογικήν· ἀλλὰ συνεπτυγμένως καὶ δυνάμει, τὸ γὰρ ζῷον ἐστὶν οὐσία ἔμψυχος αἰσθητική. Ὥσπερ δὲ ὑπὸ τῇ ψυχῇ δυνάμει περιέχεται ἡ λογικὴ ψυχή, οὕτως ὑπὸ τῷ ἐμψύχῳ, τὸ λογικόν· καὶ διατοῦτο ἐπειδὰν ὁ ὅρος τοῦ ζῴου ἐνεργείᾳ ἀποδίδοται τῷ ἀνθρώπῳ, δεῖ τὸ λογικὸν εἶναι διαφορὰν τοῦ ζῴου, καθὸ τὸ ζῷον ἐστὶ ταυτὸν τῷ ἀνθρώπῳ συνεπτυγμένης καὶ δυνάμει. Ὁμοίως δὲ κἂν τῷ προκειμένῳ· ἡ γὰρ ὑπόστασις, κοινῇ ληφθεῖσα, ἔστιν οὐσία διακεκριμένη· ὅθεν ἐπεὶ ἐν τοῖς θείοις οὐ δύναται εἶναι διάκρισιν εἰ μὴ διὰ τῆς ἀναφορᾶς, ἐπειδὰν λέγω θείαν ὑπόστασιν, ἀνάγκη νοεῖσθαι διακεκριμένην ἀναφορᾷ. Καὶ οὕτως ἡ ἀναφορὰ εἰ καὶ μὴ πίπτει ἐν τῷ ὅρῳ τῆς ὑποστάσεως τοῦ ἀνθρώπου, πίπτει ὅμως ἐν τῷ ὅρῳ τῆς ὑποστάσεως τῆς θείας.

[8.4.18] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι Ἰουδαῖοι καὶ Ἕλληνες, οὐ νοοῦσι τὸν Θεὸν διακρίνεσθαι, εἰ μὴ ἀπὸ τῶν ἑτεροφυῶν· ᾗ δὴ διάκρισις γίνεται, δι’ αὐτῆς τῆς θείας οὐσίας. Παρ’ ἡμῖν δ’ ἡ ὑπόστασις νοεῖται ὡς διακριτικὴ ἀπὸ τῶν ὁμοφυῶν, ἀφ’ ὧν οὐ δύναται διακρίνεσθαι, εἰ μὴ διὰ τῆς ἀναφορᾶς μόνον· καὶ διατοῦτο ὁ λογισμὸς οὐ προβαίνει.

[8.4.19] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἑτέρα ἐστὶν ἡ μέθοδος ᾗ ὁρίζονται αἱ οὐσίαι. Αἱ μὲν γὰρ οὐσίαι, οὐχ ὁρίζονται διά τινος τῶν ἔξω τοῦ κατ’ αὐτὰς ὑπάρχοντος· ὅθεν τοῦτο τὸ πρῶτον τιθέμενον ἐν τῷ τῆς οὐσίας ὅρῳ, ἔστι τὸ γένος τὸ κατηγορούμενον ἐν τῷ τί ἐστι τοῦ ὁριζομένου. Τὸ δὲ συμβεβηκός, τὰς διαφορὰς δέχεται κατά τι, τῶν ἔξω τοῦ κατ’ αὐτὰ ὑπάρχοντος ὄντων, εἴτουν διὰ τοῦ ὑποκειμένου, ἀφ’ οὗ τὸ αὐτῶν εἶναι ἤρτηται. Ὅθεν τοῦθ’ ὃ τίθεται ἐν τῷ ὅρῳ τοῦ συμβεβηκότος, χώραν ἐπέχον γένους, ἔστι τι ὑποκείμενον πρᾶγμα· ὥσπερ ὅταν λέγηται, τὸ σιμὸν εἶναι, ῥὶς κοίλη. Ὥσπερ δὴ οὖν ἐν τοῖς
P 213[v] ὅροις τῶν οὐσιῶν ἀπογεγο|νυιῶν τῶν ἀναφορῶν λείπεται τὸ γένος· οὕτως ἐν τῷ ὅρῳ τῶν συμβεβηκότων, ἀπογινομένου τοῦ συμβεβηκότος, ὑπολείπεται τὸ ὑποκείμενον· ἄλλη μέντοι καὶ ἄλλη. Ἀπογενομένης γὰρ τῆς διαφορᾶς λείπεται τὸ γένος, ἀλλ’ οὐ ταυτὸ τῷ ἀριθμῷ· ἀπογενομένου γὰρ τοῦ λογικοῦ, οὐχ ὑπομένει ταυτὸ τῷ ἀριθμῷ ζῷον, ὅπέρ ἐστι ζῷον λογικόν· ἀπογινομένου δὲ τοῦ τιθεμένου, ἐν μοίρᾳ διαφορᾶς ἐν τοῖς τῶν συμβεβηκότων ὅροις, λείπεται ταυτὸ τὸ ὑποκείμενον τῷ ἀριθμῷ· καὶ γὰρ ἀπογενομένου τοῦ κυρτοῦ καὶ τοῦ κοίλου, ἡ αὐτὴ μένει ῥὶς τῷ ἀριθμῷ. Καὶ τοῦτ’ ἐστὶ διὰ τὸ συμβεβηκὸς μὴ πληροῦν τὴν οὐσίαν τοῦ ὑποκειμένου, ὥσπερ ἡ διαφορὰ πληροῖ τὴν οὐσίαν τοῦ γένους. Ἐπὰν τοίνυν λέγηται· τὸ πρόσωπον ὑπόστασις ἰδιότητι διακρινομένη εἰς ἀξίαν τεινούσῃ, οὐ τίθεται ἡ ὑπόστασις ἐν τῷ ὅρῳ τοῦ προσώπου ὡς ὑποκείμενον, ἀλλ’ ὡς γένος. Ὅθεν ἀναιρουμένης τῆς πρὸς ἀξίαν τεινούσης ἰδιότητος, οὐ μένει ἡ ὑπόστασις ἡ αὐτή, δηλαδὴ τῷ ἀριθμῷ, ἢ τῷ εἴδει, ἀλλὰ κατὰ τὸ γένος μόνον καθὸ σῴζεται, ἐν ταῖς ἀλόγοις οὐσίαις.

[8.4.20] Πρὸς τὸ ἕκτον ῥητέον, ἐπειδὰν λέγηται ὁ λόγος ἐστὶ σοφία γεννητή, τὸ σοφίαν ὑποτίθεται μὲν ἀντὶ ὑποστάσεως, οὐ μέντοιγε δηλοῖ ὑπόστασιν· καὶ διατοῦτο ἐν τῇ δηλώσει αὐτῆς οὐ περιέχεται ἡ ἰδιότης, ἀλλ’ ἔστι παρέλκον· ὥσπερ εἰ λέγοιμι ὅτι ὁ Θεός ἐστιν Υἱὸς γεννητός.

[8.4.21] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ ἀπ’ ἄλλου καὶ ἀφ’ οὗ ἄλλος, οὐ διαφέρουσι τῆς πατρότητος καὶ τῆς υἱότητος, εἰ μὴ ὥσπερ τὸ κοινόν, τοῦ ἰδίου· ὁ μὲν γὰρ Υἱός, σημαίνει τὸν ὄντα ἀπ’ ἄλλου διὰ γεννήσεως· ὁ δὲ Πατὴρ δηλοῖ τὸν ἀφ’ οὗ ἄλλος διὰ γεννήσεως· εἰ μὴ τάχά που λέγοιμεν τὸ ἀφ’ οὗ ἄλλος, καὶ ὃς ἀπ’ ἄλλου, πρόοδον παρέχεσθαι, ὁ δὲ Πατὴρ καὶ ὁ Υἱὸς ἀναφορὰς τῇ προόδῳ ἑπομένας. Ἀλλ’ ἐκ τῶν ἄνω εἰρημένων, ἤδη φαίνεται, ὅτι διὰ τῶν προόδων, οὐ γίνεται ὑπόστασις, ἀλλὰ διὰ τῶν ἀναφορῶν.

[8.4.22] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἀναιρουμένης τῆς ποιητικῆς διαφορᾶς, μένει τὸ γένος ἐν κοινῷ, οὐ μέντοι ἐν τῷ αὐτῷ κατὰ τὸ εἶδος καὶ τὸν ἀριθμόν.

[8.4.23] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὁ σκοπὸς τοῦ Αὐγουστίνου, οὐ γέγονε λέγειν λείπεσθαι· ἐν τῷ Θεῷ καὶ Πατρὶ τὸ ἀγέννητος, ἀποβληθείσης τῆς πατρότητος, εἰ μή που καθὸ ἀγέννητος, ἀναιρουμένης τῆς πατρότητος, ἐμφαίνει τὸ διακείμενον τῆς φύσεως, καὶ οὐχὶ ἰδιότητα τοῦ προσώπου. Γέγονε δὲ σκοπὸς αὐτῷ, ὅτι ἀναιρουμένης τῆς πατρότητος, δύναται μένειν τὸ ἀγέννητον ἐν κοινῷ. Οὐ γὰρ ἀνάγκη ὅτί ποτέ ἐστιν ἀγέννητον, εἶναι Πατέρα.

[8.4.24] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ λόγος τῆς ἀγαθότητος, οὐ καθίστησι τὸν λόγον τῆς οὐσίας· οὐ γὰρ νοεῖται τὸ ἀγαθὸν ὡς εἰδοποιὸν τοῦ ὄντος· ἀλλ’ ἡ ἰδιότης, ποιεῖ | τὴν ὑπόστασιν· καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.

P 214r [8.4.25] Πρὸς τὸ ἐνδέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ νοῦς δύναται τινὰ συνεζευγμένα διακρίνειν, οὐ μέντοι πάντα· οὐ γὰρ δύναται διακρίνειν ἐκεῖναι, ὧν θάτερον ἐστὶν ἐκ τοῦ λόγου θατέρου· οὐ γὰρ δύναται διαιρεῖν τὸ ζῷον τοῦ ἀνθρώπου. Ἡ ἰδιότης δέ ἐστιν ἐκ τοῦ τῆς ὑποστάσεως λόγου· καὶ διατοῦτο ὁ λόγος οὐχ ἕπεται.

[8.4.25] Πρὸς δὲ τοὔσχατον ῥητέον, ὅτι μεθισταμένου τοῦ ὄντος ἔν τινι, ὥσπερ ἐν ὑποκειμένῳ, ἢ ὡς ἐν τόπῳ, λείπεται τὸ ἐν ᾧ ἐστίν· οὐ μὴν ἀναιρουμένου τοῦ ὄντος ἔν τινι ὥσπερ τῆς οὐσίας, ἀέρους αὐτοῦ. Οὐ γὰρ ἀναιρουμένου τοῦ λογικοῦ, μενεῖ ὁ ἄνθρωπος· ὡς δὲ καὶ τῆς ἰδιότητος ἀναιρουμένης, οὐ μενεῖ ἡ ὑπόστασις.

## Βιβλίον ἔνατον

## Κεφάλαιον πρῶτον

## Πῶς καὶ τίνα τρόπον ἔχει πρὸς τὴν οὐσίαν καὶ τὴν αὐθυπόστασιν καὶ τὴν ὑπόστασιν.

**[9.1.1] Ἡ ζήτησίς ἐστι περὶ τῶν θείων προσώπων. Καὶ πρῶτον ζητεῖται, πῶς καὶ τίνα τρόπον ἔχει πρὸς τὴν οὐσίαν καὶ τὴν αὐθυπόστασιν καὶ τὴν ὑπόστασιν. Καὶ δοκεῖ πάντῃ εἶναι ταυτά. Φησὶ γὰρ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος, ὅτι** ταυτὸ νοοῦσιν Ἕλληνες ὁμολογοῦντες ἐν τῷ Θεῷ, τρεῖς ὑποστάσεις, καὶ Λατῖνοι ὁμολογοῦντες τρία πρόσωπα. **Ὑπόστασις ἄρα καὶ πρόσωπον σημαίνουσι ταυτό.**

**[9.1.2] Ἀλλ' ἔλεγεν ὅτι τὸ πρόσωπον διαφέρει τῆς ὑποστάσεως, ἐν τῷ τὴν μὲν ὑπόστασιν δηλοῦν τὸ ἄτομον ἡστινοσοῦν φύσεως ἐν τῷ τῆς οὐσίας γένει, τὸ δὲ πρόσωπον ἐμφαίνειν τὸ ἄτομον τῆς λογικῆς φύσεως. Ἀλλ' ἀντίξοον ἐστὶ τὸ λεγόμενον ὑπὸ τοῦ Βοητίου ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ, ὅτι οἱ Ἕλληνες χρῶνται τῷ ὀνόματι τούτῳ, τὸ ὑπόστασις μόνον ἀντὶ τοῦ ἀτόμου τῆς λογικῆς φύσεως. Εἰ τοίνυν τὸ πρόσωπον σημαίνει τὸ ἄτομον τῆς λογικῆς φύσεως, πανταχῶς εἰσι ταυτὰ ὑπόστασις καὶ πρόσωπον.**

**[9.1.3] Ἔτι, τὰ ὀνόματα ἐπιτίθενται ἐκ τῶν λόγων τῶν πραγμάτων οὓς δηλοῦσιν. Ἀλλ' αὐτὸς τῆς ἀτομότητος λόγος ἐστὶν ἔν τε ταῖς οὔσαις τῆς λογικῆς φύσεως ὑποστάσεσι κἀν ταῖς ἄλλαις. Τὸ ἄτομον ἄρα τῆς λογικῆς φύσεως οὐ καθήκει ἔχον ειδικὸν ὄνομα ἐκ τῶν ἄλλων ἀτόμων τῶν ἐν τῷ τῆς οὐσίας γένει, ὡς διὰ τούτου εἶναι διαφορὰν ὑποστάσεως καὶ προσώπου.**

**[9.1.4] Ἔτι, τὸ τῆς αὐθυποστάσεως ὄνομα ἀπὸ τοῦ αὐθυφεστάναι λαμβάνεται. Οὐδὲν δὲ ἄλλο αὐθυφέστηκεν εἰ μὴ τὰ ἄτομα ἐν τῷ τῆς οὐσίας γένει, ἐφ' ὧν ἵδρυνται τὰ συμβεβηκότα καὶ αἱ δευτέραι οὐσίαι, αἵ εἰσι τὰ γένη, καὶ τὰ**
P 214v **εἴδη, | ὡς ἐν ταῖς Κατηγορίαις λέγεται. Μόνα οὖν τὰ ἄτομα ἐν τῷ τῆς οὐσίας γένει διαυθυποστάσεις. Τὸ δὲ ἐν τῷ τῆς οὐσίας γένει ἄτομον, ἔστιν**

**7-9** Φησὶ – πρόσωπα] Aug., De Trin. VII, cap. 3 (PL 42, col. 937): dictum est a nostris Graecis una essentia, tres substantiae, a Latinis autem una essentia, vel substantia, tres Personae. **13-26** τὸ – φύσεως] cf. Boet., De duab. nat. III, (PL 64, col. 1344D): Ideo autem ὑποστάσεις Graeci individuas substantias vocaverunt, quoniam caeteris subsunt, et quibusdam quasi accidentibus supposit. **24-26** Οὐδὲν – λέγεται] Ar., Cat. V, 2a11: Οὐσία δέ ἐστιν…

**ὑπόστασις, ἢ πρόσωπον. Ἄρα ταυτὸ ὑπάρχει αὐθυπόστασις, ὅπερ ὑπόστασις καὶ πρόσωπον.**

**[9.1.5] Ἦ δ’ ὅς, ὅτι** τὰ γένη καὶ τὰ εἴδη τὰ ἐν τῷ τῆς οὐσίας γένει αὐθυφεστήκασι· τούτων γάρ ἐστι τὸ στάναι, **ὡς ὁ Βοήτιός φησιν, ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ. Ἀλλὰ τοὐναντίον, τὸ αὐθυφεστάναι οὐδὲν ἄλλο ἐστίν, ἢ καθ’ αὐτὸ ἐστάναι. Τὸ τοίνυν ἐν ἄλλῳ μόνον ἐστὼς ἀνκαυθυφέστηκεν. Ἀλλὰ τὰ γένη καὶ τὰ εἴδη εἰσὶ μόνον ἐν ἄλλῳ· εἰσὶ γὰρ μόνον ἐν ταῖς πρώταις οὐσίαις, ὧν ἀναιρουμένων, ἀδύνατον ἐστί τι τῶν ἄλλων μένειν, ὡς λέγεται ἐν ταῖς Κατηγορίαις. Οὐκ ἔστι τοίνυν τὸ αὐθυφεστάναι τῶν γενῶν καὶ τῶν εἰδῶν, ἀλλὰ τῶν ἀτόμων μόνον τῶν ἐν τῷ τῆς οὐσίας γένει· καὶ ταύτῃ λείπεται τὴν ἀνθυπόστασιν εἶναι ταυτὸν τῇ ὑποστάσει.**

**[9.1.6] Ἔτι, ὁ Βοήτιός φησιν, ἐν τῷ ὑπομνήματι τῶν Κατηγοριῶν· ὅτι μία εἴτουν ἡ οὐσία σημαίνει τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους. Καὶ τοῦτ’ εἶναι ἀνάγκη τὸ ἄτομον· ἡ γὰρ ὕλη ἐστὶν ἀτομότητος ἀρχή. Ἡ οὐσία ἄρα σημαίνει τὸ ἄτομον· καὶ ταύτῃ ἐστὶ ταυτὸ ὅπερ τὸ πρόσωπον καὶ ἡ ὑπόστασις καὶ ἡ ἀνθυπόστασις.**

**[9.1.7] Ἔτι, ἡ οὐσία ἐστίν, ἣν δηλοῖ ὁ ὅρος· διὰ γὰρ τοῦ ὅρου δηλοῦται τὸ τί ἐστι τοῦ πράγματος. Ὁ δὲ φυσικὸς τοῦ πράγματος ὅρος τοῦ ἐξ ὕλης καὶ εἴδους συνθέτειν, οὐ μόνον περιέχει εἶδος ἀλλὰ καὶ ὕλην, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. Ἡ οὐσία γὰρ ἔστι τι σύνθετον ἐξ ὕλης καὶ εἴδους· καὶ ταυτὸ τὸ πρότερον.**

**[9.1.8] Ὑπολαβὼν δ’ ὃς ἔφη, ὅτι ἡ οὐσία δηλοῖ τὴν κοινὴν φύσιν· τὰ δ’ ἄλλα τρία, εἴτουν ἡ ἀνθυπόστασις, ἡ ὑπόστασις καὶ τὸ πρόσωπον, σημαίνουσι τὸ ἄτομον τὸ ἐν τῷ τῆς οὐσίας γένει. Ἀλλ’ ἀντιληπτέον τοῦ λόγου, τὸ καθόλου καὶ τὸ μερικὸν εὑρίσκονται ἐν ὁτῳοῦν γένει. Ἐν τοῖς ἄλλοις δὲ γένεσιν, οὐ διακρίνονται ὀνόμασι τὸ καθόλου καὶ τὸ μερικόν· ταυτῷ γὰρ ὀνόματι ὀνομάζεται ἡ ποιότης καὶ ἡ ποσότης, εἴτε εἴη καθόλου, εἴτε κατὰ μέρος. Ἄρα οὐδὲ ἐν τῷ τῆς οὐσίας γένει ὀφείλουσιν εἶναι διακεκριμένα ὀνόματα πρὸς τὸ δηλοῦν τὴν καθόλου καὶ κατὰ μέρος οὐσίαν· καὶ οὕτω δοκεῖ τὰ προειρημένα ὀνόματα μὴ διαφέρειν.**

**30-32** τὰ – βιβλίῳ] Boet., De duab. nat. III, (PL 64, col. 1342): Itaque genera vel species subsistunt tantum, neque enim accidentia generibus speciebusve contingunt. Individua vero, non modo subsistunt, verum etiam substant

**46** ἑβδόμῳ] β’ω P (VII Aq.)

[9.1.9] Ἀλλ’ἀντίξοον ἐστί, τὸ ὑπὸ τοῦ Βοητίου λεγόμενον, ἐν τῷ Ὑπομνήματι τῶν Κατηγοριῶν· ὅτι ἡ ἐσέντια, εἴτουν ἡ οὐσία, σημαίνει τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους· ἡ δὲ σουρσυστέντια εἴτουν ἡ οὐσίωσις, δηλοῖ τὸ εἶδος· ἡ δ’ ὑπόστασις, τὴν ὕλην. Τὰ προειρημένα ἄρα διαφέρει.

[9.1.10] Ἔτι, τὸ αὐτὸ δοκεῖ, ἐν ὧν ὁ αὐτὸς συγγραφεὺς ἀποδίδωσι διαφορὰν τῶν προειρημένων ὀνομάτων, ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ.

P 215r [9.1.11] Ἀπόκρισις. | Ῥητέον, ὅτι ὁ Φιλόσοφος ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, τίθησι τὴν ὑπόστασιν λέγεσθαι διχῇ· λέγεται γὰρ ἑνὶ μὲν τρόπῳ ὑπόστασις, αὐτὸ τὸ ἔσχατον ὑποκείμενον, ὃ μὴ κατηγορεῖται ἄλλου· καὶ τοῦτο ἐστὶ τὸ μερικὸν τοῦ γένους τῆς οὐσίας· ἑτέρῳ δὲ τρόπῳ λέγεται ὑπόστασις, ἡ φύσις τοῦ ὑποκειμένου. Λόγος δὲ ταυτησὶ τῆς διακρίσεως τοῦτε καθόλου καὶ τοῦ μερικοῦ ἐστίν, ὅτι εὑρίσκονται πολλὰ ὑποκείμενα ἐν μιᾷ φύσει συνιόντα, ὥσπερ πολλοὶ ἄνθρωποι ἐν τῇ μιᾷ φύσει τὸν ἄνθρωπον. Ὅθεν γέγονεν ἀναγκαῖον διακρίνεσθαι τὸ ὂν ἓν ἀπὸ τοῦ ἄλλου τοῦ πολλὰ ὄντος· ἡ φύσις γάρ ἐστι κοινή, ἣν δηλοῖ ὁ ὅρος ὁ δηλῶν τὸ τί ἐστι τὸ πρᾶγμα· ὅθεν αὐτὴ ἡ φύσις ἡ κοινή, ὑπόστασις ἢ αὐτὸ τί ἐστι καλεῖται. Ὃ τί ποτέ ἐστι τοίνυν ἐν τῷ πράγματι εἰς τὴν κοινὴν φύσιν τελοῦν, ὑπὸ τῷ τῆς οὐσίας ὀνόματι περιέχεται, οὐ πᾶν δὲ τὸ ὂν ἐν τῇ ὑποστάσει τῇ μερικῇ, ἔστι τοσοῦτον. Εἰ γὰρ ὅτί ποτ’ εἴη ἐν τῇ ὑποστάσει τῇ μερικῇ εἰς τὴν κοινὴν φύσιν φέροι, οὐκ ἂν δύναιτο εἶναι διάκρισις, τῶν μερικῶν ὑποστάσεων τῶν τῆς αὐτῆς φύσεως· τὸ δὲ ὂν ἐν τῇ μερικῇ ὑποστάσει παρὰ τὴν κοινὴν φύσιν, ἔστιν ἡ ἀτομίζουσα ὕλη, ἥτις ἐστὶν ἑνικότητος ἀρχή, καὶ κατὰ τὸ ἀκόλουθον τὰ ἀτομικὰ συμβεβηκότα τὰ τὴν προειρημένην ὕλην διορίζοντα. Παραβάλλεται τοίνυν ἡ οὐσία, πρὸς τὴν ὑπόστασιν τὴν μερικήν, ὥσπερ μέρος εἰδικὸν αὐτῆς, ὥσπερ ἡ ἀνθρωπότης πρὸς τὸν Σωκράτην. Καὶ διατοῦτο ἐν τοῖς ἐξ ὕλης καὶ εἴδους συνθέτοις, ἡ οὐσία οὐκ ἔστι ταυτὸ πάντῃ ὅπερ τὸ ὑποκείμενον· ὅθεν οὐδὲ κατηγορεῖται κατὰ τοῦ ὑποκειμένου· οὐ γὰρ λέγεται ὅτι ὁ Σωκράτης, ἔστιν ἡ αὐτοῦ ἀνθρωπότης. Ἐν δὲ ταῖς ἁπλαῖς οὐσίαις, οὐδ’ ἡτισοῦν ἐστι διαφορὰ οὐσίας καὶ ὑποστάσεως· οὐ γάρ ἐστιν ἐν αὐταῖς ὕλη ἀτομικὴ ἀτομίζουσα τὴν κοινὴν

**63-64** ὁ Φιλόσοφος – διχῇ] Ar., Metaph. V, 1017b13; cf. Cat., 3a7-9: Κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. ἡ μὲν γὰρ πρώτη οὐσία οὔτε καθ' ὑποκειμένου λέγεται οὔτε ἐν ὑποκειμένῳ ἐστίν.

**φύσιν, ἀλλ’ αὐτὴ ἡ οὐσία ἐν αὐτοῖς ἐστιν ἀνθυφεστῶς. Καὶ τοῦτο φαίνεται διὰ τοῦ Φιλοσόφου, ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά· καὶ διὰ τοῦ Ἀβικένου, ὅς φησιν ἐν τοῖς αὐτοῦ Μετὰ τὰ φυσικά, ὅτι τὸ τί ἦν εἶναι τοῦ ἁπλοῦ ἔστιν αὐτὸ τὸ ἁπλοῦν. Ἡ δὲ ὑπόστασις ἡ οὖσα ὑποκείμενον, δύο ἔκτηται ἴδια· ὧν πρῶτον ἐστὶ τὸ μὴ δεῖσθαι ἐξωτερικῆς ὑποβάθρας, ἐφ’ οἷς ἂν ἐρείδοιτο, ἀλλ’ ὑπερείδεσθαι ἐφ’ ἑαυτῆς· καὶ διατοῦτο λέγεται αὐθυφεστάναι, οἱονεὶ ἐν ἑαυτῇ καὶ οὐκ ἐν ἄλλοις ἑστάναι. Ἕτερον δὲ τὸ εἶναι κρηπίδα τοῖς συμβεβηκόσιν ἀνέχουσαν αὐτά· καὶ παρατοσοῦτό τοι λέγεται ὑφεστάναι. Οὕτω τοίνυν ἡ ὑπόστασις ἡ οὖσα ὑποκείμενον, καθ’ ὅσον ἐφ’ ἑαυτῆς ἔστηκε, λέγεται οὐσίωσις, ἢ αὐθυπόστατον· ἐφόσον δὲ ὑφίσταται συμβεβηκόσι, | λέγεται ὑπόστασις παρ’ Ἕλλησιν, ἢ σουρβεστάντια πρώτη παρὰ Λατίνοις. Φαίνεται τοίνυν τὴν ὑπόστασιν καὶ τὴν ἀνθυπόστασιν διαφέρειν τῷ λόγῳ, εἶναι δὲ ταυτὸν τῷ πράγματι. Ἡ οὐσία δὲ ἐν μὲν ταῖς**
P 215v **ὑλικαῖς ὑποστάσεσιν, οὐκ ἔστι ταυτὸν αὐταῖς κατὰ τὸ πρᾶγμα, οὐδ’ αὖ τὸ παράπαν ἕτερον· καὶ γὰρ ἔχει ὡς μέρος εἰδικόν· ἐν δὲ ταῖς ἀΰλοις ὑποστάσεσιν, ἔστι πάντῃ καὶ πάντως ταυτὸ κατὰ τὸ πρᾶγμα, διαφέρον δὲ τῷ λόγῳ. Τὸ πρόσωπον δὲ προστίθησιν ἐπὶ τὴν ὑπόστασιν, ὡρισμένην φύσιν· οὐδὲν γὰρ ἄλλο ἐστίν, ἢ ὑπόστασις λογικῆς φύσεως.**

**[9.1.12] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐκ τοῦ τὸ πρόσωπον μὴ προστιθέναι ἐν τῇ ὑποστάσει εἰ μὴ τὴν λογικὴν φύσιν, ἀνάγκη τὴν ὑπόστασιν καὶ τὸ πρόσωπον ἐν τῇ λογικῇ φύσει εἶναι τοπαράπαν ταυτά· ὥσπερ ὁ ἄνθρωπος ἐπειδὰν μηδὲν προστιθῇ ἐν τῷ λογικῷ ζῴῳ, ἀνάγκη τὸ λογικὸν ζῷον εἶναι ἄνθρωπον· καὶ διατοῦτο ἀληθές ἐστι τὸ λεγόμενον ὑπὸ τοῦ Αὐγουστίνου, ὅτι ταυτὸ βούλονται Ἕλληνες, ὁμολογοῦντες ἐν τῷ Θεῷ τρεῖς ὑποστάσεις, καὶ Λατῖνοι ὁμολογοῦντες τρία πρόσωπα.**

**[9.1.13] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦτο τὸ ὄνομα τὸ ὑπόστασις, παρὰ τοῖς Ἕλλησιν ἐκ τῆς ἰδιότητος τῆς σημασίας, ἔχει τὸ δηλοῦν τὴν ἄτομον οὐσίαν, ὡστινοσοῦν φύσεως· ἐκ δὲ τῆς χρήσεως τῶν διαλεγομένων, ἔχει τὸ δηλοῦν τὸ ἄτομον τῆς λογικῆς φύσεως μόνον.**

**85-87** οὐ μ – φυσικά] Ar., Metaph. VII, 6 passim.

**106** τοπαράπαν] τοπαράπαν P

[9.1.14] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὥσπερ ἡ ἄτομος οὐσία ἴδιον ἔχει τὸ καθ’ αὑτὴν ὑπάρχειν, οὕτως ἴδιον ἔχει καὶ τὸ καθ’ αὑτὴν ἐνεργεῖν· οὐδὲν γὰρ ἐνεργεῖ, εἰ μὴ τὸ ὂν ἐνεργείᾳ· καὶ διατοῦτο ἡ θέρμη καθάπερ οὐκ ἔστι καθ’ αὑτήν, οὕτως οὐδὲ καθ’ αὑτὴν ἐνεργεῖ· ἀλλὰ τὸ θερμὸν διὰ τῆς θέρμης θέρει. Τοῦτο δὲ τὸ καθ’ αὑτὸ ἐνεργεῖν, ὑπεροχικωτέρῳ τρόπῳ διαφέρει ταῖς οὐσίαις τῆς λογικῆς φύσεως, ἢ ταῖς ἄλλαις. Μόναι γὰρ αἱ λογικαὶ φύσεις, εἰσὶν αὐτοκράτορες τῶν ἰδίων ἐνεργειῶν, ὡς ἐπ’ αὐταῖς εἶναι τὸ ἐνεργεῖν καὶ μὴ ἐνεργεῖν· αἱ δ’ ἄλλαι οὐσίαι, μᾶλλον ἐνεργοῦνται ἢ ἐνεργοῦσι. Καὶ διατοῦτο κατὰ τρόπον γέγονεν ἐν τῇ ἀτόμῳ οὐσία τῆς λογικῆς φύσεως, ειδικὸν ὄνομα κεῖσθαι.

[9.1.15] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι εἰ καὶ μηδὲν ἀνθυφέστηκεν ὅτι μὴ ἡ ἄτομος οὐσία ἥτις ὑπόστασις λέγεται, οὐ τῷ αὐτῷ μέντοι λόγῳ λέγεται αὐθυφεστάναι, καὶ ὑφεστάναι· ἀλλ’ αὐθυφεστάναι μέν, ἐφόσον μὴ ἔστιν ἐν ἄλλῳ, ὑφεστάναι δέ, διὰ τὸ τὰ ἄλλα ἐπ’ αὐτῆς ἑστάναι. Ὅθεν εἴ τις οὐσία εἴη καθ’ αὑτὴν ὑφεστῶσα, μὴ μέντοι εἴη ἄλλου συμβεβηκότος ὑποκείμενον, δύναιτ’ ἂν ἀνθυπόστασις λέγεσθαι, ἀλλ’ οὐχ ὑπόστασις.

[9.1.16] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ Βοήτιος διαλέγεται κατὰ τὴν τοῦ Πλάτωνος δόξαν, | P 216r ὃς ἠξίου τὰ γένη καὶ τὰ εἴδη εἶναι μορφάς τινας χωριστὰς ἀνθυποστατικάς, περισεσηλυμένας τῶν συμβεβηκότων· καὶ κατὰ τοῦτο ἠδύναντο λέγεσθαι ἀνθυποστάσεις, ἀλλ’ οὐκ ὑποστάσεις· ἢ ῥητέον ὅτι τὸ αὐθυφεστάναι ἐξαιρεῖται τοῖς γένεσι καὶ τοῖς εἴδεσιν, οὐχ ὅτι ἀνθυφεστήκασιν, ἀλλ’ ὅτι τὰ ἄτομα, ἐν ταῖς αὐτῶν φύσεσιν ἀνθυφίστανται καὶ πάντων τῶν συμβεβηκότων ἀναιρουμένων.

[9.1.17] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ οὐσία ἐν ταῖς ἐνύλοις ὑποστάσεσι, σημαίνει τὸ σύνθετον, ἐξ ὕλης καὶ εἴδους, οὐ μέντοι τὸ ἐκ τῆς ἀτομιζούσης ὕλης, ἀλλὰ τὸ ἐκ τῆς κοινῆς· ὁ γὰρ ὅρος τοῦ ἀνθρώπου ὁ σημαίνων τὴν αὐτοῦ οὐσίαν, περιέχει μὲν σάρκας καὶ ὀστᾶ, ἀλλ’ οὐ τάσδε τὰς σάρκας, ἢ τάδε τὰ ὀστᾶ. Ἡ δὲ ἀτομίζουσα ὕλη περιέχεται ἐν τῇ τῆς ὑποστάσεως σημασίᾳ, καὶ τῆς ἀνθυποστάσεως ἐν τοῖς ὑλικοῖς.

[9.1.18] Δι’ οὗ καὶ φαίνεται λύσις πρὸς τὸ ἕβδομον.

**130** ἂν] bis acc. P

**[9.1.19] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὰ συμβεβηκότα οὐκ ἀτομίζονται, εἰ μὴ ἐν τοῖς ἰδίοις ὑποκειμένοις μόνῃ δὲ ἡ ὑπόστασις καθ' αὑτὴν ἀτομίζεται, καὶ κατὰ τὰς ἰδίας ἀρχάς· καὶ διατοῦτο καθηκόντως ἐν μόνῳ τῷ τῆς οὐσίας γένει, τὸ μερικὸν ἔχει ἴδιον ὄνομα.**

**[9.1.20] Τοῖς δὲ ἐκ τοῦ ἀντικειμένου λογισμοῖς συγχωροῦμεν· προσεκτέον μέντοι τὸν νοῦν, ὅτι ὁ Βοήτιος, ἄλλως νοεῖ ταῦτα τὰ ὀνόματα, ἐν τῷ τῶν Κατηγοριῶν ὑπομνήματι, ᾗ ἐστὶν ἡ κοινὴ χρῆσις αὐτῶν, καὶ ὡς ἐκτίθησιν, ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ. Ἀποδίδωσι γὰρ τὸ ὄνομα τῆς ὑποστάσεως τῇ ὕλῃ, ὡσὰν πρώτη ἀρχὴ τοῦ ὑφεστάναι, ἀφ' ἧς ἔχει ἡ πρώτη οὐσία τῷ ὑφεστάναι τῷ συμβεβηκότι· τὸ γὰρ ἁπλοῦν εἶδος, ὑποκείμενον εἶναι οὐ δύναται, ὡς ὁ αὐτός φησι Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Τὸ δὲ τῆς οὐσιώσεως ὄνομα, ἢ τῆς ἀνθυποστάσεως ἀπονέμει τῷ εἴδει, ὡς τοῦ εἶναι ἀρχή, δι' αὐτοῦ γάρ ἐστι τὸ πρᾶγμα ἐνεργείᾳ· τὸ δὲ τῆς οὐσίας ὄνομα ἢ τῆς ἐσεντίας, ἀποδίδωσι τῷ συνθέτῳ. Ὡσὰν πιστώσηται ὅτι ἐν ταῖς ὑλικαῖς οὐσίαις τοσοῦτον τὸ εἶδος ὅσον ἡ ὕλη εἰσὶν οὐσιώδεις ἀρχαί.**

**153, 158** ὡσὰν] ὡσᾶν P

## Κεφάλαιον δεύτερον

## Τί ἐστι πρόσωπον.

**[9.2.1] Δεύτερον ζητεῖται, τί ἐστι πρόσωπον. Ὁρίζεται τοίνυν τοῦτο ὁ Βοήτιος ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ, λέγων ὅτι πρόσωπόν ἐστι** λογικῆς φύσεως, ἄτομος οὐσία. **Δοκεῖ δὲ οὐ προσηκόντως ὁρίσασθαι. Οὐδὲν γὰρ τῶν καθέκαστα ὄνομα ὁρίζεται, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. Τὸ δὲ προσώπων δηλοῖ τὸ καθέκαστον ἐν τῷ τῆς οὐσίας γένει ὡς εἴρηται. Οὐκ ἄρα δύναται ὁρίζεσθαι.**

P 216v **[9.2.2] Ἀλλ’ ἔλεγεν ὅτι εἰ, καὶ τοῦθ’ ὅ ἐστι | πρόσωπόν ἐστι τι αὐθέκαστον, ὁ λόγος μέντοι τοῦ προσώπου ἔστι κοινός, καὶ παρὰ τοῦτο τὸ πρόσωπον ἐν κοινῷ ὁρίζεσθαι δύναται. Ἀλλ’ ἀνάπαλιν, τοῦθ’ ὃ κοινόν ἐστι πάσαις ταῖς ἀτόμοις οὐσίαις τῆς λογικῆς φύσεως, ἐστὶν ἡ ἐπίνοια τῆς ἰδικότητος, ἥτις οὐκ ἔστιν ἐν τῷ τῆς οὐσίας γένει. Οὐκ ἄρα δεῖ ἐν τῷ τοῦ προσώπου ὅρῳ τίθεσθαι τὴν οὐσίαν ὡς γένος.**

**[9.2.3] Ἦ δ’ ὅς, ὅτι τοῦτο τὸ ὄνομα τὸ πρόσωπον οὐ δηλοῖ μόνον τὴν ἐπίνοιαν, ἀλλὰ σὺν ἅμα τὴν ἐπίνοιαν μετὰ τοῦ ὑποκειμένου τῆς ἐπινοίας. Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Φιλοσόφου ἀποδεικνύμενον ἐν τῷ ἑβδόμῳ τῆς Μετὰ τὰ φυσικά, ὅτι τὸ σύνθετον ἐξ ὑποκειμένου καὶ συμβεβηκότος οὐ δύναται ὁρισθῆναι· ἕπεται γὰρ ἀδολεσχία ἐν τῷ ὅρῳ. Ἐπεὶ γὰρ ἐν τῷ τοῦ συμβεβηκότος ὅρῳ τίθεται τὸ ὑποκείμενον, ὥσπερ ἡ ῥὶς ἐν τῷ ὅρῳ τοῦ σίμου, δεήσει ἐν τῷ ὅρῳ τοῦ συνθέτου ἐξ ὑποκειμένου καὶ συμβεβηκότος, τίθεσθαι δὶς τὸ ὑποκείμενον, ἅπαξ ὑπὲρ ἑαυτοῦ καὶ ἅπαξ ὑπὲρ τοῦ συμβεβηκότος. Εἰ τοίνυν τὸ πρόσωπον σημαίνει τὴν ἐπίνοιαν καὶ τὸ ὑποκείμενον, οὐ καθηκόντως ἂν ὁρίζοιτο.**

**[9.2.4] Ἔτι, τὸ ὑποκείμενον ταυτησὶ τῆς κοινῆς ἐπινοίας ἐστὶ καθέκαστον. Εἰ τοίνυν τὸ πρόσωπον δηλοῖ τὴν ἐπίνοιαν ἅμα καὶ τὸ τῆς ἐπινοίας ὑποκείμενον, ἔτι ἕπεται ὁριζομένου τοῦ προσώπου ὁρίζεσθαί τι αὐθέκαστον· ὅπέρ ἐστιν ἄτοπον.**

**3-5** Ὁρίζεται – οὐσία] Boet., De duab. nat. III, (PL 64, col. 1342): Naturae rationalis individua substantia. **17-19** τὸ – ὁρισθῆναι] Ar., Metaph. VII, 1039b27-30: διὰ τοῦτο δὲ καὶ τῶν οὐσιῶν τῶν αἰσθητῶν τῶν καθ' ἕκαστα οὔτε ὁρισμὸς οὔτε ἀπόδειξις ἔστιν, ὅτι ἔχουσιν ὕλην ἧς ἡ φύσις τοιαύτη ὥστ' ἐνδέχεσθαι καὶ εἶναι καὶ μή.

[9.2.5] Ἔτι, ἡ ἐπίνοια οὐ τίθεται ἐν τῷ ὅρῳ τοῦ πράγματος, οὐδὲ τὸ συμβεβηκὸς ἐν τῷ ὅρῳ τῆς οὐσίας. Τὸ πρόσωπον δέ ἐστιν ὄνομα πράγματος καὶ οὐσίας. Ἀτόπως ἄρα ἐν τῷ ὅρῳ τοῦ προσώπου τίθεται τὸ ἄτομον, ὅπέρ ἐστιν ὄνομα ἐπινοίας καὶ συμβεβηκότος.

[9.2.6] Χωρὶς δὲ τούτων, ὅτού ποτε ἐν τῷ ὅρῳ πίπτει ἡ οὐσία ἀντὶ γένους, δεῖ εἶναι εἶδος τῆς οὐσίας. Ἀλλὰ τὸ πρόσωπον, οὐκ ἔστιν εἶδος τῆς οὐσίας, καὶ γὰρ ἂν ἀντιδιηροῖτο τοῖς εἴδεσι τῆς οὐσίας τοῖς ἄλλοις. Ἀτόπως ἄρα τίθεται ἡ οὐσία ἐν τῷ ὅρῳ τοῦ προσώπου ὡς γένος.

[9.2.7] Ἔτι, ἡ οὐσία διαιρεῖται εἰς τὴν πρώτην καὶ τὴν δευτέραν. Ἀλλ' ἡ δευτέρα οὐσία, οὐ δύναται τίθεσθαι ἐν τῷ ὅρῳ τοῦ προσώπου· εἴη γὰρ ἂν ἀντίφασις ἐν τῷ προκειμένῳ· ἐπειδὰν λέγηται οὐσία ἄτομος· ἡ γὰρ Δευτέρα οὐσία, ἔστιν οὐσία καθόλου. Ὁμοίως οὐδὲ ἡ πρώτῃ οὐσία· ἡ γὰρ πρώτη οὐσία, ἔστιν οὐσία ἄτομος· ὡδὶ δὲ ἔσται ἀδολεσχία, προστιθεμένου τοῦ ἀτόμου ἐπὶ τὴν οὐσίαν ἐν τῷ ὅρῳ τοῦ προσώπου. Ἀπεικότως ἄρα τίθεται ἡ οὐσία ἐν τῷ ὅρῳ τοῦ προσώπου.

[9.2.8] Παρὰ ταῦτα, τὸ ὄνομα τοῦ αὐθυποστάτου, ἐγγύτερον εἶναι δοκεῖ, ἢ τὸ τῆς οὐσίας· φαμὲν γὰρ ἐν τῷ Θεῷ τρία αὐθυπόστατα, ὥσπερ καὶ τρία
P 217r πρόσωπα· οὐ φαμὲν δὲ | τρεῖς οὐσίας, ἀλλὰ μᾶλλον μίαν. Προσῆκον ἄρα μᾶλλον τὸ πρόσωπον διὰ τοῦ αὐθυποστάτου ἢ διὰ τῆς οὐσίας ὁρίζεσθαι.

[9.2.9] Ἔτι, τὸ τιθέμενον ἐν τῷ ὅρῳ ὡσανεὶ γένος, πληθύνεται πληθυνομένου τοῦ ὁριζομένου· οἱ γὰρ πολλοὶ ἄνθρωποι, εἰσὶ πολλὰ ζῷα. Ἀλλ' ἐν τῷ Θεῷ εἰσὶ τρία πρόσωπα, οὐ τρεῖς δὲ οὐσίαι. Ἡ οὐσία ἄρα, οὐ δεῖ τίθεσθαι ἐν τῷ ὅρῳ τοῦ προσώπου, οἱονεὶ γένος.

[9.2.10] Ἔτι, τὸ λογικὸν ἐστὶ διαφορὰ τοῦ ζῴου. Ἀλλὰ τὰ πρόσωπα εὑρίσκονται, καὶ ἐν τοῖς μὴ οὖσι ζῴοις, καθάπερ ἀγγέλοις, καὶ τῷ Θεῷ. Τὸ λογικὸν ἄρα οὐκ ὤφειλε τίθεσθαι ἐν τῷ ὅρῳ τοῦ προσώπου.

[9.2.11] Ἔτι, ἡ φύσις ἔστι μόνον ἐν τοῖς κινητοῖς· ἔστι γὰρ ἀρχὴ κινήσεως, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς. Ἡ δὲ οὐσία ἔστι τοσοῦτον ἐν τοῖς κινητοῖς, ὅσον ἐν τοῖς ἀκινήτοις. Ἔστι γὰρ ἔν τε ἀνθρώποις καὶ ἀγγέλοις.

**55-56** ἡ – Φυσικῆς] Ar., Phys. II, 192b20-23: ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός; cf. De coel. I, 268b14-16: Πάντα γὰρ τὰ φυσικὰ σώματα καὶ μεγέθη καθ' αὑτὰ κινητὰ λέγομεν εἶναι κατὰ τόπον· τὴν γὰρ φύσιν κινήσεως ἀρχὴν εἶναί φαμεν αὐτοῖς.

**57** Hic post ἀκινήτοις Aq. habet: Ergo convenientius fuit in definitione personae ponere essentiam quam naturam, cum etiam persona inveniatur tam in rebus mobilibus quam in immobilibus.

[9.2.12] Ἄνευ δὲ τούτων, ὁ ὅρος ὀφείλει ἀντιστρέφειν μετὰ τοῦ ὁριζομένου. Οὐ πᾶν δὲ ὅπέρ ἐστι λογικῆς φύσεως ἄτομος οὐσία, ἔστι πρόσωπον. Ἡ γὰρ θεῖα οὐσία, ἐφόσον ἐστὶν οὐσία, οὐκ ἔστι πρόσωπον, ἐπεὶ εἴη ἂν ἐν τῷ Θεῷ ἓν πρόσωπον, ὥσπερ οὐσία μία. Καὶ ὅμως ἔστι λογικῆς φύσεως ἄτομος οὐσία, οὐ καλῶς τοίνυν ὁρίζεται τὸ πρόσωπον τῷ προειρημένῳ ὅρῳ.

[9.2.13] Ἔτι, ἡ ἀνθρωπεία φύσις ἐν τῷ Χριστῷ, ἔστι λογικῆς φύσεως ἄτομος οὐσία· οὔτε γάρ ἐστι συμβεβηκός, οὔτε καθόλου οὐσία, οὔτε φύσις ἄλογος· καὶ ὅμως ἡ ἀνθρωπεία φύσις ἐν τῷ Χριστῷ, οὐκ ἔστι πρόσωπον· ἕψεται γὰρ τὸ θεῖον πρόσωπον, τὸ προσειληφὸς τὴν ἀνθρωπείαν φύσιν, ἀνειληφέναι ἀνθρώπινον πρόσωπον· καὶ ταύτῃ ἔσονται ἐν τῷ Χριστῷ δύο πρόσωπα, δηλαδὴ τὸ θεῖον τὸ ἀνειληφός, καὶ τὸ ἀνθρώπινον τὸ ἀνειλημμένον· ὅπέρ ἐστι τῆς Νεστορίου αἱρέσεως. Οὐ πᾶσα τοίνυν ἄτομος οὐσία λογικῆς φύσεως ἔστι πρόσωπον.

[9.2.14] Ἔτι, ἡ ψυχὴ ἡ διισχημένη ἀπὸ τοῦ σώματος διὰ τοῦ θανάτου, οὐ λέγεται εἶναι πρόσωπον· καὶ ὅμως ἐστὶ λογικῆς φύσεως ἄτομος οὐσία. Οὐκ ἄρα ὅδε ὁ ὅρος ἐστὶν ἐπιβάλλων τῷ προσώπῳ.

[9.2.15] Ἀπόκρισις. Ῥητέον, ὅτι ὁ λόγος ὡς ἐκ τῶν προειρημένων ἐναπέφηνε τῷ ἐν τῷ τῆς οὐσίας γένει ἄτομον, ἰδίαν εἴληχε προσηγορίαν· ἡ γὰρ οὐσία ἐκ τῶν ἰδίων ἀρχῶν ἀτομίζεται, καὶ οὐκ ἔκ τινος τῶν ἔξωθεν, ὥσπερ τὸ συμβεβηκὸς ἐκ τοῦ ὑποκειμένου. Ἔν τε τοῖς ἀτόμοις τῶν οὐσιῶν, ἀλόγως τὸ ἄτομον ἐν τῇ λογικῇ φύσει, ἰδικῶς ὀνόματι ἐπικέκληται· αὐτοῦ γάρ ἐστιν ἰδίως καὶ ὡς ἀληθῶς τὸ καθ’ αὑτὸ ἐνεργεῖν, ὥσπερ ἀνωτέρω εἴρηται. Ὥσπερ τοίνυν τοῦτο τὸ ὑπόστασις ὄνομα καθ’ Ἕλληνας, ἢ πρώτη οὐσία κατὰ Λατίνους, ἔστιν ἰδικὸν ὄνομα τοῦ ἐν τῷ τῆς οὐσίας γένει ἀτόμου· οὕτω τοῦτο τὸ πρόσωπον ὄνομα, ἔστιν | ἰδικὸν
P 217v ὄνομα τοῦ ἀτόμου τῆς λογικῆς φύσεως. Ἑκατέρα τοίνυν ἰδικότης ὑπὸ τῷ τοῦ προσώπου ὀνόματι περιέχεται. Καὶ διατοῦτο πρὸς μὲν τὸ δεικνῦναι ὅτι ἔστιν ἰδικῶς ἄτομον ἐν τῷ τῆς οὐσίας γένει, λέγεται ὅτι ἐστὶν οὐσία ἄτομος· πρὸς δὲ τὸ δεικνῦναι ὅτι ἔστιν ἰδικῶς ἐν τῇ λογικῇ φύσει, προστίθεται τὸ λογικῆς φύσεως. Διὰ μὲν τοίνυν τοῦ λεγομένου οὐσία,

παρίεται ἀπὸ τοῦ λόγου τοῦ προσώπου τὰ συμβεβηκότα, ὧν οὐδὲν λέγεται πρόσωπον. Διὰ δὲ τοῦ λεγομένου ἄτομος, ἐκβάλλεται τὰ γένη καὶ τὰ εἴδη τὰ ἐν τῷ τῆς οὐσίας γένει, ἃ πρός γε πρόσωπα οὐ δύνανται λέγεσθαι· ὃ δὲ πρόσκειται λογικῆς φύσεως περιαιρεῖ τὰ ἄψυχα σώματα, οἷον φυτὰ καὶ ἄλογα, ἃ πρόσωπα οὐκ εἰσί.

[9.2.16] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν τῇ μερικῇ οὐσίᾳ, ἔστι τρία ἐπισκοπεῖν· ὧν μὲν ἓν ὂν τυγχάνει, ἡ φύσις τοῦ γένους καὶ τοῦ εἴδους, ὡς ἐν τοῖς καθέκαστα ὑπάρχουσι· δεύτερον ἐστὶν ὁ τρόπος τῆς ὑπάρξεως τῆς τοιαύτης φύσεως, ἐν γὰρ τῇ καθέκαστα οὐσίᾳ ὑπάρχει ἡ φύσις τοῦ γένους καὶ τοῦ εἴδους, ὡς ἰδίᾳ τούτῳ τῷ ἀτόμῳ καὶ οὐχ ὡς πολλοῖς κοινῇ· τρίτον ἐστὶν ἡ ἀρχή, ἀφ' ἧς τὴν αἰτίαν ἴσχει ὁ τοιοῦτος τρόπος τῆς ὑπάρξεως. Ὥσπερ δὲ ἡ φύσις ὑφ' ἑαυτῆς θεωρουμένῃ κοινὴ ἐστίν, οὕτω καὶ ὁ τρόπος τῆς ὑπάρξεως τῆς φύσεως· οὐ γὰρ εὑρίσκεται φύσις τοῦ ἀνθρώπου οὖσα ἐν τοῖς οὖσιν, εἰ μὴ
P 218r ἔν τινι ἰδικῷ ἠτομισμένῳ· οὐ γάρ ἐστί τις ἄνθρωπος, ὃς οὐκ ἔστιν ὁδὶ ὁ ἄνθρωπος, εἰ μὴ κατὰ τὴν Πλάτωνος θέσιν, ὃς ἠξίου τὰ καθόλου εἶναι χωριστά. Ἀλλ' ἡ ἀρχὴ τοῦ εἶναι κατὰ τόνδε τὸν τρόπον, ὅπέρ ἐστιν ἀρχὴ ἀτομότητος, οὐκ ἔστι κοινή· ἀλλ' ἕτερον μὲν ἐν τῷ δεῖνι, ἕτερον δὲ ἐν τῷ δεῖνι· τοδὶ γὰρ τὸ καθέκαστον ἀτομίζεται διὰ τῆσδε τῆς ὕλης, καὶ ἐκεῖνο, ἴδι' ἐκείνησιν. Ὥσπερ τοίνυν τὸ ὄνομα τὸ σημαῖνον τὴν φύσιν ἔστι κοινόν, καὶ ὁριστὸν ὡς ὁ ἄνθρωπος ἢ τὸ ζῷον, οὕτω καὶ τὸ ὄνομα τὸ σημαῖνον τὴν φύσιν, σὺν τῷ τοιῷδε τῆς ὑπάρξεως τρόπῳ, ὡς ἡ ὑπόστασις ἢ τὸ πρόσωπον. Τοῦτο δὲ τὸ ὄνομα τὸ ἐν τῇ ἑαυτοῦ σημασίᾳ περιέχον τὴν ὡρισμένην τῆς ἀτομότητος ἀρχήν, οὐκ ἔστι κοινὸν οὐδὲ ὁριστόν, ὡς Σωκράτης καὶ Πλάτων.

[9.2.17] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐ μόνον ἡ ἐπίνοια τῆς ἰδικότητος ἔστι κοινὴ ἐν ἅπασι ταῖς ἀτόμοις οὐσίαις, ἀλλὰ καὶ ἡ τοῦ γένους φύσις ἡ μετὰ τοῦ τοιοῦδε τρόπου τῆς ὑπάρξεως· καὶ τούτῳ τῷ τρόπῳ σημαίνει τόδε τὸ ὄνομα τῆς ὑποστάσεως τὴν φύσιν τοῦ γένους τῆς οὐσίας, ὡς ἠτομισμένην· τοῦτο δὲ τὸ ὄνομα τὸ πρόσωπον τὴν φύσιν τὴν λογικὴν δηλοῖ, τὴν ὑπὸ τῷ τοιῷδε τρόπῳ τῆς ὑπάρξεως. Καὶ διατοῦτο οὔτε τὸ πρόσωπον οὔτε ἡ ὑπόστασις ἐστὶν ὄνομα ἐπινοίας, ὥσπερ τὸ καθέ|καστον καὶ τὸ ἄτομον, ἀλλ' ὄνομα πράγματος μόνον· οὐ μὴν δὲ πράγματος καὶ ἐπινοίας ὁμοῦ.

**[9.2.18]Ὅθεν φαίνεται λύσις καὶ πρὸς τὸ τρίτον, καὶ πρὸς τέταρτον.**

**[9.2.19] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐπεὶ αἱ οὐσιώδεις τῶν ὄντων διαφοραὶ εἰσὶν ἄγνωσται πολλάκις καὶ ἀνώνυμαι, διατοῦτο ἐνιαχοῦ δεῖ χρῆσθαι ταῖς συμβατικαῖς διαφοραῖς πρὸς ἀπόδοσιν τῶν οὐσιωδῶν ἀναφορῶν, ὥσπερ ὁ Φιλόσοφος ἐπισκήπτει ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά, καὶ τούτῳ τῷ τρόπῳ τὸ ἄτομον τίθεται ἐν τῷ ὅρῳ τοῦ προσώπου, πρὸς τὸ δηλοῦν τὸν ἀτομικὸν τῆς ὑπάρξεως τρόπον.**

**[9.2.20] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι διαιρουμένης τῆς οὐσίας εἴς τε τὴν πρώτην καὶ δευτέραν, οὐκ ἔστιν ἡ διαίρεσις γένους εἴδη· ἐφόσον μηδὲν περιέχεται ὑπὸ τῇ δευτέραν οὐσίᾳ· ὃ μὴ ἔστιν ἐν τῇ πρώτῃ· ἀλλ' ἔστι διάκρισις γένους, κατὰ διαφόρους τρόπους ὑπάρξεως. Ἡ μὲν γὰρ δευτέρα οὐσία, σημαίνει τὴν φύσιν τοῦ γένους καθ' αὑτὴν ἀπόλυτον· ἡ δὲ πρώτη οὐσία, σημαίνει αὐτὴν ἀτομικῶς, ἐφεστηκυῖαν. Ὅθεν μᾶλλον ἐστὶ διαίρεσις ἀναλογίας, ἢ γένους. Οὕτω τοίνυν τὸ πρόσωπον περιέχεται, ἐν τῷ τῆς οὐσίας γένει, εἰ καὶ μὴ ὡς εἶδος, ἀλλ' ὡς τὸν ἰδικὸν τρόπον τῆς ὑπάρξεως διοριζόμενον.**

**[9.2.21] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἔνιοι φασὶ τὴν οὐσίαν κεῖσθαι ἐν τῷ ὅρῳ τοῦ προσώπου, δηλοῦσαν τὴν ὑπόστασιν· ἀλλ' ἐπεὶ ἡ τοῦ ταύτης λόγου ἐστὶ τὸ ἄτομον, καθὸ ἀντίκειται τῇ κοινότητι τοῦ καθόλου καὶ τοῦ μέρους, οὐδὲν γὰρ καθόλου, οὐδέ τι μέρος, οἷον χεὶρ ἢ ποῦς, δύναται λέγεσθαι ὑπόστασις, περαιτέρω ἐκ τοῦ λόγου τοῦ προσώπου ὑπάρχει τὸ ἄτομον, καθὸ ἀντίκειται τῇ κοινότητι τοῦ προσλήπτου. Φασὶ γὰρ τὴν ἀνθρωπείαν φύσιν ἐν τῷ Χριστῷ εἶναι ὑπόστασιν, ἀλλ' οὐ πρόσωπον. Ἀμέλει καὶ διὰ τὸ ἐκβάλλειν τὴν προσληπτότητα, προστίθεται τὸ ἄτομον ἐν τῷ ὅρῳ τοῦ προσώπου. Ἀλλὰ τοῦτο ὑπεναντίον εἶναι δοκεῖ τῷ σκοπῷ τοῦ Βοητίου, ὃς ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ, διὰ τοῦ ἀτόμου ἀφορίζει τὰ καθόλου τοῦ λόγου τοῦ προσώπου. Τῷ τοι καὶ κρεῖττον ἐστὶ λέγειν, ὅτι ἡ ὑπόστασις οὐ τίθεται ἐν τῷ ὅρῳ τοῦ προσώπου, ἀντὶ τῆς πρώτης οὐσίας, ἀλλ' ἀντὶ τοῦ κοινοῦ τῆς πρώτης οὐσίας, ἥτις ἐστιν ὑπόστασις, καὶ τῆς δευτέρας οὐσίας, καὶ διαιρουμένου εἰς ἑκατέρας. Καὶ ταύτῃ τοῦτο κοινόν, διὰ τῆς προσθήκης τοῦ ἀτόμου μερικεύεται, ὡς ταυτὸν εἶναι· λέγειν οὐσία ἄτομος λογικῆς φύσεως, καὶ εἰ λέγοιμεν ὑπόστασις λογικῆς φύσεως.**

**121-124** ἐπεὶ – φυσικά] Ar., Metaph. VIII, 1043a5-7: καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα.

**[9.2.22] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι, κατὰ τὰ προειρημένα, ὁ λόγος οὐ προβαίνει· ἡ γὰρ οὐσία λαμβάνεται, οὐκ ἀντὶ τῆς πρώτης οὐσίας, ἀλλ' ἀντὶ τοῦ κοινοῦ πρὸς πᾶσαν οὐσίαν λῆψιν. Εἰ μέντοι λαμβάνοιτο ἡ οὐσία καὶ ἐπὶ τῆς ὑποστάσεως, ἔτι ὁ λόγος οὐχ ἕπεται· ἡ γὰρ οὐσία ἥτις ἐστὶν ὑπόστασις, |** P 218v **ἐγγυτέρω ἔχει πρὸς τὸ πρόσωπον, ἢ τὸ αὐθυπόστατον· ἐφόσον τὸ πρόσωπον ἐμφαίνει τι ὑποκείμενον, ὥσπερ ἡ πρώτη οὐσία, καὶ οὐ μόνον τὸ καθ' αὑτὸν ὑφεστῶς, ὥσπερ ἡ ἀνθυπόστασις. Ἀλλ' ἐπεὶ τὸ τῆς ὑποστάσεως ὄνομα ἀναφέρεται κατὰ Λατίνους εἰς τὴν τῆς οὐσίας δήλωσιν, διατοῦτο πρὸς τὸ φυλάττεσθαι τὴν πλάνην, οὔ φαμεν τρεῖς ὑποστάσεις, ὥσπερ τρία αὐθυπόστατα. Οἱ δὲ Ἕλληνες παρ' οἷς ἐστὶ τὸ τῆς ὑποστάσεως ὄνομα διακεκριμένον ἀπὸ τοῦ τῆς οὐσίας, ἀναμφισβητήτως ἐν τῷ Θεῷ τρεῖς ὑποστάσεις ὁμολογοῦσι.**

**[9.2.23] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὥσπερ φαμὲν ἐν τῷ Θεῷ τρία πρόσωπα, οὕτω δυνάμεθα λέγειν καὶ τρεῖς οὐσίας ἀτόμους· μίαν μέντοιγε οὐσίαν, ἥτις ἐστὶν ὕπαρξις.**

**[9.2.24] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ λογικὸν ἐστὶ διαφορὰ τοῦ ζῴου, καθὸ ὁ λόγος ἀφ' οὗ λαμβάνεται, δηλοῖ τὴν μεταβατικὴν κατάληψιν, οἷα ποτέ ἐστιν ἐν τοῖς ἀνθρώποις, οὐκ ἐν τοῖς ἀγγέλοις, οὐδὲ ἐν τῷ Θεῷ. Ὁ Βοήτιος δὲ λαμβάνει τὸ λογικὸν κοινῶς ἀντὶ τοῦ νοεροῦ, ὃ φαμὲν προσήκειν τῷ Θεῷ καὶ ἀγγέλοις καὶ ἀνθρώποις.**

**[9.2.25] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ φύσις ἐν τῷ ὅρῳ οὐ λαμβάνεται, ἣ δὴ ἐστὶν ἀρχὴ κινήσεως, καθάπερ ὁρίζεται ὑπὸ τοῦ Φιλοσόφου ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς, ἀλλ' ὥσπερ ὁρίζεται ὑπὸ τοῦ Βοητίου ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ· ὅτι** φύσις ἐστὶν ἡ ἕκαστον εἰδοποιοῦσα ταῖς εἰδοποιοῖς διαφοραῖς. **Καὶ ἐπεὶ ἡ διαφορὰ πληροῖ τὸν ὅρον καὶ περιβάλλει τὸ ὁριστὸν ὑπὸ τὸ εἶδος, διατοῦτο μάλιστα τὸ τῆς φύσεως ὄνομα ἐπιβάλλει τῷ ὅρῳ τοῦ προσώπου, ἤπερ ἰδικῶς ἔν τισιν οὐσίαις εὑρίσκεται· ἢ τὸ τῆς οὐσίας ὄνομα, ὅπέρ ἐστι κοινότατον.**

**171-173** ἡ – Φυσικῆς] Ar., Phys. II, 193a30-31: ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. **173-175** ὥσπερ – διαφοραῖς] Boet., De duab. nat. III, (PL 64, col. 1342): Natura est unam quamque informans specifica differentia.

**[9.2.26] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ ἄτομον ἐν τῷ ὅρῳ τοῦ προσώπου, λαμβάνεται καὶ διὰ τὸ κατηγορεῖσθαι κατὰ πλειόνων· ἡ δὲ θεῖα οὐσία, οὐκ ἔστιν ἄτομος οὐσία κατὰ τὴν κατηγορίαν, ἐφόσον κατηγορεῖται κατὰ πλειόνων προσώπων, εἰ καὶ εἴη ἄτομος κατὰ τὸ πρᾶγμα. Ῥικάρδος μέντοι ὁ ἀπὸ τοῦ ἁγίου Βίκτορος, διορθούμενος τὸν ὅρον τοῦ Βοητίου, καθὸ δὴ ἐν τοῖς μετὰ ταῦτα ἐν τοῖς θείοις λαμβάνεται, εἴρηκεν· ὅτι** πρόσωπον ἐστί, θείας φύσεως ἀμέθεκτος ὕπαρξις, ὡς διὰ τοῦ λεγομένου ἀμέθεκτος θεῖα ὕπαρξις, τὸ θεῖον πρόσωπον, οὐχ ἡ οὐσία νοοῖτο**.**

**[9.2.27] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τῆς ἀτόμου οὐσίας οὔσης πλῆρες τι καθ' αὑτὸ ὑφεστῶς, ἡ ἀνθρωπεία φύσις ἡ ἐν τῷ Χριστῷ προσληφθεῖσα εἰς θεῖον πρόσωπον, οὐ δύναται λέγεσθαι οὐσία ἄτομος, ἥτις ἐστὶν ὑπόστασις, ὥσπερ οὐδὲ ἡ χείρ, οὐδὲ ὁ πούς, μήτ' ἄλλο τι τῶν μὴ καθ' αὑτὰ ὑφεστώτων χωρισθέντα ἀπὸ τῶν ἄλλων· καὶ διατοῦτο οὐχ ἕπεται εἶναι πρόσωπον.**

**[9.2.28] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ ψυχὴ χωρισθεῖσα, ἔστι** P 219r **μέρος τῆς λογικῆς φύσεως | τουτέστι τῆς ἀνθρωπίνης, καὶ οὐχ ὅλην δείκνυσι τὴν ἀνθρωπείαν φύσιν· καὶ διατοῦτο οὐκ ἔστι πρόσωπον.**

**182-186** Ῥικάρδος – νοοῖτο] Rich. S. Vict., De Trin. IV, cap. 18 (PL 196, col. 941A): Qua ratione in divinitatae possunt esse incommunicabiles existentiae, et quod tot sunt quot personae; cap. 23 (945D-946B).

**Κεφάλαιον τρίτον**

**Πότερον ἐν τῷ Θεῷ δύναται εἶναι πρόσωπον ἢ οὔ.**

**[9.3.1] Τρίτον ζητεῖται, πότερον ἐν τῷ Θεῷ δύναται εἶναι πρόσωπον. Καὶ δοκεῖ μὴ δῆτα. Καὶ γάρ, ὡς ὁ Βοήτιος ἱστορεῖ ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ, τὸ τοῦ προσώπου ὄνομα εἴληπται ἀπὸ τοῦ προσέπτειν· οἱ γὰρ ἄνθρωποι καλυπτόμενοι πρόσωπα ἐλέγοντο· ὃς ἐν ταῖς κωμῳδίαις καὶ ταῖς τραγῳδίαις διελέγοντό τι. Τὸ δὲ εἶναι δὲ κεκαλυμμένον οὐ καθήκει τῷ Θεῷ εἰ μή που τάχα μεταφορικῶς.**

**[9.3.2] Ἔτι, ὡς ὁ Δαμασκηνός φησιν, ἐξ οὐδενὸς τῶν περὶ Θεοῦ, εἰ μὴ λεγομένων, δυνάμεθα γνῶναι τί ἐστι, καθὸ προσήκουσιν αὐτῷ. Ἀπὸ δὲ τοῦ προσώπου ἴσμεν τί ἐστίν, ὡς δοκεῖ διὰ τοῦ προειρημένου ὅρου. Τὸ πρόσωπον ἄρα, οὐ προσήκει τῷ Θεῷ, καὶ διαφερόντως κατὰ τὸν προειρημένον ὅρον.**

**[9.3.3] Ἔτι, ὁ Θεὸς οὐκ ἔστιν ἐν γένει τινί· ἐπεὶ γάρ ἐστιν ἀόριστος, ὑπ᾽ οὐδενὸς γένους, ὅροις ἀπολαμβάνεσθαι δύναται. Τὸ δὲ πρόσωπον δηλοῖ τὶ ὂν ἐν τῷ τῆς οὐσίας γένει. Τὸ πρόσωπον ἄρα οὐ διαφέρει τῷ Θεῷ.**

**[9.3.4] Ἔτι, ἐν τῷ Θεῷ οὐδεμία ἔστι σύνθεσις. Ἀλλὰ τὸ πρόσωπον σημαίνει σύνθετον. Τὰ <γὰρ> μέρη τοῦ ὁρισμοῦ, δεικνύασι τὸ πρόσωπον εἶναι τῶν συνθέτων. Οὐκ ἔστιν ἄρα ἐν τῷ Θεῷ οὐδεμία ἐστὶ σύνθεσις. Ἀλλὰ τὸ πρόσωπον σημαίνει τι σύνθετον· τὸ γὰρ αὐθέκαστον τῆς ἀνθρωπείας φύσεως ὅπέρ ἐστι πρόσωπόν ἐστι μάλιστα σύνθετον, τά τε μέρη τοῦ ὁρισμοῦ δεικνύασι τὸ πρόσωπον εἶναι τῶν συνθέτων. Οὐκ ἔστιν ἄρα ἐν τῷ Θεῷ πρόσωπον.**

**[9.3.5] Ἔτι, ἐν τῷ Θεῷ οὐδεμία ἔστιν ὕλη. Ἀρχὴ δὲ ἀτομότητος ἡ ὕλη ἐστίν. Ἐπεὶ τοίνυν τὸ πρόσωπόν ἐστιν οὐσία ἄτομος, οὐ δύναται τῷ Θεῷ προσαρμόττειν.**

**[9.3.6] Χωρὶς δὲ τούτων, πᾶν πρόσωπον ἔστιν ὑπό τινι. Οὐκ ἄρα ἔστι πρόσωπον.**

**[9.3.7] Ἔτι, τὸ πρόσωπον ὑπὸ τῇ ὑποστάσει περιέχεται. Ἀλλ᾽ ἐν τῷ Θεῷ οὐ δύναται εἶναι ὑπόστασις. Οὐ γὰρ ἔστιν ἐν αὐτῷ τι συμβεβηκός, ἐφόσον ἡ ὑπόστασις δηλοῖ τὸ τοῖς συμβεβηκόσιν ὑφεστώς, ὡς ἐν τοῖς φθάσασιν εἴρηται. Ἐν τῷ Θεῷ ἄρα οὐκ ἔστιν ὑπόστασις.**

**4-5** ὡς – προσέπτειν] Boet., De duab. nat. III, (PL 64, col. 1344A): ideirco caeteros quoque homines, quorum certa pro sui forma esset agnitio, et Latini personam, et Graeci πρόσωπα nuncupaverunt. **9-10** ὁ – αὐτῷ] Dam., De fid. orth. I, cap. 1, 2 et 4 (PG 94, col. 789A): Ὅτι ἀκατάληπτον τὸ Θεῖον, καὶ ὅτι οὐ δεῖ ζητεῖν καὶ περιεργάζεσθαι τὰ μὴ παραδεδομένα ἡμῖν ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ ἀποστόλων, καὶ εὐαγγελιστῶν.

**8** Hic post μεταφορικῶς Aq. habet: Ergo nomen personae non potest dici de Deo, nisi forte metaphorice. **26** ὑπὸ] ἀπὸ $^{a.\ corr.}$ P

[9.3.8] Ἀλλὰ τοὐναντίον φαίνεται, διὰ τοῦ Ἀθανασίου ἐν τῷ συμβόλῳ, τὸ ὁ θέλων· καὶ διὰ τοῦ Αὐγουστίνου, ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ, ἐν τῷ διὰ πάσης τῆς χρήσεως τῆς ἐκκλησίας, ἣ διὰ τοῦ Ἁγίου Πνεύματος μυσταγωγηθεῖσα, οὐ δύναται πλανᾶσθαι.

[9.3.9] Ἀπόκρισις. Ῥητέον, ὅτι τὸ πρόσωπον, ὡς ὑπείπομεν, σημαίνει φύσιν τινά, μετά τινος τοῦ ὑπάρχειν τρόπου. Ἡ φύσις δ' ἣν τὸ πρόσωπον περιέχει ἐν τῷ αὐτῷ ὅρῳ, ἔστι πασῶν τῶν φύσεων ἐπιτιμωτάτη, εἴτουν ἡ νοερὰ φύσις, κατὰ τὸ ἴδιον γένος. | P 219v Παραπλησίως τε ὁ τῆς ὑπάρξεως τρόπος, ὃν προτείνεται τὸ πρόσωπον, ἔστιν ἀξιώσει μάλιστα, τὸ καθ' αὑτὸ δηλαδὴ ὑπάρχειν. Ἐπεὶ τοίνυν πᾶν τὸ τὰ ἀριστεῖα φερόμενον ἐν τοῖς οὖσιν ἐξαίρετον ἐστὶ τῷ Θεῷ, οἰκείως τὸ τοῦ προσώπου ὄνομα τῷ Θεῷ ἀποφέρεσθαι δύναται, ὥσπερ καὶ τὰ ἄλλα ὀνόματα, τὰ περὶ Θεοῦ ἰδίως λεγόμενα.

[9.3.10] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἐν ὁτωοῦν ὀνόματι, δύο ἐστὶ παρασημαίνεσθαι· εἴτουν τοῦθ' ὃ πρὸς τὸ δηλοῦν τὸ ὄνομα τιθεται, καὶ τὸ ἀφ' οὗ πρὸς τὸ δηλοῦν τίθεται. Πλειστάκις γὰρ τίθεται ὄνομά τι πρὸς τὸ δηλοῦν πρᾶγμά τι ἀπό τινος συμβεβηκότος ἢ ἐνεργείας ἢ ἀποτελέσματος ἐκείνου τοῦ πράγματος, ἅ τέως οὐκ εἰσὶν ἀρχοειδῶς δηλούμενα διὰ τοῦ ὀνόματος ἐκείνου, ἀλλὰ μᾶλλον αὐτὴ τοῦ πράγματος ἡ οὐσία ἢ φύσις, ὥσπερ τοῦτο τὸ ὄνομα τὸ πέτρα, ἀπὸ τοῦ τὸν πόδα τιτρώσκειν, ὃ τέως οὐ σημαίνει, ἀλλὰ μᾶλλον σώματι, περὶ ὃ τὸ τοιοῦτον συμβεβηκὸς θαμᾶ εὑρίσκεται. Ὅθεν ἡ τοῦ ποδὸς τρῶσις μᾶλλον φέρεται πρὸς τὴν ἐτυμολογίαν τοῦδε τοῦ ὀνόματος ἡ πέτρα, ἢ πρὸς τὴν αὐτοῦ δήλωσιν. Ἐπειδὰν τοίνυν τοῦθ' οὗ πρὸς τὴν δήλωσιν τὸ ὄνομα τίθεται, τῷ Θεῷ μὴ προσήκει, ἀλλά τις ἰδιότης αὐτοῦ κατ' εἰκόνα τινά, τηνικαῦτα τοῦτο τὸ ὄνομα περὶ Θεοῦ μεταφορικῶς λέγεται· ὥσπερ ὁ Θεὸς λέων προσαγορεύεαι, οὐχ ὅτι ἡ τοῦ ζῴου φύσις οἰκείως ἔχει πρὸς τὸν Θεόν, ἀλλὰ διὰ τὴν ῥώμην τὴν εὑρισκομένην ἐν τῷ λέοντι. Ἐπειδὰν δὲ τὸ σημαινόμενον πρᾶγμα διὰ τοῦ ὀνόματος τῷ Θεῷ προσήκει, τότε τοῦτο τὸ τὸ ὄνομα ἰδίως περὶ Θεοῦ λέγεται, ὥσπερ τὸ ἀγαθόν, καὶ τὸ σοφόν, καὶ τὰ

ὡσαύτως· εἰ καὶ τὸ ἀφ’ οὗ τὸ τοιόνδε ὄνομα τίθεται μὴ προσήκει τῷ Θεῷ. Οὕτω τοίνυν εἰ καὶ τὸ ὄνομα τὸ πρόσωπον κατὰ τρόπον ἀνθρώπου περικεκαλυμένου, ἀφ’ οὗ τέθειται μὴ προσήκει τῷ Θεῷ, ὅμως τὸ διὰ τοῦ ὀνόματος δηλούμενον δηλαδὴ τὸ ὑφεστῶς ἐν τῇ νοερᾷ φύσει, διαφέρει τῷ Θεῷ· καὶ τούτου εἵνεκα τοῦτο τὸ ὄνομα τοῦ προσώπου λαμβάνεται ἐν τοῖς θείοις.

[9.3.11] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὡς μὲν τὸ τοῦ προσώπου ὄνομα, ὡς δὲ καὶ ὁ ὅρος περὶ τοῦ προσώπου λαμβανόμενος, εἰ ὀρθῶς νοοῖτο, ἁρμόσειε τῷ Θεῷ· οὐχ οὕτω μέντοι, ὥστ’ εἶναι ὅρος αὐτοῦ, καὶ γὰρ ὑπερβάλλει τὸ ἐν τῷ Θεῷ τὸ δηλούμενον διὰ τοῦ ὀνόματος. Ὅθεν τὸ τοῦ Θεοῦ πρόσωπον, οὐδενὶ ὀνόματι ὁρίζεται.

[9.3.12] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ καὶ ὁ Θεὸς μὴ εἴη ἐν τῷ τῆς οὐσίας γένει, ὡς εἶδος ἔχει μέντοιγε οἰκείως πρὸς τοῦτο, ὡς ἀρχὴ τοῦ γένους.

[9.3.13] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι συμβαίνει τῷ προσώπῳ, ἐφόσον
P 220r τοιοῦτον εἶναι σύνθετον, διὰ τὸ τὸ πλήρωμα ἢ τὴν τελειότητα | τὴν ζητουμένην πρὸς τὸν τοῦ προσώπου λόγον, μὴ εὑρίσκεσθαι ἀθρόον ἐν ἑνὶ ἁπλῷ, ἀλλὰ ζητεῖν σύνοδον πολλῶν, ὥσπερ ἐν τοῖς ἀνθρώποις φαίνεται. Εἰ δὲ τῷ Θεῷ μετὰ τῆς ἄκρας ἁπλότητος εὑρίσκεται καὶ ἄκρα τελειότης· καὶ διατοῦτο ἔστιν ἐκεῖ πρόσωπον ἄνευ συνθέσεως. Τὰ δὲ συγκείμενα μέρη ἐν τῷ ὅρῳ οὐχ ὑποφαίνουσί τινα συνθήκην τοῦ προσώπου, εἰ μὴ ἐν ταῖς ἐν ὕλοις οὐσίαις· τὸ γὰρ ἄτομον ἀπόφασις ὄν, διὰ τοῦ προστίθεσθαι τῇ οὐσίᾳ, οὐδεμίαν σύνθεσιν προτείνεται. Ὅθεν λειπομένης ἐκεῖ μόνης συνθέσεως τῆς ἀτόμου οὐσίας, ἤτοι τῆς ὑποστάσεως πρὸς τὴν φύσιν, ἢ δύο εἰσὶν ἐν ταῖς ἀύλοις οὐσίαις τὸ αὐτὸ κατὰ τὸ πρᾶγμα πάντῃ, οὐ χρή τινα σύνθεσιν ἐκ τοῦ ὅρου ἀπαντᾶν.

[9.3.14] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν τοῖς ὑλικοῖς πράγμασιν, ἐν οἷς τὰ εἴδη οὐκ εἰσὶ καθ’ αὐτὰ ὑφεστῶτα, ἀλλὰ ἐνισχημένα τῇ ὕλῃ, ἀνάγκη τὴν ἀρχὴν τῆς ἀτομότητος εἶναι ἐκ τῆς ὕλης· τὰ δὲ ἄυλα εἴδη ὄντα καθ’ αὐτὰ ὑφεστῶτα ἀφ’ ἑαυτῶν ἀτομίζονται· ἐκ γὰρ τοῦ τὸν ἄγγελον εἶναι αὐθυπόστατον, ἔχει τὸ κατὰ

**πολλῶν κατηγορεῖσθαι μὴ δύνασθαι· καὶ διατοῦτο οὐδὲν προσίσταται ἐν τοῖς ἀύλοις, ἄτομον οὐσίαν καὶ πρόσωπον εὑρίσκεσθαι.**

**[9.3.15] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι εἰ καὶ ἐν τῷ Θεῷ μὴ εἴη σύνθεσις, ὡς ἐν αὐτῷ τι ὑπ' ἄλλῳ νοεῖσθαι δύνασθαι, ὅμως κατὰ τὴν ἡμετέραν ἐπίνοιαν, ἰδίαν λαμβάνομεν τὸ εἶναι αὐτοῦ, καὶ τὴν οὐσίαν αὐτοῦ, ὑπὸ τὸ εἶναι αὐτοῦ καθεστῶσαν, ὡς ἐντεῦθεν αὐθυπόστατον λέγεσθαι· ἢ ῥητέον ὅτι εἰ καὶ τὸ ὑφεστάναι ἀφ' οὗ τίθεται ἡ κλῆσις τοῦ αὐθυφεστάναι τῷ Θεῷ μὴ προσήκει, ὅμως τὸ καθ' αὐτό, ὃ πρὸς τὸ σημαίνειν τίθεται προσήκει αὐτῷ.**

**[9.3.16] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ ἐν τῷ Θεῷ μὴ εἴη συμβεβηκότα, εἰσὶν ὅμως ἐν αὐτῷ, ἰδιότητες προσωπικαὶ αἷς αἱ ὑποστάσεις ὑφίστανται.**

**Κεφάλαιον τέταρτον**

**Πότερον τοῦτο τὸ ὄνομα τὸ πρόσωπον ἐν τοῖς θείοις σημαίνει ἀναφορικὸν ἤ τι ἀπολελυμένον.**

**[9.4.1] Τέταρτον ζητεῖται, πότερον τοῦτο τὸ ὄνομα τὸ πρόσωπον ἐν τοῖς θείοις σημαίνει ἀναφορικὸν ἤ τι ἀπολελυμένον. Καὶ δοκεῖ σημαίνειν τι ἀπολελυμένον. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ, ὅτι τοῦ Ἰωάννου λέγοντος** τρεῖς εἰσὶν **οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ,** ὁ Πατήρ**, καὶ ὁ Λόγος,** καὶ τὸ ἅγιον Πνεῦμα**, καὶ ζητουμένου τί τρία εἰσίν, ἀπόκρισις ἐστίν, ὅτι τρία πρόσωπα. Ἀλλὰ τὸ τί ζητεῖ περὶ οὐσίας. Τοῦτ' ἄρα τὸ ὄνομα τὸ πρόσωπον** P 220v **ἐν τοῖς | θείοις σημαίνει οὐσίαν.**

**[9.4.2] Ἔτι, ἐν τῷ αὐτῷ βιβλίῳ φησὶν ὁ αὐτός ὅτι** ταυτὸ ἐστὶ τῷ Θεῷ τὸ εἶναι, τὸ πρόσωπον εἶναι**. Ἀλλὰ τὸ εἶναι ἐν τοῖς θείοις σημαίνει οὐσίαν καὶ οὐκ ἀναφοράν.**

**[9.4.3] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τοῖς αὐτοῖς· πρὸς ἑαυτὸν δὴ λέγεται ὁ Πατὴρ πρόσωπον, οὐ πρὸς τὸν Υἱόν· οὐδὲ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον·** ὥσπερ πρὸς αὑτὸν λέγεται, Θεὸς μέγας· ἀγαθός, δίκαιος· **ἀλλὰ ταῦτα πάντα οὐσίαν δηλοῖ, καὶ οὐκ ἀναφοράν.**

**[9.4.4] Ἔτι, ὁ Αὐγουστῖνος ἐν τοῖς αὐτοῖς φησίν· ὅτι κοινόν ἐστιν ἐκείνοις, εἴτουν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τὸ τῆς οὐσίας ὄνομα οὕτως, ὡς ἕκαστον ὁτιοῦν λέγεσθαι οὐσίαν, ἐκείνοις τε κοινόν ἐστι, καὶ τὸ τοῦ προσώπου πρόσρημα. Ἀλλ' ἡ ἀναφορὰ ἐν τοῖς θείοις οὐκ ἔστι κοινόν, ἀλλὰ διαιρετικόν. Τὸ πρόσωπον ἄρα ἐν τοῖς θείοις οὐ δηλοῖ ἀναφοράν.**

**[9.4.5] Ἀλλὰ φημὶ τὸ πρόσωπον εἶναι κοινὸν τῷ λόγῳ. Ἀλλ' ἐναντίως, ἐν τοῖς θείοις οὐκ ἔστι τὸ καθόλου· ὅθεν ὁ Αὐγουστῖνος ἐν τῷ αὐτῷ βιβλίῳ ἐξελέγχει τὴν δόξαν τῶν λεγόντων τὴν** οὐσίαν ἐν τοῖς θείοις ὥσπερ γένος ἢ ὥσπερ εἶδος, τὸ δὲ πρόσωπον ὥσπερ εἶδος ἢ ὥσπερ ἄτομον**. Τὸ δ' ὂν κοινὸν λόγῳ καὶ οὐ**

**6-8** Φησὶ – Πνεῦμα] Aug., De Trin. VII, cap. 4, n. 7 (PL 42, col. 940): Pater ergo et Filius et Spiritus Sanctus quoniam tres sunt, quid tres sint quaeramus, quid commune habeant. **11-12** ἐν – εἶναι] Aug., De Trin. VII, cap. 6, n. 11 (PL 42, col. 943): non enim aliud est Deo esse, aliud personam esse, sed omnino idem. **14-17** ὁ – ἀναφοράν] Aug., De Trin. VII, cap. 6, n. 11 (PL 42, col. 943): sicut ad se dicitur Deus et magnus et bonus et iustus et si quid aliud huiusmodi. **24-26** ὁ – ἄτομον] Aug., De Trin. VII, cap. 6, n. 11 (PL 42, col. 943): Non sunt –unus homo.

**13** Hic post ἀναφοράν Aq. habet: Ergo et persona. **26** τὸ – ἄτομον] τὸ δὲ in marg. dex. P; πρόσωπον ὥσπερ εἶδος ἢ ὥσπερ ἄτομον· in marg. sin. P

πράγματι ἔστι κοινὸν εἰς τὸ καθόλου. Τὸ πρόσωπον ἄρα οὐκ ἔστι κοινὸν ἐν τοῖς θείοις λόγῳ μόνον, ἀλλὰ καὶ πράγματι· καὶ οὕτως οὐ δύναται δηλοῦν ἀναφοράν.

[9.4.6] Ἔτι, ἐν οὐδ’ ὁτιοῦν ὄνομα, δηλοῖ πράγματα διαφόρων γενῶν, εἰ μὴ ὁμωνύμως· τὸ γὰρ ὀξὺ ὁμωνύμως λέγεται ἐν χυμοῖς, καὶ μεγέθεσι. Πρόδηλον τοίνυν τὸ πρόσωπον ἔν τε ἀγγέλοις καὶ ἀνθρώποις, μὴ δηλοῦν ἀναφοράν, ἀλλά τι ἀπολελυμένον. Εἰ τοίνυν ἐν τῷ Θεῷ δηλώῃ ἀναφοράν, ἔσται ὁμωνύμως λεγόμενον.

[9.4.7] Ἐπὶ τούτοις, τὸ συμβεβηκὸς δηλουμένῳ πράγματι διὰ τοῦ ὀνόματος, ἔστι παρὰ τὴν σημασίαν τοῦ ὀνόματος τοῦ δηλοῦντος τὸ πρᾶγμα· ὥσπερ ἔξω τῆς σημασίας τοῦ ἄνθρωπος ἐστὶ τὸ λευκόν, ὃ συμβέβηκε τῷ ἀνθρώπῳ. Τὸ πρᾶγμα δὲ τὸ δηλούμενον διὰ τοῦδε τοῦ ὀνόματος τοῦ πρόσωπον, ἔστιν οὐσία ἄτομος λογικῆς φύσεως· ὁ γὰρ λόγος ὁ ὑπὸ τοῦ ὀνόματος δηλούμενος, ἔστιν ὅρος κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά· τῇ τοιαύτῃ δὲ οὐσίᾳ συμβέβηκε τὸ πρός τι ἀναφέρεσθαι. Ἡ ἀναφορὰ ἄρα ἔστι παρὰ τὴν σημασίαν τούτου τοῦ ὀνόματος τοῦ πρόσωπον.

[9.4.8] Ἔτι, οὐδὲν ὄνομα δύναται νοεῖσθαι, κατὰ ἄλλου ἀληθῶς κατηγορούμενον, ᾧ μὴ νοεῖται προσήκειν τὸ δηλούμενον πρᾶγμα διὰ τοῦ ὀνόματος· ὡσπεροῦν οὐδὲ νοεῖσθαι δύναται εἶναι ἄνθρωπος ὃ μὴ νοεῖται εἶναι ζῷον λογικόν, θνητόν. Ἰουδαῖοι δέ, καὶ οἱ τὰ Ἑλλήνων πρεσβεύοντες, οὐχ ὁμολογοῦσιν ἐν τῷ Θεῷ τὰς ἀναφοράς, ἃς ἡμεῖς κατὰ τὴν πίστιν τιθέμεθα. Τοῦτο ἄρα τὸ ὄνομα τὸ πρόσωπον ἐν τοῖς θείοις, οὐ σημαίνει τὰς τοιαύτας ἀναφοράς.

[9.4.9] Ὑπολαβὼν δέ ἔφη, ὅτι οἱ Ἰουδαῖοι καὶ οἱ κατὰ τὴν πίστιν ἑλληνίζοντες, πεπλανημένην ἔχουσι | (P 221r) τὴν περὶ Θεοῦ δόξαν· ὅθεν ἐκ τῆς τούτων δόξης οὐκ ἔνεστιν ἐπιχειρεῖν. Ἀλλὰ τοὐναντίον, ὁ τῆς δόξης πλάνος οὐ ποικίλλει τὴν σημασίαν τοῦ ὀνόματος, οὐδ’ αὖ ἡ ἀλήθεια. Εἰ τοίνυν ἐν τοῖς παραφρονοῦσι περὶ Θεοῦ τοῦτο τὸ ὄνομα τὸ πρόσωπον οὐ δηλοῖ ἀναφοράν, οὐδὲ παρὰ τοῖς ὀρθῶς φρονοῦσι σημαίνει περὶ Θεοῦ.

**39-40** ὁ – φυσικά] Ar., Metaph. IV, 1012a23-24: ὁ γὰρ λόγος οὗ τὸ ὄνομα σημεῖον ὁρισμὸς ἔσται.

[9.4.10] Αὖθις, τὰ ἐν τῇ φωνῇ κατὰ τὸν Φιλόσοφον, εἰσὶ σύμβολα τῶν νοημάτων· τὸ δὲ ἐγγινόμενον νόημα ἐκ τοῦ ὀνόματος τοῦ προσώπου ἔστιν ἔννοια τῆς πρώτης οὐσίας. Τοῦτο ἄρα τὸ ὄνομα τὸ πρόσωπον, δηλοῖ τὴν πρώτην οὐσίαν, ἧς οὐδέν ἐστι μᾶλλον ἀπόλυτον, ἔστι γὰρ καθ’ αὐτὴν ὑφεστῶς· ταῦτ’ ἄρα τὸ ὄνομα τὸ πρόσωπον, οὐ δηλοῖ ἀναφοράν, ἀλλά τι ἀπόλυτον.

[9.4.11] Ἦ δ’ ὅς, ὅτι τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, δηλοῖ ἀναφοράν, κατὰ τὸν τῆς οὐσίας τρόπον. Ἀλλ’ ἰτέον εὐθύ· αὕτη ἡ πρότασις ἔστιν ἄμεσος· ἡ λέγουσα οὐδεμία ἀναφορὰ ἔστιν οὐσία, ὥσπερ καὶ ἥδε· οὐδεμία ποσότης οὐσία, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ πρώτῳ τῶν Ὑστέρων· εἰ τοίνυν τοῦτο τὸ πρόσωπον ὄνομα σημαίνει τὴν οὐσίαν, ὡς δέδεικται, ἀδύνατον σημασίαν εἶναι αὐτοῦ τὴν ἀναφοράν.

[9.4.12] Ἔτι, τὰ ἀντικείμενα, οὐ δύναται ἀληθεύεσθαι κατὰ τοῦ αὐτοῦ. Ἀλλὰ τὸ καθ’ αὐτὸ καὶ εἶναι πρός τι, εἰσὶν ἀντικείμενα. Εἰ τοίνυν τὸ δηλούμενον διὰ τοῦ προσώπου ὀνόματος ἔστιν οὐσία, ἣ ἐστὶ καθ’ αὐτό, ἀδύνατον εἶναι πρός τι.

[9.4.13] Παρὰ ταῦτα, πᾶν ὄνομα σημαῖνον ἀναφοράν, ἀναφέρεται πρός τι ὃ συσσημαίνεται, ὥσπερ τὸ δεσπότης καὶ δοῦλος. Ἀλλὰ φαίνεται τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, οὐκ ἀναφέρεσθαι πρός τι. Οὐκ ἄρα σημαίνει ἀναφοράν, ἀλλά τι ἀπόλυτον.

[9.4.14] Ἔτι, πρόσωπον λέγεται, ὡσανεὶ πρὸς ἑαυτὸ ὂν ἕν. Ἡ δὲ ἑνὰς ἐν τοῖς θείοις, προσήκει τῇ οὐσίᾳ. Τοῦτ’ ἄρα τὸ ὄνομα τὸ πρόσωπον, δηλοῖ οὐσίαν, καὶ οὐκ ἀναφοράν.

[9.4.15] Ἀλλ’ ἔλεγεν, τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, σημαίνει ἓν διακεκριμένον, καὶ ἐπεὶ ἡ διάκρισις ἐν τοῖς θείοις ἐστὶ δι’ ἀναφορᾶς, διατοῦτο δηλοῖ ἀναφοράν. Ἀλλὰ τοὐναντίον, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, λέγονται διακρίνεσθαι ἐν τοῖς θείοις, τῷ τῆς προόδου τρόπῳ· ὁ γὰρ Υἱὸς πρόεισι τῷ τρόπῳ τοῦ νοός, ὡς Λόγος· τὸ δὲ ἅγιον Πνεῦμα, τῷ τρόπῳ τῆς θελήσεως, ὡς ἀγάπη. Οὐ τοίνυν κατὰ μόνας τὰς ἀναφορὰς ἐν τοῖς θείοις, ἔστιν ἡ διάκρισις· καὶ ταύτῃ οὐκ ἀναγκαῖον τὸ πρόσωπον, ἀναφορὰς δηλοῦν.

[9.4.16] Ἔτι, εἰ ἡ ἀναφορὰ ἐν τοῖς θείοις διακρίνει. Τὸ δὲ πρόσωπον ἔστι τι διακεκριμένον καὶ οὐ διακριτικόν. Οὐκ ἂν ἄρα σημαίνει ἀναφορὰν τὸ ὄνομα τοῦ προσώπου.

[9.4.17] Ἔτι, αἱ ἀναφοραὶ λέγονται εἶναι ἰδιότητες. Τὸ δὲ πρόσωπον σημαίνει τι καθ' αὑτὸ ὑφεστῶς ἰδιότητι. Οὐκ ἄρα δηλοῖ ἀναφοράν.

P 221v [9.4.18] Ἐφ οἷς δὴ ἅπασι, τέσσαρες εἰσὶν ἀναφοραὶ | ἐν τοῖς θείοις· εἴτουν πατρότης, υἱότης, ἐκπόρευσις, καὶ ἡ κοινὴ πνεῦσις· ἡ γὰρ αγεννησία ἡ οὖσα πέμπτον γνωριστικόν, οὐκ ἔστιν ἀναφορά. Ἀλλὰ τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, οὐδὲν τούτων δηλοῖ. Εἰ γὰρ δηλοῖ τὴν πατρότητα, οὐκ ἂν λέγοιτο περὶ τοῦ Υἱοῦ· εἰ τὸν Υἱόν, οὐκ ἂν λέγοιτο κατὰ τοῦ Πατρός· εἰ δὲ τὴν ἐκπόρευσιν τοῦ Ἁγίου Πνεύματος, οὐκ ἂν ῥηθείη οὔτε περὶ τοῦ Πατρός, οὔτε περὶ τοῦ Υἱοῦ· εἰ δὲ τὴν κοινὴν πνεῦσιν, οὐκ ἂν ῥηθείη οὔτε περὶ τοῦ Πατρός· εἰ δὲ τὴν ἐκπόρευσιν τοῦ Ἁγίου Πνεύματος, οὐκ ἂν ῥηθείη περὶ τοῦ Ἁγίου Πνεύματος. Οὔκουν ἄρα δηλοῖ ἀναφορὰν τὸ τοῦ προσώπου ὄνομα.

[9.4.19] Ἀλλ' ἀντιπάλως ἔχει τὸ ὑπὸ τοῦ Βοητίου εἰρημένον, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· πᾶν ὄνομα τὸ εἰς τὰ πρόσωπα φέρον, ἀναφορὰν σημαίνει. Ἀλλ' οὐδὲν ὄνομα μᾶλλον τείνει εἰς τὰ πρόσωπα, ἢ αὐτὸ τὸ πρόσωπον. Τοῦτ' ἄρα τὸ πρόσωπον ὄνομα, ἀναφορὰν δηλοῖ.

[9.4.20] Ἔτι, ὑπὸ τῷ προσώπῳ ἐν τοῖς θείοις περιέχεται, ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα. Ἀλλὰ ταῦτα τὰ ὀνόματα, ἀναφορὰν δηλοῦσι. Καὶ τὸ ὄνομα ἄρα τοῦ προσώπου.

[9.4.21] Ἔτι, τὸ ἀπολελυμένον ὄνομα, οὐ διακρίνεται ἐν τοῖς θείοις. Ἀλλὰ τὸ πρόσωπον διακρίνεται. Οὐκ ἄρα ἔστιν ἀπόλυτον, ἀλλ' ἀναφορικόν.

[9.4.22] Ἀπόκρισις. Ῥητέον, ὅτι τὸ τοῦ προσώπου ὄνομα, κοινὸν μὲν ἔχει μετὰ τῶν ἀπολελυμένων ὀνομάτων ἐν τοῖς θείοις· τὸ καθ' ὁτουοῦν τὸ πρόσωπον κατηγορεῖσθαι, καὶ κατὰ τοὔνομα μὴ ἀναφέρεσθαι πρός τι· μετὰ δὲ τῶν ἀναφορὰν δηλούντων ὀνομάτων, τὸ διακρίνεσθαι, καὶ πληθυντικῶς κατηγορεῖσθαι. Καὶ διατοῦτο δοκεῖ ἑκατέραν σημασίαν καὶ τοῦ ἀναφορικοῦ καὶ τοῦ ἀπολελυμένου, φέρειν εἰς τὸ πρόσωπον. Ὃ πή ποτε δὲ ἑκατέρα σημασία εἰς τὸ πρόσωπον ἀναφέρεται, διαφόρως παρὰ διαφόροις ἀποδέδοται.

**97-98** οὐκ – Πνεύματος] deest M.

Ἔνιοι μὲν γὰρ φασίν, ὅτι τὸ πρόσωπον, δηλοῖ ἑκάτερον, ἀλλὰ τῷ τῆς ὁμωνυμίας τρόπῳ. Φασὶ γὰρ τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, τό γε ἐξ ἑαυτοῦ, σημαῖνον τὴν οὐσίαν ἀπολύτως· ᾧ μὲν ἐν τῷ ἑνικῷ, ὡς δὲ κἂν τῷ πληθυντικῷ, ὥσπερ τοῦτο τὸ ὄνομα τὸ Θεός, ἢ ἀγαθὸς ἢ μέγας· ἀλλὰ διὰ τὸ ὑποδεὲς τῶν ὀνομάτων ἐν ταῖς περὶ Θεοῦ διαλέξεσιν, ἱκάνωται τοῦτο τὸ τὸ ὄνομα τὸ πρόσωπον παρὰ τῶν ἐν Νικαίᾳ Συνόδῳ ἁγίων Πατέρων, ὡς ἐνισχοῦ δύναιτο λαμβάνεσθαι ἀντὶ ἀναφορικοῦ, καὶ διαφερόντως ἐν τοῖς πληθυντικοῖς, ὡς ὅταν λέγωμεν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα εἰσὶ τρία πρόσωπα, ἢ μετὰ διορισμοῦ μερικοῦ συνημμένου, ὡς ἐὰν λέγημεν ἄλλο πρόσωπον ἐστὶ τὸ τοῦ Πατρὸς καὶ ἄλλο τῷ τοῦ Υἱοῦ· ἢ ὅταν λέγηται ὁ Υἱὸς εἶναι ἄλλος τῷ προσώπῳ παρὰ τὸν Πατέρα, ἐν τῷ καθέκαστα δέ. Ἐπειδὰν ἀπροσδιορίστως κατηγορεῖται, δύναται ἀδιαφόρως δηλοῦν τὴν οὐσίαν ἢ τὴν ἀναφοράν, ὡς ὅταν λέγηται ὁ Πατήρ ἐστι πρόσωπον, ἢ ὁ Υἱός ἐστι πρόσωπον. Καὶ τόδε εἶναι
P 222r δόξη δοκεῖ τοῦ Διδασκάλου, | ἐν τῷ Περὶ ἀποφάσεων πρώτῳ. Ἀλλ' οὐ δοκεῖ ἅλις εἰρῆσθαι· οὐ γὰρ ἀπὸ λόγου παρὰ τὴν εἰλημμένην ἰδικὴν σημασίαν τοῦ ὀνόματος οἱ ἅγιοι Πατέρες θεόθεν ἐμπνεόμενοι, τοῦτο τὸ ὄνομα ἐφεῦρον πρὸς δήλωσιν τῆς ὁμολογίας τῆς ἀληθοῦς πίστεως· καὶ μάλιστα δοσείοντες πρόφασιν πλάνης λέγοντας τρία πρόσωπα, εἰ τοῦτο τὸ ὄνομα τὸ πρόσωπον ἀπολύτως τὴν οὐσίαν σημαίνει. Καὶ διατοῦτο ἕτεροι εἰρήκασιν, ὁμοῦ σημαίνειν οὐσίαν, καὶ ἀναφοράν, ἀλλ' οὐκ ἐξ ἴσης· ἀλλὰ τὸ μὲν ἐκ τοῦ εὐθέως, τὸ δὲ λοξῶς. Ὧ ἔνιοι, τὴν μὲν οὐσίαν φασὶν ἐκ τοῦ εὐθέος δηλοῦν, τὴν δ' ἀναφοράν, λοξῶς. Τινὲς δὲ ἀνάπαλιν. Ἀλλ' οὐδεὶς τὸ ἀπόρρημα ἐπιλύεται· εἰ γὰρ τὴν οὐσίαν ἐκ τοῦ εὐθέος δηλοίη, οὐκ ἂν ὤφειλε πληθυντικῶς κατηγορεῖσθαι· εἰ δὲ τὴν ἀναφορὰν οὐ πρὸς ἑαυτὸ λέγεσθαι, οὐδὲ κατὰ τῶν καθέκαστα κατηγορεῖσθαι. Καὶ διατοῦτο ἕτεροι φασίν, ὅτι ἑκάτερον σημαίνει ἐκ τοῦ εὐθέος. Ὡς ἔνιοι φασὶ σημαίνειν οὐσίαν καὶ ἀναφοράν, καθὸ οὐδέτερον, περὶ τὸ ἕτερον τίθεται. Ἀλλὰ τοῦτο αἰνίγματι ἔοικεν· ὃ γὰρ μὴ δηλοῖ ἕν, οὐδὲν σημαίνει. Ὅθεν πᾶν ὄνομα σημαίνει ἣν ἐν μιᾷ λήψει, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Καὶ διατοῦτο ἄλλοι φασίν, ὅτι ἡ ἀναφορὰ τίθεται πρὸς τὸ ἀπολελυμένον. Ὃ παγχάλεπον ἐστι

**143-144** πᾶν – φυσικά] Ar., Metaph. IV, 1003b25 ss.

**συνιδεῖν, ἐφόσον αἱ ἀναφοραὶ οὐ διορίζουσι τὴν οὐσίαν ἐν τοῖς θείοις. Καὶ διατοῦτο ἄλλοι εἰρήκασιν οὐ σημαίνειν τὸ ἀπολελυμένον ἢ τὴν οὐσίαν ἥτις ἐστὶν ὕπαρξις, ἀλλὰ τὴν ὑπόστασιν ἁπλῶς· αὐτῇ γὰρ τῇ ἀνφορᾷ ὁρίζεται· ὅπερ ὄν, καὶ ἀληθὲς τυγχάνει· ἀλλὰ διὰ τούτου τοῦ λόγου, οὐδὲν ἡμῖν σαφὲς γίνεται· ἧττον γάρ ἐστιν ἡμῖν τὸ ὄνομα τῆς ὑποστάσεως, ἢ τὸ τοῦ ἀνθυφεστῶτος· ἢ τὸ ὄνομα τοῦ προσώπου. Καὶ διατοῦτο πρὸς ἐνάργειαν τῆς τοιᾶσδε ζητήσεως ἄξιον ἂν εἴη ἐπισημήνασθαι, ὅτι ὁ ἴδιος λόγος ἐστὶ τοῦ ὀνόματος, ὃν δηλοῖ τὸ ὄνομα κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Τοῦτο δὲ τὸ ᾧ ἀποδίδοται τὸ ὑποκείμενον ὄνομα, εἰ ἐκ τοῦ εὐθέος εἴληπται ὑπὸ τῷ δηλουμένῳ πράγματι διὰ τοῦ ὀνόματος τοῦ κατηγορουμένου, ὥσπερ διωρισμένου ὑπὸ ἀδιορίστου· οἷον ὅταν λέγηται ὁ ἄνθρωπος ἐστὶ ζῷον, λέγεται ὑποκεῖσθαι, εἴτοι τὴν κατηγορίαν δέχεσθαι διὰ τοῦ ὀνόματος· εἰ δ’ ἄλλῳ τὸ ὑποκείμενον μὴ**
P 222v **εὐθὺ λαμβάνεται ὑπὸ τῷ πράγματι τοῦ κατηγορουμένου ὀνόματος, λέγεται συνάπτεσθαι | διὰ τοῦ ὀνόματος· ὥσπερ τοῦτο μὲν τὸ ὄνομα τὸ** ζῷον, **σημαίνει οὐσίαν, ἔμψυχον αἰσθητικήν· τὸ δὲ** λευκόν, **χρῶμα διακριτικὸν ὄψεως· καὶ ὁ μὲν** ἄνθρωπος, **εὐθὺ εἴληπται ὑπὸ τῷ τοῦ ζῴου λόγῳ, ὥσπερ διωρισμένον ὑπὸ ἀδιορίστῳ. Ἔστι γὰρ ὁ ἄνθρωπος οὐσία αἰσθητικὴ ἔμψυχος τῇ τοιᾷδε ψυχῇ, εἴτουν λογική. ὑπὸ δὲ τὸ λευκόν, ὅπέρ ἐστιν ἔξω τῆς οὐσίας αὐτοῦ, οὐκ εὐθὺ λαμβάνεται. Ὅθεν ὁ ἄνθρωπος, τῷ μὲν τοῦ ζῴου ὀνόματι ὑποτίθεται, συνάπτεται δὲ τῷ ὀνόματι τοῦ λευκοῦ. Καὶ ἐπεὶ περαιτέρῳ τὸ ὑποκείμενον διὰ τοῦ κοινοῦ ὀνόματος ἔχει πρὸς τὸ κοινὸν ὥσπερ διωρισμένον πρὸς ἀδιόριστον, τοῦτο τὸ ὑποκείμενον ἀποδίδοται τῷ προσκειμένῳ διορισμῷ καθ’ ὃ ὑπετίθετο πρὸ τῆς προσθήκης τοῦ κοινοῦ διορισμοῦ· τὸ γὰρ λογικὸν ζῷον, σημαίνει τὸν ἄνθρωπον. Ἀλλ’ ἰστέον, ὅτι δηλοῦται διχῇ· ἑνὶ μὲν τρόπῳ εἰδικῶς, καὶ ἄλλῳ τρόπῳ ὑλικῶς. Εἰδικῶς τοίνυν δηλοῦται τὸ διὰ τοῦ ὀνόματος· τίθεται δὲ τοῦτο τὸ ὄνομα κυρίως, ὅπέρ ἐστιν ὁ τοῦ ὀνόματος λόγος· ὥσπερ τοῦτο τὸ ὄνομα τὸ** ἄνθρωπος, **δηλοῖ τι ζῷον λογικὸν καὶ ἐπιστήμης δεκτικὸν ὑλικῶς.**

**174** Hic post ὑλικῶς Aq. habet: Materialiter vero significatur per nomen, illud in quo talis ratio salvatur ; sicut hoc nomen homo significat aliquid habens cor et cerebrum et huiusmodi partes, sine quibus non potest esse corpus animatum anima rationali.

Κατατοῦτο τοίνυν ῥητέον, ὅτι τοῦτο τὸ ὄνομα τὸ πρόσωπον, κοινῇ ληφθέν, οὐδὲν ἄλλο σημαίνει ἢ οὐσίαν ἄτομον λογικῆς φύσεως. Καὶ ἐπεὶ ἐν τῇ ἀτόμῳ οὐσίᾳ τῆς λογικῆς φύσεως περιέχεται τὸ οὐσίᾳ ἄτομος, ὅπέρ ἐστιν ἀμέθεκτον καὶ ἀπὸ τῶν ἄλλων διακεκριμένη, ὡς μὲν τοῦ Θεοῦ, ὡς δὲ τοῦ ἀγγέλου, ὡς δὲ τοῦ ἀνθρώπου, ἀνάγκη τὸ πρόσωπον σημαίνειν αὐθυπόστατον διακεκριμένον· καὶ τοῦτο ἐστὶν εἰδικὴ δήλωσις, τοσοῦτον τοῦ θείου προσώπου, ὅσον τοῦ ἀνθρωπείου. Ἀλλ᾽ ἐπεὶ τὸ διακεκριμένον καὶ αὐθυπόστατον ἐν τῇ ἀνθρωπεία φύσει οὐκ ἔστιν εἰ μή τι διὰ τῆς ἀτομιζούσης ὕλης ἠτομισμένον καὶ ἀπὸ τῶν ἄλλων διακεκριμένον, ἀνάγκη τὸ δηλοῦσθαι ὑλικῶς, ἐπειδὰν λέγηται πρόσωπον ἀνθρώπινον. Τὸ δὲ διακεκριμένον καὶ ἀκοινώνητο νῦν τῇ θείᾳ φύσει, οὐ δύναται εἶναι εἰ μὴ ἡ ἀναφορά· πᾶν γὰρ τὸ ἀπολελυμένον, ἔστι κοινὸν καὶ ἀδιάκριτον τοῖς θείοις. Ἡ ἀναφορὰ δὲ ἐν τῷ Θεῷ ἔστι ταυτὸ πράγματι, ὅπερ ἡ οὐσία αὐτοῦ. Καὶ ὥσπερ ἡ οὐσία ἐν τῷ Θεῷ ἔστι ταυτὸ τῷ τὴν οὐσίαν ἔχοντι, ὡς ἡ θεότης καὶ ὁ Θεός, οὕτω ταυτόν ἐστι καὶ ἡ ἀναφορά, καὶ τὸ διὰ τῆς ἀναφορᾶς ἀναφερόμενον. Ὅθεν ἕπεται ταυτὸν εἶναι τὴν ἀναφοράν, καὶ τὸ διὰ τῆς ἀναφορᾶς διακεκριμένον, ἐν τῇ αὐθυποστάτῳ φύσει. Φαίνεται τοίνυν τὸ πρόσωπον, γενικῶς ληφθέν, σημαίνειν οὐσίαν ἄτομον λογικῆς φύσεως· τὸ θεῖον δὲ πρόσωπον, εἰδικῇ | σημασίᾳ, σημαίνει τι
P 223r διακεκριμένον καὶ αὐθυπόστατον ἐν τῇ θείᾳ φύσει. Καὶ ἐπεὶ τοῦτο εἶναι οὐχ οἷόν τε εἰ μὴ ἡ ἀναφορὰ ἢ ἀναφορικόν, διατοῦτο ὑλικῇ δηλώσει δηλοῖ ἀναφορὰν ἢ ἀναφορικόν. Κἀντεῦθεν δύναται λέγεσθαι δηλοῦν, ἀναφορὰν κατὰ τὸν τῆς οὐσίας τρόπον, οὐχ ὅτι ἐστὶν οὐσία, ἀλλ᾽ ὅτι ἐστὶν ὑπόστασις· ὥσπερ καὶ ἀναφορὰν δηλοῖ, οὐχ ὡς ἀναφοράν, ἀλλ᾽ ὡς ἀναφερόμενον, ὡς δηλοῦται τούτῳ τῷ Πατὴρ ὀνόματι, οὐχ ὡς τὸ τῆς πατρότητος. Οὕτω γὰρ ἡ ἀναφορὰ περιεχομένη δηλοῦται λοξῶς ἐν τῇ δηλώσει τοῦ θείου προσώπου, ὃ οὐδὲν ἄλλο τυγχάνει ὄν, ἢ διακεκριμένον τῇ ἀναφορᾷ, ὑφεστῶς ἐν τῇ θείᾳ οὐσίᾳ.

[9.4.23] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ τί οὐ μόνον ζητεῖ περὶ τῆς οὐσίας, ἀλλ᾽ ἐνίοτε καὶ περὶ τοῦ ὑποκειμένου, ὡς τὸ τί τὸ νηχόμενον ἐν τῇ θαλάττῃ, ἰχθύς. Καὶ οὕτω πρὸς τὸ τί ἀπάντησις ἐστί, διὰ τοῦ ὀνόματος τοῦ προσώπου.

**[9.4.24] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι διὰ τὸν τοῦ σημαίνειν τρόπον, τούτου τοῦ ὀνόματος τὸ** πρόσωπον, **φησὶν ὁ Αὐγουστῖνος,** ταυτὸν εἶναι τῷ Θεῷ τὸ εἶναι, τὸ πρόσωπον εἶναι. **Οὐ γὰρ ἐμφαίνει κατὰ τὸν τῆς ἀναφορᾶς τρόπον, ὥσπερ τὸ Πατὴρ καὶ Υἱός.**

**[9.4.25] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τοῦτο πρόεισιν ἐκ τῆς εἰδικῆς σημασίας τοῦ προσώπου, τὸ πρὸς ἑαυτὸ λέγεσθαι, καὶ οὐ πρὸς ἕτερον ἀναφέρεσθαι.**

**[9.4.26] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ οὐσία ἔστι κοινὴ πράγματι ἐν τοῖς θείοις· τὸ δὲ πρόσωπον, λόγῳ μόνον· ὥσπερ καὶ τόδε τὸ ὄνομα, τὸ ἀναφορά.**

**[9.4.27] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν τοῖς θείοις, ἀδιάφορόν ἐστι πὰν κατὰ τὸ εἶναι, ἐφόσον ἐστὶ ἐκεῖ ἓν μόνον εἶναι. Τοῦτο δέ ἐστι παρὰ τὸν λόγον τοῦ καθόλου· καὶ διατοῦτο οὐκ ἔστιν ἐκεῖ τὸ καθόλου, εἰ καὶ ἔστιν ἐκεῖ τὸ κατὰ τὸν λόγον, καὶ οὐ κατὰ τὸ πρᾶγμα.**

**[9.4.28] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τοῦτο τὸ πρόσωπον σημαίνει ἄλλο ἐν τῷ Θεῷ καὶ ἄλλο ἐν τοῖς ἀνθρώποις, προσήκει τῇ ἑτερότητι τῆς ὑποθέσεως, ἢ τῇ διαφόρῳ σημασίᾳ ταύτης τῆς θέσεως τῆς ἔστι** πρόσωπον. **Ἡ δὲ διάφορος ὑπόθεσις, οὐ ποιεῖ ὁμωνυμίαν, ἀλλ' ἡ διάφορος σημασία.**

**[9.4.29] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ ἡ ἀναφορὰ συμβαίνει τῷ δηλουμένῳ κοινῶς διὰ τοῦδε τοῦ ὀνόματος τοῦ** πρόσωπον, **οὐ μέντοι συμβαίνει τῷ θείῳ προσώπῳ ὡς δέδεικται.**

**[9.4.30] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη πρόεισιν ἐκ τῆς εἰδικῆς δηλώσεως τοῦ ὀνόματος καὶ οὐκ ἐκ τῆς ὑλικῆς.**

**[9.4.31] Ὡς δὲ καὶ περὶ τοῦ ἐνάτου ῥητέον.**

**[9.4.32] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ πρώτη οὐσία λέγεται ἀπολελυμένη, ὡσὰν μὴ ἀπ' ἄλλου ἠρτημένη, τὸ ἀναφορικὸν δέ, ἀποτειχίζει τὸ ἀπολελυμένον, ὃ πρὸς ἄλλο μὴ ἀναφέρεται.**

**[9.4.33] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἥδε ἡ πρότασις ἡ λέγουσα, οὐδεμία ἀναφορὰ ἔστιν οὐσία, ἄμεσός ἐστιν, εἰ λαμβάνοιτο οὐσία καὶ ἀναφορὰ αἱ**
P 223v **οὖσαι ἐν γένει. Ἀλλ' ὁ Θεὸς περιστοιχίζεται ὅροις γένους | τινός, ἀλλ' ἔχει ἐν ἑαυτῷ πάσας τὰς τελειότητας τῶν γενῶν. Ὅθεν οὐ διακρίνεται ἐν ἑαυτῷ πράγματι ἀναφορὰ καὶ οὐσία.**

**208-209** φησὶν – εἶναι] Aug., De Trin. VII, cap. 6, n. 11 (PL 42, col. 943): Namque et in personis eadem ratio est; non enim aliud est Deo esse, aliud personam esse, sed omnino idem.

**230** ὡσὰν] ὡσᾶν P

[9.4.34] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὸ καθ᾽ αὑτὸ ὑφεστώς, ἀντίκειται πρὸς τὸ μὴ καθ᾽ αὑτὸ ὑφεστὼς ἐκείνου τοῦ πράγματος, οὗ πρὸς δήλωσιν τίθεται τὸ ὄνομα ἀρχοειδῶς τὸ ἐπιτιθέμενον, ὅπέρ ἐστιν ὁ λόγος τοῦ ὀνόματος· ὥσπερ τοῦτο τὸ ὄνομα τὸ ἄνθρωπος, ἡνίκα μὲν δηλοῖ τὸ ζῷον λογικόν, θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, εἰδικῶς ὥρισται. Ἡνίκα δὲ δηλοῖ τὶ ἔχον καρδίαν καὶ ἐγκέφαλον καὶ ἄλλ᾽ ἄττα τοιάδε μέρη ὧν ἄνευ οὐ δύναται εἶναι τὸ ἔμψυχον σῶμα, ψυχὴ λογικῇ, οὐ τῷ πρός τι ὄν τι.

[9.4.35] Πρὸς τὸ τρικαιδέκατον ῥητέον, ὅτι τὸ πρόσωπον κατὰ τὸ ὄνομα, πρὸς ἄλλο ἀναφέρεται, δι᾽ ὃν δηλοῖ τρόπον.

[9.4.36] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ ἓν ἐν τοῖς θείοις, ἔχει κοινῇ πρὸς τὴν οὐσίαν καὶ τὴν ἀναφοράν· φαμὲν γὰρ ὅτι ἡ οὐσία ἐστὶ μία, καὶ ὁ Πατὴρ εἷς.

[9.4.37] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἴσως ὁ διάφορος τρόπος ἐκεῖνος τῆς προόδου, ᾧ λέγεται ὁ Υἱὸς προϊέναι κατὰ τρόπον νοός· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, κατὰ τρόπον βουλήσεως, οὐκ ἀπόχρη πρὸς τὸ διακρίνειν προσωπικῶς τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Υἱοῦ, ἐφόσον ὁ νοῦς καὶ ἡ θέλησις μὴ διακρίνεται προσωπικῶς ἐν τοῖς θείοις. Εἰ μέντοι συγχωρηθείη ἀπαρκεῖν τοῦτο πρὸς τὴν διάκρισιν αὐτῶν, τέως πρόδηλόν ἐστιν ἑκάτερα τοῦ Πατρὸς διακρίνεσθαι διὰ τῆς ἀναφορᾶς, καθὸ τὸ μὲν ἕτερον αὐτῶν πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς γεννητόν, τὸ δὲ ἕτερον ὡς πνευστόν· καὶ αὗται αἱ ἀναφοραί, ποιοῦσιν αὐτῶν τὰ πρόσωπα.

[9.4.38] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ὥσπερ ἡ ἀναφορὰ σημαίνει διακρίνον ἐν τοῖς θείοις, οὕτω τὸ ἀναφερόμενον δηλοῦται ὡς διακεκριμένον· ἐν τῷ Θεῷ δὲ οὐκ ἔστιν ἄλλο ἀναφορικόν, καὶ ἄλλο ἀναφερόμενον, ὥσπερ οὐ δ᾽ οὐσία, καὶ ὃ ἐστί· καὶ διατοῦτο οὐδὲ τὸ διακρίνον καὶ διακρινόμενον ἐν τῷ Θεῷ διαφέρουσι.

[9.4.39] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ ἰδιότης ἐν τῷ Θεῷ, οὐκ ἔστι συμβατική, ἀλλ᾽ ἔστι πράγματι ταυτὸ τῷ οὗ ἐστιν ἰδιότης· διαφέρει δὲ τῷ τῆς ἐπινοίας τρόπῳ. Τὸ πρόσωπον τοίνυν, οὐ δηλοῖ ἀναφοράν, καθὸ ἐστὶν ἰδιότης, ἀλλὰ καθὸ ἐστὶν ἰδιότητι καὶ οὐσία ὑφεστῶς.

**[9.4.40] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ τὰ καθόλου οὐ δύναται εἶναι ἄνευ τῶν καθέκαστα, δύναται μέντοι νοεῖσθαι, καὶ κατὰ τὸ εἰκὸς δηλοῦσθαι. Καὶ διατοῦτο ἕπεται εἰ μὴ ἔστι τι τῶν καθέκαστα μὴ εἶναι τὸ καθόλου. Οὐ μέντοιγε ἕπεται, εἰ μὴ νοεῖται ἢ δηλοῦται τι τῶν καθέκαστα μὴ νοεῖσθαι μηδὲ δηλοῦσθαι τὸ καθόλου· τοῦτο γὰρ τὸ ὄνομα τὸ** ἄνθρωπος**, οὐ δηλοῖ τινὰ τῶν καθέκαστα ἀνθρώπων· ἀλλὰ τὸν ἄνθρωπον μόνον ἐν κοινῷ· ὁμοίως καὶ τοῦτο τὸ ὄνομα τὸ** πρόσωπον**, καὶ εἰ μὴ δηλοῖ τὴν πατρότητα,**
P 224r **μήτε τὴν υἱότητα, | μήτε τὴν κοινὴν πνεῦσιν, ἢ τὴν ἐκπόρευσιν· ὅμως δηλοῖ ἀναφορὰν ἐν κοινῷ, κατὰ τὸν εἰρημένον ἤδη τρόπον, ὥσπερ καὶ τοῦτο τὸ ὄνομα τὸ ἀναφορὰ τῷ ἰδίῳ τρόπῳ.**

## Κεφάλαιον πέμπτον

## Πότερον ἐστὶν ἀριθμὸς τῶν προσώπων ἐν τοῖς θείοις ἢ οὔ.

[9.5.1] Πέμπτον ζητεῖται, πότερον ἐστὶν ἀριθμὸς τῶν προσώπων ἐν τοῖς θείοις. Καὶ δοκεῖ μή. Φησὶ γὰρ ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· τοῦθ' ὡς ἀληθῶς, ἓν ἐστίν, ἐν ᾧ μηδεὶς ἔστιν ἀριθμός. Ἀλλ' ὁ Θεός ἐστιν ἀληθέστατα εἷς· ἐν αὐτῷ ἄρα οὐδεὶς ἐστὶν ἀριθμός.

[9.5.2] Ἀλλ' ἔλεγεν, ὅτι ἐν τῷ Θεῷ οὐκ ἔστιν ἀριθμὸς ἁπλῶς, ἀλλὰ προσώπων. Ἀλλὰ τοὐναντίον, ἀεὶ τῷ τι ἕπεται τὸ ἁπλῶς, ἐπειδὰν ὁ προσδιορισμὸς μὴ ὑποβιβάζῃ· ἕπεται γὰρ τῷ ἔστιν ἄνθρωπος λευκός, τὸ οὐκοῦν καὶ ἄνθρωπος ἐστίν. Ἀλλὰ τοῦθ' ὃ λέγεται ἀριθμὸς προσώπων οὐκ ἔστι προσδιορισμὸς τὸ ὄνομα ὑποβιβάζον, ἐφόσον τὸ πρόσωπόν ἐστί τι πληρέστατον. Ἕπεται ἄρα ἐν τοῖς θείοις, εἰ ἔστιν ἀριθμὸς τῶν προσώπων, εἶναι ἐκεῖ ἀριθμὸν ἁπλῶς.

[9.5.3] Ἔτι, τῷ ἑνὶ ἀντίκειται τὸ πλῆθος, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλὰ τὰ ἀντικείμενα οὐκ ἔνεισι τὸ αὐτό. Ἐν τῷ Θεῷ τοίνυν οὔσης ἄκρας ἑνάδος ἀδύνατον εἶναι ἐν αὐτῷ τινα ἀριθμὸν ἢ πλῆθος τι.

[9.5.4] Ἔτι, ἔνθα ἔστιν ἀριθμός, ἐκεῖ ἔστι πλῆθος μονάδων. Ὅπη δέ εἰσι πολλαὶ μονάδες, ἐκεῖ ἔστι πολυειδὲς εἶναι· ἄλλο γάρ ἐστι τὸ εἶναι τῆσδε τῆς μονάδος καὶ ἄλλο τῆσδε. Εἰ ἄρα ἐν τῷ Θεῷ ἔστι τις ἀριθμός, χρὴ ἐν αὐτῷ πολυειδὲς εἶναι· καὶ ταύτῃ πολυειδὴς οὐσία· ὃ φαίνεται ψεῦδος ὄν.

[9.5.5] Ἔτι, ὥσπερ τὸ ἓν ἐστιν ἀδιαίρετον, οὕτω τὸ πλῆθος οὐκ ἔστιν ἄνευ διαιρέσεως. Ἀλλ' ἐν τῷ Θεῷ ἀδύνατον εἶναί τινα διαίρεσιν, μηδεμιᾶς οὔσης ἐκεῖ συνθέσεως. Οὐκ ἄρα δύναταί τις εἶναι ἐν τοῖς θείοις ἀριθμός.

[9.5.6] Χωρὶς δὲ τούτων, πᾶς ἀριθμὸς ἔχει μόρια· συνίσταται γὰρ ἐκ μονάδος. Ἀλλ' ἐν τῷ Θεῷ οὐκ εἰσί τινα μόρια μηδεμιᾶς οὔσης ἐνταῦθα συνθήκης. Ἐν τῷ Θεῷ. Οὐκ <ἄρα> ἔστιν ἀριθμός.

[9.5.7] Ἔτι, τοῦθ' ᾧ διαφέρει ἡ κτίσις τοῦ Θεοῦ, τῷ Θεῷ ἀνεῖναι οὐκ ὀφείλει. Διαφέρει δὲ ἡ κτίσις τοῦ Θεοῦ τῷ ἐν ἀριθμῷ τινι κατεσκευάσθαι· κατ' ἐκεῖνο

**4-5** Φησὶ – ἀριθμός] Boet., De Trin., cap. 3 (PL 64, col. 1251A): Quocirca hoc vere unum in quo nullus numerus. **14-15** τῷ – φυσικά] Ar., Metaph. X, 1056 b 32-34: ἀντίκειται δὴ τὸ ἓν καὶ τἀπολλὰ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ· ταῦτα δὲ ὡς τὰ πρός τι, ὅσα μὴ καθ' αὑτὰ τῶν πρός τι.

**10** Hic post ἐστίν Aq. habet: sed non sequitur : est homo mortuus; ergo est homo.

**τὸ τῆς Σοφίας ἐνδέκατον,** πάντα **ἐν ἀριθμῷ καὶ** σταθμῷ καὶ μέτρῳ **κατεσκευάσθαι. Ὁ ἀριθμὸς ἄρα οὐ δεῖ τίθεσθαι ἐν τοῖς θείοις.**

**[9.5.8] Ἔτι, ὁ ἀριθμὸς ἐστὶν εἶδος τοῦ ποσοῦ. Ἐν τῷ Θεῷ δέ, οὐκ ἔστι τις** P 224v **ποσότης· διὰ τὸ ὅ,τί ποτ' ἂν ποσότητα σημαίνηται | εἰς τὴν θείαν ἀφίκτηται κατηγορίαν, μεταβάλλειν εἰς οὐσίαν, ὥς φησιν ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Ἢ τοίνυν ὁ ἀριθμὸς οὐδ' ὁπωστιοῦν ἐστιν ἐν τοῖς θείοις, ἢ τῇ οὐσίᾳ προσήκει, ὅπέρ ἐστιν ὑπεναντίον τῇ πίστει.**

**[9.5.9] Παρὰ ταῦτα, ἔνθα ἐστὶν ἀριθμός, ἐκεῖ εἰσὶ τὰ τοῦ ἀριθμοῦ πάθη, ὡς τὸ τέλειον καὶ τὸ ἐλλεῖπον, ὁ πολλαπλασιασμὸς καὶ ἡ διαίρεσις, καὶ τὰ ἄλλα τὰ ὁμόστοιχα ὅσα ἕπεται τῷ ἀριθμῷ. Τοῦτο δὲ ἐν τῷ Θεῷ εἶναι ἀδύνατον. Ἐν τῷ Θεῷ ἄρα οὐκ ἔστιν ἀριθμός.**

**[9.5.10] Ἔτι, πᾶς ἀριθμός, πεπερασμένος ἐστί. Τὸ δ' ἄπειρον, καὶ ἀνάριθμον. Ἐπεὶ τοίνυν ὁ Θεὸς ἄπειρος ὑπάρχει, ἀδύνατον εἶναι ἀριθμὸν ἐν αὐτῷ.**

**[9.5.11] Ὑπολαβὼν δὲ ἔφη, ὅτι εἰ καὶ ὁ Θεός ἐστιν ἄπειρος, ἀλλ' ἡμῖν ἑαυτῷ δὲ πεπέρανται. Ἀλλὰ τοὐναντίον· ἀληθεστέρως ὑπάρχει τῷ Θεῷ, τὸ προσῆκον αὐτῷ καθ' αὐτόν, ἢ ὃ προσήκει αὐτῷ καθ' ἡμᾶς. Εἰ τοίνυν ὁ Θεὸς ἔστι πεπερασμένος ἑαυτῷ, ἡμῖν δὲ ἄπειρος, ἀληθέστερον πεπέρανται, ἢ ἄπειρος ἐστίν· ὅπερ εἶναι δοκεῖ ψεῦδος.**

**[9.5.12] Ἄνευ δὲ τούτων, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά,** ὁ ἀριθμὸς ἐστὶ πλῆθος **κατα**μετρ**ούμενον τῇ μονάδι. Ὁ δὲ Θεός ἐστι μέτρον, οὐ μετρητόν. Ἐν τῷ Θεῷ ἄρ' οὐκ ἔστιν ἀριθμός.**

**[9.5.13] Ἔτι, ἐν πάσῃ φύσει, ἣ μὴ διαφέρει τοῦ αὐτῆς ὑποκειμένου, ἀδύνατόν ἐστι πολλαπλασιάζεσθαι τὰ ὑποκείμενα αὐτῆς· διατοῦτο γὰρ δύναται εἶναι πολλοὺς ἀνθρώπους ἐν μιᾷ φύσει τῇ ἀνθρωπίνῃ· ὅτι οὑτοσὶν ὁ ἄνθρωπος, οὐκ ἔστιν ἡ ἀνθρωπότης αὐτοῦ· καὶ διατοῦτο τὸ πλῆθος τῶν ἀτόμων ἐν τῇ μιᾷ φύσει τῇ ἀνθρωπείᾳ, ἕπεται τῇ διαφορότητι τῶν ἀτομικῶν ἀρχῶν, αἳ οὐκ εἰσὶν ἐκ τοῦ λόγου τῆς κοινῆς φύσεως. Ἐν δὲ ταῖς ἀύλοις οὐσίαις, ἐν οἷς αὐτὴ ἡ τοῦ εἴδους φύσις ἔστιν ὑποκείμενον ὑφεστῶς, ἀδύνατον εἶναι πολλὰ ἄτομα ἑνὸς εἴδους. Ἐν δὲ τῷ Θεῷ μάλιστα, ἐστὶ τὸ αὐτὸ φύσις καὶ ὑποκείμενον· αὐτὸ γὰρ**

**28-30** κατ' – κατεσκευάσθαι] Sap. 11, 20: καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ τῆς δίκης διωχθέντες καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου· ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας. **47-48** κατὰ – μονάδι] Ar., Metaph. X, 1057a3-4: ἔστι γὰρ ἀριθμὸς πλῆθος ἑνὶ μετρητόν.

**τὸ θεῖον εἶναι, ὅπέρ ἐστιν ἡ θεία φύσις, ἔστι τὸ ὑφεστῶς. Ἀδύνατον ἄρα ἐν τῇ θείᾳ φύσει εἶναι πολλὰ ὑποκείμενα, ἢ πολλὰ πρόσωπα.**

**[9.5.14] Ἔτι, τὸ πρόσωπόν ἐστιν ὄνομα πράγματος. Ἔνθα τοίνυν μὴ ἔστιν ἀριθμὸς πραγμάτων, οὐκ ἔστιν ἀριθμὸς προσώπων. Ἀλλ’ ἐν τῷ Θεῷ, οὐκ ἔστιν ἀριθμὸς πραγμάτων· φησὶ γὰρ ὁ Δαμασκηνός, ὅτι ἐν τοῖς θείοις,** ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, **πράγματι μέν,** εἰσὶν ἕν· **λόγῳ** δὲ καὶ ἐπινοίᾳ, διαφέρουσιν. **Ἐν τῷ Θεῷ ἄρα, οὐκ ἔστιν ἀριθμὸς προσώπων.**

**[9.5.15] Πρὸς δὲ τούτοις, ἀδύνατόν ἐστιν ἔν τινι ἑνὶ εἶναι πραγμάτων πληθύν, ἄνευ πραγμάτων συνθήκης· ὁ δὲ Θεός, εἷς ἐστίν. Εἰ τοίνυν ἐν τῷ Θεῷ εἰσὶ πολλὰ πρόσωπα ὅπέρ ἐστιν εἶναι πολλὰ πράγματα, ἕπεται εἶναι ἐν αὐτῷ σύνθεσιν· ὃ τῇ αὐτοῦ ἁπλότητι διαμάχεται.**

**[9.5.16] Ἔτι, τὸ ἀπολελυμένον, τελεώτερον ἐστὶν ἢ τὸ ἀναφορικόν. Ἀλλ’ αἱ ἀπολελυμέναι ἰδιότητες, εἴτουν αἱ οὐσιώδεις ἀποδόσεις, ὡς ἡ σοφία, καὶ ἡ**
P 225r **δικαιοσύνη καὶ τὰ τοιαδί, | οὐ ποιοῦσιν ἐν τῷ Θεῷ πολλὰ πρόσωπα. Οὐδ’ ἄρα αἱ ἀναφορικαὶ ἰδιότητες, ὡς ἡ υἱότης, καὶ ἡ πατρότης.**

**[9.5.17] Ἔτι, τὰ οἷς διακρίνονταί τινα ἀπ’ ἀλλήλων, παραβάλλονται πρὸς αὐτά, ὥσπερ διαφοραὶ ποιητικαὶ αὐτῶν. Εἰ τοίνυν τὰ πρόσωπα ἐν τοῖς θείοις ἀναφοραῖς διακρίνονται, ἀνάγκη τὰς ἀναφορὰς εἶναι ὡσανεὶ διαφορὰς ποιητικὰς τῶν προσώπων· καὶ οὕτω ἐν τοῖς θείοις προσώποις ἔσται τις σύνθεσις, ἐφόσον ἡ διαφορὰ ἐπιοῦσα τῷ γένει, ποιεῖ εἶδος.**

**[9.5.18] Αὖθις, τὰ διακρινόμενα ἀναφοραῖς εἴδει διαφερούσαις, ἀναγκαῖον εἴδη διαφέρειν· ὥσπερ ὁ ἄνθρωπος καὶ ὁ ἵππος εἴδει διαφέρουσι, καθάπερ τὸ λογικὸν καὶ τὸ ἄλογον. Ἡ δὲ πατρότης καὶ ἡ υἱότης, εἰσὶν ἀναφοραὶ εἴδει διαφέρουσαι. Εἰ τοίνυν τὰ θεῖα πρόσωπα μόναις ταῖς ἀναφοραῖς διακρίνονται, ἀναγκαῖον ἐστὶν εἴδει διαφέρειν· καὶ ταύτῃ οὐκ ἔσονται μιᾶς φύσεως, ὅπέρ ἐστιν ἀντίπαλον τῇ πίστει.**

**[9.5.19] Ἔτι, οὐκ ἔστιν ὅπως εἰς ἐπίνοιαν πίπτοι, εἶναι τινὰ τῷ ὑποκειμένῳ διαφέροντα, ὧν ἐστὶν ἓν τὸ εἶναι. Ἀδύνατον ἄρα ἐστὶν εἶναι ἐκεῖ πολλὰ ὑποκείμενα ἢ πολλὰ πρόσωπα.**

**62-64** φησὶ – διαφέρουσιν] Dam., De fid. orth. I, cap. 8: κατὰ πάντα ἕν εἰσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως· ἐπινοίᾳ δὲ τὸ διῃρημένον.

**84** Hic post εἶναι Aq. habet: Sed in divinis non est nisi unum esse.

[9.5.20] Ἔτι, τῆς κτίσεως οὔσης καθ’ αὐτὸν ἐνεργείας ἰδίως τοῦ Θεοῦ, ἀνάγκη ἐνέργειαν ταύτην προϊέναι ἐξ ὁτουοῦν ὑποκειμένου τῆς θείας φύσεως. Ἀδύνατον δὲ ταύτην τὴν ἐνέργειαν οὖσαν μίαν, προϊέναι ἐκ πλήθους ὑποκειμένων· μία γὰρ ἐνέργεια οὐκ ἔστιν, εἰ μὴ ἀφ’ ἑνὸς ποιοῦντος. Ἀδύνατον ἄρα ἐστί, τῆς θείας φύσεως εἶναι πολλὰ ὑποκείμενα, ἢ πολλὰ πρόσωπα.

[9.5.21] Ἔτι, ἡ ἑτερότης τῶν ἰδιοτήτων οὐ ποιεῖ διάφορα ὑποκείμενα ἐν τούτοις τοῖς ὑποβεβηκόσιν· οὐδὲ γὰρ διὰ τὸ εἶναι τοδὶ λευκόν, ἐκεῖνο δὲ μέλαν, ἔστι τοῦτο τὸ ὑποκείμενον τῆς ἀνθρωπείας φύσεως ἕτερον ἐκείνου. Ἀλλὰ τῇ διαφορᾷ τῆς ὕλης τῆς ἀτομικῆς, ἥτις ἐστὶν οὐσία τῶν ἀτόμων, ἔστι τοῦτο τὸ ὑποκείμενον ἄλλο ἐκείνου. Εἰ τοίνυν ἐν τοῖς θείοις μὴ εἴη διάκρισις, ὅτι μὴ διὰ τῶν ἰδιοτήτων τῶν ἀναφορικῶν ἀδύνατόν ἐστιν εἶναι ἐκεῖ πλῆθος ὑποκειμένων ἢ προσώπων.

[9.5.22] Πάλιν, αἱ ὑπερέχουσαι κτίσεις, εἰσὶν ὁμοιότεραι τῷ Θεῷ, ἢ ἐκ χαμάιζηλοι. Ἐν δὲ τοῖς χαμαιζήλοις κτίσμασιν εἰσὶν πολλὰ ὑποκείμενα ἐν μιᾷ φύσει, οὔκουν γε μὴν ἐν τοῖς ὑπερέχουσιν, ὥσπερ ἐν τοῖς οὐρανίοις σώμασιν. Οὐδ’ ἄρα ἐν τῷ Θεῷ εἰσὶ πολλὰ πρόσωπα ἐν μιᾷ φύσει.

[9.5.23] Ἔτι, ὅπῃ ὅλη ἡ τελειότης τοῦ εἴδους εὑρίσκεται ἐν ἑνὶ ὑποκειμένῳ, οὐκ εἰσὶ πολλὰ ὑποκείμενα τῆς φύσεως ἐκείνης, καθάπερ ὁ Φιλόσοφος ἀποδείκνυσιν, ἐν τῷ Περὶ οὐρανοῦ καὶ κόσμου πρώτῳ· ὅτι ἐστὶν εἷς μόνος κόσμος διὰ τὸ συνεστάναι ἐξ ὅλης αὐτοῦ τῆς ὕλης. Ὅλη δὲ ἡ τελειότης τῆς θείας φύσεως εὑρίσκεται ἐν ἑνὶ ὑποκειμένῳ. Οὐκ εἰσὶν ἄρα πολλὰ ὑποκείμενα ἢ πρόσωπα ἐν τῇ μιᾷ φύσει.

[9.5.24] Ἀλλ’ ἔλεγεν, ὅτι πρὸς περιουσίαν γήθους, ζητεῖται εἶναι κοινωνίαν P 225v πολλῶν, ἐν τῇ θείᾳ φύσει, ἐπεὶ | μηδενὸς χρήματος κτίσις δύναται εἶναι ἐπίχαρις ἄνευ πολλῶν μεριτῶν, ὡς φησὶν ὁ Βοήτιος. Ἀνάγκη τε τοῦτ’ εἶναι πρὸς τελειότητα, ὥστε τὸν ἕτερον ἀγαπᾶν, τὸν ἕτερον ὅσον ἑαυτόν. Ἀλλὰ τοὐναντίον· τὸ πλήρωμα τοῦ γήθους καὶ τῆς ἀγάπης ἔχειν ἐν ἑτέρῳ, ἔστι τοῦ μὴ ἔχοντος ἐν ἑαυτῷ τῆς ἀγαθότητος τὴν αὐτάρκειαν. Ὅθεν ὁ Φιλόσοφος φησὶν ἐν τῷ ἐνάτῳ τῶν Ἠθικῶν· ὅτι οἱ κακοὶ οἱ μὴ ἔχοντες τὰς τέρψεις ἐν

**104-106** καθάπερ – ὕλης] cf. Ar., De coel. I, 268b5-13: Τῶν μὲν οὖν – ποιησάμενοι τήνδε.

**ἑαυτοῖς, ζητοῦσι διαιτεῖσθαι μετὰ τῶν ἄλλων· οἱ δ’ ἀγαθοὶ ἥκιστα, ἔχοντες ἐν ἑαυτοῖς τὴν αἰτίαν τῶν τέρψεων. Ἡ θεία δὲ φύσις, οὐ δύναται εἶναι ἄνευ πάσης αὐταρκείας τῆς ἀγαθότητος. Ἓν ἄρα ὑποκείμενον τῆς θείας φύσεως ἔχει ἐν ἑαυτῷ πᾶν τὸ πλήρωμα τῆς χαρᾶς καὶ τῆς ἀγάπης, οὐδὲ χρὴ διὰ τοῦτο πολλὰ ὑποκείμενα τιθέναι ἐν τοῖς θείοις ἢ πολλὰ πρόσωπα.**

**[9.5.25] Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Ἰωάννου λεγόμενον, ἐν τῷ τελευταίῳ τῆς πρώτης·** τρεῖς εἰσὶν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ· ὁ Πατήρ, καὶ ὁ Λόγος, καὶ τὸ ἅγιον Πνεῦμα.

**[9.5.26] Ἔτι, ὁ Ἀθανάσιος φησὶν ἐν τῷ συμβόλῳ·** ὅλα τὰ τρία πρόσωπα, συναΐδια ἑαυτοῖς εἰσί, καὶ ἴσα. **Ἔστιν ἄρα ἐν τοῖς θείοις, ἀριθμὸς προσώπων.**

**[9.5.27] Ἀπόκρισις. Ῥητέον, ὅτι τὸ πλῆθος τῶν προσώπων ἐν τοῖς θείοις, ἔστιν ἐκ τῶν τῇ πίστει ὑποκειμένων, καὶ τῶν τῷ φυσικῷ λόγῳ τοῦ ἀνθρώπου, μήτε ἐξιχνιάζεσθαι μήτε ἀποχρώντως νοεῖσθαι δυναμένων· ἀλλὰ τῶν ἐλπιζομένων ἐν τῇ πατρίδι νοηθήσεσθαι, ἡνίκα ὁ Θεὸς κατ’ οὐσίαν ὀφθήσεται, ὑποχωρούσης τῆς κατὰ τὴν πίστιν ὁράσεως. Ἀλλ’ ὅμως οἱ ἅγιοι Πατέρες διὰ τὴν ἔνστασιν τῶν ἀντιλεγόντων τῇ πίστει, συνελήλανται τούτου τε πέρι καὶ τῶν ἄλλων διασαφοῦντες τῶν εἰς τὴν πίστιν ἀποσκοπούντων, ἐπιεικῶς μέντοι καὶ εὐλαβῶς ἄνευ οὑτινοσοῦν λήμματος τοῦ κατειληφέναι. Οὐδέ ἐστιν ἡ τοιαύτη ζήτησις ἀσυντελής, ἐπειδὰν διὰ ταύτης ὁ νοῦς πτερῶται πρὸς τὸ θήρασθαί τι τῆς ἀληθείας, ὃ πρὸς τὰς πλάνας ἀποτειχίζειν ἅλις ἔχει. Ὅθεν ὁ Ἱλάριος ἐν τῷ Περὶ Τριάδος αὐτοῦ βιβλίῳ φησί· τοῦτο πιστεύων δηλαδὴ τὸ πλῆθος τῶν προσώπων ἐν τοῖς θείοις**, ἄρξαι, διάδραμε, ἐπίμεινον· καὶ εἰ μὴ ἐπεξιόντα γνοίην, προκόψοντα μέντοιγε ἠσθήσομαι. Ὁ γὰρ εὐσεβῶς τὰ ἄπειρα μετιών, ἢν καὶ τὰ μὴ ἐφίκηται, ποτὲ μέντοιγε προκόψει προβαίνων. **Πρὸς δήλωσιν τοίνυν ὁποιανοῦν ταυτησὶ τῆς ζητήσεως, καὶ μάλιστα καθὸ ταύτην ὁ Αὐγουστῖνος μεταχειρίζει, θεωρητέον ἂν εἴη· ὅτι πᾶν τὸ ὂν τέλειον ἐν τοῖς δημιουργήμασι, δεῖ τῷ Θεῷ ἐξαίρειν, κατὰ τὸ ὂν ἐκ τοῦ λόγου τῆς τελειότητος ἐκείνης ἀπολύτως· οὐ κατὰ τὸν τρόπον ᾧ ἐστιν ἐν τῷδε, ἢ ἐκείνῳ.**

**114-117** ὁ – τέρψεων] Ar., Eth. nic. IX, 1166b20-1167a15: στασιάζει γὰρ – τὰ δίκαια δρῶν. **121-123** τὸ – Πνεῦμα] Io. 5, 7: ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατήρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι. **124-125** ὁ – ἴσα] Symb. Fid. **136-139** ὁ – προβαίνων] Hilar., De Trin. II (PL 10, cols 58D-59A): Incipe, percurre, persiste; et si non perventurum sciam, tamen gratulabor profecturum. Qui enim pie infinita persequitur, etsi non contingat aliquando, tamen proficiet prodeundo.

P 226r

**Οὐ γάρ ἐστιν ἐν τῷ Θεῷ ἀγαθότης, ἢ σοφία κατά τι συμβεβηκὸς ὥσπερ ἐν ἡμῖν, εἴ γε ἐν αὐτῷ ἐστιν ἄκρα | ἀγαθότης, καὶ σοφία τελεία. Οὐδὲν δὲ ἐλλογιμώτερον καὶ τελειότερον ἐν τοῖς κτίσμασιν εὑρίσκεται τοῦ νοεῖν, οὗ τεκμήριον ἐστὶ τὸ παρὰ τὰ λοιπὰ κτίσματα τὰς νοερὰς οὐσίας εἶναι τε λογιμωτέρας, καὶ λέγεσθαι διὰ τὸ νοερὸν κατ' εἰκόνα Θεοῦ γενέσθαι. Ἀνάγκη τοίνυν τὸ νοεῖν, προσήκειν τῷ Θεῷ καὶ πάντα τὰ ἐκ τοῦ λόγου τοῦ νοεῖν, εἰ καὶ ἑτέρῳ τρόπῳ ἐκείνῳ προσήκει, ἢ τοῖς κτίσμασιν. Ἐκ τοῦ λόγου δὲ τοῦ νοεῖν ὑπάρχει, τὸ εἶναι νοοῦν καὶ νοούμενον. Ἐκεῖνο δὲ ὅπέρ ἐστι καθ' αὐτὸ νοητόν, οὔτε ἔστιν ἐκεῖνο τὸ πρᾶγμα, οὗτινος ἡ κατάληψις διὰ τοῦ νοὸς λαμβάνεται· ἐνίοτε μὲν γὰρ ἐκεῖνο νοεῖται δυνάμει μόνον, καὶ οὕτως ἔξω τοῦ νοοῦντος, ὥσπερ ὁπόταν ὁ ἄνθρωπος νοῇ τὰ ὑλικὰ πράγματα, οἷον λίθον ἢ ζῷον ἢ ἄλλο τι τοιοῦτον· τοῦτο δὲ ἀνάγκη τὸ νοούμενον εἶναι ἐν τῷ νοοῦντι, καὶ ἓν σὺν αὐτῷ. Οὔτ' αὖ τὸ νοούμενον καθ' αὐτὸ ἔστιν ἡ ὁμοιότης τοῦ νοουμένου πράγματος, δι' ἧς μορφοῦται ὁ νοῦς πρὸς τὸ νοεῖν· ὁ γὰρ νοῦς, οὐ δύναται νοεῖν, εἰ μὴ καθό ἐστιν ἐνεργείᾳ διὰ ταύτης τῆς ὁμοιότητος, ὥσπερ οὐδ' ἄλλο οὐδὲν δύναται ἐνεργεῖν, ᾗ ἐστὶν ἐν δυνάμει, ἀλλ' ᾗ ἐστὶν ἐνεργείᾳ διά τινος εἴδους. Αὕτη τοίνυν ἡ ὁμοιότης ἔχει ἐν τῷ νοεῖν, ὥσπερ ἀρχὴ τοῦ νοεῖν, ὥσπερ ἡ θέρμη ἔστιν ἀρχὴ τῆς θερμάνσεως, οὐχ ὡς τοῦ νοεῖν πέρας. Τοῦτο τοίνυν ἐστὶ πρῶτον καὶ καθ' αὐτὸ νοητόν, ὅπερ ὁ νοῦς ἐν ἑαυτῷ συλλαμβάνει, ἐκ τοῦ νοουμένου πράγματος, εἴτ' εἴη τοῦτο ὅρος, εἴτε ἄλλη τις ἀπόφανσις· καθὸ δὴ τίθενται δύο ἐνέργειαι τοῦ νοῦ, ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Τοῦτο δ' ὃ συλλαμβάνεται παρὰ τοῦ νοῦ, λέγεται λόγος ἐνδιάθετος, τοῦτο γάρ ἐστι τὸ δηλούμενον διὰ τῆς φωνῆς· ὁ γὰρ προφορικὸς λόγος οὐ μηνύει τὸν νοῦν αὐτόν, ἢ τὸν νοητὸν εἶδος αὐτοῦ, ἢ αὐτὸ τὸ νοεῖν, ἀλλὰ τὸν τόκον τοῦ νοῦ, οὗ μεσιτεύοντος, ἑρμηνεύει τὸ πρᾶγμα· ὡς ὅταν λέγω ἄνθρωπος, ἢ ὁ ἄνθρωπος ἐστὶ ζῷον. Καὶ ὅσον πρὸς τοῦτο οὐδὲν διενήνοχε, πότερον ὁ νοῦς νοεῖ ἑαυτόν, ἢ νοεῖ ἕτερον παρ' ἑαυτόν. Ὥσπερ γὰρ ἐπειδὰν νοῇ ἄλλο παρ' ἑαυτὸν διαμορφοῖ τὴν κατάληψιν ἐκείνου τοῦ πράγματος ἣν τῇ φωνῇ ἀπαγγέλλει, οὕτως ἐπειδὰν νοῇ ἑαυτόν, εἰδοποιεῖ τὴν ἑαυτοῦ κατάληψιν, ἣν καὶ τῇ φωνῇ δύναται διασαφοῦν. Ἐπεὶ τοίνυν ἐν τῷ Θεῷ ἐστί τι νοεῖν, καὶ ἐκ τοῦ νοεῖν ἑαυτὸν νοεῖ τὰ ἄλλα πάντα, ἀνάγκη τίθεσθαι ἐν αὐτῷ εἶναι τόκον νοός·**

ὥσπέρ ἐστιν ἀπολύτως ἐκ τοῦ λόγου τοῦ νοεῖν. Εἰ δὲ δυναίμεθα ἐν νῷ λαβεῖν, τὸ θεῖον νοεῖν τι, καὶ πῶς ἐστίν, ὥσπερ ἐξεπιστάμεθα τὸ ἡμέτερον νοεῖν, οὐκ ἂν ἦν ὑπὲρ λόγον ἡ τοῦ θείου σύλληψις, ὥσπερ οὐδ’ ἡ τοῦ ἀνθρωπείου λόγου σύλληψις, ὥσπέρ ἐστιν ἀπολύτως ἐκ τοῦ λόγου τοῦ νοεῖν. Εἰ δὲ δυναίμεθα ἐν νῷ λαβεῖν τὸ θεῖον νοεῖν τί καὶ πῶς ἐστίν, ὥσπερ ἐξεπιστάμεθα τὸ ἡμέτερον νοεῖν, οὐκ ἂν ἦν ὑπὲρ λόγον ἡ τοῦ θείου σύλληψις, ὥσπερ οὐδ’ ἡ τοῦ ἀνθρωπείου λόγου σύλληψις. Ἐφικνούμεθα μέντοι ἐπίστασθαι τί μή ἔστι, καὶ τίνα τρόπον οὐκ ἔστιν ἐκεῖνο τὸ νοεῖν· δι’ οὗ δυνάμεθα | εἰδέναι τὴν διαφορὰν τοῦ συλλαμβανομένου λόγου παρὰ τοῦ Θεοῦ, καὶ τὴν διαφορὰν τοῦ συλλαμβανομένου λόγου παρ’ ἡμῶν. Ἴσμεν γὰρ πρῶτον ὅτι ἐν τῷ Θεῷ ἔστιν ἓν μόνον νοεῖν, οὐ πολυειδὲς ὥσπερ ἐν ἡμῖν· ἕτερον γάρ ἐστι τὸ νοεῖν ἡμῶν ὃ νοοῦμεν τὸν λίθον, καὶ ὃ νοοῦμεν τὸ φυτόν· ἀλλὰ τοῦ Θεοῦ ἓν ὂν ὑπάρχει τὸ νοεῖν, ᾧ ὁ Θεὸς ἑαυτόν τε νοεῖ καὶ τὰ ἄλλα πάντα. Καὶ διατοῦτο ὁ
P 226[v] μὲν ἡμέτερος νοῦς συλλαμβάνει λόγους πολλούς, ὁ δὲ συλληφθεὶς παρὰ Θεοῦ Λόγος, εἷς ἐστὶ μόνος. Τούτων δὲ ἀνωμολογημένων αὖθις, ὁ μὲν ἡμέτερος νοῦς ἀτελῶς πλειστάκις νοεῖ, καὶ ἑαυτὸν καὶ τὰ ἄλλα· τὸ δὲ θεῖον νοεῖν ἀμήχανον εἶναι ἀτελές. Ὅθεν ὁ μὲν θεῖος Λόγος, ἔστι τέλειος, τελείως πάντα ἐμφαίνων· ὁ δ’ ἡμέτερος πλειστάκις ὑστερίζει· καὶ τούτων δὲ ὑποκειμένων. Αὖθις ἐν τῷ ἡμετέρῳ νῷ, ἄλλο ἐστὶ τὸ νοεῖν, καὶ ἄλλο τὸ εἶναι· καὶ διατοῦτο ὁ συλληφθεὶς λόγος ἐν τῷ ἡμετέρῳ νῷ, περιὼν ἀπὸ τοῦ νοῦ ἐφόσον νοεῖ, οὐχ ἑνοῦται αὐτῷ ἐν τῇ φύσει, ἀλλὰ μόνον ἐν τῷ νοεῖν. Τὸ δὲ τοῦ Θεοῦ νοεῖν, ἐστὶ τὸ εἶναι αὐτοῦ· ὅθεν ὁ ἐκπορευόμενος ἐκ τοῦ Θεοῦ Λόγος ἐφόσον ἐστὶ νοῶν, ἐκπορεύεται ἀπ’ αὐτοῦ ἐφόσον ἐστὶν ὤν· καὶ διατοῦτο ὁ συλληφθεὶς Λόγος, ἔχει τὴν αὐτὴν οὐσίαν καὶ φύσιν, ἣν ὁ συλλαμβάνων νοῦς. Καὶ ἐπεὶ τὸ τὴν φύσιν ἀπολαμβάνον ἐν τοῖς ζῶσι λέγεται γεγεννημένον καὶ Υἱός. Ὁ μὲν θεῖος Λόγος, καλεῖται γεννητὸς καὶ Υἱός. Ὁ δ’ ἡμέτερος, οὐ δύναται λέγεσθαι γεννητὸς ἐκ τοῦ ἡμετέρου νοός, οὐδ’ Υἱὸς αὐτοῦ, πλὴν εἰ μεταφορικῶς. Οὕτων τόινυν λείπεται τοῦ ἡμετέρου λόγου δικῇ διαφέροντος του ἡμετέρου νοῦ, τῷγε εἶναι ἀπ’ αὐτοῦ, καὶ τῷ εἶναι φύσεως ἑτέρας, ὑφαιρουμένης τῆς κατὰ τὴν φύσιν διακρίσεως τοῦ θείου Λόγου, ὡς

ὑποδέδεικται, ὑπόλοιπόν ἐστι τὴν διαφορὰν κατὰ τοῦτο μόνον εἶναι τὸ ἀπ’ ἄλλου. Κᾀπειδὴ ἡ διαφορὰ ποιεῖ τὸν ἀριθμόν, λείπεται ἐν τῷ Θεῷ κατὰ μόνην τὴν ἀναφορὰν εἶναι ἀριθμόν. Αἱ δ’ ἀναφοραὶ ἐν τοῖς θείοις οὐκ εἰσὶ συμβεβηκότα, ἀλλ’ ἐστὶν αὐτῶν ἑκάστη πραγματικῶς ἡ θεία οὐσία. Ὅθεν καὶ αὐτῶν ἑκάστη ἐστὶν τὸ ὑφεστώς, ὥσπερ ἡ θεία οὐσία· ἵν’ ὥσπερ ἡ θεότης ᾖ ταυτὸ ὅπερ ὁ Θεός, οὕτω καὶ ἡ πατρότης εἴη ταυτὸ ὅπερ ὁ Πατήρ, καὶ διὰ τούτου ὁ Πατὴρ ὅπερ ὁ Θεός. Ὁ τῶν ἀναφορῶν τοίνυν ἀριθμός, ἔστιν ὑφεστώτων πραγμάτων ἀριθμὸς ἐν τῇ θείᾳ φύσει. Τὰ δ’ ὑφεστῶτα πράγματα ἐν τῇ θείᾳ φύσει εἰσὶ τὰ θεῖα πρόσωπα, ὡς ἐν τῷ προάγοντι κεφαλαίῳ φαίνεται. Διὸ δὴ καὶ τιθέμεθα προσώπων ἀριθμὸν ἐν τοῖς θείοις.

[9.5.28] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Βοήτιος δι’ ἐκείνων τῶν ῥημάτων σκοπεῖ ἐξαιρεῖν τὸν ἀριθμὸν τῆς θείας οὐσίας· περὶ γὰρ τούτου πραγματεύεται.

P 227r [9.5.29] Πρὸς τὸ δεύτερον ῥητέον, | ὅτι εἰ καὶ τὰ πρόσωπα ἐφόσον εἰσὶν ἀνθυφεστῶτα, οὐκ ἔχουσι τὸ ὑποβιβάζεσθαι ἐκ τοῦ λόγου τοῦ ἀριθμοῦ, τοῦτ’ ἔχουσι μέντοιγε ἐφόσον εἰσὶν ἀναφοραί· ἡ γὰρ κατὰ τὰς ἀναφορὰς διάκρισις, ἔστιν ἐλαχίστη, ὥσπερ καὶ ἡ ἀναφορὰ ἧττον ἔχει ἐκ τοῦ ὄντος παρὰ τὰ ἄλλα γένη.

[9.5.30] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἡ μονὰς καὶ τὸ πλῆθος, ἀποδίδονται τῷ Θεῷ, οὐ κατὰ ταυτό, ἀλλὰ κατὰ μὲν τὴν οὐσίαν ἡ μονάς, τὸ δὲ πλῆθος κατὰ τὰ πρόσωπα· ἢ ἡ μὲν μονὰς κατὰ τὰ ἀπολελυμένα, τὸ δὲ πλῆθος κατὰ τὰς ἀναφοράς.

[9.5.31] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τοῦ πλήθους τῶν μονάδων ἔκ τινος διακρίσεως γινομένου, ᾗ μέν ἐστι διάκρισις κατὰ τὸ εἶναι, ἀνάγκη τὰς μονάδας κατὰ τὸ εἶναι διαφέρειν· ᾗ δέ ἐστι διάκρισις κατὰ τὰς ἀναφοράς, ἀνάγκη τὰς μονάδας ἐξ ὧν τὸ πλῆθος συνίσταται, ἀναφοραῖς μόναις πρὸς ἀλλήλας διακρίνεσθαι.

[9.5.32] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡτισοῦν διάκρισις ἱκανῶς ἔχει πρὸς τὸ πλῆθος ποιεῖν. Ἀμέλει καὶ καθάπερ ἐν τῷ Θεῷ, οὐκ ἔστι διαίρεσις κατὰ τὰ ἀπολελυμένα· ἥτις ἄνευ συνθέσεως, εἶναι οὐ δύναιτο· ἀλλὰ μόνον διάκρισις ἀναφορῶν· οὕτως οὐδὲ ἔστιν ἐν τῷ Θεῷ πλῆθος κατὰ τὰ ἀπολελυμένα, ἀλλὰ τὸ γ’ ἧκον μόνον εἰς τὰς ἀναφοράς, ὡς εἴρηται.

[9.5.33] Πρὸς τὸ ἕκτον ῥητέον, αἱ μονάδες ἀεὶ εἰσὶ μόρια τοῦ ἀριθμοῦ, εἴ γε διαλεγοίμεθα περὶ τοῦ ἁπλῶς ἀριθμοῦ, ᾧ λογιζόμεθα· εἰ δὲ διαλεγοίμεθα περὶ τοῦ ὄντος ἐν τοῖς πράγμασιν ἀριθμοῦ, τηνικαῦτα οὐκ ἔστιν ὁ λόγος τοῦ ὅλου καὶ τοῦ μέρους ἐν τῷ ἀριθμῷ, ὥσπερ εὑρίσκεται τὸ ὅλον καὶ τὸ μέρος ἐν τοῖς ἀριθμητοῖς πράγμασιν. Αἱ διάφοροι δὲ ἀναφοραί, ὥσπερ ἡ πατρότης καὶ ἡ υἱότης οὐκ εἰσὶ μέρη τοῦ Σωκράτους, εἰ καὶ Πατὴρ καὶ Υἱὸς εἴη διαφόρων. Ὅθεν οὐδὲ αἱ μονάδες τῶν ἀναφορῶν παραβάλλονται πρὸς τὸν ἀριθμὸν τῶν ἀναφορῶν ὡς μόρια.

[9.5.34] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι ἡ κτίσις διαφέρει τοῦ Θεοῦ, ἐν τῷ προϊέναι ἐν ἀριθμῷ τῶν οὐσιωδῶν ἀρχῶν. Τοιοῦτο δὲ οὐκ ἔστιν ὁ ἀριθμὸς τῶν προσώπων.

[9.5.35] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ ἀριθμὸς ὁ ὢν εἶδος τῆς ποσότητος, γίνεται ἐκ τῆς διαιρέσεως τῆς συνεχοῦς· ὅθεν ὥσπερ ἡ ποσότης ἡ συνεχῶς ἔστι τι μαθηματικόν· ἔστι γὰρ χωριστὸν τῆς ὕλης τῆς αἰσθητῆς κατὰ τὸν λόγον, καὶ οὐ κατὰ τὸ εἶναι· οὕτω καὶ ὁ ἀριθμὸς ὅς ἐστιν εἶδος ποσότητος, ὃς καὶ ἔστιν ὑποκείμενον τῆς ἀριθμητικῆς, οὗ ἐστὶν ἀρχὴ μονάς, ὅπέρ ἐστι πρῶτον μέτρον τῆς ποσότητος. Ὅθεν προὖπτον τοῦτον τὸν ἀριθμὸν μὴ P 227v δύνασθαι εἶναι ἐν τοῖς ἀΰλοις, ἀλλ’ ἔστιν ἐν αὐτοῖς πλῆθος, ὃ ἀντίκειται τῷ ἑνί· | ὃ ἀντιστρέφει μετὰ τοῦ ὄντος· ὃ πλῆθος γίνεται ἐκ τῆς εἰδικῆς διαιρέσεως, ἥτις ἐστὶ διά τινων εἰδῶν ἀντικειμένων, ἢ ἀπολελυμένων καὶ ἀναφορικῶν. Καὶ ὁ τοιοῦτος ἀριθμὸς ἐστὶν ἐν τοῖς θείοις.

[9.5.36] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἐκεῖνα τὰ πάθη ἕπεται τῷ ἀριθμῷ, ὅς ἐστιν εἶδος τῆς ποσότητος, ὃς μὴ δὲ προσήκει τοῖς θείοις, ὡς εἴρηται.

[9.5.37] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ὁ Θεός ἐστιν ἄπειρος τῇ τελειότητι τῆς μεγαλειότητος καὶ τῆς σοφίας, καὶ τῶν ὁμοίων· ὅθεν ἐν τοῖς Ψαλμοῖς λέγεται, ὅτι καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· ἀλλ’ ἡ πρόοδος ἐν τοῖς θείοις, καθ’ ἣν πληθύνεται τὰ θεῖα πρόσωπα, οὐκ ἔστιν ἐπ’ ἄπειρον· οὐ γάρ ἐστιν ἀσύμμετρος ἡ θεία γέννησις, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· καὶ διατοῦτο οὐδ’ ὁ τῶν προσώπων ἀριθμὸς ἔστιν ἄπειρος.

**161-162** ὅθεν – ἀριθμός] Ps. 146, 5: μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.

**[9.5.38] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ Θεὸς λέγεται εἶναι πεπερασμένος αὑτῷ, οὐχ ὅτι οἶδεν ἑαυτὸν ὄντα πεπερασμένον, ἀλλ' ὅτι οὕτω παραβάλλεται πρὸς ἑαυτόν, ὥσπερ πρὸς ἡμᾶς παραβάλλονται τὰ πεπερασμένα μόνα, ἐφόσον οἶδεν ἑαυτόν.**

**[9.5.39] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἐκεῖνος ὅρος προτείνεται τοῦ ἀριθμοῦ, καθὸ ἐστὶν ἐν τῷ τῆς ποσότητος γένει, εἰς ὃ φέρει ὁ τοῦ μέτρου λόγος.**

**[9.5.40] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἐν τοῖς κτιστοῖς αἱ ἀτομίζουσαι ἀρχαὶ δύο κέκτηνται· ὧν μὲν ἕν ἐστι τὸ εἶναι ἀρχὰς τοῦ αὐθυφεστάναι· ἡ γὰρ κοινὴ φύσις, οὐκ ἔχει ἐξ ἑαυτῆς τὸ αὐθυφεστάναι, εἰ μὴ ἐν τοῖς καθέκαστα· ἕτερον ἐστίν, ὅτι διὰ τῶν ἀτομιζουσῶν ἀρχῶν, τὰ ὑποκείμενα τῆς κοινῆς φύσεως, ἀπ' ἀλλήλων διακρίνεσθαι· ἐν τοῖς θείοις δὲ αἱ προσωπικαὶ ἰδιότητες, τοῦτο μόνον ἔχουσι τὸ τὰ ὑποκείμενα τῆς θείας φύσεως ἀπ' ἀλλήλων διακρίνειν, οὐ γὰρ εἰσὶν ἀρχαὶ τῇ θείᾳ οὐσίᾳ τοῦ αὐθυφεστάναι· αὐτὴ γὰρ ἡ θεία οὐσία καθ' αὑτὴν ὑφέστηκεν· ἀλλὰ τὸ ἀνάπαλιν, αἱ προσωπικαὶ ἰδιότητες, ἔχουσι τὸ ὑφίστασθαι ἐκ τῆς οὐσίας· ἐκ γὰρ τούτου ἡ πατρότης, ἔχει τὸ εἶναι πρᾶγμα αὐθυπόστατον, ἐκ τοῦ τὴν θείαν οὐσίαν, ᾗ ἐστι ταυτὸ κατὰ τὸ πρᾶγμα, εἶναι πράγμα αὐθυπόστατον· ὡς ἐντεῦθεν ἕπεσθαι, ὥσπερ τὴν θείαν οὐσίαν εἶναι Θεόν, οὕτω καὶ τὴν πατρότητα εἶναι Πατέρα. Ἐκ τούτου τε ἐστὶ τὸ μὴ πληθύνεσθαι τὴν θείαν οὐσίαν ἐκ τοῦ πλήθους τῶν ὑποκειμένων αὐτῆς, ὥσπερ ἐν τούτοις συμβαίνει τοῖς ὑποβεβηκόσιν. Ἐκ τούτου γὰρ τὶ κατὰ τὸν ἀριθμὸν πολυπλασιάζεται, ἐξ οὗ τὸ καθ' αὑτὸ ὑφεστάναι ἴσχει. Εἰ καὶ τοίνυν ἡ θεία οὐσία καθ' αὑτήν, ὡσὰν οὕτως εἴποιμι, ἀτομίζεται, ὅσον πρὸς τὸ καθ' αὑτὴν ὑφεστάναι, ὅμως μιᾶς**

P 228r **αὐτῆς | οὔσης κατὰ τὸν ἀριθμόν, εἰσὶν ἐν τοῖς θείοις πολλὰ ὑποκείμενα ἀπ' ἀλλήλων διακεκριμένα, διὰ τῶν καθ' αὑτὰς ὑφεστηκυιῶν ἀναφορῶν.**

**[9.5.41] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι εἰ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα οὐ πράγματι ἀλλὰ λόγῳ μόνῳ διαφέροιεν, οὐδὲν προσίσταται τὸ ἓν κατὰ τοῦ ἄλλου κατηγορεῖσθαι· ὥσπερ θοιμάτιον καὶ ἔσθημα ἀλλήλων**

**188** ὡσὰν] ὡσᾶν P

κατηγοροῦνται· καὶ ὁμοίως ὁ Πατὴρ ἔσται Υἱός, καὶ τὸ ἀνάπαλιν· ὅπέρ ἐστι τῆς αἱρέσεως Σαβελίου. Ὅθεν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, λεγέσθωσαν εἶναι πράγματα τρία, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ βιβλίῳ τῷ Περὶ τῆς χριστιανικῆς διδασκαλίας· εἰ μέντοιγε τὸ πρᾶγμα ἀντὶ τῆς ἀναφορᾶς ληφθείη, εἰ γὰρ περὶ τοῦ ἀπροσδιορίστου οὕτως εἰσὶ χρῆμα ἕν, ὡς ὁ αὐτὸς Αὐγουστῖνος φησί. Καὶ τούτῳ τῷ τρόπῳ ληπτέον ἂν εἴη· ὅπερ ὁ Δαμασκηνός φησιν, ὅτι [sunt unum re. Quod] τῷ λόγῳ μόνῳ διακρίνονται, οἰκείως γὰρ ἐκλαμβάνεται ἀντὶ τῆς ἀναφορᾶς. Εἰ γὰρ καὶ ἡ ἀναφορὰ κατὰ παράθεσιν πρὸς τὴν ἀνακειμένην ἀναφοράν, διάκρισιν πραγματικὴν ἐν τοῖς θείοις ποιεῖ, τῆς θείας μέντοιγε οὐσίας οὐ διαφέρει, εἰ μὴ λόγῳ· καὶ μὲν δὴ ταύτης τῆς ἀναφορᾶς ἀδρανεστέρῳ τρόπῳ πράγματος ὑπαρχούσης.

[9.5.42] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὸ πλῆθος τῶν πραγμάτων ἐν τοῖς θείοις ἐστὶ πλῆθος ἀναφορῶν, αὐθυποστάτων ἀντικειμένων, ἀφ᾽ οὗ οὐχ ἕπεται σύνθεσις ἐν τοῖς θείοις. Ἡ γὰρ ἀναφορὰ παρατιθεμένη πρὸς τὴν θείαν οὐσίαν οὐ διαφέρει πράγματι, ἀλλὰ λόγῳ μόνον· ὅθεν οὐ ποιεῖ σύνθεσιν μετ᾽ αὐτῆς, ὥσπερ οὐδὲ ἡ ἀγαθότης, οὐδέ τι τῶν ἄλλων ἀποδιδομένων οὐσιωδῶν· ἀλλὰ κατὰ παράθεσιν, πρὸς τὴν ἀντικειμένην ἀναφοράν, ἔστιν ἐκεῖ πλῆθος πραγμάτων, οὐ μὴν σύνθεσις· ὅτι αἱ ἀντικείμεναι ἀναφοραί, ἐφόσον τοιαῦται πρὸς ἀλλήλας διακρίνονται. Ἡ δὲ σύνθεσις, οὐκ ἔστιν ἔκ τινων διακρινομένων ἐφόσον διακρίνονται.

[9.5.43] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι αἱ οὐσιώδεις ἀποδόσεις οὐδεμίαν πρὸς ἄλληλα ἔχουσιν ἀντίθεσιν, ὥσπερ αἱ ἀναφοραί· καὶ διατοῦτο εἰ καὶ αὐθυπόστατα εἰσὶν ὥσπερ αὗται, οὐ ποιοῦσιν ὅμως πλῆθος ὑποκειμένων, διακεκριμένων πρὸς ἄλληλα, ἐφόσον τὸ πλῆθος ἕπεται διακρίσει· ἡ δὲ εἰδικὴ διάκρισις γίνεται ἔκ τινος ἀντιθέσεως.

[9.5.43] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι οὐ διαφέρει τὸ δηλούμενον ὡς εἶδος, καὶ τὸ δηλούμενον ὡς ὑποκείμενον· ὥσπερ θεότης καὶ Θεός, πατρότης, καὶ Πατήρ· καὶ διατοῦτο οὐκ ἀναγκαῖον εἰ καὶ αἱ ἰδιότητες αἱ ἀναφορικαὶ
P 228v εἰσί, καθάπερ εἰ διαφοραὶ ποιοῦσαι πρόσωπα, | ποιεῖν σύνθεσίν τινα μετὰ τῶν γιγνομένων προσώπων.

**196-198** Ὅθεν – διδασκαλίας] Aug., De doctr. christ. I, cap. 5, n. 5: Res igitur quibus fruendum est, Pater et Filius et Spiritus Sanctus, eademque Trinitas, una quaedam summa res, communisque omnibus fruentibus ea.

[9.5.44] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς οὐ διακρίνονται ἀπ’ ἀλλήλων, ὅτι μὴ τῇ πατρότητι καὶ υἱότητι οὐκ ἀναγκαῖον ὅμως τὸν Πατέρα καὶ τὸν Υἱὸν ὡσανεὶ εἴδη διαφέρειν ἐν τοῖς θείοις, ὅτι ἡ πατρότης καὶ ἡ υἱότης εἰσὶν ἀναφοραί, ἕτεραι τῷ εἴδει· οὐ γὰρ αὗται αἱ ἀναφοραὶ ἔχουσι πρὸς τὰ θεῖα πρόσωπα ὡς εἶδος διδοῦσαι· ἀλλὰ μᾶλλον ὡς ὑποκείμενα διακρίνουσαι καὶ ποιοῦσαι· ἐκεῖνο δ’ ὃ πρὸς τὰ θεῖα πρόσωπα ἔχει, ὡς εἶδος διδούς, ἔστιν ἡ θεία φύσις· ἐν ᾗ ὁ Υἱός ἐστιν ὅμοιος τῷ Πατρί· ὁ γὰρ γεννῶν, γεννᾷ ὅμοιον ἑαυτῷ κατὰ τὸ εἶδος, οὐ κατὰ τὰς ἀτομιζούσας ἰδιότητας· ὡσπεροῦν ὁ Σωκράτης καὶ ὁ Πλάτων εἰ καὶ μὴ διακρίνονται ἀλλήλων ἀτομικῶς, εἰ μὴ τῇ λευκότητι καὶ μελανίᾳ· ἃ εἰσὶ διάφοραι ποιότητες κατὰ τὸ εἶδος, οὐ μέντοι εἴδει διαφέρουσι· τὸ γὰρ ὂν εἶδος τῷ λευκῷ καὶ τῷ μέλανι, οὐκ ἔστιν εἶδος τῷ Σωκράτῃ καὶ Πλάτωνι· οὕτως οὐχ ἕπεται τὸν Πατέρα καὶ τὸν Υἱὸν εἴδει διαφέρειν διὰ τὴν τῆς πατρότητος καὶ υἱότητος κατ’ εἶδος διαφοράν· κἀν ἐν τοῖς θείοις ἀδύνατον ἰδίως λέγεσθαί τι διαφέρειν κατ’ εἶδος· μὴ ὄντος ἐκεῖ εἴδους καὶ γένους.

[9.5.45] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι οὐδενὶ τρόπῳ ὁμολογητέον ἐν τοῖς θείοις εἶναι, εἰ μὴ ἓν εἶναι· μόνον τοῦ ὄντος αἰεὶ εἰς τὴν οὐσίαν τείνοντος, καὶ μάλιστα ἐν τῷ Θεῷ, οὗ τὸ εἶναι ἔστιν ἡ οὐσία αὐτοῦ. Αἱ γὰρ ἀναφοραὶ αἱ διακρίνουσαι τὰ ὑποκείμενα ἐν τοῖς θείοις, οὐ προστιθέασι τὸ εἶναι πρὸς τὸ τῆς οὐσίας εἶναι· οὐ γὰρ ποιοῦσι σύνθεσιν μετὰ τῆς οὐσίας, ὡς εἴρηται. Εἰ καὶ τὸ εἶδος τὸ προστιθὲν τὶ εἶναι ἐπὶ τῷ οὐσιώδει εἶναι, ποιεῖ σύνθεσιν μετὰ τῆς οὐσίας, καὶ τοῦτο συμβεβηκός ἐστιν, ὥσπερ τὸ εἶναι τοῦ λευκοῦ καὶ τοῦ μέλανος. Ἡ διαφορὰ τοίνυν ἡ κατὰ τὸ εἶναι, ἕπεται πλήθει ὑποκειμένων, ὥσπερ καὶ ἡ τῆς οὐσίας ἑτερότης, ἐν τοῖς κτιστοῖς πράγμασιν. Οὐδέτερον δέ ἐστιν ἐν τοῖς θείοις.

[9.5.46] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ἡ ἐνέργεια πρόεισιν ἀπὸ τοῦ ἐνεργοῦντος τῷ λόγῳ τοῦ εἴδους, ἢ τῆς δυνάμεως, ἥτίς ἐστιν ἀρχὴ τῆς ἐνεργείας· καὶ διατοῦτο οὐδέν ἐστι κώλυμα ἐκ τῶν τριῶν προσώπων τῶν μιᾶς φύσεως ὄντων καὶ δυνάμεως μίαν ἐνέργειαν προϊέναι· ὥσπερ εἰ τριῶν θερμῶν εἴη μία θέρμη τῷ ἀριθμῷ, μία ἀπ’ αὐτῶν θέρμαις τῷ ἀριθμῷ προέλθοι.

[9.5.47] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι τὰ εἴδη τὰ ἀτομίζοντα ἐν τοῖς κτιστοῖς πράγμασιν, οὐκ εἰσὶν αὐθυπόστατα, ὥσπερ ἐν τοῖς θείοις· καὶ διατοῦτο ἀπέοικε.

[9.5.48] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι ἐν τοῖς κτιστοῖς πράγμασι P 229r πρὸς τὸ πλῆθος τῶν ὑποκειμένων | ἕπεται πολλαπλασιασμὸς τῆς οὐσίας, ὅπερ ἐν τοῖς θείοις οὐ συμβαίνει· ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[9.5.49] Πρὸς τὸ εἰκοστὸν τρίτον ῥητέον, ὅτι εἰ καὶ ὅλη καὶ τελεία ἡ θεότης ἔστιν ἐν ὁτωοῦν τῶν τριῶν προσώπων κατὰ τὸν ἴδιον τοῦ ὑπάρχειν τρόπον, πρὸς τελειότητα μὲν τῆς θεότητος τείνει, εἶναι πολλοὺς τρόπους τοῦ ὑπάρχειν ὡς ἐν τοῖς θείοις εἶναι δηλαδὴ τὸ ἀφ’ οὖ ἄλλος, καὶ αὐτὸς ἀπ’ οὐδενός, καὶ τίς, ὅς ἐστιν ἀπ’ ἄλλου. Οὐ γὰρ ἂν εἴη παντοδαπὴς τελειότης ἐν τοῖς θείοις, εἰ μὴ εἴη ἐκεῖ πρόοδος λόγου καὶ ἀγάπης.

[9.5.50] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν, ὥσπερ ἂν εἰ καὶ τὰ θεῖα πρόσωπα κατὰ τὴν οὐσίαν διακρίνοιντο. Οὕτω γὰρ τὸ πλῆθος τοῦ γήθους, ὅπερ ὁ Πατὴρ ἔχει πρὸς τὸν Υἱόν, εἴη ἔν τινι ἐξωτερικῷ, καὶ οὐκ ἔχει τοῦτο ἐν ἑαυτῷ· ἀλλ’ ἐπεὶ ὁ Υἱός ἐστιν ἐν τῷ Πατρὶ ὡς Λόγος αὐτοῦ, οὐκ ἂν δύναιτο εἶναι τῷ Πατρὶ πλῆρες γῆθος ἑαυτοῦ, εἰ μὴ ἐν τῷ Υἱῷ· ὥσπερ οὐδ’ ὁ ἄνθρωπος αὐτόθεν γέγηθεν, εἰ μὴ διὰ τοῦ λόγου ὃν ἔχει περὶ ἑαυτοῦ.

## Κεφάλαιον ἕκτον

## Πότερον τὸ ὄνομα τοῦ προσώπου οἰκείως δύναται κατηγορεῖσθαι πληθυντικῶς ἐν τοῖς θείοις ἢ οὔ.

[9.6.1] Ἕκτον ζητεῖται, πότερον τὸ ὄνομα τοῦ προσώπου οἰκείως δύναται κατηγορεῖσθαι πληθυντικῶς ἐν τοῖς θείοις. Καὶ δοκεῖ οὐ δῆτα. Τὸ πρόσωπον γάρ ἐστιν οὐσία, ὡς ἐκ τοῦ ὅρου τοῦ Βοητίου φαίνεται. Ἀλλ᾽ ἡ οὐσία οὐ κατηγορεῖται πληθυντικῶς ἐν τοῖς θείοις. Οὐδ᾽ ἄρα τὸ πρόσωπον.

[9.6.2] Ἔτι, τὰ ἀπολελυμένα ἄλλα ὀνόματα κατηγοροῦνται ἑνικῶς μόνον ἐν τοῖς θείοις, ὡς τὸ σοφός, ἀγαθὸς καὶ τὰ ὡσαύτως. Τοῦτο δὲ τὸ πρόσωπον ὄνομά ἐστιν ὄνομα ἀπόλυτον. Οὐκ ἄρα ὀφείλει κατηγορεῖσθαι πληθυντικῶς ἐν τοῖς θείοις.

[9.6.3] Ἔτι, τὸ ὄνομα τοῦ προσώπου ἀπὸ τοῦ καθ᾽ αὑτὸ ὑφεστάναι δοκεῖ λαμβάνεσθαι, ἐφόσον δηλοῖ τὸ ἄτομον ἐν τῷ τῆς οὐσίας γένει, καὶ λέγεται πρόσωπον ὡσανεὶ πρὸς ἑαυτὸ ἓν ὄν. Τὸ δ᾽ αὐθυφεστάναι εἰς τὴν οὐσίαν τείνειν δοκεῖ, ἥτις οὐ πληθύνεται ἐν τοῖς θείοις. Οὐδ᾽ ἄρα τὸ ὄνομα τοῦ προσώπου πληθυντικῶς δύναται κατηγορεῖσθαι.

[9.6.4] Ἢ δ᾽ ὃς ὑπολαβὼν ὅτι, εἰ καὶ τὸ αὐθυφεστάναι λαμβάνεται ἀπὸ τῆς οὐσίας, δυνάμεθα ὅμως λέγειν ἐν τοῖς θείοις εἶναι τρία αὐθυπόστατα, καὶ ὁμοίως τρία πρόσωπα. Ἀλλὰ τοὐναντίον, τὰ οὐσίαν σημαίνοντα ἐν τοῖς θείοις οὐ δύνανται πληθυντικῶς κατηγορεῖσθαι, εἰ μὴ εἶεν ἐπίθετα· ἃ οὐ μεταποιεῖται τοῦ ἀριθμοῦ ἐκ τοῦ δηλουμένου εἴδους, ἀλλὰ κατὰ τὰ
P 229v ὑποκείμενα ἐναντίως ἢ ἐπὶ | τῶν ὑπαρκτικῶν ἔχον. Ὅθεν ἐν τῷ Θεῷ φαμὲν εἶναι τρεῖς αἰωνίους, εἰ τὸ αἰώνιον ὡς ἐπίθετον λαμβάνοιτο· εἰ δ᾽ ἄρα ὑπαρκτικῶς, τότ᾽ ἀληθές ἐστι τὸ ὑπὸ τοῦ Ἀθανασίου εἰρημένον, τὸ οὔτε τρεῖς αἰώνιοι, ἀλλ᾽ εἷς αἰώνιος. Τοῦτο δὲ τὸ ὄνομα τὸ πρόσωπόν ἐστιν ὑπαρκτικόν, οὐκ ἐπίθετον. Οὐκ ἄρα προσήκει κατηγορεῖσθαι ἐν πληθυντικῷ.

[9.6.5] Ἔτι, εἰ καὶ τὰ ἐπίθετα τὰ οὐσιώδη κατηγοροῦνται πληθυντικῶς ἐν τοῖς θείοις, τὰ δηλούμενα μέντοι εἴδη οὐ κατηγοροῦνται πληθυντικῶς, ἀλλ᾽ ἑνικῶς Μόνον. Εἰ γὰρ καὶ τρόπῳ γέ τῳ φαμεν τρεῖς αἰωνίους ἐν τοῖς θείοις, οὐδαμῇ μέντοι φαμὲν τρεῖς αἰωνιότητας. Εἰ καὶ ὁπηοῦν τοίνυν δύναται λέγεσθαι εἶναι

**24-25** τὸ – αἰώνιος] Symb. Fid.

**τρία πρόσωπα ἐν τοῖς θείοις, οὐδ᾽ ὁπωστιοῦν ὅμως δυνατὸν λέγεσθαι εἶναι τρεῖς προσωπότητας.**

**[9.6.6] Παρὰ ταῦτα, ὥσπερ τὸ Θεὸς σημαίνει τὸν ἔχοντα τὴν θεότητα, οὕτω τὸ θεῖον πρόσωπον σημαίνει τὸ ὑφεστῶς ἐν τῇ θεότητι. Ἀλλ᾽ ὥσπερ λέγονται ἐν τοῖς θείοις τρεῖς ὑφεστῶτες ἐν θεότητι, οὕτω καὶ τρεῖς ἔχοντες θεότητας. Εἰ τοίνυν τούτῳ τῷ λόγῳ δύναται λέγεται ἐν τοῖς θείοις εἶναι τρία πρόσωπα, δι᾽ ὁμοίου οἷόν τε λέγεσθαι εἶναι ἐκεῖ τρεῖς Θεούς, ὅπερ ἐστιν αἱρετικόν.**

**[9.6.7] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· ὅτι ἐν τῷ Θεῷ, οὐκ εἰσὶ τρεῖς θεοί· οὐ γὰρ διενήνοχε Θεὸς Θεοῦ. Ἀλλ᾽ ὁμοίως τὸ θεῖον πρόσωπον, οὐ διέχει τοῦ θείου προσώπου τινὶ προσωπότητος διαφορᾷ, ὡς δοκεῖ· κοινὸν γάρ ἐστιν αὐτοῖς τοῦτο τὸ εἶναι πρόσωπον. Τὸ πρόσωπον ἄρα οὐ δοκεῖ πληθυντικῶς κατηγορεῖσθαι ἐν τοῖς θείοις.**

**[9.6.8] Ἀλλ᾽ ἀντιβαίνει τὸ ὑπὸ τοῦ Αὐγουστίνου ἑπόμενον, ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ·** ὅτι ζητοῦσι τίς τρεῖς εἰσὶν ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, ἀπάντησίς ἐστιν, ὅτι εἰσὶ τρία πρόσωπα. **Τὸ πρόσωπον ἄρα ἐν τοῖς θείοις πληθυντικῶς κατηγορεῖται.**

**[9.6.9] Ἔτι, φησὶν ὁ Ἀθανάσιος· ὅτι** ἄλλο ἐστὶ τὸ πρόσωπον τοῦ Πατρός, καὶ ἄλλο τὸ τοῦ Υἱοῦ, καὶ ἄλλο τὸ τοῦ Ἁγίου Πνεύματος. **Ἡ δὲ διάκρισις ἐστὶν αἰτία ἀριθμοῦ. Τὸ πρόσωπον ἄρα χρὴ πληθυντικῶς κατηγορεῖσθαι ἐν τοῖς θείοις.**

**[9.6.10] Ἀπόκρισις. Ῥητέον, ὅτι τὰ ὑπαρκτικὰ ὀνόματα, ὥσπερ ἤδη ὑπείπομεν, μεταποιοῦνται τοῦ ἀριθμοῦ ἀπὸ τοῦ δηλουμένου εἴδους, τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ ὑποκειμένου. Οὗ λόγος ἐστίν, ὅτι τὰ ὑπαρκτικὰ ὀνόματα, ἐμφαίνουσι κατ᾽ οὐσίας τρόπον, τὰ δ᾽ αὖ ἐπίθετα τῷ τῶν συμβεβηκότων τρόπῳ, ᾧ ἀτιμάζεται καὶ πληθύνεται τῷ ὑποκειμένῳ, ἡ δ᾽ οὐσία, καθ᾽ αὐτήν. Ἐπεὶ τοίνυν τοῦτο τὸ ὄνομα | τὸ** πρόσωπον **ἔστιν ὑπαρκτικόν, ἀνάγκη ἐκ τοῦ δηλουμένου εἴδους αὐτοῦ θεωρεῖν, πότερον δύναται πληθυντικῶς κατηγορεῖσθαι, ἤ οὔ. Τὸ εἶδος δὲ τὸ δηλούμενον τῷ τοῦ** προσώπου **ὀνόματι, οὐκ ἔστι φύσις ἀπολύτως· ταύτῃ γὰρ ταυτὸ δηλοῖτ᾽ ἂν τῷ ὀνόματι τοῦ ἀνθρώπου· καὶ τῷ ὀνόματι τοῦ ἀνθρωπείου προσώπου· ὃ δῆλον εἶναι ψεῦδος· τῷ γὰρ τοῦ προσώπου ὀνόματι δηλοῦται, ὡς τύπῳ περιλαβεῖν ἡ ἀμεθεξία, καὶ ἡ ἀτομότης τοῦ**

**43-45** τὸ – πρόσωπα] Aug., De Trin. VII, cap. 4, n. 7 (PL 42, col. 940): cum quaereretur quid tria sint, quae tria esse fides vera pronuntiat cum et Patrem non dicit esse Filium, et Spiritum Sanctum. **47-48** ἄλλο – πνεύματος] Symb. Fid.

ὑφεστῶτος ἐν τῇ φύσει, ὡς ἐκ τῶν ἔμπροσθεν πέφανται. Ἐπεὶ τοίνυν αἳ τὸ εἶναι ποιοῦσαι ἀμέθεκτον καὶ διακεκριμένον ἐν τοῖς θείοις ἰδιότητες εἰσὶ πολλαί, ἀνάγκη καὶ τὸ ὄνομα τοῦ προσώπου πληθυντικῶς κατηγορεῖσθαι ἐν τοῖς θείοις· ὥσπερ κἀν τοῖς ἀνθρωπείοις πληθυντικῶς τὸ τοῦ προσώπου ὄνομα κατηγορεῖται, διὰ τὸ πλῆθος τῶν ἀτομιζουσῶν ἀρχῶν.

[9.6.11] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ πρόσωπόν ἐστιν, ἄτομος οὐσία φύσεως λογικῆς, ἥτις ἔστιν ὑπόστασις· αὕτη δὲ πληθυντικῶς κατηγορεῖται, ὡς ἐκ τῆς χρήσεως φαίνεται τῶν Ἑλλήνων.

[9.6.12] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ ὄνομα τοῦ προσώπου, ἔστιν ἀπολελυμένον τῷ τοῦ ὀνομάζειν τρόπῳ· δηλοῖ μέντοιγε ἀναφοράν, ὡς ἐκ τῶν προειρημένων φαίνεται.

[9.6.13] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὸ ὄνομα τοῦ προσώπου, οὐ δηλοῖ τοῦτο μόνον ὃ ἐστὶ καθ' αὑτὸ ὑφεστῶς, ὅπερ καὶ εἰς τὴν οὐσίαν τείνειν δοκεῖ, ἀλλὰ καὶ τὸ διακεκριμένον εἶναι καὶ ἀμέθεκτον, ὅπέρ ἐστι διὰ τὰς ἀναφορικὰς ἰδιότητας ἐν τοῖς θείοις.

[9.6.14] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ δηλούμενον εἶδος διὰ τοῦ πρόσωπον ὀνόματος, οὐκ ἔστιν οὐσία ἀπόλυτος, ἀλλὰ τοῦθ' ὅπέρ ἐστιν ἀμεθεξίας καὶ ἀτομότητος ἀρχή· καὶ διατοῦτο ἐπεὶ εἰσὶ πολλαὶ ἰδιότητες αἱ διαιροῦσαι ἐν τοῖς θείοις, λέγονται εἶναι καὶ προσωπότητες πολλαί.

[9.6.15] Ὅθεν καὶ πρὸς τὸ πέμπτον λύσις ὑπανοίγνυται.

[9.6.16] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τοῦτο τὸ πρόσωπον ὄνομα, σημαίνει τὸ καθ' αὑτὸ ὑφεστῶς ἐν τῇ θείᾳ φύσει, μετὰ διακρίσεως καὶ ἀμεθεξίας· τοῦτο δὲ τὸ Θεὸς ὄνομα, δηλοῖ τὸν ἔχοντα τὴν θείαν φύσιν, μηδὲν εἰσφέρον ἐκ τῆς διακρίσεως καὶ ἀμεθεξίας· καὶ διατοῦτο οὐδὲ ἔοικε.

[9.6.17] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ Θεὸς οὐ διενήνοχε, Θεοῦ τινὶ τῆς θεότητος διαφορά, οὐ γάρ ἐστιν εἰ μὴ μία θεότης, ἓν μέντοιγε θεῖον πρόσωπον διαφέρει ἑτέρου θείου προσώπου, διαφορὰ προσωπότητος, ἐς γὰρ πλῆθος φέρει ἐν τοῖς θείοις ἡ διακρίνουσα τὰ πρόσωπα ἰδιότης. |

## Κεφάλαιον ἕβδομον

## Τίνα τρόπον κατηγοροῦνται οἱ ἀριθμητικοὶ ὅροι τῶν θείων προσώπων, πότερον δηλαδὴ θετικῶς ἢ ἀποφατικῶς.

[9.7.1] Ἕβδομον ζητεῖται, τίνα τρόπον κατηγοροῦνται οἱ ἀριθμητικοὶ ὅροι, κατηγοροῦνται τῶν θείων προσώπων, πότερον δηλαδὴ θετικῶς ἢ ἀποφατικῶς μόνον. Καὶ δοκεῖ ὅτι θετικῶς. Εἰ γὰρ μηδὲν τιθέασιν ἐν τοῖς θείοις, τηνικαῦτα ὁ λέγων τρία πρόσωπα οὐδέν φησι τῶν ὄντων ἐν τῷ Θεῷ. Ἄρα καὶ ὁ ἀποφάσκων τὰ τρία πρόσωπα οὐδὲν ἀποφάσκει τοῦ Θεοῦ, ὅπέρ ἐστιν ἐν αὐτῷ. Οὐκ ἄρα ἀπεναντίας τῇ ἀληθείᾳ φθέγγεται· καὶ διατοῦτο οὐδ' εἰς τὸν τῶν αἱρετικῶν κύκλον τελεῖ.

[9.7.2] Ἔτι, κατὰ τὸν Διονύσιον ἐν τῷ Περὶ θείων ὀνομάτων βιβλίῳ τρισὶ τρόποις λέγεταί <τι> περὶ Θεοῦ· κατὰ ἄρνησιν καὶ ὑπεροχὴν καὶ αἰτίαν. P 230v Ὁτῳοῦν δὲ τούτων τῶν τρόπων οἱ ἀριθμητικοὶ ὅροι κατηγοροῦνται τοῦ Θεοῦ, ἀναγκαῖον τιθέναι τι. Ὅπέρ ἐστι πρόδηλον εἴ γε κατηγοροῦνται καθ' ὑπεροχὴν καὶ αἰτίαν, ὁμοίως δὲ τῇ αἰτίᾳ καὶ εἰ κατηγοροῖντο ἀποφατικῶς. Οὐδὲ γὰρ οὕτως ἀποφάσκονταί τινα τοῦ Θεοῦ, ὡς ὁ αὐτός φησι Διονύσιος, ὡς πάντῃ αὐτοῦ ἀπεῖναι, ἀλλ' ὅτι μὴ τῷ αὐτῷ τρόπῳ προσήκουσιν αὐτῷ, ᾧ καὶ ἡμῖν. Ἀνάγκη τοίνυν πᾶσι τρόποις τοὺς ἀριθμητικοὺς ὅρους τιθέναι τι ἐν τῷ Θεῷ.

[9.7.3] Ἔτι, ὅ τί ποτε κατηγορεῖται τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, ἀμείνονι τρόπῳ τοῦ Θεοῦ ἢ τῶν κτισμάτων κατηγορεῖται. Οἱ ἀριθμητικοὶ δὲ ὅροι τῶν κτισμάτων κατηγοροῦνται θετικῶς. Πολλῷ ἄρα μᾶλλον τοῦ Θεοῦ.

[9.7.4] Ἔτι, ἡ πληθὺς καὶ ἡ μονὰς ἡ προτεινομένη διὰ τῶν ἀριθμητικῶν ὅρων πράγματι κατηγοροῦνται τοῦ Θεοῦ καὶ οὐκ ἐπινοίᾳ μόνον· ὡδὶ γὰρ οὐκ ἂν εἶεν τρία πρόσωπα ἐν τῷ Θεῷ εἰ μὴ κατ' ἐπίνοιαν· ὃ φέρει εἰς τὴν αἵρεσιν Σαβελλίου. Ἀνάγκη τοίνυν εἶναι ἐν τῷ Θεῷ, πράγματι. Καὶ ταύτῃ θετικῶς περὶ Θεοῦ λέγονται.

**11-12** κατὰ – αἰτίαν] cf. Ps.-Dion., Myst. theol., cap. 1. **16-18** Οὐδὲ – ἡμῖν] cf. Dion., De coel. Hier., cap. 2; De div. nom. cap. 4 et 6.

[9.7.5] Χωρὶς δὲ τούτων, ὥσπερ τὸ ἕν ἐστιν ἐν τῷ τῆς ποσότητος γένει, οὕτω καὶ τὸ ἀγαθὸν ἐν τῷ τῆς ποιότητος· ἐν τῷ Θεῷ δέ, οὔτε ποσότης, οὔτε ποιότης, οὔτέ τι συμβεβηκὸς ἐστί· καὶ ὅμως τὸ ἀγαθόν, οὐ κατηγορεῖται τοῦ Θεοῦ κατὰ διαίρεσιν, ἀλλὰ κατὰ σύνθεσιν. Ὁμοίως ἄρα καὶ τὸ ἕν, καὶ κατὰ τὸ εἰκὸς καὶ τὸ πλῆθος, ὃ ποιεῖ τὸ ἕν.

[9.7.6] Ἔτι, τέσσαρα πρῶτα εἶναι φασὶ τὸ ὄν, καὶ τὸ ἕν· τὸ ἀληθές, καὶ τὸ ἀγαθόν. Τὰ δὲ | λοιπὰ τρία, οἷον τὸ ὂν καὶ τὸ ἀληθὲς καὶ τὸ ἀγαθόν, λέγονται θετικῶς περὶ τοῦ Θεοῦ. Ἄρα καὶ τὸ ἕν, καὶ ἀκολούθως τὸ πλῆθος.

[9.7.7] Ἔτι, τὸ πλῆθος καὶ τὸ μέγεθος, τελεῖ εἰς τὰ δύο εἴδη τοῦ ποσοῦ, ἅτινά ἐστι τὸ διῃρημένον καὶ τὸ συνεχὲς ποσόν. Ἀλλὰ καὶ τὸ μέγεθος λέγεται θετικῶς ἐπὶ Θεοῦ, ὡς ὅταν λέγηται, Μέγας Κύριος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. Ἄρα καὶ τὸ πλῆθος καὶ τὸ ἕν.

[9.7.8] Ἔτι, τὰ κτίσματα προβάλλονται θείας εἰκόνας, καθὸ ἐν αὐτοῖς ἐστι
P 231r φωρᾶσαι ἴχνη θεότητος. Ἀλλὰ κατὰ τὸν Αὐγουστῖνον, ἡτινοσοῦν κτίσις ἴχνη τῆς θείας Τριάδος ἐν ἑαυτῇ φέρει, ἐφόσον ἐστὶν ἕν τι, καὶ εἴδει μορφοῦται, καὶ τάξιν ἔχει τινα. Ἥτις ἄρα κτίσις, ἔστι μία κατ᾽ εἰκόνα Θεοῦ. Τὸ δὲ ὂν κατηγορεῖται τῆς τινὸς κτίσεως θετικῶς· ἄρα καὶ τοῦ Θεοῦ.

[9.7.9] Ἔτι, τὸ ὂν κατηγορεῖται τοῦ Θεοῦ στερητικῶς, ἀνάγκη τὶ ἀποφάσκειν· καὶ οὔκουν εἰ μὴ πλῆθος· πλῆθος δὲ οὐκ ἀναιρεῖ· οὐ γὰρ ἕπεται εἰ ἔστιν ὂν πρόσωπον, μὴ εἶναι πολλά· τὸ ὂν τοίνυν οὐ λέγεται ἀποφατικῶς· καὶ κατὰ τὸ εἰκός, οὐδὲ τὸ πλῆθος.

[9.7.10] Ἔτι, ἡ στέρησις, οὐδὲν ποιεῖ· τὸ δὲ ἕν, ποιεῖ πλῆθος· οὐκ ἄρα λέγεται στερητικῶς.

[9.7.11] Ἄνευ δὲ τούτων, οὐδεμία στέρησίς ἐστιν ἐν τῷ Θεῷ· πᾶσα γὰρ στέρησις, ἀνήκει εἰς ἔνδειαν· τὸ δὲ ἕν, κατηγορεῖται τοῦ Θεοῦ· οὐκ ἄρα στέρησιν δηλοῖ.

[9.7.12] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· ὅτι εἴ τί ποτε κατηγορεῖται τοῦ Θεοῦ, κατηγορεῖται κατ᾽ οὐσίαν ἢ κατὰ ἀναφοράν.

**38** Μέγας – αὐτοῦ] Ps. 146, 5: μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. **41-43** κατὰ – τινα] Aug., De Trin. X, cap. 11 (PL 42, col. 982). **54-55** ὁ– ἀναφοράν] Aug., De Trin. V, cap. 8, n. 9 (PL 42, col. 915): Aliqua dicuntur in Deo secundum substantiam, aliqua secundum relationem, aliqua translate.

[9.7.13] Ἔτι, ὁ Βοήτιός φησιν, ἐν τῷ αὐτοῦ Περὶ Τριάδος βιβλίῳ· πάντα τὰ ἰόντα εἰς τὴν θείαν κατηγορίαν, μεταμείβονται εἰς οὐσίαν, ἄνευ τῶν πρός τι. Εἰ τοίνυν οἱ ἀριθμητικοὶ ὅροι κατηγοροῦνται τοῦ Θεοῦ, ἀνάγκη δηλοῦν οὐσίαν ἢ ἀναφοράν· καὶ οὕτω προσήκει θετικῶς τοῦ Θεοῦ κατηγορεῖσθαι.

[9.7.14] Ἔτι, τὸ ἓν καὶ τὸ ὂν ἀντιστρέφουσι, δοκεῖ τε εἶναι συνώνυμα. Ἀλλὰ τὸ ὂν κατηγορεῖται τοῦ Θεοῦ θετικῶς. Ἄρα καὶ τὸ ἕν, καὶ κατὰ τὸ εἰκὸς τὸ πλῆθος.

[9.7.15] Ἔτι, εἰ τὸ ἓν κατηγορεῖται ἀποφατικῶς τοῦ Θεοῦ, ἀνάγκη ἀποφάσκειν τὸ πλῆθος, ὡσὰν ἀντικείμενον ἑαυτῷ. Τοῦτο δὲ οὐχ οἷόν τε· τὸ γὰρ πλῆθος, συνίσταται ἐκ μονάδων· τὸ δὲ ἕτερον τῶν ἀντικειμένων, οὐ γίνεται ἐκ θατέρου. Τὸ ἓν ἄρα οὐ κατηγορεῖται τοῦ Θεοῦ ἀποφατικῶς.

[9.7.16] Ἔτι, εἰ τὸ ἓν λέγεται ἐπ᾽ ἀναιρέσει τοῦ πλήθους, ἀναγκαῖον τὸ ἓν ἀντικεῖσθαι τῷ πλήθει, ὥσπερ στέρηξις ἕξει. Ἡ δὲ ἕξις ἔστι προτέρα τῆς στερήσεως καὶ φύσει καὶ λόγῳ, οὐ γὰρ δύναται ἡ στέρησις ὁρίζεσθαι, εἰ μὴ διὰ τῆς ἕξεως. Τὸ πλῆθος ἄρα ἔσται πρότερον τοῦ ἑνός, καὶ φύσει καὶ λόγῳ, ὅπερ ἀτόπῳ ἔοικε.

[9.7.17] Παρὰ ταῦτα, εἰ καὶ τὸ ἓν καὶ τὰ πολλὰ ἀποφατικῶς κατηγοροῦνται ἐν
P 231v τοῖς θείοις, ἀνάγκη τὸ μὲν ἕν, | ἀναιρεῖν τὸ πλῆθος, τὸ δὲ πλῆθος ἀναιρεῖν τὴν μονάδα. Τοῦτο δέ ἐστιν ἀσυνάρτητον, ἕπεται γὰρ κύκλος τοῦ ἑνὸς καὶ τοῦ πλήθους, ὡς λέγεσθαι, ἕν ἐστιν ὅπερ οὐκ ἔστι πολλά, καὶ πολλὰ εἰσὶν ἃ μὴ ἔστιν ἕν· καὶ οὕτω διὰ τούτων, οὐδὲν ἔσται γνώριμον. Οὐκ ἄρα ῥητέον τὸ ἓν καὶ τὰ πολλὰ λέγεσθαι τοῦ Θεοῦ στερητικῶς.

[9.7.18] Ἔτι, τὸ ἓν καὶ τὰ πολλά, ἐφόσον ἔχει ὡς μέτρον καὶ μετρητόν, δοκοῦσιν ἀντικεῖσθαι ἀλλήλοις ἀναφορικῶς. Ἐν δὲ τοῖς ἀναφορικῶς ἀντικειμένοις, ἑκάτερα λέγονται θετικῶς. Ἄρα τόσον τὸ ἕν, ὁπόσον τὰ πολλὰ θετικῶς κατηγοροῦνται τοῦ Θεοῦ.

[9.7.19] Ἀλλ᾽ ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Διονυσίου λεγόμενον, ἐν τῷ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· μονὰς ὑμνουμένη καὶ τριὰς ἡ ὑπὲρ πάντα θεότης, οὔτε μονάς, οὔτε τριὰς ἐστίν, ἡμῖν ἥτινι τῶν ἄλλων ὄντων ἐγνωσμένη. Δοκεῖ

**56-57** ὁ – τι] Boet., De Trin., cap. 4: At haec cum quis in divinam verterit praedicationem, cuncta mutantur quae praedicari possunt. Ad aliquid vero omnino non potest praedicari, nam substantia in illo non est vere substantia sed ultra substantiam; item qualitas et caetera quae venire queunt. **81-83** τὸ – ἐγνωσμένη] Ps.-Dion., De div. nom., cap. 13 (PG 3, cols 980D-981A, Ritter p. 229): Διὸ καὶ μονὰς ὑμνουμένη καὶ τριὰς ἡ ὑπὲρ πάντα θεότης οὐκ ἔστιν οὐδὲ μονάς, οὐδὲ τριὰς ἡ πρὸς ἡμῶν ἢ ἄλλου τινὸς τῶν ὄντων διεγνωσμένη.

**63** ὡσὰν] ὡσᾶν P

**ἄρα τοὺς ἀριθμητικοὺς ὅρους κατὰ ἀπόφασιν λέγεσθαι περὶ Θεοῦ.**

**[9.7.20] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ·** ζητοῦσα ἡ ἀνθρωπίνη πτωχεία ἔτι τρία ἂν λέγοιτο, εἴρηκεν ὑποστάσεις ἢ πρόσωπα· οἷς δὴ ὀνόμασιν, οὐχὶ διαφορὰν νοεῖσθαι ἠθέλησεν, ἀλλὰ τὸ μοναδικὸν ἑκαστου. **Εἰσὶ τοίνυν οὗτοι οἱ ἀριθμητικοὶ ὅροι, εἰσηνεγμένοι ἐν τοῖς θείοις, μᾶλλον ἐπὶ διαιρέσει ἢ συνθέσει.**

**[9.7.21] Ἔτι, τὸ ἓν καὶ τὸ πλῆθος ἢ ὁ ἀριθμός, εἰσὶν ἐν τῷ τῆς ποσότητος γένει. Ἐν δὲ τῷ Θεῷ, ἀδύνατον εἶναι ποσότητα συμβεβηκὸς οὖσαν [et dispositio materiae]. Οἱ ἀριθμητικοὶ τοίνυν ὅροι ἐν τῷ Θεῷ, οὐδὲν τιθέασιν.**

**[9.7.22] Ἀλλ' ἔλεγεν ὅτι, εἰ καὶ ἡ ποσότης κατὰ τὸν τοῦ ἰδίου λόγον γένους ἢ τὸν τοῦ συμβεβηκότος, οὐ δύναται εἶναι ἐν τῷ Θεῷ, κατὰ τὸν λόγον μέντοι τοῦ εἴδους δύναταί τις ποσότης κατηγορεῖσθαι τοῦ Θεοῦ, ὥσπερ καὶ ποιότης τις, ὡς ἡ ἐπιστήμη καὶ δικαιοσύνη. Ἀλλὰ τοὐναντίον· ἐκεῖνα μόνα τὰ εἴδη τῆς ποιότητος εἰς τὴν θείαν κατηγορίαν προσλαμβάνονται, ἃ κατὰ τὸν λόγον τοῦ σφῶν αὐτῶν εἴδους, οὐδὲν ἀτελὲς προστρίβονται τῇ θεότητι, ὥσπερ ἥ τε ἐπιστήμη καὶ δικαιοσύνη· οὔκουν γε μήν, ἡ μελανία ἢ ἡ λευκότης. Πᾶσα δὲ ποσότης τῷ λόγῳ τοῦ ἰδίου εἴδους, ἀτελὲς ἐμποιεῖ τι· ἐπεὶ γὰρ τὸ ποσὸν ἐστὶ διαιρετόν, τὸ εἶδος τοῦ ποσοῦ διακρίνεται διαφόροις τρόποις διαιρέσεως· ὥσπερ τὸ πλῆθος, ὅ ἐστι διαιρετὸν εἰς τὰ μὴ συνεχῆ, καὶ ἡ γραμμή, ἥτίς ἐστι κατὰ μίαν διάστασιν διαιρετή, καὶ ἡ ἐπιφάνεια διχῇ, καὶ τὸ σῶμα τριχῇ. Ἡ δὲ διαίρεσις τῇ τελειότητι τῆς θείας ἁπλότητος ἀντιφέρεται. Οὐδεμία τοίνυν ποσότης τοῦ λόγου τοῦ ἰδίου εἴδους, δύναται κατηγορεῖσθαι τοῦ Θεοῦ.**

**[9.7.23] Ὑπολαβὼν δὲ ἔφη, ὅτι ἡ διάκρισις ἡ κατὰ τὰς ἀναφορὰς ἢ ποιεῖ τὸν |**
P 232r **ἀριθμὸν τῶν προσώπων ἐν τοῖς θείοις, οὐδὲν παρέχεται ἀτελές. Ἀλλ' ἀντιληπτέον τοῦ λόγου· πᾶσα διαίρεσις ἢ διάκρισις, πλήθους τινὸς ἐστὶν αἰτία. Οὐ πᾶν δὲ πλῆθος ἐστὶν ἀριθμός, ὅς ἐστιν εἶδος τοῦ ποσοῦ· τὸ γὰρ ἓν καὶ τὸ πλῆθος ἔτι λαμβάνονται πάντων τῶν γενῶν. Οὐ πᾶσα τοίνυν διαίρεσις ἢ διάκρισις ἀπόχρη πρὸς τὸ δημιουργεῖν ἀριθμὸν ὅς ἐστιν εἶδος τοῦ ποσοῦ, ἀλλ' ἡ κατὰ τὸ ποσὸν μόνον διάκρισις· ὁποῖα οὐκ ἔστι τῶν ἀναφορῶν ἡ διάκρισις.**

**85-87** ὁ – ἑκαστου] Aug., De Trin. VII, cap. 4, n. 9 (PL 42, col. 942): Quaesivit quid tria diceret et dixit substantias sive personas, quibus nominibus non diversitatem intellegi voluit, sed singularitatem noluit.

**99** Hic post δικαιοσύνη Aq. habet: et aequitas | μελανία] ignorantia Aq.

[9.7.24] Ἦ δ’ὅς ὅτι πᾶν πλῆθος, ἔστιν εἶδος ποσότητος· καὶ πᾶσα διαίρεσις ἀπόχρη πρὸς τὸ ποιεῖν εἶδος ποσοῦ· ἀλλ’ ἐκ διαμέτρου πρὸς τὴν τῆς οὐσίας θέσιν, οὐχ ἕπεται ἡ τοῦ ποσοῦ θέσις, ἐφόσον ἡ οὐσία δύναται ἄνευ συμβεβηκότος εἶναι· τεθέντων δὲ μόνον τῶν οὐσιωδῶν εἰδῶν ἕπεται διάκρισις ἐν ταῖς οὐσίαις· οὐκ ἄρα ἡ τυχοῦσα διάκρισις δημιουργεῖ πλῆθος, ὅπέρ ἐστι συμβεβηκὸς καὶ εἶδος τοῦ ποσοῦ.

[9.7.25] Ἔτι, ἡ διάκρισις ἡ ποιοῦσα ἀριθμόν, ὅς ἐστιν εἶδος τοῦ ποσοῦ, ἀντίκειται τῷ συνεχεῖ. Ἡ διάκρισις δὲ ἡ τῷ συνεχεῖ ἀντικειμένη, ἔστιν ἡ συνισταμένη ἐν τῇ διαιρέσει τοῦ συνεχοῦς. Ἄρα μόνη ἡ διαίρεσις τοῦ συνεχοῦς, ἣ μὴ ἐπιβάλλει τῷ Θεῷ, ποιεῖ τὸν ἀριθμὸν τὸν ὄντα εἶδος τοῦ ποσοῦ· καὶ ταύτῃ ἀδύνατον κατηγορεῖσθαι τοῦ Θεοῦ ἀριθμόν, τὸν ὄντα εἶδος τοῦ ποσοῦ.

[9.7.26] Ἔτι, ἡτισοῦν ὑπόστασις λέγεται μία, ἣ τοίνυν ἔστι μία κατὰ τὴν οὐσίαν αὐτῆς ἢ κατά τι ἄλλο, εἰ κατά τι ἄλλο. Ἐπεὶ κἀκεῖνο εἶναι δεῖ ἕν, ἀναγκαῖον ἐστὶ καὶ ἐκεῖνο ἢ εἶναι ἓν καθ’ αὐτό, ἢ κατά τι ἄλλο, καὶ ἐκεῖνο αὖθις κατ’ ἄλλο. Ἀδύνατον δέ ἐστι τοῦτο προϊέναι ἐπ’ ἄπειρον. Ἐστήξει τοίνυν ὁποιδήποτε. Βέλτιον δέ ἐστι στῆναι ἐν τῇ ἀρχῇ, ὥστε δηλαδὴ τὴν ὑπόστασιν εἶναι μίαν καθ’ αὐτήν. Οὐκ ἄρα τὸ ἓν προστίθεταί τι ἐπὶ τὴν ὑπόστασιν· καὶ ταύτῃ δοκεῖ μὴ δηλοῦν τι θετικῶς.

[9.7.27] Ἀλλ’ ἔλεγεν, ὅτι ἡ ὑπόστασις, οὐκ ἔστι μία καθ’ αὐτήν, ἀλλὰ τῇ μονάδι τῇ αὐτῇ συμβεβυκυῖα· ἡ δὲ μονάς, ἔστι καθ’ αὐτὴν μία· τὰ γὰρ πρῶτα παρονομάζουσιν ἑαυτά, ὥσπερ ἡ ἀγαθότης ἔστιν ἀγαθή, καὶ ἡ ἀλήθεια ἀληθής, ὡς δὲ καὶ ἡ μονὰς μία. Ἀλλ’ ἰτέον εὐθύ· τὰ τοιαῦτα ἑαυτὰ παρονομάζουσι, διὰ τὸ εἶναι πρῶτα εἴδη, τὰ γὰρ δεύτερα εἴδη, οὐ παρονομάζουσιν ἑαυτά, ὥσπερ ἡ λευκότης, οὐκ ἔστι λευκή. Ὅσα δὲ ἐκ προσθήκης ἔχουσι πρός τι, οὐκ εἰσὶ πρῶτα. Ἡ μονὰς ἄρα καὶ ἡ ἀγαθότης, οὐκ ἔχουσι πρὸς τὴν οὐσίαν ἐκ προσθήκης.

[9.7.28] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἕκτῳ τῶν Μετὰ τὰ φυσικά, πάντα λέγονται ἕν, ἐφόσον οὐ διακρίνονται. Τοῦτο δὲ τὸ μὴ διακρίνεσθαι, οὐ τίθησί
P 232v τι, ἀλλὰ μόνον ἀναιρεῖ. Τὸ ἓν ἄρα οὐ τίθεται | θετικῶς, ἀλλ’ ἀποφατικῶς ἐν τοῖς θείοις· καὶ κατὰ τὸ εἰκὸς τὸ πλῆθος, ὃ γίνεται ἐκ τῶν ἕνων.

**140-141** κατὰ – διακρίνονται] cf. Ar., Metaph. V, 1018a15-19: ὅμοια λέγεται τά τε πάντῃ ταὐτὸ πεπονθότα, καὶ τὰ πλείω ταὐτὰ πεπονθότα ἢ ἕτερα, καὶ ὧν ἡποιότης μία· καὶ καθ' ὅσα ἀλλοιοῦσθαι ἐνδέχεται τῶν ἐναντίων, τούτων τὸ πλείω ἔχον ἢ κυριώτερα ὅμοιον τούτῳ. ἀντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια.

[9.7.29] Ἀπόκρισις. Ῥητέον, ὅτι περί τε ἑνὸς καὶ πολλῶν διάφορα εὑρίσκονται, ἃ καὶ παρὰ φιλοσόφοις ἐφόδιον γέγονε τοῦ διάφορα φρονεῖν. Εὑρίσκεται γὰρ περὶ ἑνός, ὅπερ ἐστὶν ἀρχὴ τοῦ ἀριθμοῦ, καὶ ἃ ἀντιστρέφει πρὸς τὸ ἕν· ὁμοίως εὑρίσκεται περὶ πλήθους, ὃ τείνει πρός τι εἶδος τοῦ ποσοῦ, ὃ λέγεται ἀριθμός, καὶ αὖθις ὃ ποιεῖ πᾶν γένος, ὥσπερ καὶ δοκεῖ ἑνί, ᾡτινιοῦν πλῆθος ἀντικεῖσθαι. Γεγόνασι τοίνυν ἔνιοι παρὰ φιλοσόφοις, οἳ μὴ διεῖλον τὸ ἓν ὃ ἀντιστρέφει πρὸς τὸ ὄν, καὶ ὅ ἐστιν ἀρχὴ ἀριθμοῦ, οἰόμενοι οὐδετέρῳ τρόπῳ λεγόμενον τὸ ἕν, προστιθέναι ἐπὶ τὴν οὐσίαν· ἀλλ' ὁτῳδήποτε τρόπῳ τὸ ἓν λεγόμενον, σημαίνει οὐσίαν πράγματος. Ἀφ' ὧν εἵπετο τὸν ἀριθμόν, τὸν ἐκ μονάδων συγκείμενον, εἶναι οὐσίαν πάντων τῶν ὄντων, κατὰ τὴν δόξαν Πυθαγόρου καὶ Πλάτωνος. Ἔνιοι δ' αὖ μὴ διακρίνοντες τὸ ἓν ὅπερ ἀντιστρέφει πρὸς τὸ ὄν, καὶ τὸ ἓν ὅπέρ ἐστιν ἀρχὴ τοῦ ἀριθμοῦ, ἀνάπαλιν πεπιστεύκασι τὸ λεφόμενον ἓν ἑκατέρῳ τρόπῳ προστιθέναι τι εἶναι συμβατικὸν ἐπὶ τὴν οὐσίαν· καὶ κατὰ τὸ εἰκὸς ἀναγκαῖον εἶναι πᾶν πλῆθος συμβεβηκὸς ἀναφερόμενον εἰς τὸ τῆς ποιότητος γένος. Καὶ τοῦτο γέγονε θέσις τοῦ Ἀβικένου, ᾗ δοκοῦσιν ἠκολουθηκέναι οἱ ἀρχαῖοι διδάσκαλοι. Οὐδὲ γὰρ συνίεσαν διὰ τοῦ ἑνὸς καὶ τῶν πολλῶν, εἰ μή τι προσῆκον τῷ γένει τοῦ διακεκριμένου ποσοῦ. Τινὲς δὲ γεγόνασιν οἵ τινες θεωροῦντες ἐν τῷ Θεῷ μηδεμίαν δύνασθαι ποσότητα εἶναι, ἠξίωσαν τοὺς ὅρους τοὺς δηλοῦντας ἓν ἢ πολλὰ καὶ περὶ Θεοῦ λεγομένους, μὴ τιθέναι τι, ἀλλ' ἀναιρεῖν μόνον. Οὐ γὰρ ἂν δύναιντο τιθέναι, εἰ μὴ ὃ δηλοῦσιν, εἴτουν ποσότητα διακεκριμένην, ἣ οὐδενὶ τρόπῳ δύναται εἶναι ἐν Θεῷ. Οὕτω τοίνυν κατ' αὐτοὺς τὸ μὲν ἓν λέγεται ἐπὶ τοῦ Θεοῦ πρὸς ἀναίρεσιν τοῦ πλήθους τοῦ διακεκριμένου ποσοῦ· οἱ δὲ δηλοῦντες πλῆθος ὅροι, τίθενται πρὸς ἀναίρεσιν τῆς μονάδος, τῆς οὔσης ἀρχῆς τοῦ διῃρημένου ποσοῦ. Καὶ τὸ γεγονέναι δοκεῖ δόξα τοῦ Διδασκάλου, ἣν τίθησιν ἐν τῷ ὀκτωκαιδεκάτῳ τοῦ πρώτου τῶν Γνωμῶν· οὗ ὑποτεθέντος ῥίζης τῆς αὐτοῦ δόξης, δηλαδὴ ὅτι πᾶν πλῆθος δηλοῖ ποσότητα διακεκριμένην, καὶ πᾶν ἓν ἔστι τῆς αὐτῆς ποσότητος ἀρχή, πολὺν δοκεῖ τὸν |

**158-159** Καὶ – διδάσκαλοι] Avic., Metaph. III.

P 233[r] εὔλογον ἔχειν. Καὶ γὰρ καὶ ὁ Διονύσιός φησιν ἐν τῷ δευτέρῳ κεφαλαίῳ τῆς Οὐρανίου Ἱεραρχίας, ὅτι αἱ ἀποφάσεις μάλιστα εἰσὶν ἀληθεῖς ἐν τῷ Θεῷ· αἱ δὲ καταφάσεις, εἰσὶν ἀνάρμοστοι. Οὐ γὰρ ἴσμεν περὶ Θεοῦ τί ἐστίν, ἀλλὰ μᾶλλον τί μὴ ἔστιν, ὡς καὶ ὁ Δαμασκηνός φησιν ἐν τῷ δευτέρῳ βιβλίῳ. Καὶ ὁ Ῥαββὶ Μωυσῆς· φησὶ γάρ, πάνθ’ ὅσα καταφατικῶς δοκεῖ λέγεσθαι τοῦ Θεοῦ, μᾶλλον ἐπάγονται ἐπαναιρέσει, ἢ πρὸς τὸ τιθέναι τί. Φαμὲν γὰρ τὸν Θεὸν ζῆν· ἀναιροῦντες αὐτοῦ ἐκείνου τοῦ εἶναι τὸν τρόπον ὃν ἔχει τὰ παρ’ ἡμῖν μὴ ζῶντα, οὐ πρὸς τὸ τιθέναι ζωὴν ἐν αὐτῷ, ἐφόσον ζωὴ καὶ πάντα τὰ τοιάδε ὀνόματα τίθενται πρὸς τὸ σημαίνειν εἴδη τινά, καὶ τελειότητας κτιστάς, πόρρω ἀπηρτημένας τοῦ Θεοῦ· εἰ καὶ μὴ ἐπὶ παντοῦ τ’ εἴη ἀληθές, ὡς γὰρ Διονύσιός φησιν, ἐν τῷ Θείων ὀνομάτων βιβλίῳ· ἡ σοφία καὶ ἡ ζωὴ καὶ τὰ ὁμόστοιχα ὀνόματα, οὐκ ἀπαγορεύονται τοῦ Θεοῦ, ὡσὰν εἰ ἀπεῖεν αὐτοῦ, ἀλλ’ ὅτι κρεῖττον ἔχει ταῦτα, ἢ ἀνθρώπινος νοῦς χωρεῖν ἢ λόγος ἑρμηνύειν δύναται· καὶ ἐξ ἐκείνης τῆς θείας τελειότητος καθίενται αἱ αἰσθηταὶ τελειότητες, κατά τινα εἰκόνα ἀτελῆ. Καὶ διατοῦτο περὶ τοῦ Θεοῦ κατὰ τὸν Διονύσιον, οὐχ ὅπως λέγεταί τι ὡς ἀπόφασις, ἀλλὰ καὶ κατὰ τὸν τοῦ εἶναι τρόπον. Εἴτουν, ὅτί ποτέ ἐστιν ἐκ τῶν ἀσωμάτων εἰδῶν, δῆλον δὲ ὅτι αἱ ὑλικαὶ διαθέσεις πάντη ἀποφάσκονται τοῦ Θεοῦ. Ὅθεν ἐπεὶ ἡ ποσότης ἔστι διάθεσις ὕλης, οἱ δ’ ἀριθμητικοὶ ὅροι οὐ δηλοῦσιν εἰ μὴ τὸ ὂν ἐν τῷ τῆς ποσότητος γένει, ἀναγκαῖον ἐστὶ περὶ τοῦ Θεοῦ μὴ λέγεσθαι, εἰ μὴ ἀποφατικῶς, ὡς ὁ Διδάσκαλος τίθησι. Οὐχ ἕπεται δὲ κύκλος ἐκ τῆς αὐτοῦ θέσεως· ἐφόσον ἡ μὲν μονὰς ἀναιρεῖ τὸ πλῆθος, τὸ δὲ πλῆθος τὴν μονάδα· ἀποφάσκεται γὰρ τοῦ Θεοῦ πλῆθος καὶ μονάς, αἱ οὖσαι ἐν τῷ τῆς ποσότητος γένει, ὧν οὐδέτερον περὶ Θεοῦ λέγεται. Καὶ οὕτως ἡ λεγομένη περὶ Θεοῦ μονάς, καὶ ἀναιροῦσα τὸ πλῆθος, οὐκ ἀναιρεῖται, ἀλλ’ ἑτέρα μονὰς περὶ Θεοῦ λέγεσθαι μὴ δυναμένη. Τινὲς δὲ μὴ συμβάλλοντες ὅτι τὸ καταφατικὰ ὀνόματα πρὸς τὸ ἀποφάσκειν δύναται εἰς τὴν θείαν κατηγορορίαν εἰσάγεσθαι, μὴτ’ αὖθις αὖ τιθέντες τὸν ἓν καὶ τὰ πολλά, εἰ μὴ τὰ ὄντα ἐν τῷ τοῦ ποσοῦ γένει τοῦ διακεκριμένου, ὅτι τιθέναι ἐν τῷ Θεῷ οὐκ ἐτόλμων· εἰρήκασι τοὺς ἀριθμητικοὺς ὅρους μὴ

**172-174** ὁ – ἀνάρμοστοι] Ps.-Dion., De coel. hier. II, cap. 2 (PG 3, col. 141A, Ritter pp. 12-13: αἱ μὲν ἀποφάσεις ἐπὶ τῶν θείων εἰσὶν ἀληθεῖς, αἱ δὲ καταφάσεις ἀνάρμοστοι.

**183** ὡσὰν] ὡσᾶν P

κατηγορεῖσθαι τοῦ Θεοῦ ὡσανεὶ φάσεις δηλούσας τι πρᾶγμα κατειλημμένον, ἀλλὰ μονονουχὶ ὑπηρετικὰς γυμναζούσας τι ἐν τοῖς θείοις, εἴτοι τὴν διάκρισιν ὥσπερ συνθηματικαὶ φύσεις. Ὅπερ εὔηθες φαίνεται, ἐφόσον μηδὲν ἐκ τῆς τῶν τοιούτων ὅρων σημασίαν ληφθῆναι δύναται. Καὶ διατοῦτο ἕτεροι εἰρήκασιν, ὅτι οἱ τοιοῦτοι ὅροι τιθέασί τι καταφατικῶς ἐν τῷ Θεῷ, ἀλλ' P 233v ὑποτίθενται τὸ ἓν καὶ τὰ πολλὰ εἶναι μόνον, ἐν τῷ τῆς | ποσότητος γένει· φασὶ γὰρ μὴ εἶναι ἄτοπον, τινὰ εἴδη τοῦ ποσοῦ τῷ Θεῷ ἀπονέμεσθαι, εἰ καὶ τὸ γένος ἀποφάσκεται· ὡσπεροῦν καὶ ἐν ἐκείνοις τοῖς εἴδεσι τῆς ποιότητος, καθάπερ ἡ σοφία καὶ ἡ δικαιοσύνη λέγονται περὶ Θεοῦ καταφατικῶς, εἰ καὶ ἐν τῷ νῷ ποιότης εἶναι οὐ δύναται. Ἀλλὰ τοῦτο οὐκ ἔστιν ὅμοιον, ὡς ἐν ταῖς αὐθυποφοραῖς πεπραγμάτευται, πάντα γὰρ τὰ τοῦ ποσοῦ εἴδη ἐκ τοῦ λόγου τοῦ ἰδίου εἴδους ἔχουσι τι ἀτελές, ὅπερ οὐκ ἔστιν ἐν τοῖς τῆς ποιότητος εἴδεσι. Καὶ χωρὶς δὲ τούτων ἡ ποσότης, ἰδίως ἐστὶ διάθεσις ὕλης· ὅθεν πάντα τῆς ποσότητος, εἴδη εἰσὶ μαθηματικά τινα, ἃ κατὰ τὸ εἶναι οὐ δύνανται τῆς αἰσθητῆς ὕλης χωρίζεσθαι, ἄνευ τοῦ τόπου καὶ τοῦ χρόνου, ἃ ἐστὶ φυσικά, καὶ μᾶλλον τῇ αἰσθητῇ ὕλῃ συμπεπλεγμένα. Ὅθεν δῆλον, μηδὲν εἶδος ποσότητος τοῖς ἀσωμάτοις πράγμασι δύνασθαι προσίεσθαι, εἰ μὴ κατὰ μεταφοράν. Ἡ δὲ ποιότης, ἕπεται τῷ εἴδει, ὅθεν καί τινες ποιότητες εἰσὶ πάντῃ ἄυλαι· αἳ ἀποδίδοσθαι δύνανται νοητοῖς πράγμασι. Τούτων τοίνυν αἱ δόξαι προῆλθον, ὑποτεθέντος ταυτὸ εἶναι τὸ ἓν τὸ ἀντίστροφον πρὸς τὸ ὄν, καὶ τὸ ἓν ὅπέρ ἐστιν ἀρχὴ τοῦ ἀριθμοῦ, καὶ ὅτι οὐκ ἔστι τι πλῆθος εἰ μὴ ἀριθμῷ, ὅς ἐστιν εἶδος τοῦ ποσοῦ. Ὅπερ φαίνεται ὂν οὐκ ἀληθές· ἐπεὶ γὰρ ἡ διαίρεσις πλήθους ἐστὶ ποιητική, τὸ δὲ ἀδιαίρετον μονάδος, ἀνάγκη κατὰ τὸν λόγον τῆς διαιρέσεως περὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν τὴν κρίσιν διορίζεσθαι. Ἔστι δέ τις διαίρεσις πάντῃ τὸ τῆς ποσότητος γένος ἐκτρεπομένη, ἣ δηλαδὴ κατά τινα ἀντίθεσιν εἰδικὴν γίνεται, ἣ μηδεμίαν οἶδε ποσότητα. Ὅθεν ἀνάγκη τὸ πλῆθος τὸ ταύτῃ ἑπόμενον, καὶ τὸ ἓν ὃ ταύτην τὴν διαίρεσιν στεροῖ, εἶναι μείζονος ἐναντιότητος καὶ διαστάσεως, ἢ τὰ ἐν τῷ τῆς ποσότητος γένει. Ἔστι δὲ καὶ ἑτέρα διαίρεσις κατὰ τὴν ποσότητα, ἣ τὸ τῆς ποσότητος γένει οὐχ ὑπερβαίνει. Ὅθεν καὶ τὸ ἑπόμενον πλῆθος ταύτῃ τῇ διαιρέσει, καὶ ἡ στεροῦσα τοῦτο

μονάς, εἰσὶν ἐν τῷ τῆς ποσότητος γένει. Ὅπερ ἕν, προστίθησί τι κατὰ συμβεβηκός, περὶ οὗ λέγεται· ὅπερ ἔχει λόγον μέτρου· ἄλλως γὰρ ὁ ἀριθμὸς ὁ ἐκ μονάδων συγκείμενος, οὐκ ἂν εἴς τι συμβεβηκός, οὐ δέ τινος γένους εἶδος. Τὸ δὲ ἀντιστρέφον πρὸς τὸ ὂν ἕν, οὐ προστίθησιν ἐπὶ τὸ ὄν, εἰ μὴ τὴν ἀπόφασιν τῆς διαιρέσεως, οὐχ ὅτι σημαίνει αὐτὸ τὸ ἀδιαίρετον μόνον, ἀλλὰ τὸ ὑποκείμενον ἀντὶ τοῦ μετ’ αὐτοῦ· ἔστι γὰρ τὸ ἓν ταυτό, ὅπερ τὸ ἀδιαίρετον ὄν. Καὶ ὁμοίως τὸ συναποκρινόμενον πλῆθος τῷ ἐνί, ὅθεν οὐδὲν προστίθησιν ἐπὶ τὰ πολλὰ πράγματα, εἰ μὴ τὴν διάκρισιν αὐτῶν, ἥτις θεωρεῖται ἐν τῷ τὸ ἓν
P 234r αὐτῶν μὴ εἶναι τ’ἄλλο· | ὅπερ οὐκ ἔχουσιν ἔκ τινος προσκειμένου, ἀλλ’ ἐκ τῶν ἰδίων εἰδῶν. Φαίνεται τοίνυν ὅτι τὸ ἓν τὸ ἀντιστρέφον πρὸς τὸ ὄν, τίθησι μὲν αὐτὸ τὸ ὄν, οὐ προστίθησι δέ τι εἰ μὴ ἀπόφασιν τῆς διαιρέσεως. Τὸ πλῆθος δὲ τὸ ἀνταποκρινόμενον τῷ ἐνί, προστίθησι μὲν ἐπὶ τὰ λεγόμενα πολλὰ πράγματα, τὸ ἕκαστον αὐτῶν εἶναι ἕν, καὶ τὸ τὸ ἓν αὐτῶν, μὴ εἶναι θάτερον, ἐν ᾧ συνέστηκεν ὁ τῆς διαιρέσεως λόγος. Καὶ ταύτῃ τὸ μὲν ἓν προστίθησιν ἐπὶ τὸ πρᾶγμα μίαν ἀπόφασιν, καθὸ ἔστι τι ἀδιαίρετον ἐν ἑαυτῷ· τὸ δὲ πλῆθος, προστίθησι δύο ἀποφάσεις, καθὸ δηλαδὴ τί ἐστιν ἐν ἑαυτῷ ἀδιαίρετον· καὶ ᾗ δή ἐστιν ἀπ’ ἄλλου διῃρημένον. Ὅπερ τὸ διαιρεῖσθαι ἐστὶ τὸ τὸ ἓν αὐτῶν μὴ εἶναι τὸ ἕτερον. Φημὶ τοίνυν ἐν τοῖς θείοις μὴ κατηγορεῖσθαι τὸ ἓν καὶ τὰ πολλὰ τὰ ἀνήκοντα εἰς τὸ τῆς ποσότητος γένος, ἀλλὰ τὸ ἓν τὸ ἀντιστρέφον μετὰ τοῦ ὄντος, καὶ πλῆθος τὸ ἀνταποκρινόμενον. Ὅθεν τὸ ἓν καὶ τὰ πολλά, τιθέασι μὲν ἐν τοῖς θείοις, τὰ καθ’ ὧν λέγονται· οὐ προστίθησι δέ, εἰ μὴ τὴν διάκρισιν, καὶ τὸ ἀδιάκριτον ὅπέρ ἐστι προστιθέναι ἀποφάσεις, ὡς ἐν τοῖς ἄνω ἐκτέθειται. Ὅθεν καὶ ὁμολογητέον, ὅτι ὅσον ὃ προστιθέασι τοῖς ὧν κατηγοροῦνται, ἀποφατικῶς ἐν τῷ Θεῷ λαμβάνονται· καθόσον δὲ περιέχουσιν ἐν τῇ αὐτῶν δηλώσει τὰ καθ’ ὧν λέγονται, θετικῶς λαμβάνονται. Διατοῦτο πρὸς ἑκατέρους λογισμοὺς ἀπαντητέον ἂν εἴη.

[9.7.30] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ εἰσάγων τρία πρόσωπα ἐν τῷ Θεῷ, εἰσάγει τι ἐν τῷ Θεῷ, δηλονότι τὴν διάκρισιν τῶν προσώπων, ἧς ὁ ἔξαρνος αἱρετικὸς ἐστίν. Αὕτη δὲ ἡ διάκρισις, οὐ προστίθησί τι ἐπὶ τὰ πρόσωπα τὰ διακεκριμένα.

[9.7.31] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι εἰ καὶ ἐν τῷ ἀποφάσκεσθαί τινα τοῦ Θεοῦ, ἔστι νοητέα ἡ κατηγορία τῶν αὐτῶν περὶ τοῦ Θεοῦ, καθ᾽ ὑπεροχὴν καὶ αἰτίαν, ἔνια ὅμως ἀποφάσκονται μόνον τοῦ Θεοῦ, καὶ οὐδέ τισι τρόποις κατηγοροῦνται, ὥσπερ ὅταν λέγηται ὁ Θεός, μὴ εἶναι σῶμα. Καὶ τούτῳ τῷ τρόπῳ δέχεται λέγεσθαι κατὰ τὴν δόξαν τοῦ Διδασκάλου· ὅτι πάντῃ ἀποφάσκεται τοῦ Θεοῦ ἡ ἀριθμητικὴ ποσότης· καὶ ὁμοίως κατὰ τοῦθ᾽ ὅτι τιθέαμεν, πάντῃ ἀποφάσκεται αὐτοῦ ἡ τῆς οὐσίας διαίρεσις· ἐπειδὰν λέγηται ἡ οὐσία τοῦ Θεοῦ ἔστι μία.

[9.7.32] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι κἀν τοῖς κτιστοῖς πράγμασιν οἱ ἀριθμητικοὶ ὅροι, οὐ τιθέασί τι προσκείμενον, τοῖς πράγμασιν ὧν κατηγοροῦνται, εἰ μὴ καθὸ εἰσὶν ἐν τῷ τῆς ποσότητος γένει τῆς διακεκριμένης· ὃν δὴ τρόπον, οὐ τίθενται ἐπὶ τοῦ Θεοῦ, ὃ τείνει εἰς τὴν αὐτοῦ τελειότητα.

[9.7.33] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἡ μονὰς καὶ τὸ πλῆθος, ἃ δηλοῦνται διὰ τῶν λεγομένων περὶ Θεοῦ ἀριθμητικῶν ὅρων, οὐκ εἰσὶ μόνον ἐν τῷ ἡμετέρῳ P 234v νῷ, ἀλλ᾽ εἰσὶν ἐν τῷ Θεῷ πράγματι· οὐ | μέντοι διατοῦτο δηλοῦται τι καταφατικῶς παρὰ τὴν ἐπίνοιαν τῶν οἷς ταῦτα ἀποδίδοται.

[9.7.34] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ ἀγαθόν, τὸ ὂν ἐν τῷ τῆς ποιότητος γένει, οὐκ ἔστι τὸ ἀγαθὸν τὸ ἀντιστρέφον πρὸς τὸ ὄν, οὐδὲν γὰρ χρῆμα προστίθησιν ἐπὶ τὸ ὄν· τὸ δὲ ἐν τῷ τῆς ποιότητος γένει ἀγαθόν, προστίθησιν τινὰ ποιότητα, ᾗ ὁ ἄνθρωπος λέγεται ἀγαθός· τὸ δ᾽ ὅμοιον ἐστὶ καὶ περὶ τοῦ ἑνός, ὡς ἐκ τῶν προειρημένων φαίνεται. Τούτῳ δὲ διενήνοχεν, ὅτι τὸ μὲν ἀγαθὸν ἑτέρῳ τρόπῳ ληφθέν, δύναται ἐλθεῖν εἰς τὴν θείαν κατηγορίαν, ἀλλ᾽ οὐ καὶ τὸ ἕν· οὐδὲ γὰρ ὁ αὐτὸς λόγος περὶ ποσότητος καὶ ποιότητος, ὡς ἐν τοῖς ἔμπροσθεν καὶ ἐν τῷ τοῦ λόγου ποδὶ φαίνεται.

[9.7.35] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι παρὰ ταῦτα τὰ τέσσαρα πρῶτα μάλιστα πρῶτον ἐστὶ τὸ ὄν· καὶ διατοῦτο χρὴ καταφατικῶς κατηγορεῖσθαι· ἡ γὰρ ἀπόφασις ἢ ἡ στέρησις, οὐ δύναται εἶναι τὸ πρῶτον τῷ νῷ καταληπτόν, ἐφόσον ἀεὶ τὸ ἀποφασκόμενον ἢ στερισκόμενον, ἔστιν ἐκ τοῦ νοῦ τῆς ἀποφάσεως ἢ τῆς στερήσεως. Τὰ δ᾽ ἄλλα τρία, ἀνάγκη ἐπὶ τὸ ὂν προστιθέναι

τί, ὃ τῷ ὄντι εἰς ἴσον εἴη· εἰ γὰρ μὴ εἰς ἴσον εἴη τῷ ὄντι, τὸ ὂν οὐκ ἂν εἶεν πρῶτα. Τοῦτο δὲ ἀδύνατον εἶναι, εἰ μὴ προστιθεῖεν τι κατ' ἐπίνοιαν μόνον· τοῦτο δέ ἐστιν ἡ ἀπόφασις, ἣν προστίθησι τὸ ἕν, ὡς εἴρηται, ἢ ἀναφορὰ πρός τι ἣ πέφυκεν ἀναφέρεσθαι καθόλου πρὸς ὄν· καὶ τοῦτο ἐστὶν ἢ νοῦς εἰς ὂν προτείνεται τὴν ἀναφορὰν τὸ ἀληθές, ἢ ὄρεξις, ᾗ παρέχεται τὴν ἀναφορὰν τὸ ἀγαθόν· τὸ γὰρ ἀγαθὸν ἐστίν, οὗ πάντα ἐφίεται, ὡς εἴρηται ἐν τῷ πρώτῳ τῶν Ἠθικῶν.

[9.7.36] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά, τὰ πολλὰ λέγονται διχῇ· ἐνὶ μὲν τρόπῳ ἀπροσδιορίστως, καὶ οὕτω λέγεται κατὰ ἀντίθεσιν πρὸς τὸ ἕν· ἑτέρῳ τρόπῳ λέγεται κατὰ παράθεσιν, καθὸ σημαίνει ὑπεροχὴν τινὰ ἐφιστῶσι τὸν νοῦν ἐλάττονι ἀριθμῷ, καὶ τῇδε τὸ πολὺ ἀντίκειται τῷ ὀλίγῳ. Ὡς δὲ καὶ τὸ μέγα, δύναται διχῇ λέγεσθαι· ἐνὶ μὲν τρόπῳ ἀπολελυμένως, καθὸ προβάλλεται πηλικότητα, ἢ λέγεται μέγεθος· ἑτέρῳ τρόπῳ κατὰ παράθεσιν, ᾗ δὴ προβάλλεται ὑπερβολὴν ἀποβλέψει ἥττονος πηλικότητος. Τῷ πρώτῳ τοίνυν τρόπῳ τὸ μέγα, οὐ κατηγορεῖται τοῦ Θεοῦ· ἀλλὰ τὸ δευτέρῳ ὡς δηλοῦσθαι τὴν αὐτοῦ ὑπεροχὴν ὑπὲρ πάντα τὰ κτιστά.

[9.7.37] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ ἓν τὸ τεῖνον εἰς ἴχνος Θεοῦ ἐν τοῖς κτιστοῖς, ἔστι τὸ ἓν τὸ ἀντιστρέφον πρὸς τὸ ὄν, ὃ τίθησί τι, ἐφόσον τίθησιν αὐτὸ τὸ ὄν· μόνην δὲ τὴν ἀπόφασιν προστίθησιν, ὡς εἴρηται.

[9.7.38] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὸ ἓν τῶν ἀντικειμένων, οὐκ ἀποτειχίζει τὸ
P 235r λοιπὸν | εἰ μὴ τοῦ οὗ κατηγορεῖται. Οὐ γὰρ ἕπεται, εἰ ὁ Σωκράτης ἐστὶ λευκὸς μηδὲν εἶναι μέλαν· ἀλλ' ὅτι αὐτὸς οὐ ἔστι μέλας. Οὕτω τοίνυν ἕπεται εἰ τὸ τοῦ Πατρὸς πρόσωπον ἔστιν ἕν, τὸ τοῦ Πατρὸς πρόσωπον μὴ εἶναι πολλά· οὐχ ἕπεται δὲ μὴ εἶναι πολλὰ πρόσωπα ἐν τοῖς θείοις.

[9.7.39] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἓν οὐ ποιεῖ πλῆθος τῷ μέρει τῆς στερήσεως, ἀλλ' ἐκ τοῦ μέρους ἐκείνου ὃ τίθησι τὸ ὄν.

[9.7.40] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὡς λέγεται ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικὰ ἡ στέρησις τριχῇ λέγεται· ἐνὶ μὲν τρόπῳ ἰδίως, ἐπειδὰν ἀποφάσκεται τοῦ ὃ ἔχειν πέφυκε Δευτέρῳ δὲ τρόπῳ κοινῶς, ἐπειδὰν μὴ

**195-196** τὸ – Ἠθικῶν] Ar., Eth. nic. I, 1094a1-2: διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντ' ἐφίεται. **197-198** κατὰ – διχῇ] Ar., Metaph. X, 1056b16 ss: ἀλλ' ὅσα διαιρετά... **217-218** ὡς – λέγεται] Ar., Metaph. X, 1022b21 ss: Στέρησις λέγεται ἕνα μὲν τρόπον...

**219** Hic post πέφυκε Aq. habet: et in quo tempore natum est habere; sicut carere visu est privatio visus in homine.

ἀποφάσκεται τοῦ γένους αὐτοῦ· ὥσπερ εἰ τὸ μὴ ἔχειν ὄψιν, λέγεται στέρησις ὄψεως ἐν τῷ ἀσκαλάφῳ. Τρίτῳ τρόπῳ κοινωτάτῳ, ἐπειδὰν ἀποφάσκεταί τινος, τοῦθ’ ὃ παρ’ ὁτωοῦν ἄλλου πέφυκεν ἔχεσθαι· οὐ μέντοι παρ’ αὐτοῦ, οὔτε ἀπ’ ἄλλου τῶν τοῦ αὐτοῦ γένους· ὥσπερ εἰ τὸ μὴ ἔχειν ὄψιν ῥηθείη, στέρησις ὄψεως ἐν τῶ φυτῷ. Καὶ αὕτη ἡ στέρησις, μέσον ἐστὶ τῆς τε ἀληθοῦς στερήσεως καὶ τῆς ἁπλῆς ἀποφάσεως, ἔχουσα κοινόν τι μεθ’ ἑκατέρου· μετὰ μὲν τῆς ἀληθοῦς στερήσεως τὸ εἶναι ἀπόφασις ἔν τινι ὑποκειμένῳ, διότι οὐδὲ προσήκει τῷ ἁπλῶς μὴ ὄντι· μετὰ δὲ τῆς ἁπλῆς ἀποφάσεως ἐν τῷ μὴ ζητεῖν πεφηνὸς ἐν τῷ ὑποκειμένῳ. Κατὰ τοῦτον οὖν τὸν τρόπον τὸ ἓν στερητικῶς λέγεται, καὶ δύναται κατηγορεῖσθαι τοῦ Θεοῦ τῷ ἴσῳ τρόπῳ, ὡς τὸ ἀόρατον, καὶ ἀμέτρητον, καὶ τὰ τοιαῦτα.

[9.7.41] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι οἱ ἀριθμητικοὶ ὅροι, οὐ προστιθέασιν ἐν τοῖς θείοις, ὑπὲρ ἐκεῖνο οὗ κατηγοροῦνται· καὶ διατοῦτο ἡνίκα κατηγοροῦνται τῶν οὐσιωδῶν, σημαίνουσι τὴν οὐσίαν· ἡνίκα δὲ τῶν προσωπικῶν σημαίνουσι τὰς ἀναφοράς.

[9.7.42] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ ἓν καὶ τὸ ὄν, ἀντιστρέφουσι κατὰ τὰ ὑποκείμενα· πλὴν τὸ ἓν προστίθησι κατὰ τὸν λόγον, στέρησιν διαιρέσεως· καὶ διατοῦτο οὐκ εἰσὶ συνώνυμα· συνώνυμα γὰρ εἰσὶ τὰ δηλοῦντα τὸ αὐτό, κατὰ τὸν αὐτὸν λόγον.

[9.7.43] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ ἕν, δύναται διχῇ θεωρεῖσθαι· ἑνὶ μὲν τρόπῳ, ὅσον πρὸς τοῦθ’ ὃ τίθησι, καὶ ταύτῃ ποιεῖ πλῆθος· ἑτέρῳ τρόπῳ, ὅσον πρὸς τὴν ἀπόφασιν ἣν προστίθησι, καὶ οὕτω τὸ ἓν ἀντιτίθεται τῷ πλήθει στερητικῶς.

[9.7.44] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά, ὅτι τὸ πλῆθος ἔστι πότερον τοῦ ἑνὸς κατὰ τὴν αἴσθησιν, ὥσπερ τὸ ὅλον τῶν μερῶν· καὶ τὸ σύνθετον τοῦ ἁπλοῦ· τὸ δὲ ἓν ἔστιν αὖθις τοῦ πλήθους πρότερον τῇ φύσει καὶ τῷ λόγῳ. Ἐκεῖνο δὲ οὐκ

**245-247** κατὰ – μερῶν] Ar., Metaph. X, 1054a28-29: ὥστε τῷ λόγῳ πρότερον τὸ πλῆθος τοῦ ἀδιαιρέτου διὰ τὴν αἴσθησιν.

**230** Hic post τρόπῳ Aq. habet: sicut et alia quae simili modo praedicantur in divinis.

ἀπόχρη πρὸς τὸ ἀντικεῖσθαι τὸ ἓν στερητικῶς τοῦ πλήθους. Ἡ γὰρ στέρησις P 235v ἐστίν, ὑστέρα κατὰ τὸν λόγον, ἐφόσον ἐν τῇ | στερήσει νοεῖται, τὸ ἀντικείμενον διορίζεται· εἰ μὴ τάχά που ἀνινεχθείη μόνον πρὸς τὸν τοῦ ὀνόματος λόγον, καθὸ τὸ μὲν ὄνομα ἐμφαίνει στερητικῶς, τὸ δὲ τοῦ πλήθους ὄνομα, θετικῶς· τὰ γὰρ ὀνόματα, ἐπιτιθέμεθα καθὸ γινώσκομεν τὰ πράγματα. Ὅθεν πρὸς τὸ δηλοῦσθαί τι διʹ ὀνόματος ὡς στέρησις, ἀπόχρη ὁπώς ποτε εἴη, ὕστερον ἐν τῇ ἡμετέρᾳ διανοίᾳ· εἰ καὶ τοῦτο μὴ ἀρκόιη πρὸς τὸ αὐτὸ τὸ πρᾶγμα εἶναι στερητικόν, εἰ μὴ εἴη ὕστερον κατὰ τὸν λόγον. Καὶ διατοῦτο κρεῖττον δύναται λέγεσθαι, ὅτι ἡ διαίρεσις ἔστιν αἰτία τοῦ πλήθους, καὶ ἔστι προτέρα κατʹ ἐπίνοιαν ἢ τὸ πλῆθος· τὸ δʹ ἓν λέγεται στερητικῶς, ἀποσκοποῦσιν εἰς τὴν διαίρεσιν, ἐφόσον ἐστὶ τὸ ἓν ἀδιαίρετον, οὐκ ἀποσκοποῦσιν εἰς τὸ πλῆθος. Ὅθεν ἡ μὲν διαίρεσις ἔστι προτέρα, κατʹ ἐπίνοιαν, ἢ τὸ ἕν· τὸ δὲ πλῆθος ὕστερον. Ὃ τῇδε δῆλον· τὸ πρῶτον γὰρ ὃ πίπτει ἐν τῷ νῷ, ἔστι τὸ ὄν· δεύτερον δέ, ἡ ἀπόφασις τοῦ ὄντος· ἐκ δὲ τούτοιν τοῖν δυοῖν, ἕπεται τρίτον ἡ ἐπίνοια τῆς διαιρέσεως· ἐκ γὰρ τοῦ τὶ νοεῖσθαι, ἓν καὶ νοεῖσθαι τοῦτο μὴ εἶναι τοῦτο τὸ ὄν, ἕπεται ἐν τῷ νῷ εἶναι διακεκριμένον ἀπὸ τούτου· τέταρτον δὲ ἕπεται ἐν τῷ νοῒ λόγος τοῦ ἑνός, καθὸ νοεῖται τοῦτο τὸ ὂν μὴ εἶναι διῃρημένον ἐν ἑαυτῷ· πέμπτον δὲ ἕπεται ἡ επίνοια τοῦ πλήθους, καθὸ τοῦτο τὸ ὂν νοεῖται διακεκριμένον ἀπʹ ἄλλου, καὶ ἑκάτερον αὐτῶν ὂν ἓν ἐν ἑαυτῷ. Καὶ γὰρ ἡνίκα τινὰ νοοῦνται διῃρημένα, <οὐ> νοοῦνται πλῆθος, εἰ μὴ ἕκαστον τῶν διῃρημένων νοηθείη ἕν. Καὶ οὕτω τοι φαίνεται μὴ εἶναι κῦκλος ἐν τῷ ὅρῳ τοῦ πλήθους καὶ τοῦ ἑνός.

[9.7.45]Ὅθεν ἀνακύπτει λύσις καὶ πρὸς τὸ ἑκκαιδέκατον.

[9.7.46] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι τὸ ἓν ὅπερ ὂν τυγχάνει ἀρχὴ τοῦ ἀριθμοῦ, παραβάλλεται πρὸς τὸ πλῆθος ὡς μέτρον πρὸς μετρητόν· ὅπερ ἓν καταφατικῶς τι ἐπὶ τὴν οὐσίαν οὐ προστίθησιν, ὡς εἴρηται.

[9.7.47] Πρὸς δὲ τὰ ἐκ τοῦ ἀντικειμένου αὐθυποφερόμενα, κατὰ τὰ προειρημένα, ῥάδιόν ἐστιν ἀποκρίνασθαι, θεωροῦσι κατὰ τί τὴν ἀλήθειαν συμπεραίνονται. Πλὴν ἐπιστητέον ἑνί, ὧν ἐν ταῖς αὐθυποφοραῖς ἡψάμεθα,

εἴτουν τὰ τοιαῦτα πρῶτα, δηλονότι τὴν οὐσίαν, τὴν μονάδα, τὴν ἀλήθειαν, καὶ τὴν ἀγαθότητα παρονομάζειν ἑαυτὰ τῷδε τῷ λόγῳ, ὅτι τὸ ἓν καὶ τὸ ἀληθὲς καὶ τὸ ἀγαθόν, ἕπονται τῷ ὄντι. Ἐπεὶ δὲ τὸ ὂν ἔστι πρῶτον νῷ ληπτόν, ἀνάγκη ὅτί ποτε ἐν τῷ νῷ πίπτει, νοεῖσθαι ὡς ὄν, καὶ κατὰ τὸ ἀκόλουθον ὡς ἓν ἀληθὲς ἀγαθόν. Ὅθεν ἡνίκα ὁ νοῦς θεωρεῖ τὴν οὐσίαν, καὶ τὴν μονάδα, καὶ τὴν ἀλήθειαν, καὶ τὴν ἀγαθότητα χωρίς, ἀνάγκη καθ’ οὗ δή ποτε τούτων P 236r κατηγορεῖται | τὸ ὄν, καὶ τὰ ἄλλα τρία, ὡς ἐν συνθέσει κατηγορεῖσθαι. Κἀντεῦθεν ἐστὶ τὸ παρονομάζειν ἑαυτά, οὐ μὴν δὲ τὰ μὴ ἀντιστρέφοντα τὸ ὄν.

## Κεφάλαιον ὄγδοον

## Πότερον ἐν τῷ Θεῷ ἔστι τις ἑτερότης ἢ οὔ.

**[9.8.1] Ὄγδοον ζητεῖται, πότερον ἐν τῷ Θεῷ ἔστι τις ἑτερότης. Καὶ δοκεῖ τι μή. Κατὰ γὰρ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά· τὸ ἓν τῇ ὑποστάσει ποιεῖ ταυτό, τὸ δὲ πλῆθος ἐν τῇ ὑποστάσει ποιεῖ τὸ ἕτερον. Ἐν τοῖς θείοις δέ ἐστι πλῆθος κατὰ τὴν ὑπόστασιν· φησὶ γὰρ ὁ Ἱλάριος ἐν τῷ Περὶ τῶν Συνόδων βιβλίῳ ὅτι** ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμά εἰσι τρία τῇ ὑποστάσει, τῇ δὲ οὐσίᾳ, ἕν. **Ἐν τοῖς θείοις ἄρα ἔστιν ἑτερότης.**

**[9.8.2] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά,** τὸ ἕτερον **λέγεται ἀπολελυμένως**, τὸ δὲ διαφέρον **ἀναφορικῶς· ὅθεν πᾶν διαφέρον καὶ ἕτερον, οὐ μὴν δὲ πᾶν ἕτερον καὶ διαφέρον. Ἀλλ' ἐν τοῖς θείοις ἐφεῖται εἶναι διαφοράν· φησὶ γὰρ ὁ Δαμασκηνός·** διαφορὰν προσώπων ἐν ταῖς τρισὶν ἰδιότησιν, εἴτουν τῇ πατρότητι καὶ υἱότητι καὶ τῷ ἐκπορευτῷ, γινώσκομεν**. Ἐν τοῖς θείοις ἄρα ἔστιν ἑτερότης.**

**[9.8.3] Ἔτι, ἡ κατὰ συμβεβηκὸς διαφορὰ ποιεῖ τὸ ἀλλοῖον μόνον, ἡ δ' οὐσιώδης ποιεῖ τὸ ἄλλο ἢ τὸ ἕτερον. Ἐπεὶ τοίνυν ἐν τοῖς θείοις ἔστι διαφορά, καὶ οὐ δύναται ἐκεῖ εἶναι συμβατική, καὶ κατὰ τὸ ἀκόλουθον ἀνάγκη εἶναι οὐσιώδη, ἀναγκαῖον εἶναι ἐκεῖ ἑτερότητα.**

**[9.8.4] Ἔτι, τὸ πλῆθος τὴν αἰτίαν ἴσχει ἐκ τῆς διαιρέσεως, ὡς ἤδη ὑπείπομεν. Ἔνθα δέ ἐστι διαίρεσις, ἔστιν ἑτερότης. Ἐν τοῖς θείοις ἄρα πλήθους ὄντος ἔστι καὶ ἑτερότης.**

**[9.8.5] Παρὰ ταῦτα, τὸ ταυτὸν καὶ τὸ ἕτερον ἅλις διαιροῦσι τὸ ὄν. Ἀλλ' ὁ Πατὴρ οὐκ ἔστιν ὁ αὐτὸς τῷ Υἱῷ· οὐ γὰρ συγχωρεῖται, ὅτι ὁ Πατὴρ γεννῶν τὸν Υἱὸν γεγέννηκεν αὐτὸς ἑαυτόν. Ἄρα ὁ Πατὴρ ἕτερός ἐστι τοῦ Υἱοῦ.**

**[9.8.6] Ἀλλ' ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Ἱλαρίου λεγόμενον ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ·** οὐδὲν ἐν τοῖς θείοις καινὸν οὐδὲν ἕτερον οὐδὲν ἀλλότριον, οὐδὲν

**4-5** Κατὰ – ἕτερον] Ar., Metaph. V, 1015b18. **6-8** Φησὶ – ὑποστάσει] Hilar., De syn. (PL 10, col. 504A): cum de Patre et filio et Spiritu sancto … ut sint quidem per substantiam tria, per consonantiam vero unum. **9-10** κατὰ – ἀναφορικῶς] Ar., Metaph. X, 1054b24-27: τὸ μὲν γὰρ ἕτερον καὶ οὗ ἕτερον οὐκ ἀνάγκη εἶναι τινὶ ἕτερον· πᾶν γὰρ ἢ ἕτερον ἢ ταὐτὸ ὅ τι ἂν ᾖ ὄν· τὸ δὲ διάφορον τινὸς τινὶ διάφορον, ὥστε ἀνάγκη ταὐτό τι εἶναι ᾧ διαφέρουσιν. **12-13** φησὶ – γινώσκομεν] Dam., De fid. orth. III. **25-27** Ἀλλ' – χωριστόν] Dam., De fid. orth. III, col. 234: nihil in his novum, nihil diversum, nihil alienum, nihil separabile.

**3** μή] bis acc. P

χωριστόν.

[9.8.7] Ἔτι, ὁ Ἀμβρόσιος φησὶν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ· ὁ Πατὴρ καὶ ὁ Υἱὸς τῇ θεότητι ἓν εἰσίν· οὐδέ ἐστιν ἐκεῖ οὐσίας διαφορά· οὐδέ τις ἑτερότης.

[9.8.7] Ἀπόκρισις. Ῥητέον, ὅτι ὡς ὁ Ἱερώνυμος φησίν, ἐκ τῶν ἀκαταλλήλως προφερομένων ῥημάτων, εἰς αἱρέσεις ἐμπίπτομεν. Καὶ ταύτῃ οὕτω διαλεκτέον περὶ τῶν θείων, ὡς μηδὲν πρόσχημα παρασχεθῆναι πλάνης. Ἐγένοντο δὲ περὶ τὰ θεῖα, δύο πλάναι, μάλιστα φυλακτέαι, καὶ διαφερόντως τοῖς περὶ μονάδος καὶ τριάδος θεότητος διαλεγομένοις· ἔστιν ἡ Ἀρείου πλάνη, P 236v ὃς τὴν μονάδα τῆς οὐσίας ἠρνήσατο, ἀξιῶν ἑτέραν | εἶναι τὴν οὐσίαν τοῦ Πατρός, καὶ ἑτέραν τὴν τοῦ Υἱοῦ. Καὶ ἡ τοῦ Σαβελλίου, ὃς ἀπηγόρευε τὸν ἀριθμὸν τῶν προσώπων, φάσκων τὸν αὐτὸν εἶναι Πνεῦμα ὃς καὶ Υἱός. Πρὸς τὸ τοίνυν διακρούσασθαι τὴν πλάνην τοῦ Ἀρείου, εἰσὶν ἡμῖν τέσσαρα εὐβλαβητέα, ἐν τῇ τῆς πίστεως ὁμολογίᾳ· πρῶτον ἡ ἑτερότης, δι᾽ ἧς ἀναιρεῖται τὸ τῆς οὐσίας ἕν, ὅπερ ὁμολογοῦμεν φάσκοντες εἶναι ἕνα Θεόν· δεύτερον ἡ διαίρεσις, ἣ ἀντιβαίνει τῇ θείᾳ ἁπλότητι· τρίτον ἡ ἀνισότης, ἣ πολεμεῖ τῇ θείᾳ ἰσότητι τῶν προσώπων· τέταρτον ὥστε μὴ ὁμολογεῖν τὸν Υἱὸν εἶναι ἀλλότριον τοῦ Πατρός, δι᾽ οὗ ἀναιρεῖται ἡ ὁμοιότης. Παραπλησίως τε κατὰ τῆς Σαβελλίου πλάνης, εἰσὶ τέσσαρα τὰ εὐλαβητέα· πρῶτον ἡ ἑνικότης, δι᾽ ἧς ἀναιρεῖται ἡ κοινωνία τῆς θείας φύσεως· δεύτερον τὸ ὄνομα τοῦ ἡνωμένου, δι᾽ οὗ ἀναιρεῖται ἡ πραγματώδης διαίρεσις τῶν προσώπων· τρίτον ἡ σύγχυσις, δι᾽ ἧς ἐξαιρεῖται ἡ ἐν τοῖς θείοις προσώποις τάξις· τέταρτον ἡ ὁμοιότης, δι᾽ ἧς ἀναιρεῖται ἡ ἑταιρεία τῶν θείων προσώπων. Ὁμολογοῦμεν δὲ κατὰ μὲν τῆς ἑτερότητος τὴν μονάδα τῆς οὐσίας· κατὰ δὲ τῆς διαιρέσεως, τὴν ἁπλότητα· κατὰ τῆς ἀνισότητος, τὴν ἰσότητα· κατὰ τοῦ ἀλλοτρίου, τὸ ὅμοιον· καὶ κατὰ μὲν τὸῦ ἑνικοῦ, τὸ πληθυντικὸν τῶν προσώπων· τοῦ ἡνωμένου, τὸ διακεκριμένον· κατὰ τῆς συγχύσεως, τὸ εὔτακτον· κατὰ τοῦ μονήρους, τὴν συμφωνίαν, καὶ ἀλληλουχίαν τῆς ἀγάπης.

[9.8.8] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ ὑπόστασις λαμβάνεται ἐκεῖ, ἀντὶ τῆς μερικῆς οὐσίας, οὐ περὶ τῆς ἁπλῶς, ἧς τὸ πλῆθος ποιεῖ τὴν ἑτερότητα.

**44, 48** ἧς] οὗ P

[9.8.9] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι εἰ καὶ παρ’ ὡντινωνοῦν τῆς ἐκκλησίας διδασκάλων εὑρίσκεται τὸ τῆς διαφορᾶς ὄνομα περὶ τὰ θεῖα, οὐ μέντοι ἔστι κοινῶς χρηστέον, οὐδὲ πολλάκις· ἡ γὰρ διαφορὰ περιέχεται διάκρισίν τινα κατὰ τὸ εἶδος, ἥτις οὐ δύναται εἶναι ἐν τοῖς θείοις· τὸ γὰρ τοῦ Θεοῦ εἶδος ἐστὶν ἡ θεία φύσις, ὡς ὁ Αὐγουστῖνος φησίν. Ἀλλ’ ἐκληπτέα ἐστὶν ἡ διαφορὰ ἀντὶ τῆς διαιρέσεως, ἥτις τὸν ἀριθμὸν εἰσφέρει· ἐπεὶ καὶ κατὰ τὰς ἀναφορὰς κατ’ ἐπίνοιαν τινὰ διακρίνεσθαι λέγονται. Οὕτω τοίνυν ἐκληπτέον καὶ εἴ τις ἐν τοῖς θείοις εὑρίσκεται ἑτερότης· ὡς φέρε εἰπεῖν εἰ λέγοιτο ἕτερον εἶναι τὸ πρόσωπον τοῦ Πατρὸς παρὰ τὸ τοῦ Υἱοῦ, τὸ γὰρ ἕτερον οἰητέον ἀντὶ τοῦ διακεκριμένον. Μᾶλλον δὲ εὐλαβητέον τὸ τῆς ἑτερότητος ὄνομα ἐν τοῖς θείοις ἢ τὸ τῆς διαφορᾶς· ἡ γὰρ ἑτερότης μᾶλλον ἥκει πρὸς την οὐσιώδη διαίρεσιν· ἡ γὰρ ἑτερότης, πρὸς μόνα τείνει τὰ οὐσιώδη εἴδη.

P 237r [9.8.10] Πρὸς τὸ τρίτον ῥητέον, | ὅτι εἰ καὶ ἐν τοῖς θείοις μὴ εἴη συμβεβηκός, ἔστι μέντοι ἐκεῖ ἀναφορά, ἧς τὸ ἀντικείμενον διάκρισιν ποιεῖ ἐν τοῖς θείοις, οὐ μὴν ἑτερότητα.

[9.8.11] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι εἰ καὶ ἐν τοῖς θείοις τῷ ἀκριβῷ λόγῳ ὀνομάζουσιν, οὐκ ἔστιν ἡ διαίρεσις, ἔστι μέντοι ἐκεῖ διάκρισις, ἣ ἀρκεῖ πρὸς τὸν τῶν προσώπων ἀριθμόν.

[9.8.7] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ Υἱός ἐστιν ὁ αὐτὸς Θεὸς μετὰ τοῦ Πατρός· ἀδύνατον μέντοι λέγειν ὅτι ὁ Πατὴρ ἑαυτὸν ἐγέννησε Θεόν, γεννῶν τὸν Υἱόν· εἰ γὰρ λόγου χάριν εἴη ὑποτακτικόν, ἀναλαμβάνει τὸ αὐτὸ ὑποκείμενον· ὁ Πατὴρ δὲ καὶ ὁ Υἱός, εἰσὶ δύο ὑποκείμενα.

## Κεφάλαιον ἔνατον

## Πότερον ἐν τοῖς θείοις εἰσὶ τρία πρόσωπα μόνον ἢ πλείω ἢ ἐλάττω.

**[9.9.1] Ἔνατον ζητεῖται πότερον ἐν τοῖς θείοις εἰσὶ τρία πρόσωπα μόνον ἢ πλείω ἢ ἐλάττω. Καὶ δοκεῖ πλείω. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ κατὰ Μαξίμου στηλιτευτικῷ αὐτοῦ βιβλίῳ·** ὁ Υἱὸς οὐ γεγέννηκε δημιουργὸν οὐχ ὅτι οὐκ ἐδύνατο, ἀλλ᾽ ὅτι μὴ ἐχρῆν. **Ἐν τοῖς θείοις δὲ** οὐ διαφέρει **τὸ** εἶναι **καὶ τὸ δύνα**σθαι· οὐδὲ **γὰρ** ἔν **τισιν** ἀιδίοις, **κατὰ τὸν Φιλόσοφον ἐν τῷ τρίτῳ τῆς Φυσικῆς. Ὁ Υἱὸς ἄρα γεγέννηκεν ἄλλον Υἱόν. Καὶ ταύτῃ εἰσὶ δύο υἱεῖς ἐν τοῖς θείοις, καὶ κατὰ τὸ εἰκὸς πλείω πρόσωπα ἢ τρία.**

**[9.9.2] Ἀλλ᾽ ἔλεγεν, ὅτι τοῦθ᾽ ὃ φησίν, οὐχ ὅτι οὐκ ἐδύνατο, ἐκληπτέον, ὅτι οὐκ ἐξ ἀδυναμίας ἐγένετο. Ἀλλὰ τοὐναντίον· ἑκάστῳ ὑποκειμένης φύσεως τινος προσήκει ἡ ἐνέργεια τῆς φύσεως ἐκείνης, εἰ μὴ κατά τινα ἀδυναμίαν ἐμποδίζοιτο. Ἡ δὲ γέννησίς ἐστιν ἐνέργεια τείνουσα εἰς τελειότητα τῆς θείας φύσεως· ἐπεὶ οὐκ ἂν διαφέροι τῷ Πατρί, ἐν ᾧ μὴ ἔστιν, εἰ μὴ ὅτί ποτε τελειότητος ἐστίν. Εἰ τοίνυν ὁ Υἱὸς μὴ γεννῴη ἕτερον Υἱόν, τοῦτ᾽ ἔσται ἐξ ἀδυναμίας αὐτοῦ.**

**[9.9.3] Ἔτι, εἰ ὁ Υἱὸς οὐ δύναται γεννᾶν, δύναται δὲ γεννᾶσθαι. Ἔχει ἄρα δύναμιν γεννᾶσθαι καὶ οὐ γεννᾶν. Ἕτερον δέ ἐστι τὸ γεννᾶν καὶ ἕτερον τὸ γεννᾶσθαι. Ἐπεὶ τοίνυν αἱ δυνάμεις διακρίνονται παρὰ τὰ ἀντικείμενα, οὐκ ἔσται ἡ αὐτὴ δύναμις Πατρὸς καὶ Υἱοῦ· ὅπέρ ἐστι δυσσέβεια.**

**[9.9.4] Ἔτι, ἡ δράσις, καὶ ἡ πεῖσις ἐν τοῖς δρῶσιν ἢ πάσχουσιν ἀνάγονται εἰς διαφόρους ἀρχάς· δρῶσι μὲν γὰρ τῷ λόγῳ τοῦ εἴδους ἐν τοῖς κτιστοῖς πράγμασι, πάσχουσι δὲ τῷ λόγῳ τῆς ὕλης. Τὸ γεννᾶν δὲ καὶ γεννᾶσθαι λέγονται δίκην ἐνεργείας καὶ πάθους. Ἀνάγκη ἄρα πρὸς διαφόρους ἀρχὰς ἀναφέρεσθαι· ὡδὶ δὲ οὐχ οἷόν τε εἶναι μίαν δύναμιν, ᾗ ὁ Πατὴρ γεννᾷ καὶ ᾗ ὁ Υἱὸς γεννᾶται.**

**[9.9.5] Ἦ δ᾽ ὅς, ὅτι ἔστιν ἡ αὐτὴ δύναμις, ἐπεὶ ἐρρίζωται ἐν τῇ θείᾳ οὐσίᾳ, ἣ μία ἐστὶ Πατρὸς καὶ Υἱοῦ. Ἀλλ᾽ ἰτέον εὐθύ. Ἡ δύναμις τοῦ θέρρειν καὶ**
P 237v **ξηραίνειν ἱδρύεται ἐν ἑνὶ ὑποκειμένῳ, εἴτουν | τῷ πυρί, οὐ μέντοι ἐστὶ μία**

**4-6** Φησὶ – ἐχρῆν] Aug., Cont. Max. II, cap. 12, no. 3: Filius autem non genuit creatorem. Neque enim non potuit, sed non oportuit. **6-8** Ἐν – Φυσικῆς] Ar., Phys. III, 203b30: ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις.

καὶ ἡ αὐτὴ δύναμις, ἑτέρα ποιότης ἐστὶν ἡ θέρμη, ἥτίς ἐστιν ἀρχὴ τοῦ θέρειν, καὶ ἑτέρα ἡ τῆς ξηρότητος, ἥτίς ἐστιν ἀρχὴ τοῦ ξηραίνειν. Τὸ ἑνιαῖον τοίνυν τῆς θείας οὐσίας οὐκ ἀπόχρη πρὸς τὸ εἶναι τὴν αὐτήν, ᾗ ὁ Πατὴρ γεννᾷ καὶ ὁ Υἱὸς γεννᾶται δυνάμει.

[9.9.6] Χωρὶς δὲ τούτων, πᾶς σοφὸς καὶ νοῶν ἐκ τῆς αὐτοῦ σοφίας συλλαμβάνει τινὰ ἔννοιαν. Ἀλλ’ ὁ Υἱός ἐστι σοφὸς καὶ νοῶν, ὥσπερ καὶ ὁ Πατήρ. Συλλαμβάνει τι ἄρα. Σύλληψις δὲ τοῦ Πατρός ἐστιν ὁ Λόγος, ὅσπερ ἐστιν ὁ Υἱός. Ἄρα καὶ ὁ Υἱὸς ἔχει ἕτερον Υἱόν.

[9.9.7] Ὑπολαβὼν δὲ ἔφη, ὅτι ὁ λόγος λέγεται ἐν τοῖς θείοις, οὐχ ὅτι προσωπικῶς, ἀλλὰ καὶ οὐσιωδῶς· καὶ ταύτῃ ὁ λόγος οὐσιωδῶς λεγόμενος, δύναται εἶναι σύλληψις τοῦ Υἱοῦ. Ἀλλὰ τοὐναντίον· ὁ λόγος σημαίνει συνειλημμένον εἶδος, τεταγμένον πρὸς δήλωσιν τινός, καὶ οὕτως ἐμφαίνει τὴν κατὰ πρόοδον αἰτίαν. Ἃ δὲ ἐμφαίνει τὴν κατὰ πρόοδον αἰτίαν ἐν τοῖς θείοις, λέγονται προσωπικῶς, καὶ οὐκ οὐσιωδῶς. Ὁ λόγος ἄρα οὐσιωδῶς οὐ δύναται λέγεσθαι.

[9.9.8] Ἔτι, ὁ Ἄνσελμος φησὶν ἐν τῇ Μονολόγῳ ὅτι ὥσπερ ὁ Πατὴρ νοεῖ ἑαυτόν, οὕτω καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Ταυτὸν δέ ἐστι τὸ τὸν Πατέρα νοεῖν ἑαυτόν, τῷ τὸν Υἱὸν γεννᾶν, ὡς ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς φησίν. Ὁ Υἱὸς ἄρα γεννᾷ ἄλλον Υἱόν· ὡδὶ δὲ τὸ πρότερον.

[9.9.9] Ἄνευ δὲ τούτων, τὸ τὸν Θεὸν γεννᾶν ἀποδείκνυται ἐκ τοῦ τὴν γέννησιν τοῖς ἄλλοις ὀρέγειν, κατ’ ἐκεῖνο τὸ τοῦ Ἡσαΐου τελευταῖον μή· ὁ τὴν γέννησιν τοῖς ἄλλοις ἀποδιδοὺς ἄγονος ἔσομαι λέγει Κύριος. Ὥσπερ δὲ ὁ Πατὴρ τὴν γέννησιν παρέχεται, οὕτω καὶ ὁ Υἱός· ἀδιάκριτα γάρ εἰσὶ τὰ ἔργα τῆς Τριάδος. Ἄρα καὶ ὁ Υἱὸς γεννᾷ Υἱόν.

[9.9.10] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ πρὸς Ὀρσίσιον βιβλίῳ ὅτι ὁ Πατὴρ γεννᾷ τὸν Υἱὸν φύσει, ὅ τε Δαμασκηνός φησιν ὅτι ἡ γέννησίς ἐστιν ἔργον φύσεως. Ἡ αὐτὴ δέ ἐστι φύσις Πατρὸς καὶ Υἱοῦ. Ὥσπερ ἄρα ὁ Πατὴρ γεννᾷ, οὕτω καὶ ὁ Υἱός. Εἰσὶν ἄρα πλείους Υἱοὶ ἐν τοῖς θείοις. Καὶ ταύτῃ πρόσωπα, πλεῖν ἢ τρία.

**45-46** ὁ – Πνεῦμα] cf. Ans., Monol., cap. 62 (PL 158, col. 207C-208D). **50-51** κατ’ – Κύριος] cf. Is. 65, 23: ὅτι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ ἐστι, καὶ τὰ ἔκγονα αὐτῶν μετ᾽ αὐτῶν ἔσονται. **54-55** ὁ – φύσει] cf. Ps.-Aug., Dial. quest., q. 7 (PL40, col. 736). Volunlate genuit Pater Filium, an necessitate? RESP. Nec volunlate, nec necessitate: quia neeessitas in Deo non est: praeire autem voluntas sapientiam non potest, quod est Filius.

**50** μή] bis acc. P

**[9.9.11] Ἧ δ' ὅς ὅτι τούτῳ τῷ λόγῳ οὐ δύναται εἶναι πλείους Υἱοὶ ἐν τοῖς θείοις, ὅτι οὐ δύναται δεῦρο εἶναι εἰ μὴ μία υἱότης· ἡ γὰρ μορφὴ τοῦ ἑνὸς εἴδους, οὐ πληθύνεται εἰ μὴ τῇ διακρίσει τῆς ὕλης, ἣ οὐδεμία ἐστὶν ἐν τοῖς θείοις. Ἀλλ' ἀντιληπτέον τοῦ λόγου. Πᾶσα διαφορὰ πέφυκε ποιεῖν πλῆθος. Δύναται δὲ εἶναι διαφορά, μεταξὺ δύο υἱοτήτων, ἀλλὰ καὶ ἐκ τοῦ ταύτην μὲν τὴν υἱότητα εἶναι τοιάνδε, ἐκείνην δὲ τοιάνδε. Ἄρα οὐδὲν προσίσταται πλείους υἱότητας τιθέναι ἐν τοῖς θείοις, εἰ καὶ μὴ εἴη ἐκεῖ ὕλη.**

**[9.9.12] Παρὰ ταῦτα, ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρός, ὥσπερ ἀπαύγασμα ἀπὸ**
P 238r **τοῦ Ἡλίου, κατ' ἐκεῖνο τὸ πρῶτον | τῆς Πρὸς Ἑβραίους,** ὃς ὢν ἀπαύγασμα τῆς δόξης. **Ἀλλὰ τὸ ἀπαύγασμα δύναται ἄλλο ἀπαύγασμα ἀφιέναι. Ἄρα καὶ ὁ Υἱός, δύναται ἄλλον Υἱὸν γεννᾶν· καὶ ταύτῃ ἕπεται ἐν τοῖς θείοις εἶναι πλείους Υἱέας, καὶ πλείω πρόσωπα τῶν τριῶν.**

**[9.9.13] Ἔτι, τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἀγάπη, ᾗ ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν. Ἀλλὰ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀγαπᾷ ὁ Πατήρ. Ἀνάγκη ἄρα εἶναι ἄλλο ἅγιον Πνεῦμα, ᾧ ὁ Πατὴρ ἀγαπᾷ τὸ ἅγιον Πνεῦμα· καὶ ταύτῃ εἰσὶ τέσσαρα πρόσωπα ἐν τοῖς θείοις.**

**[9.9.14] Ἔτι, κατὰ τὸν Διονύσιον τὸ ἀγαθὸν ἐστὶ μεταδοτικὸν ἑαυτοῦ. Ἡ δ' ἀγαθότης τῷ ἁγίῳ Πνεύματι ἀφοσιοῦται, ὥσπερ ἡ δύναμις τῷ Πατρὶ καὶ ἡ σοφίᾳ τῷ Υἱῷ. Ἰδιαίτατα ἄρα τῷ Πνεύματι τῷ ἁγίῳ καθήκειν δοκεῖ τῷ τῆς θείας φύσεως ἑτέρῳ τρόπῳ κοινωνεῖν· καὶ ταύτῃ εἰσὶ πλείω τῶν τριῶν πρόσωπα ἐν τοῖς θείοις.**

**[9.9.15] Πρὸς δ' αὖ τούτοις, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά, τέλειον ἕκαστον ἐστίν, ἐπειδὰν δύνηται ὅμοιον ἑαυτῷ προάγειν. Τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ἔστι τέλειος Θεός. Δύναται ἄρα ἀφ' ἑαυτοῦ ἕτερον πρόσωπον προβάλλεσθαι.**

**[9.9.16] Ἔτι, ὁ Υἱὸς οὐ τελειώτερον ἕλκει τὴν φύσιν παρὰ τοῦ Πατρός, ἢ τὸ ἅγιον Πνεῦμα. Λαμβάνει δὲ ὁ Υἱὸς τὴν φύσιν παρὰ τοῦ Πατρός, οὐχ ὅπως παθητικῶς ὑποκατιόντες ἀποδείξομεν, ὡς ἀπ' αὐτοῦ γεγεννημένος, ἀλλὰ καὶ ἐνεργητικῶς, διὰ τὸ δύνασθαι τὴν αὐτὴν τῷ λόγῳ φύσιν καὶ ἑτέρῳ**

**67-68** κατ' – δόξης] Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. **75** κατὰ – ἑαυτοῦ] Ps.-Dion., De div. nom., cap. 4, n. 7 (PG 3, cols 701C-704A, Ritter pp. 150-151): Τοῦτο τἀγαθὸν ... διὰ τὴν ἀπ᾽ αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκείως ἑκάστῳ καλλονὴν ... **80-81** κατὰ – προάγειν] Ar., Metaph. IV.

**μεταδοῦναι. Ἄρα καὶ τὸ ἅγιον Πνεῦμα δύναται τῆς θείας φύσεως καὶ ἑτέρῳ κοινωνεῖν.**

**[9.9.17] Ἔτι, ὁτί ποτε τελειότητος ἐστὶν ἐν τοῖς κτιστοῖς οὖσιν, ἀπονενεμητέον ἐστὶ τῷ Θεῷ. Τὸ μεταδιδόναι δὲ τὴν φύσιν εἰς τὴν τελειότητα ἐν τοῖς κτιστοῖς οὖσι τελεῖ, εἰ καὶ ὁ τῆς μεταδόσεως τρόπος κέκτηταί τι ἀτελές, ἐφόσον τοιαύτη κοινωνία ἕπεται διαίρεσίς τις, ἢ ἀλοίωσις τοῦ γεννῶντος. Τὸ μεταδιδόναι τοίνυν τὴν θείαν φύσιν ἐν τῷ Θεῷ τελειότητος ἐστί· καὶ ταύτῃ τῷ Πνεύματι τῷ ἁγίῳ ἀποδοτέον ἐστίν. Ἐκπορεύεται τοίνυν παρὰ τοῦ Ἁγίου Πνεύματος θεῖον τι πρόσωπον καὶ οὕτως ἕπεται ἐν τοῖς θείοις εἶναι πρόσωπα πλείω τῶν τριῶν.**

**[9.9.18] Ἔτι, ὥσπερ ἡ θεότης ἔστι τι ἀγαθὸν ἐν τῷ Πατρί, οὕτω καὶ ἡ πατρότης. Ἐκ δὲ τοῦ μηδενὸς ἀγαθοῦ δύνασθαι εἶναι ἡδεῖαν τὴν κτῆσιν ἄνευ κοινωνίας, ἀποδείκνυται παρὰ τοῦ εἶναι πλείω τὰ ἔχοντα τὴν θείαν φύσιν. Τῷ ἴσῳ ἄρα λόγῳ εἰσὶ πλείους Πατέρες ἐν τοῖς θείοις· ὡς δὲ καὶ πλείους Υἱεῖς, καὶ πλείω Πνεύματα Ἅγια· καὶ ταύτῃ πρόσωπα πλεῖον ἢ τρία.**

**[9.9.19] Ἔτι, ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, διακρίνεσθαι δοκοῦσιν ἀπ᾽ ἀλλήλων, ἐν τῷ τὸν μὲν Υἱὸν προϊέναι ἀπὸ τοῦ Πατρός, τρόπῳ νοῦ ὡς Λόγον· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, τρόπῳ θελήσεως, ὡς ἀγάπην. Εἰσὶ δὲ πλείω τὰ ἀποδιδόμενα**
P 238v **κατ᾽ οὐσίαν | ἢ βούλησις καὶ νοῦς, ὡς ἡ ἀγαθότης, καὶ ἡ δύναμις, καὶ τὰ τοιάδε. Ἄρα πλείω πρόσωπα προΐασιν ἀπὸ τοῦ Πατρός, ἢ ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα.**

**[9.9.20] Αὖθις, ἡ πρόοδος τῆς φύσεως δοκεῖ πλείω διαφέρειν τῆς προόδου τοῦ νοῦ, ἢ ἡ πρόοδος τῆς θελήσεως. Ἐν γὰρ τοῖς κτιστοῖς πράγμασι τῆς προόδου τοῦ νοῦ, ἀεὶ μετέχει ἡ πρόοδος τῆς θελήσεως· οἱ γὰρ ὁτιοῦν νοοῦντες, καὶ ὁτιοῦν θέλουσι· τῇ δὲ προόδῳ τῆς φύσεως οὐκ ἀεὶ κοινωνεῖ ἡ πρόοδος τοῦ νοῦ· οὐ γὰρ ἐν πᾶσι τοῖς φυσικῶς γεννωμένοις, νοῦς εὑρίσκεται. Εἰ τοίνυν τὸ πρόσωπον τὸ προϊὸν τρόπῳ θελήσεως ὡς ἀγάπη ἔστιν, ἄλλο ἐν τοῖς θείοις τοῦ προσώπου τοῦ προϊόντος τρόπῳ νοὸς ὡς λόγος ἔσται· ἔτι τὸ πρόσωπον τὸ προϊὸν τρόπῳ νοὸς ὡς λόγος, ἕτερον τοῦ προσώπου τοῦ προϊόντος φύσει ὡς Υἱός. Εἰσὶ τοίνυν τρία πρόσωπα προϊόντα ἐν τοῖς θείοις· καὶ ἓν οὐ προϊόν, καὶ ταύτῃ τέσσαρα πρόσωπα.**

**115** προσώπου] πρόσωπον a. corr. P

[9.9.21] Ἔτι, τὰ πρόσωπα πληθύνονται ἐν τοῖς θείοις διὰ τὰς ὑφεστώσας ἀναφοράς. Τίθενται δὲ ἐν τοῖς θείοις πέντε γνωρίσματα ἀναφορικά, εἴτουν πατρότης, υἱότης, ἐκπόρευσις, ἀγεννησία, καὶ ἡ κοινὴ πνεῦσις. Εἰσὶν ἄρα πέντε πρόσωπα ἐν τοῖς θείοις.

[9.9.22] Ἔτι, αἱ ἐξ ἀιδίου λεγόμεναι ἀναφοραὶ περὶ Θεοῦ, οὐκ εἰσὶν ἐν τοῖς κτίσμασιν, ἀλλ' ἐν τῷ Θεῷ. Ὅτί ποτε δέ ἐστιν ἐν τῷ Θεῷ, ἔστιν ὑφεστῶς, οὐ γάρ ἐστί τι συμβεβηκὸς ἐν αὐτῷ. Πᾶσαι τοίνυν αἱ ἀναφοραὶ αἱ ἐξ ἀιδίου περὶ Θεοῦ λεγόμεναι, ὑφεστήκασι, καὶ κατὰ τὸ εἰκὸς εἰσὶ πρόσωπα. Τοιαῦται δέ εἰσιν ἄπειραι· αἱ γὰρ τῶν κτιστῶν πραγμάτων ἰδέαι, εἰσὶν ἐξ αἰῶνος ἐν τῷ Θεῷ, αἳ οὐ διακρίνονται ἀπ' ἀλλήλων, εἰ μὴ κατὰ ἀπόβλεψιν πρὸς τὰ κτίσματα. Εἰσὶν ἄρα ἄπειρα πρόσωπα ἐν τοῖς θείοις.

[9.9.23] Ἀλλὰ δεδόχθω ἐλάτω εἶναι τῶν τριῶν. Ἐν μιᾷ γὰρ φύσει οὔκουν, εἰ μὴ εἷς ἐστι τρόπος τῆς προόδου αὐτῆς τῆς φύσεως· ὅθεν κατὰ τὸ Ὑπόμνημα ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς λέγεται· τὰ ζῷα τὰ γεννώμενα ἐκ σπέρματος μὴ εἶναι τοῦ αὐτοῦ εἴδους τοῖς ἐκ σηπεδόνος φυομένοις. Ἡ θεία δὲ φύσις ἔστι μάλιστα μία. Οὐδενὶ ἄρα τρόπῳ δύναται μετέχεσθαι εἰ μὴ ἑνί. Ταύτῃ τοίνυν ἀδύνατον εἶναι εἰ μὴ δύο πρόσωπα μιᾶς θεότητος κοινωνοῦντα κατά τινα τρόπον, τότε παρεχόμενον καὶ τὸ κατ' ἐκεῖνον τὸν τρόπον τὴν θεότητα λαμβάνον.

[9.9.24] Ἔτι, ὁ Ἱλάριος ἐν τῷ Περὶ συνόδων βιβλίῳ, δείκνυσι τὸν Υἱὸν ἀπὸ τοῦ Πατρὸς φυσικῶς προϊόντα, διὰ τὸ τοιοῦτον εἶναι οἷος ὁ Θεὸς ἐστί· τὰ δὲ δημιουργήματα ἀπὸ τοῦ Θεοῦ προϊέναι θελήσει, διὰ τὸ τοιαῦτα εἶναι οἷα αὐτὰ ὁ Θεὸς ἠθέλησεν εἶναι, οὐχ οἷος ὁ Θεὸς ἐστίν. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ καὶ ὁ Υἱός, τοιοῦτον ἐστίν, οἷος καὶ ὁ Θεὸς καὶ Πατὴρ ἐστί. Τὸ Πνεῦμα
P 239r ἄρα τὸ ἅγιον πρόεισι | φυσικῶς ἀπὸ τοῦ Πατρός, ὥσπερ καὶ ὁ Υἱός. Οὐκ ἄρα ἐστὶ διάκρισις Πνεύματος Ἁγίου καὶ Υἱοῦ, ἐκ τοῦ τὸν μὲν Υἱὸν προϊέναι τρόπῳ φύσεως, οὐ μὴν δὲ καὶ τὸ ἅγιον Πνεῦμα.

[9.9.25] Ἐπὶ τούτοις, ἡ φύσις καὶ ἡ θέλησις καὶ ὁ νοῦς, οὐ διαλλάττουσιν ἐν τῷ Θεῷ, εἰ μὴ λόγῳ. Ἄρα ἡ τρόπῳ νοῦ πρόοδος καὶ θελήσεως οὐ διαφέρουσιν ἐν τῷ Θεῷ, εἰ μὴ ἐπινοίᾳ μόνον. Εἰ τοίνυν τούτῳ διακρίνονται ὁ Υἱὸς καὶ τὸ ἅγιον

**136-137** ὁ – ἐστί] Hilar., De syn., cap. 59 (PL 10, col. 520C): Filius autem natus ex Deo natus talis substitit, qualis et Deus est. Nec dissimilem sui edidit natura naturam : sed ex substantia Dei genitus naturae secundum originem attulit.

**Πνεῦμα, ὅτι ὁ μὲν Υἱὸς πρόεισι τρόπῳ φύσεως ἢ νοός, τὸ δ’ ἅγιον Πνεῦμα τρόπῳ θελήσεως, οὐκ ἔσονται διακεκριμένα, εἰ μὴ λόγῳ. Οὐκ ἄρα ἔσονται δύο πρόσωπα· τὸ γὰρ πλῆθος τῶν προσώπων, πλῆθος πραγμάτων ἐπιφέρεται.**

**[9.9.26] Ἔτι, τὰ πρόσωπα ἐν τοῖς θείοις διακρίνονται, μόνον ταῖς ἀναφοραῖς τῆς προόδου. Πρὸς δὲ τὸ ἀποδιδόναι τὴν πρόοδον, ἀποχρώντως ἔχουσιν αἱ δύο ἀναφοραί, εἴτουν, τὰ ἀφ’ οὗ ἄλλος, καὶ ὃς ἀπ’ ἄλλου. Ἐν τοῖς θείοις ἄρα οὐκ εἰσίν, εἰ μὴ δύο πρόσωπα.**

**[9.9.27] Ἔτι, πᾶσα ἀναφορά, ἀπαιτεῖ δύο ὅρους. Εἰ τοίνυν τὰ πρόσωπα μὴ διακρίνονται εἰ μὴ ἀναφορᾷ, ἀνάγκη εἶναι ἐν τοῖς θείοις, ἢ δύο ἀναφοράς, καὶ ταύτῃ ἔσονται τέσσαρα πρόσωπα, ἢ μία ἀναφορὰ μόνον, ᾡδὶ δὲ ἔσονται δύο πρόσωπα μόνον.**

**[9.9.28] Ἀλλ’ ἐκ τοῦ ἀνάπαλιν δοκεῖ εἶναι μόνον τρία πρόσωπα ἐν τοῖς θείοις, διὰ τοῦ λεγομένου ἐν τῇ πρώτῃ τοῦ Ἰωάννου ἐν τῷ τρίτῳ· τρεῖς εἰσὶν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ. Ἐρωτῶσι δὲ τί τρεῖς, ἀποκρίνεται ἡ ἐκκλησία, ὅτι τρία πρόσωπα, ὥς φησιν ὁ Αὐγουστῖνος, ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ. Ἐν τοῖς θείοις ἄρα εἰσὶ τρία πρόσωπα.**

**[9.9.29] Ἔτι, πρὸς τελειότητα τῆς θείας ἀγαθότητος, καὶ ὀλβιότητος, καὶ δόξης, δοκεῖ εἶναι ἐν τῷ Θεῷ ἀληθῆ καὶ τελείαν ἀγάπην· οὐδὲν γάρ ἐστι τῆς ἀγάπης βέλτιον,** οὐδὲν τῆς ἀγάπης τελεώτερον, **ὥς φησι Ῥικάρδος, ἐν τῷ Περὶ Τριάδος πρώτῳ.** Ἀγαθότης μὲν γὰρ οὐκ ἔστιν, ἄνευ τῆς τῶν οἰκείων μεταδόσεως, ὃ μάλιστα τῆς ἀγάπης ἐστὶν ἐξαίρετον. Ὀλβιότης δὲ ἄνευ ἡδονῆς οὐκ ἔστιν, ἣ μάλιστα διὰ τῆς ἀγάπης περιγίγνεται. Ὡς γὰρ ἐν τῷ αὐτῷ βιβλίῳ λέγεται, οὐδὲν τῆς ἀγάπης γλυκύτερον, οὐδὲν τῆς ἀγάπης ἡδύτερον· οὐδενὸς γλυκυτέρου πεπείραται, τῶν τῆς ἀγάπης ἐντρυφημάτων, ἡ λογικὴ ζωή· οὐδεμιᾶς ἀπολαύει τέρψεως τερπνότερον. **Ἡ τελειότης τε τῆς δόξης ἔν τινι μεγαλοπρεπείᾳ τελείας κοινωνίας συνέστηκεν, ἣν ἡ ἀγάπη ποιεῖ. Ἡ δ’ ἀληθὴς καὶ τελεία ἀγάπη, ζητεῖ τὸ τριαδικὸν τῶν προσώπων ἐν τοῖς θείοις. Ἡ μὲν γὰρ ἀγάπη ἥτίς ἑαυτὸν ἀγαπᾷ μόνον, ἔστιν ἀγάπη μερική, καὶ οὐκ ἀληθής.**

**160-161** διὰ – οὐρανῷ] Io. 5, 7: ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατήρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα. **161-162** Ἐρωτῶσι – ἑβδόμῳ] Aug., De Trin. VII, cap. 4, n. 7 (PL 42, col. 939): Sed cum quaeritur quid tres, respondemus tres homines nomine speciali eos pluraliter appellantes. **166-172** ὥς – τερπνότερον] Rich. S. Vict., De Trin. III, cap. 2 (PL 196, col. 916D): nihil enim – fruitur.

**167-168** Ἀγαθότης – ἐξαίρετον] deest Aq.

**Ἕτερον δὲ ὁ Θεὸς ἄκρως φιλεῖν οὐ δύναται, ὃς μὴ ἔστιν ἄκρως φίλιος· ἄκρως δὲ φίλιος εἶναι οὐ δύναται, εἰ μὴ ἄκρως εἴη ἀγαθός. Ὅθεν φαίνεται ὅτι ἡ** P 239v **ἀληθὴς ἐν τῷ Θεῷ | φιλία, ἄκρα εἶναι οὐ δύναται, εἰ εἴη ἐκεῖ ἓν μόνον πρόσωπον· οὐδὲ τελεία, εἰ εἶεν δύο μόνον· πρὸς γὰρ τὴν τῆς φιλίας τελειότητα ζητεῖται τὸ φιλούμενον παρ’ αὐτοῦ ἐθέλειν φιλεῖσθαι ἐκ τῆς ἴσης καὶ παρ’ ἄλλου. Κριτήριον γὰρ μεγίστης ἀσθενείας ἐστί, μὴ δύνασθαι ἀνέχεσθαι κοινωνίαν ἐπὶ τὸ φιλούμενον· τὸ δὲ δύνασθαι ὑπομένειν τεκμήριον μεγάλης μεγαλειότητος, ὡς ὁ Ῥικάρδος φησὶν ἐν τῷ αὐτῷ βιβλίῳ. Ἀνάγκη τοίνυν, εἰ ἔστιν ἐν τῷ Θεῷ τελειότης ἀγαθότητος, καὶ ὀλβιότητος καὶ δόξης, εἶναι ἐν τοῖς θείοις τὸ τριαδικὸν τῶν προσώπων.**

**[9.9.30] Ἔτι, τοῦ ἀγαθοῦ ὄντος μεταδοτικοῦ ἑαυτοῦ, ἡ τελειότης τῆς θείας ἀγαθότητος, ζητεῖ τὸ τὸν Θεὸν ἄκρως κοινωνεῖν τῷ ἑαυτοῦ. Εἰ δ’ εἴη ἓν πρόσωπον μόνον ἐν τοῖς θείοις, οὐκ ἂν ἄκρως κοινωνοίη τῆς ἑαυτοῦ ἀγαθότητος· τοῖς γὰρ κτίσμασιν, οὐκ ἄκρως κοινωνεῖ· οὐδ’ αὖ μόνον εἶεν δύο πρόσωπα, οὐκ ἂν τελείως κοινωνοῖντο τὰ θεῖα παιδικὰ τῶν ἀμοιβαίων ἱμέρων. Δεῖ ἄρα δεύτερον πρόσωπον, ᾧ τελείως μετέχεται ἡ θεῖα ἀγαθότης, καὶ τρίτον, ᾧ τελείως μετέχονται τῶν θείων ἱμέρων τὰ παιδικά.**

**[9.9.31] Ἔτι, πρὸς τὴν ἀγάπην, τρία ζητεῖται·** τὸ ἀγαπῶν, τοῦθ’ ὃ ἀγαπᾶται, καὶ αὐτὴ ἡ ἀγάπη**, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος ὀγδόῳ. Δύο δὲ ἐξ ἀμοιβῆς σφῶν αὐτῷ ἀγαπῶνται, εἰσὶ γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱός. Ἡ δ’ ἀγάπη ἥτις ἐστὶ σύνδεσμος αὐτῶν, ἔστι τὸ Πνεῦμα τὸ ἅγιον. Ἆρα εἰσὶ τρία πρόσωπα ἐν τοῖς θείοις.**

**[9.9.32] Ἔτι, ὡς ὁ Ῥικάρδος φησὶν ἐν τῷ Περὶ Τριάδος πέμπτῳ·** ἐν τοῖς ἀνθρωπείοις πράγμασιν, ὁρῶμεν πρόσωπον ἐκ προσώπου προϊόν, τρισὶ προσώποις· ἐνίοτε μὲν ἀμέσως μόνον, ὥσπερ ἡ Εὖα ἐκ τοῦ Ἀδάμ· ἐνίοτε ἐμμέσως μόνον· ὥσπερ ἐκ τοῦ Ἀδὰμ ὁ Ἐνώχ· ἐνίοτε δὲ ἀμέσως ὁμοῦ, καὶ ἐμμέσως, ὥσπερ ὁ Σὴθ ἐκ τοῦ Ἀδάμ· ἀμέσως μέν, ἐφόσον γέγονεν υἱὸς αὐτοῦ, ἐμμέσως δὲ ἐφόσον γέγονεν υἱὸς τῆς Εὔας, ἐκ τοῦ Ἀδὰμ προϊούσης**. Ἐν τοῖς θείοις δέ, οὐ δύναται πρόσωπον ἐκ προσώπου προϊέναι ἐμμέσως μόνον·**

**194-195** πρὸς – ὀγδόῳ] Aug., De Trin. IX, cap. 2, n. 2 (PL 42, col. 962): Tria ergo sunt: amans, et quod amatur, et amor. **199-204** ὡς – προϊούσης] Rich. S. Vict., De Trin. V, cap. 6 (PL 196, col. 952A-953D): in rebus – semine Evae.

**183-184** Magis – requirere] lacuna ca 21 P

οὐ γὰρ ἂν εἴη ἐκεῖ, γνησία ἡ υἱότης. Λείπεται ἄρα ἐν τοῖς θεῖοις εἶναι ἓν πρόσωπον, ὃ μὴ πρόεισιν ἀπ᾽ ἄλλου, εἴτουν τὸ τοῦ Πατρὸς πρόσωπον, ἀφ᾽ οὗ προΐασιν ἄλλα πρόσωπα· ἓν μὲν ἀμμέσως μόνον, δηλονότι ὁ Υἱός· ἄλλο δὲ ἐμμέσως ἅμα καὶ ἀμέσως, εἴτουν τὸ ἅγιον Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς καὶ μόνου ἐκπορευόμενον. Ἄρα ἔστιν ἐν τοῖς θείοις, τριὰς προσώπων.

[9.9.33] Ἔτι, μεταξὺ τοῦ διδόναι τὸ τῆς θεότητος πλήρωμα καὶ μὴ λαμβάνειν, καὶ λαμβάνειν καὶ μὴ διδόναι, μέσον ἐστὶ τὸ διδόναι καὶ λαμβάνειν. Τὸ διδόναι δὲ τὸ πλήρωμα τῆς θεότητος καὶ μὴ λαμβάνειν, ἀνήκει εἰς τὸ τοῦ Πατρὸς πρόσωπον· τὸ δὲ λαμβάνειν καὶ μὴ διδόναι, ἀναφέρεται εἰς τὸ τοῦ Πνεύματος. Ἀνάγκη ἄρα εἶναι καὶ τρίτον πρόσωπον, ὃ τὸ πλήρωμα τῆς θεότητος καὶ δίδωσι καὶ λαμβάνει· καὶ τοῦτ᾽ ἐστὶ τὸ τοῦ Υἱοῦ | πρόσωπον. Εἰσὶν ἄρα τρία πρόσωπα ἐν τοῖς θείοις.

[9.9.34] Ἀπόκρισις. Ῥητέον, ὅτι κατὰ τὴν τῶν αἱρετικῶν θέσιν, οὐδενὶ τρόπῳ
P 240r οἷόν τε τίθεσθαι ὡρισμένον προσώπων ἀριθμὸν ἐν τοῖς θείοις. Ἐφαντάσθη γὰρ Ἄρειος τὴν τῶν προσώπων Τριάδα, τούτῳ τῷ τρόπῳ· ὅτι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἰσὶ κτίσματα τινά· ὃ καὶ περὶ τοῦ Ἁγίου Πνεύματος καὶ Μακεδόνιος ἐγνωμάτευσεν. Ἡ δὲ τῶν δημιουργημάτων ἐκ Θεοῦ πρόοδος, οὐχ ὁρίζεται ἐξ ἀνάγκης ὡρισμένῳ ἀριθμῷ· ἡ θεία δύναμις ἐκ τῆς αὐτῆς ἀπειρίας, τοῦτ᾽ ἔχει τὸ πάντα τρόπον τῶν κτισμάτων, καὶ εἶδος καὶ φύσιν ὑπερβάλλεσθαι. Ὅθεν εἰ ὁ παντοδύναμος Θεὸς Πατήρ, δύο δεδημιούργηκε ὑπερφεστάτας δημιουργίας, ἃς φησὶν Ἄρειος εἶναι τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, οὐδὲν οἷον καὶ ἄλλας ἴσας ἢ καὶ μείζους δυνηθῆναι δημιουργῆσαι. Ὁ δὲ Σαβέλλιος τέθεικε τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα μὴ διακρίνεσθαι, ὅτι μὴ λόγῳ καὶ ὀνόματι· ἃ δοκεῖ καὶ ἐπ᾽ ἄπειρον δύνασθαι πληθύνεσθαι· ᾗ δὴ ὁ ἡμέτερος λόγος ἀπείροις τρόποις περὶ Θεοῦ διανοεῖσθαι δύναται, ἐκ τῶν ποικίλλων ἀποτελεσμάτων, καὶ διαφόρως ὀνομάζειν. Μόνη δὲ ἡ καθολικὴ πίστις ἡ τιθεῖσα φύσεως μονάδα ἐν τοῖς θείοις προσώποις πράγματι διακεκριμένοις τοῦ τριαδικοῦ ἀριθμοῦ, τὸν λόγον ἀποδιδόναι δύναται ἐν τοῖς θείοις. Ἀδύνατον γὰρ μίαν φύσιν ἁπλὴν εἶναι εἰ μὴ ἑνὶ ὥσπερ

**224** φύσιν] numerum Aq. (Prochoros legit naturam?)

**ἐν ἀρχῇ. Ὅθεν ὁ Ἱλάριος φησίν, ἐν τῷ Περὶ συνόδων βιβλίῳ·** ὁ ὁμολογῶν ἐν τοῖς θείοις δύο ἀγέννητα, ὁμολογεῖ δύο θεούς· **ἕνα γὰρ Θεὸν καταγγέλεσθαι ἡ φύσις τοῦ ἑνὸς ἀγεννήτου Θεοῦ ἀπαιτεῖ. Ἀμέλει καὶ τινὲς εἰρήκασι φιλόσοφοι, ὅτι ἐν τοῖς ἄνευ ὕλης πράγμασιν, οὐ δύνασθαι εἶναι πλῆθος, εἰ μὴ κατὰ πρόοδον. Μία γὰρ φύσις δύναται ἐν πλείοσιν εἶναι, ἐξ ἴσης τῇ διαιρέσει τῆς ὕλης, ἣ οὐκ ἔχει χώραν ἐν τῷ Θεῷ. Ὅθεν ἀδυνάτους ἐστὶ τιθέναι ἐν τοῖς θείοις, ὅτι μὴ πρόσωπον ἕνα ἀγέννητον ἀπ' ἄλλου μὴ προϊοῦ. Εἰ δ' ἄλλα προΐασιν ἀπ' αὐτοῦ, ἀνάγκη τοῦτο γίνεσθαι διά τινος ἐνεργείας. Οὐ δι' ἐνεργείας δὲ μεταβαινούσης, ἥτις ἔξω τοῦ ἐνεργοῦντος, ὥσπερ τὸ θέρειν, καὶ πρίειν, εἰσὶν ἐνέργειαι πυρὸς καὶ πρίονος, καὶ τὸ δημιουργεῖν αὐτοῦ τοῦ Θεοῦ· ὡδὶ γὰρ ἂν τὰ προϊόντα πρόσωπα εἴη, ἔξω τῆς θείας φύσεως. Λείπεται τοίνυν τὴν πρόοδον τῶν ἐν τῇ θείᾳ φύσει προσώπων μὴ εἶναι, εἰ μὴ κατὰ τὰς ἀπροΐτους ἐνεργείας εἰς τὰ ἐκτός, τὰς μενούσας ἐν τῷ ἐνεργοῦντι. Αὗται δὲ ἐν τῇ νοερᾷ φύσει εἰσὶ δύο μόνον, εἴτουν νοεῖν καὶ θέλειν. Καθ' ἑκατέρῳ δὲ τούτων, εὑρίσκεταί τι προϊόν, ἐπειδὰν τελειωθῶσιν. Αὐτὸ γὰρ τὸ νοεῖν, οὐ τελειοῦται, εἰ μή τι ἐν τῇ διανοίᾳ τοῦ νοοῦντος συλληφθείη, ὃ λέγεται λόγος·**
P 240v **οὐ γὰρ φαμὲν νοεῖν, ἀλλὰ διανοεῖσθαι πρὸς τὸ νοεῖν, πρὶν ἢ κατάληψιν | τινὰ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ ἐμπεπῆχθαι. Ὡς δὲ καὶ τὸ θέλειν αὐτό, τελειοῦται κατὰ τὴν ἀγάπην, τὴν ἀπὸ τοῦ ἀγαπῶντος διὰ τῆς θελήσεως προϊόντος· ἡ γὰρ ἀγάπη οὐδὲν ἄλλο ὂν τυγχάνει, ἢ ἕδρα τῆς θελήσεως ἐν τῷ θέλειν τῷ ἀγαθῷ. Ὁ μὲν οὖν δὴ λόγος καὶ ἡ θέλησις ἐν τοῖς κτιστοῖς, οὐκ εἰσὶ πρόσωπα ὑφεστῶτα ἐν τῇ νοούσῃ καὶ θελούσῃ φύσει. Τὸ γὰρ νοεῖν καὶ θέλειν τῆς κτίσεως, οὐκ ἔστι τὸ εἶναι αὐτῆς. Τῷ τοι καὶ ὁ Λόγος καὶ ἡ ἀγάπη εἰσὶν ἐπιγιγνόμενα τῇ νοούσῃ καὶ θελούσῃ κτίσει, ὥσπέρ τινα συμβεβηκότα. Ἐπεὶ δὲ ἐν τῷ Θεῷ ταυτὸν ἐστὶ τὸ εἶναι καὶ νοεῖν καὶ θέλειν, ἀναγκαῖον τὸν λόγον καὶ τὴν ἀγάπην ἐν τῷ Θεῷ μὴ συμβαίνειν, ἀλλ' ὑφεστάναι ἐν τῇ θείᾳ φύσει. Οὐκ ἔστι δὲ ἐν τῷ Θεῷ, εἰ μὴ ἓν ἁπλοῦν νοεῖν, καὶ ἕνα ἁπλοῦν θέλειν· νοῶν γὰρ τὴν αὐτοῦ οὐσίαν, νοεῖ πάντα· καὶ θέλων τὴν αὐτοῦ ἀγαθότητα, θέλει πάνθ' ὅσα θέλει. Οὔκουν ἔστιν ἄρα εἰ μὴ εἷς λόγος, καὶ μία ἐν τοῖς θείοις ἀγάπη. Εἰ μέντοι τοῦ νοεῖν καὶ θέλειν τάξις, ἄλλη ἔχει ἔν τε τῷ Θεῷ καὶ ἡμῖν.**

**235-236** ὁ – θεούς] Hilar., De syn., cap. 26 (PL 10, col. 521A): Si quis innascibilem et sine initio dicat Filium ; tamquam duo sine principio et duo innascibilia et duo innata dicens, duos faciat deos : anathema sit.

Ἡμεῖς μὲν γὰρ τὴν νοερὰν κατάληψιν ἐκ τῶν ἔξωθεν πραγμάτων ἀναιρούμεθα· διὰ δὲ τῆς ἡμετέρας θελήσεως εἴς τι τῶν ἐκτὸς τείνομεν, ὥσπερ εἰς τέλος. Καὶ διατοῦτο τὸ μὲν ἡμέτερον νοεῖν ἔστι κατὰ τὴν κίνησιν ἀπὸ τῶν πραγμάτων εἰς τὴν ψυχήν· τὸ δὲ θέλειν κατὰ τὴν κίνησιν ἀπὸ τῆς ψυχῆς εἰς τὰ πράγματα. Ὁ δὲ Θεός, οὐκ ἴσχει τὴν ἐπιστήμην ἀπὸ τῶν ὄντων, ἀλλὰ διὰ τῆς ἰδίας ἐπιστήμης, δημιουργεῖ τὰ ὄντα· οὐδὲ διὰ τῆς αὐτοῦ θελήσεως εἴς τι τῶν ἔξωθεν ὥσπερ εἰς τέλος τείνει, ἀλλὰ πάντα τὰ ἔξωθεν εἰς ἑαυτὸν ὥσπερ εἰς τέλος τάττει. Ἔστι τοίνυν ὡς μὲν ἐν τῷ Θεῷ, ὡς δ' ἐν ἡμῖν κύκλος τις ἐν ταῖς τοῦ νοὸς καὶ τῆς θελήσεως ἐνεργείαις· ἡ γὰρ θέλησις ἐπάνεισιν εἰς τοῦτ' ἀφ' οὗ γέγονεν ἀρχὴ τοῦ νοεῖν· ἀλλ' ἐν μὲν ἡμῖν ὁ κύκλος συνάπτει, πρὸς τοῦθ' ὅπέρ ἐστιν ἔξω· τὸ γὰρ ἔξωθεν ἀγαθὸν κινεῖ τὸν νοῦν τὸν ἡμέτερον, ὁ δὲ νοῦς κινεῖ τὴν θέλησιν, ἡ δὲ θέλησις περιΐσταται διὰ τῆς ὀρέξεως καὶ τῆς ἀγάπης εἰς τὸ ἐξωτερικὸν ἀγαθόν· ἀλλ' οὗτος ὁ κῦκλος ἐν τῷ Θεῷ συμπεραίνεται ἐν ἑαυτῷ. Ὁ γὰρ Θεὸς ἑαυτὸν νοῶν, συλλαμβάνει τὸν λόγον αὐτοῦ, ὅς ἐστι λόγος πάντων τῶν νοουμένων δι' αὐτοῦ· διατοῦτο καὶ πάντα νοεῖ νοῶν ἑαυτόν· ἐκ δὲ τούτου τοῦ λόγου, πρόεισιν εἰς τὴν ἀγάπην πάντων καὶ ἑαυτοῦ. Ὅθεν καί τις εἴρηκε· μόνος μονάδα γεγέννηκε, καὶ εἰς ἑαυτὸν κύπτει τὸν ἑαυτοῦ ἔρωτα. Τοῦ κύκλου δὲ συμμίξαντος, οὐδὲν περαιτέρω παρατεθῆναι οἷόν τε· καὶ διατοῦτο οὐ δύναται τρίτη πρόοδος ἕπεσθαι ἐν τῇ θείᾳ φύσει, ἀλλ' ἕπεται περαιτέρω πρόοδος τὴν ἐξωτερικὴν φύσιν. Ταύτῃ τοίνυν ἀνάγκη ἐν τοῖς θείοις εἶναι πρόσωπον ἓν μόνον μὴ προϊόν, καὶ δύο μόνον πρόσωπα προϊόντα· ὧν θάτερον μὲν πρόεισιν ὡς ἀγάπη, θάτερον δὲ ὡς λόγος· καὶ ταύτῃ | ἔστιν ἐν
P 241r τοῖς θείοις τριαδικὸς προσώπων ἀριθμός. Οὗ δὴ εἰκὼν ἐν τοῖς κτιστοῖς φαίνεται τριχῇ· πρῶτον μὲν ὥσπερ τὸ ἀποτέλεσμα ἐμφαίνει τὴν αἰτίαν· τούτῳ τῷ τρόπῳ ἡ ἀρχὴ τῆς ὅλης θεότητος, δηλονότι ὁ Πατήρ, ἐμφαίνεται διὰ τοῦ ὄντος ἀρχῆς ἐν τῇ κτίσει, δηλαδὴ καθὸ ἐστὶν ἐν ἑαυτῷ μία ὑφεστῶσα· ὁ δὲ Λόγος διὰ τοῦ εἴδους οὑτινοσοῦν δημιουργήματος· ἐν γὰρ τοῖς διὰ νοῦ γινομένοις τὸ εἶδος τοῦ ἀποτελέσματος ἔκ τινος ἐννοίας τοῦ νοοῦντος ἀπορρεῖ· ἡ δὲ ἀγάπη ἐν τῇ τάξει τῆς δημιουργίας. Ἐκ γὰρ τοῦ τὸν Θεὸν ἀγαπᾶν ἑαυτόν, πάντα τάξει τινὶ εἰς ἑαυτὸν ἐπιστρέφει· καὶ διατοῦτο αὕτη ἡ ὁμοιότης λέγεται ἴχνους, ὅπερ ἐμφαίνει τὸν πόδα, ὥσπερ τὸ ἀποτέλεσμα τὴν αἰτίαν.

**282** παρατεθῆναι] παρατεθεῖναι P

**Ἑτέρῳ τρόπῳ κατὰ τὸν αὐτὸν λόγον τῆς ἐνεργείας· καὶ ταύτῃ σκιαγραφεῖται ἐν τῇ λογικῇ φύσει μόνον, ᾗ δύναται ἑαυτὴν νοεῖν καὶ ἀγαπᾶν, ὥσπερ καὶ ὁ Θεός, καὶ ταύτῃ τὸν λόγον αὐτοῦ καὶ τὴν ἀγάπην λέγεται προβάλλεσθαι, καὶ τοῦτο λέγεται ὁμοιότης φυσικῆς εἰκόνος· ταῦτα γὰρ εἰκόνα τινῶν φέρουσιν, ἃ τὸ ὅμοιον εἶδος προτείνονται. Τρίτῳ τρόπῳ κατὰ τὴν ἕνωσιν τοῦ ἀντικειμένου, ἐφόσον ἡ λογικὴ κτίσις νοεῖ καὶ ἀγαπᾷ τὸν Θεόν· καὶ τοῦτο ἐστὶν ἑνώσεως συμμόρφωσις, ᾗ ἐν μόνοις εὑρίσκεται τοῖς ἁγίοις, οἳ ταυτὸ νοοῦσι καὶ ἀγαποῦσιν ὅπερ ὁ Θεός. Τῆς μὲν οὖν πρώτης ὁμοιότητος πέρι, ἐν τῷ ἑνδεκάτῳ λέγεται τοῦ Ἰώβ· τάχά που** ἴχνη **Θεοῦ κατειλήφεις. Περὶ δὲ τῆς δευτέρας ἐν τῷ πρώτῳ τῆς Γενέσεως·** ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν**· καὶ τόδε λέγεται πλάσεως εἰκών. Περὶ δὲ τοῦ τρίτου, ἐν τῇ δευτέρᾳ τῆς Πρὸς Κορινθίους ἐν τῷ δευτέρῳ,** πάντες ἀνακεκαλυμένῳ προσώπῳ τὴν δόξαν **τοῦ Θεοῦ ἐν**οπτριζόμε**θα,** τὴν αὐτὴν εἰκόνα μεταμορφούμε**νοι· καὶ τόδε λέγεται εἰκὼν ἀναπλάσεως.**

**[9.9.35] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, διατοῦτο φησὶν ὁ Αὐγουστῖνος, μὴ δεῖν λέγειν** ὅτι ὁ Υἱὸς οὐκ ἠδυνήθη γεννῆσαι, ἀλλ' ὅτι οὐκ ἔδει**· διὰ τὸ μὴ ἐξ ἀδυναμίας εἶναι τοῦ Υἱοῦ τὸ μὴ γεγεννηκέναι, τοῦθ' ὃ φησὶν οὐκ ἐδυνήθη ληφθήσεται στερητικῶς, καὶ οὐχ ἁπλῶς ἀποφατικῶς· ὃ δὲ φησὶν οὐκ ἔδει δηλοῖ ἕψεσθαί τι ἄτοπον, εἰ ὁ Υἱὸς ἄλλον Υἱὸν γεννῴν· ὃ δὴ ἄτοπον, ἐκ τεττάρων δύναται θεωρηθῆναι. Πρῶτον μὲν οὖν ὅτι τοῦ Υἱοῦ ἐν τοῖς θείοις προϊόντος ὡς Λόγου, ἣν ὁ Υἱὸς Υἱὸν γεννᾷ, ἕψεται ἐν τῷ Θεῷ Λόγον ἐκ Λόγου προϊέναι· ὅπερ οὐχ οἷόν τε εἶναι εἰ μὴ ἐν τῷ ζητητικῷ καὶ μεταβατικῷ λόγῳ, ἐν ᾧ Λόγος ἐκ Λόγου πρόεισιν, ἡνίκα τῇ καταλήψει τῆς μιᾶς ἀληθείας, εἰς ἄλλην θεωρίαν προΐειμεν· ὃ μηδενὶ τρόπῳ ἐπιβάλλοι τῇ τελειότητι καὶ ἁπλότητι τοῦ θείου νοῦ, ὃς ἐπιβολῇ μιᾷ πάνθ' ὁμοῦ καθορᾷ. Δεύτερον, ὅτι τὸ δι' οὗ ἀτομίζεταί τι καὶ ἀμέθεκτον γίνεται, ἀδύνατόν ἐστι πολλοῖς εἶναι κοινόν.**
P 241v **Τοῦτο γὰρ δι' οὗ ὁ Σωκράτης ἔστι τόδέ τι οὐ δύναται | νοεῖσθαι πλείοσιν ἓν**

**304-305** ἐν – κατειλήφεις] Iob 11, 7: ἦ ἴχνος Κυρίου εὑρήσεις ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ Παντοκράτωρ; **304-306** ἐν – εἰκών] Gen. 1, 26: καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. **306-308** ἐν – μεταμορφούμενοι] II Cor. 3, 18: ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. **310-311** ὁ – ἔδει] vide in apparatu fontium [9.9.1].4-6.

εἶναι. Διάτοι τοῦτο εἰ ἡ υἱότης ἐν τοῖς θείοις πλείοσιν ἐπιβάλλοι, οὐκ ἂν εἴη ἡ υἱότης ποιητικὴ τῆς ἀμεθεξίας τοῦ προσώπου τοῦ Υἱοῦ· ὡδὶ δὲ δεήσῃ τὸν Υἱὸν ἄτομον πρόσωπον γίνεσθαι, διά τινος τῶν ἀπολελυμένων· ὃ τῷ ἑνιαίῳ τῆς θείας οὐσίας, οὐκ οἰκείως ἔχει. Τρίτον, ὅτι οὐδὲν ἓν κατὰ τὸ εἶδος ὂν δύναται κατὰ τὸν ἀριθμὸν πληθλυνεσθαι ὅτι μὴ τῷ λόγῳ τῆς ὕλης· καὶ τούτῳ τῷ λόγῳ ἐν τοῖς θείοις οὐχ οἷόν τε εἶναι εἰ μὴ μίαν οὐσίαν· ἡ γὰρ θεῖα οὐσία, ἔστιν ἄυλος τῷ παντί. Εἰ δ’ εἶεν πλείους Υἱοί, ἐν τοῖς θείοις δεήσῃ εἶναι καὶ πλείους υἱότητας· καὶ ταύτῃ δεήσῃ κατὰ τὴν ὑποκειμένην ὕλην πληθύνεσθαι· ὃ τῇ θείᾳ ἀυλότητι, ἀπρόσφορόν ἐστι. Τέταρτον, ὅτι ὁ Υἱὸς λέγεται ὁστισοῦν ἐκ τοῦ φυσικῶς προϊέναι· ἡ δὲ φύσις πρὸς ἓν ἔχει ὡρισμένως εἰ μὴ κατὰ συμβεβηκὸς ἀπό του φυσικῶς πολλὰ προέλθοι, διὰ τὴν τῆς ὕλης διαίρεσιν· καὶ διατοῦτο ἔνθα ἐστὶ πάντῃ ἄυλος φύσις, ἀνάγκη ἕνα μόνον Υἱὸν εἶναι.

[9.9.36] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι διχῇ δύναται εἶναι φύσεως τινός· ἑνὶ μὲν τρόπῳ, καθὸ ἁπλῶς θεωρεῖται· καὶ ταύτῃ ἀναγκαῖον τὰ τινὶ φύσει διαφέροντα ἐπιβάλλειν πᾶσι τοῖς ὑποκειμένοις τῆς αὐτῆς φύσεως· ᾗ δὴ προσήκει καὶ τῇ θείᾳ φύσει τὸ εἶναι παντοδύναμον, δημιουργόν, καὶ τὰ ἄλλα τὰ τοιάδε, τὰ προσήκοντα τοῖς τρισὶ προσώποις. Ἑτέρῳ τρόπῳ τείνει τι εἰς φύσιν, καθὸ θεωρεῖται ἔν τινι ἑνὶ ὑποκειμένῳ· καὶ ταύτῃ οὐκ ἀνάγκη τὸ προσῆκον προσήκειν ὁτωοῦν ὑποκειμένῳ τῆς αὐτῆς φύσεως· ὥσπερ γὰρ ἡ τοῦ γένους φύσις ἔχει τι ἐν ἑνὶ εἴδει ὃ ἄλλο εἴδη οὐ διαφέρει, καθάπερ ἕπονται τῇ αἰσθητικῇ φύσει τινὰ ἐν τῷ ἀνθρώπῳ, ἃ μὴ ἔστιν ἐν τοῖς ἀλόγοις ζῴοις, οἷον τὸ ἔχειν ἁφὴν κρείττω καὶ ἀναμιμνήσκεσθαι καὶ ὅσα τοιαδί, οὕτω καὶ τῇ φύσει τοῦ εἴδους προσήκει τι ἐν ἑνὶ ἀτόμῳ, ὃ μὴ προσήκει ἄλλῳ ἀτόμῳ τοῦ αὐτοῦ εἴδους· ὥσπερ ἔνδηλον τῇ ἀνθρωπείᾳ φύσει, καθὸ γὰρ γέγονεν ἐν τῷ Ἀδὰμ προσήκει τὸ μὴ ληφθῆναι διὰ γεννήσεως φυσικῆς, ὃ τέως ἐν τοῖς ἄλλοις ἀτόμοις τῆς ἀνθρωπείας φύσεως οὐχ εὑρίσκεσθαι δύναται· καὶ κατὰ τοῦτον τὸν τρόπον τὸ δύνασθαι γεννᾶν προσήκει τῇ θείᾳ φύσει, ᾗ δέ ἐστιν ἐν τῷ τοῦ Πατρὸς προσώπῳ· ὃ δῆλον ἐκ τοῦ τὸν Πατέρα μὴ

γίνεσθαι πρόσωπον ἀμέθεκτον, εἰ μὴ ἐκ αὐτῆς τῆς πατρότητος, ἣ ἐπιβάλλει αὐτῷ, καθὸ γεννᾷ· καὶ διατοῦτο οὐχ ἕπεται τὸν Υἱὸν δύνασθαι γεννᾶν, εἰ καὶ εἴη τέλειον ὑποκείμενον τῆς θείας φύσεως.

[9.9.37] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ καὶ ὁ Πατὴρ δύναται γεννᾶν, οὔκουν γε μὴν καὶ ὁ Υἱός· ἡ αὐτὴ μέντοι δύναμις ἐστὶ Πατρὸς καὶ Υἱοῦ, δι’ ἧς καὶ ὁ Πατὴρ γεννᾷ καὶ ὁ Υἱὸς γεννᾶται. Ἡ γὰρ δύναμις ἀπολελευμένον τί ἐστιν· οὗ εἵνεκεν οὐδὲ διακρίνεται ἐν τοῖς θείοις, ὥσπερ οὐδ’ ἡ ἀγαθότης, οὐδέτι τῶν οὕτω λεγομένων. Τὸ | γεννᾶν δὲ καὶ τὸ γεννᾶσθαι, οὐ σημαίνει τι ἀπολελυμένον ἐν τοῖς θείοις, ἀλλ’ ἀναφοράν. Αἱ δὲ ἀντικείμεναι ἀναφοραί, ἐν ἑνὶ καὶ τῷ αὐτῷ συνίασιν ἐν τοῖς θείοις, καὶ οὐ διαιροῦσιν αὐτό· καθὸ καὶ μία οὐσία ἐστὶν ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὅθεν οὐδὲ ἡ δύναμις διακρίνεται ἐν τοῖς θείοις, καθὸ δὴ ἐστὶ πρὸς τὸ γεννᾶν καὶ γεννᾶσθαι. Οὐδὲ γὰρ ἐν τοῖς κτιστοῖς καθ’ ὁποιανοῦν ἀντικειμένων διάκρισιν ἡ δύναμις διακρίνεται, ἀλλὰ διὰ τῆς εἰδικῆς τῶν
P 242r ἀντικειμένων διαφορᾶς τῆς καὶ ἐν τῷ γένει λαμβανομένης· ὥσπερ ἡ ὀπτικὴ δύναμις οὐ διακρίνεται διὰ τοῦ ὁρᾶν ἄνθρωπον καὶ ὁρᾶν ὄνον, αὕτη γὰρ ἡ διαφορὰ οὐκ ἔστι τοῦ αἰσθητικοῦ ἐφόσον ἐστὶν αἰσθητικόν· ὡς δὲ κἂν τοῖς θείοις τὸ ἀπολελυμένον διὰ τῆς ἀναφορᾶς οὐ διακρίνονται.

[9.9.38] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἐν πάσῃ ἐνεργείᾳ, ἣ πρόεσιν ἀπὸ τοῦ ἐνεργοῦντος εἴς τι πρᾶγμα ἐξωτερικόν, ζητεῖται ἄλλη ἀρχὴ ἐν τῷ ποιοῦντι, δι’ ἧς ἐστὶ ποιοῦν, καὶ ἄλλη ἐν τῷ πάσχοντι, δι’ ἧς ἐστὶ πάσχον. Ἐν τῇ ἀνεκφοιτήτῳ δὲ ἐνεργείᾳ εἰς ἐξωτερικὸν πρᾶγμα, ἀλλὰ μενούσῃ ἐν τῷ ἐνεργοῦντι, οὐ ζητεῖται εἰ μὴ ἐνεργείας ἀρχή· ὥσπερ ἐν τῷ θέλειν ζητεῖται μία ἀρχὴ ἐκ τοῦ μέρους τοῦ θέλοντος, δι’ ἧς δύναται θέλειν. Ἐν μὲν οὖν τοῖς κτιστοῖς, ἔστιν ἡ γέννησις κατὰ τὴν μεταβατικὴν ἐνέργειαν εἰς ἐξωτερικὸν πρᾶγμα· ὅθεν ἀνάγκη εἶναι ἄλλην ἐν τῷ γεννῶντι δύναμιν ποιητικήν, καὶ ἄλλην παθητικὴν ἐν τῷ γεννωμένῳ. Ἡ δὲ θεῖα γέννησις θεωρεῖται κατὰ τὴν ἐνέργειαν, οὐ τὴν εἰς ἄλλο μὲν ἐξωτερικὸν μεταβαίνουσαν, ἀλλὰ τὴν ἔνδον μένουσαν· εἴτουν κατὰ τὴν τοῦ Λόγου σύλληψιν. Ὅθεν οὐκ ἀνάγκη ἄλλην εἶναι δύναμιν ἐνεργητικὴν ἐν τῷ Πατρί, καὶ ἄλλην παθητικὴν ἐν τῷ Υἱῷ.

**[9.9.39] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ θέρμη καὶ ἡ ξερότης ᾗ δὴ ἐν σφίσιν αὐτοῖς θεωροῦνται, εἰσὶ ποιότητές τινες, δύνανται μέντοι λέγεσθαι δυνάμεις, διὰ τὸ εἶναι ἐνεργειῶν τινῶν ἀρχαί· ὅθεν δῆλον ὅτι καὶ εἰ ἡ πρώτη ῥίζα καὶ πόρρω, ἥτις ἐστὶ τὸ ὑποκείμενον, ἔστι μία, ἡ προσεχὴς ὅμως ῥίζα, ἥτίς ἐστι ποιότης, οὐκ ἔστι μία.**

**[9.9.40] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὥσπερ ὁ Πατὴρ ἔστι Θεὸς γεννῶν, ὁ δὲ Υἱὸς γεννητός· οὕτω ῥητέον ὅτι ὁ Πατὴρ ἐστὶ σοφός, ὡς συλλαμβάνων Λόγον, ὁ δὲ Υἱός ἐστι σοφός, ὡς Λόγος συλληφθείς. Ὁ γὰρ Υἱὸς καθὸ ἐστὶ Λόγος, ἔστι τις κυοφορία σοφοσοῦ. Ἀλλ' ἐπεὶ ὅτί ποτέ ἐστιν ἐν τῷ Θεῷ ἔστι Θεός, ἀνάγκη αὐτὴν τὴν κυοφορίαν τοῦ σοφοῦ εἶναι Θεόν, καὶ σοφόν, καὶ δυνατόν, καὶ ὅτί ποτε ἐπιβάλλει τῷ Θεῷ.**

**[9.9.41] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ Λόγος ἐν τοῖς θείοις, οὐ δύναται λέγεσθαι εἰ μὴ προσωπικῶς, εἰ ἰδίως λαμβάνοιτο. Οὐδεμία γὰρ ἄλλη πρόοδος ἐν τοῖς θείοις εἶναι δύναται, εἰ μὴ ἄυλος, ᾗ προσήκει τῇ νοερᾷ φύσει, οἷα ἐστὶν** P 242v **ἡ πρόοδος τοῦ Λόγου καὶ τῆς ἀγάπης· ὅθεν εἰ ἡ πρόοδος τοῦ Λόγου καὶ | τῆς ἀγάπης οὐκ αὐταρκοῦσι πρὸς μυσταγωγίαν τῆς προσωπικῆς διακρίσεως, οὐδεμία δυνήσεται εἶναι προσωπικὴ διάκρισις ἐν τοῖς θείοις. Ὅθεν καὶ ὁ Ἰωάννης, ὡς μὲν ἐν τοῖς προιμίοις τοῦ κατ'αυτὸν Εὐαγγελίου, ὡς δὲ κἂν τῇ πρώτῃ κανονικῇ αὐτοῦ, τῷ ὀνόματι τοῦ Λόγου ἀντὶ τοῦ Υἱοῦ χρῆται· οὐδὲ ἔστιν ἄλλως περὶ τῶν θείων διαλεκτέον, ἢ ἡ Ἱερὰ Γραφὴ ὑφηγεῖται.**

**[9.9.42] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ λέγειν, δύναται διχῇ λαμβάνεσθαι· ἑνὶ μὲν τρόπῳ ἰδίως, καθὸ τὸ λέγειν ταυτό ἐστι τῷ λόγον συλλαμβάνειν· καὶ ταύτῃ φησὶν ὁ Αὐγουστῖνος, ἐν τῷ Περὶ Τριάδος ἑβδόμῳ·** οὐχ ἕκαστα λέγουσιν ἐν τοῖς θείοις, ἀλλὰ μόνος ὁ Πατὴρ ἐστὶ λέγων**. Ἑτέρῳ τρόπῳ κοινῶς, καθὸ τὸ λέγειν, οὐδὲν ἄλλο ὂν τυγχάνει ἢ νοεῖν· ὥσπερ ὁ Ἄνσελμος φησίν· οὐ μόνον ὁ Πατὴρ ἐστὶ λέγων, ἀλλὰ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα· πλὴν εἰ καὶ εἰσὶ τρεῖς λέγοντες, ἔστι μέντοι εἷς μόνος Λόγος, ὅσπέρ ἐστιν Υἱός· μόνος γὰρ ὁ Υἱὸς ἔστι σύλληψις τοῦ Πατρός, νοοῦντος καὶ συλλαμβάνοντος τὸν λόγον.**

**403-404** ὁ – λέγων] Aug., De Trin. VII, cap. 1, n. 1 (PL 42, col. 933): ille non singulus potens vel sapiens, sed cum ipsa virtute atque sapientia quam genuit; sicut non singulus dicens.

[9.9.43] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι οὐχ ἕπεται εἶναι γέννησιν ἐν τοῖς θείοις ἐκ μόνου τοῦ νέμειν γέννησιν τοῖς ἄλλοις, ὥσπερ αἰτία ποιητική· δι' ἴσου γὰρ λόγου ἕψεται ἐν τῷ Θεῷ εἶναι κίνησιν, διὰ τὸ διδόναι κίνησιν τοῖς ἄλλοις. Ἕπεται δὲ εἶναι γέννησιν ἐν τῷ Θεῷ, διὰ τὸ παρέχεσθαι τοῖς ἄλλοις γέννησιν ὡς αἰτία ποιητικὴ καὶ παραδειγματική· ὁ δὲ Πατὴρ ἐστὶν ἀρχέτυπον γεννήσεως, ὡς γεννῶν· ὁ δὲ Υἱός, ὡς γεννώμενος· ὅθεν οὐ δεῖ γεννᾶν.

[9.9.44] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἡ γέννησίς ἐστιν ἔργον τῆς νέας φύσεως, καθὸ ἐστὶν ἐν τῷ προσώπῳ τοῦ Πατρός, ὡς ἐν τοῖς φθάσασιν εἴρηται· ὅθεν οὐκ ἀνάγκη διαφέρειν τῷ Υἱῷ.

[9.9.45] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἐπεὶ ἡ υἱότης ἔστιν ἀναφορὰ ἑπομένη ὡρισμένου τρόπου προόδου, εἴτουν τῇ οὔσῃ τῷ τρόπῳ τῆς φύσεως, ἀδύνατόν ἐστιν υἱότητα υἱότητος διαφέρειν διαφορᾷ εἰδικῇ· εἰ μὴ τάχ' ἴσως κατὰ τὴν τῶν φύσεων διαφοράν, τῶν διὰ τῆς γεννήσεως μετεχομένων, ᾗ δὴ δύναται λέγεσθαι ἄλλο εἶδος υἱότητος εἶναι, ᾧ οὑτοσὶν ὁ ἄνθρωπος ἔστιν υἱός, καὶ ᾧ οὑτοσὶν ἵππος ἐστὶν υἱός. Ἐν τοῖς θείοις δὲ οὐκ ἔστιν εἰ μὴ μία φύσις· ὅθεν οὐ δύναται ἐκεῖ πολλαὶ υἱότητες εἴδη διαφέρουσαι· φαίνεται δέ, μὴ δὲ ὑλικῶς. Καὶ ταύτῃ φαίνεται μίαν ἐκεῖ εἶναι υἱότητα μόνον, ἑνὸς υἱοῦ.

[9.9.46] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἓν ἀπαύγασμα ἐξ ἄλλου ἀπαυγάσματος πρόεισιν, ἐκ τοῦ τὸ φῶς διακρίνεσθαι ἄλλο ὑποκείμενον· ἐξ οὗ δὴ δῆλον γίνεσθαι τῇ διαιρέσει τῆς ὕλης, ἣ μὴ ἔστιν ἐν τοῖς θείοις.

[9.9.47] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἕκαστον ἐπεραστόν ἐστιν, ἐφόσον ἐστὶν ἀγαθόν· ὅθεν μιᾶς καὶ τῆς αὐτῆς οὔσης ἀγαθότητος Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, τῇ αὐτῇ ἀγάπῃ, ἥτίς ἐστι τὸ ἅγιον Πνεῦμα, ὁ Πατὴρ ἀγαπᾷ ἑαυτόν, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, καὶ ὅλην τὴν κτίσιν· ὥσπερ τῷ αὐτῷ λόγῳ, ὃς ἐστιν Υἱός, λέγει ἑαυτὸν καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, καὶ ὅλην τὴν κτίσιν.

P 243r [9.9.48] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ | ἀγαθότης ἐστὶ τὸ πρὸς ὃ περαίνεται ἡ ἐνέργεια τοῦ ζῶντος ἡ μένουσα ἐν τῷ ἐνεργοῦντι. Πρῶτον μὲν γὰρ νοεῖταί τι ὡς ἀληθές, καὶ οὕτως ἐφεξῆς ποθεῖται ὡς ἀγαθόν· καὶ ἐνταῦθα

καταλύει καὶ ἠρεμεῖ ἡ ἔνδον ἐνέργεια, καθάπερ εἰς τέλος. Ἐντεῦθεν δὲ ἄρασα ἡ πρόοδος τῆς ἐνεργείας πρὸς τὰ ἔξω μεταχωρεῖ, ἐκ γὰρ τοῦ ποθεῖν καὶ φιλεῖν προτεθεωρημένον ὡς ἀγαθόν, διανίσταται πραγματεύεσθαι ἐν τοῖς ἔξω διατοῦτο. Ὅθεν ἐκ τοῦ τὴν ἀγαθότητι ἐξαιρεῖν τῷ ἁγίῳ Πνεύματι καθηκόντως, καὶ καθηκόντως ἀξιοῦσθαι δύναται, τὴν πρόοδον τῶν θείων προσώπων ἐπέκεινα μὴ ἐκτείνεσθαι. Ἀλλὰ κατὰ τὸ ἑπόμενον εἶναι τὴν πρόοδον τῶν κτισμάτων, ἥτίς ἐστιν ἔξω τῆς θείας φύσεως.

[9.9.49] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ὑπὲρ πάσας τὰς γραμμάς, ἡ περιφερής γραμμὴ τελειοτέρα ἐστίν, ἅπερ δὴ μὴ δεχομένη προσθήκην. Ὅθεν τοῦτ’ αὐτὸ πρὸς τελειότητα τοῦ Ἁγίου Πνεύματος ἥκει, τὸ τῇ αὐτοῦ προόδῳ, ὡσανεὶ τινὰ κῦκλον τῆς θείας προόδου πέρας ἐπιτιθέναι, ὡς περαιτέρῳ ἤδη προστίθεσθαι μὴ δύνασθαι, ὡς προδεδείχαμεν.

[9.9.50] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἐν τῷ λαμβάνειν ἢ μεταδιδόναι τὴν θείαν φύσιν, οὐ θεωρεῖται διαφορά, εἰ μὴ κατὰ μόνας τὰς ἀναφοράς· ἣ δὴ διαφορά, ἀνισότητα τελειότητος καθιστάναι οὐ δύναται· ὡς γὰρ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Εἰς Μάξιμον στηλιτευτικῷ· ἐπειδὰν ζητεῖται τίς ἔκ τινος ἐστί, τὸ ἐκ τίνος ἐστὶ προόδου, οὐκ ἰσότητος, οὐδὲ ἀνισότητος.

[9.9.51] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ὥσπερ τὸ μεταδιδόναι τὴν θείαν φύσιν, τελειότης ἐστὶ Πατρὸς καὶ Υἱοῦ, οὕτω καὶ τὸ λαμβάνειν τὴν μεταδοθεῖσαν, τελειότης ἐστὶ τοῦ Ἁγίου Πνεύματος· καὶ ἑκατέρα τελειότης οὐ διαφέρει τῇ ποσότητι, ἀλλὰ τῇ ἀναφορᾷ, ἥτις ἀνισότητα, οὐ καθίστησιν, ὡς εἴρηται.

[9.9.52] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι τοῦτο καθὸ πρόσωπόν τι ἔστιν ἀκοινώνητον, οὐ δύναται εἶναι πολλοῖς κοινόν, ὡς ὑπείπομεν. Ὅθεν ἡ μετουσία ἐν αὐτῷ οὐκ ἂν γῆθος ἐμποιοῖ, ἀλλὰ καθαίρεσιν τῆς διακρίσεως τῶν προσώπων. Ὅθεν εἰ ὁ Πατὴρ εἶχεν ἑταῖρον ἐν τῇ πατρότητι, σύγχυσις ἠκολούθησεν ἂν τῶν προσώπων· ὁ δ’ αὐτός ἐστι λόγος υἱότητός τε περὶ καὶ ἐκπορεύσεως.

**452-454** ὡς – ἀνισότητος] Aug., Cont. Max. II, cap. 18.3: Originis enim quaestio est: Quis de quo sit; aequalitatis autem: Qualis aut quantus sit.

**446** ἡ περιφερής] ὑπεριφερὴς P (linea circularis Aq.)

**[9.9.53] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι αἱ ἄλλαι ἀποδόσεις οὐκ ἔχουσιν ἐνέργειαν ἐνδοτερικήν, καθὸ δύναται πρόοδος θείου προσώπου θεωρεῖσθαι, ὥσπερ ὁ νοῦς καὶ ἡ θέλησις.**

**[9.9.54] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ἡ πρόοδος τῆς φύσεως καὶ τοῦ νοῦ, συνίασιν ἐν τούτῳ, ὅτι ἐν ἑκατέρᾳ προόδῳ πρόεισιν ἓν ἀφ' ἑνός, καὶ ὡς ὅμοιον τοῦ ἀφ' οὗ πρόεισιν. Ἡ δὲ ἀγάπη πρόεισι κατὰ τὴν θέλησιν ἐκ δυοῖν ἀμοιβαδὸν ἄλληλα φιλούντων. Οὐκ ἔχει δὲ ἐκ τοῦ ἀνάγκη εἶναι, εἶναι ἐμφέρεια τοῦ ἀγα|πῶντος· καὶ διατοῦτο ἐν τοῖς θείοις πρόεισι ταυτό, τρόπῳ φύσεως καὶ νοῦ, εἴτουν ὡς Υἱὸς καὶ Λόγος· ἀλλ' ἕτερον ἐστὶ πρόσωπον τὸ προϊὸν τρόπῳ θελήσεως ὡς ἀγάπη.**

**[9.9.55] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, εἰ καὶ εἰσὶ πέντε γνωριστικὰ ἐν τοῖς θείοις, εἰσὶ μέντοιγε τρεῖς μόναι ἰδιότητες προσωπικαί, ποιοῦσαι τὰ πρόσωπα. Καὶ διατοῦτο εἰσὶ τρία μόνον πρόσωπα.**

P 243v **[9.9.56] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι οἱ λόγοι τῶν ἰδεῶν εἰσὶ τοῦ Θεοῦ πρὸς τοῦθ' ὅ ἐστιν ἔξω, εἴτουν πρὸς τὰ κτίσματα· τῷ τοι καὶ διὰ τούτων, οὐ διακρίνονται θεῖα πρόσωπα.**

**[9.9.57] Δεῖ δὲ λοιπὸν ἀποκρίνασθαι καὶ πρὸς τοὺς λογισμούς, οἷς συνεπεραίνετο εἶναι πρόσωπα ἐν τῷ Θεῷ ἐλλάττω τῶν τριῶν.**

**[9.9.58] Ὧν πρὸς τὸ πρῶτον λεκτέον, ὅτι ἓν ἡτινιοῦν φύσει κτιστῇ εὑρίσκονται πολλοὶ προόδων τρόποι, οὐ μέντοι καθ' οἱονδήποτε αὐτῶν μεταλαμβάνεται ἡ φύσις τοῦ εἴδους· καὶ τοῦδε αἴτιον τὸ τῆς κτιστῆς φύσεως ἀτελές, ἐν ᾗ μὴ ὑφέστηκεν ὅτί ποτέ ἐστιν ἐν αὐτῇ· ὥσπερ ὁ τοῦ ἀνθρώπου λόγος ὁ προϊὼν ἀπ' αὐτοῦ, οὐκ ἔστι τι ὑφεστῶς, οὐδ' αὖ ἡ ἀγάπη ἡ προϊοῦσα ἐκ τῆς θελήσεως τοῦ ἀνθρώπου. Ἀλλ' ὁ γεννώμενος υἱὸς διὰ τῆς τῆς φύσεως ἐνεργείας, ἔστιν ὑφεστῶς ἐν τῇ ἀνθρωπίνῃ φύσει· καὶ διατοῦτο ἔστιν εἷς μόνος τρόπος, ᾧ ἡ φύσις μεταλαμβάνεται, εἶναι ἐν αὐτῷ πλείους εἰσὶ τρόποι προόδων. Ἀλλ' ἐν τῷ Θεῷ ἔστιν ὑφεστῶς, ὅτί ποτέ ἐστιν ἐν αὐτῷ· καὶ διατοῦτο καθ' ὁντιναοῦν προόδου τρόπον μεταλαμβάνεται ἡ φύσις ἐν τοῖς θείοις.**

**486** ἐν ᾗ] ἐνὶ P (in qua Aq.)

[9.9.59] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οὐδὲν ἐμποδὼν γίνεται, φυσικῶς προϊέναι τι καὶ ἀπὸ τῆς θελήσεως· καὶ γὰρ καὶ ἡ ἀνθρωπεία θέλησις, φαίνεταί τινος φυσικῶς εἵποι τῆς εὐδαιμονίας καὶ ἀληθείας τῆς καταλήψεως, καὶ διατοῦτο οὐδὲν προσίσταται μὴ καὶ τὸ Ἅγιον Πνεῦμα φυσικῶς προϊέναι παρὰ Πατρὸς καὶ Υἱοῦ, εἰ καὶ πρόεισι τρόπῳ θελήσεως.

[9.9.60] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι εἰ καὶ ἡ θέλησις καὶ ὁ νοῦς μηδὲν διαφέροιεν ἐν τῷ Θεῷ, εἰ μὴ τῷ λόγῳ, δεῖ μέντοι τὸ προϊὸν τρόπῳ νοῦ πράγματι διακρίνεσθαι τοῦ προϊόντος τρόπῳ θελήσεως. Καὶ γὰρ ὁ μὲν προϊὼν τρόπος, νοῦ Λόγος, πρόεισιν ἀφ᾽ ἑνὸς μόνον ὥσπερ ἀπολέγοντος· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ὃ πρόεισι τρόπῳ θελήσεως ὡς ἀγάπη, ἀνάγκη προϊέναι ἐκ δύο ἀμοιβαῖα ἄλληλα φιλούντων καὶ ἀντεχομένων, ἢ ἐκλέγοντος, καὶ τοῦ λόγου· οὐδὲν γὰρ ἀγαπᾶσθαι οἷόν τε, οὗ τινος ὁ λόγος ἐν τῷ μὴ προλαμβάνεται. Καὶ διατοῦτο ἀνάγκη τὸ προϊὸν τρόπῳ θελήσεως, εἶναι ἀπὸ τοῦ προϊόντος τρόπου νοῦ, καὶ κατὰ τὸ εἰκὸς διακρίνεσθαι ἀπ᾽ αὐτοῦ.

[9.9.61] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ ἀπ᾽ ἄλλου ἐν τοῖς θείοις, διχῇ δύναται
P 244r λέγεσθαι· εἴτουν δίκην λόγου, | ἢ δίκην ἀγάπης· καὶ διατοῦτο τὸ ἀπ᾽ ἄλλου ᾗ δὴ κοινῇ λέγεται, οὐχ ἅλις ἔχει πρὸς τὸ ποιεῖν πρόσωπον ἀμέθεκτον, ἀλλὰ καθὸ μόνον ἰδίως λαμβάνεται.

[9.9.62] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν τοῖς θείοις, εἰσὶ δ᾽ ἀναφοραί· οὔκουν γε μὴν δύο· ἀλλὰ μόνον τρεῖς ἐξ αὐτῶν εἰσὶ προσωπικαί· ἡ γὰρ μία αὐτῶν, εἴτουν ἡ κοινὴ πνεῦσις, οὐκ ἔστιν ἰδιότης προσωπική, κοινὴ οὖσα ἀμφοῖν τοῖν προσώποιν· καὶ διατοῦτο οὐκ εἰσὶν ἐν τοῖς θείοις ὅτι μὴ τρία πρόσωπα.

[9.9.63] Τοῖς δὲ λοιποῖς λογισμοῖς συμβαίνομεν.

## Βιβλίον δέκατον

## Κεφάλαιον πρῶτον

### Πότερον ἔστι πρόοδος ἐν τοῖς θείοις προσώποις ἢ οὔ.

[10.1.1] Ἡ ζήτησις ἐστὶ τῆς προόδου πέρι τῶν θείων προσώπων. Καὶ δὲ πρῶτον ζητεῖται, πότερον ἔστι πρόοδος ἐν τοῖς θείοις προσώποις. Καὶ δοκεῖ μή. Πᾶν γὰρ τὸ προϊὸν ἀπ' ἄλλου, διίσταται ἀπ' αὐτοῦ. Τῶν δὲ θείων προσώπων οὐκ ἔστι τι διάλειμμα ἀπ' ἀλλήλων. Φησὶ γὰρ ὁ Υἱὸς ἐν τῷ τετάρτῳ τοῦ Κατὰ Ἰωάννην· ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. Τὸ δ' αὐτὸ καὶ περὶ τοῦ Ἁγίου Πνεύματος δύναται λέγεσθαι, ὅτι δηλαδὴ ἔστιν ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ ἀνάπαλιν. Ἐν τοῖς θείοις ἄρα πρόσωπον οὐ πρόεισιν ἀπ' ἄλλου προσώπου.

[10.1.2] Ἔτι, οὐδὲν τῶν εἰς κίνησιν φερόντων ἀποδοτέον ἰδίως ἐστὶ τῷ Θεῷ, ὥσπερ οὐδέτι τῶν ὕλην προστριβομένων. Ἡ πρόοδος δὲ ἐμφαίνει τινὰ κίνησιν. Οὐκ ἄρα ἰδίως δύναται λέγεται κατὰ τοῦ Θεοῦ.

[10.1.3] Ἔτι, πᾶν τὸ προϊὸν προεπινοεῖται τῆς προόδου· τὸ γὰρ προϊόν, ἐστὶν ὑποκείμενον τῆς προόδου. Ἀλλ' ἐν τοῖς θείοις οὐ δύναταί τι προϊέναι, προεπινοουμένης τῆς προόδου· ἡ θεία γὰρ οὐσία οὐκ ἐκπορεύεται, ὥσπερ οὐδὲ γεννᾶται· ἡ δ' ἀναφορὰ οὐ προεπινοεῖται τῆς προόδου, ἀλλ' ἡ πρόοδος τῆς ἀναφορᾶς, ὡς ἤδη εἴρηται. Οὐκ ἄρα εἶναι δύναται πρόοδος ἐν τοῖς θείοις.

[10.1.4] Ἔτι, πᾶν τὸ προϊόν, ὥσπερ πρόεισιν ἀπ' ἄλλου, οὕτως ἀνάγκη προϊέναι εἰς ἄλλο. Ὃ δὲ εἰς ἄλλο πρόεισιν, οὐκ ἔστι καθ' αὐτὸ ὑφεστώς. Ἐπεὶ τοίνυν τὰ θεῖα πρόσωπά ἐστι καθ' αὐτὰ ὑφεστῶτα, οὐ δοκεῖ προσήκειν αὐτοῖς τὸ προϊέναι.

[10.1.5] Χωρὶς δὲ τούτων, ἐπεὶ τὰ κρείττω τῶν δημιουργημάτων εἰσὶ τῷ Θεῷ καὶ ὁμοιότερα, ὅ τί ποτε εὑρίσκεται ἐν τοῖς ὑποβεβηκόσι δημιουργήμασιν, μὴ εὑρισκόμενον ἐν τοῖς ὑπερκειμένοις, οὐδὲ ἐν τῷ Θεῷ εὑρίσκεται· ὥσπερ | ἡ
P 244v διαστηματικὴ ποσότης, ἡ ὕλη, καὶ τὰ ὁμόστοιχα. Πρόοδος δὲ εὑρίσκεται ἐν τοῖς ὑφειμένοις κτίσμασιν, ἐν οἷς ἓν ἄτομον γεννᾷ ἄλλο τοῦ αὐτοῦ εἴδους. Ὅπερ οὐ συμβαίνει τοῖς ὑπερκειμένοις κτίσμασιν. Οὐδ' ἄρα ἐν τῷ Θεῷ πρόοδος εὑρίσκεται.

**7-8** φησὶ – ἐμοί] Ιο. 14, 10: οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ·ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα.

**6** μή] bis acc. P

[10.1.6] Ἔτι, ὃ λυμαίνεται τῇ θείᾳ ἀξίᾳ, οὐδενὶ τρόπῳ ἐξαιρετέον ἐστὶ τῷ Θεῷ. Ἐν τούτῳ δὲ μάλιστα θεωρεῖται τὸ τοῦ Θεοῦ ἀξίωμα, ὅτι ἐστὶ πρώτη αἰτία τοῦ δημιουργεῖν, μὴ ἔχουσα ἀπ' ἄλλου τὸ εἶναι, ᾧ δοκεῖ ἀντιφέρεσθαι ἡ πρόοδος· πᾶν γὰρ τὸ προϊὸν ἀμηγέπη, ἔστιν ἀπ' ἄλλου. Οὐκ ἄρα δεῖ λέγειν εἶναι τι προϊὸν ἐν τοῖς θείοις.

[10.1.7] Ἔτι, πρόσωπόν ἐστιν ὑπόστασις, ἰδιότητι διακεκριμένον, εἰς ἀξίαν τεινούσῃ. Τὸ λαμβάνειν δὲ παρ' ἄλλου, ὃ ἡ πρόοδος δηλοῖ, οὐ δοκεῖ εἰς ἀξίαν Τείνειν. Οὐκ ἄρα δεῖ πρόοδον ἀποδιδόναι τοῖς θείοις προσώποις, ὥσπερ τινὰ προσωπικὴν ἰδιότητα.

[10.1.8] Ἔτι, τοῦτο ἀφ' οὗ ἄλλο πρόεισιν, ἀνάγκη εἶναι αἰτίαν τούτου. Ἀλλ' ἓν πρόσωπον, οὐ δύναται εἶναι αἰτία ἄλλου· ἡ ἐνδοτερικὴ δηλαδή, ἢ ἡ εἰδικὴ ὕλη, ἐπεὶ ἐν τοῖς θείοις μὴ ἔστι σύνθεσις ὕλης καὶ εἴδους· οὐδ' αὖ ἐξωτερικὴ αἰτία, ἐφόσον ἓν πρόσωπον ἐνυπάρχει τῷ ἄλλῳ. Ἄρα ἐστὶ πρόοδος ἐν τοῖς θείοις.

[10.1.9] Ἔτι, πᾶν τὸ προϊόν, πρόεισιν ἀπ' ἄλλου, ὥσπερ ἀπ' ἀρχῆς. Ἓν δὲ πρόσωπον, ἀδύνατον λέγεσθαι ἄλλου ἀρχήν, διὰ τὸ τὴν ἀρχὴν πρὸς τὸ ἠργμένον λέγεσθαι· ὃ δοκεῖ μόνοις τοῖς κτίσμασι καθήκειν. Οὐκ ἄρα ἔστι πρόοδος ἐν τοῖς θείοις.

[10.1.10] Ἔτι, τὸ ὄνομα τῆς ἀρχῆς ἐκ τῆς προκατάρξεως εἰλῆφθαι δοκεῖ. Ἀλλ' ἐν τοῖς θείοις προσώποις, οὐδὲν εἶναι δοκεῖ πρότερον καὶ ὕστερον, ὡς ὁ Ἀθανάσιος ὑπαγορεύει. Οὐκ ἔστιν ἄρα πρόσωπον ἓν ἄλλου προσώπου ἀρχή· καὶ ταύτῃ οὐ χρεὼν λέγειν μίαν προϊέναι ἀπ' ἄλλης.

[10.1.11] Ἄνευ δὲ τούτων, πᾶσα ἀρχὴ ἔστι δραστική, ἢ ποιητική. Ἀλλὰ τὸ πρόσωπον οὐκ ἔστι ποιητικόν, οὐδὲ δραστικὸν ἄλλου, ἐπεὶ ἐν τοῖς θείοις προσώποις ἔστι τι πεποιημένον, ἢ δεδημιουργημένον. Τὸ θεῖον ἄρα πρόσωπον, οὐκ ἔχει ἀρχήν, οὐδὲ πρόεισιν.

[10.1.12] Ἔτι, ἐπειδὰν ᾖ ἄλλο ἀπ' ἄλλου προϊὸν προσήκειν εἶναί τι κοινὸν ἀμφοῖν, ὃ δηλαδὴ τὸ προϊὸν μεταλαγχάνει ἐκ τοῦ προβάλλοντος, καὶ ἄλλο ἴδιον, καθὸ τὸ προϊὸν διέσταλται ἀπὸ τοῦ προβάλλοντος· οὐδὲν γὰρ πρόεισιν ἀφ' ἑαυτοῦ. Ἔνθα δέ ἐστι τὸ τὶ καὶ τί, ἔστι σύνθεσις δεῦρο. Ἔνθα ἄρα ἔστι πρόοδος, ἔστιν ἐκεῖ σύνθεσις. Ἐν τοῖς θείοις δὲ οὐκ ἔστι σύνθεσις. Οὐδ' ἄρα πρόοδος.

**48-49** ἐν – ὑπαγορεύει] Symb. Fid.

[10.1.13] Ἔτι, πᾶν τὸ προϊὸν ἀπ' ἄλλου, λαμβάνει τι ἀπὸ τούτου. Ὃ δὴ λαμβάνει τι, ἐστὶν ὑποδεοῦς φύσεως· εἰ γὰρ μὴ στέροιτο, οὐκ ἂν λαμβάνοι· P 245r διὸ κἀν τοῖς φυσικοῖς πράγμασι, τὸ δεκτικὸν ἀποδίδοται | τῇ ὕλῃ. Πᾶν ἄρα τὸ προϊόν, ἔστιν ἐλλιποῦς φύσεως. Ἐν τοῖς θείοις δὲ οὐκ ἔστι τις στέρησις, ἀλλ' ἄκρα τελειότης. Οὐκ ἄρα ἔστιν ἐκεῖ πρόοδος.

[10.1.14] Ἀλλ' ἔλεγεν, ὅτι ἐπειδὰν μὲν προϋπάρχει τὸ λαμβάνον τῆς λήψεως, ἔστιν ἐπιδεές· ἡνίκα γὰρ λαμβάνει, ἤδη ἔχει, καὶ ἔστιν ἀπροσδεές· ὁ Υἱὸς δὲ καὶ τὸ ἅγιον Πνεῦμα, λαμβάνουσι μὲν ἀπὸ τοῦ Θεοῦ καὶ Πατρός, οὐ μέντοι προϋπάρχουσι τῆς λήψεως· καὶ ταύτῃ οὐδεμία ἔστιν ἐν αὐτοῖς ἔνδεα. Ἀλλὰ τοὐναντίον, ὁτιοῦν κτίσμα ἔστιν ὑποδεοῦς φύσεως, καὶ ὅμως οὐ πρεσβεύει τῆς λήψεως, ᾗ λαμβάνει τὸ εἶναι παρὰ Θεοῦ. Οὐ τοίνυν ἀπείργει τὴν ἔνδειαν τοῦ λαμβάνοντος, τὸ μὴ πρότερον εἶναι τῆς λήψεως.

[10.1.15] Παρὰ ταῦτα, πᾶν ὃ μὴ ἔχει τι, εἰ μὴ καθὸ λαμβάνει τοῦτο παρ' ἄλλου καθ' αὐτὸ θεωρούμενον, στέρεται τοῦτο· ὥσπερ ὁ ἀὴρ στέρεται τοῦ φωτός, ὃ παρ' ἄλλου ὑποδέχεται. Εἰ τοίνυν ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα μὴ ἔχοι τὸ εἶναι, εἰ μὴ καθὸ λαμβάνουσι παρὰ τοῦ Πατρός, ὃ χρὴ λέγειν εἰ παρὰ τοῦ Πατρὸς προΐασιν, ἀναγκαῖον ἐν ἑαυτοῖς θεωρεῖσθαι, μηδὲν ὄντα. Ὃ δὲ ἀφ' ἑαυτοῦ θεωρούμενον ἔστιν οὐδέν, εἰ ἔχει τὸ εἶναι ἀπ' ἄλλου, ἀνάγκη ἐκ τοῦ μηδενὸς εἶναι, ὡδὶ δὲ εἶναι κτίσμα. Εἰ τοίνυν ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα προΐασιν ἀπὸ τοῦ Πατρός, ἀνάγκη εἶναι κτίσματα· ὃ τῆς Ἀρειανικῆς ἀσεβείας ἐστίν. Οὐκ ἄρα ἔστι πρόοδος ἐν τοῖς θείοις προσώποις.

[10.1.16] Πρὸς τούτοις, ὃ πρόεισιν ἀπ' ἄλλου, πρόεισιν ἐφ ᾧ εἶναι. Ὧ δὲ πρόεισιν ἐφ ᾧ εἶναι, οὐκ ἀεὶ ἦν· ὥσπερ τὸ προϊὸν οὐκ ἀεὶ γέγονεν ἐν τῷ τόπῳ ἐκείνῳ. Τὰ θεῖα δὲ πρόσωπα, εἰσὶν αἰώνια. Οὐδὲν ἄρα πρόσωπον θεῖον πρόεισιν.

[10.1.17] Ἔτι, ἡ ἀρχὴ ἀφ' ἧς τὸ πρόεισιν, εἰς τινὰ αὐτοκρατορίαν ἀποσκοποῦσιν εἰς τὸ ἀπ' αὐτῆς προϊόν. Εἰ τοίνυν τὶ θεῖον πρόσωπον πρόεισιν ἀπ' ἄλλου ὡς φέρε εἰπεῖν ὁ Υἱὸς ἢ τὸ Πνεῦμα ἀπὸ τοῦ Πατρός, ἀνάγκη εἶναί τινα αὐτοκρατορίαν ἐν τῷ Πατρὶ προσέχουσι τὸν νοῦν τῷ Υἱεῖ καὶ τῷ ἁγίῳ Πνεύματι· καὶ ταύτῃ, ἐπεὶ ἡ αὐτοκρατορία ἔστι τις ἀξία, ἔσταί τις ἀξία ἐν τῷ Πνεύματι· ὃ μὴ ἔστιν ἐν τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι· ὡδὶ δὲ ἔσται ἀνισότης

**68** καὶ] bis acc. P

**ἐν τοῖς θείοις προσώποις· ὅπέρ ἐστι πολέμιον τῷ Ἀθανασίῳ, ἀξιοῦν τι** μηδὲν εἶναι ἐν τῇ Τριάδι πρότερον, μηδὲν εἶναι ὕστερον, μηδὲν μεῖζον, ἢ μεῖον**· ἀλλ’** ὅλα τὰ τρία πρόσωπα συναΐδια ἀλλήλοις εἶναι καὶ ἴσα**. Οὐκ ἄρα ἔστι πρόοδος ἐν τοῖς θείοις.**

**[10.1.18] Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ Υἱοῦ λεγόμενον, ἐν τῷ τοῦ Ἰωάννου ὀγδόῳ·** ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον**, καὶ ἦλθον εἰς τὸν κόσμον.**

**[10.1.19] Ἔτι, ἐν τῷ τοῦ Ἰωάννου πεντεκαιδεκάτῳ λέγεται,** τὸ Πνεῦμα τῆς
P 245v ἀληθείας, ὃ παρὰ | τοῦ Πατρὸς ἐκπορεύεται**.**

**[10.1.20] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡ νοερὰ γνῶσις ἐν ἡμῖν, ἴσχει τὴν ἀρχήν, ἐκ τῆς φαντασίας καὶ τῆς αἰσθήσεως, αἳ περαιτέρω τοῦ συνεχοῦς ποσοῦ οὐ προΐασι· διά τοι τοῦτο καὶ ἐκ τῶν ὄντων τοῦ συνεχοῦς ποσοῦ, μεταλαμβάνομεν τὰ ὀνόματα ἐπὶ τὰ διὰ νοῦ καταληπτά· ὥσπερ φαίνεται, ἐν τῷ τῆς διαστάσεως ὀνόματι, ἣ πρῶτον εὑρίσκεται ἐπὶ τοῦ τόπου, κἀντεῦθεν μεταφέρεται πρὸς ἡντιναοῦν διαφορὰν εἰδῶν· τοιγάρτοι καὶ πάντα τὰ ἐν τῷ αὐτῷ γένει** ἐναντία **λέγονται μάλιστα διεστάναι, εἰ καὶ ἡ** διάστ**ασις πρῶτον εὑρίσκεται ἐν τῷ ποῦ, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Παραπλησίως δέ, καὶ τὸ τῶν προόδων ὄνομα· πρῶτον μὲν εὔρηται πρὸς τὸ δηλοῦν τὴν κατὰ τόπον κίνησιν, καθό τι, μετὰ τοῦ τεταγμένου ἀφ’ ἑνὸς τόπου, διὰ τῶν μεταξὺ βάδην εἰς τὸ πέρας ἀπαντᾷ· ἐντεῦθεν δὲ μεταλαμβάνεται πρὸς τὸ δηλοῦν πᾶν ἐν ᾧ τάξει ἐστὶν ἑνὸς ἀπ’ ἄλλου, ἢ μετὰ ἄλλο· κἀντεῦθεν ἐν πάσῃ κινήσει χρώμεθα τῷ τῆς προόδου ὀνόματι· ὥσπερ τὸ σῶμα λέγομεν προϊέναι ἐκ τῆς λευκότητος ἐπὶ τὴν μελανίαν, καὶ ἐκ σμικρᾶς πηλικότητος ἐπὶ τὴν μεγάλην, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· καὶ ἀνάπαλιν, ὡς δὲ τῷ τῆς προόδου χρώμεθα ὀνόματι, καὶ ᾗ ἐστὶν ἔκβλυσις τινὸς ἀπ’ ἄλλου· ὥσπερ τὴν ἀκτῖνα φαμὲν προϊέναι ἀπὸ τοῦ ἡλίου, καὶ πᾶσαν ἀπὸ τοῦ ἐνεργοῦντος ἐνέργειαν, καὶ ἔτι τὸ γεγενημένον, ὥσπερ τὸ τεχνητὸν ἀπὸ τοῦ τεχνήτου, ἢ τὸ γεγεννημένον ἀπὸ τοῦ γεννῶντος· καὶ ὡς ἔπος εἰπεῖν, πᾶσαν**

**91-93** μηδὲν – ἴσα] Symb. Fid. **95-96** τὸ – κόσμον] Io. 8, 42: εἶπεν οὖν αὐτοῖς ὁ ᾿Ιησοῦς˙ εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ˙ ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω˙ οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε. **97-98** ἐν – ἐκπορεύεται] Io. 15, 26: ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. **105-108** πάντα – φυσικά] Ar., Metaph. X, 1055a9-10: τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, ὥστε καὶ τὸ τῶν ἐναντίω.

**98** Hic post ἐκπορεύεται Aq. habet: Est ergo processio in divinis personis.

τὴν τοιάνδε τάξιν τῇ τῆς προόδου προσηγορίᾳ σημαίνομεν. Ἔστι δὲ δισσὸν τὸ εἶδος τῆς ἐνεργείας· ἡ μὲν μεταβαίνουσα ἀπὸ τοῦ ἐνεργοῦντος εἴς τι τῶν ἐκτός, ὥσπερ ἡ θέρμανσις ἀπὸ τοῦ πυρὸς ἐς τὰ ξύλα, ἣ μὴ δὲ τοῦ ἐνεργοῦντος ἐστὶ τελειότης, ἀλλὰ τοῦ ἐνεργουμένου· οὐδὲ γὰρ περιγίνεταί τι τῷ πυρὶ ἐκ τοῦ θέρειν· ἀλλὰ τῷ θερομένῳ, ἡ θέρμη. Ἄλλη δὲ ἀπρόιτος μὲν ἐς τὰ ἐκτός, ὑπομένουσα δὲ ἔνδον ἐν τῷ ἐνεργοῦντι, ὥσπερ τὸ νοεῖν καὶ τὸ θέλειν, καὶ τὸ αἰσθάνεσθαι, καὶ τὰ ὁμόλογα. Αἳ δὴ ἐνέργειαι, καὶ εἰσὶ τελειότητες τοῦ ἐνεργοῦντος· ὁ γὰρ νοῦς, οὐκ ἔστι τέλειος, ὅτι μὴ καθὸ ἐστὶ νοῶν ἐνεργείᾳ· ἔχει δ’ ὥς, καὶ αἰσθήσεως πέρι, οὐ γάρ ἐστι τέλειος, εἰ μὴ καθὸ ἐνεργείᾳ αἰσθάνεται. Τὸ μὲν οὖν δὴ πρῶτον γένος τῶν ἐνεργειῶν, τοῖς τε ζῶσι καὶ μή, κοινὸν ἐστί· τὸ δὲ δεύτερον, ἐστι τῶν ζώντων ἐξαίρετον· ἀμέλει καὶ εἰ καταχρηστικῷ τρόπῳ λάβοιμεν τὴν κίνησιν ἂν ὁποιασοῦν ἐνεργείας, ὥσπερ ὁ Φιλόσοφος ἐν τῷ Περὶ ψυχῆς τρίτῳ ἐξείληφεν, ἔνθα λέγεται τὸ αἰσθάνεσθαι
P 246r καὶ τὸ νοεῖν εἶναί τινας κινήσεις, | οὐ κινήσεις μέν, αἵτινες εἰσὶν ἐνέργειαι ἀτελεῖς, ὡς ἐν τῷ τῆς Φυσικῆς τρίτῳ διορίζεται, ἀλλὰ τὰς οὔσας τὸ ἐνεργείας τοῦ τελείου, οὕτως ἴδιον εἶναι δοκεῖ τοῦ ζῶντος, κἀν τούτῳ ὁ τῆς ζωῆς συνεστάναι λόγος δοκεῖ. Ὅπέρ ἐστί τι κινοῦν ἑαυτό, ὅτί ποτε γὰρ εὑρίσκομεν καθ’ αὑτὸ καὶ ἐν ἑαυτοῦ ἐνεργοῦν ὁτῳδήποτε τρόπῳ φαμὲν ζῆν· καθ’ ὃν δὴ τρόπον καὶ Πλάτων ἠξίου τὸ πρῶτον κινοῦν, κινεῖν ἑαυτῷ. Καθ’ ἑκάτερον δὲ ἐνεργείας γένος, εὑρίσκεται ἐν τοῖς κτίσμασι πρόοδός τις· κατὰ μὲν γὰρ τὸ πρῶτον γένος φαμὲν τὸ γεννώμενον προϊέναι ἀπὸ τοῦ γεννῶντος, καὶ τὸ ποιοῦν ἀπὸ τοῦ ποιοῦντος. Ὅσον δ’ αὖ πρὸς τὸ τῆς ἐνεργείας δεύτερον γένος, τὸν λόγον προϊέναι ἀπὸ τοῦ λέγοντος, καὶ τὴν ἀγάπην ἀπὸ τοῦ ἀγαπῶντος. Τοῦτο δὲ τὸ δισσὸν τῆς ἐνεργείας γένος καὶ τῷ Θεῷ ἀποδιδόαμεν. Τὸ μὲν δὴ εἴς τι τὸν ἔξω μεταπίπτον τῆς ἐνεργείας γένος, καὶ τῷ Θεῷ ἀπέχομεν, ἐφόσον φαμὲν αὐτὸν δημιουργεῖν, συντηρεῖν, κυβερνᾶν πάντα. Ἀφ’ οὗ δὴ γένους τῆς ἐνεργείας, οὐδεμία τῷ Θεῷ τελειότης ἐπιγίνεσθαι σημαίνεται, ἀλλὰ μᾶλλον εἰς τὴν κτίσιν ἐκφοιτᾶν τελειότητα τινὰ ἐκ τῆς θείας τελειότητος. Τὸ δὲ λοιπὸν

**129-132** εἰ – κινήσεις] Ar., De an. III, 431a6-7: διὸ ἄλλο εἶδος τοῦτο κινήσεως˙ ἡ γὰρ κίνησις τοῦ ἀτελοῦς ἐνέργεια, ἡ δ' ἁπλῶς ἐνέργεια ἑτέρα, ἡ τοῦ τετελεσμένου. τὸ μὲν οὖν αἰσθάνεσθαι ὅμοιον τῷ φάναι μόνον καὶ νοεῖν. **133-135** ὡς – δοκεῖ] Ar., Phys. III, 200b32-201a1: οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα˙ μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον ἢ κατ' οὐσίαν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τόπον … ὥστ' οὐδὲ κίνησις οὐδὲ μεταβολὴ οὐθενὸς ἔσται παρὰ τὰ εἰρημένα, μηθενός γε ὄντος παρὰ τὰ εἰρημένα. **137** Πλάτων - ἑαυτῷ] cf. Simplicium, In Aristotelis physicorum libros commentaria, 10, ed. H. Diels, *Simplicii in Aristotelis physicorum libros octo commentaria*, vol. II [Commentaria in Aristotelem Graeca 10] (Berlin, 1895), p. 1259.10-11: διὰ γὰρ τὴν ψυχὴν αὐτοκίνητόν ἐστι τὸ ζῷον· τοῦτο οὖν τὸ πρώτως κινοῦν κινεῖται ὑφ’ ἑαυτοῦ διὰ μέσου τοῦ σώματος, κατὰ συμβεβηκὸς μέντοι κινεῖ ἑαυτὸ τὴν τοιαύτην κίνησιν.

τῆς ἐνεργείας γένος τῷ Θεῷ ἀποδιδόαμεν, ἐφόσον αὐτὸν νοοῦντα καὶ θέλοντα ἐμφαίνομεν. Διὰ γὰρ τούτου, ἡ τοῦδε τελειότης γνωρίζεται, οὐδὲ γὰρ ἂν εἴη τέλειος, εἰ μὴ νοῶν εἴη, καὶ θέλων ἐνεργείᾳ· κἀντεῦθεν ὁρμώμενοι, ὁμολογοῦμεν αὐτὸν ζῆν. Κατ' ἄμφω τοίνυν τὰς ἐνεργείας τῷ Θεῷ τὴν πρόοδον ἀποφέρομεν· καὶ κατὰ μὲν τὸ πρῶτον γένος τῆς ἐνεργείας, φαμὲν τὴν θείαν σοφίαν καὶ ἀγαθότητα εἰς τὰ κτίσματα προϊέναι, ὡς ὁ Διονύσιός φησιν ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· καὶ ἔτι τὰ κτίσματα, προϊέναι ἀπὸ τοῦ Θεοῦ. Τῷ δὲ δευτέρῳ τῆς ἐνεργείας τρόπῳ, φαμὲν ἐν τοῖς θείοις, τὴν πρόοδον τοῦ λόγου τῆς ἀγάπης· καὶ ἔστιν αὕτη ἡ πρόοδος τοῦ προσώπου τοῦ Υἱοῦ παρὰ τοῦ Πατρός, ὅς ἐστι Λόγος αὐτοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, ὅπέρ ἐστιν ἀγάπη αὐτοῦ καὶ πνοὴ ζωοποιός. Ὅθεν Ἀθανάσιος ἔν τινι λόγῳ τῆς Κατὰ Νίκαιαν Συνόδου, φησὶ τοὺς Ἀρειανοὺς μὴ τιθέντας τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ὁμοούσια τῷ Πατρί, ἀκολούθως ἐδόκουν λέγειν τὸν Θεὸν μὴ ζῆν, μὴ δὲ νοεῖν, ἀλλὰ νεκρόν, ἢ ἀσύνθετον.

[10.1.21] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ ἀντίθεσις ἐκείνη, προβαίνει ἐκ τῆς προόδου τῆς θεωρουμένης κατὰ τὴν ἐνέργειαν τὴν μεταβαίνουσαν εἴς τι τῶν ἔξωθεν. Ὡδὶ δέ, οὐ προΐασι τὰ θεῖα πρόσωπα, ἀλλὰ μᾶλλον τῷ τρόπῳ τῆς προόδου, τῆς θεωρουμένης κατὰ τὴν ἐνέργειαν, τὴν ἐν τῷ ἐνεργοῦντι P 246v μένουσαν· τὸ γὰρ ταύτῃ προϊόν, | οὐ διΐσταται τὸ ἀφ' οὗ πρόεισιν· ὥσπερ οὖν καὶ ὁ ἀνθρώπειος λόγος ἔστιν ἐν τῷ λόγῳ τοῦ λέγοντος, μὴ ἀφιστάμενος αὐτοῦ.

[10.1.22] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ πρόοδος ᾗ δὴ σημαίνει κίνησιν τοπικήν, οὐ τίθεται ἐν τοῖς θείοις προσώποις, ἀλλὰ καθὸ ἐμφαίνει τινὰ τάξιν προχύσεως.

[10.1.23] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐν τῇ προόδῳ ἥτις ἐστὶ κίνησις κατὰ τόπον, ἀναγκαῖον ἐστὶ τὸ προϊὸν προεπινοεῖσθαι τῆς προόδου, ἐφόσον ἐστὶ ταύτης ὑποκείμενον· ἀλλ' ἐν τῇ προόδῳ τῇ δηλοίσῃ τάξιν γενέσεως, τὸ προϊὸν ἔχει πρὸς τὴν πρόοδον ὡς πέρας. Ὅθεν εἰ μὲν τὸ προϊὸν συγκέοιται ἐξ ὕλης καὶ εἴδους, καὶ τῇ τῆς γενέσεως ὁδῷ, πρόεισιν εἰς τὸ εἶναι· ἡ μὲν ὕλη

**152-154** ὡς – Θεοῦ] cf. Ps.-Dion., De div. nom., cap. 5, n. 10 (PG 3, col. 825B, Ritter p. 189): τὰ ὄντα πάντα προέχει καὶ ὑπέστησε παρὼν τοῖς πᾶσι καὶ πανταχοῦ καὶ κατὰ τὸ ἓν καὶ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ πᾶν καὶ ἐπὶ πάντα προϊών.

προϋπάρχει ὡς ὑποκείμενον τῆς προόδου, τὸ δ᾽ εἶδος ἢ καὶ τὸ σύνθετον, ἕπεται κατ᾽ ἐπίνοιαν τῇ προόδῳ ὡς πέρας· ὥσπερ τὸ πῦρ, διὰ τῆς τοῦ πυρὸς γενέσεως πρόεισιν. Εἰ δὲ μὴ ἔστι σύνθετον τὸ προϊόν, ἀλλ᾽ εἶδος μόνον ἢ καὶ δημιουργία εἰς τὸ εἶναι προῆκται, ἧς πέρας ἡ τοῦ πράγματος ὅλη οὐσία, τηνικαῦτα οὐδενὶ τρόπῳ τὸ προϊὸν προεπινοεῖται τῆς δημιουργίας, οὐδ᾽ αὖ τὸ ἀπαύγασμα τῆς ἐκ τοῦ ἡλίου προόδου αὐτοῦ, οὐδ᾽ ὁ λόγος τῆς πατρόθεν προόδου αὐτοῦ.

[10.1.24] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι κατὰ τὴν πρόοδον τὴν ἐμφαίνουσαν τάξιν αἰτίας, δύναταί τι προϊέναι ὡς καθ᾽ αὑτὸ ὑφεστῶς, μὴ ἀναφερόμενον πρὸς ἄλλο· εἰ καὶ κατὰ τὴν εἰς τόπον πρόοδον πρόεισί τι, ὥστε ἁπλῶς μὴ ἐν ἑαυτῷ ὑφεστάναι, ἀλλ᾽ ὡς εἶναι ἐν τόπῳ. Τοιαύτη δὲ πρόοδος οὐκ ἔστιν ἐν τοῖς θείοις προσώποις.

[10.1.25] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν ταῖς νοεραῖς οὐσίαις, αἵ εἰσιν ἐπιφανέσταται τῶν οὐσιῶν, ἔστι πρόοδος κατά τε τὴν ἐνέργειαν τοῦ νοῦ καὶ τῆς θελήσεως· καὶ τό γ᾽ εἰς τοῦθ᾽ ἧκον εὑρίσκεται ἐν αὐτοῖς τῆς ἀκτίστου Τριάδος εἰκών. Ὁ μέντοι λόγος καὶ ἡ ἀγάπη ἐν αὐτοῖς οὐκ εἰσὶ πρόσωπα ὑφεστῶτα· τὸ γὰρ αὐτῶν νοεῖν καὶ θέλειν, οὐκ ἔστιν ἡ αὐτῶν οὐσία, ἀλλ᾽ ἔστι τοῦτο ἐξαίρετον τοῦ Θεοῦ· ὅθεν ὁ λόγος καὶ ἡ ἀγάπη, προΐασιν ἐν αὐτῷ, ὡς πρόσωπα ὑφεστῶτα, οὔκουν γε μὴν κἂν τοῖς νοεροῖς κτίσμασι.

[10.1.26] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ ἴσχειν τὴν αἰτίαν ἀπ᾽ ἄλλου ἑτεροουσίου, λυμαίνεται τῇ θείᾳ οὐσίᾳ· τοῦτο γάρ ἐστιν ἴδιον τῆς δημιουργίας· τὸ δ᾽ ἔχειν τὴν οὐσίαν ἀπ᾽ ἄλλου ὁμοουσίου, μᾶλλον πρὸς τὴν θείαν τελειότητα τείνει. Οὐ γὰρ ἂν εἴη τελειότης ἐν τῇ θεότητι, εἰ μὴ εἴη ἐκεῖ νοεῖν, καὶ θέλειν ἐνεργείᾳ· ὧν τιθέντων ἀνάγκη τίθεσθαι πρόοδον λόγου καὶ ἀγάπης.

[10.1.27] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ τὸ λαμβάνειν ἐφόσον τοιοῦτον οὐκ ἐμφαίνει τελειότητα, πλὴν τῷ τοῦ λαμβανομένου μέρει, τελειότητα ἐπιφέρει· καὶ διαφερόντως ἐν τοῖς θείοις προσώποις, ἃ λαμβάνει τὸ τῆς θεότητος πλήρωμα.

P 247r [10.1.28] Πρὸς τὸ ὄγδοον ῥητέον | ὅτι οἱ Λατίνοι διδάσκαλοι, σπανίως ἢ οὐδαμοῦ δαδουχοῦντες τὴν τάξιν τῶν θείων προσώπων, τῷ τῆς αἰτίας ὀνόματι κέχρηνται· νῦν μὲν διὰ τὸ τὴν αἰτίαν ἀντικεῖσθαι παρ’ ἡμῖν τὸ ἀποτέλεσμα, διά τοι τοῦτο καὶ ἵνα μὴ συνελαυνώμεθα τὸν Υἱὸν ἢ τὸ ἅγιον Πνεῦμα ποιήματα λέγειν, οὐκ αἰτίαν αὐτῶν ἀποκαλοῦμεν τὸν Πατέρα· νῦν δὲ ἐπεὶ παρ’ ἡμῖν τὸ τῆς αἰτίας ὄνομα δηλοῖ τὶ διάφορον τῇ οὐσίᾳ, φαμὲν γὰρ αἰτίαν πρὸς ἣν ἕπεταί τι· τρίτον ὅτι παρὰ τοῖς φιλοσόφοις Ἕλλησιν, ἡ τῆς αἰτίας προσηγορία λεγομένη περὶ Θεοῦ, τὴν κτίσιν αὐτοῦ πρὸς τὰ δημιουργήματα σημαίνει. Φασὶ γὰρ τὸν Θεὸν εἶναι πρώτην αἰτίαν, τὰ δὲ δημιουργήματα εἶναι τὰ αὐτοῦ αἰτιατά· ἵν’ οὖν μή τις τὸν Υἱὸν καὶ τὸ Ἅγιο Πνεῦμα μετὰ τῶν κτισμάτων κατὰ τὴν οὐσίαν τοῦ Θεοῦ διαλάττειν ὑφορῶτο, τὸ τῆς οὐσίας ὄνομα περιιστάμεθα ἐν τοῖς θείοις. Οἱ μέντοι Ἕλληνες, ἀδιορίστως τῷ τῆς αἰτίας ὀνόματι χρῶνται, ἐντεῦθεν μόνην τὴν πρόοδον δηλοῦντες· καὶ διατοῦτο ἐν τοῖς θείοις προσώποις, χρῶνται τῷ τῆς αἰτίας ὀνόματι. Λέγεται γάρ τι ἀπροσφόρως ἐν τῇ λατινικῇ διαλέκτῳ, ὃ διὰ τὸ ἐξαίρετον τῆς ἰδιότητος προσφόρως ἐν τῇ ἑλληνικῇ γλώττῃ δύναται λέγεσθαι. Οὐ χρὴ δὲ εἰ τὸ τῆς αἰτίας καθ’ Ἕλληνας ὁμολογοῦμεν ὄνομα ἐν τοῖς θείοις, τῷ αὐτῷ λαμβάνεται τρόπῳ, ὅπως κἀν τοῖς κτίσμασι λέγεται, ᾗ δὴ εἰς τέτταρα γένη κατὰ φιλοσόφους διαιρεῖται.

[10.1.29] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἐν πᾶσι τοῖς εἰς τὴν πρόοδον ἀποσκοποῦσι, μάλιστα προσήκει ἐν τοῖς θείοις τὸ τῆς ἀρχῆς ὄνομα. Ἐπεὶ γὰρ τὰ θεῖα ἀφ’ ἡμῶν περιλαμβάνεσθαι οὐχ οἷα τέ εἰσιν, οἰκειότερον παρ’ ἡμῶν δηλοῦται, διὰ τῶν κοινῶν ὀνομάτων τῶν ἀδιορίστως τὶ σημαινόντων, ἢ διὰ τῶν εἰδικῶν τῶν ὡρισμένως τὸ τοῦ πράγματος εἶδος δηλούντων· ὅθεν τοῦτο τὸ ὁ ὢν ὄνομα, ὃ κατὰ τὸν Δαμασκηνὸν σημαίνει οὐσίας πέλαγος ἀόριστον, οἰκειότατον ὄνομα λέγεται εἶναι τοῦ Θεοῦ, ὡς φαίνεται ἐν τῷ τρίτῳ τῆς Ἐξόδου. Ὥσπερ δὲ ἡ αἰτία κοινότερόν ἐστιν ἢ τὸ στοιχεῖον ὃ σημαίνει τινὰ ἀρχὴν ἐν τῷ γένει τῆς ὑλικῆς αἰτίας, οὕτω καὶ ἡ ἀρχὴ κοινότερόν ἐστιν ἢ ἡ αἰτία· τὸ γὰρ πρῶτον τῆς κινήσεως μέρος ἢ τῆς γραμμῆς λέγεται ἀρχή, οὔκουν γε μὴν καὶ αἰτία. Ἀφ’ οὗ δῆλον ἀρχὴν δύνασθαι λέγεσθαί τι ὃ μὴ ἔστι τῇ οὐσίᾳ διαιρετόν, ὡς τὸ τῆς γραμμῆς σημεῖον, ἀλλ’ οὐ καὶ αἰτία· καὶ διαφερόντως εἰ

**230-231** οἰκειότατον – Ἐξόδου] Ex. 3, 14.

διαλεγοίμεθα περὶ τῆς παρακτικῆς αἰτίας, ἥτις ἔστιν αἰτία ποιητική. Εἰ δὲ καὶ ὁ Πατὴρ λέγεται εἶναι ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐ μέντοι ἀδιαφόρως ῥητέον, τὸν Υἱὸν εἶναι ἠργμένον ἢ τὸ ἅγιον Πνεῦμα, εἰ καὶ τούτῳ τῷ ἔθει τῆς διαλέξεως Ἕλληνες κέχρηνται, καὶ δύναται παρὰ τοῖς ὑγιῶς νοοῦσι συγχωρεῖσθαι, εἰ παριστάμεθα τὰ τὰ μείωσίν τινα δοκοῦντα προστρίβεσθαι, P 247v ὡσὰν μὴ τῷ υἱεῖ καὶ τῷ ἁγίῳ Πνεύματι, | τὴν ἀποτρόπαιον Ἀρείου πλάνην περιάπτοιμεν· καθάπερ οὖν καὶ ὁ Ἱλάριος, εἰ καὶ συμβαίνει εἶναι τὸν Πατέρα μείζονα τοῦ Υἱοῦ διὰ τὸ τῆς προόδου ἀξίωμα, ὅμως συγχωρεῖ τὸν Υἱὸν εἶναι ἐλάττω τοῦ Πατρός, ὧδε δώρηται παρὰ Πατρὸς τὸ ἴσον εἶναι. Ὁμοίως τε διακρουστέον τὸ τῆς ὑποχειριότητος ὄνομα, καὶ τὸ τοῦ ἠργμένου ἐν τῷ Υἱῷ· εἰ καὶ τὸ τῆς ἀξίας ἢ ἀρχῆς προπάντων ὄνομα παρὰ πάντων ἔχει τὸ συγκεχωρηκὸς ἐν τῷ Πατρί.

[10.1.30] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι εἰ καὶ ἡ ἀρχὴ κατὰ τὸν τοῦ ὀνόματος λόγον τὸ πρότερον δηλοῖ, οὐ μέντοι τίθεται πρὸς τὸ σημαίνειν τὸ πρότερον, ἀλλὰ τὴν πρόοδον· ὥσπερ καὶ τοῦτο τὸ ὄνομα τὸ πέτρα οὐ τίθεται πρὸς τὸ σημαίνειν τὴν τρῶσιν τοῦ ποδός, εἰ καὶ ἐντεῦθεν τὸ ὄνομα εἰλῆφθαι δοκεῖ. Εἰ καὶ μὴ ἔστι τοίνυν ὁ Πατὴρ πρότερος τοῦ Υἱοῦ, ἔστιν ὅμως ἀρχή.

[10.1.31] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι οὐ πᾶσα ἀρχὴ ἔστι δραστικὴ ἢ ποιητική· οὐδετέρῳ γὰρ τρόπῳ τὸ σημεῖον ἔστιν ἀρχὴ τῆς γραμμῆς.

[10.1.32] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἐν τῷ Υἱῷ ἔστι τι κοινὸν τῷ Πατρί, εἴτουν ἡ οὐσία· καὶ τὶ ὃ ἔστι διακεκριμένον τοῦ Πατρός, εἴτουν ἡ ἀναφορά. Πλὴν οὐκ ἔστιν ἐκεῖ σύνθεσις, ἡ γὰρ ἀναφορὰ ἔστι κατὰ τὸ πρᾶγμα ἡ οὐσία, ὥσπερ ἐκ τῶν προειληφυιῶν διαλέξεων φαίνεται.

[10.1.33] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τὸ λαμβάνον, πρὶν ἂν λάβῃ, στέρεται· καὶ γὰρ λαμβάνει, ὥστε τὴν ἔνδειαν διώσασθαι· ἐπειδὰν δὲ λάβῃ, οὐ στέρεται, ἔχει γὰρ οὗ ἐστέρετο. Εἰ τοίνυν ἔστι τι μὴ προϋπάρχων τῆς λήψεως, ἀλλ' αἰεὶ διατελεῖ ὡς ἐν τῷ λαμβάνειν, οὐδενὶ τρόπῳ τοῦτ' ἔσται ἐπιδεές. Ὁ δ' Υἱός, οὐχ οὕτω λαμβάνει παρὰ τοῦ Πατρός, ὡσὰν πρότερον μὴ ἔχων, καὶ μεταταῦτα εἰληφώς· ἀλλ' οἷα τοῦτ' αὐτὸ ὅπέρ ἐστιν ἀπὸ τοῦ Πατρὸς ἔχων. Ὅθεν οὐχ ἕπεται εἶναι αὐτὸν ἐπιδεᾶ.

**242-244** ὁ – εἶναι] Hilar., De Trin. VII.

**263** ὡσὰν] ὡσἂν P

**[10.1.34] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ κτίσις, λαμβάνει παρὰ τοῦ Θεοῦ, εἶναι τί, ὃ οὐκ ἔστι μενετόν· εἰ μὴ θεόθεν συντηροῖτο· καὶ διατοῦτο καὶ μετὰ τὸ λαβεῖν τὸ εἶναι, δεῖται τῆς θείας ἐνεργείας πρὸς τὸ συντηρεῖσθαι εἰς τὸ εἶναι· καὶ ταύτῃ εἰσὶ φύσεως ἐπιδεοῦς· ὁ δὲ Υἱὸς λαμβάνει παρὰ τοῦ Πατρός, τὴν τὸ εἶναι τῷ ἀριθμῷ· ὥστ’ ἔχειν τὴν αὐτὴν φύσιν τῷ ἀριθμῷ, ἣν ἔχει ὁ Πατήρ· διά τοι τοῦτο, οὐκ ἔστι φύσεως ἐπιδεοῦς.**

**[10.1.35] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ὁ Υἱὸς ἐν ἑαυτῷ θεωρεῖται, κατὰ τὸ ἀπολελυμένον ὃ ἔχει, ὅπέρ ἐστι τοῦ Πατρὸς ἡ οὐσία· καὶ κατατοῦτο οὐκ ἔστιν οὐδέν, ἀλλ’ ἓν μετὰ τοῦ Πατρός. Ἧ δὴ ἀναφέρεται πρὸς τὸν Πατέρα, θεωρεῖται ὡς λαμβάνων τὸ εἶναι παρὰ τοῦ Πατρός· διὸ οὐδ’ ὥς ἐστιν οὐδέν· καὶ ταύτῃ οὐδ’ ὁπωστιοῦν ὁ Υἱός ἐστιν οὐδέν. Εἴη δ’ ἂν ἐν ἑαυτῷ θεωρούμενος μηδέν, εἴ τι εἴη ἀπολελυμένον καὶ διακεκριμένον τοῦ Πατρός, ὥσπέρ ἐστιν ἐπὶ τῶν κτισμάτων.**

**[10.1.36] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ὁ Υἱὸς τούτου χάριν πρόεισιν, ἐφ ᾧ εἶναι· ἡ δὲ πρόοδος αὐτοῦ ἔστιν αἰώνιος, ὥσπερ ἀπὸ τοῦ ἡλίου ἡ τοῦ**
P 248[r] **ἀπαυγάσματος πρόοδος ἔστιν αὐτῷ | ἡλικιότης· καὶ διατοῦτο καὶ ὁ Υἱὸς ἔστιν αἰώνιος.**

**[10.1.37] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ἡ ἀξία ἐν τῷ Πατρί, οὐκ ἔστι τι, ἢ ἀναφορὰ τῆς ἀρχῆς. Κατὰ δὲ τὴν ἀναφοράν,** οὐ λέγεταί τι ἴσον, ἢ ἄνισον, ἀλλὰ κατὰ τὴν ποσότητα **κατὰ τὸν Αὐγουστῖνον· καὶ διατοῦτο ὁ Υἱὸς οὐκ ἔστιν ἄνισον τῷ Πατρί.**

**284-285** Κατὰ – Αὐγουστῖνον] Aug., De Trin. VI, cap. 3, n. 5 (PL 42, col. 926): Nam unde aequalis – eius dicuntur.

**Κεφάλαιον δεύτερον**

**Πότερον ἐν τοῖς θείοις ἔστι μόνον μία πρόοδος ἢ πολλαί.**

**[10.2.1] Δεύτερον ζητεῖται, πότερον ἐν τοῖς θείοις ἔστι μόνον μία πρόοδος ἢ πολλαί. Καὶ δοκεῖ μίαν εἶναι μόνον. Φησὶ γὰρ ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος βιβλίῳ, ὅτι** ἡ πρόοδος ἐν τῷ Θεῷ ἐστιν οὐσιώδης. **Τὰ δ' οὐσιώδη οὐ πεπλήθυνται ἐν τοῖς θείοις. Ἐν τοῖς θείοις ἄρα οὐκ εἰσὶ πλείους πρόοδοι.**

**[10.2.2] Ἀλλ' ἔλεγεν, ὅτι αἱ πρόοδοι ἐν τοῖς θείοις οὐ διακρίνονται διακρίσει τῆς οὐσίας, ἢ κατὰ τὴν πρόοδον μετέχεται (δι' ὃν λόγον καὶ αἱ πρόοδοι οὐσιώδεις λέγονται), ἀλλὰ διακρίνονται ἑαυταῖς. Ἀλλὰ τὸ ἐναντίον· ἅττα δή ποτε ἀλλήλων διακρίνονται, ἢ διακρίνονται τῇ τῆς ὕλης διαιρέσει, ὥσπερ τὰ τοῦ αὐτοῦ εἴδους ἄτομα, ἢ εἰδικῶς, ὥσπερ τὰ διαφέροντα γένει ἢ εἴδει. Αἱ δὲ πρόοδοι οὐ διακρίνονται ἐν τοῖς θείοις τῷ τρόπῳ τῶν ὑλικῶς διακρινομένων· ἔστι καὶ γὰρ πάντῃ ἄυλος ὁ Θεός. Λείπεται τοίνυν πᾶσαν διάκρισιν ἐν τοῖς θείοις εἶναι κατὰ τὸν τῶν εἰδικῶς διακρινομένων τρόπον. Πᾶσα δὲ εἰδικὴ διάκρισις ἔστι κατά τινα ἀντίθεσιν, καὶ μάλιστα αἱ οὖσαι γένους ἑνός· τὸ γὰρ** γέν**ος διαιρεῖται ταῖς** ἐναντίαις διαφοραῖς, **δι' ὧν τὰ** εἴδη δια**κρίνεται, ὡς λέγεται ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Δεῖ τοίνυν, εἴ γε αἱ πρόοδοι διακρίνοιντο ἐν τοῖς θείοις, τοῦτο γίνεσθαι λόγῳ τινὸς ἀντιθέσεως. Αἱ δὲ πρόοδοι καὶ ἐνέργειαι καὶ κινήσεις οὐκ ἔχουσι πρὸς ἄλληλα τὴν ἀντίθεσιν εἰ μὴ τῷ λόγῳ τῶν ἀρχῶν ἢ τῷ λόγῳ τοῦ πέρατος· ὥσπερ ἐστὶν ἐν τῇ θερμάνσει καὶ τῷ ψύχει, τῇ ἀνόδῳ καὶ τῇ καθόδῳ. Ἀδύνατον ἄρα ἐστὶ τὰς προόδους ἐν τοῖς θείοις διακρίνεσθαι ἑαυταῖς, ἀλλ' εἰ διακρίνοιντο, δεῖ διακρίνεσθαι τῷ μέρει τῆς τῆς προόδου ἀρχῆς ἢ τῷ μέρει τοῦ τέλους, εἴτουν τῶν προσώπων, πρὸς ἃ ἡ πρόοδος περαίνεται.**

**[10.2.3] Ἔτι, τὰ δυνάμενα εἶναι ἄλλα οὐκ ἔστι διακριτικὰ ἄλλων· ὥσπερ τὸ λευκὸν καὶ γλυκὺ οὐκ εἰσὶ διακριτικὰ δύο τινῶν ὑποκειμένων· δύνανται γὰρ ἐνεῖναι τῷ αὐτῷ. Ἐκ τούτου γὰρ ὁτιοῦν ἀπ' ἄλλου διακρίνεται, ὅτι τὸ ἓν αὐτῶν θάτερον εἶναι οὐ δύναται. Ὅ Ότι οὐδὲ ἔνια οὐ δύναται εἶναι ὁμοῦ, συμβαίνει**

**4-5** Φησὶ – οὐσιώδης] Boet., De Trin., cap. 5: non enim coepit esse umquam pater eo quod substantialis quidem ei est productio filii, relativa vero praedicatio patris. **15-17** τὸ – φυσικά] Ar., Metaph. X, 1058a26-28: ἐναντίωσιν γὰρ ἀνάγκη εἶναι τὴν διαφορὰν οὗ διαφέρει εἴδει· αὕτη δὲ ὑπάρχει τοῖς ἐν ταὐτῷ γένει οὖσι μόνοις.

φύσει τινὸς ἀντιθέσεως· ταῦτα γὰρ λέγονται ἀντικείμενα, ἃ εἶναι ὁμοῦ οὐ P 248v δύνανται. | Οὐδὲν τοίνυν διακρίνεται ἀπ’ ἄλλου, εἰ μὴ λόγος τινὸς ἀντιθέσεως· καὶ γὰρ κἂν τῇ διακρίσει τῇ κατὰ τὴν ὕλην ὕλην, θεωρεῖται ἀντίθεσις κατὰ τὴν θέσιν, ἡνίκα ἡ αὐτὴ ἔστι διαίρεσις κατὰ τὸ ποσόν. Εἰ τοίνυν ἡ τῶν προόδων ἀντίθεσις εἶναι οὐ δύναται εἰ μὴ τῷ λόγῳ τῶν ἀρχῶν ἢ τῶν περάτων, ὡς εἴρηται, ἀδύνατόν ἐστι τὰς προόδους διακρίνεσθαι ἑαυταῖς.

[10.2.4] Ἦ δ’ ὅς, ὅτι αἱ πρόοδοι διακρίνονται ἐν τοῖς θείοις, ὅτι ἡ μὲν μία ἐστὶ τῷ τρόπῳ τῆς φύσεως, εἴτουν ἡ πρόοδος τοῦ Υἱοῦ, ἅτέρα δὲ τρόπῳ τῆς θελήσεως, δηλαδὴ ἡ πρόοδος τοῦ Ἁγίου Πνεύματος. Ἀλλὰ τοὐναντίον, ὃ πρόεισι φυσικῶς, πρόεισι κατὰ τὸν τῆς φύσεως τρόπον. Τὸ Πνεῦμα δὲ τὸ ἅγιον, πρόεισιν ἀπὸ τοῦ Πατρὸς φυσικῶς· φησὶ γὰρ Ἀθανάσιος ὅτι τὸ ἅγιον Πνεῦμα, ἔστι φυσικὸν τοῦ Πατρός. Πρόεισιν ἄρα κατὰ τὸν τῆς φύσεως τρόπον.

[10.2.5] Ἔτι, ἡ θέλησις ἔστιν αὐτεξούσιος. Ὃ δὲ πρόεισι κατὰ τὸν τῆς βουλήσεως τρόπον, πρόεισι κατὰ τὸν τοῦ ἐξεῖναι τρόπον. Εἰ δὴ τὸ Πνεῦμα τὸ ἅγιον προΐησιν ὡς βούλησις, ἀνάγκη προϊέναι νόμοις ἐλευθερίας. Ὃ δὲ πρόεισιν ἐλευθερίᾳ νόμῳ, δύναται προϊέναι, καὶ μὴ προϊέναι· τὰ γὰρ ἐλευθερίᾳ καὶ αὐτονομίᾳ γινόμενα, οὐχ ὥρισται πρὸς ἕν. Ὁ Πατὴρ ἄρα δύναται προβάλλειν τὸ Πνεῦμα τὸ ἅγιον, ἢ μὴ προβάλλειν, καὶ δοῦναί οἱ ἡλίκόν ποτε μεγαλειότητος μέτρον βούλεται. Ἕπεται τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, εἶναι ὂν δυνατόν, καὶ οὐκ ἀναγκαῖον καθ’ αὐτὸ εἶναι ὄν· καὶ ταύτῃ οὐκ ἔσται θείας φύσεως· ὅπέρ ἐστι τῆς Μακεδονίου αἱρέσεως.

[10.2.6] Χωρὶς δὲ τούτων, ὁ Ἱλάριος φησὶν ἐν τῷ Περὶ συνόδων βιβλίῳ δεκάτῳ· διαφορὰν ἀποδιδοὺς Υἱοῦ καὶ δημιουργίας, ὅτι πᾶσι μὲν τοῖς δημιουργήμασι τὴν οὐσίαν ἡ τοῦ Θεοῦ θέλησις κατεβάλλετο, ὁ δ’ Υἱὸς φυσικῷ τόκῳ τὴν οὐσίαν παρὰ Πατρὸς ἐκληρώσατο. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον πρόεισι τρόπῳ θελήσεως, ἕπεται προϊέναι καθάπερ τὰ κτίσματα.

[10.2.7] Ἔτι, ἡ φύσις καὶ ἡ βούλησις, οὐ διενήνοχεν ἐπὶ Θεοῦ, εἰ μὴ κατὰ τὸν λόγον. Εἰ τοίνυν ἡ πρόοδος τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος διακρίνονται τὸ

**51-54** ὁ – ἐκληρώσατο] cf. Hilar., De Trin. XII, no. 56 (PL 10, col. 470B): Et cuius – enumerat.

**τὴν μὲν εἶναι κατὰ τὸν τῆς φύσεως τρόπον, τὴν δ’ ἑτέρας κατὰ τὸν τῆς βουλήσεως, ἕπεται τὴν ἀμφοτέρων πρόοδον μὴ διαφέρειν, ὅτι μὴ τῷ λόγῳ μόνον· καὶ ταύτῃ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, οὐ διακρίνονται προσωπικῶς.**

**[10.2.8] Ἀλλ’ ἔλεγεν, ὅτι ἡ πνευστικὴ δύναμις καὶ ἡ γεννητικὴ ἐν τῷ Πατρί, διαφέρουσι λόγῳ μόνον, καὶ ὅμως ἐντεῦθεν ἔστι διάκρισις πραγματικὴ ἐν τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι· ὁμοίως δὴ ἥ τε φύσις καὶ ἡ βούλησις δύνανται πραγματικὴν διάκρισιν ἐν ταῖς προόδοις καὶ τοῖς προϊοῦσιν ἐγκαθιστᾶν, εἰ καὶ λόγῳ μόνῳ διαφέρουσιν. Ἀλλὰ τοὐναντίον, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα,** P 249r **διακρίνονται τοῖς ἑνοῦσιν αὐτοῖς, | ἡ δὲ γεννητικὴ δύναμις οὐκ ἔστιν ἐν τῷ Υἱῷ, οὐδ’ ἡ πνευστικὴ ἐν τῷ Πνεύματι. Ἄρα τούτων ὁ Υἱὸς καὶ τὸ Πνεῦμα οὐ διακρίνονται.**

**[10.2.9] Ἔτι, ἐκ τούτου ἔνδηλος ἐστὶν ἡ γέννησις, πρόοδός τις οὖσα, κατὰ τὸν τῆς φύσεως τρόπον ἐνυπάρχειν τοῖς θείοις, διὰ τὸ εἰκόνα αὐτῆς μεταλῆφθαι τῇ κτίσει, ὡς φαίνεται διὰ τοῦ Ἡσαΐου ἐν τῷ ἐσχάτῳ· μὴ ἐγὼ ὁ ποιῶν ἄλλους γεννᾶν ἄγονος ἔσομαι. Ἡ πρόοδος δὲ ἡ οὖσα δίκην θελήσεως, οὐ μετέχεται ὑπὸ τῆς κτίσεως· οὐ γὰρ εὑρίσκεταί τι ἐν τοῖς κτίσματι τὴν φύσιν λαμβάνον, εἰ μὴ κατὰ τὸν τῆς γεννήσεως τρόπον. Οὐκ ἄρ’ ἐστὶ πρόοδός τις ἐν τοῖς θείοις προσώποις, κατὰ τὸν τῆς θελήσεως τρόπον.**

**[10.2.10] Ἄνευ δὲ τούτων, τρόπον προστίθησί τι τῷ πράγματι, καὶ κατὰ τὸ εἰκὸς σύνθεσιν ποιεῖ· καὶ πολλὰ μᾶλλον, εἰ τρόπων εἴη πλῆθος. Ἀλλ’ ἐν τοῖς θείοις ἐστὶ παντοδαπή τις ἁπλότης. Οὐκ ἄρ’ ἔστιν ἐκεῖ τρόπων ἐσμός, ὡς δύνασθαι λέγεσθαι, τὸν μὲν Υἱὸν ἑνὶ τρόπῳ προϊέναι, εἴτουν διὰ γεννήσεως τρόπου· τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἑτέρῳ, εἴτουν κατὰ τὸν τῆς θελήσεως τρόπον.**

**[10.2.11] Ἔτι, ἐν τοῖς θείοις ἡ θέλησις, οὐ πλεῖον διαφέρει τῆς φύσεως, ἢ ὁ νοῦς. Ἀλλ’ οὐκ ἔστιν ἑτέρα ἐν τοῖς θείοις πρόοδος, ἡ κατὰ τὸν τοῦ νοῦ τρόπον, καὶ ἑτέρα ἡ κατὰ τὸν τῆς φύσεως. Οὐδ’ ἄρα ἐστὶν ἑτέρα πρόοδος ἐν τοῖς θείοις, ἡ κατὰ τὸν τῆς θελήσεως τρόπον, καὶ ἑτέρα ἡ κατὰ τὸν τῆς φύσεως.**

**[10.2.12] Ἀλλ’ ἐρεῖ τάχα τις, ὅτι ἡ πρόοδος τοῦ Ἁγίου Πνεύματος διαφέρει τῆς τοῦ Υἱοῦ προόδου, ἐκ τοῦ τὴν μὲν τοῦ Υἱοῦ πρόοδον εἶναι ἀπὸ μὴ προϊόντος**

**71-72** ὡς – ἔσομαι] Is. 66, 9: ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπε Κύριος. οὐκ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα;

**71** μὴ] bis acc. P

μόνον [, scilicet a Patre]· τὴν δὲ τοῦ Ἁγίου Πνεύματος, καὶ ἀπὸ μὴ προϊόντος ὁμοῦ, καὶ ἀπὸ προϊόντος, εἴτουν ἀπὸ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ἀλλ' ἰτέον ὁμόσε, ἐὰν γὰρ δύο τιθῶνται πρόοδοι ἐπὶ Θεοῦ [, oportet quod] διαφέρειν ἢ ἀριθμῷ μόνον, ἢ εἴδει. Εἰ ἀριθμῷ μόνον, ἕπεται προσήκειν λέγεσθαι ἑκατέραν γέννησιν, ἢ κατὰ τὸν τῆς ἐνεργείας ἢ τοῦ πάθους λόγον, καὶ ἑκάτερον προϊὸν λέγεσθαι Υἱόν· εἰ δ' εἴδει διαφέρουσι, δεῖ τὴν φύσιν τὴν διὰ τῆς προόδου μετεχομένην, εἴδει διαφέρειν· οὕτω γὰρ εἴδει διαφέρει ἡ πρόοδος ἀνθρώπου καὶ ἵππου τῇ ἑαυτῆς ἀρχῇ, ἀλλ' οὐχ ἡ πρόοδος Πλάτωνος καὶ Σωκράτους. Τῆς δὲ θείας φύσεως μιᾶς μόνον οὔσης, οὐχ οἷόν τε εἶναι πολλὰς προόδους εἴδει διαφέρουσας, κατὰ τὸ μίαν μὲν εἶναι ἀπὸ προϊόντος, ἑτέραν δὲ ἀπὸ μὴ προϊόντος καὶ προϊόντος.

[10.2.13] Ἔτι, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ διακρίνονται τῷ τρόπῳ τῶν εἴδει διαφερόντων ἐν τοῖς κτίσμασιν· εἰσὶ γὰρ μιᾶς φύσεως ὑποστάσεις. Αἱ
P 249v πρόοδοι δι' αἷς προΐασι τινά, ἃ ἔστι μὲν εἴδει ἕν, ἀριθμῷ δὲ διάφορα, οὐκ εἰσὶ δὲ τῷ εἴδει διάφορα, ὥσπερ ἥ τε τοῦ Σωκράτους καὶ τοῦ Πλάτωνος γέννησις. Ἡ πρόοδος ἄρα | τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, οὐκ εἰσὶ πρόοδοι διακεκριμέναι κατ' εἶδος.

[10.2.14] Παρὰ ταῦτα, ὥσπέρ τι δύναται εἶναι προϊὸν ἀπὸ προϊόντος, οὕτω δύναταί τι εἶναι γεγεννημένον τοῦ γεγεννημένου, ὡς ἐν τοῖς ἀνθρώποις φαίνεται· ἐν οἷς, ὁ γεννώμενος ἀφ' ἑτέρου ἔχει ἕτερον ἐξ ἑαυτοῦ γεγεννημένον. Εἰ δὴ ἐν τοῖς θείοις εἰσὶ δύο πρόοδοι καθὸ ἀπὸ τοῦ προϊόντος ἄλλο πρόεισι, δι' ἴσου λόγου δύνανται εἶναι δύο γεννήσεις· καθὸ ἀπὸ γεννωμένου, γεννᾶται ἕτερον.

[10.2.15] Ἔτι, εἰ ἡ τοῦ Ἁγίου Πνεύματος πρόοδος διακρίνεται ἀπὸ τῆς προόδου τοῦ Υἱοῦ, κατὰ τὸ προϊέναι καὶ ἀπὸ μὴ προϊόντος καὶ προϊόντος, ἤτοι ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἢ πρόεισιν ἀπ' αὐτοῦ ἐφόσον εἰσὶν ἕν, ἢ ἐφόσον εἰσὶ πολλά. Ἀλλ' ἐφόσον εἰσὶ πολλά, ἕπεται τὸ ἅγιον Πνεῦμα εἶναι σύνθετον· ἡ γὰρ ἑνὸς ἁπλοῦ πρόοδος οὐ δύναται εἶναι εἰ μὴ ἀφενὸς ὥσπερ ἀπ' ἀρχῆς. Εἰ δὲ πρόεισιν ἀπ' αὐτῶν ἐφόσον ἐστὶν ἕν, οὐδὲν διαφέρει ἀφ' ἑνὸς ἢ πολλῶν προϊέναι. Οὐκ ἄρα δύναται ἡ πρόοδος τοῦ Ἁγίου Πνεύματος διακρίνεσθαι τῆς προόδου τοῦ Υἱοῦ κατὰ τὸ τὸν μὲν προϊέναι ἀφ' ἑνὸς μόνον τὸ δέ, ἐκ δυοῖν.

**[10.2.16]Ἔτι, ἡ πρόοδος ἀντιδιαιρεῖται, τῇ πατρότητι καὶ υἱότητι· λέγονται γὰρ εἶναι τρεῖς ἰδιότητες προσωπικαί. Ἀλλ’ ἐν τοῖς θείοις ἔστι μία μόνον πατρότης, καὶ μία μόνον υἱότης. Καὶ μία ἄρα μόνον πρόοδος.**

**[10.2.17] Ἔτι, ἐν τῇ κτίσει οὐχ εὑρίσκεται εἰ μὴ μιᾶς μόνου προόδου τρόπος, δι’ οὗ μετέχεται ἡ φύσις· διὸ καὶ τὸ Ὑπόμνημα φησίν, ἐν τῷ τῆς Φυσικῆς ὀγδόῳ· ὅτι οὐκ εἰσὶ ταῦτα τῷ εἴδει τὰ ζῷα, τά τε σπέρματι γινόμενα, καὶ τ’ ἄνευ σπέρματος ἐκ σηπεδόνος. Ἡ θεία δὲ φύσις, ἔστι μία μόνον. Οὐ δύναται ἄρα μετέχουσαι, εἰ μὴ καθ’ ἕνα τρόπον· οὐκ εἰσὶν ἄρα πολλαὶ πρόοδοι ἐν τοῖς θείοις.**

**[10.2.18] Ἔτι, ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς ἀπαύγασμα, κατ’ ἐκεῖνο τὸ πρῶτον τῆς Πρὸς Ἑβραίους· ὃς ὢν ἀπαύγασμα τῆς δόξης· καὶ τοῦτο διὰ τόδε, ὅτι ὁ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς συναΐδιος αὐτῷ, ὥσπερ τὸ ἀπαύγασμα πρόεισιν ἀπὸ τοῦ ἡλίου, ἢ ἀπὸ τοῦ πυρός. Παραπλησίως δὲ καὶ τὸ ἅγιον Πνεῦμα πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς συναΐδιον αὐτῷ. Πρόεισιν ἄρα ἀπ’ αὐτοῦ τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ ὁ Υἱός· καὶ ταύτῃ, οὐκ εἰσὶ πολλαὶ πρόοδοι ἐν τοῖς θείοις.**

**[10.2.19] Ἔτι, ἡ αἰώνιος πρόοδος τοῦ θείου προσώπου, ἔστι λόγος καὶ αἰτία, τῆς ἐν χρόνῳ προόδου τῶν κτισμάτων, καὶ τοῦ ἐν τῇ κτίσει ὄντος. Ὅθεν ὁ Αὐγουστῖνος ἐν τοῖς εἰς τὴν γένεσιν οὕτως ἀναπτύει·** τὸ λεγόμενον εἶπε καὶ ἐγίνετο· ὅτι λόγον γεγέννηκεν ἐν ᾧ ἦν τὸ γενέσθαι. **Ὁ δ’ Υἱός ἐστι τελείως, λόγος καὶ αἰτία τῆς προόδου τῆς κτίσεως. Οὐκ ἄρ’ εἶναι δι’ ἑτέραν πρόοδον θείου**
P 250r **προσώπου, | παρὰ τὴν τοῦ Υἱοῦ.**

**[10.2.20]Ἔτι, ὅσον ἡ φύσις ἐστὶ τελειοτέρα, τοσοῦτο δεῖ ἐλαττόνων διενεργεῖ. Ἀλλ’ ἡ θεία φύσις, ἔστι τελειοτάτη. Ἐπεὶ τοίνυν φύσις κτιστὴ μία οὐ μετέχεται, εἰ μὴ ἑνὶ τρόπῳ προόδου, οὐ δ’ ἡ θεία φύσις μεταληθφῆναι δύναται, εἰ μὴ καθ’ ἕνα προόδου τρόπον.**

**[10.2.21] Πρὸς δὲ τούτοις, ἀφ’ ἑνὸς ἁπλοῦ, οὐ δύναται εἶναι, εἰ μὴ ἕν. Ἀλλ’ ὁ Πατὴρ ἔστιν ἓν ἁπλοῦν. Ἀπ’ αὐτοῦ ἄρα εἶναι οὐ δύναται, εἰ μὴ μία πρόοδος· οὐκ εἰσὶν ἄρα πολλαὶ πρόοδοι ἐν τοῖς θείοις.**

**127-128** κατ’ – δόξης] Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. **135-137** ὁ – γενέσθαι] Aug., De gen. ad litt. II, cap. 6, n. 14 (PL 34, col. 268): Et dixit Deus: Fiat; intellegimus quod in Verbo Dei erat ut fieret. Cum vero audimus: Et sic est factum.

[10.2.22] Ἔτι, ἕκαστον ἐκ τοῦ γεννᾶσθαι λέγεται λαμβάνειν τὸ εἶδος· ἡ γὰρ γέννησις ἐν τοῖς κτιστοῖς, ἔστι μεταβολὴ πρὸς τὸ εἶδος. Τὸ δὲ Πνεῦμα ἅγιον, τῇ αὐτοῦ προόδῳ λαμβάνει τὴν θείαν μορφὴν καὶ οὐσίαν, περὶ ἧς λέγεται ἐν τῷ δευτέρῳ τῆς Πρὸς Φιλιππησίους· ἐν μορφῇ Θεοῦ ὑπάρχων. Ἡ πρόοδος ἄρα τοῦ Ἁγίου Πνεύματος, ἔστι γέννησις· καὶ ταύτῃ οὐ διαφέρει τῆς γεννήσεως τοῦ Υἱοῦ.

[10.2.23] Ἔτι, γέννησίς ἔστιν ὁδὸς εἰς τὴν φύσιν· ὥσπερ καὶ αὐτὸ τὸ ὄνομα ἐμφαίνει. Ἀλλὰ κατὰ τὴν πρόοδον τοῦ Ἁγίου Πνεύματος, μετέχεταί οἱ ἡ θεῖα φύσις. Ἡ πρόοδος ἄρα τοῦ Ἁγίου Πνεύματος, ἔστι γέννησις· οὐκ ἄρα διαφέρει τῆς προόδου τοῦ Υἱοῦ· καὶ ταύτῃ οὐκ εἰσὶ δύο πρόοδοι ἐν τοῖς θείοις.

[10.2.24] Ἀλλ' ἐκ τοῦ ἀνάπαλιν. Δοκεῖ ὅτι ἐν τοῖς θείοις εἰσὶ πλείους πρόοδοι, ἢ δύο. Ἔστι γὰρ πρόοδος κατὰ τὸν τῆς φύσεως τρόπον, καθ' ἣν δὴ Υἱὸς ὀνομάζεται· καὶ ἄλλη κατὰ τὴν τοῦ νοῦ, καθ' ἣν λόγος καλεῖται· καὶ ἄλλη κατὰ τὸν τῆς θελήσεως τρόπον, καθ' ἣν ὀνομάζεται ἐν τοῖς θείοις ἀγάπη τὸ προϊόν. Εἰσὶ τοίνυν ἐν τοῖς θείοις τρεῖς πρόοδοι.

[10.2.25] Ἀλλ' ἔλεγεν, ὅτι μία καὶ ἡ αὐτὴ ἐστὶν πρόοδος ἐν τοῖς θείοις, ἡ οὖσα κατὰ τὸν τῆς φύσεως τρόπον, καὶ κατὰ τὸν τοῦ νοῦ· ταυτὸ γάρ ἐστιν Υἱὸς καὶ Λόγος. Ἀλλὰ τοὐναντίον· αἱ πρόοδοι τῶν κτισμάτων, ἀπεικάζονται ἐκ τῶν προόδων τῶν θείων προσώπων· ὅθεν λέγεται ἐν τῷ δευτέρῳ τῆς Πρὸς Ἐφεσίους περὶ τοῦ Θεοῦ Πατρός, ὅτι ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. Ἀλλ' ἐν τοῖς κτίσμασιν ἑτέρα ἐστὶν ἡ πρόοδος τῆς φύσεως, καθ' ἣν ὁ ἄνθρωπος γεννᾷ ἄνθρωπον· καὶ ἑτέρα ἡ τοῦ νοῦ πρόοδος, καθ' ἣν προφέρει λόγον. Οὐδ' ἄρ' ἐν τοῖς θείοις ἔστι μία πρόοδος, ἥτις ἔστι κατὰ τὸν τοῦ νοῦ τροπον, καὶ κατὰ τὸν τῆς φύσεως.

[10.2.26] Αὖθις, κατὰ τὸν Διονύσιον ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, τῇ θείᾳ ἀγαθότητι προσήκει τὸ προϊέναι. Ἀλλ' ὁ Πατὴρ ἐστὶν ἄκρως ἀγαθός. Πρόεισιν ἄρα. Εἰσὶν ἄρα ἐν τοῖς θείοις τρεῖς πρόοδοι· εἴτουν μία Πατρός, ἑτέρα Υἱοῦ, καὶ ἄλλη τοῦ Ἁγίου Πνεύματος.

**149-150** λέγεται – ὑπάρχων] Phil. 2, 6: ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. **171-172** κατὰ – προϊέναι] Ps.-Dion., De div. nom., cap. 2.

**[10.2.27] Ἀλλὰ τοὐναντίον, δοκεῖ ὅτι ἐν τοῖς θείοις, εἰσὶ δύο μόνον πρόοδοι· ὅτι ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος τρίτῳ φησίν· ὅτι ἡ πρόοδος τοῦ Υἱοῦ, τὸ γεννᾶν ἢ τὸ γεννᾶσθαι ἐστίν· ἡ δὲ τοῦ Ἁγίου Πνεύματος πρόοδος, οὔτε τὸ γεννᾶν, οὔτε τὸ γεννᾶσθαι ἐστίν· | [P 250v] ἑκάτερον μέντοι ἄρρητόν ἐστιν. Εἰσὶ τοίνυν ἐν τοῖς θείοις δύο πρόοδοι μόνον.**

**[10.2.28] Ἀπόκρισις. Ῥητέον, ὅτι αὕτη ἡτινῶν ἐρεσχελία, συνεβιάσατο τοὺς ἀρχαίους τῆς πίστεως διδασκάλους, τεχνικώτερον διαλεχθῆναι, ἐν τοῖς περὶ πίστεως. Ὁ γὰρ Ἄρειος, ὑπείληφεν ὅτι τὸ εἶναι ἀπ’ ἄλλου, τῇ θείᾳ πολεμεῖ φύσει· ὅθεν ἐγνωμάτευσε τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἃ ἐν ταῖς Γραφαῖς ἀπ’ ἄλλου εἶναι λέγεται, εἶναι κτίσματα. Ἧς δὴ πλάνης πρὸς καθαίρεσιν ἀναγκαῖον γέγονε τοῖς ἁγίοις Πατρᾶσιν ἀποδεικνῦναι μὴ εἶναι ἀδύνατον εἶναί τι προϊὸν ἀπὸ τοῦ Θεοῦ Πατρός, ὅπερ ἂν εἴη ὁμοούσιον αὐτῷ, ἐφόσον λαμβάνει παρ’ αὐτοῦ τὴν αὐτὴν φύσιν, ἣν ὁ Πατὴρ ἔχει. Ἀλλ’ ἐπεὶ ὁ Υἱὸς ἐκ τοῦ λαμβάνειν παρὰ Πατρὸς τὴν αὐτοῦ οὐσίαν, λέγεται ἀπ’ αὐτοῦ φῦναι ἢ γεγεννῆσθαι, τὸ Πνεῦμα δὲ τὸ ἅγιον οὐ λέγεται ἐν ταῖς Γραφαῖς πεφυκέναι, ἢ γεγεννῆσθαι· καὶ ὅμως λέγεται εἶναι ἐκ Θεοῦ, ᾠήθη Μακεδόνιος, τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἶναι ὁμοούσιον τῷ Πατρί, ἀλλ’ εἶναι αὐτοῦ κτίσμα· οὐ γὰρ ἐπίστευσε δύνασθαί τι ἀπ’ ἄλλου τὴν φύσιν λαμβάνειν, εἰ μὴ ἀφ’ οὗ φύοιτο, καὶ Υἱὸς αὐτοῦ εἴη. Ὅθεν ὑπόπτευκεν ἀνεξαπατήτως ἕπεσθαι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον λαμβάνει τὴν οὐσίαν καὶ τὴν φύσιν παρὰ Πατρός, εἶναι γεγεννημένον καὶ Υἱοῦ. Διά τοι τοῦτο καὶ πρὸς ἀποτείχισιν ταύτης τῆς πλάνης, ἀναγκαῖον γέγονε τοὺς ἡμετέρους μυσταγωγοὺς δαδουχεῖν τὴν θείαν φύσιν δύνασθαι μετέχεσθαι διπλῇ προόδῳ· ὧν μία ἐστὶ γεννᾶν ἢ γεννᾶσθαι· ἡ δ’ ἑτέρα, οὔ· καὶ τοῦτ’ ἐστὶ ζητεῖν προόδων διάκρισιν ἐν τοῖς θείοις. Ἔνιοι τοίνυν εἰρήκασιν, ὅτι αἱ πρόοδοι ἐν τοῖς θείοις διακρίνονται ἑαυταῖς· καὶ λόγος ταύτης τῆς θέσεως γέγονε, τὸ τιθέναι τὰς ἀναφορὰς μὴ διακρίνειν δύο ὑποστάσεις, ἀλλὰ τὴν αὐτῶν διάκρισιν ἐμφαίνειν μόνον, ἡγούμενοι τὰς ἀναφορὰς ἐν τοῖς θείοις εἶναι, ὡσανεὶ τὰς ἀτομικὰς ἰδιότητας τῶν κτιστῶν, αἳ τῆς τῶν ἀτόμων διακρίσεως οὐκ εἰσὶν αἴτιαι, ἀλλὰ μόνον ἐμφαντικαί. Φασὶ τοίνυν τὰς ὑποστάσεις ἐν τοῖς θείοις διακρίνεσθαι μόνῃ τῇ προόδῳ. Καὶ ἐπεὶ τὰ οἷς**

**176-178** ὁ – ἐστίν] Aug., De Trin. V.

πρῶτον τινὰ διακρίνονται, ἀνάγκη ἑαυτοῖς διακρίνεσθαι, ὥσπερ αἱ ἀντικείμεναι διαφοραί, αἷς τὰ εἴδη διαφέρει διακρίνονται ἑαυταῖς· ἐφ ᾧ μὴ ἐπ’ ἄπειρον πρόεισι· διατοῦτο φασὶ τὰς προόδους ἐν τοῖς θείοις διακρίνεσθαι ἑαυταῖς. Τοῦτο δ’ οὐχ οἷόν τε ἀληθεύεσθαι· καὶ γὰρ ἕκαστον διακρίνεται ἀπ’ ἄλλου, κατὰ μὲν τὸ εἶδος, τῷ δι’ οὗ τὸ εἶδος ἴσχει· κατὰ δὲ τὸν ἀριθμόν, τῷ ἀφ’ οὗ ἀτομίζεται. Αἱ δὲ ἐν ταῖς θείαις προόδοις διαφοραί, οὐ μόνον εἰσὶν ὥσπερ τὰ διαφέροντα τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ ὥσπερ τὰ διαφέροντα εἴδη, ἐφόσον ἡ μὲν μία ἔστι γέννησις, ἡ δὲ ἑτέρα, οὔ. Λείπεται τοίνυν τὰς θείας
P 251r προόδους | αὐτοῖς καθὸ τὸ εἶδος ἴσχουσιν. Οὐδεμία δὲ πρόοδος ἢ ἐνέργεια ἢ κίνησις ἔχει εἶδος ἀφ’ ἑαυτῆς, κληροῦται δὲ τὸ εἶδος ἀπὸ τοῦ πέρατος, ἢ τῆς ἀρχῆς. Ὅθεν οὐδαμῶς ἐστὶ ῥητέον, ὅτι πρόοδοί τινες διακρίνονται ἑαυταῖς· ἀλλὰ δεῖ διακρίνεσθαι παρὰ τὰς ἀρχάς, ἢ παρὰ τὰ πέρατα. Διὸ καὶ εἰρήκασιν ἔνιοι, ὅτι αἱ πρόοδοι διακρίνονται ἐν τοῖς θείοις παρὰ τὰς ἀρχάς· καθό, φημί, μία μέν ἐστι πρόοδος κατὰ τὸν τῆς φύσεως τρόπον, ἢ τὸν τοῦ νοῦ· ἑτέρα δὲ κατὰ τὸν τῆς θελήσεως τρόπον· ἡ γὰρ φύσις καὶ ὁ νοῦς καὶ ἡ θέλησις τινὰς ἐνεργειῶν καὶ προόδων ἀρχὰς σημαίνειν δοκοῦσιν. Ἀλλ’ εἴ τις μετὰ ἀκριβείας προσέχει τὸν νοῦν, ἐκ τοῦ προχείρου δύναται καθορᾶν, μὴ ἀποχρῆναι τοῦτο πρὸς τὴν τῶν θείων προόδων διάκρισιν, εἰ μή τι καὶ προστίθοιτο. Ἐπεὶ γὰρ ἀνάγκη πᾶσα ἐν τῷ προϊόντι εὑρίσκεσθαί τινα ὁμοιότητα τοῦ ὄντος ἀρχῆς τῆς προόδου, ὥσπερ ἐν τοῖς κτιστοῖς πράγμασι τὴν ὁμοιότητα τῆς μορφῆς τοῦ γεννῶντος, ἀνάγκη ἐστὶν εἶναι ἐν τῷ γεννωμένῳ, χρὴ τῶν προόδων ἐν τοῖς θείοις διακρινομένων, κατὰ τὸ τῆς μιᾶς μὲν εἶναι ἀρχὴν τὴν φύσιν, ἢ τὸν νοῦν· τῆς δὲ ἑτέρας, τὴν θέλησιν ἐν τῷ προϊόντι κατὰ μίαν τῶν προόδων· ὃ ἐλέγχεται ψεῦδος εἶναι. Κατὰ γὰρ μίαν τῶν προόδων, ἥτίς ἐστι τοῦ Υἱοῦ παρὰ Πατρός, κοινωνεῖ ὁ Πατὴρ τῷ Υἱῷ ὅτί ποτε ἔχει, καὶ τὴν φύσιν, καὶ τὸν νοῦν, καὶ τὴν δύναμιν, καὶ τὴν θέλησιν, καὶ ἁπλῶς ὅτί ποτε λέγεται, ἵν’ ὥσπερ ὁ Υἱὸς ἢ Λόγος, εἴτουν σοφία γεννητική, οὕτω δύναιτο λέγεσθαι φύσις ἢ θέλησις ἢ δύναμις γεννητή· τουτέστι διὰ γεννήσεως εἰλημμένη, ἢ μᾶλλον τῇ τοιαύτῃ διὰ γεννήσεως λαμβάνων. Ὅθεν φαίνεται διὰ τὸ τῆς οὐσίας ἐξαίρετα συνθεῖν εἰς μίαν τὴν τοῦ Υἱοῦ πρόοδον, μὴ δύνασθαι τῶν προόδων διαφορὰν εὑρίσκεσθαι, κατὰ διαφόρους λόγους τῶν ἀποδιδομένων· οὕτως ὥστε κατὰ

μίαν τῶν προόδων θεωρεῖσθαι ἑνὸς ἀποδιδομένου κοινωνίαν, καὶ κατ' ἄλλην ἄλλου. Ἐπειδὴ πέρας ἐστὶ προόδου τὸ ἔχειν, διὰ γὰρ τοῦτο πρόεισι τὸ θεῖον πρόσωπον, ἵν' ἔχῃ ὃ λαμβάνοι προϊόν, αἱ πρόοδοι δ κατὰ τὰ πέρατα διακρίνονται· ἀναγκαῖον ἵν' ὥσπερ τὸ ἔχον διακρίνεται ἐν τοῖς θείοις ἀπὸ τοῦ ἔχοντος, καθὸ τὸ μὲν ἔχει τάδε τὰ ἀποδιδόμενα, τὸ δ' ἄλλα· ἀλλὰ καθὸ τὰ αὐτὰ τὸ ἓν ἔχει ἀπ' ἄλλου. Καὶ γὰρ πάντῃ ὅσα ἔχει ὁ Πατήρ, ἔχει καὶ ὁ Υἱός· ἀλλ' ἐν τούτῳ διακρίνονται ὁ Υἱὸς ἀπὸ τοῦ Πατρός, ὅτι ὁ Υἱὸς ἔχει αὐτὰ ἀπὸ τοῦ Πατρός. Οὕτω τοίνυν ἓν προϊόν, ἀπ' ἄλλου προϊόντος διακρίνεται, οὐχ ὅτι ἓν ἐν τῷ προϊέναι λαμβάνει ταῦτα, ἄλλο δ' ἄλλα, ἀλλ' ὅτι τὸ ἓν αὐτῶν ἀπὸ
P 251$^{v}$ θατέρου λαμβάνει. | Ὁτιδήποτε τοίνυν συμβαίνει ἐν τῇ θείᾳ προόδῳ ὅπερ παραχρῆμα ἐν μιᾷ προόδῳ δύναται νοεῖσθαι, μηδεμιᾶς ἄλλης προεπινοουμένης, μιᾶς μόνης προόδου ἐστίν· ἐκεῖ δὲ εὐθὺς ἄλλη εὑρίσκεσθαι πρόοδος δύναται, ἐν ᾗ τὰ διὰ τῆς πρώτης εἰλημμένα πάλιν μετοχεύονται εἰς ἄλλην. Καὶ ταύτῃ μόνη ἡ τάξις τῶν προόδων ἡ κατὰ τὴν αἰτίαν θεωρουμένη, πληθύνεται ἐν τοῖς θείοις. Ὅθεν εἰκότως εἰρήκασιν οἱ θέμενοι τὴν μίαν μὲν πρόοδον εἶναι κατὰ τὸν τῆς φύσεως καὶ τοῦ νοῦ τρόπον, ἑτέραν δὲ κατὰ τὸν τῆς θελήσεως, ὅσον κατὰ τὸ τὴν μὲν πρόοδον τὴν οὖσαν τῷ τῆς φύσεως τρόπῳ ἢ τοῦ νοῦ μὴ προαπαιτεῖν· ἑτέραν πρόοδον τὴν δ' οὖσαν κατὰ τὸν τῆς θελήσεως ἑτέραν προαπαιτεῖν· ὁ γὰρ τινὸς ἔρως πράγματος, οὐ δύναται ἀπὸ τῆς θελήσεως προϊέναι, εἰ μὴ πρότερον νοοῖτο προελθεῖν λόγος συλληφθεὶς ἐξ ἐκείνου τοῦ πράγματος· τὸ γὰρ ἀγαθόν, νόημα ἔστιν ἀντικείμενον τῆς θελήσεως.

[10.2.29] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι οὐδὲν προσίσταται ἀπὸ τῆς θελήσεως εἶναι οὐσιώδης, ὅτι οὐ κατά τι συμβεβηκὸς θεωρεῖται· ἀλλ' ὅτι διὰ ταύτης τὴν οὐσίαν λαμβάνει τὸ προϊὸν πρόσωπον.

[10.2.30] Τὸ δεύτερον δὲ καὶ τὸ τρίτον συγχωροῦμεν.

[10.2.31] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι οὐδὲν προσίσταται ἀπὸ τῆς θελήσεως τὶ φυσικῶς προϊέναι. Ἡ γὰρ θέλησις φυσικῶς τείνει εἰς τὸ ἔσχατον τέλος, ὥσπερ καὶ ἡτισοῦν ἄλλη δύναμις φυσικῶς παραβάλλεται πρὸς τὸ ἴδιον ἀντικείμενον· κἀντεῦθεν ἐστὶ τὸ τὸν ἄνθρωπον φύσει ἐφίεσθαι τῆς εὐδαιμονίας·

**237** Ἐπειδὴ] ἐπεὶ a. corr. P

καὶ κατὰ τὸν αὐτὸν τρόπον ὁ Θεὸς φυσικῶς ἐφίεται τῆς αὐτοῦ ἀγαθότητος, ὡσπεροῦν καὶ φυσικῶς νοεῖ τὴν αὐτοῦ ἀλήθειαν. Ὥσπερ τοίνυν ὁ Υἱὸς φυσικῶς πρόεισιν ἀπὸ τοῦ Πατρὸς ὡς λόγος, οὕτω τὸ Πνεῦμα τὸ ἅγιον φυσικῶς πρόεισιν ἀπ’ αὐτοῦ ὡς ἀγάπη. Πλὴν οὐ πρόεισι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὸν τῆς φύσεως τρόπον· τοῦτο γὰρ ἐν τοῖς θείοις κατὰ τὸν τῆς φύσεως τρόπον, λέγεται προϊέναι ὃ πρόεισιν, ὥσπερ τὰ ἐν τοῖς κτιστοῖς ἐκ τῆς φύσεως προβαλλόμενα, καὶ οὐκ ἀπὸ τῆς θελήσεως. Οὕτω τοίνυν διαφέρει τὸ φυσικῶς προβάλλεσθαι, καὶ προβάλλεσθαι κατὰ τὸν τῆς φύσεως τρόπον· λέγεται γὰρ τὸ προβάλλεσθαι φυσικῶς διὰ τὴν φυσικὴν σχέσιν ἣν ἔχει πρὸς τὴν ἑαυτῶν ἀρχήν· κατὰ δὲ τὸν τῆς φύσεως τρόπον, λέγεταί τι προϊέναι, ὃ προβάλλεται ἀπό τινος ἀρχῆς, οὕτω προβαλλούσης, ὥσπερ ἡ φύσις προβάλλει.

[10.2.32] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ φυσικὴ ἀνάγκη καθ’ ἣν ἡ θέλησίς τι ἐξ ἀνάγκης θέλειν λέγεται, ὥσπερ τὴν εὐδαιμονίαν, οὐ διαμάχεται τῇ ἐλευθερίᾳ τῆς θελήσεως, ὡς ὁ Αὐγουστῖνος διδάσκεται ἐν τῷ πέμπτῳ βιβλίῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ συντάγματος. Τὸ γὰρ τῆς θελήσεως ἐξεῖναι τῇ βίᾳ καὶ τῇ συνωθείσῃ ἀντίκειται. Οὐκ ἔστι βέβαια ἡ συνώθησις ἐν τῷ κινεῖσθαι κατὰ τὴν
P 252r τῆς ἰδίας φύσεως τάξιν, ἀλλ’ ἐν τῷ μάλιστα τῆς κατὰ φύσιν | κινήσεως κωλύεσθαι· ὥσπερ ὅταν ἐπίσχοιτο τὸ βαρὺ καὶ καθυφίεσθαι πρὸς τὸ μέσον· ὅθεν ἡ θέλησις, μετὰ ἀδείας ἐφίεται τῆς εὐδαιμονίας, εἰ καὶ ἀναγκαίως αὐτῆς ἐφίεται. Ὡδὶ δὲ καὶ ὁ Θεὸς τὴν ἑαυτοῦ θέλησιν ἐλευθερίως ἀγάπην ἑαυτόν, εἰ καὶ ἐξ ἀνάγκης ἀγαπᾷ. Τοσοῦτο γὰρ ἀναγκαῖον ἀγαπᾶν ἑαυτόν, ὅσον ἔστιν ἀγαθός, ὥσπερ τοσοῦτο νοεῖ ἑαυτόν, ὅσον ἔστι νοητός. Πρόεισι τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρός, οὐ δυνατῶς μέντοι, ἀλλὰ ἀναγκαίως. Οὐδὲ δυνατὸν προϊέναι αὐτὸ ἔλαττον τοῦ Πατρός· ἀλλὰ τὸ γενέσθαι ἴσον ἀναγκαῖον, ὥσπερ καὶ τὸν Υἱόν, Λόγον ὄντα τοῦ Πατρός.

[10.2.33] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἡ κτίσις πρόεισιν ἀπὸ τῆς θείας βουλήσεως προῖκα, οὐκ ἀνάγκῃ· εἰ γὰρ καὶ ὁ Θεὸς τῇ αὐτοῦ θελήσει φυσικῶς καὶ ἀναγκαίως ἐρᾷ τῆς αὐτοῦ ἀγαθότητος, καὶ οὗτος ὁ προϊὼν ἔρως ὑπάρχει τὸ ἅγιον Πνεῦμα· οὐ φυσικῶς ὅμως, οὐδ’ ἐξ ἀνάγκης θέλει τὰ κτίσματα, ἀλλὰ προῖκᾳ. Οὐ γὰρ τὰ κτίσματα εἰσὶ τὸ ἔσχατον τέλος τῆς θελήσεως, οὐδὲ ἤρτηται

**277-280** ἡ – συντάγματος] cf. Aug., De Trin. V, cap. 10 (PL 42, col. 918).

τούτων ἡ τοῦ Θεοῦ ἀγαθότης, ἥτις ἐστὶ τὸ ἔσχατον τέλος· οὐ γὰρ ἐκ τῶν κτισμάτων ἐπιδίδωσί τι τῇ θείᾳ ἀγαθότητι· ὡσπεροῦν καὶ ὁ ἄνθρωπος ἐξ ἀνάγκης βούλεται τὴν εὐδαιμονίαν, οὐ μέντοι τὰ πρὸς αὐτὴν τεταγμένα.

[10.2.34] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι εἰ καὶ ἡ φύσις καὶ ἡ θέλησις ἐν τῷ Θεῷ μὴ διαφέροιεν πράγματι, ἀλλὰ τῷ λόγῳ μόνον, ὅμως προϊὸν κατὰ τὸν τῆς θελήσεως τρόπον, δεῖ πράγματι διαφέρειν τοῦ προϊόντος, κατὰ τὸν τῆς φύσεως τρόπον· καὶ τὴν μίαν πρόοδον τῆς ἑτέρας διαφέρειν πράγματι. Εἴρηται γὰρ κατὰ τὸν τῆς φύσεως τρόπον, πρόοδον εἶναι τὴν κατὰ τὸ νοεῖν, ἐφόσον πρόεισί τι ἀπ' ἄλλου, ὥσπερ τὸ προϊὸν ἀπὸ τῆς φύσεως· παραπλησίως τε, κατὰ τὸν τῆς θελήσεως τρόπον, ἡνίκα πρόεισιν ὥσπερ τὸ προϊὸν ἀπὸ τῆς θελήσεως. Αεὶ γὰρ ἡ θέλησις προβάλλει τι τινὸς προόδου προϋποτιθεμένης. Οὐ γὰρ εἴς τι ἡ θέλησις τείνει, εἰ μή τις προϋπάρχει πρόοδος νοῦ, τὶ συλλαμβάνοντος· ἐφόσον τὸ ἀγαθὸν νόημα κινῶν τὴν θέλησιν. Ἡ δ' οὖσα πρόοδος ἀπὸ τοῦ φυσικῶς ποιοῦντος, οὐ προϋποτίθεταί τινα πρόοδον, εἰ μὴ κατὰ συμβεβηκός, ἐφόσον δηλαδὴ φυσικῶς ποιοῦν ἤρτηται ἄλλου φυσικῶς ποιοῦντος· τοῦτο μέντοι οὐ προσήκει τῷ λόγῳ τῆς φύσεως, ἐφόσον φύσις ἐστίν. Ἀμέλει κἀκείνη ἡ πρόοδος, κατὰ τὸν τῆς φύσεως τρόπον νοεῖται ἐν τοῖς θείοις, ᾗ μηδεμίαν ἄλλην προϋποτιθεῖσα· ἐκείνη δ' αὖθις κατὰ τὸν τῆς θελήσεως, ἥτις ἐκ προϋποκειμένης προόδου, τὴν ἀρχὴν ἴσχει. Καὶ ταύτῃ ἀνάγκη πρόοδον εἶναι ἐκ προόδου, καὶ προϊόντα ἐκ προϊόντος· τοῦτο δὲ ποιεῖ πραγματικὴν διαφορὰν ἐν τοῖς θείοις.

[10.2.35] Τῷ δ' ὀγδόῳ συγχωροῦμεν.

P 252v [10.2.36] Πρὸς τὸ ἔνατον | ῥητέον, ὅτι ἑκατέρας προόδου ὁμοιότητα, ὁ Θεὸς κατεβάλλετο τοῖς δημιουργήμασι· πλὴν διὰ τῆς προόδου τῆς οὔσης κατὰ τὸν τῆς φύσεως τρόπον, ἡ φύσις ἐν τοῖς κτιστοῖς πράγμασι μετέχεσθαι δύναται· τὸ ἀποτέλεσμα γάρ ἐστιν ὅμοιον τῷ ποιοῦντι, ἐφόσον ἐστὶ ποιοῦν· ὅθεν διὰ τῆς ἐνεργείας, ἧς ἐστιν ἡ φύσις ἀρχή, τὸ ἀποτέλεσμα τὴν φύσιν λαμβάνει· ἀλλὰ διὰ τῆς ἐνεργείας ἧς ἡ θέλησις ἔστιν ἀρχή, οὐ δύναται λαμβάνειν εἰ μὴ τὴν ὁμοιότητα τοῦ ὄντος ἐν τῇ θελήσει, καθάπερ τέλους ἢ εἴδους, ὡς ἐν τοῖς τεχνητοῖς φαίνεται. Ὅτί ποτε δέ ἐστιν ἐν τῷ Θεῷ, ἔστιν ἡ θεία φύσις· ὅθεν χρὴ καθ' ἑκατέραν πρόοδον τὴν φύσιν μετέχεσθαι.

[10.2.37] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι λεγομένης ἐν τοῖς θείοις τῆς προόδου κατὰ τὸν τῆς φύσεως τρόπον ἢ τῆς θελήσεως, οὐ τίθεται ἐν τῷ Θεῷ τρόπος ὅς ἐστι ποιότης προσκειμένῃ τῇ θείᾳ οὐσίᾳ, ἀλλὰ δείκνυται ὁμοιότητος τινὸς ἐνέργεια τῆς θείας προόδου πρὸς τὴν ἐν τοῖς κτιστοῖς πρόοδον.

[10.2.38] Πρὸς τὸ ἐνδέκατον ῥητέον, ὅτι ἐν τοῖς θείοις ἡ πρόοδος ἡ οὖσα κατὰ τὸν τοῦ νοῦ τρόπον, οὐ διακρίνεται ἀπὸ τῆς προόδου, τῆς οὔσης κατὰ τὸν τῆς φύσεως τρόπον· διακρίνεται δὲ ἀφ' ἑκατέρας ἡ κατὰ τὸν τῆς θελήσεως τρόπον πρόοδος. Καὶ τοῦτο τριῶν ἕνεκα· πρῶτον μὲν ὅτι ὥσπερ ἡ πρόοδος ἡ κατὰ τὸν τῆς φύσεως τρόπον, οὐ προαπαιτεῖ ἑτέραν πρόοδον, οὕτως οὐδὲ ἡ κατὰ τὸν τοῦ νοῦ τρόπον πρόοδος· ἡ δὲ πρόοδος ἡ κατὰ τὸν τῆς βουλήσεως τρόπον, ἐξ ἀνάγκης προαπαιτεῖ ἑτέραν πρόοδον τὴν κατὰ τὸν τοῦ νοῦ τρόπον λέγω. Δεύτερον, ὅτι ὥσπερ ἡ φύσις προάγει τι ὅμοιον ἑαυτῇ, οὕτω καὶ ὁ νοῦς, ὥσπερ ἔνδον, ὡς δὲ καὶ ἐκτός· ἔνδον μέν, ὥσπερ ὁ λόγος ἐστὶν εἰκὼν τοῦ πράγματος τοῦ νοητοῦ, καὶ τοῦ νοοῦντος αὐτόν· ἔξω δέ, ὥσπερ τὸ εἶδος τὸ νοητὸν ἐνίεται τῷ τεχνητῷ. Ἡ θέλησις δέ, οὐ προάγει τὴν ἑαυτῆς ὁμοιότητα, οὔτε ἐντός, οὔτε ἐκτός. Ἐντὸς μὲν οὔ, ὅτι ἡ ἀγάπη, ἥτις ἐστὶν ὑφέστιος πρόοδος τῆς θελήσεως, οὐκ ἔστιν ὁμοιότης τὶς τῆς θελήσεως, ἢ τοῦ θελητοῦ, ἀλλά τις ἀπόμορξις καταλειπομένη ἐν τῇ θελήσει ἐκ τοῦ θελητοῦ, ἢ ἕνωσίς τις θατέρου πρὸς θάτερον. Ἐκτὸς δὲ οὔ, ὅτι ἡ θέλησις ἀποτυποῖ ἐν τῷ τεχνητῷ τὸ εἶδος, νοηθὲν πρότερον ἢ θεληθέν, κατὰ τὴν τοῦ λόγου τάξιν· ὅθεν ἀρχοειδέστερόν ἐστιν ἄγαλμα τοῦ νοῦ· καὶ δευτέρῳ λόγῳ, τῆς θελήσεως. Τρίτον ὅτι ἡ πρόοδος τῆς φύσεως, ἔστι μόνον ἀφ' ἑνὸς ὥσπερ ἀπὸ ποιοῦντος, εἰ τέλειον εἴη τὸ ποσοῦν. Οὐδ' ἐνίσταται τὸ ἔνια τῶν γεννωμένων ζῴων εἶναι ἐκ δυοῖν, εἴτουν ἐκ πατρός καὶ μητρός· μόνος γὰρ ὁ πατὴρ ἐστὶ ποιοῦν ἐν τῇ γεννήσει· ἡ δὲ μήτηρ, ἔστι πάσχον. Ὁμοίως τε ἡ τοῦ νοῦ πρόοδος ἔστιν ὥσπερ ἀφ' ἑνὸς μόνου· ἡ δὲ φιλία, ἥτις ἐστὶν ἀγάπη ἀμοιβαΐα, πρόεισιν ἐκ δύο πρὸς
P 253r | ἄλληλα σφῷ αὐτῷ φιλοῦνται.

[10.2.39] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι εἰ καὶ ἐν τοῖς θείοις ἰδίως μὴ λέγοιτο γένος ἢ εἶδος, ἢ καθόλου ἢ μερικόν, ὅμως κατά τινα εἰκασίαν τῶν κτιστῶν

φαμέν, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα διακρίνεσθαι ὥσπερ ἄτομα πολλὰ ἑνὸς εἴδους, ὡς καὶ ὁ Δαμασκηνός φησιν. Ἀλλὰ προσεκτέον τὸν νοῦν, ὅτι ἔν τινι ἀτόμῳ ὑπὸ τῷ τῆς οὐσίας γένει, εἶδος διχῇ θεωρεῖν δυνάμεθα· ἑνὶ μὲν τρόπῳ τὸ εἶδος τῆς ὑποστάσεως αὐτῆς· ἑτέρῳ τρόπῳ γὰρ εἶδος τῆς ἀτομιζούσης ἰδιότητος. Δοθέντος γὰρ τὸν μὲν Σωκράτην εἶναι λευκόν, μέλανα δὲ τὸν Πλάτωνα, καὶ δοθέντος τὴν λευκότητα καὶ τὴν μελανίαν εἶναι ἰδιότητας ἀτομιζούσας, τὸν Σωκράτην καὶ τὸν Πλάτωνα, ἀληθὲς ὂν ἐστὶ λέγειν τὸν Σωκράτην καὶ τὸν Πλάτωνα εἶναι τῷ μὲν εἴδει ὑφ’ ᾧ περιέχονται αἱ ὑποστάσεις ἕν. Συνίασι γὰρ ἐν τῇ ἀνθρωπότητι, διακρίνεσθαι δὲ κατὰ τὸ τῆς ἰδιότητος εἶδος· ἡ γὰρ λευκότης καὶ ἡ μελανία, εἴδη διαλλάττουσιν· ἔχει δ’ ὢς καὶ Πατρὸς πέρι καὶ Υἱοῦ. Θεωροῦνται μὲν ὡς ἐν τῷ εἴδει, οὗ αὐταὶ αἱ ὑποστάσεις εἰσὶν ὑποκείμενα, ἐφόσον εἰς μίαν συμβαίνουσι φύσιν θεότητος· κατὰ δὲ τὸ εἶδος τῆς προσωπικῆς ἰδιότητος διαφέρουσιν· ἡ γὰρ πατρότης καὶ υἱότης εἰσὶν ἀναφοραί, κατὰ τὸ εἶδος διαφέρουσαι. Ἔτι, ἰστέον ἐστίν, ὅτι ἡ γέννησις ἐν τοῖς κτιστοῖς πράγμασι καθ’ αὑτὴν τέτακται πρὸς τὸ εἶδος· ἡ γὰρ φύσις σκοπεῖ γεννᾶν ἄνθρωπον· ὅθεν καὶ ἡ τοῦ εἴδους φύσις διὰ τῆς γενέσεως πληθύνεται, ἐν τοῖς κτιστοῖς οὖσιν. Ἡ πρόοδος δὲ ἐν τοῖς θείοις ἐστὶ πρὸς πολλαπλασιασμὸν τῶν ὑποστάσεων, ἐν αἷς ἡ θεία φύσις μία τῷ ἀριθμῷ εὑρίσκεται· ὅθεν αἱ πρόοδοι ἐν τοῖς θείοις διαφέρουσιν ὡσανὰ κατ’ εἶδος, τῇ διαφορᾷ τῶν προσωπικῶν ἰδιοτήτων, εἰ καὶ ἐν τοῖς προϊοῦσιν ἐστὶ μία φύσις κοινή.

[10.2.40] Καὶ διὰ τούτου λύσις ὑπανοίγνυται πρός τε τὸ τρισκαιδέκατον καὶ τὸ τεσσαρεσκαιδέκατον.

[10.2.41] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· ἐφόσον εἰσὶ πολλὰ εἰ ἀποσκοποίημεν πρὸς τὰς πνέουσας ὑποστάσεις· ἐπεὶ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἀγάπα ἀμοιβαῖα, καὶ σύνδεσμος τῶν δύο, δεῖ κἀκτῶν δύο πνεῖσθαι· εἰ δ’ ἀποβλέποιμεν πρὸς ἐκεῖνο ᾧ τὰ πνέοντα πνέουσι, ταύτῃ πρόεισιν ἀπ’ αὐτῶν, ἐφόσον εἰσὶν ὂν τῇ θείᾳ φύσει· οὐ γὰρ δύναται ἀπ’ ἄλλου προϊέναι Θεός, εἰ μὴ ἀπὸ τοῦ Θεοῦ.

**356-357** τὸν – φησίν] Dam., De fid. orth. III, cap. 4 (PL 94, col. 997A): ὅτι ἡ μὲν οὐσία, τὸ κοινὸν καὶ περιεκτικὸν εἶδος τῶν ὁμοειδῶν ὑποστάσεων σημαίνει, οἷον, Θεός, ἄνθρωπος, ἡ δὲ ὑπόστασις, ἄτομον δηλοῖ, ἤτοι Πατέρα, Υἱόν, Πνεῦμα ἅγιον.

**[10.2.42] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ πρόοδος, ᾗ ἀντιδιαρεῖται τῇ πατρότητι καὶ τῇ υἱότητι, ἔστιν ἰδιότης προσωπικὴ τοῦ Ἁγίου Πνεύματος· ἢ καὶ μὴ εἴη ἀναφορὰ ὠνομασμένη, καθάπερ ἡ πατρότης καὶ ἡ υἱότης, δηλοῦται ὅμως τῷ τῆς προόδου ὀνόματι, ὥσπερ εἰ καὶ υἱότης εἴη ἀνώνυμος, καὶ δηλοῖτο τῷ ὀνόματι τῆς γεννήσεως, ὅπερ ἔστιν ἐδικὸν ὄνομα τῆς προόδου τοῦ Υἱοῦ. P 253v Οὐκ ἔχει δὲ ὄνομα ἡ πρόοδος | τοῦ Ἁγίου Πνεύματος ἰδικόν, διὰ τὸν τοιόνδε τρόπον τῆς προόδου μὴ εὑρίσκεσθαι ἐν τοῖς κτίσμασιν, ὃν μετενέγκαιμεν ἐν τοῖς θείοις· ὅθεν οὐχ ἕπεται κοινὴν πρόοδον ἐν τοῖς θείοις εἶναι μίαν μόνον.**

**[10.2.43] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἐν τῇ κτίσει ᾗ ἐστὶν ἐναντίον ὑποδεκτική, δύναταί τι εἶναι ὃ μὴ ἔστι τοῦ πράγματος φύσις· ἀλλ’ οὐκ ἐν τῷ Θεῷ· διὸ κἀν τοῖς θείοις, καθ’ ὀντινοῦν τρόπον προόδου μετέχεται ἡ φύσις, οὔκουν γεμὴν κἀν τοῖς κτίσμασιν· εἰ γὰρ καὶ εἰσὶν ἐν αὐτοῖς διάφοροι πρόοδοι, ἡ φύσις ὅμως οὐ μετέχεται, εἰ μὴ καθ’ ἕνα τρόπον.**

**[10.2.44] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι τὸ προϊέναι ἀπὸ τοῦ Πατρὸς κατὰ τὸν τῆς συναϊδιότητος τρόπον, προσήκει τῇ τοῦ Υἱοῦ προόδῳ, καθὸ κρίνεται ἀπὸ τοῦ προβάλλοντος· εἰ γὰρ τηνικαῦτα διαμάχοιτο τῇ ἰδιότητι τοῦ Ἁγίου Πνεύματος.**

**[10.2.45] Πρὸς τὸ ἐνεακαιδέκατον ῥητέον, ὅτι ὁ Υἱός ἐστιν ἀποχρῶν Λόγος τῆς ἐν χρόνῳ προόδου τῶν κτισμάτων, ὡς Λόγος καὶ ἀρχέτυπον· τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἀνάγκη εἶναι λόγον τῆς προόδου τῶν κτισμάτων ὡς ἀγάπη. Καθάπερ γὰρ λέγεται ἐν τῷ Θεῷ τῆς Σοφίας ὅτι ὁ Θεὸς ἐποίησε πάντα τῷ αὐτοῦ λόγῳ, οὕτω λέγεται ἐν τῷ ἑνδεκάτῳ αὐτῆς· ὅτι φιλεῖ** πάντα τὰ ὄντα· **καὶ ἀπεχθάνεται οὐδενὶ οἷς ἐποίησεν· ὅ τε Διονύσιός φησιν ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· ὅτι** ὁ θεῖος ἔρως οὐκ εἴασεν αὐτὸν ἄγονον.

**[10.2.46] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι ἡ τελεῖα φύσις ἔρρωται πρὸς ἐνεργείας πολλάς, εἰ καὶ πρὸς ἑκάστην ὀλίγιστα ἀπόχρη.**

**[10.2.47] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ἀφ’ ἑνὸς τοῦ Πατρὸς καὶ μόνου, ἔστι μία μόνον πρόοδος· ἀπὸ δὲ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἅμα, ἔστιν ἑτέρα πρόοδος, εἴτουν τοῦ Ἁγίου Πνεύματος.**

**406-408** ἐν – ἐποίησεν] Sap. 11, 25: ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας. **408-409** ὅ – ἄγονον] Ps.-Dion., De div. nom., cap. 4, v. 10 (PG 3, col. 708B, Ritter p. 155): Αὐτὸς γὰρ ὁ ἀγαθοεργὸς τῶν ὄντων ἔρως ἐν τἀγαθῷ καθ’ ὑπερβολὴν προϋπάρχων οὐκ εἴασεν αὐτὸν ἄγονον ἐν ἑαυτῷ μένειν.

[10.2.48] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι ἡ πρόοδος ἔστι πρόοδος ἀγάπης. Διὰ δὲ τῆς προόδου τῆς ἀγάπης, οὐ προεισί τι ὡς λαμβάνον τὸ εἶδος, τοῦ ἀφ᾽ οὗ πρόεισιν, οὔτε τὴν φύσιν· καὶ διατοῦτο ἡ τῆς ἀγάπης πρόοδος, οὐκ ἴσχει τὸν τῆς γεννήσεως λόγον, ἢ τῆς φύσεως. Ἀλλ᾽ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, λαμβάνει τὴν φύσιν καὶ τὸ εἶδος τοῦ Θεοῦ καὶ Πατρὸς τῇ ἑαυτοῦ προόδῳ τοῦτ᾽ ἔχει, ἐφόσον ἐστὶν ἀγάπη τοῦ Θεοῦ, ἐν ᾧ οὐκ ἔστι τι, ὃ μὴ ἔστι φύσις αὐτοῦ.

[10.2.49] Καὶ διὰ τούτου φαίνεται ἀπόκρισις, πρὸς τὸ εἰκοστὸν τρίτον.

[10.2.50] Πρὸς δὲ ἐκεῖνα οἷς ἐδείκνυτο ὅτι εἰσὶν ἐν τοῖς θείοις πλείους πρόοδοι ἢ δύο, ἀποκριτέον ἂν εἴη.

[10.2.51] Ὧν πρὸς τὸ πρῶτον ῥητέον, ὅτι ἐν τοῖς θείοις, καὶ ἡ αὐτή ἐστι πρόοδος, ἡ κατὰ τὸν τοῦ νοῦ τρόπον καὶ ἡ κατὰ τὸν τῆς φύσεως, ὡς ἐν τοῖς φθάσασι δέδεικται.

[10.2.52] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἡ ἀνθρωπεία φύσις, ὑλικὴ ἐστίν, εἴτουν ἐξ ὕλης καὶ εἴδους συγκειμένη· καὶ διατοῦτο ἐν τοῖς ἀνθρώποις ἡ πρόοδος τῆς φύσεως οὐ δύναται εἶναι εἰ μὴ κατά τινα μεταβολὴν ὕλης· ἡ δὲ κατὰ τὸν νοῦ τρόπον πρόοδος, ἀεὶ ἔστιν ἄυλος, καθὸ αὐτὸς ὁ νοῦς ἔστιν
P 254r ἄυλος· ὅθεν ἐν τοῖς ἀνθρώποις οὐ δύναται εἶναι | μία καὶ ἡ αὐτὴ πρόοδος ἡ κατὰ τὸν τρόπον τῆς φύσεως, καὶ ἡ κατὰ τὸν τοῦ νοῦ τρόπον· ἐν τοῖς θείοις δέ ἐστι μία καὶ ἡ αὐτή, διὰ τὸ τὴν θείαν φύσιν ἄυλον εἶναι.

[10.2.53] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἄλλο ἐστὶ προϊέναι εἰς ἄλλο, καὶ ἄλλο ἐστὶ προϊέναι ἀπ᾽ ἄλλου· τὸ προϊέναι γὰρ εἰς ἄλλο ἐστὶ τῆς ἑαυτοῦ ὁμοιότητος ἄλλο κοινωνεῖν· καὶ κατὰ τοῦτον τὸν τρόπον, ἔστι νοητέα τῆς θείας ἀγαθότητος ἡ πρόοδος εἰς τὰ κτίσματα κατὰ τὸν Διονύσιον· τὸ δὲ προϊέναι ἀπ᾽ ἄλλου, ἐστὶ τὸ εἶναι ἀπ᾽ ἄλλου ἔχειν· καὶ οὕτως ἐνταῦθα διαλεγόμεθα, καθ᾽ ὃν δὴ τρόπον, οὐ προσήκει τῷ Πατρὶ τὸ προϊέναι.

**Κεφάλαιον τρίτον**

**Περὶ τῆς τάξεως τῆς προόδου πρὸς τὴν ἀναφορὰν ἐν τοῖς θείοις.**

**[10.3.1] Τρίτον ζητεῖται περὶ τῆς τάξεως τῆς προόδου πρὸς τὴν ἀναφορὰν ἐν τοῖς θείοις. Καὶ δοκεῖ ὅτι ἡ πρόοδος κατ᾽ ἐπίνοιάν ἐστι προτέρα τῆς ἀναφορᾶς ἐν τοῖς θείοις. Φησὶ γὰρ ὁ Διδάσκαλος ἐν τῷ εἰκοστῷ τρίτῳ τμήματι τοῦ βιβλίου τῶν Ἀποφάσεων· ὅτι ὁ Πατήρ ἐστιν ἀεὶ Πατήρ· ἀεὶ γὰρ γεγέννηκε τὸν Υἱόν. Ἡ γέννησις δὲ τὴν πρόοδον σημαίνει, ὁ Πατὴρ δὲ τὴν ἀναφοράν. Ἡ πρόοδος ἄρα κατ᾽ ἐπίνοιαν ἡγεῖται τῶν ἀναφορῶν ἐν τοῖς θείοις.**

**[10.3.2] Ἔτι, ὁ Φιλόσοφός φησιν ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικὰ ὅτι αἱ ἀναφοραὶ ἐκ τῶν ἐνεργειῶν ἐντίκτονται ἢ ἐκ τῶν ποσοτήτων. Συμβαίνει δὲ τὰς θείας ἀναφορὰς μὴ ἐντίκτεσθαι ἐκ ποσότητος. Κατὰ τὸν τοῦ ἐπινοεῖν ἄρα τρόπον ἕπονται ταῖς ἐνεργείαις. Αἱ πρόοδοι δὲ ἐν τοῖς θείοις προσώποις** P 254v **δηλοῦνται τῷ τρόπῳ τῶν προσωπικῶν ἐνεργειῶν. Αἱ πρόοδοι ἄρα ἐν τοῖς θείοις ἡγοῦνται κατ᾽ ἐπίνοιαν τῶν ἀναφορῶν.**

**[10.3.3] Ἔτι, τὸ ἀπολελυμένον ἐστὶ πρότερον τοῦ ἀναφορικοῦ, ὥσπερ τὸ ἓν ἐστι πρότερον ἢ τὰ πολλά. Ἀλλ᾽ αἱ ἐνέργειαι μᾶλλον προσήκουσι τοῖς ἀπολύτοις ἢ αἱ ἀναφοραί. Πρότεραι ἄρα εἰσὶ κατ᾽ ἐπίνοιαν.**

**[10.3.4] Ἔτι, πᾶν ἀναφορικὸν πρὸς ἄλλο λέγεται. Οὐ δύναται <δὲ> εἶναι ἄλλο, ἔνθα μὴ ἔστι διάκρισις. Ἡ ἀναφορὰ ἄρα διάκρισιν προϋποτίθησιν. Ἡ διάκρισις δὲ ἐν τοῖς θείοις ἐστὶ κατὰ τὴν πρόοδον, ᾗ δὴ δηλαδὴ ἓν ἀφ᾽ ἑνὸς πρόεισιν. Αἱ πρόοδοι ἄρα κατ᾽ ἐπίνοιαν ἄρχουσι τῶν ἀναφορῶν ἐν τοῖς θείοις.**

**[10.3.5] Παρὰ ταῦτα, πᾶσα πρόοδος πρεσβεύει κατ᾽ ἐπίνοιαν τοῦ πέρατος τῆς προόδου. Ἡ δ᾽ υἱότης ἐστὶν ἀναφορὰ τοῦ Υἱοῦ, ἔστι πέρας τῆς γεννήσεως τῆς ὡς πάθος λαμβανομένης, ἢ ὡς πάθος λαμβανομένη· ἥτις ἐστὶ τοῦ αὐτοῦ Υἱοῦ ἡ πρόοδος. Ἡ πρόοδος ἄρα τοῦ Υἱοῦ πρεσβεύει τῆς υἱότητος. Ἀλλ᾽ ἡ υἱότης καὶ ἡ πατρότης εἰσὶ τῶν ἅμα οὐ μόνον τῇ φύσει καὶ τῷ χρόνῳ, ἀλλὰ καὶ τῇ ἐπινοίᾳ· ὅτι τὸ ἓν τῶν ἀναφορικῶν ἐστιν ἐκ τῆς ἐπινοίας τοῦ ἑτέρου. Ἡ τοῦ Υἱοῦ τοίνυν γέννησις ὡς πάθος λαμβανομένη, | οἱονεὶ πρεσβεύει τῆς πατρότητος κατ᾽ ἐπίνοιαν· καὶ πολλῷ μᾶλλον ἡ γέννησις ἡ ὡς ἐνέργεια λαμβανομένη**

**9-10** ὁ – ποσοτήτων] Ar., Metaph. V, 1020b25 ss.: Πρός τι λέγεται…

προτέρα ἐστὶ τοῦ Πατρός. Αἱ πρόοδοι τοίνυν ἁπλῶς πρεσβεύουσι τῶν ἀναφορῶν κατ' ἐπίνοιαν ἐν τοῖς θείοις.

[10.3.6] Ἀλλὰ τοὐναντίον. Πρότερον κατ' ἐπίνοιαν ἐστὶ τὸ πρόσωπον ἢ ἡ προσωπικὴ ἐνέργεια. Εἰσὶ δὲ αἱ μὲν ἀναφοραὶ ποιητικαὶ τῶν προσώπων, αἱ δὲ πρόοδοι ὡσανεὶ προσωπικαὶ ἐνέργειαι. Πρότεραι ἄρα κατ' ἐπίνοιαν εἰσὶν αἱ ἀναφοραὶ ἢ αἱ πρόοδοι.

[10.3.7] Χωρὶς δὲ τούτων, ἀνάγκη τὴν πρόοδον εἶναι τινὸς ἀπ' ἄλλου· ὥσπερ γὰρ χρῆμα οὐδὲν γεννᾷ ἑαυτό, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος πρώτῳ, οὕτως οὐδέ τι χρῆμα ἀφ' ἑαυτοῦ πρόεισιν. Ἡ πρόοδος τοίνυν διάκρισιν ἐν τοῖς θείοις ζητεῖ. Διάκρισις δὲ οὐκ ἔστιν ἐν τοῖς θείοις, εἰ μὴ κατὰ τὰς ἀναφοράς. Αἱ πρόοδοι ἄρα ἐν τοῖς θείοις προϋποτίθενται ἀναφοράς.

[10.3.8] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡ τάξις ἄνευ διακρίσεως οὐκ ἔστιν. Ὅθεν ἔνθα μὴ ἔστι διάκρισις πράγματι, ἀλλὰ μόνον κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον, ἐκεῖ οὐδὲ τάξις εἶναι δύναται, εἰ μὴ κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον. Διάκρισις δὲ πράγματι ἐν τοῖς θείοις οὐκ ἔστιν, ὅτι μὴ τῶν προσώπων πρὸς ἄλληλα, καὶ τῶν ἀντικειμένων ἀναφορῶν· ὅθεν ἐν τοῖς θείοις, οὐκ ἔστι τάξις πράγματι, εἰ μὴ ὅσον πρὸς τὰ πρόσωπα, ἐν οἷς ἐστι τάξις φύσεως κατὰ τὸν Αὐγουστῖνον, ᾗ δὴ τὸ ἓν πρόεισιν ἀπὸ τοῦ ἑτέρου, οὐχ ὅτι τὸ ἕτερον ἐστὶ πρότερον τοῦ ἑτέρου. Αἱ πρόοδοι δὲ πρὸς τὰς ἀναφοράς, οὐ διακρίνονται ἐν τοῖς θείοις πράγματι, ἀλλὰ μόνον κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον. Ὅθεν καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ πίστεως πρὸς Πέτρον· ὅτι ἴδιον τοῦ Πατρός ἐστι τὸ γεγεννημένον τοῦ Υἱοῦ. Δι' ὧν ὑπόνοιαν παρέχεται, τὸ γεννᾶν τὸν Υἱὸν εἶναι ἰδιότητα τοῦ Πατρός· οὐκ ἔστι δὲ ἄλλη ἰδιότης ἢ πατρότης, ἣ λέγεται εἶναι Πατρὸς ἰδιότης προσωπική. Οὐκ ἔστι τοίνυν ἐν τῇ προόδῳ καὶ τῇ ἀναφορᾷ ἐν τοῖς θείοις ζητητέα τάξις πράγματι, ἀλλὰ κατὰ τὸν τοῦ ἐπινοεῖν μόνον τρόπον. Ὥσπερ δὲ ἡ ἀναφορὰ καὶ ἡ πρόοδος ἐν τοῖς θείοις εἰσὶ τὸ αὐτὸ πράγματι, καὶ διαφέρουσι τῷ λόγῳ μόνον, οὕτω καὶ αὐτὴ ἡ ἀναφορά, εἰ καὶ ἡ αὐτή ἐστι κατὰ τὸ πρᾶγμα, ἔστι μέντοι πολυειδής, κατὰ τὸν τοῦ ἐπινοεῖν τρόπον. Νοοῦμεν γὰρ αὐτὴν τὴν ἀναφοράν, ὡς ποιητικὴν προσώπου· ὅπερ οὐκ ἔχει ἐφόσον ἐστὶν ἀναφορά. Ἐντεῦθεν δῆλον· αἱ γὰρ ἀναφοραὶ ἐν τοῖς ἀνθρωπείοις πράγμασιν, οὐ ποιοῦσι πρόσωπα, αἱ γὰρ ἀναφοραί εἰσι

**37-38** χρῆμα – πρόεισιν] Aug., De Trin. I, cap. 1, n. 1 (PL 42, col. 819): Nulla enim omnino res est quae se ipsam gignat ut sit. **49-52** ὁ – Πατρός] cf. Aug., De fid. ad Petr., cap. 2.

συμβεβηκότα· τὸ δὲ πρόσωπον, ἔστι τι ὑφεστῶς ἐν τῷ τῆς οὐσίας γένει· ἡ δ' οὐσία διὰ συμβεβηκότων γίνεσθαι οὐχ οἷα τε. Ἔχει δὲ τοῦτο ἡ ἀναφορὰ ἐν τοῖς θείοις τὸ πρόσωπον κατασκευάζειν, ἐφόσον ἐστὶ θεῖα ἀναφορά· ἐκ τούτου γὰρ ἔχει τὸ εἶναι ταυτὸ μετὰ τῆς θείας οὐσίας, ἐφόσον ἐν τῷ Θεῷ μηδὲν συμβεβηκὸς δύναται εἶναι· διὰ γὰρ τὸ ταυτὸν εἶναι πράγματι αὐτῇ τῇ P 255r θείᾳ | φύσει, τὴν θείαν ὑπόστασιν ποιεῖν δύναται. Ἔστι τοίνυν ἕτερος τρόπος διανοίας, ᾧ νοεῖται ἡ ἀναφορά, ᾗ ἐστὶν ἀναφορά. Ὅθεν οὐδὲν προσίσταται κατὰ μέν τινα τρόπον ἐπινοίας τὴν ἀναφορὰν προϋποτίθεσθαι πρόοδον, καθ' ἕτερον δὲ τὸ ἀνάπαλιν. Ταύτῃ τοίνυν ῥητέον, ὅτι εἰ θεωροῖτο ἡ ἀναφορὰ ᾗ ἐστιν ἀναφορά, προϋποτίθησι τὴν πρόοδον ἐπινοίᾳ· εἰ δ' αὖ θεωροῖτο ὡς ποιητικὴ ὑποστάσεως, οὕτως ἡ ἀναφορὰ ἡ οὖσα ποιητικὴ τοῦ προσώπου, ἀφ' οὗ ἐστιν ἡ πρόοδος, ἔστι προτέρα κατ' ἐπίνοιαν ἢ ἡ πρόοδος, ὥσπερ ἡ πατρότης ἐφόσον ἐστὶ ποιητικὴ τοῦ προσώπου τοῦ Πατρός, ἔστι προτέρα κατ' ἐπίνοιαν ἢ ἡ γέννησις. Ἡ ἀναφορὰ δὲ ἡ οὖσα ποιητικὴ προσώπου προϊόντος, ἐφόσον ἐστὶ ποιητικὴ προσώπου, ἔστιν ὑστέρα κατ' ἐπίνοιαν ἢ ἡ πρόοδος, ὥσπερ ἡ υἱότης ἢ ἡ γέννησις ἡ ὡς πάθος λαμβανομένη· καὶ τοῦτο διὰ τόδε, ὅτι τὸ προϊὸν πρόσωπον νοεῖται, ὡς πέρας τῆς προόδου.

[10.3.9] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Διδάσκαλος διαλέγεται περὶ τῆς πατρότητος, θεωρουμένης καθὸ ἀναφορὰ ἐστίν.

[10.3.10] Ὁμοίως δὲ ῥητέον, περί τε τοῦ δευτέρου καὶ τοῦ τρίτου.

[10.3.11] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ἐν οἷς πράγμασιν εἰσὶν αἱ ἀναφοραὶ συμβεβηκότα, ἀνάγκη τὴν ἀναφορὰν προϋποτιθέναι διάκρισιν· ἐν τοῖς θείοις δὲ αἱ ἀναφοραί, ποιοῦσι τρία διακεκριμένα πρόσωπα.

[10.3.12] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ πατρότης ἐστὶν ἐκ τῆς ἐπινοίας τῆς υἱότητος· καὶ τὸ ἀνάπαλιν, ᾗ δὴ ἑκατέρα θεωρεῖται ὡς ἀναφορά τις. Οὕτω δὲ φαμέν, ὅτι αἱ ἀναφοραὶ ἕπονται ταῖς προόδοις τῇ τάξει τῆς ἐπινοίας.

[10.3.13] Οἱ δὲ λοιποὶ δύο λογισμοί, προΐασιν ἐκ τῶν ἀναφορῶν, ᾗ δὴ εἰσὶ ποιητικαὶ προσώπων.

## Κεφάλαιον τέταρτον

## Πότερον τὸ Πνεῦμα τὸ ἅγιον πρόεισι καὶ ἐκ τοῦ Υἱοῦ, ἢ οὐ.

[10.4.1] Τέταρτον ζητεῖται, πότερον τὸ Πνεῦμα τὸ ἅγιον πρόεισι καὶ ἐκ τοῦ Υἱοῦ. Καὶ δοκεῖ οὐ δῆτα. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ δευτέρῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων ὅτι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα εἰσὶν οἷον ἄνθη τῆς θεογόνου θεότητος. Ἄνθος δὲ οὐκ ἔστιν ἐξ ἄνθους. Τὸ ἄρα ἅγιον Πνεῦμα οὐκ ἔστι καὶ ἐκ τοῦ Υἱοῦ.

[10.4.2] Ἔτι, εἰ ὁ Υἱός ἐστιν ἀρχὴ τοῦ Ἁγίου Πνεύματος, ἢ τοῦτο ἔχει ἀφ' ἑαυτοῦ, ἢ ἀπ' ἄλλου. Ἀφ' ἑαυτοῦ μὲν τοῦτο οὐκ ἔχει· τὸ γὰρ Υἱῷ, ἐφόσον Υἱὸς ἐστιν, οὐ προσήκει τὸ εἶναι ἀρχήν, ἀλλὰ μᾶλλον εἶναι ἐξ ἀρχῆς. Εἰ δὲ ἔχει τοῦτο ἀπὸ τοῦ Πατρός, δεῖ τούτῳ τῷ τρόπῳ εἶναι ἀρχήν, ᾧ καὶ ὁ Πατήρ. Ὁ δὲ Πατήρ ἐστιν ἀρχὴ κατὰ τὴν γέννησιν. Καὶ ὁ Υἱὸς ἄρα ἐστὶν ἀρχὴ τοῦ Ἁγίου Πνεύματος τῇ γεννήσει. Καὶ ταύτῃ τὸ Πνεῦμα τὸ ἅγιον ἔσται Υἱὸς τοῦ Υἱοῦ.

[10.4.3] Ἔτι, ὅπερ ὁτιοῦν ἐστι κοινὸν Πατρὶ καὶ Υἱῷ, ὁμοίως διαφέρει ὁποτέρῳ. Εἰ τοίνυν τὸ ἀρχὴν εἶναι κοινόν ἐστι Πατρὶ καὶ Υἱῷ, ὁ Υἱὸς ἔσται ἀρχὴ ᾧ τρόπῳ καὶ ὁ Πατήρ. Ὁ Πατὴρ δέ ἐστιν ἀρχὴ διὰ γεννήσεως. Ἄρα καὶ ὁ Υἱός. Καὶ ταύτῃ τὸ πρότερον.

[10.4.4] Παρὰ ταῦτα, ὁ Υἱὸς διατοῦτο ἐστὶν Υἱός, ὅτι πρόεισιν ἀπὸ τοῦ Πατρὸς
P 255v καί ἔστι ῥῆμα αὐτοῦ. | Τὸ Πνεῦμα δὲ τὸ ἅγιον λέγεται ῥῆμα τοῦ Υἱοῦ κατὰ τὸν Βασίλειον, ὃς εἴληφε τοῦτο ἐκ τῆς ἀποστολικῆς χρήσεως τῆς ἐν τῷ πρώτῳ τῆς Ἑβραίους, ὅτι φέρει ὁ Υἱὸς δηλαδὴ τὰ πάντα τῷ ῥηματικῆς δυνάμεως αὐτοῦ. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Υἱοῦ, δοκεῖ εἶναι ὁ Υἱὸς τοῦ Υἱοῦ.

[10.4.5] Ἔτι, εἰ καὶ ἡ πατρότης καὶ ἡ υἱότης πράγματι πρότερά εἰσιν ἐν Θεῷ ἢ ἐν ἡμῖν, κατ' ἐκεῖνο τοῦ ἀποστόλου ἐν τῷ τρίτῳ τῆς Πρὸς Ἐφεσίους· ἐξ οὗ δηλαδὴ Θεοῦ Πατρὸς πᾶσα πατριὰ ἐν οὐρανοῦ καὶ ἐπὶ γῆς ὀνομάζεται, ὅμως ταυτὶ τὰ ὀνόματα μετενήνεκται ἀπὸ τῶν ἀνθρωπείων ἐπὶ τὰ θεῖα. Ἀλλ' ἐν τοῖς

**4-6** φησὶ – θεότητος] Ps.-Dion., De div. nom., cap. 2, n. 7 (PG 3, col. 645B, Ritter p. 132): ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα. **20-22** ὃς – αὐτοῦ] Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. **25-26** ἐν – ὀνομάζεται] Eph. 3, 15: ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται.

ἀνθρώποις τὸ προϊὸν ἀπὸ τοῦ Υἱοῦ καλεῖται υἱειδοῦς. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Υἱοῦ, ἔσται υἱειδοῦς τοῦ Πατρός· ὅπέρ ἐστιν ἔνυλον.

[10.4.6] Ἔτι, ἡ ἰδιότης τοῦ Υἱοῦ ἐστὶν ἐν τῷ λαμβάνειν· ἐκ γὰρ τοῦ τὴν φύσιν Πατρὸς λαμβάνειν διὰ γεννήσεως, ἐπικαλεῖται Υἱος. Εἰ τοίνυν ὁ Υἱὸς ἐξ ἑαυτοῦ προβάλλει τὸ Πνεῦμα τὸ ἅγιον, ἔσονται ἐν τῷ Υἱῷ ἐναντίαι ἰδιότητες· ὅπέρ ἐστιν ἄτοπον.

[10.4.7] Ἔτι, πᾶν ὅπέρ ἐστιν ἐν τοῖς θείοις, ἢ κοινόν, ἢ ἴδιον ἐστί. Τὸ προβάλλειν δὲ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔστι κοινὸν ὅλῃ τῇ Ἁγίᾳ Τριάδι· οὐ γὰρ διαφέρει τῷ ἁγίῳ Πνεύματι. Ἄρα ἐστιν ἴδιον τοῦ Πατρός· ὡδὶ δέ, οὐ προσήκει τῷ Υἱῷ.

[10.4.8] Χωρὶς δὲ τούτων, τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν ἀγάπη, ὡς ὁ Αὐγουστῖνος ἀποδείκνυσιν, ἐν τῷ Περὶ Τριάδος βιβλίῳ. Ἡ δὲ εἰς τὸν Υἱὸν ἀγάπη τοῦ Πατρός, κατὰ χάριν ἔστιν· οὐ γὰρ ἀγαπᾷ τὸν Υἱὸν ὥς τι παρ' αὐτοῦ εἰληφώς, ἀλλ' ὥς τι διδούς. Ἡ δὲ τοῦ Υἱοῦ ἀγάπη, πρὸς τὸν Πατέρα ἔστιν ὀφειλομένη· οὕτω γὰρ ἀγαπᾷ τὸν Πατέρα, ὥς τι παρ' αὐτοῦ λαμβάνων. Ἡ δ' ὀφειλομένη ἀγάπη, ἐστὶν ἑτέρα παρὰ τὴν χάριν. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον εἴη ἀγάπη παρὰ Πατρὸς καὶ Υἱοῦ ἐκπορευομένη, ἕπεται εἶναι διάφορον ἑαυτῷ.

[10.4.9] Ἄνευ δὲ τούτων, τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἀγάπη κατὰ χάριν· ὅθεν καὶ ἀπ' αὐτοῦ προχέονται αἱ τῶν χαρισμάτων διανομαί, κατ' ἐκεῖνο τὸ ἐν τῷ δωδεκάτῳ τῆς Πρὸς Κορινθίους πρώτης· διαιρέσεις χαρισμάτων εἰσὶ τὸ δὲ αὐτὸ Πνεῦμα. Εἰ τοίνυν ἡ τοῦ Υἱοῦ ἀγάπη πρὸς τὸν Πατέρα οὐκ ἔστιν ἀγάπη κατὰ χάριν, τὸ ἅγιον Πνεῦμα οὐκ ἔστιν ἀγάπη τοῦ Υἱοῦ· οὐκ ἄρα πρόεισιν ἀπὸ τοῦ Υἱοῦ.

[10.4.10] Ἔτι, τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Υἱοῦ, ὡς ἀγάπη, ἐφόσον ὁ Υἱὸς ἀγαπᾷ τὸν Πατέρα, καθάπερ ὁ Πατὴρ τὸν Υἱόν· δεήσει τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ ἀπὸ τοῦ Πατρὸς πρόεισιν εἰς τὸν Υἱον, οὕτω καὶ ἀπὸ τοῦ Υἱοῦ προϊέναι εἰς τὸν Πατέρα. Τοῦτο δέ ἐστιν ὡς δοκεῖ ἀδύνατον· ἕψεται γὰρ τὸν Πατέρα λαμβάνειν τὶ παρὰ τοῦ Υἱοῦ· ὃ τοπαράπαν ἔστιν ἀδύνατον.

**38-39** τὸ – βιβλίῳ] cf. Aug., De Trin. XV, cap. 18, no. 32 et cap. 19, no. 37. **46-48** ἐν – Πνεῦμα] I Cor. 12, 4: Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα.

**[10.4.11] Ἔτι, ὥσπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἀγαπῶσιν ἀλλήλους, οὕτω καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ἢ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Εἰ τοίνυν τὸ ἅγιον Πνεῦμα πρόεισιν ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, διὰ τὸ τὸν Πατέρα καὶ τὸν Υἱὸν** P 256r **ἀγαπᾶν ἀλλήλους· τῷ ἴσῳ λόγῳ, ἐπεὶ ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα | ἀγαπῶσιν ἀλλήλους, τὸ Πνεῦμα τὸ ἅγιον προΐησιν ἀφ' ἑαυτοῦ, ὅπερ οὐχ οἷόν τε.**

**[10.4.12] Ἔτι, ὁ Διονύσιός φησιν ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων·** καθόλου **δέ,** οὐ τολμητέον **λέγειν τι, ἢ** νοεῖν περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος, παρὰ τὰ θει**οει**δῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. **Ἐν δὲ τῇ Ἱερᾷ Γραφῇ, οὐχ ἱεροφαντεῖται τὸ ἅγιον Πνεῦμα προϊὸν ἀπὸ τοῦ Υἱοῦ, ἀλλὰ μόνον ὅτι πρόεισιν ἀπὸ τοῦ Πατρός, κατ' ἐκεῖνο τὸ τοῦ Ἰωάννου ἐν τῷ πεντεκαιδεκάτῳ·** ὅταν ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. **Οὐ ῥητέον τοίνυν, οὔτ' οἰητέον, τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ.**

**[10.4.13] Ἐπὶ τούτοις, ἐν τοῖς πρακτικοῖς τῆς πρώτης ἐν Ἐφέσῳ Συνόδου οὕτω λέγεται· ὅτι ἀναγνωθέντος τοῦ συμβόλου ἐν πάσῃ τῇ Συνόδῳ, ἐψηφίσατο ἡ ἁγία Σύνοδος** ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ συγγράφεσθαι, ἢ συντιθέναι, παρὰ τὴν διορισθεῖσαν ὑπὸ τῶν ἁγίων Πατέρων, τῶν ἐς τὴν Νίκαιαν συνειλεγμένων μετὰ τοῦ Ἁγίου Πνεύματος· οἱ δὲ προπετευόμενοι ἢ πίστιν ἄλλην συντιθέναι ἢ προτείνειν ἢ προφέρειν, τοῖς βουλομένοις ἐπιστρέφειν εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἢ ἐκ τοῦ ἑλληνισμοῦ, ἢ ἐκ τοῦ Ἰουδαϊσμοῦ, ἢ ἔκ τινος αἱρέσεως· τούτους, εἰ μὲν ἐπίσκοποι εἰσίν, ἢ κληρικοί, ἀλλοτριοῦσθαι· τοὺς μὲν ἐπισκόπους τῆς ἐπισκοπικῆς ἀξίας, τοὺς δὲ κληρικοὺς τοῦ κληρικοῦ καταλόγου· εἰ δὲ λαϊκοὶ εἰσίν, ἀνάθεμα τίθεσθαι. **Παραπλησίως δὲ ἐν τοῖς Χαλκηδονικοῖς Πρακτικοῖς, μετὰ τὴν ἀνάρρησιν τοῦ τῆς εὐσεβείας ὅρου ὑπάγεται·** τοὺς δὲ τολμῶντας συντιθέναι πίστιν ἑτέραν, ἢ προφέρειν ἢ διδάσκειν ἢ παραδιδόναι σύμβολον ἕτερον τοῦ ἐθέλουσιν, ἢ ἐκ τοῦ ἑλληνισμοῦ πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἢ Ἰουδαίοις, ἢ ἐξ αἱρέσεως ἡστινοσοῦν ἐπιστρέψειν· τοῦτον, εἰ μὲν εἰσὶν ἐπίσκοποι ἢ κληρικοὶ ἀλλοτρίους γίνεσθαι· τοὺς μὲν ἐπισκόπους τῆς ἐπισκοπῆς, τοὺς δὲ κληρικοὺς τοῦ κλήρου· εἰ δὲ

**61-64** ὁ – ἐκπεφασμένα] Ps.-Dion., De div. nom., cap. 1, n. 1 (PG 3, col 588A, Ritter p. 108): Καθόλου τοιγαροῦν οὐ τολμητέον εἰπεῖν οὔτε μὴν ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. **65-68** κατ' – ἐκπορεύεται] Io. 15, 26: ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. **72-79** ἑτέραν – τίθεσθαι] Concil. Ephes. (an. 431), ed. E. Schwartz, Acta conciliorum oecumenicorum, vol. 1.1.7 (Berlin, 1929; repr. 1962), 105.20-106.1.

μοναχοὶ ἢ λαϊκοὶ εἰσίν, ἀναθεματιζέσθωσαν. **Ἐν τῷ προειρημένῳ δὲ τῆς Συνόδου ὅρῳ, οὐ πρόσκειται τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ, ἀλλ' ὅτι πρόεισιν ἀπὸ τοῦ Πατρός. Ἀναγινώσκεται γὰρ ἐν τῷ Συμβόλῳ τῆς ἐν Κωνσταντινουπόλει Συνόδου·** πιστεύω, εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν· τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· τὸ σὺν Πατρὶ καὶ Υἱῷ συνπροσκυνούμενον καὶ συνδοξαζόμενον. **Οὐκ ὤφειλε τοίνυν προστίθεσθαι ἄρτι ἐν τῷ τῆς πίστεως Συμβόλῳ, τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ.**

**[10.4.14] Αὖθις, εἰ τὸ Πνεῦμα τὸ ἅγιον λέγοιτο ἀπὸ τοῦ Υἱοῦ προϊέναι, ἢ τοῦτο λέγεται διά τι θέσπισμα τῆς Γραφῆς, ἢ διά τινα λόγον. Τῆς μὲν οὖν Ἱερᾶς Γραφῆς θέσπισμα, πρὸς τοῦτο δεικνύναι οὐδὲν ἀποχρῶν δοκεῖ· περιέχεται γὰρ ἐν τοῖς Ἱεραῖς Γραφαῖς, τὸ Πνεῦμα τὸ ἅγιον εἶναι τοῦ Υἱοῦ· καθάπερ λέγεται ἐν τῷ τετάρτῳ τῆς Πρὸς Γαλάτας·** ἀπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ | εἰς τὰς καρδίας ἡμῶν**· καὶ ἐν τῷ ὀγδόῳ τῆς Πρὸς Ῥωμαίους· εἰ δέ** P 256v **τις Πνεῦμα Χριστοῦ** οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. **Ἔτι, περιέχεται τὸ Πνεῦμα τὸ ἅγιον ἀποστέλλεσθαι παρὰ τοῦ Υἱοῦ· φησὶ γὰρ ὁ Χριστός, ἐν τῷ ἐκκαιδεκάτῳ τοῦ Κατὰ Ἰωάννην·** ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· **εἰ** δὲ **ἀπελεύσομαι,** πέμψω αὐτὸν πρὸς ὑμᾶς. **Οὐχ ἕπεται δὲ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ Υἱοῦ, διὰ τὸ λέγεσθαι Υἱοῦ, τὸ δὲ γὰρ τοῦδε πολυσχεδῶς λέγεται κατὰ τὸν Φιλόσοφον. Ὁμοίως δέ, οὐδὲ ἐκ τοῦ λέγεσθαι ἀπεστάλθαι τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Υἱοῦ· εἰ γὰρ καὶ ὁ Υἱὸς μὴ εἴη ἀπὸ τοῦ Ἁγίου Πνεύματος λέγεται μέντοι παρὰ τοῦ Ἁγίου Πνεύματος ἀποστέλλεσθαι, κατ' ἐκεῖνο τὸ τοῦ Ἡσαΐου πεντηκοστὸν ὄγδοον, ἐκ τοῦ μέρους τοῦ Χριστοῦ·** καὶ νῦν ἀπέσταλκέ με **ὁ** Κύριος, καὶ τὸ Πνεῦμα αὐτοῦ**· ἔτι ὁ αὐτὸς ἐν τῷ τεσσαρακοστῷ πρώτῳ· Πνεῦμα Κυρίου ἐπ' ἐμέ·** εὐαγγελίζεσθαι **πτωχοῖς ἀπέσταλκά με· ὅπερ ἐφ' ἑαυτοῦ ὁ Χριστὸς φησὶ πεπλῆσθαι. Ὁμοίως τε οὐχ οἷόν τε λόγοις, δραστηρίως ἀποδεδεῖχθαι. Εἰ γὰρ καὶ τὸ Πνεῦμα τὸ**

**80-86** τοὺς – ἀναθεματιζέσθωσαν] Concil. Chalc. (an. 451), ed. E. Schwartz, Acta conciliorum oecumenicorum, vol. 2.1.2 (Berlin, 1933), 130.4-11. **97-98** λέγεται – ἡμῶν] Gal. 4, 6: Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· ἀββᾶ ὁ Πατήρ. **98-99** ἐν – αὐτοῦ] Rom. 8, 9: ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. **100-102** φησὶ – ὑμᾶς] Io. 16, 7: ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. **107-108** κατ' – αὐτοῦ] Is. 48, 16: καὶ νῦν Κύριος ἀπέστειλέ με καὶ τὸ πνεῦμα αὐτοῦ. **109-110** ἐν – πεπλῆσθαι] cf. Is. 41, 1: ἐγκαινίζεσθε πρός με, νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν· ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν.

ἅγιον μὴ εἴη παρὰ τοῦ Υἱοῦ, ἔτι, ὡς δοκεῖ, διακεκριμένα ἔσονται ἀπ’ ἀλλήλων· διαφέρουσι γὰρ ταῖς αὐτῶν προσωπικαῖς ἰδιότησιν. Οὐδὲν τοίνυν συνωθεῖν δοκεῖ ὁμολογεῖν τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ.

[10.4.15] Ἔτι, ὃ πρόεισιν ἀπ’ ἄλλου, ἔχει τι παρ’ αὐτοῦ. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον πρόεισι ἐξ ἀμφοῖν, εἴτουν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀνάγκη λαμβάνειν ἐξ ἀμφοῖν· ὡδὶ δὲ ἕπεται εἶναι σύνθετον.

[10.4.16] Παρὰ ταῦτα, ἐκ τοῦ τῆς ἀρχῆς λόγου ἐστὶ τὸ μὴ εἶναι παρ’ ἄλλου, κατὰ τὸν Φιλόσοφον ἐν τῷ τῆς Φυσικῆς πρώτῳ. Ἀλλ’ ὁ Υἱός ἐστιν ἀπ’ ἄλλου δηλαδὴ τοῦ Πατρός. Ὁ Υἱὸς ἄρα, οὐκ ἔστιν ἀρχὴ τοῦ Πνεύματος.

[10.4.17] Ἔτι, ἡ θέλησις κινεῖ τὸν νοῦν πρὸς τὸ ἐνεργεῖν· ὁ γὰρ ἄνθρωπος νοεῖ ἡνίκα βούλεται. Τὸ δὲ ἅγιον Πνεῦμα, πρόεισι δίκην θελήσεως ὡς ἀγάπη, ὁ δὲ Υἱός, δίκην νοῦ ὡς Λόγος. Οὐ δοκεῖ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ, ἀλλὰ τοὐναντίον μᾶλλον.

[10.4.18] Ἔτι, οὐδὲν πρόεισιν ἀπὸ τοῦ ἐν ᾧ ἀναπαύεται. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Πατρός, καὶ ἐν Υἱῷ ἀναπαύεται, ὡς ἐν τῷ μαρτυρίῳ τοῦ Ἁγίου Ἀνδρέου ἀναγέγραπται. Τὸ Πνεῦμα τὸ ἅγιον ἄρα, οὐ πρόεισι καὶ ἐκ τοῦ Υἱοῦ.

[10.4.19] Χωρὶς δὲ τούτων, τὸ ἁπλοῦν οὐ πρόεισιν ἐκ δύο, τὸ γὰρ ἀποτέλεσμα ἔσται ἁπλούστερον καὶ πρότερον τῆς αἰτίας. Τὸ δ’ ἅγιον Πνεῦμα ἐστιν ἁπλοῦν. Οὐκ ἄρα πρόεισιν ἐκ δύο, δηλαδὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

[10.4.20] Ἔτι, εἴ τι πρόεισιν ἀφ’ ἑνὸς τέλεον, περιττὸν ἐστὶ προϊέναι ἐκ δύο. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον τέλειον πρόεισιν ἀπὸ τοῦ Πατρός. Παρέλκον τοίνυν ἐστὶ προϊέναι ἐκ Πατρὸς καὶ Υἱοῦ ὁμοῦ.

[10.4.21] Ἔτι, ὥσπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἰσὶν ἕν, τῇ τε οὐσίᾳ καὶ τῇ φύσει, οὕτω καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον,
P 257r οὐ σύνεισι τῷ Πατρὶ εἰς τὴν τοῦ Υἱοῦ γέννησιν. | Ἄρα οὐδὲ ὁ Υἱὸς κοινωνεῖ τῷ Πατρὶ εἰς τὴν τοῦ Ἁγίου Πνεύματος προβολήν.

[10.4.22] Ἔτι, ὁ Υἱός ἐστιν ἀκτὶς τοῦ Πατρός, ὡς φαίνεται διὰ τοῦ Διονυσίου, ἐν ἀρχῇ τοῦ Περὶ τῆς Οὐρανίου Ἱεραρχίας. Τὸ δ’ ἅγιον Πνεῦμα, λαμπηδών. Ἡ δὲ

**118-119** ἐκ – πρώτῳ] Ar., Phys. I, 189 a 30: τὴν δ' ἀρχὴν οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί τινος. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. **139-140** ὁ – Ἱεραρχίας] Ps.-Dion., De div. nom.: locum non inveni.

**λαμπηδών, οὐκ ἔστιν ἀπὸ τῆς ἀκτίνος. Οὐδ’ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Υἱοῦ.**

**[10.4.23] Ἄνευ δὲ τούτων, ὁ Υἱός ἐστιν οἱονεὶ φῶς τοῦ Πατρός, λόγος ὢν αὐτοῦ. Τὸ δ’ ἅγιον Πνεῦμα, καθάπερ θέρμη· ἔστι γὰρ ἀγάπη τις. ἀμέλει καὶ ἐπὶ τοὺς ἀποστόλους ἐν εἴδει** πυρὸς **ὤπται, ὡς ἐν τῷ δευτέρῳ τῶν Πράξεων. Ἡ δὲ θέρμη, οὐκ ἔστιν ἀπὸ τοῦ φωτός. Ἄρα οὐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Υἱοῦ.**

**[10.4.24] Ἔτι, ὁ Δαμασκηνὸς φησί· τὸ Πνεῦμα τὸ ἅγιον, τοῦ Υἱοῦ μὲν λέγεται, οὐκ ἐκ τοῦ Υἱοῦ δέ.**

**[10.4.25] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ εἰρημένον ὑπὸ τοῦ Ἀθανασίου·** τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ Πατρὸς **καὶ Υἱοῦ· οὔτε γινόμενον, οὔτε κτιζόμενον, οὔτε γεννώμενον, ἀλλὰ** προϊόν.

**[10.4.26] Ἔτι, τὸ Πνεῦμα τὸ ἅγιον, λέγεται τρίτον ἐν τῇ Τριάδι πρόσωπον,**
P 19r/v **δεύτερον δὲ ὁ Υἱός, πρῶτον δὲ ὁ Πατήρ. Ὁ δὲ τρία πρόεισιν ἀπὸ τῆς μονάδος, μεσιτευούσης τῆς διάδος. Τὸ Πνεῦμα ἄρα τὸ ἅγιον πρόεισιν ἀπὸ τοῦ Πατρός, μεσιτεύοντος τοῦ Υἱοῦ.**

**[10.4.27] Ἔτι, ἐν τοῖς θείοις προσώποις, ἄκρας οὔσης ἑνώσεως, ὁτιοῦν τῶν θείων προσώπων, ἔχει πρὸς ἄλλον ἄμεσον συγγένειαν. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ τὸ Πνεῦμα τὸ ἅγιον, μὴ εἴη ἀπὸ τοῦ Υἱοῦ· τηνικαῦτα γὰρ οὐκ ἀμέσως ἔχειεν συγγένειαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς πρὸς ἄλληλα, ἀλλὰ μόνον μεσιτεύοντος τοῦ Πατρός, διὰ τὸ ἄμφω εἶναι ἀφ’ ἑνός. Τὸ Πνεῦμα ἄρα τὸ ἅγιον, ἔστι καὶ ἐκ τοῦ Υἱοῦ.**

**[10.4.28] Χωρὶς δὲ τούτων, τὰ θεῖα πρόσωπα οὐ διακρίνεται ἀπ’ ἀλλήλων, εἰ μὴ κατ’ αἰτίαν. Εἰ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, μὴ εἴη ἐκ τοῦ Υἱοῦ, οὐ διακριθήσεται ἀπ’ αὐτοῦ, ὅπερ ἄτοπόν ἐστιν.**

**[10.4.28] Ἀπόκρισις. Ῥητέον, ὅτι κατὰ τὰ ἄνωθεν διορισθέντα, ἀναγκαῖον τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἐκ τοῦ Υἱοῦ· δεῖ γάρ, εἰ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα δύο πρόσωπα τυγχάνει ὄντα, ἑτέραν μὲν εἶναι τὴν πρόοδον θατέρου· ἑτέραν δὲ θατέρου. Δέδεικται δὲ ἐν τοῖς φθάσασι, μὴ οἷόν τε εἶναι δύο προόδους ἐν τοῖς**

**144-145** ἀμέλει – Πράξεων] Act. 2, 1: καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν. **148-149** ὁ – δέ] Ioh. Dam., Oratio in Sabbatum sanctum, ed. P.B. Kotter, Die Schriften des Johannes von Damaskos, vol. 5 [Patristische Texte und Studien 29] (Berlin/New York, 1988), 4.22: πνεῦμα ἅγιον τοῦ θεοῦ καὶ πατρὸς ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον, ὅπερ καὶ τοῦ υἱοῦ μὲν λέγεται ὡς δι’ αὐτοῦ φανερούμενον καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ’ οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. **150-152** τὸ – προϊόν] Non Athanasius sed fortasse Ps.-Cyr. Alex., De Trin. X (PG77, col. 1144, ll. 47-48): ἓν Πνεῦμα ἅγιον, τὸ Πνεῦμα προϊὸν μὲν ἐκ τοῦ Πατρὸς· οὐχ ὑϊκῶς δέ, ἀλλὰ ἐκπορευτῶς.

θείοις εἰ μὴ κατὰ τὴν τῶν προόδων τάξιν, ὡς δηλαδὴ ἀπὸ τοῦ προϊόντος κατὰ τὴν μίαν πρόοδον εἶναι τὴν ἑτέραν. Ἀναγκαῖον ἄρα τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ Υἱοῦ. [Sed praeter hanc rationem etiam ex aliis rationibus de necessitate probatur quod Spiritus sanctus sit a Filio.] Δεῖ γὰρ πᾶσαν διαφορὰν ὁτωνοῦν ἕπεσθαι ἐκ τῆς πρώτης ῥίζης τῆς διακρίσεως· εἰ μὴ τάχ᾽ ἴσως ἡ διαφορὰ κατὰ συμβεβηκὸς εἴη, ὥσπερ τὸ βαδίζον διαφέρει τοῦ καθημένου· καὶ τοῦτο διὰ τόδε, τὰ γὰρ καθ᾽ αὐτὰ ἐνόντα τινί, ἢ εἰσὶν ἐκ τῆς αὐτῶν οὐσίας, ἢ ἕπονται ταῖς οὐσιώδεσιν ἀρχαῖς, ἀφ᾽ ὧν πρῶτον ἐστὶν ἡ ῥίζα τῆς διακρίσεως τῶν ὄντων. Ἐν τοῖς θείοις δέ, οὐ δύναταί τι κατὰ συμβεβηκὸς εἶναι· τὸ γὰρ ἐπὸν τινὶ κατὰ συμβεβηκὸς ἀλλότριον ὂν τῆς αὐτοῦ φύσεως, ἀναγκαῖον ἐστὶ διαφέρειν P 257v αὐτῷ, ἀπό τινος | ἐξωτερικῆς αἰτίας, ὅπερ ἀθέμιτον λέγειν ἐν τοῖς θείοις. Ἀναγκαῖον ἄρα πᾶσαν διαφορὰν τῶν θείων προσώπων πρὸς ἄλληλα ἕπεσθαι ἐκ τῆς πρώτης ῥίζης τῆς διακρίσεως αὐτῶν. Πρώτη δὲ ῥίζα διακρίσεως Πατρὸς καὶ Υἱοῦ, ἐστὶν ἐκ τῆς πατρότητος καὶ τῆς υἱότητος. Ἀνάγκη ἄρα πᾶσαν διαφορὰν Πατρὸς καὶ Υἱου ἕπεσθαι ἐκ τοῦ τὸν μὲν εἶναι Πατέρα, τὸν δὲ Υἱόν. Τὸ δ᾽ εἶναι ἀρχὴν τοῦ Ἁγίου Πνεύματος, οὐ προσήκει τῷ Πατρὶ ᾖ Πατήρ, εἴτουν τῷ λόγῳ τῆς πατρότητος· οὕτω γὰρ οὐκ ἀναφέρεται, εἰ μὴ εἰς Υἱόν, ἀφ᾽ οὗ ἕψεται τὸ Πνεῦμα τὸ ἅγιον εἶναι Υἱόν. Ὁμοίως οὐδὲ τῷ τῆς υἱότητος λόγῳ διαμάχεται τοῦτο· κατὰ γὰρ τὴν υἱότητα, οὐκ ἀναφέρεται εἰ μὴ εἰς τὸν Πατέρα. Οὐκ ἄρα διαφέρει ὁ Πατὴρ τοῦ Υἱοῦ, τὸ τὸν μὲν Πατέρα εἶναι ἀρχὴν τοῦ Πνεύματος, τὸν δὲ Υἱὸν μὴ εἶναι. Ἔτι, ὥσπερ ἐν τῷ Περὶ συνόδων βιβλίῳ λέγεται, τῆς κτίσεως ἴδιον ὑπάρχει τὸ θελήσει τοῦ Θεοῦ προενηνέχθαι. Ὅπερ ὁ Ἱλλάριος ἐντεῦθεν ἀποδείκνυσιν, ὅτι ἡ κτίσις οὐκ ἔστι τοιαύτη, οἷα Θεὸς ἐστίν, ἀλλ᾽ οἷαν ὁ Θεὸς ἠθέλησεν εἶναι. Ὅτι δὲ ὁ Υἱός ἐστιν οἷος ὁ Πατήρ, λέγεται τὸν Πατέρα φυσικῶς γεννᾶν τὸν Υἱόν. Ὁ αὐτὸς δὲ Λόγος καὶ τοῦ Ἁγίου περὶ Πνεύματος, ἐπεὶ ὅμοιον καὶ ἴσον ἐστὶ τῷ Πατρί· ἡ γὰρ φύσις, ὅμοιον ἑαυτῇ προάγει. Ἀνάγκη δὲ τὴν οὖσαν παρὰ τοῦ Πατρὸς κτίσιν, διὰ τῆς αὐτοῦ θελήσεως, διατοῦτο εἶναι ἀπὸ τοῦ Υἱοῦ· ὅτι ἡ αὐτὴ ἐστὶ Πατρὸς καὶ Υἱοῦ θέλησις. Ὡς δὲ καὶ ἡ αὐτὴ φύσις ἑκατέρου. Δεῖ δὴ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπέρ ἐστιν ἀπὸ τοῦ Πατρός, οὕτως εἶναι καὶ ἀπὸ τοῦ Υἱοῦ. Ἀλλ᾽ ὅμως οὐχ

**ἕπεται τὸν Υἱὸν ἢ τὸ ἅγιον Πνεῦμα εἶναι ἀπὸ τοῦ Ἁγίου Πνεύματος, εἰ καὶ αὐτὸ μετὰ Πατρὸς μίαν ἔχει φύσιν· ὥσπερ ἕπεται τὴν κτίσιν εἶναι ἀπ' αὐτοῦ, ἐφόσον ἔχει μίαν θέλησιν μετὰ Πατρός, τά τε ἄλλα καὶ διὰ τὴν ἐψομένην ἐναντιότητα, εἰ τὸ Πνεῦμα τὸ ἅγιον λέγοιτο εἶναι ἀφ' ἑαυτοῦ, ἢ ὁ Υἱὸς λέγοιτο ἀπ' αὐτοῦ ἀρχὴ ὢν αὐτοῦ. Τοῦτο δὲ φαίνεται τῷδε τῷ τρόπῳ· οὐ γὰρ δύναται εἶναι ἐν τοῖς θείοις προσώποις διάκρισις, ὅτι μὴ κατὰ τὰς ἀναφοράς· τὰ γὰρ ἀπολύτως λεγόμενα ἐν τοῖς θείοις, οὐσίαν δηλοῖ, κοινά τε εἰσίν, ὥσπερ ἡ ἀγαθότης, ἡ σοφία, καὶ τὰ ὁμόστοιχα. Ἀλλ' οὐδὲ αἱ διάφοροι ἁπλῶς ἀναφοραὶ δύναται διάκρισιν ποιεῖν, εἰ μὴ τῷ λόγῳ τῆς πρὸς ἀλλήλας ἀντιθέσεως· ἀναφοραὶ γὰρ διάφοροι δύνανται εἶναι ἑνὸς πρός τινα· τοῦ γὰρ αὐτοῦ δύναται εἶναι υἱός, μαθητής, ἴσος, καί τινες ἄλλαι ἀναφοραὶ ἀντίθεσιν μὴ περιέχουσαι. Φαίνεται δὲ τὸν Υἱὸν διακρίνεσθαι ἀπὸ τοῦ Πατρός, κατὰ τὸ ἀναφορᾷ τινι ἀναφέρεσθαι πρὸς αὐτόν, παραπλησίως δὲ καὶ τὸ ἅγιον Πνεῦμα διακρίνεται ἀπὸ τοῦ Πατρὸς διά τινα ἀναφοράν. Αὗται δὲ αἱ ἀναφοραὶ εἰ καὶ ὁσωνοῦν ἀποκέκρινται ἀπ' ἀλλήλων, | [P 258r] οὐδενὶ τρόπῳ δύνανται διακρίνειν τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Υἱοῦ, εἰ μὴ εἰσὶν ἀντικείμεναι. Ἀντίθεσις δὲ ἄλλη ἐν τοῖς θείοις εἶναι οὐ δύναται, εἰ μὴ κατ' αἰτίαν, ᾗ δηλαδὴ ἔνεστιν ἀπ' ἄλλου. Οὐδενὶ ἄρα τρόπῳ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον δύνανται εἶναι διακεκριμένα, διὰ τοῦ ἑκάτερον διαφόρως ἀναφέρεσθαι πρὸς τὸν Πατέρα, εἰ μὴ τὸ ἓν αὐτῶν πρὸς θάτερον ἀναφέροιτο ὡς παρ' αὐτοῦ ὄν. Ὑπάρχει δὲ μὴ εἶναι τὸν Υἱὸν παρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου· ἐκ γὰρ τοῦ λόγου τοῦ Υἱοῦ, ἐστὶ μὴ ἀναφέρεσθαι, ὅτι μὴ πρὸς τὸν Πατέρα, ὡς παρ' αὐτοῦ ὤν. Λείπεται ἄρα ἐξ ἀνάγκης τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἀπὸ τοῦ Υἱοῦ. Ἀλλ' ἐπεὶ δύναταί τις λέγειν τὰ ἐκ πίστεως μὴ εἶναι μόνον λόγοις ἀποδεικτά, ἀλλὰ καὶ τῇ δεσποτείᾳ τῆς Ἱερᾶς Γραφῆς, λείπεται δεικνῦναι διὰ τῆς Ἱερᾶς Γραφῆς τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ Υἱοῦ. Φέρεται τοίνυν ἐν πολλοῖς χωρίοις τῆς Ἱερᾶς Γραφῆς, τὸ Πνεῦμα τὸ ἅγιον, εἶναι τοῦ Υἱοῦ· ὥσπερ ἐν τῷ ὀγδόῳ τῆς Πρὸς Ῥωμαίους·** εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστι **Χριστοῦ· καὶ ἐν τῷ τετάρτῳ τῆς Πρὸς Γαλάτας·** ἀπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν**· καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν**

**226-228** ὥσπερ – Χριστοῦ] Rom. 8, 9: ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ᾽ ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. **228-229** ἐν – ἡμῶν] Gal. 4, 6: Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· ἀββᾶ ὁ Πατήρ.

**Πράξεων·** ἐπειρ**ῶντο ἐπιέναι** εἰς Βηθανίαν, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα **τοῦ Ἰησοῦ. Οὐ γὰρ δύναται νοεῖσθαι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Χριστοῦ κατὰ τὴν ἀνθρωπότητα μόνον ὡς πληροῦν αὐτόν, τὸ γὰρ ἅγιον Πνεῦμα ἔστι τινὸς ἀνθρώπου ὡς ἔχοντος, οὐχ ὡς διδόντος. Τοῦ Υἱοῦ δέ ἐστι τὸ ἅγιον Πνεῦμα, ὡς διδόντος αὐτό, κατ' ἐκεῖνο τῆς πρώτης Ἰωάννου, ἐν τῷ τετάρτῳ·** ἐν τούτῳ γινώσκομεν ὅτι **ἐν** αὐτ**ῷ μένομεν ἐκ τοῦ Πνεύματος ὃ ἡμῖν δέδωκε· κἂν ταῖς πράξεσιν ἐν τῷ πέμπτῳ λέγεται, ὅτι δέδωκε** τὸ Πνεῦμα τὸ ἅγιον τοῖς **ὑπακού**ουσιν αὐτῷ. **Ἀνάγκη λέγεσθαι τὸ Πνεῦμα τὸ ἅγιον εἶναι τοῦ Υἱοῦ, ἐφόσον ἐστὶ θεῖον πρόσωπον. Ἢ τοίνυν λέγεται εἶναι αὐτοῦ ἀπολύτως, ἢ λέγεται εἶναι αὐτοῦ ὡς Πνεῦμα ἅγιον. Εἰ μὲν οὖν ἀπολύτως, τηνικαῦτα ἀνάγκη εἶναί τινα ἀξίαν τοῦ Υἱοῦ πρὸς τὸ Πνεῦμα. Παρ' ἡμῖν γὰρ δύναταί τις λέγεσθαι εἶναι ἑτέρου κατά τι, ὅταν μὴ ἔχει τι ἀξίωμα πρὸς αὐτόν, ὥσπερ ὅταν λέγηται ὁ Πέτρος ἐστὶ κοινωνὸς Ἰωάννου, εἰ καὶ μὴ δύναιτο λέγεσθαι ὁ Πέτρος τοῦ Ἰωάννου ἀπολύτως, εἰ μή τις εἴη κτῆσις αὐτοῦ, ὥσπερ ὁ δοῦλος αὐτὸ τοῦτο ὅπέρ ἐστι δοῦλος, λέγεται εἶναι κύριον. Ἐν τοῖς θείοις δὲ οὐ δύναται εἶναί τι δοῦλον, ἢ ὑποτεταγμένον· ἀλλὰ νοεῖται ἐκεῖ ἀξία, κατὰ μόνον τὴν αἰτίαν. Δεῖ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν αἰτίαν ἐκ τοῦ Υἱοῦ. Τὸ δ' αὐτὸ ἕπεται εἰρηθείη τὸ Πνεῦμα τὸ ἅγιον εἶναι Υἱοῦ Πνεῦμα· τὸ γὰρ ἅγιον Πνεῦμα, ᾗ δὴ**
P 258v **ἐστὶν ὄνομα προσωπικόν, ὑποτείνεταί τινα ἀναφορὰν αἰτίας | πρὸς τὸν πνέοντα, ὥσπερ ὁ Υἱὸς πρὸς τὸν γεννῶντα. Ὁμοίως τε εὑρίσκεται ἐν ταῖς Γραφαῖς, τὸν Υἱὸν ἀποστέλλειν τὸ Πνεῦμα, ὥσπερ ἐν τοῖς ἄνω εἴρηται. Ἀεὶ δὲ τὸ ἀποστέλλον ἔχειν δοκεῖ ἀξίωμα πρὸς τὸ ἀποστελλόμενον. Ἡ δὲ ἀξία ἐν τοῖς θείοις, ὡς εἴρηται, οὐκ ἔστιν εἰ μὴ κατὰ τὴν αἰτίαν. Ὅθεν ἕπεται τὸ Πνεῦμα τὸ ἅγιον τὴν αἰτίαν ἔχειν ἀπὸ τοῦ Υἱοῦ. Ἔτι τε πρεσβεύεται ἐκ τῆς Ἱερᾶς Γραφῆς διὰ τοῦ Ἁγίου Πνεύματος συμμορφοῦσθαι τῷ Υἱῷ ἡμᾶς· ἐκεῖνο τὸ ἐν τῷ ὀγδόῳ τῆς Πρὸς Ῥωμαίους·** ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας· **καὶ ἐν τῷ τετάρτῳ τῆς Πρὸς Γαλάτας·** ὅτι δὲ ἐστὲ υἱοί, ἀπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὰς καρδίας ἡμῶν. **Οὐδὲν δὲ συμμορφοῦται ἄλλῳ εἰ μὴ διὰ τοῦ**

**229-231** ἐν – Ἰησοῦ] Act. 16, 7: ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα. **234-235** ἐλθόντες – Πνεῦμα] I Io. 2, 3: Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. **235-237** κἂν – αὐτῷ] Act. 5, 32: καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. **255-256** ἐν – υἱοθεσίας] Rom. 8, 15: οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· ἀββᾶ ὁ πατήρ. **255-257** ἐν – ἡμῶν] vide supra in apparatu fontium [10.4.28].228-229.

**ἰδίου αὐτοῦ χαρακτῆρος. Καὶ ἐν τοῖς καθ’ ἡμᾶς δὲ τὸ συμμορφοῦν τινί, ἔστιν ἀπ’ αὐτοῦ· ὥσπερ τὸ σπέρμα τοῦ ἀνθρώπου, οὐκ ἀφορμιοῖ, εἰ μὴ τῷ ἀφ’ οὗ ἐστί. Τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἐστὶν ὡσανεὶ ἴδιος χαρακτὴρ αὐτοῦ· ὅθεν λέγεται περὶ τοῦ Χριστοῦ, ἐν τῷ πρώτῳ τῆς Πρὸς Κορινθίους δευτέρας·** καὶ ἐσφράγισ**εν** ἡμᾶς, **καὶ** ἔχρισ**εν** ἡμᾶς, καὶ ἔδ**ωκε** τὸν ἀραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. **Ἐνεργέστερον δὲ δείκνυται ἐν τῷ ἑκκαιδεκάτῳ τοῦ Κατὰ Ἰωάννην, ἐκ προσώπου τοῦ Υἱοῦ Περὶ τοῦ ἁγίου Πνεύματος· ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται. Οὐ γὰρ λαμβάνει ἀπὸ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὡσανεὶ πρότερον μὴ ἔχον· ταύτῃ γὰρ ἂν μεταβλητῆς καὶ ὑποδεοῦς εἴη φύσεως. Ὑπάρχει τοίνυν ἐξ ἀιδίου, λαμβάνων παρὰ τοῦ Υἱοῦ· ἀλλ’ οὐδὲ δύναται λαμβάνειν τι, ὅπερ μὴ ἔστιν ἡ οὐσία αὐτοῦ. Ἐξ αἰῶνος τοίνυν εἴληφεν ἐκ τοῦ Υἱοῦ τὴν οὐσίαν τὸ ἅγιον Πνεῦμα. Τὸν δὲ Λόγον, τί δή ποτε ἐκ τοῦ Υἱοῦ λαμβάνει αὐτὸς ὁ Υἱὸς ἐπάγει, λέγων·** πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά εἰσι· διατοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται· **μονονουχὶ λέγων, ὅτι ἐπεὶ ἡ αὐτὴ ἐστὶν οὐσία Πατρὸς καὶ ἐμοῦ, οὐχ οἷόν τε τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι, εἰ μὴ καὶ ἐξ ἐμοῦ. Ἔτι, παραδίδοται ἐν τῇ Ἱερᾷ Γραφῇ, τὸν Υἱὸν διὰ τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖν, καὶ τὰ ἄλλα· καθάπερ ἐν τῷ ἐνάτῳ τῆς Πρὸς Ἑβραίους λέγεται· ὅτι** διὰ Πνεύματος ἁγίου, προσήνεγκεν **ἑαυτόν. Ὁπόταν δέ τις τὶ διά του ποιεῖν λέγεται, ἀνάγκη ἤτοι τὸ ποιοῦν διδόναι δύναμιν ποιητικὴν τῷ δι’ οὗ ποιεῖ, ὥσπερ ὁ βασιλεὺς λέγεται ποιεῖν διὰ τοῦ ἐπάρχου, ἢ τοῦ ἐπιτρόπου, ἢ τὸ ἀνάπαλιν, ἢ ὅταν λέγηται ὁ ἐπίτροπος ἔστι ποιεῖ διὰ τοῦ βασιλέως. Δεῖ τοίνυν εἰ ὁ Υἱὸς ἐνεργεῖ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, ἢ τὸ Πνεῦμα τὸ ἅγιον ὀρέγειν δύναμιν ποιητικὴν τῷ Υἱῷ, ἢ τὸν Υἱὸν τῷ ἁγίῳ Πνεύματι· καὶ ταύτῃ θάτερον θατέρῳ διδόναι τὴν οὐσίαν τῆς ποιητικῆς δυνάμεως ἑκατέρῳ μὴ οὔσης ἄλλο παρὰ τὴν οὐσίαν αὐτῶν. Συμβαίνει δὲ τῷ ἁγίῳ Πνεύματι μὴ διδόναι τὴν οὐσίαν τῷ Υἱῷ, τοῦ Υἱοῦ μὴ ὄντος Υἱοῦ ὅτι μὴ Πατρός. Λείπεται τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τοῦ Υἱοῦ. Μετὰ δὲ τοῦτον τὸν Λόγον διὰ**

**260-263** λέγεται – ἡμῶν] II Cor. 1, 21-22: ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς Θεός, ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. **263-265** ἐν – λήψεται] Io. 16, 15. **270-271** Io. 16, 15: πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. **276-277** ἐν – ἑαυτόν] Hebr. 9, 14: πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

P 259r τῶν ὑπὸ τῶν Γρεκῶν ὁμολογουμένων, δυνατὸν τὸ αὐτὸ πιστεύεσθαι· ὁμολογοῦσι γὰρ αὐτοὶ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι παρὰ Πατρός, δι' Υἱοῦ, καὶ τὸν Πατέρα πνεῖν τὸ Πνεῦμα δι' Υἱοῦ. | Ἀεὶ δὲ τὸ δι' οὗ τι πρόεισιν, ἔστιν ἀρχὴ τοῦ προϊόντος. Ἀνάγκη τοίνυν τὸν Υἱὸν εἶναι ἀρχὴν τοῦ ἁγίου Πνεύματος. Εἰ δὲ ἀποδιδράσκειεν τὸ ἅγιον Πνεῦμα μὴ εἶναι ἀπὸ τοῦ Υἱοῦ διὰ τὸ τὸν Υἱὸν εἶναι ἀπ' ἄλλου, καὶ ταυτὸν μὴ εἶναι πρώτην αἰτίαν ῥίζαν τοῦ Ἁγίου Πνεύματος, φανερὸν ἐστὶ τηνάλλως πράγματα ἔχειν αὐτούς· οὐδεὶς γὰρ ἐξίσταται λέγειν τοὺς λίθους κινεῖσθαι ἐκ τῆς ῥάβδου, εἰ ἡ ῥάβδος κινεῖται ἀπὸ τῆς χειρός· εἰθ' ὁ Ἰακὼβ οὐκ ἔστιν ἀπὸ τοῦ Ἰσαάκ, εἰ ὁ Ἰσαὰκ ἐστὶν ἀπὸ τοῦ Ἀβραάμ. Ἀλλ' ἔτι ἧττον ἐστὶ φευκτέον εἰς τὸ προκείμενον· ἔστι γὰρ μία δύναμις προακτικὴ Πατρὸς καὶ Υἱοῦ· ὅπερ οὐ συμβαίνει ἐν τοῖς ποιοῦσι καὶ κινοῦσι κτιστοῖς. Ὅθεν ὥσπερ ὁμολογοῦμεν τὰ δημιουργήματα εἶναι ἀπὸ τοῦ Υἱοῦ, εἰ καὶ ὁΥἱὸς εἴη ἐκ τοῦ Πατρός. Πρόδηλον τοίνυν τοὺς λέγοντας τὸ ἅγιον Πνεῦμα εἶναι ἀπὸ τοῦ Πατρὸς δι' Υἱοῦ, οὐκ ἐκ τοῦ Υἱοῦ δέ, τὴν ἰδίαν φωνὴν ἀγνοεῖν, ὥσπερ ὁ Ἀριστοτέλης εἴρηκε περὶ Ἀναξαγόρου· θέλοντες γὰρ εἶναι τοῦ νόμου διδάσκαλοι, τὸν νόμον οὐ νοοῦσι· οὔτε περὶ τίνων λέγουσιν, οὔτε περὶ τίνων διαβεβαιοῦται, ὡς λέγεται ἐν τῷ πρώτῳ τῆς Πρὸς Τιμόθεον πρώτης.

[10.4.29] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα λέγονται ἄνθη τῆς θεογόνου θεότητος, ἤτοι τῆς πατρώου, ᾗ δὴ ἑκάτερα ἀπὸ τοῦ Πατρὸς ἐστίν. Ἀλλὰ καθόσον τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἀπὸ τοῦ Υἱοῦ, δύναται ὁ Υἱὸς εἶναι ῥίζα, καὶ ἄνθος τὸ ἅγιον Πνεῦμα· οὐ γὰρ τῶν σωματικῶν πραγμάτων αἱ εἰκόνες, σῴζονται ἐν ἅπασιν ἐν τοῖς θείοις.

[10.4.30] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τοῦτο ἔχει παρὰ τοῦ Πατρὸς τὸ ἐξ ἑαυτοῦ τὸ ἅγιον Πνεῦμα προβάλλειν· ὅθεν καὶ τῷ αὐτῷ τρόπῳ, προσήκει αὐτῷ, ᾧ καὶ τῷ Πατρί. Ὁ δὲ Πατήρ, οὐκ ἔστιν ἀρχὴ τῶν θείων προσώπων ἑνὶ τρόπῳ μόνον, ἀλλὰ δυσί, δηλαδὴ διὰ γεννήσεως καὶ ἐκπνεύσεως. Ὅθεν οὐ δύναται συμπεραίνεσθαι τὸν Υἱὸν εἶναι ἀρχὴν τοῦ ἁγίου Πνεύματος διὰ γεννήσεως, ἀλλ' ἔστιν ἀπάτη ἡ κατὰ τὸ ἑπόμενον, μηδὲ τοῦ Πατρὸς ὄντος ἀρχῆς μάλιστα τοῦ ἁγίου Πνεύματος διὰ γεννήσεως.

**301-304** θέλοντες – πρώτης] I Timoth. 1, 7: θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται.

**312** Πατρί] πατρός P

[10.4.31] Ὁμοίως δὲ ῥητέον καὶ περὶ τοῦ τρίτου.

[10.4.32] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, οὐ λέγεται ῥῆμα ἰδίως, ἀλλὰ κοινῶς, καθὸ πᾶν ὁτουοῦν δηλωτικὸν ῥῆμα αὐτοῦ λέγεται· τὸ γὰρ ἅγιον Πνεῦμα, ἔστιν ἐκφαντοικὸν τοῦ Υιοῦ· ᾗ δὴ καὶ ὁ Υἱὸς περὶ τοῦ Ἁγίου Πνεύματος φησίν, ἐν τῷ ἑκκαιδεκάτῳ τοῦ Ἰωάννου· ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται· ὁ δὲ Υἱὸς ἰδίως λέγεται ῥῆμα· ὡσανεὶ ἐννόημα τοῦ θείου νοῦ.

[10.4.33] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἐν τῇ ἀνθρωπίνῃ γεννήσει, υἱωνὸς λέγεται ὁ τῷ αὐτῷ τρόπῳ προϊὼν ἀπὸ τοῦ Υἱοῦ, ᾧ ὁ Υἱὸς ἀπὸ τοῦ Πατρός. Τὸ Πνεῦμα δὲ τὸ ἅγιον, οὐ πρόεισιν ἐν τοῖς θείοις ἀπὸ τοῦ Υἱοῦ, ὥσπερ ὁ Υἱὸς
P 259v
ἀπὸ τοῦ | Πατρός· ὅθεν ὁ λόγος οὐχ ἕπεται.

[10.4.34] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ εἶναι ἀρχήν, οὐκ ἔστιν ἐναντίον τῷ εἶναι ἐξ ἀρχῆς, εἰ μὴ ἀποσκοποῦσιν εἰς τὸ αὐτό· οὐ γὰρ δύναται εἶναι ἀρχὴ τοῦ ἀφ᾽ οὗ ἐστὶν ὡς ἀπαρχῆς. Ὅθεν οὐχ ἕπεται ἐν τῷ Υἱῷ εἶναι ἐναντίας ἰδιότητας, εἰ ἔστιν ὡς ἀπὸ μὲν τοῦ Πατρὸς, ὡς ἀπὸ ἀρχῆς, τοῦ δὲ Ἁγίου Πνεύματος ἐστὶν ἀρχή.

[10.4.35] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι τὸ ὂν ἐν τοῖς θείοις ἢ ἔστι κοινόν ἢ ἴδιον. Εἰ ἴδιον, λέγεται διχῇ· ἐνὶ μὲν τρόπῳ, ἁπλῶς καὶ ἀπολύτως, ὅπερ ἐνὶ μόνῳ προσήκει, ὥσπερ γὰρ τὸ γελαστικὸν τῷ ἀνθρώπῳ· ἑτέρῳ τρόπῳ, λέγεταί τι ἴδιον, οὐχ ἁπλῶς, ἀλλὰ πρός τι· ὡς ἂν εἰ λέγοιτο τὸ λογικὸν εἶναι ἴδιον τοῦ ἀνθρώπου ἐν παραθέσει πρὸς τὸν ἵππον, εἰ καὶ ἑτέρῳ προσήκει, εἴτοι τῷ ἀγγέλῳ. Ἔστι τοίνυν ἐν τοῖς θείοις τὶ κοινόν, ὃ προσήκει τοῖς τρισὶ προσώποις, ὡς τὸ εἶναι Θεόν, καὶ τὰ ὁμόλογα· ἕτερον, ὅπέρ ἐστιν ἴδιον ἁπλῶς, ὅπερ ἑνὸς προσώπου κατηγορεῖται μόνον· ἄλλο, ὅπέρ ἐστιν ἴδιον πρός τι, ὥσπερ τὸ πνεῖν τὸ Πνεῦμα τὸ ἅγιον ἔστιν ἴδιον Πατρὶ καὶ Υἱῷ, ἀποσκοποῦσιν εἰς τὸ ἅγιον Πνεῦμα· τοιοῦτον γὰρ ἴδιον δεῖ τιθέναι ἐν τοῖς θείοις, καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἴη παρὰ τοῦ Υἱοῦ· τὸ γὰρ εἶναι ἀπ᾽ ἄλλου, ἔτι μανεῖ ἴδιον τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, παραβαλλομένοις πρὸς τὸν Πατέρα.

**319** ὁτουοῦν] ὁτωοῦν a. corr. P

[10.4.36] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ ὄνομα τοῦ ὀφειλήματος ἐν τοῖς θείοις προσώποις οὐκ ὀρθῶς παντάπασι λέγεται, εἴ τις ὀρθῶς κρίνειν βούλεται· τὸ γὰρ ὀφείλημά τινα ἀντιδικίαν καὶ ἐνοχὴν αἰνίττεται, ἃ ἐν τοῖς θείοις οὐ δύνανται ὀρθῶς μέντοιγε. Ῥικάρδος ὁ ἐκ τοῦ Ἁγίου Βίκτορος ἐν τῇ Περὶ Τριάδος αὐτοῦ πραγματείᾳ χρῆται τὴν διάκρισιν τῆς προῖκα καὶ ὀφειληματικῆς ἀγάπης· διὰ μὲν γὰρ τῆς προῖκα νοεῖται τὸ μὴ ὂν ἀπ᾽ ἄλλου, διὰ δὲ τοῦ ὀφειληματικοῦ τὸ ἀπ᾽ ἄλλου· καθ᾽ ὃν δὴ τρόπον οὐδὲν προσίσταται νοεῖσθαι τὴν αὐτὴν ἀγάπην προῖκα ὡς οὖσαν τοῦ Πατρός, ὀφειληματικὴν δὲ οὖσαν τοῦ Υἱοῦ· ἡ αὐτὴ γάρ ἐστιν ἀγάπη, ᾗ ὅ τε Πατὴρ καὶ ὁ Υἱὸς ἀγαπᾷ· ἀλλὰ ταύτην τὴν ἀγάπην, ὁ μὲν Υἱὸς ἔχει παρὰ τοῦ Πατρός· ὁ δὲ Πατὴρ ἀπ᾽ οὐδενός.

[10.4.37] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐστὶ μόνον ἀγάπη κατὰ χάριν, ᾗ δὴ τῇ κατὰ χάριν ἀγάπῃ ἀντιτίθεται ἡ μισθωτικὴ ἀγάπη, ᾗ τι οὐ δι᾽ ἑαυτὸ ἀγαπᾶται, ἀλλὰ διά τινα ἐξωτερικὸν καρπόν. Καθὸ δὲ ἀγάπη κατὰ χάριν οὐ λέγεται διὰ τὸ ἀπ᾽ ἄλλου ἴσχειν τὴν αἰτίαν, οὐκ ἔστι παρὰ τὸν λόγον τοῦ Ἁγίου Πατρός, τὸ εἶναι ἀγάπη κατὰ χάριν· καὶ γὰρ κἀκείνη ἡ ἀγάπη ᾗ διὰ Πνεύματος Ἁγίου τὸν Θεὸν ἀγαπῶμεν, τὴν αἰτίαν ἴσχει ἐκ τῶν ἡμῖν παρὰ Θεοῦ διδομένων· καὶ ταύτῃ οὐδὲν προσίσταται τὴν ἀγάπην τοῦ Υἱοῦ, ὃς ἔχει ἀπ᾽ ἄλλου τὸ ἀγαπᾶν, Πνεῦμα ἅγιον εἶναι.

[10.4.38] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἀπὸ τοῦ Πατρὸς
P 260r προΐεσιν εἰς τὸν Υἱόν, καὶ ἀπὸ τοῦ Υἱοῦ | εἰς τὸν Πατέρα, οὐχ ὡς λαμβάνοντα, ἀλλ᾽ ὡς ἀντικείμενον τῆς ἀγάπης. Λέγεται γὰρ τὸ ἅγιον Πνεῦμα καὶ ἀπὸ τοῦ Πατρός, ὡς τὸν Υἱὸν προϊέναι, ἐφόσον ἐστὶν ἀγάπη, ᾗ ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν· τῷ ομοίῳ δὲ λόγῳ δυνατὸν λέγεσθαι καὶ ἀπὸ τοῦ Υἱοῦ, ὡς τὸν Πατέρα τὸ ἅγιον Πνεῦμα προϊέναι, ἐφόσον ἐστὶν ἀγάπη ᾗ ὁ Υἱὸς τὸν Πατέρα ἀγαπᾷ· δύναται δὲ νοεῖσθαι ἀπὸ τοῦ Πατρὸς εἰς τὸν Υἱὸν προϊέναι, καὶ ἐφόσον ὁ Υἱὸς λαμβάνει δύναμιν παρὰ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον πνεῖν· ᾡδὶ δὲ οὐχ οἷόν τε λέγεσθαι προϊέναι ἀπὸ τοῦ Υἱοῦ εἰς τὸν Πατέρα, μηδὲν λαμβάνοντος τοῦ Πατρὸς παρὰ Υἱοῦ.

**[10.4.39] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι τοῦτο τὸ ῥῆμα τὸ ἀγαπᾶν οὐ μόνον λέγει τὴν τῆς ἀγάπης προβολήν, ἀλλὰ καί τινα στοργὴν καὶ διάθεσιν κατ' ἀγάπην. Ἃ μὲν οὖν κατὰ πρόοδον ἐν τοῖς θείοις λέγεται, προσωπικῶς μόνον λαμβάνεσθαι δύνανται, ὡς τὸ γεννᾶν, τὸ πνεῖν, καὶ τὰ τοιάδε· ἃ δὲ μὴ προτείνει πρόοδον, ἀλλὰ μᾶλλον εἰς διάθεσιν ἀναφέρεται, ὡς τὸ εἶναι ἀγαθὸν καὶ νοεῖν καὶ ὅσα τούτων ἔχεται οὐσιωδῶς ἐν τοῖς θείοις λέγεται περὶ οὗ λέγεται. Κἀντεῦθεν ἐστὶ τὸ λεγόμενον περὶ τοῦ Ἁγίου Πνεύματος ἀγαπᾶν, οὐχ ὡσανεὶ ἀγάπην προβαλλομένου· ταύτῃ γὰρ τῷ Πατρὶ μόνῳ καὶ τῷ Υἱῷ προσήκει· ἀλλ' ᾗ δὴ τὸ ἀγαπᾶν οὐσιωδῶς λαμβάνεται ἐν τοῖς θείοις.**

**[10.4.40] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τοῦτο κεκανονισμένως ἐν τῇ Ἱερᾷ Γραφῇ εὑρίσκεται, τὸ τὸ λεγόμενον Περὶ Πατρός, δεῖν καὶ περὶ τοῦ Υἱοῦ νοεῖσθαι· καὶ ὃ λέγεται περὶ ἑκατέρου ἢ περὶ τοῦ ἑτέρου αὐτῶν, δεῖν καὶ τοῦ Ἁγίου πέρι Πνεύματος νοεῖσθαι, εἰ καὶ ἀναφορικὸν ὄνομα τίθοιτο, ἀλλὰ ἐκείνων μόνον οἷς τὰ θεῖα πρόσωπα διακρίνεται ἀπ' ἀλλήλων· ὥσπερ τὸ λεγόμενον ἐν τῷ ἑπτακαιδεκάτῳ τοῦ κατὰ Ἰωάννην· καὶ** αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι τὸν μόνον ἀληθινὸν Θεόν· καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν**. Οὐ γὰρ οἷόν τε λέγειν, μὴ προσήκειν τῷ Υἱῷ, εἶναι ἀληθινὸν Θεόν, διὰ τὸ αὐτὸν τὸν Υἱόν, μόνῳ τῷ Πατρὶ ἀποδιδόναι· ἐπεὶ γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἓν εἰσὶν εἰ καὶ μὴ εἷς, δεῖ τὸ περὶ τοῦ Πατρὸς λεγόμενον, καὶ περὶ Υἱοῦ λέγεσθαι. Οὐ δ' ἀρνητέον ἐστὶ διὰ τὸ ἐκεῖ εἶναι μνήμην καὶ περὶ τοῦ Ἁγίου Πνεύματος, ἐν τῇ καταλήψει τούτου, μὴ εἶναι ζωὴν αἰώνιον, μιᾶς οὔσης τῆς τῶν τριῶν γνώσεως· ὁμοίως τέ, οὐ περιαιρετέον τῷ ἁγίῳ Πνεύματι τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ γνῶσιν, εἰ καὶ ἐν τῷ ἑνδεκάτῳ τοῦ Κατὰ Ματθαῖον λέγεται·** οὐδεὶς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱός. **Ὅθεν ἐπεὶ τοῦθ' ὅπέρ ἐστιν ἔχειν ἐξ ἑαυτοῦ προϊὸν τὸ ἅγιον Πνεῦμα, οὐ προσήκει τῷ τῆς πατρότητος ἢ υἱότητος λόγῳ, οἷς ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἀπ' ἀλλήλων διακρίνονται· δεῖ ἡνίκα ἐν τοῖς ἀγγελίοις λέγεται τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Πατρός, ἐν τούτῳ αὐτῷ νοεῖσθαι ὅτι καὶ ἀπὸ τοῦ Υἱοῦ.**

**389-391** ἐν – Χριστόν] Ιο. 17, 3: αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. **397-398** ἐν – Υἱός] Mt. 11, 27: Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου˙ καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.

**[10.4.41] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ τῆς καθολικῆς πίστεως διδασκαλία, ἀποχρώντως παραδέδοται ἐν τῷ κατὰ Νίκαιαν συμβόλῳ· ἀμέλει καὶ οἱ ἅγιοι Πατέρες ἐν ταῖς ἑπομέναις Συνόδοις οὐ σκοποῦσι τὸ** P 260v **προσ|τιθέναι, ἀλλὰ διὰ τὰς ἐπιφυομέναις αἱρέσεις τὰ συνεμπτυγμένως ἐγκείμενα ἀναπτύσειν ἐσπουδάκεσαν· ὅθεν ἐν τῷ ὅρῳ τῆς κατὰ Χαλκηδόνα Συνόδου λέγεται,** ἡ παροῦσα νῦν ἁγία καὶ μεγάλη καθολικὴ Σύνοδος, τὸ κήρυγμα τόδε ἀπ᾽ ἀρχῆς ἀκλόνητον διδάσκουσα, διωρίσατο ἐν πρώτοις τῶν τ᾽ ὀκτὼ ἁγίων Πατέρων τῶν ἐς τὴν Νίκαιαν δηλαδὴ συνιόντων, τὴν πίστιν ἀκίνητον μένειν· διὰ τοὺς κατὰ τοῦ Ἁγίου Πνεύματος πόλεμον ἀραμένους, ἐπὶ τῶν ὑστέρων χρόνων διὰ τῶν ἐς τὴν Κωνσταντινούπολιν συναθροισθέντων, ρν᾽ ἁγίων Πατέρων, τὴν περὶ τῆς οὐσίας τοῦ Ἁγίου Πνεύματος παραδοθεῖσαν διδασκαλίαν κρατύνειν, ἣν ἐκεῖνοι πᾶσιν ἀναγκαίως προτείνουσιν, οὐχ ὡσάν τι ἔνδεον τοῖς πρότερον οὖσαν ἐπάγοντες· ἀλλὰ τὸν περὶ τοῦ ἁγίου Πνεύματος νοῦν αὐτῶν κατὰ τῶν τὴν κυριότητα αὐτοῦ ἀποποιεῖσθαι πειρωμένων, ταῖς τῶν Γραφῶν μαρτυρίαις δῆλον τιθέμενοι. **Κατὰ δὲ τοῦτον τὸν τρόπον, ῥητέον ἂν εἴη τὴν τοῦ Ἁγίου Πνεύματος πρόοδον ἀπὸ τοῦ Υἱοῦ συνεπτυγμένως ἐν τῷ κατὰ τὴν Κωνσταντινούπολιν συμβόλῳ περιέχεσθαι, διὰ τὸ ἐκεῖ περιειλῆφθαι προϊέναι ἀπὸ τοῦ Πατρός, ὃ γὰρ περὶ τοῦ Πατρὸς νοεῖται, δεῖ καὶ περὶ τοῦ Υἱοῦ νοεῖσθαι, ἐπεὶ ἐν μηδενὶ διαφέρουσι ὅτι μὴ τῷ τὸν μὲν εἶναι Υἱόν, τὸν δέ, Πατέρα. Διὰ δὲ τὰς ἐπανισταμένας αἱρέσεις, τῶν τὸ Πνεῦμα ἀρνουμένων εἶναι ἀπὸ τοῦ Υἱοῦ, προσῆκον γέγονεν ἐν τῷ συμβόλῳ τιθεῖναι, οὐχ ὡσάν τις προσθήκη, ἀλλὰ διεξοδικῶς ἑρμηνευόμενον, τὸ συνεπτυγμένως περιεχόμενον. Ὥσπερ εἰ αἱρέσεως φυομένης ἀπαγορευούσης τὸ ἅγιον Πνεῦμα εἶναι ποιητὴν οὐρανοῦ καὶ γῆς, ἐδέησε διαρρήδην τίθεσθαι τοῦτο ἐν τῷ προειρημένῳ συμβόλῳ μὴ λεγομένου, εἰ μὲν περὶ τοῦ Πατρός. Ὥσπερ οὖν ἡ ὑστέρα σύνοδος ἄδειαν κέκτηται διασαφοῦν τὸ ὑπὸ τῆς προτέρας συνόδου συντεθὲν σύμβολον, καὶ τιθέναι τινὰ πρὸς ἀνάπτυξιν αὐτοῦ ὡς ἐκ τῶν προειρημένων φαίνεται· οὕτω καὶ ὁ Ῥωμαϊκὸς ἀρχιερεύς, τοῦτο τῇ αὐτοῦ**

**αὐτοκρατορίᾳ δύναται, οὗ τῷ προστάγματι μόνῳ ἡ σύνοδος συνιέναι δύναται, καὶ ἀφ' οὗ ἡ τῆς συνόδου ψῆφος βεβαιοῦται, καὶ πρὸς ἣν ὑπὸ τῆς συνόδου ἐπάγεται. Ἃ δὴ πάντα φαίνεται ἐν τοῖς Χαλκηδονικοῖς Πρακτικοῖς. Οὐδέ ἐστιν ἀναγκαῖον πρὸς τὸ τὴν ὑφήγησιν τῆς ἐκπορεύσεως ποιήσασθαι καθολικὴν Σύνοδον ἀγείρειν, ἐνίοτε τοῦτο γίνεσθαι κωλυόντων ἀντικαθημένων πολέμων, ὡς ἐν τῇ ἑβδόμῃ Συνόδῳ ἀναγινώσκεται, ὅτι Κωνσταντῖνος Αὔγουστος εἴρηκε, μὴ δυνηθῆναι σύμπαντας τοὺς ἐπισκόπους συναγαγεῖν διὰ τοὺς ἐπικειμένους πολέμους· ἀλλ' ὅμως καὶ οἱ συνεληλυθότες, | P 261r ἀμφισβητήσιμά τινα διαστραφέντα ἐν τῇ πίστει, ἑπόμενοι τῇ ψήφῳ πάπα Ἀγάθωνος διωρίσαντο, δηλαδὴ ἐν τῷ Χριστῷ εἶναι δύο θελήσεις, καὶ δύο ἐνεργείας· ὁμοίως καὶ οἱ ἐν τῇ Χαλκηδόνι Συνόδῳ Πατέρες συνειλεγμένοι ἠκολούθησαν τῇ ψήφῳ Λέοντος τοῦ Πάπα, ὃς διωρίσατο τὸν Χριστὸν εἶναι ἐν δυσὶ φύσεσι μετὰ τὴν σάρκωσιν. Πλὴν σκοπεῖσθαι χρὴ ὅτι ἐξ ὧν διορίζονται αἱ καθολικαὶ Σύνοδοι, δείκνυται τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι καὶ ἐκ τοῦ Υἱοῦ. Προτείνει γὰρ ἡ Χαλκηδονικὴ Σύνοδος, ὡς ἐν τοῖς διορισμοῖς αὐτοῖς λέγεται, ἐπιστολαὶ τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρείας ἐκκλησίας προϊσταμένου συνοδικὰς πρός τε Νεστόριον καί τινας τῶν κατὰ ἀνατολήν. Ὧν μία ταύτη ἀναγινώσκεται·** ἐπεὶ πρὸς ἀπόδειξιν τῆς αὐτοῦ θεότητος ὁ Χριστὸς ἐχρῆτο τῷ αὐτοῦ Πνεύματι πρὸς τὰ μείζονα τῶν αὐτοῦ ἔργων, δοξάζεσθαι αὐτὸν λέγει παρ' αὐτοῦ, ὡς ἂν εἴ τις λέγῃ τῶν καθ' ἡμᾶς περὶ τῆς ἐμφύτου αὐτοῦ δυνάμεως ἢ σοφίας, ἢ περὶ ὁτουοῦν ὅτι δοξάσουσί με. Εἰ γὰρ καὶ ἔστιν ἐν ὑποστάσει εἰδικῇ τὸ Πνεῦμα, καὶ καθ' ἑαυτὸ νοεῖται ἀναμφισβήτως, ᾗ δὴ Πνεῦμα ἐστὶ καὶ οὐχ Υἱός· ἀλλ' ὅμως οὐκ ἔστιν ἀλλότριον αὐτοῦ· Πνεῦμα γὰρ ἀληθείας ὀνομάζεται καὶ ἐστί, καὶ προχεῖται ἀπ' αὐτοῦ ὥσπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός. **Οὐδ' ἀντιβαίνει τὸ λεγόμενον προχεῖσθαι καὶ μὴ ἐκπορεύεσθαι· ὡς γὰρ ἐκ τῶν προειρημένων φαίνεται, τοῦτο τὸ ἐκπορεύεσθαι ῥῆμα ἔστιν ἁρμοδιώτατον τῶν πρὸς αἰτίαν ἀφορώντων. Ὅθεν τῷ ἀποστελλομένῳ ἢ προχεωμένῳ ἢ ὁτῳδήποτε τρόπῳ ἐξανίσχοντι ἔκ τινος, ἕπεται τὸ ἐκπορεύεσθαι. Φέρεταί τε ἐν τῇ κατὰ τὴν Κωνσταντινούπολιν πέμπτῃ Συνόδῳ· ὅτι** ἑπόμεθα κατὰ πάντα τοῖς Ἁγίοις

Πατράσι καὶ διδασκάλοις τῆς ἐκκλησίας, Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νυσσαεῖ, Ἀμφροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Ἰωάννη τῷ Κωνσταντινουπόλεως, Κυρίλλῳ, Λέοντι, Πρόκλῳ, καὶ δεχόμεθα πάντα ἃ περὶ τῆς ὀρθῆς πίστεως, καὶ τῆς τῶν αἱρετικῶν κατὰ χειροτονίας ἐξέθεντο. **Φαίνεται δὲ διὰ τῶν πλειόνων αὐτῶν παραδέδοσθαι, ἐν τῇ τῆς πίστεως διδασκαλίᾳ, τὸ Πνεῦμα τὸ ἅγιον προϊέναι ἀπὸ τοῦ Υἱοῦ· παρ' οὐδενὸς δὲ τούτων ἀπαγορεύεσθαι. Ὅθεν οὐκ ἔστιν ἀντίπαλον ταῖς Συνόδοις, ἀλλὰ καὶ συνάδον αὐταῖς, τὸ τὸ ἅγιον Πνεῦμα προϊέναι λέγεσθαι από τοῦ Υἱοῦ.**

**[10.4.42] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι εἰ και τόδε τοῦδε πολλαχῶς λέγοιτο, ἐν τοῖς θείοις ὅμως οὐχ οἷόν τε νοεῖσθαι, εἰ μὴ κατ' αἰτίαν σχέσιν. Περὶ δὲ τῆς ἀποστολικῆς ἐπιστητέον ἂν εἴη, ὅτι κατατοῦτο πάντες συγχωροῦσιν οἱ διδάσκαλοι, ὅτι πρόσωπον οὐκ ἀποστέλλεται ἐν τοῖς θείοις, εἰ**
P 261v **μὴ τὸ ἀπ' ἄλλου οὗ· ὅθεν τῷ Πατρί, ὃς ἀπ' οὐδενὸς τοπαράπαν ἐστίν, οὐ προσήκει τὸ πέμπεσθαι. Ἀλλὰ τὸ γ' ἧκον εἰς τὸ πρόσωπον ἀφ' οὗ ἐστὶν ἡ ἀποστολή, διάφορός ἐστι τῶν διδασκάλων γνώμη· ὁ μὲν γὰρ Ἀθανάσιος, | καὶ ἄλλοι φασί, μηδὲν πρόσωπον ἀποστέλλεσθαι χρονικῶς, εἰ μὴ ἀφ' οὗ ἐστὶν ἀιδίως, ὥσπερ ὁ Υἱὸς πέμπεται χρονικῶς ἀπὸ τοῦ Πατρός, ἀφ' οὗ ἀιδίως πρόεισι· καὶ κατατοῦτο ἀνεξαπατήτως συμπεραίνεσθαι δύναται, εἰ τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Υἱοῦ ἀποστέλλεται, ἀιδίως ἀπ' αὐτοῦ ὑπάρχειν. Ὃ δὲ φαμὲν τὸν Υἱὸν παρὰ τοῦ Ἁγίου Πνεύματος ἀποστέλλεσθαι, νοητέον ἂν εἴη κατὰ τὴν ἀνθρωπίνην φύσιν διὰ τὸ τῷ ἁγίῳ Πνεύματι ἀποστέλλεσθαι πρὸς τὸ κήρυγμα· ὅθεν παρατετητημένως λέγεται ἐν τῷ τοῦ Ἡσαΐου πεντηκοστῷ πρώτῳ, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· καὶ ταύτῃ τὴν ἐξήγησιν Ἀμβρόσιος ποιεῖται, ἐν τῷ Περὶ Ἁγίου Πνεύματος βιβλίῳ, εἰ καὶ Ἱλάριος διὰ τοῦ Ἁγίου Πνεύματος ὑφηγεῖται νοεῖσθαι τὸν Πατέρα, ᾗ δὴ τὸ Πνεῦμα, οὐσιωδῶς λαμβάνεται ἐν τοῖς θείοις. Αὐγουστῖνος δὲ γνωματοῦσι, τὸ πρόσωπον τὸ προϊὸν χρονικῶς ἀποστέλλεσθαι ἀφ' οὗ μὲν ἔστιν ἀιδίως. Ἐπεὶ γὰρ ἡ ἀποστολὴ τοῦ θείου προσώπου νοεῖται διά τινος ἀποτελέσματος κτιστοῦ**

**483-484** ἐν – με] cf. Is. 41, 1: ἐγκαινίζεσθε πρός με, νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλλάξουσιν ἰσχύν· ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν. **484-485** καὶ – βιβλίῳ] Ambr., De spir. san. III, cap. 1 (PL 16, col. 777A-779A). **485-487** Ἱλάριος – θείοις] Hilar., De Trin. VIII (PL 10, col. 254A-B). **487-488** Αὐγουστῖνος – ἀιδίως] Aug., De Trin., cap. 10.

**ὅπερ ἐστὶν ἀφ᾽ ὅλης τῆς Τριάδος, τὸ ἀποστελλόμενον πρόσωπον ἀφ᾽ ὅλης πέμπεται τῆς Τριάδος· ὡς ἐν τῇ ἀποστολῇ μὴ νοεῖσθαι τὸ ἀξίωμα τοῦ ἀποστέλλοντος πρὸς τὸ ἀποστελλόμενον πρόσωπον, ἀλλὰ τὴν πρὸς τὸ κτιστὸν ἀποτέλεσμα αἰτίαν, καθὸ λέγεται ἀποστέλλεσθαι τὸ πρόσωπον. Οὐκ ἀποτειχίζεται δέ, ὁ ἀποδεικνύων λόγος· τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι διὰ τὴν διάκρισιν αὐτῶν, ὡς ἀρκουσῶν τῶν ἰδιοτήτων πρὸς διάκρισιν· αἱ γὰρ ἰδιότητες ἐκεῖναι, ἀναφορικαὶ μέν εἰσι, διακρίνειν δὲ οὐ δύναται εἰ μὴ ἀλλήλαις ἀντίκεινται, ὡς ἐκ τῶν φθασάντων φαίνεται.**

**[10.4.43] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι εἰ καὶ τὸ ἅγιον Πνεῦμα εἴη ἀπὸ τῶν δύο, οὐκ ἔστιν ὅμως σύνθετον· ὅτι ἐκεῖνα τὰ δύο, εἴτουν ὁ Πατὴρ καὶ ὁ Υἱός, εἰσὶ κατ᾽ οὐσίαν ἕν.**

**[10.4.44] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ὅπερ ὁ Φιλόσοφος ἀποδίδωσι ταῖς** ἀρχαῖς **τὸ μὴ εἶναι δηλαδὴ ἀπ᾽ ἄλλου, ἔστιν ἐφόσον εἰσὶ** πρῶται ἀρχαί. **Πρώτη δὲ ἀρχή, ὡσὰν οὕτως εἴποιμι, μὴ οὖσα ἐξ ἀρχῆς ἔστιν ὁ Πατήρ.**

**[10.4.45] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι εἰ καὶ ἡ θέλησις κινεῖ τὸν νοῦν πρὸς τὸ νοεῖν τι, πλὴν ἡ θέλησις οὔ τι θέλειν δύναται, εἰ μὴ προνενοημένον· ἀμέλει κἀπειδὴ μὴ ἔστιν ἐπ᾽ ἄπειρον ἰέναι, δεῖ καταλῦσαι εἴς τι, ὅπερ ὁ νοῦς φυσικῶς νοεῖ, μὴ λαμβάνων τοὐνδόσιμον παρὰ τῆς θελήσεως. Ὁ δ᾽ Υἱὸς πρόεισιν ἀπὸ τοῦ Πατρὸς φυσικῶς· ὅθεν εἰ καὶ πρόεισιν ὡς νόημα οὐχ ἕπεται εἶναι ἀπὸ τοῦ Ἁγίου Πνεύματος, ἀλλὰ τὸ ἀνάπαλιν.**

**[10.4.46] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι τὸ Πνεῦμα δύναται λέγεσθαι ἀναπαύεσθαι ἐν τῷ Υἱῷ τριχῇ· ἑνὶ μὲν τρόπῳ κατὰ τὴν ἀνθρωπείαν φύσιν· κατ᾽ ἐκεῖνο τὸ τοῦ Ἡσαΐου ἐν τῷ ἑνδεκάτῳ,** ἐξελεύσεται ῥᾶβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν Πνεῦμα **Κυρίου. Ἑτέρῳ τρόπῳ,** P 262r **| ὡσὰν νοοῖτο τὸ Πνεῦμα ἐν τῷ Υἱῷ ἀναπαυόμενον, διὰ τὸ τὴν πνευστικὴν δύναμιν παρὰ Πατρὸς δίδοσθαι τῷ Υἱῷ, μὴ ἐκτείνεσθαι δὲ ἐπέκεινα. Τρίτῳ τρόπῳ, καθὸ ἡ ἀγάπη λέγεται ἠρεμεῖν ἐν τῷ ἀγαπωμένῳ, ἐν ᾧ ἠρεμίζεται ἡ τοῦ ἀγαπῶντος διάθεσις. Οὐδενὶ δὲ τούτων τῶν τρόπων, ἀπαγορεύεται ἡ τοῦ Ἁγίου Πνεύματος πρόοδος ἀπὸ τοῦ Υἱοῦ.**

**501-502** ὁ – ἀρχαί] Ar., Phys. I, 189a30-32: ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς· τὸ γὰρ ὑποκείμενον ἀρχή, καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι. **512-514** κατ᾽ – Κυρίου] Is. 11, 1-2: καὶ ἐξελεύσεται ράβδος ἐκ τῆς ρίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ρίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα τοῦ Θεοῦ.

**503, 514** ὡσὰν] ὡσᾶν P

**[10.4.47] Πρὸς τὸ ἐνεακαιδέκατον ῥητέον· ὅτι οὐ πολεμεῖ τῇ τοῦ Ἁγίου Πνεύματος ἁπλότητι, τὸ προϊέναι ἐκ δυοῖν, εἴτουν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· κατὰ τὴν οὐσίαν ου..ιν ἕν.**

**[10.4.48] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι αὐτὴ ἐστὶ τελειότης, Πατρὸς καὶ Υἱοῦ· ὅθεν διὰ τοῦτο Πνεῦμα προϊέναι ἀπὸ τοῦ Πατρὸς τελείως, οὐκ ἀπεκλείεται μὴ ἐκπορεύεσθαι ἐκ τοῦ Υἱοῦ· ἄλλως γὰρ ἕψεται τὴν κτίσιν μὴ κτίζεσθαι ἀπὸ τοῦ Υἱοῦ· τελείως κτιζομένην ἀπὸ τοῦ Πατρός.**

**[10.4.46] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι ἡ τῆς οὐσίας ταυτότης, οὐ σύγχυσιν εἰσάγει τῶν προσώπων· ὅθεν διὰ τὴν τῆς οὐσίας ἑνότητα, οὐ δύναται συμπεραίνεσθαι τὰ διαμαχόμενα τῇ κατὰ τὰ πρός τι διακρίσει· ὡδὶ δὲ ἐκ τοῦ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα εἶναι ἕν, οὐ δύναται συμπεραίνεσθαι τὸν Υἱὸν εἶναι ἀπὸ τοῦ Ἁγίου Πνεύματος, εἰ καὶ ἀπὸ τοῦ Πατρὸς εἴη· τὸ γὰρ ἅγιον Πνεῦμα, ἔστιν ἀπ’ αὐτοῦ· καὶ ὅτι ἕψεται αὖθις τὸ Πνεῦμα τὸ ἅγιον εἶναι Πατέρα· μηδενὸς ὄντος ἄλλου, τοῦ εἶναι Πατέρα· ἢ ἔχειν Υἱὸν ἀφ’ ἑαυτοῦ προϊόντα.**

**[10.4.47] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον, ὅτι τὸ ἀπαύγασμά ἐστιν ἀπὸ τῆς ἀκτῖνος· ἐφοσον μηδὲν ἄλλο τυγχάνει ὄν, ἢ ἀντανάκλασις τῆς ἀκτῖνος πρὸς τὸ λαμπρὸν σῶμα· ἀλλ’ ὅμως τὸ ἀπαύγασμα ἀνατίθεται τῷ Υἱῷ, ὡς ἐν τῷ πρώτῳ τῆς Πρὸς Ἑβραίους·** ὃς ὢν ἀπαύγασμα τῆς δόξης.

**[10.4.48]Πρὸς τὸ εἰκοστὸν τρίτον ῥητέον, ὅτι ἡ θέρμη ἐστίν, ἀπὸ τοῦ ἀπαυγάσματος· τὰ γὰρ οὐράνια σώματα, ἐν τούτοις τοῖς ὑποβεβηκόσι διὰ τῶν ἰδίων ἀκτίνων, ποιοῦσι τὴν θέρμην.**

**[10.4.49] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον, ὅτι θέσις τῶν Νεστοριανῶν γέγονε, τὸ Πνεῦμα τὸ ἅγιον μὴ εἶναι ἀπὸ τοῦ Υἱοῦ· ὅθεν ἔν τινι τῶν Νεστοριανῶν συμβόλων, καταχειροτονηθέντι ἐν τῇ κατ’ Ἔφεσον πρώτῃ Συνόδῳ, οὕτω λέγεται·** τὸ Πνεῦμα τὸ ἅγιον, μήτε Υἱὸν οἰόμεθα, μήτε δι’ Υἱοῦ τὴν οὐσίαν λαμβάνειν· διά τοι τοῦτο ὁ Κύριλλος ἀπεναντίας τῷ Νεστορίῳ ἐν τῇ προειρημένῃ ἐπιστολῇ, τέθεικε τὸ Πνεῦμα τὸ ἅγιον εἶναι ἀπὸ τοῦ Υἱοῦ· **Θεοδώριτος δὲ ἔν τινι ἐπιστολῇ, πρὸς Ἰωάννην Ἀντιοχείας, οὕτω φησί· τὸ**

**536-537** τὸ – δόξης] Hebr. 1, 3: ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς.

**Πνεῦμα τὸ ἅγιον, οὐκ ἔστιν ἐκ τοῦ Υἱοῦ· οὐδὲ δι᾽ Υἱοῦ, τὸ ὑφεστάναι ἔχει· ἀλλὰ πρόεισι μὲν ἐκ τοῦ Πατρός· ὀνομάζεται δὲ καὶ τοῦ Υἱοῦ, διὰ τὸ ὁμοούσιον εἶναι· ταῦτα δὲ τὰ ῥήματα, ὁ προειρημένος Θεοδώριτος ἐγκαλεῖ τῷ Κυρίλλῳ, ὡς παρ᾽ αὐτοῦ εἰρημένα ἐν τῇ Πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῇ· εἰ καὶ ἐν ἐκείνῃ τῇ ἐπιστολῇ τοῦτο μὴ ἀναγινώσκεται· λέγεται γὰρ** P 262v **ἐκεῖ, οὕτως** | τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός, πρόεισι μὲν ἐξ αὐτοῦ· ἔστι δὲ καὶ τοῦ Υἱοῦ οὐκ ἀλλότριον, κατὰ τὴν ὁμοουσιότητα**· ταύτῃ δὲ τῇ Θεοδωρίτου δόξῃ, ἐσέπειτα ὁ Δαμασκηνὸς ἠκολούθησεν· εἰ καὶ τὰ Θεοδωρίτου δόγματα, ἐν τῇ Πέμπτῃ Συνόδῳ κατέγνωσται· ὅθεν οὐ πειστέον τῇ γνώμῃ τοῦ Δαμασκηνοῦ.**

**553-554** τὸ – ὁμοουσιότητα] Cyr. Alex., Ep. ad Ioh. Ant. Episc. (PG 173-181A): ἀλλ᾽ αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός· ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον.

**Editio princeps Prochori Cydonis versionis graecae S. Thomae Aquinatis**
***Quaestionis disputatae de spiritualibus creaturis***

P 262v

## Βιβλίον τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Θωμᾶ
## καὶ πραιδικάτορος ἤτοι κήρυκος
## Περὶ τῶν ἀύλων κτισμάτων τοῦ Θεοῦ

### Κεφάλαιον πρῶτον

**Πότερον ἡ νοητὴ <οὐσία ἡ> κτιστὴ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους ἢ οὔ.**

**[1.1] Ἡ ζήτησις ἐστὶ περὶ τῶν νοητῶν δημιουργημάτων. Καὶ δεῖ πρῶτον ζητεῖν πότερον ἡ νοητὴ οὐσία ἡ κτιστή ἐστι σύνθετος ἐξ ὕλης καὶ εἴδους. Καὶ δοκεῖ εἶναι· φησὶ γὰρ ὁ Βοήτιος ἐν τῷ Περὶ Τριάδος πρώτῳ·** τὸ **ἁπλοῦν** εἶδος ὑποκείμενον εἶναι οὐχ οἷόν τε. **Ἀλλ᾽ ἡ κτιστὴ νοητὴ οὐσία ἐστὶν ὑποκείμενον ἐπιστήμης καὶ ἀρετῆς καὶ χάριτος. Οὐκ ἄρ᾽ ἔστιν εἶδος ἁπλοῦν. Ἀλλ᾽ οὐδ᾽ ἁπλῆ ὕλη ἐστί· ταύτῃ γὰρ ἂν εἴη ἐν δυνάμει μόνον, μὴ ἔχουσα ἐνέργειαν τινὰ. Ἔστιν ἄρα σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**[1.2] Ἔτι, ὁτιδήποτε εἶδος κτιστόν ἐστιν ὡρισμένον καὶ πεπερασμένον. Ἀλλὰ τὸ ὡρισμένον εἶδος ὁρίζεται δι᾽ ὕλης. Ὁτιοῦν ἄρα εἶδος κτιστὸν ἔστιν ἐν ὕλῃ. Οὐδεμία ἄρα οὐσία κτιστή ἐστιν εἶδος ἄνευ ὕλης.**

**[1.3] Ἔτι, ἀρχὴ μεταβολῆς ἐστιν ἡ ὕλη· ὅθεν κατὰ τὸν Φιλόσοφον ἀναγκαῖον ἐστὶν ὕλην φαντάζεσθαι ἐν τῇ ὑπὸ κίνησιν φύσει. Ἀλλ᾽ ἡ νοερὰ φύσις ἡ κτιστή ἔστι μεταβλητή· μόνος γὰρ ὁ Θεὸς ἀμετάβλητος. Ἄρ᾽ ἡ κτιστὴ νοητὴ φύσις, ἔχει ὕλην.**

**[1.4] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ δωδεκάτῳ τῆς Ἐξομολογήσεως, ὅτι** ὁ Θεὸς **ἐποίησε τὴν** ὕλην κοινὴν τῶν ὁρατῶν καὶ ἀοράτων. **Ἀόρατα δέ είσιν αἱ νοηταὶ οὐσίαι. Ἡ νοητὴ ἄρα οὐσία ἔχει ὕλην.**

**8-9** τὸ – τε] Boet., De Trin. II (PL 64, cols 1250D.1-2): forma enim est, formae vero subjectae esse non possunt; 1250D.7-9: Forma vero, quae est sine materia, non poterit esse subjectum, nec vero inesse materiae. **17** ἀναγκαῖον – φύσει] Ar., Metaph. VIII, 1015a.15-17: ἡ γὰρ ὕλη τῷ ταύτης [κινήσεως] δεκτικὴ εἶναι λέγεται φύσις, καὶ αἱ γενέσεις καὶ τὸ φύεσθαι τῷ ἀπὸ ταύτης εἶναι κινήσεις. **21-22** ὁ – οὐσίαι] Aug., Conf. XII, cap. 17, n. 25 (PL 32, col. 835): deus ... communem omnium rerum invisibilium visibiliumque materiem.

**6** δεῖ] δὴ P

**[1.5] Χωρὶς δὲ τούτων ὁ Φιλόσοφος φηςὶν ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικὰ ὅτι, εἴ τις οὐσία ἐστὶν ἄυλος,** εὐθύς **ἐστιν** ἓν **καὶ** ὄν**, καὶ** οὐκ ἔστιν **αὐτῇ ἄλλη αἰτία τοῦ** εἶναι ὂν **καὶ** ἕν**. Πᾶν δὲ κτιστὸν ἔχει αἰτίαν τοῦ ἑαυτοῦ εἶναι, καὶ τῆς ἑνάδος. Οὐδὲν ἄρα κτιστόν ἐστιν οὐσία ἄνευ ὕλης. Πᾶσα τοίνυν οὐσία νοητὴ κτιστή ἐστι σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**[1.6] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ ὅτι πρότερον μεμόρφωται τὸ τοῦ Ἀδὰμ σῶμα ἢ ἐνίσταται ἡ αὐτοῦ ψυχή˙ πρότερον γὰρ** P 263r **ἀναγκαῖον κατεσκευάσθαι τὸ οἴκημα; | εἶτα τὸν ἔποικον ἐπενεγκεῖν. Παραβάλλεται τοίνυν ἡ ψυχὴ πρὸς τὸ σῶμα ὥσπερ ὁ ἔποικος πρὸς τὸ οἰκητήριον. Ὁ δ’ ἔποικός ἐστι καθ’ αὑτὸν ὑφεστώς. Ἡ ψυχὴ τοίνυν ἔστι καθ’ αὑτὴν ὑφεστηκός. Καὶ πολλῷ κρεῖττον ὁ ἄγγελος. Ἀλλ’ ἡ καθ’ αὑτὴν ὑφεστῶσα οὐσία οὐ δοκεῖ εἶναι εἶδος μόνον. Ἡ νοητὴ ἄρα κτιστὴ οὐσία, οὐκ ἔστιν εἶδος μόνον. Ἔστιν ἄρα σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**[1.7] Ἔτι, φανερόν ἐστι τὴν ψυχὴν εἶναι ὑποδεκτικὴν τῶν ἐναντίων. Τοῦτο δὲ δοκεῖ ἴδιον εἶναι τῆς συνθέτου οὐσίας. Ἡ ψυχὴ ἄρα ἐστὶν οὐσία σύνθετος˙ τῷ δ’ αὐτῷ λόγῳ καὶ ὁ ἄγγελος.**

**[1.8] Ἔτι, τὸ εἶδος ἐστίν, ᾧ τί ἐστιν, ἡ δ’ ὕλη ὃ ἐστίν. Ὅ τί ποτε ἄρα σύγκειται ἐκ τοῦ ᾧ ἐστὶ καὶ ὃ ἐστί, ἐστὶ σύνθετον ἐξ ὕλης καὶ εἴδους. Πᾶσα δὲ οὐσία νοητὴ κτιστὴ σύγκειται ἐκ τοῦ ᾧ ἐστί καὶ ὃ ἐστίν, ὡς φαίνεται διὰ τοῦ Βοητίου, ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ. Πᾶσα τοίνυν οὐσία νοερὰ κτιστή ἐστι σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**24-25** εἴ – ἕν (ἑνάδος?)] Ar., Metaph. VIII, 1045a.36-1045b.6: ὅσα δὲ μὴ ἔχει ὕλην μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς ὅπερ ἕν τί [εἶναί] ἐστιν ἕκαστον, ὥσπερ καὶ ὅπερ ὄν τι, τὸ τόδε, τὸ ποιόν, τὸ ποσόν – διὸ καὶ οὐκ ἔνεστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν – , καὶ τὸ τί ἦν εἶναι εὐθὺς ἕν τί ἐστιν ὥσπερ καὶ ὄν τι – διὸ καὶ οὐκ ἔστιν ἕτερόν τι αἴτιον τοῦ ἓν εἶναι οὐθενὶ τούτων οὐδὲ τοῦ ὄν τι εἶναι˙ εὐθὺς γὰρ ἕκαστόν ἐστιν ὄν τι καὶ ἕν τι. **28** Αὐγουστῖνος–βιβλίῳ] non Aug., De Trin., sed Ps.-Aug., De Quaest. Vet. et Nov. Test. 50.15-30.

**27** ἐνίσταται] intellige ἐνίετο? (infunderetur A) **32** ὑφεστώς] ὑφεστῶς P

**[1.9] Ἄνευ δὲ τούτων, διττόν ἐστι τὸ κοινόν· ἓν ἐν τοῖς θείοις, καθὸ ἡ τῶν τριῶν προσώπων οὐσία ἐστὶ κοινή, ἄλλο ἐν τοῖς κτιστοῖς πράγμασιν, ᾗ δὴ τὸ καθόλου ἐστὶ κοινὸν τοῖς ὑφ' αὐτῷ. Ἴδιον δὲ δοκεῖ εἶναι τοῦ πρώτου κοινοῦ τὸ τὸ διακρίνειν τὰ κοινωνοῦντα ἐν ἐκείνῳ τῷ κοινῷ μὴ εἶναι ἄλλο πράγματι ἀπ' αὐτοῦ τοῦ κοινοῦ· ἡ γὰρ πατρότης ᾗ ὁ Πατὴρ διακρίνεται τοῦ Υἱοῦ ἐστὶν αὐτὴ ἡ οὐσία, ἥτις ἐστὶ Πατρὶ καὶ Υἱῷ κοινή. Ἐν τῷ τοῦ καθόλου δὲ κοινῷ δεῖ τοῦθ' ᾧ διακρίνονται τὰ ὑπὸ τὸ κοινὸν περιεχόμενα, εἶναί τι ἄλλο ἀπ' αὐτοῦ τοῦ κοινοῦ. Ἐν παντὶ τοίνυν κτιστῷ τῷ ὑπό τι γένος περιεχομένῳ κοινὸν ἀνάγκη εἶναι σύνθεσιν τοῦ τε κοινοῦ καὶ τοῦ δι' οὗ τὸ κοινὸν διακρίνεται. Ἡ νοητὴ δὲ κτιστὴ οὐσία ἔστιν ἔν τινι γένει. Δεῖ τοίνυν ἐν τῇ νοητῇ κτιστῇ οὐσίᾳ εἶναί τινα συνθήκην τῆς τε κοινῆς φύσεως καὶ τοῦ δι' οὗ ἡ κοινὴ φύσις ἀφορίζεται. Τοῦτο δὲ δοκεῖ εἶναι συνθήκη ὕλης καὶ εἴδους.**

**[1.10] Ἔτι, ἡ τοῦ γένους ἰδέα οὐχ οἷόν τε εἶναι εἰμὴ ἢ ἐν τῷ νῷ, ἢ ἐν τῇ ὕλῃ. Ἀλλ' εἰ ὁ ἄγγελος μὴ ἔχοι ὕλην, οὐκ ἂν εἴη ἐν ὕλῃ. Ἆρα ἔσται ἐν νῷ μόνον· καὶ ταύτῃ ὑποτεθέντος μὴ εἶναι τὸν ἄγγελον, εἰμὴ ἐν νῷ, ἕψεται μὴ εἶναι αὐτόν, ὅπερ ἐστὶν ἀπεοικός. Δεῖ τοίνυν λέγειν ὡς δοκεῖ τὴν νοητὴν κτιστὴν οὐσίαν, εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους.**

**56** Hic post εἴδους Aq. habet: Ergo in substantia spirituali creata est compositio forme et materie. **58** ἢ] sic P; intellige εἰ (si A) **60** Hic post ὕλῃ Aq. habet: Sed substantia spiritualis creata, ut angelus, est in aliquo genere; forma igitur generis illius vel est in intellectu tantum, vel in materia.

**[1.11] Παρὰ ταῦτα, εἰ ἡ νοητὴ κτιστὴ οὐσία εἴη μόνον εἶδος, ἕψεται μίαν οὐσίαν νοητὴν ἐνεῖναι ἑτέρᾳ. Εἰ γὰρ εἷς ἄγγελος ἄλλον ἄγγελον νοοίη, ἢ τοῦτ᾽ ἐστὶ κατ᾽ αὐτὴν τὴν τοῦ νοουμένου ἀγγέλου οὐσίαν, καὶ ταύτῃ ἀνάγκη τὴν οὐσίαν τοῦ νοουμένου ἀγγέλου ἐνεῖναι τῷ νῷ τοῦ νοοῦντος ἀγγέλου αὐτόν, ἢ κατὰ τὸ εἶδος, καὶ ταύτῃ ἕψεται τὸ αὐτό, εἰ τὸ εἶδος δι᾽ οὗ ὁ ἄγγελος ἀπ᾽ ἄλλου ἀγγέλου νοεῖται οὐ διαφέρει τῆς τοῦ νοουμένου |** P 263v **ἀγγέλου οὐσίας· οὐδὲ δοκεῖ δύνασθαι δοῦναι τί διαφέρει, εἴπερ ἡ τοῦ ἀγγέλου οὐσία ἐστὶν ἄυλος· καθαπεροῦν καὶ τὸ νοητὸν αὐτοῦ εἶδος. Τοῦτο δέ ἐστιν ἄτοπον τὸ ἕνα ἄγγελον κατὰ τὴν οὐσίαν εἶναι ἄυλον.**

**[1.12] Ἔτι, τὸ ὑπόμνημά φησιν ἐν τῷ ἑνδεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ ὅτι, εἰ ἡ κιβωτὸς εἴη ἄνευ ὕλης, ἡ αὐτὴ εἴη τῇ ἐν τῷ νῷ κιβωτῷ· ὡδὶ δὲ δοκεῖ τὸ αὐτὸ τοῖς πρότερον.**

**[1.13] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ ἑβδόμῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως ὅτι, καθάπερ ἡ** σὰρξ ἔσχεν ὕλην**, τουτέστι** τὴν γῆν ἀφ᾽ ἧς γέγονεν, οὕτω τάχα **<ἂν>** που δύναιτο καὶ πρὸ τοῦ γενέσθαι αὐτὴν ταύτην τὴν φύσιν ἥτις ψυχὴ λέγεται**, ἔχειν τινὰ ὕλην ἀναλογοῦσαν τῷ γένει νοητήν, ἥτις οὐκ ἦν ψυχή. Ἡ ἄρα ψυχὴ δοκεῖ εἶναι σύνθετος ἐξ ὕλης καὶ εἴδους. Τῷ δ᾽ αὐτῷ λόγῳ καὶ ὁ ἄγγελος.**

**[1.14] Ἔτι, ὁ Δαμασκηνός φησιν· ὁ** Θεὸς **μόνος ὑπαρκτικῶς** ἐστιν ἄυλος καὶ ἀσώματος. **Οὐκ ἄρα ἡ νοητὴ φύσις.**

**78-80** σὰρξ – λέγεται] cf. Aug., De gen. ad litt. VII, cap. 6, n. 9 (PL 34, col. 359): Sed sicut haec (caro) ... habuit etiam materiem, id est terram, de qua fieret, quae anima dicitur **83-84** ὁ$^{2}$ – ἀσώματος] Dam., De fid. orth. II, 3 (PG 94, 868A): Ἀσώματος δὲ λέγεται καὶ ἄυλος, ὅσον πρὸς ἡμᾶς· πᾶν γὰρ συγκρινόμενον πρὸς Θεόν, τὸν μόνον ἀσύγκριτον, παχύ τε καὶ ὑλικὸν εὑρίσκεται· μόνον γὰρ ὄντως ἄυλον τὸ θεῖόν ἐστι καὶ ἀσώματον.

**81** ἦν] ἦν τις P

**[1.15] Πρὸς δὲ τούτοις πᾶσα οὐσία τοῖς ὅροις τῆς ἑαυτῆς φύσεως περιγραφομένη τὸ εἶναι ἔχει ὡρισμένον καὶ περιειργμένον. Κατὰ γὰρ τὸν Ἀμβρόσιον ἐν τῷ Περὶ τοῦ ἁγίου Πνεύματος βιβλίῳ πᾶσα οὐσία κτιστὴ ἔχει τὸ εἶναι ὡρισμένον καὶ περιειργμένον. Πᾶν δὲ τὸ περιειργμένον τινὶ περιείργεται. Ἐν ἡτινιοῦν ἄρα οὐσίᾳ περιειργμένῃ, ἔστι τι περιεῖργον καὶ ἄλλο περιειργόμενον· καὶ τοῦτ᾽ εἶναι δοκεῖ εἶδος καὶ ὕλη. Πᾶσα ἡ νοητὴ κτιστὴ οὐσία ἐστὶ σύνθετος ἐξ εἴδους καὶ ὕλης.**

**[1.16] Ἔτι, οὐδὲν κατὰ τὸ αὐτὸ ποιεῖ καὶ πάσχει. Ἀλλ᾽ ἕκαστον ποιεῖ, διὰ τοῦ εἴδους, πάσχει δὲ κατὰ τὴν ὕλην. Ἀλλ᾽ ἡ νοητὴ κτιστὴ οὐσία, ὥσπερ ἄγγελος, δρᾷ μὲν φωτίζων τὸν ὑποβεβηκότα ἄγγελον, πάσχει δὲ φωτιζόμενος ὑπὸ τὸν ὑπὲρ αὐτόν· ὁμοίως γε ἐν τῇ ψυχῇ ἔστι νοῦς ὅ τε δρῶν καὶ ὁ δυνάμει πάσχων. Ἄρα τοσοῦτον ὁ ἄγγελος, ὅσον ἡ ψυχή, συντίθεται ἔκ τε ὕλης καὶ εἴδους.**

**[1.17] Ἔτι, πᾶν τὸ ὄν ἐστιν ἐνέργεια καθαρὰ ἢ δύναμις καθαρὰ ἢ συγκείμενον ἐξ ἐνεργείας καὶ δυνάμεως. Ἀλλ᾽ ἡ νοητὴ οὐσία ἡ κτιστὴ οὐκ ἔστιν ἐνέργεια καθαρά· τοῦτο γὰρ μόνου τοῦ Θεοῦ ἐστίν· οὐδ᾽ αὖ δύναμις καθαρά. Ἄρ᾽ ἐστὶ σύνθετος ἔκ τε δυνάμεως καὶ ἐνεργείας. Ὃ δοκεῖ ταὐτὸν εἶναι συντίθεσθαι ἐξ ὕλης καὶ εἴδους.**

**[1.18] Ἔτι, ὁ Πλάτων ἐν τῷ Τιμαίῳ εἰσάγει τὸν κορυφαῖον θεὸν χρηματίζοντα τοῖς κτιστοῖς θεοῖς καὶ λέγοντα· ἡ ἐμὴ θέλησις,** μείζων **ἐστὶ τῆς ὑμετέρας πλοκῆς. Εἰσάγει δὲ ταῦτα τὰ ῥήματα ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ βιβλίῳ. Θεοὶ δὲ κτιστοὶ δοκοῦσιν εἶναι οἱ ἄγγελοι. Ἄρ᾽ ἐν τοῖς ἀγγέλοις ἔστι πλοκὴ ἢ σύνθεσις.**

**104-105** ἡ – πλοκῆς] Pl., Tim., 41b.4-5: τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ; cf. Aug., De civ. XIII, 16, 1 (PL 41, col. 388): Platonis hec verba sunt ... quibus inducit summum deum deos quod fecit alloquentem ac dicentem.

**86-87** κατὰ – βιβλίῳ] deest Aq. **90** τι] supplevi (quid Aq.) **95** τὸν] τῶν P

**[1.19] Ἔτι, ἐν τοῖς ἀριθμουμένοις καὶ οὐσιωδῶς διαφέρουσιν ἔστιν ὕλη· ἡ** P 264r **γὰρ ὕλη | ἐστὶν ἀρχὴ διακρίσεως κατὰ τὸν ἀριθμόν.**

**[1.20] Ἀλλ’ αἱ νοηταὶ οὐσίαι ἀριθμοῦνται καὶ οὐσιωδῶς διαφέρουσιν. Ἄρ’ ἔχουσιν ὕλην.**

**[1.21] Πρὸς δὲ τούτοις, οὐδὲν πάσχει ὑπὸ σώματος εἰ μὴ ὃ ἔχει ὕλην. Ἀλλ’ αἱ νοηταὶ οὐσίαι πάσχουσιν ὑπὸ τοῦ σωματικοῦ πυρός, ὡς φαίνεται διὰ τοῦ Αὐγουστίνου ἐν τῷ Περὶ τῆς πόλεως τοῦ Θεοῦ. Ἄρ’ αἱ νοηταὶ κτισταὶ οὐσίαι ἔχουσιν ὕλην.**

**[1.22] Ἔτι, ὁ Βοήτιος ἐν τῷ Περὶ ἑνάδος καὶ ἑνὸς λόγῳ ἐναργῶς φησι τὸν ἄγγελον εἶναι ἔκ τε ὕλης καὶ εἴδους.**

**[1.23] Ἔτι, ὁ Βοήτιός φησιν ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ, ὅτι τὸ** ὂν τοῦθ’ ὅπερ ἔστι δυνατόν τι ἔχειν ἄλλο μεμιγμένον, αὐτὸ **δὲ τὸ εἶναι πάντῃ** ἐστὶν ἀμιγές**. Τὸ δ’ αὐτὸ δυνάμεθα λέγειν καὶ περὶ πάντων τῶν κατὰ σύνθεσιν καὶ διάκρισιν θεωρουμένων, ὅτι δηλαδὴ ἐν παντὶ συγκρίματι ἔστι τις μίξις, ἐν δὲ τῷ χωριστῷ οὐδ’ ἡτισοῦν. Ἐν γὰρ τῷ ἀνθρώπῳ δύναταί τι ἄλλο εἶναι ἢ ἡ ἀνθρωπότης, ὥσπερ ἡ λευκότης ἢ τοιοῦτον τι, ἀλλ’ ἐν αὐτῇ τῇ ἀνθρωπότητι οὐ δύναταί τι εἶναι εἰ μὴ ὃ προσήκει τῷ τῆς ἀνθρωπότητος λόγῳ. Εἰ τοίνυν αἱ νοηταὶ οὐσίαι εἰσὶν εἴδη χωριστά, οὐ δύναταί τι ἐν αὐτοῖς εἶναι εἰ μὴ ὃ τείνει εἰς τὸ αὐτῶν εἶδος. Ἀλλ’ ὑφαιρεθέντος τοῦ τείνοντος εἰς τὸ εἶδος τοῦδέ τινος φθείρεται αὐτό. Ἐπεὶ ἄρα πᾶσα οὐσία νοητὴ κτιστὴ ἄφθαρτος ἐστίν, οὐδὲν τῶν ἐνόντων ταύτῃ τῇ οὐσίᾳ, ἀποβληθῆναι οἷόν τε. Καὶ ταύτῃ ἔσται πάντῃ ἀκίνητος· ὅπέρ ἐστιν ἄτοπον.**

**108-109** ἐν – ἀριθμόν] cf. Boet., De Trin.: locum non inveni. **114** Αὐγουστίνου – Θεοῦ] cf. Aug., De civ. XXI, 10, 1 (PL 41, coll. 724-725). **118-119** Βοήτιος – εἴδους] non Boet. sed cf. Dom. Gund., De un. (PL 63, col. 1078A): ut angelus et anima, quorum unumquodque est unum coniunctum materiae et formae. **118-120** Βοήτιος – ἀμιγές] Boet., De hebd.: Id quod est habere aliquid praeter quam quod ipsum est potest; nihil autem aliud praeter se habet ammixtum.

**119** δυνατόν τι] δυνατὸν τί P | ἄλλο {ἐστὶ}] ἄλλο {ἐστὶ} P **121-122** ὅτι – ἡτισοῦν] deest Aq.

**[1.24] Ἔτι, πᾶν τὸ ἐν γένει ὂν μετέχει τῶν τοῦ γένους ἀρχῶν. Ἡ δὲ κτιστὴ νοητὴ οὐσία, ἐστὶν ὑπὸ τῇ τῆς οὐσίας κατηγορίᾳ. Ἀρχαὶ δὲ ταύτης τῆς κατηγορίας εἰσὶν ἥ τε ὕλη καὶ τὸ εἶδος. Ὅπερ δῆλόν ἐστι διὰ τοῦ Βοητίου ἐν τῷ τῶν Κατηγοριῶν Ὑπομνήματι, ὅς φησιν ὅτι ὁ Ἀριστοτέλης καταλιπὼν τὰ ἄκρα, εἴτουν τὴν ὕλην καὶ τὸ εἶδος, πραγματεύεται περὶ τοῦ μέσου, δηλαδὴ τοῦ συνθέτου, ὑπόνοιαν παρεχόμενος τὴν οὐσίαν, ἥτις ἐστὶ <ἡ> κατηγορία, περὶ ἧς ἐκεῖ πραγματεύεται, εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους.**

**[1.25] Παρὰ ταῦτα, πᾶν ὅπερ ἔστιν ἐν γένει, σύγκειται ἔκ τε τοῦ γένους καὶ τῆς διαφορᾶς. Ἀλλ' ἡ μὲν διαφορὰ λαμβάνεται ἀπὸ τοῦ εἴδους, τὸ δὲ γένος, ἀπὸ τῆς ὕλης, ὡς δῆλον ὂν τυγχάνει ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά. Ἐπεὶ τοίνυν ἡ νοητὴ οὐσία ἔστιν ἐν γένει, δοκεῖ συγκεῖσθαι ἐξ ὕλης καὶ εἴδους.**

**[1.26] Ἔτι, πᾶν τὸ ὂν ἀρχὴ ἔν τινι γένει, ἐστὶ αἰτία τῶν μετ' αὐτό· ὥσπερ ἡ πρώτη ἐνέργεια ἐστὶν αἰτία παντὸς ὄντος ἐνεργείᾳ. Τῷ αὐτῷ ἄρα λόγῳ πᾶν τὸ ὂν ἐν δυνάμει ὁπῃτιοῦν τοῦτ' ἔχει ἀπὸ πρώτης δυνάμεως, ἥτις ἐστὶ ψιλὴ δύναμις, τουτέστιν ἡ πρώτη ὕλη. Ἀλλ' ἔστι τις δύναμις ἐν ταῖς νοηταῖς κτισταῖς οὐσίαις διὰ τὸ μόνον τὸν Θεὸν εἶναι ἐνέργειαν ἀμιγῆ. Ἡ κτιστὴ ἄρα νοητὴ οὐσία ἔχει τοῦτο παρὰ τῆς | ὕλης· ὅπερ οὐκ ἂν**
P 264v **δύναιτο εἶναι, εἰ μὴ ὕλη εἴη μέρος αὐτῆς. Ἔστιν ἄρα σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**133-139** Ἀρχαὶ – εἴδους] Cf Boet., In cat. Ar., I, cap. De substantiis (PL 64, col. 184A): Cum autem tres substantiae sint, materia, species, et quae ex utrisque conficitur undique composita et compacta substantia, hic neque de sola specie, neque de sola materia, sed de utrisque mixtis compositisque proposuit. **141-144** διαφορὰ – Φυσικά] Ar., Metaph. VIII, 1043.a19-21: ἔοικε γὰρ ὁ μὲν διὰ τῶν διαφορῶν λόγος τοῦ εἴδους καὶ τῆς ἐνεργείας εἶναι, ὁ δ' ἐκ τῶν ἐνυπαρχόντων τῆς ὕλης μᾶλλον.

**139** Hic post εἴδους Aq. habet: Ergo substantia spiritualis creata, est composita ex materia et forma. **145** ἀρχὴ] sic P; intellige πρῶτον (primum Aq) **148** πρώτη ὕλη] sic P; intellige ἀπὸ πρώτης ὕλης (a prima materia Aq.)

**[1.27] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ λεγόμενον ὑπὸ τοῦ Διονυσίου ἐν τῷ [IV] κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, Περὶ τῶν ἀγγέλων, ὅτι εἰσὶν ἀσώματοι καὶ ἄυλοι. Ἀλλὰ τοιοῦτος τάχα τις ἥξει λόγος, ὅτι λέγονται ἄυλοι, διὰ τὸ μὴ ἔχειν ὕλην ὑποκειμένην ποσότητι καὶ μεταβολῇ. Ἀλλ’ ἀντιφθέγγεται τὰ προειρημένα ὑπ’ αὐτοῦ· φησὶ γὰρ** πάσης ὕλης ἐψίλωνται.

**[1.28] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῶ τετάρτῳ τῆς Φυσικῆς,** ὁ τόπος οὐ ζητεῖ**ται** εἰμὴ **διὰ τὴν** κίνησι**ν. Καθὸ τοίνυν τινὰ κινήσεως ἔχει, κατατοῦτο ζητητέα ἐστὶν ἐν αὐτοῖς ἡ ὕλη. Ὅθεν, ἐπεὶ τὰ ἐν γενέσει καὶ φθορᾷ ἔχει τὴν κίνησιν πρὸς τὸ εἶναι, ζητεῖ ὕλην πρὸς τὸ εἶναι· ἡ γὰρ γένεσίς ἐστι κίνησις πρὸς τὸ εἶναι· ἢ γοῦν τέλος αὐτῆς καθὸ τὰ ἐν γενέσει καὶ φθορᾷ κινῆσαι πρὸς τὸ εἶναι· ἃ δὲ ἐστὶ μεταβλητὰ κατὰ τόπον, ἔχουσι τὴν κίνησιν πρὸς τὸ ποῦ. Ἀλλ’ αἱ κτισταὶ νοηταὶ οὐσίαι οὐκ εἰσὶ μεταβληταὶ κατὰ τὸ εἶναι. Οὐκ ἄρα ἔστιν ἐν αὐτοῖς ὕλη πρὸς τὸ εἶναι. Καὶ ταύτῃ οὐκ εἰσὶ σύνθετοι ἐξ ὕλης καὶ εἴδους.**

**[1.29] Ἔτι, ὁ Οὗνγος φησὶ καὶ Ῥικάρδος ὁ ἀπὸ τοῦ Ἁγίου Βίκτορος, ὁμοίως καὶ Αὐγουστῖνος, Ἱερώνυμος καὶ Διονύσιος, ὅτι ἐν ταῖς νοηταῖς οὐσίαις ταυτόν ἐστι τὸ ζωοποιοῦν καὶ τὸ ζωοποιούμενον. Ἀλλὰ τὸ ζωοποιοῦν ἐστιν εἶδος, τὸ δὲ ζωοποιούμενόν ἐστιν ἡ ὕλη.** Τὸ δὲ ζῆν τοῖς ζῶσιν ἐστὶ τὸ εἶναι. **Ἐν τοῖς ἀγγέλοις ἄρα οὐ διαφέρει ἥ τε ὕλη καὶ τὸ εἶδος.**

**153-157** λεγόμενον – ἐψίλωνται] Ps.-Dion., De div. nom., cap. 4, n. 2 (PG 3, col. 693C, Ritter p. 144): διὰ ταύτας εἰσὶ καὶ ζωὴν ἔχουσι τὴν ἀνέκλειπτον καὶ ἀμείωτον ἀπάσης φθορᾶς καὶ θανάτου καὶ ὕλης καὶ γενέσεως. **159-160** ὁ – κίνησιν] Ar., Phys., IV, 211.a12-13: πρῶτον μὲν οὖν δεῖ κατανοῆσαι ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος,εἰ μὴ κίνησις ἦν ἡ κατὰ τόπον. **170-171** τὸ – εἶναι] Ar., De an. II, 415.b13: τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν.

**160** κινήσεως] sic P; intellige κίνησιν (motum Aq.) **161-163** ἡ - εἶναι] deest Aq. **167-168** καὶ – Διονύσιος] Hugo de S. Victore dicit super angelicam hierarchiam Dionysii Aq.

**[1.30] Παρὰ ταῦτα, ὁ Ἀβίκενος καὶ ὁ Ἀλγάζελ φασιν ὅτι αἱ χωρισταὶ οὐσίαι, αἳ νοηταὶ οὐσίαι λέγονται, πάντη ὕλης ἀπογεγύμνωνται.**

**[1.31] Ἔτι, ὁ Φιλόσοφός φησιν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ ὅτι** ὁ λίθος οὐκ **ἔστιν** ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ **τοῦ λίθου** εἶδος**· ὃ δοκεῖ εἶναι διὰ τὴν τῆς ψυχῆς ἁπλότητα, ἵνα δηλαδὴ ἐν αὐτῇ τὰ ὑλικὰ μὴ δύναιντο εἶναι. Ἄρα ἡ ψυχὴ οὐκ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους.**

**[1.32] Ἔτι, ἐν τῷ Περὶ αἰτιῶν βιβλίῳ λέγεται ὅτι** ὁ νοῦς ἐστιν οὐσία ἀδιαίρετος**. Πᾶν δὲ τὸ συντιθέμενον διαιρεῖται. Ὁ νοῦς ἄρα, οὐκ ἔστι σύνθετος οὐσία.**

**[1.33] Χωρὶς δὲ τούτων, ἐν τοῖς ἄλλοις ταὐτὸ ἐστὶν ὅ τε** νοῦς καὶ τὸ νοούμενον**. Ἀλλὰ τὸ νοούμενον παρὰ τῆς νοητῆς οὐσίας ἐστὶν εἶδος νοητὸν παντάπασιν ἄυλον. Καὶ ἡ οὐσία ἄρα τοῦ νοῦ ἔστιν ἄνευ ὕλης.**

**[1.34] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος βιβλίῳ, ὅτι ἡ ψυχὴ ὅλῃ ἑαυτῇ νοεῖ. Οὐ νοεῖ δὲ διὰ τῆς ὕλης. Ἡ ὕλη ἄρα οὐκ ἔστι τι αὐτῆς.**

**[1.35] Ἄνευ δὲ τούτων, ὁ Δαμασκηνός φησιν ὅτι ἡ ψυχή ἐστιν ἁπλοῦν. Οὐκ ἄρα σύνθετος, ἐξ ὕλης καὶ εἴδους.** |

P 265r **[1.36] Ἔτι, τὸ λογικὸν πνεῦμα μᾶλλον πλησιάζει τῷ πρώτῳ ἁπλουστάτῳ, ἤτοι τῷ Θεῷ, ἢ τὸ ἄλογον πνεῦμα. Ἀλλὰ τὸ ἄλογον πνεῦμα οὐκ ἔστι σύνθετον ἐξ ὕλης καὶ εἴδους. Πολλῷ ἄρα ἧττον τὸ λογικὸν πνεῦμα.**

**[1.37] Ἔτι, πλέον ἐπίκειται τῷ πρώτῳ ἁπλῷ ἡ ἀγγελικὴ οὐσία ἢ τὸ ὑλικὸν εἶδος. Ἀλλὰ τὸ ὑλικὸν εἶδος, οὐ σύγκειται ἐξ ὕλης καὶ εἴδους. Οὐδ’ ἄρα ἡ ἀγγελικὴ οὐσία.**

**175-176** ὁ – εἶδος] Ar., De Anim. III, 431b.29: οὐ γὰρ ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ εἶδος. **179-180** ἐν – ἀδιαίρετος] Liber de causis VI (VII), 64: intelligentia est substantia quae non dividitur. **182-183** ἐν – νοούμενον] Ar., De an. III, 430.a3-4: ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον. **185-186** ὁ – νοεῖ] Aug., De trin. X, cap 4 (PL 42, col. 976): sed absurdum est dicere, non eam totam scire quod scit, totam se scit. Scit autem se aliquid scientem, nec potest quidquam scire nisi tota. Scit se igitur totam.

**173** φασίν] φησίν P (dicuntur Aq.) **174** ἀπογεγύμνωνται] ἀπογεγύμνονται P **182** ἄλλοις] sic P; intellige ἀύλοις (quae sunt sine materia Aq.) **190** εἴ τοι] sic P; intellige ἤτοι (scilicet Aq.)

[1.34] Ἔτι, τὸ κατὰ συμβεβηκὸς εἶδός ἐστι τῇ τῆς ἀξίας τάξει μᾶλλον ὑποβεβηκὸς καὶ ἀναξιώτερον τῆς οὐσίας. Ἀλλ’ ὁ Θεὸς ποιεῖ τι εἶδος κατὰ συμβεβηκὸς ὑφεστάναι ἄνευ ὕλης, ὡς φαίνεται ἐν τῷ τοῦ θυσιαστηρίου μυστηρίῳ. Πολλῷ ἄρα κρεῖττον ποιεῖ τι εἶδος ἐν τῷ τῆς οὐσίας γένει ὑφεστάναι ἄνευ ὕλης. Καὶ τοῦτο μάλιστα δοκεῖ εἶναι ἡ νοητὴ οὐσία.

[1.35] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τῆς Ἐξομολογήσεως δωδεκάτῳ· δύο πεποίηκας Κύριε˙ ἕνα μὲν ἐγγὺς σοῦ, εἴτουν τὴν ἀγγελικὴν οὐσίαν, ἄλλο ἐγγὺς τοῦ μηδενός, δηλαδὴ τὴν ὕλην. Ἥδε ἄρα ὕλη οὐκ ἔστιν ἐν τῷ ἀγγέλῳ, ἐπεὶ ἀντιδιαιρεῖται αὐτῷ.

[1.36] Ἀπόκρισις. Ῥητέον ὅτι περὶ ταύτην τὴν ζήτησιν ἐναντία ἔνιοι ἐδόξασαν. Εἰσὶ μὲν γὰρ οἳ διισχυρίζονται τὴν νοητὴν κτιστὴν οὐσίαν συγκεῖσθαι ἐξ ὕλης καὶ εἴδους, τινὲς δὲ τοῦτο ἀπαγορεύουσιν. Ὅθεν πρὸς ταύτης τῆς ἀληθείας τὴν σκέψιν ὅπως μὴ δι’ ἀμφισβητησίμων προΐωμεν, προθεωρητέον ἂν εἴη τί δήποτε τῷ τῆς ὕλης ὀνόματι σημαίνεται. Φανερὸν γὰρ ὅτι, ἐπεὶ ἥ τε δύναμις καὶ ἡ ἐνέργεια διαιροῦσι τὸ ὂν καὶ ὁτιοῦν γένος τῷ τε ἐνεργείᾳ καὶ τῷ δυνάμει διαιρεῖται, τοῦτο κοινῇ ὕλη πρώτη ὀνομάζεται, ὅπέρ ἐστιν ἐν τῷ τῆς οὐσίας γένει ὡς δύναμίς τις νοουμένη ἄνευ παντὸς εἴδους καὶ μορφῆς, καὶ ἔτι ἄνευ στερήσεως, πλὴν ὑποδεκτικὸν ὂν εἰδῶν καὶ στερήσεων, ὡς φαίνεται διὰ τοῦ Αὐγουστίνου ἐν τῷ τῆς Ἐξομολογήσεως δωδεκάτῳ, καὶ ἐν τῷ πρώτῳ αὐτοῦ τῆς εἰς τὴν Γένεσιν ἑρμηνείας, καὶ διὰ τοῦ φιλοσόφου ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά.

**201-202** δύο – ὕλην] cf. Aug., Conf. XII, cap. 7, n. 7 (PL 32, col. 828-829): Tu eras, et aliud nihil unde fecisti coelum et terram, duo quaedam: unum prope te, alterum prope nihil; unum, quo superior tu esses; alterum, quo inferius nihil esset. **213-216** Αὐγουστίνου – Φυσικά] cf. Aug., Conf. XII, cap. 8, n. 8 (PL 32, col. 829): ...illud autem totum prope nihil erat, quoniam adhuc omnino informe erat; iam tamen erat quod formari poterat. Tu enim, Domine, fecisti mundum de materia informi, quam fecisti de nulla re pene nullam rem, unde faceres magna quae miramus filii hominum ... dando speciem visibilem informi materiae quam fecisti ante omnem diem ... terram autem ipsa quam feceras, informes materies erat, quia invisibilis erat et incomposita, et tenebrae super abyssum; Ar. Metaph. VII, 1029a20-26: λέγω δ' ὕλην ἣ καθ' αὑτὴν μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηδὲν λέγεται οἷς ὥρισται τὸ ὄν. ἔστι γάρ τι καθ' οὗ κατηγορεῖται τούτων ἕκαστον, ᾧ τὸ εἶναι ἕτερον καὶ τῶν κατηγοριῶν ἑκάστῃ (τὰ μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης), ὥστε τὸ ἔσχατον καθ' αὑτὸ οὔτε τὶ οὔτε ποσὸν οὔτε ἄλλο οὐδέν ἐστιν˙ οὐδὲ δὴ αἱ ἀποφάσεις, καὶ γὰρ αὗται ὑπάρξουσι κατὰ συμβεβηκός.

**210** τοῦτο] καὶ τοῦτο P

Τοῦτον δὲ τὸν τρόπον ληφθείσης τῆς ὕλης, ὅπέρ ἐστιν ἴδιον περὶ αὐτῆς λῆμμα καὶ κοινόν, ἀδύνατον ὂν τυγχάνει ὕλην εἶναι ἐν ταῖς νοηταῖς οὐσίαις. Εἰ γὰρ καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἄρτι μὲν ὄντι ἐνεργείᾳ, ἄρτι δὲ δυνάμει, πρεσβύτερον τῷ χρόνῳ ἐστὶν ἡ δύναμις τῆς ἐνεργείας, ἡ ἐνέργεια ὅμως προτέρα τῇ φύσει ἐστὶν ἢ ἡ δύναμις. Τὸ δὲ πρότερον οὐκ ἤρτηται τοῦ νεωτέρου, ἀλλ’ ἀνάπαλιν. Διά τοι τοῦτο καὶ εὑρίσκεται μέν τις πρώτη ἐνέργεια ἄνευ πάσης δυνάμεως, δύναμις δὲ ἐν τῇ τῶν ὄντων φύσει οὐδέποθ’ εὑρίσκεται μὴ οὖσα τελεία διά τινος ἐνεργείας· καὶ διατοῦτο P 265v αἰεὶ ἐν τῇ πρώτῃ ὕλῃ ἔστι τι εἶδος. | Ἀπὸ δὲ τοῦ πρώτου ἐνεργείᾳ, τοῦ τελείου ἁπλῶς, ὃ ἔχει ἐν ἑαυτῷ πᾶν τὸ πλήρωμα τῆς τελειότητος, τὴν αἰτίαν ἴσχει τὸ ἐνεργείᾳ εἶναι ἐν τοῖς ἄλλοις ἅπασι, τάξει μέντοι τινί. Οὐδεμία γὰρ ἐνέργεια ἔχει πᾶν τὸ τῆς τελειότητος πλήρωμα, ἀλλὰ προσέχουσι τὸν νοῦν τῷ πρώτῳ ἐνεργείᾳ πᾶν τῷ ἐνεργείᾳ κτιστόν ἐστιν ἀτελές. Ὅσο μέντοι γέ τι ἐνεργείᾳ ἔστι τελειότερον, τοσοῦτον ἐστὶ τῷ Θεῷ, ὅς ἐστι καθαρὰ ἐνέργεια, ἐγγύτερον. Πρὸς δὲ τὰ λοιπὰ πάντα δημιουργήματα μάλιστα τῷ Θεῷ πλησιάζουσιν αἱ νοηταὶ οὐσίαι, ὡς φαίνεται διὰ τοῦ Διονυσίου ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῆς Οὐρανίου ἱεραρχίας· διά τοι τοῦτο καὶ μᾶλλον πλησιάζουσι πρὸς τὴν τελειότητα τῆς πρώτης ἐνεργείας, πλὴν παραβάλλονται πρὸς τὰ ὑποβεβηκότα δημιουργήματα ὥσπερ τὸ τέλειον πρὸς τὸ ἀτελὲς καὶ ὥσπερ ἡ ἐνέργεια πρὸς τὴν δύναμιν. Οὐδενὶ τοίνυν τρόπῳ οὗτος ὁ λόγος τῆς τάξεως τῶν

**218-219** Εἰ – δυνάμει] Ar. Metaph. IX, 1049b10-13, 17-19, 24-25 et 1050a2-3: πάσης δὴ τῆς τοιαύτης προτέρα ἐστὶν ἡ ἐνέργεια καὶ λόγῳ καὶ τῇ οὐσίᾳ· χρόνῳ δ' ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ. τῷ λόγῳ μὲν οὖν ὅτι προτέρα, δῆλον ... τῷ δὲ χρόνῳ πρότερον ὧδε· τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερον, ἀριθμῷ δ' οὔ ... ἀεὶ γὰρ ἐκ τοῦ δυνάμει ὄντος 1049b.25 γίγνεται τὸ ἐνεργείᾳ ὂν ὑπὸ ἐνεργείᾳ ὄντος ... ἀλλ' οὖν καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον. **232-233** Διονυσίου – Ἱεραρχίας] cf. Ps.-Dion., De cael. hier. IV, cap. 2 (PG 3, cols 180A-B, Ritter, p. 21.1-20).

**229** μέντοι γέ τι] μέντοι γε τί P **230** ὅς – ἐνέργεια] deest Aq.

**ὄντων ἔχει τὸ ζητεῖσθαι πρὸς τὸ τῶν νοητῶν οὐσιῶν εἶναι τὴν πρώτην ὕλην, ἥτις ἐστὶν ἀτελέστατον, πρὸς τὰ λοιπὰ πάντα ὅλα, ἀλλ' εἰσὶ πόρρω ὑπὲρ πᾶσαν ὕλην, καὶ πάντα τὰ ὑλικὰ ἀναδῦσαι. Ὃ καὶ μάλιστα κατάδηλον γίνεται, εἴ τις τὴν ἰδίαν ἐνέργειαν τῶν ἀσωμάτων οὐσιῶν, θεωροίη· πᾶσαι γὰρ αἱ ἀσώματοι οὐσίαι εἰσὶ νοεραί. Τοιαύτη δέ ἐστιν ἑκάστου ὄντος δύναμις, οἵα εὑρίσκεται ἡ τούτου τελειότης· τὸ γὰρ ἴδιον ἐνεργείᾳ ἰδίαν δύναμιν ζητεῖ. Τελειότης δὲ ἡστινοσοῦν νοερᾶς οὐσίας, ἐφόσον τοιοῦτον ἔστι νοητή· ἤδη ἐστὶν ἐν τῷ νῷ. Τοιαύτην τοίνυν δύναμιν ἀνάγκη ἐν ταῖς νοηταῖς οὐσίαις ζητεῖν, ἥτίς ἐστιν ἀνάλογος πρὸς ὑποδοχὴν τοῦ νοητοῦ εἴδους. Τοιαύτη δὲ οὐκ ἔστιν ἡ δύναμις τῆς πρώτης ὕλης· ἡ γὰρ πρώτη ὕλη δέχεται τὸ εἶδος συνέλκουσα αὐτὸ πρὸς τὸ ἄτομον εἶναι καὶ μερικόν, τὸ δὲ νοητὸν εἶδος ἔστιν ἐν τῷ νῷ ἄνευ ἡστινοσοῦν συνέλξεως. Οὕτω γὰρ νοεῖ ὁ νοῦς ὁτιδήποτε νοητόν, καθὸ τὸ εἶδος αὐτοῦ ἔστιν ἐν αὐτῷ τῷ νοητῷ, ἐκ τοῦ ἀνάπαλιν τοῖς αἰσθητοῖς. Νοεῖ δὲ ὁ νοῦς τὸ νοητὸν κατὰ τὴν νοητὴν φύσιν αὐτοῦ μάλιστα τὴν κοινὴν καὶ καθόλου· καὶ ταύτῃ τὸ εἶδος τὸ νοητὸν ἔστιν ἐν τῷ νῷ κατὰ τὸν λόγον τῆς αὐτοῦ κοινότητος. Οὐκ ἄρα ἔστιν ἡ νοερὰ φύσις [receptiva] εἴδους τῷ λόγῳ τῆς πρώτης ὕλης, ἀλλὰ μᾶλλον κατὰ τὸν ἀντικείμενον λόγον. Ὅθεν γίνεται πρόδηλον ἐν ταῖς νοηταῖς οὐσίαις ἐκείνην τὴν πρώτην ὕλην τὴν ἀφ' ἑαυτῆς παντὸς εἴδους χηρεύουσαν μέρος εἶναι μὴ δύνασθαι. Ἀλλ' ἐπεί, ἐὰν δύο τινὰ πρὸς ἄλληλα**

**242-243** τὸ – ζητεῖ] cf. Ar., De An. II, 414.a25-27: ἑκάστου γὰρ ἡ ἐντελέχεια ἐν τῷ δυνάμει ὑπάρχοντι καὶ τῇ οἰκείᾳ ὕλῃ πέφυκεν ἐγγίνεσθαι.

**240** εἴ τις] ἥτις P **242** οἵα] οἷα P **250** ἐκ – αἰσθητοῖς] deest Aq.

ἔχωσιν ὡς δύναμις καὶ ἐνέργεια, ὀνομάζοιντο ἂν ὕλη καὶ εἶδος, οὐδὲν προσίσταται λέγειν, ὡς ἂν μὴ γένοιτο βία ἐν τοῖς ῥήμασιν, ἐν ταῖς νοηταῖς οὐσίαις εἶναι ὕλην καὶ εἴδος. Ἀνάγκη γὰρ ἐν τῇ νοητῇ κτιστῇ οὐσίᾳ εἶναι δύ’ ἄττα, ὧν θάτερον | P 266r παραβάλλεται πρὸς θάτερον ὡς δύναμις πρὸς ἐνέργειαν. Ὃ ταύτῃ δῆλόν ἐστιν. Φανερὸν γὰρ τὸ πρῶτον ὄν, ὅπέρ ἐστιν ὁ Θεός, εἶναι ἐνέργειαν ἄπειρον, ὡσὰν ἔχον ἐν ἑαυτῷ ὅλον τοῦ εἶναι τὸ πλήρωμα, οὐ συνελκυσμένον πρός τινα φύσιν γένους ἢ εἴδους. Ὅθεν ἀνάγκη αὐτὸ τὸ εἶναι αὐτοῦ μὴ εἶναι ὡσανεὶ ἐγκαταβεβλημένον φύσει τινι, ἢ μή ἐστι τὸ εἶναι αὐτῆς· ὡδὶ γὰρ παρανοήσεται πρὸς αὐτὴν τὴν φύσιν. Τοιγάρτοι καί φαμεν τὸν Θεὸν εἶναι αὐτὸ τὸ εἶναι αὐτοῦ. Τοῦτο δὲ οὐχ οἷόν τε λέγειν περί του ἄλλου˙ ὥσπερ γὰρ ἀδύνατον ὑπολαμβάνειν εἶναι πολλὰς λευκότητας χωριστάς (εἰ γὰρ εἴη λευκότης χωριστὴ παντὸς ὑποκειμένου ὑποδεκτικοῦ, μία ἂν εἴη μόνον), οὕτως ἀδύνατον εἶναι εἶναι ὑφεστὼς εἰ μὴ ἓν μόνον. Πᾶν τοίνυν τὸ ὂν μετὰ τὸ πρῶτον ὄν, ἐπεὶ μή ἐστι τὸ εἶναι αὐτοῦ, ἔχει τὸ εἶναι ἔν τινι ἐπειλημμένον, δι’ οὗ αὐτὸ τὸ εἶναι συνέλκεται. Καὶ ταύτῃ ἐν παντὶ κτιστῷ ἕτερόν ἐστιν ἡ τοῦ πράγματος φύσις ἡ τὸ εἶναι ὑπολαμβάνουσα καὶ ἄλλο αὐτὸ τὸ εἶναι τὸ μετεχόμενον. Κἀπειδὴ ὁτιοῦν ὂν μετέχει τῆς πρώτης ἐνεργείας ὡς ἐν εἰκόσιν, ἐφόσον ἔχει τι εἶναι, ἀναγκαῖον ἐστὶ τὸ μεθεκτὸν εἶναι ἐν ὁτῳδήποτε παραβάλλεσθαι πρὸς ἑαυτὴν τὴν μετέχουσαν φύσιν ὥσπερ ἐνέργεια πρὸς δύναμιν. Ἐν τῇ τῶν

**265** παρανοήσεται] sic P; intellige περιορίσαιτο (?) (finiretur Aq.) **267** περί του] sic P; intellige περί τινος (aliquo Aq.) **269** ὑφεστὼς] ὑφεστῶς P

σωματικῶν τοίνυν πραγμάτων φύσει οὐ δι’ ἑαυτῆς ἡ ὕλη μετέχει τοῦ εἶναι, ἀλλὰ διὰ τοῦ εἴδους· τὸ γὰρ εἶδος ἐπιγινόμενον τῇ ὕλῃ ποιεῖ αὐτὴν εἶναι ἐνεργείᾳ· ὥσπερ ἡ ψυχὴ τῷ σώματι. Ὅθεν ἐν τοῖς κατὰ συνθήκην οὖσιν· ἔνεστι θεωρεῖν διττὴν ἐνέργειαν καὶ διττὴν δύναμιν· πρῶτον μὲν γὰρ ἡ ὕλη ἐστὶν ὡς δύναμις ὑποσκοποῦσιν εἰς τὸ εἶδος, τὸ δ’ εἶδος ἐστὶν ὡς ἐνέργεια αὐτῆς· αὖθις γε ἡ οὖσα φύσις ἐξ ὕλης καὶ εἴδους ἐστὶν ὡς δύναμις ἔχουσι τὸν νοῦν πρὸς τὸ εἶναι, ἐφόσον ἐστὶν ὑποδεκτικὴ αὐτοῦ· ἀφαιρουμένης δὲ τῆς ὕλης οἱονεί τινος ὑποβάθρας, εἰ λείποιτό τι εἶδος ὡρισμένης φύσεως καθ’ αὑτὸ ὑφεστὼς ἄνευ ὕλης. Ἔτι παραβληθήσεται πρὸς τὸ αὐτοῦ εἶναι ὡς πρὸς ἐνέργειαν δύναμις. Οὔ φημι δέ, ὡς δύναμις χωριστὴ ἢ ὡς χωριστὸν ἐνέργεια ἀπὸ ἐνεργείας, ἀλλ’ ὅτι τὸ αὐτοῦ εἶναι ἀεὶ συνδιενέγκαι. Καὶ τούτῳ τῷ τρόπῳ ἡ φύσις τῆς νοητῆς οὐσίας, ᾗ μὴ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους, ἐστὶν ὡς δύναμις ἀποσκοποῦσιν εἰς τὸ αὐτῆς εἶναι. Καὶ ταύτῃ ἐν τῇ νοητῇ οὐσίᾳ ἔστι σύνθεσις δυνάμεως καὶ ἐνεργείας, καὶ κατὰ τὸ εἰκὸς εἴδους καὶ ὕλης, πλὴν εἴ γε πᾶσα δύναμις ὀνομάζοιτο ὕλη καὶ πᾶσα ἐνέργεια ὀνομάζοιτο εἶδος, ἅπερ δὴ ὀνόματα οὐκ εἰσὶ κύρια τῇ κοινῇ τῶν ὀνομάτων χρήσει.

[1.37] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι ὁ τοῦ εἴδους λόγος ἀντίκειται τῷ τοῦ ὑποκειμένου λόγῳ. Πᾶν γὰρ εἶδος, ἐφόσον τοιοῦτον, ἐστὶν ἐνέργεια·
P 266v πᾶν δὲ ὑποκείμενον παραβάλλεται πρὸς τὸ οὗ | ἐστιν ὑποκείμενον ὡς

**281** ὡς[2]] deest Aq. **285** ὑφεστώς] ὑφεστῶς P **286-287** ἢ – ἐνέργεια] deest Aq.

δύναμις πρὸς ἐνέργειαν. Εἴ τι τοίνυν εἶδος ἐστὶν ἐνέργεια μόνον, ὥσπερ ἡ θεία οὐσία, οὐδενὶ τρόπῳ δύναται εἶναι ὑποκείμενον· καὶ τούτου πέρι ὁ Βοήτιος διαλέγεται. Εἰ δέ τι εἶδος εἴη ὃ κατὰ μέν τί ἐστιν ἐνέργεια, κατά τι δὲ δύναμις, κατατοῦτο μόνον ἔσται ὑποκείμενον, καθό ἐστιν ἐν δυνάμει. Αἱ δὲ νοηταὶ οὐσίαι, εἰ καὶ εἶεν εἴδη ὑφεστῶτα, εἰσὶ μέντοι γε ἐν δυνάμει, διὰ τὸ ἔχειν τὸ εἶναι ὡρισμένον καὶ πεπερασμένον. Καὶ ἐπειδὴ ὁ νοῦς ἐστι καταληπτικὸς πάντων τῷ αὐτοῦ λόγῳ, ἡ θέλησίς τε ἐραστὴς τοῦ καθόλου ἀγαθοῦ, μένει ἀεὶ ἔν τε τῷ νῷ καὶ τῇ θελήσει τῆς κτιστῆς οὐσίας δύναμις πρός τι τῶν ἔξω αὐτῆς. Ἀμέλει καὶ εἴ τις ὀρθῶς θεωροίη, αἱ νοηταὶ οὐσίαι οὐχ εὑρίσκονται εἶναι ὑποκείμεναι, εἰμὴ τῷ λόγῳ τῶν τεινόντων πρός τε τὸν νοῦν καὶ τὴν θέλησιν συμβεβηκότων.

[1.38] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι διττή ἐστιν ἡ περιγραφὴ τοῦ εἴδους. Μία μὲν καθὸ ἡ τοῦ εἴδους μορφὴ ὁρίζεται κατὰ τὸ ἄτομον, καὶ ἡ τοιαύτη τῆς τομῆς περιγραφὴ ἔστι δι᾽ ὕλης, ἑτέρα καθὸ ἡ μορφὴ τοῦ γένους περιγράφεται τῇ τοῦ εἴδους φύσει, καὶ ἡ τοιαύτη τῆς μορφῆς περιγραφὴ οὐ γίνεται δι᾽ ὕλης, ἀλλὰ διὰ τοῦ διωρισμένου μᾶλλον, ἀφ᾽ οὗ λαμβάνεται ἡ διαφορά· ἡ γὰρ διαφορὰ ἐπιτιθεμένη τῷ γένει μερικεύει αὐτὸ πρὸς εἶδος. Καὶ ἡ τοιαύτη περιγραφὴ ἔστιν ἐν ταῖς νοηταῖς οὐσίαις, καθό εἰσι μορφαὶ διωρισμένων εἰδῶν.

**298-299** καὶ– διαλέγεται] vide supra in apparatu fontium [1.1].8-9.

**312** διωρισμένου] διορισμένου P **315** διωρισμένου] διορισμένου P

**[1.39] Πρὸς τὸ τρίτον ῥητέον ὅτι ἡ μεταβολὴ οὐχ εὑρίσκεται ἐν ταῖς νοηταῖς οὐσίαις κατὰ τὸ αὐτῶν εἶναι, ἀλλ' ἐκ τῆς κατὰ τὸ δύνασθαι διαθέσεως τοῦ τε νοῦ καὶ τῆς θελήσεως.**

**[1.40] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι οὐκ ἔστιν ὁ τοῦ Αὐγουστίνου σκοπὸς λέγειν εἶναι τὴν αὐτὴν τῷ ἀριθμῷ ὕλην τῶν ὁρατῶν και ἀοράτων, αὐτοῦ λέγοντος διττὸν νοεῖσθαι τὸ αἶσχος διὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἃ ἱστόρηνται πρῶτα δημιουργηθῆναι, ὡς διὰ μὲν τοῦ οὐρανοῦ νοεῖσθαι τὴν νοητὴν οὐσίαν ἀμόρφωτον ἔτι, διὰ δὲ τῆς γῆς τὴν ὕλην τῶν σωματικῶν πραγμάτων, ἣ καθ' αὐτὴν θεωρουμένη ἐστὶν αἰσχρὰ ὡσανεὶ παντὸς εἴδους ἠρημωμένη˙ ὅθεν καὶ λέγεται κενὴ καὶ ἔρημος, ἢ καθ' ἑτέραν ἔκδοσιν** ἀόρατος καὶ ἀκατασκεύαστος. **Ὁ δ' οὐρανὸς οὐ καταγέγραπται κενὸς καὶ ἔρημος, δι' οὗ ἐναργῶς φαίνεται τὴν ὕλην τὴν παντὸς εἴδους ἐστερημένην μὴ εἶναι μέρος τῆς ἀγγελικῆς οὐσίας. Αἶσχος δὲ τῆς νοητῆς οὐσίας ἐστίν, ᾗ δὴ μή πως ἐπέστραπται πρὸς τὸν λόγον ἀφ' οὗ φωτίζεται ὃ προσήκει τῇ νοητῇ δυνάμει. Οὕτω τοίνυν ὕλην κοινὴν τῶν ὁρατῶν καὶ ἀοράτων ὀνομάζει ἑκάτερον, καθό ἐστιν ἀδιαμόρφωτον τῷ αὑτοῦ τρόπῳ.**

**[1.41] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι ὁ Φιλόσοφος διαλέγεται ἐκεῖ οὐ περὶ ποιητικοῦ αἰτίου, ἀλλὰ περὶ τοῦ εἰδικοῦ˙ τὰ γὰρ συγκείμενα ἐξ ὕλης καὶ**
P 267r **εἴδους, οὐκ εὐθὺς καὶ παρα|χρῆμα μέν εἰσιν ὄν καὶ ἕν, ἀλλ' ἡ ὕλη ἐστὶν ὂν ἐν δυνάμει καὶ γίγνεται ὂν ἐνεργείᾳ τῇ παρουσίᾳ τοῦ εἴδους. Διά τοι τοῦτο εἶδος εἴη ὑφεστώς, εὐθύς ἐστιν ὂν καὶ ἕν, οὐδ' ἔχει αἰτίαν εἰδικὴν τοῦ ἰδίου εἶναι, ἔχει μέντοι αἰτίαν ἐγχέουσαν αὐτῷ τὸ εἶναι, ἀλλ' οὐκ αἰτίαν κινοῦσαν, ἥπερ ἀναφέροι ἂν αὐτὸ ἐκ προϋπαρχούσης δυνάμεως εἰς τὸ ἐνεργείᾳ.**

**321-326** αὐτοῦ– ἠρημωμένη] Aug., De gen. ad litt. I, cap. 1, n. 2 (PL 34, col. 247): In principio fecit Deus coelum et terram ... Et quid significetur nomine coeli et terrae; utrum spiritalis corporalisque creatura coeli et terrae vocabulum acceperit, an tantummodo corporalis: ut in hoc libro de spiritali tacuisse intellegatur, atque ita dixisse coelum et terram, ut omnem creaturam corpoream superiorem atque inferiorem significare voluerit. An utriusque informis materia dicta est coelum et terra: spiritalis videlicet vita, sicuti esse potest in se, non conversa ad Creatorem; tali enim conversione formatur atque perficitur; si autem non convertatur, informis est: corporalis autem si possit intellegi per privationem omnis corporeae qualitatis, quae apparet in materia formata, cum iam sunt species corporum, sive visu, sive alio quolibet sensu corporis perceptibiles. **327** ἀόρατος καὶ ἀκατασκεύαστος] Gen. 1, 2: ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος.

**318** Hic post θελήσεως Aq. habet: Sed talis mutabilitas non est ex materia, sed ex potentialitate intellectus et voluntatis. **326** κενὴ] καινὴ P **328** κενὸς] καινὸς P **333** ἐκεῖ] vide supra app. font. [1.5].2-3 **336** Hic post εἴδους Aq. habet: quae est ei causa essendi. **337** ὑφεστώς] ὑφεστῶς P

**[1.42] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι, εἰ καὶ ἡ ψυχὴ εἴη ὑφεστὼς καθ’ αὑτήν, οὐχ ἕπεται ὅμως εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους· τὸ γὰρ καθ’ αὑτὸ ὑφεστάναι δύναται προσήκειν καὶ τῷ ἄνευ ὕλης εἴδει. Ἐπεὶ γὰρ ἡ ὕλη ἔχει τὸ εἶναι διὰ τοῦ εἴδους καὶ οὐ τὸ ἀνάπαλιν, οὐδὲν κωλύει τι εἶδος ὑφεστάναι ἄνευ ὕλης, εἰ καὶ ἡ ὕλη ἄνευ εἴδους ὑφεστάναι οὐ δύναται.**

**[1.43] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι τὸ τῶν ἐναντίων δεκτικὸν εἶναι ἐστὶν οὐσίας ἐν δυνάμει ἀμηγέπῃ ὑπαρχούσης, εἴτ’ εἴη σύνθετος ἐξ ὕλης καὶ εἴδους εἴτ’ εἴη ἁπλῆ. Ἡ δὲ νοητὴ οὐσία οὐκ ἔστιν ὑποκείμενον τῶν ἐναντίων, εἰμὴ ἀποσκοποῦσαι πρός τε τὴν θέλησιν καὶ τὸν νοῦν, καθ’ ἃ δὴ ἐστὶν ἐν δυνάμει, ὡς ἐκ τῶν προειρημένων φαίνεται.**

**[1.44] Πρὸς τὸ ὄγδον ῥητέον ὅτι οὐκ ἔστι ταὐτὸ συντίθεσθαι τοῦθ’ ᾧ ἐστὶ καὶ ὅπέρ ἐστι καὶ ἐξ ὕλης καὶ εἴδους. Εἰ γὰρ καὶ τὸ εἶδος δύναιτο λέγεσθαι ᾧ τί ἐστιν, ἡ ὕλη μέντοι γε οὐκ ἰδίως δύναται λέγεσθαι ὅπέρ ἐστιν, ἐπεὶ μὴ ἔστιν εἰμὴ δυνάμει. Ὃ γάρ ἐστιν ἐστὶ τὸ ὑφεστὼς ἐν τῷ εἶναι, ὅπερ καὶ ταῖς σωματικαῖς οὐσίαις ἐστὶν αὐτὸ τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους, ἐν δὲ ταῖς ἀσωμάτοις οὐσίαις ἐστὶν αὐτὸ τὸ εἶδος τὸ ἁπλοῦν· ᾧ δέ ἐστιν, ἐστὶν αὐτὸ τὸ εἶναι τὸ μετεχόμενον· ἐπὶ τοσοῦτον γὰρ ἕκαστον ἐστίν, ἐφόσον αὐτοῦ τοῦ εἶναι μετέχει. Ὅθεν καὶ ὁ Βοήτιος οὕτως χρῆται τούτοις τοῖς ὀνόμασιν ἐν τῷ Περὶ ἑβδομάδων βιβλίῳ λέγων·** ἐν τοῖς ἄλλοις ἄνευ αὐτοῦ τοῦ Θεοῦ, οὐκ ἔστι ταὐτὸν ὅπέρ ἐστι καὶ τὸ εἶναι**.**

**358-360** Ὅθεν–εἶναι] Boet., De Hebd. (PL 64 col. 1326B): Omne simplex esse suum et id quod est, unum habet. Omni composito aliud est esse, aliud ipsum esse.

**337** ἐπὶ τοσοῦτον] ἐπιτοσοῦτον P **341** ὑφεστὼς] ὑφεστῶς P **354** ὑφεστὼς] ὑφεστῶς P

[1.45] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι ὑπό τι κοινόν ἐστί τι διχῇ· ἑνὶ μὲν τρόπῳ, ὥσπερ τὸ ἄτομον ὑπὸ τὸ εἴδει· ἑτέρῳ τρόπῳ, ὥσπερ τὸ εἶδος ὑπὸ τὸ γένος. Ἡνίκα τοίνυν ὑφ' ἓν κοινὸν εἶδος εἰσὶ πολλὰ ἄτομα, ἡ διάκρισις τῶν πολλῶν ἀτόμων ἐστὶ διὰ τῆς ἀτομιζούσης ὕλης, ἥτίς ἐστιν ἑτέρα παρὰ τὴν τοῦ εἴδους φύσιν· καὶ τοῦτο μὲν ἐν τοῖς ἐξ ὕλης πράγμασιν. Ὁπόταν δ' εἰσὶν ὑφ' ἑνὶ γένει πολλὰ εἴδη ὑπάλληλα, οὐκ ἀνάγκη τὰς μορφάς, αἷς διακρίνονται τὰ εἴδη ἀπ' ἀλλήλων, εἶναι ἕτερον πράγματι τῆς μορφῆς τοῦ κοινοῦ γένους. Κατὰ μίαν γὰρ καὶ τὴν αὐτὴν μορφὴν τοδὶ τὸ ἄτομον καθιδρύεται ἐν τῷ τῆς οὐσίας γένει καὶ τῷ τοῦ σώματος γένει, καὶ ταύτῃ μέχρι καὶ τοῦ εἰδικωτάτου εἴδους. Εἰ γὰρ καθ' ἑτέραν μὲν μορφὴν τοδὶ τὸ ἄτομον ἔχει τὸ P 267v εἶναι οὐσία, καθ' ἑτέραν δὲ τὸ εἶναι | σῶμα, ἐξ ἀνάγκης δεῖ τὰς ἄλλας μορφὰς τὰς ἐπιγιγνομένας, αἷς ἐνιδρύεται ἐν τοῖς ὑποβεβηκόσι γένεσι καὶ εἴδεσιν, εἶναι εἴδη κατὰ συμβεβηκός. Ὅπερ ἐντεῦθεν δῆλον. Τὸ γὰρ κατὰ συμβεβηκὸς εἶδος τοῦ οὐσιώδους διαφέρει, ὅτι τὸ μὲν οὐσιῶδες εἶδος ποιεῖ τοδί τι, τὸ δὲ κατὰ συμβεβηκὸς ἔπεισι τούτῳ ἤδη τί ὄντι. Εἰ τοίνυν τὸ πρῶτον εἶδος, δι' οὗ τὸ ἄτομον εἰς τὸ γένος ἱδρύεται, ποιεῖ τοῦτο εἶναί τι, πάντα τὰ ἄλλα εἴδη ἐπιγίνεται τῷ ἀτόμῳ ὑφεστῶτι ἐνεργείᾳ, καὶ ταύτῃ ἔσονται εἴδη κατὰ συμβεβηκός. Ἕψεται τῇ παρουσίᾳ τῶν δευτέρων μορφῶν, οἷς προσάπτεταί τι τῷ ἀνωτάτῳ εἴδει ἢ τοῖς ὑπ' ἄλλα εἴδεσι, μὴ εἶναι γένεσιν ἁπλῶς μήτε τῇ ὑφαιρέσει φθορὰν ἁπλῶς, ἀλλὰ κατά τι. Ἐπεὶ

**371** καθ'– σῶμα] deest Aq. **380** ἁπλῶς] deest Aq.

γὰρ γένεσίς ἐστι μεταβολὴ κατὰ τὸ εἶναι τοῦδε τινός, τοῦθ’ ἁπλῶς γίγνεσθαι λέγεται, ὅπερ ἁπλῶς ἀπαρτίζεται ὄν, οὐκ <ἐκ> τοῦ ὄντος ἐνεργείᾳ, ἀλλ’ ἐκ τοῦ ὄντος ἐν δυνάμει μόνον. Εἴ τι τοίνυν γίγνοιτο ἐκ προϋπάρχοντος ἐνεργείᾳ, οὐ γενήσεται ἁπλῶς ὄν, ἀλλὰ τοδὶ ὄν˙ ὁ δ’ αὐτὸς λόγος καὶ φθορᾶς πέρι. Ἔστι τοίνυν ῥητέον τὰς μορφὰς τῶν εἴδει διαφερόντων ὄντων εἶναι ἐν τάξει, καὶ ὅτι μία προστίθησιν ἐπὶ τὴν λοιπὴν ὡς πρὸς τελειότητα. Καὶ τοῦτο φαίνεται νῦν μὲν διὰ τοῦ φιλοσόφου ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά, ὅς φησι τοὺς ὅρους καὶ τὰ εἴδη τῶν ὄντων εἶναι οἷον τὸν ἀριθμόν, ἐν ᾧ τὰ εἴδη πληθύνεται τῇ τῆς μονάδος προσθήκῃ, νῦν δὲ διὰ τῆς ἐπαγωγῆς φαίνεσθαι βαθμηδὸν τὰ εἴδη τῶν ὄντων πληθύνεσθαι κατά τε τὸ τέλειον καὶ τὸ ἀτελές. Οὕτω τοίνυν διὰ τῶν εἰρημένων ἐκβάλλεται ἡ τοῦ Ἀβικέβρου θέσις ἐν τῷ Περὶ πηγῆς βιβλίῳ, τὴν πρώτην λέγοντος ὕλην τοπαράπαν ἄνευ εἴδους ἐπινοεῖται πρῶτον λαμβάνειν τὸ τῆς οὐσίας εἶδος, ᾗ τινι ἡ ὕλη ὑποδεκτικὴ οὖσῃ ἔν τινι αὐτῆς μένει πρὸς τῷ τῆς οὐσίας εἴδει, ἕτερον λαμβάνεσθαι εἶδος, δι’ οὗ σῶμα γίνεται, καὶ οὕτως ἐφεξῆς μέχρι ἐξ ἐσχάτου εἴδους. Ἐν δὲ ἐκείνῳ τῷ μέρει ἐν ᾧ μὴ δέχεται τὸ τοῦ σώματος εἶδος, ἐστὶν οὐσία ἀσώματος· ἧς τὴν ὕλην μὴ ὑποκειμένην ποσότητι τινὲς ἐκάλεσαν ὕλην πνευματικήν. Αὐτὴν δὲ τὴν ὕλην τὴν ἤδη τελείαν τῷ τῆς οὐσίας εἴδει, ἥτις ὑποκείμενόν ἐστι ποσότητος καὶ τῶν ἄλλων συμβεβηκότων, φησὶν εἶναι οἱονεί τινι κλιῇ πρὸς τὸ νοεῖν τὰς ἀσωμάτους οὐσίας. Ἀλλ’ ὅτι τοδὶ μὲν ἔμψυχον ἄτομον, ἔχει τε δεύτερον εἶδος, δι’ οὗ ἔχει οὐ μόνον τὸ ὑφεστάναι καὶ σῶμα εἶναι, ἀλλὰ πρὸς δὲ καὶ
P 268r τὸ ζῆν, τὸ ἕτερον δὲ ἔχει | εἶδος ἀτελέστερον, δι’ οὗ οὐκ ἐφικνεῖται πρὸς τὴν ζωήν, ἀλλὰ πρὸς τὸ ὑφεστάναι μόνον σωματικῶς.

**387-389** διὰ – προσθήκῃ] Arist., Metaph. VIII, 1043b32-1044a4: φανερὸν δὲ καὶ διότι, εἴπερ εἰσί πως ἀριθμοὶ αἱ οὐσίαι, οὕτως εἰσὶ καὶ οὐχ ὥς τινες λέγουσι μονάδων˙ ὅ τε γὰρ ὁρισμὸς ἀριθμός τις˙ διαιρετός τε γὰρ καὶ εἰς ἀδιαίρετα (οὐ γὰρ ἄπειροι οἱ λόγοι), καὶ ὁ ἀριθμὸς δὲ τοιοῦτον. καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος. καὶ τὸν ἀριθμὸν δεῖ εἶναί τι ᾧ εἷς, ὃ νῦν οὐκ ἔχουσι λέγειν τίνι εἷς, εἴπερ ἐστὶν εἷς.

**381** τοῦδε τινός] τοῦδέ τινος P **393** ἐπινοεῖται] sic P; intellige ἐπινοεῖσθαι (consideratur Aq.) **390** βαθμηδὸν] βαθμιδὸν P **395** εἴδει] εἴδη P **398** ποσότητι] ποσότητα P (attractio ex ὑποκειμένην)

**[1.46] Πρὸς τὸ δέκατον ῥητέον ὅτι ἡ μορφὴ τοῦ γένους οὗ ἐκ τοῦ λόγου ἐστὶν ὕλη, δύναται εἶναι ἔξω τοῦ νοῦ κατὰ τὴν ὕλην· ὥσπερ τὸ εἶδος τοῦ φυτοῦ ἢ τοῦ μετάλλου. Τοῦτο δὲ τὸ γένος, ἡ οὐσία, οὐκ ἔστι τοιοῦτον, οὗ ἐκ τοῦ λόγου ἔστιν ὕλη˙ ἐπεὶ οὐκ ἂν εἴη μεταφυσικόν, ἀλλὰ φυσικόν. Ὅθεν ἡ μορφὴ τοῦ γένους τούτου οὐκ ἤρτηται ἀπὸ τῆς ὕλης κατὰ τὸ εἶναι αὐτῆς, ἀλλὰ δύναται εὑρεθῆναι καὶ ἐξ αὐτῆς τῆς ὕλης.**

**[1.47] Κατὰ τὸ ἐνδέκατον ῥητέον ὅτι τὸ εἶδος τὸ νοητόν, ὅπέρ ἐστιν ἐν τῷ τοῦ ἀγγέλου νῷ, διαφέρει ἀπὸ τοῦ νοουμένου ἀγγέλου, οὐχ ὥσπερ τὸ διακρινόμενον ἀπὸ τῆς ὕλης καὶ τὸ τῇ ὕλῃ συγκ<εκ>ριμένον, ἀλλ' ὥσπερ τὸ ἐπινοηματικὸν ὂν ἀπὸ τοῦ ὄντος, ὅπερ ἔχει τὸ εἶναι ἡδρασμένον ἐν τῇ φύσει˙ καθαπεροῦν διαφέρει τὸ εἶδος τοῦ χρώματος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ χρώματος τοῦ ἐν τῷ τοίχῳ.**

**[1.48] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, εἰ εἴη κιβωτὸς ἄνευ ὕλης καθ' αὐτὴν ὑφεστηκυῖα, εἴη ἂν νοοῦσα αὐτὴ ἑαυτήν˙ τὸ γὰρ ὕλης χηρεῦον, ἐστὶ λόγος νοερώτατος. Καὶ κατατοῦτο ἡ ἄνευ, ὕλης κιβωτὸς οὐδὲν διαφέρει τῆς νοητῆς κιβωτοῦ.**

**[1.49] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος εἰσάγει τοῦτο ἀπορηματικῶς· ὃ φαίνεται διὰ τοῦ ἀποδοκιμάζειν ταύτην τὴν θέσιν.**

**[1.50] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι ὁ Θεὸς μόνος λέγεται ἄυλος καὶ ἀσώματος, διὰ τὸ πάντα τῇ αὐτοῦ ἁπλότητι παραβαλλόμενα, δύνασθαι ὑπολαμβάνεσθαι ὡσανεὶ σωματικὰ καὶ ὑλικά, εἰ καὶ καθ' αὐτὰ εἶεν ἀσώματα καὶ ἄυλα.**

**421-422** ὁ – ἀπορρηματικῶς] vide supra in apparatu fontium [1.13].19-20; cf. Aug., De gen. ad litt. VII, cap. 6, n. 9 (PL 34, col. 359): Numquid credibile est ... Deum ... animae autem solam ibi condidisse rationem, secundum quam fieret, non etiam quamdam pro suo genere materiam, de qua fieret?

**418** χηρεῦον] χηρεύειν P 422 ἀπορηματικῶς] ἀπορρηματικῶς P **425** πάντα τῇ] πάντη P

**[1.51] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, τὸ εἶναι τῆς νοητῆς κτιστῆς οὐσίας, ἐστὶ περιειργμένον καὶ ὡρισμένον οὐ δι΄ ὕλης, ἀλλὰ διὰ τοῦ εἶναι εἰλημμένον καὶ μεταληπτὸν ἐν φύσει ὡρισμένου εἴδους, ὡς εἴρηται.**

**[1.52] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι ποιεῖ καὶ πάσχει ἡ νοητὴ κτιστὴ οὐσία οὐ κατὰ εἶδος ἢ ὕλην, ἀλλὰ καθό ἐστιν ἐνεργείᾳ ἢ δυνάμει.**

**[1.53] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡ νοητὴ οὐσία οὔτε ἐστὶν ἐνέργεια καθαρὰ οὔτε δύναμις καθαρά, ἀλλ΄ ἔχει δύναμιν μετὰ ἐνεργείας, οὐ συγκειμένη μέντοι ἐξ ὕλης καὶ εἴδους, ὡς ἐκ τῶν εἰρημένων φαίνεται.**

**[1.54] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι ὁ Πλάτων καλεῖ θεοὺς δευτέρους οὐ τοὺς ἀγγέλους, ἀλλὰ τὰ οὐράνια σώματα.**

**[1.55] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἡ ὕλη ἐστὶν ἀρχὴ διακρίσεως, κατ΄ ἀριθμὸν ἐν τῷ αὐτῷ εἴδει, οὐ τῆς διακρίσεως δὲ τῶν εἰδῶν· οἱ δ΄ ἄγγελοι, οὐκ εἰσὶ πολλοὶ τῷ ἀριθμῷ, ἐν τῷ αὐτῷ εἴδει, ἀλλὰ τὸ πλῆθος αὐτῶν, ἔστιν ὥσπερ φύσεις πολλαὶ εἰδῶν καθ΄ αὐτὰ ὑφεστηκυιῶν. |**

P 268v **[1.56] Πρὸς τὸ εἰκοστὸν ῥητέον ὅτι αἱ νοηταὶ οὐσίαι οὐ πάσχουσιν ὑπὸ τοῦ σωματικοῦ πυρὸς κατὰ τὸν τῆς ὑλικῆς ἀλ<λ>οιώσεως τρόπον, ἀλλὰ κατὰ τὸν τοῦ συνδεδέσθαι τρόπον τοῖς σώμασιν, ὥς φησιν ὁ Αὐγουστῖνος· ὅθεν οὐκ ἀνάγκη ἔχει<ν> ὕλην.**

**[1.57] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι τὸ Περὶ ἑνάδος καὶ ἑνὸς βιβλίον οὐκ ἔστι τοῦ Βοητίου, ὡς αὐτόθεν δῆλον.**

**435-436** ὁ – σώματα] Pl., Tim., 41.a-b: ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσιν φανερῶς καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσιν θεοὶ γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε – "Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε μὴ ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ..." **442-443** ἀλλὰ – Αὐγουστῖνος] vide supra in apparatu fontium [1.16].9 **435** οὐκ – δῆλον] Dom. Gund. De un. Boethio et variis aliis auctoribus attributum est; P. Correns, 'Die dem Boethius fälschlich zugeschriebene Abhandlung des Dominicus Gundisalvi De Unitate', *Beiträge zur Geschichte der Philosophie und Theologie des Mittelaters. Texte und Unterssuchungen* (Münster in Westfalen 1891), pp. 12-38, Dominico Gundissalino opus attribuit.

**440** ὑφεστηκυιῶν (scilicet εἰδῶν)] sic P; intellige ὑφεστηκυῖαι (φύσεις) (attractio ex specierum) **444** τοῖς σώμασιν] deest Aq.

**[1.58] Πρὸς τὸ εἰκοστὸν δεύτερον ῥητέον ὅτι τὸ χωριστὸν εἶδος ἐφόσον ἐστὶν ἐνεργείᾳ, οὐ δύναταί τι ἀλλότριον ἔχειν μεμιγμένον, ἀλλὰ καθὸ μόνον ἐστὶν ἐν δυνάμει. Καὶ ταύτῃ αἱ νοηταὶ οὐσίαι καθὸ εἰσὶν ἐν δυνάμει κατά τε νοῦν καὶ θέλησιν, λαμβάνουσί τινα συμβεβηκότα.**

**[1.59] Πρὸς τὸ εἰκοστὸν τρίτον ῥήτέον ὅτι ὁ τοῦ Βοητίου σκοπὸς οὐκ ἔστι λέγειν ὅτι ἐκ τοῦ τῆς οὐσίας λόγου οὔσης γένος ἐστὶ τὸ εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους, ἐφόσον ἡ οὐσία ἐστὶν ἐκ τῆς θεωρίας τοῦ μεταφυσικοῦ καὶ [non] τοῦ φυσικοῦ˙ ἀλλὰ σκοπεῖ λέγειν ὅτι, ἐπεὶ μὴ τείνουσι τό τε εἶδος καὶ ὕλη πρὸς τὸ τῆς οὐσίας γένος ὥσπερ εἴδη, μόνη ἡ οὐσία ἥτις ἐστὶ σύνθετον ἱδρύεται ἐν τῷ γένει ὡς εἶδος.**

**[1.60] Πρὸς τὸ εἰκοστὸν τέταρτον ῥητέον ὅτι ἐν τοῖς συνθέτοις ἐξ ὕλης καὶ εἴδους, τὸ μὲν γένος λαμβάνεται ἐκ τῆς ὕλης, ἡ δὲ διαφορὰ ἐκ τοῦ εἴδους˙ οὕτω μέντοι ὡς διὰ τῆς ὕλης μὴ νοεῖσθαι τὴν πρώτην ὕλην, ἀλλὰ τὸ εἶναι ἀτελὲς καὶ ὑλικὸν ἀποσκοποῦσιν εἰς τὸ εἰδοποιὸν εἶναι, ὃ διὰ τοῦ εἴδους λαμβάνει˙ ὥσπερ τὸ εἶναι τοῦ ζῴου ἐστὶν ἀτελὲς καὶ ὑλικὸν ἀποσκοποῦσιν εἰς τὸ τοῦ ἀνθρώπου εἶναι. Πλὴν τοῦτο τὸ διπλοῦν εἶναι, οὐκ ἔστι κατ' ἄλλο καὶ καὶ ἄλλο εἶδος, ἀλλὰ καθ΄ ἕν. Ὃ τῷ ἀνθρώπῳ οὐ δίδωσι τὸ εἶναι μόνον ἄνευ τοῦ εἶναι ἄνθρωπον· ἡ ψυχὴ δὲ ἑτέρου ζῴου δίδωσιν αὐτῷ τὸ εἶναι μόνον ζῷον. Ὅθεν τὸ κοινὸν ζῷον, οὐκ ἔστιν ἓν πράγματι, ἀλλὰ τῷ λόγῳ μόνον˙ οὐ γὰρ ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ εἴδους ὁ ἄνθρωπός ἐστι ζῷον καὶ ὁ ὄνος. Ὑπεξαιρουμένης τοίνυν τῆς ὕλης τῶν νοητῶν οὐσιῶν μενεῖ ἐν τούτοις γένος καὶ διαφορὰ οὐ καθ' ὕλην καὶ εἶδος, ἀλλὰ καθὸ θεωρεῖται ἐν τῇ νοητῇ οὐσίᾳ, οὕτως ὅπέρ ἐστι κοινὸν αὐτῇ καὶ ταῖς ἀτελέσιν οὐσίαις, ὡσπεροῦν τὸ ὂν ἴδιον αὐτῇ.**

**459** τὸ – εἴδους] vide supra in apparatu fontium [1.20].10-11.

**464** Hic post μόνον Aq. habet: animal **466** πράγματι] sic P; intellige τῷ ἀριθμῷ (numero Aq.)

**[1.61] Πρὸς τὸ εἰκοστὸν πέμπτον ῥητέον ὅτι, ὅσο τί ἐστι μᾶλλον ἐνεργείᾳ, τοσοῦτό ἐστι τελειότερον, ὅσον δέ τί ἐστι μᾶλλον ἐν δυνάμει, τοσοῦτό ἐστιν ἀτελέστερον. Τὰ ἀτελῆ δὲ ἀπὸ τῶν τελείων λαμβάνουσι τὴν γένεσιν, οὐ τὸ ἀνάπαλιν. Ὅθεν οὐκ ἀνάγκη πᾶν τὸ ὂν ὁτῳδήποτε τρόπῳ ἐν δυνάμει τοῦτ' ἔχειν ἀπὸ τῆς πρώτης δυνάμεως, ἥτις ἐστὶν ἡ ὕλη. Καὶ τούτῳ δοκεῖ παραχθῆναι τὸν Ἀβίκεβρον ἐν τῷ Περὶ τῆς πηγῆς τῆς ζωῆς βιβλίῳ φρονοῦντα πᾶν τὸ ὂν ἐν δυνάμει, ἢ ὑποκείμενον τοῦτ' ἔχειν ἐκ τῆς πρώτης ὕλης. |**

**476-479** Καὶ – ὕλης] Avencebrol (Solomon Ibn Gabirol), Fons Vitae translatio Dominici Gundissalini ex arabico X, X.X ...: et sic manifestabitur tibi per hanc considerationem quid est post substantiam subiectam corpori de ceteris substantiis quae sunt subiectae sibi ipsis et subsistent aliae in aliis, donec venies ad primum subiectum quod est materia universalis de qua intendimus.

P 269r

## <Κεφάλαιον δεύτερον>

## [2] <Πότερον ἡ νοητὴ οὐσία δύναται νοεῖσθαι σώματι ἢ οὔ>

**[2.1] Δεύτερον ζητεῖται, πότερον ἡ νοητὴ οὐσία δύναται νοεῖσθαι σώματι ἢ οὔ. Καὶ δοκεῖ μὴ πάνυ. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ τοῦ Περὶ θείων ὀνομάτων πρώτῳ κεφαλαίῳ ὅτι** τὰ **ἀσώματά** εἰσὶν ἀ**περί**ληπτα **τοῖς σωματικοῖς. Ἀλλὰ πᾶν εἶδος ἐν ὕλῃ περιέχεται ὑπὸ τῆς ὕλης, ἐντελέχεια ὂν αὐτῆς. Ἡ ἄρα ἀσώματος νοητὴ οὐσία οὐ δύναται εἶναι εἶδος σώματος· οὐδ' ἄρα ἑνοῦσθαι αὐτῷ.**

**[2.2] Ἔτι· κατὰ τὸν Φιλόσοφον, ἐν τῷ Περὶ** <ἐ>**γρηγόρσεως καὶ ὕπνου βιβλίῳ λέγεται ὅτι, οὗτινός ἐστιν** ἡ δύναμις, τοῦ **αὐτοῦ ἐστι** καὶ ἡ ἐνέργεια. **Ἀλλὰ ἐνέργεια ἰδία τῆς νοητῆς οὐσίας ἐστὶ τὸ νοεῖν, ἣ μὴ οἷά τε εἶναι εἶδος σώματος·** οὐ γάρ ἐστιν, οὐκ ἔστι **νοεῖν δι'** ὀργαν**ικοῦ** σωματ**ικοῦ, ὡς ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ἄρα καὶ ἡ νοερὰ δύναμις, οὐ δύναται εἶναι εἶδος σώματος· ἡ νοητὴ ἄρα οὐσία ἐφ' ἧς βέβηκεν ἡ τοιαύτη δύναμις, οὐ δύναται εἶναι εἶδος σώματος.**

**[2.3] Ἔτι, ὃ ἐπιγίνεταί τινι μετὰ πλῆρες τὸ εἶναι, παρίσταται αὐτῷ κατὰ συμβεβηκός. Ἀλλ' ἡ νοητὴ οὐσία ἔχει ἐν ἑαυτῇ τὸ εἶναι ὑφεστώς. Εἰ τοίνυν ἐπιγίνεται αὐτῇ σῶμα, ἐπιγίνεται αὐτῇ συμβα<μα>τικῶς. Οὐ δύναται ἄρα ἐν τῷ ἑνοῦσθαι ὡς εἶδος οὐσιῶδες.**

**4-6** Φησὶ – σωματικοῖς] Ps.-Dion., De div. nom., cap. 1, n. 1 (PG 3, col. 588B, Ritter p. 109): Ὥσπερ γὰρ ἄληπτα καὶ ἀθεώρητα τοῖς αἰσθητοῖς ἐστι τὰ νοητά... **9-11** Ἔτι – ἐνέργεια] Ar., De som. et vig., 454a.8: οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια **12** οὐ– γάρ] Dem., Olynth. 2, 10.1 et Phil. I, 46.2, al. **12-13** ὡς– σώματος] Ar., De An. III, 429a.24-27: διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ἢ ψυχρὸς ἢ θερμός, κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθὲν ἔστιν.

**4** νοεῖσθαι] sic P; intellige ἑνοῦσθαι (uniri Aq.) 7-**8** οὐδ – αὐτῷ] deest Aq. **10** λέγεται] deest Aq. **12** εἶδος] deest Aq. **17** πλῆρες τὸ] sic P; intellige τὸ πλῆρες | ὑφεστώς] ὑφεστῶς P

**[2.4] Ἀλλ’ ἔλεγεν ὅτι ἡ ψυχή, ἐφόσον μέν ἐστι πνεῦμα, ἔστι καθ’ αὑτὸ ὑφεστώς, ἐφόσον δέ ἐστι ψυχή, συνάπτεται σώματι. Ἀλλὰ τοὐναντίον, ἡ ψυχὴ κατὰ τὴν ἑαυτῆς οὐσίαν ἐστὶ πνεῦμα˙ ἢ τοίνυν κατὰ τὴν ἑαυτῆς οὐσίαν ἐστὶν εἶδος σώματος, καὶ οὕτως ἔχει τὸ σπουδαζόμενον, ἢ κατά τι ἐπίκτητον τῇ αὐτῆς οὐσίᾳ, ὅπερ εἴη. Ἐπεὶ αὐτὸ ἐπιόν τινι μετὰ τὴν ἑαυτοῦ οὐσίαν ἐστὶν ἐπουσιῶδες καὶ συμβεβηκός, ἕπεται τὴν ψυχὴν κατά τι συμβεβηκὸς συγκρίνεσθαι τῷ σώματι. Ὡδὶ δὲ ὁ ἄνθρωπός ἐστιν ὂν κατὰ συμβεβηκός. Ὅπέρ ἐστιν ἄτοπον. Ὅθεν ἑνοῦται αὐτῇ κατὰ τὴν ἑαυτῆς οὐσίαν· καθόσον ἐστὶ πνεῦμα.**

**[2.5] Ἔτι, οὐ τὸ** εἶδος ἐστὶ **διὰ τὴν** ὕλην, **ἀλλ’ ἡ** ὕλη **διὰ τὸ εἶδος. Ὅθεν ἡ ψυχὴ οὐ συνάπτεται τῷ σώματι, ὥς γε τὸ σῶμα τελειωθῆναι, ἀλλὰ μᾶλλον τὸ σῶμα, εἴπέρ ἐστιν αὕτη εἶδος αὐτοῦ, ἑνοῦται αὐτῇ διὰ τὴν αὐτῆς τελειότητα. Ἀλλ’ ἡ ψυχὴ πρὸς τὴν ἑαυτῆς τελειότητα οὐ δεῖται τοῦ σώματος, δυναμένη καὶ ἀπὸ τοῦ σώματος εἶναι καὶ νοεῖν. Ἡ ψυχὴ ἄρα οὐχ ἑνοῦται τῷ σώματι ὡς εἶδος.**

**[2.6] Χωρὶς δὲ τούτων, ἡ τοῦ εἴδους καὶ τῆς ὕλης ἕνωσίς ἐστι φυσική. Ἀλλ’ ἡ τῆς ψυχῆς καὶ τοῦ σώματος ἕνωσις οὐκ ἔστι φυσική, ἀλλ’ ἔοικέ τι θαύματι. Λέγεται γὰρ ἐν τῷ Περὶ ψυχῆς καὶ πνεύματος βιβλίῳ,** πλέον γέγονε θαύματος κτίσματα διάφορα καὶ διῃρημένα πρὸς ἄλληλα δυνηθῆναι
P 269v συναφθῆναι. | **Ἡ ψυχὴ ἄρα οὐ συνάπτεται σώματι ὡς εἶδος.**

**29** οὐ – εἶδος] Ar., Phys. II, 194b.8-9: ἄλλῳ γὰρ εἴδει ἄλλη ὕλη; 119a30-32: καὶ ἐπεὶ ἡ φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δ' ὡς μορφή, τέλος δ' αὕτη, τοῦ τέλους δὲ ἕνεκα τἆλλα, αὕτη ἂν εἴη ἡ αἰτία, ἡ οὗ ἕνεκα. **37-39** Ps.-Aug., De spir. et an., cap. 14 (PL 40, col. 789): Plenum fuit miraculo, quod tam diversa et tam divisa ad invicem, ad invicem potuerunt coniungi.

**21** ὑφεστώς] ὑφεστῶς P **23** καὶ – σπουδαζόμενον] deest Aq. **24** ὅπερ εἴη] deest Aq. **31** αὐτοῦ] deest Aq.

**[2.7] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ οὐρανοῦ βιβλίῳ·** πᾶς **ὑποβιβασμὸς κατὰ** φύσιν **ἔστι διὰ τὴν ὕλην. Εἴ τι τοίνυν ὑποβιβάζει τι τοῦ πεφυκότος, οὐχ ἑνοῦται αὐτῷ φυσικῶς. Ἀλλ’ ἡ ψυχὴ γίνεται τῇ πρὸς τὸ σῶμα ἑνώσει, καὶ ὅσον πρὸς τὸ εἶναι (τὸ γὰρ σῶμα βαρύνει τὴν ψυχήν, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς καὶ πνεύματος βιβλίῳ), καὶ ὅσον πρὸς τὴν ἐνέργειαν, διὰ τὸ μὴ δύνασθαι γινώσκειν ἑαυτήν, εἰ μὴ ἀφιστᾶν ἑαυτὴν ἀπὸ πάσης τοῦ σώματος πλοκῆς, ὡς ἐν τῷ αὐτῷ βιβλίῳ λέγεται. Ἡ τῆς ψυχῆς ἄρα πρὸς τὸ σῶμα ἕνωσις, οὐκ ἔστι φυσική. Καὶ ταύτῃ τὸ πρότερον.**

**[2.8] Ἄνευ δὲ τούτων, τὸ Ὑπόμνημά φησιν ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά˙ τοῦ δυνάμει γινομένου ἐνεργείᾳ, τοῦτο μὴ γίνεσθαι δι’ ἄλλου ἐπισυνεισάκτου. Ἀλλὰ τῆς ψυχῆς ἑνουμένης τῷ σώματι προστίθεται τῷ σώματι ξένον τι˙ ἡ γὰρ ψυχὴ δημιουργεῖται ὑπὸ τοῦ Θεοῦ, καὶ ἐγχεῖται τῷ σώματι. Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἐνέργεια ἢ εἶδος τοῦ σώματος.**

**[2.9] Ἔτι, τὸ εἶδος ἔξεισιν ἐκ τοῦ δυνάμει τῆς ὕλης. Ἀλλ’ ἡ νοητὴ οὐσία οὐ δύναται ἀναδύνειν ἐκ τοῦ δυνάμει τῆς σωματικῆς ὕλης. Ἡ νοητὴ ἄρα οὐσία οὐ δύναται συνάπτεσθαι τῷ σώματι ὡς εἶδος.**

**[2.10] Παρὰ ταῦτα, μείζων ἐστὶ πνεύματος πρὸς πνεῦμα συγγένεια ἢ πνεύματος πρὸς σῶμα. Ἀλλὰ πνεῦμα οὐ δύναται εἶναι ἑτέρου πνεύματος εἶδος. Οὐδὲ ἡ πνευματικὴ ἄρα οὐσία δύναται εἶναι σώματος εἶδος.**

**[2.11] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ὅτι ἡ ψυχὴ καὶ ὁ ἄγγελος τυγχάνει ὄντα,** τῇ μὲν φύσει ἴσα, ταῖς δὲ ἐνεργείαις ἄνισα. **Ἀλλ’ ὁ ἄγγελος οὐ δύναται εἶναι εἶδος σώματος. Οὐδ’ ἄρα ἡ ψυχή.**

**40-41** πᾶς – φύσιν] Ar., Coel. II, 288b: ἡ δ' ἀδυναμία παρὰ φύσιν. **43-44** τὸ$^{2}$ – βιβλίῳ] Ps.-Aug., De spir. et an., cap. 14 (PL 40, col. 789): Quibusdam affectibus et quadam amicitia anima corpori coniungitur, secundum quam amicitiam nemo carnem suam odio habet. Sociata namque illi, licet eius societate praegravetur, ineffabili tamen conditione diligit illud; amat carcerem suum, et ideo libera esse non potest. **45-46** μὴ – λέγεται] Ps.-Aug., De Spir. 40, cap. 32 (PL 40, col. 802): Cum ergo vult intelligere, vel divina, vel Deum, vel se ipsam, suasque considerare virtutes, abstrahit se ab omnibus corporis sensibus. **48-50** τὸ – ἐπισυνεισάκτου] cf. Av., Comm. Metaph. VIII, comm. 16: quod in eo non est aliquod additum essentiae. **59-60** Aug., De lib. arb. III, 11.32: Animae sunt enim rationales, et illis superioribus officio quidem impares, sed natura pares.

**41** κατὰ] sic P, M (praeter Aq.) | διὰ – ὕλην] deest Aq. **41-42** τοῦ πεφυκότος] deest Aq. **42** γίνεται] debilitatur Aq. **45** ἀφιστᾶν] sic P; intellige ἀφιστᾶσα (retrahendo Aq.) **56** μείζων ἐστὶ] μείζών ἐστι P

**[2.12] Πρὸς δὲ τούτοις, ὁ Βοήτιος φησιν ἐν τῷ Περὶ δύο φύσεων βιβλίῳ, ὅτι μία** φύσις ἐστίν**, ὧν ἡ αὐτή ἐστιν** εἰδοποιὸς διαφορά**. Ἀλλ' ἡ αὐτή ἐστιν εἰδοποιὸς διαφορὰ ψυχῆς καὶ ἀγγέλου, εἴτουν τὸ λογικόν. Ἡ αὐτὴ ἄρα φύσις ἑκατέρου. Καὶ ταύτῃ ὃ πρότερον.**

**[2.13] Ἔτι, ἡ ψυχὴ ὁμοίως ἔχει πρός τε τὸ ὅλον καὶ τὰ μέρη τοῦ σώματος· ἔστιν γὰρ ὅλη ἐν ὅλῳ καὶ ὅλη ἐν ὁτῳδήποτε μορίῳ. Ἀλλ' ἡ νοητὴ οὐσία ἥτίς ἐστι νοῦς** οὐδενὸς μέρ**ους** τοῦ σώματος **ἐνέργεια** ἐστίν**, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ἡ ἄρα νοητὴ οὐσία οὐκ ἔστιν εἶδος ὅλου τοῦ σώματος.**

**[2.13] Ἔτι, τὸ φυσικὸν εἶδος τὸ ἐν σώματι ὂν οὐκ ἐνεργεῖ ἔξω τοῦ σώματος. Ἀλλ'** ἡ **οὖσα ἐν σώματι ψυχὴ ἐνεργεῖ ἔξω τοῦ σώματος· λέγεται γὰρ ἐν τῇ Βουλῇ [Anquirensi] περί τινων γυναικῶν, αἳ σφίσιν ἐδόκουν διαθεῖν ἐκ τῆς νυκτὸς πρὸς τὴν ἕω, ὅτι αὐταῖς ἐπιγίγνετο ἐν τῷ πνεύματι, ὅπερ πάσχειν ᾤοντο ἐν τῷ σώματι, καὶ οὕτως τὸ πνεῦμα αὐτῶν ἔξω τοῦ σώματος αὐτῶν** P 270r **ἐνήργει. Οὐκ ἄρ' ἑνοῦται ἡ πνευματικὴ οὐσία τῷ σώματι | ὥσπερ εἶδος αὐτοῦ.**

**[2.14] Ἔτι, ἐν τῷ Περὶ τῶν τῆς πίστεως κεφαλαίων βιβλίῳ λέγεται** μήτε εἶδος ἄνευ ὕλης, μήτε ὕλην ἄνευ εἴδους ὑποκείμενον εἶναι δύνασθαι**. Τὸ δὲ σῶμα ἐστὶν ὑποκείμενόν τι συμβεβηκότων. Τὸ σῶμα ἄρα οὐκ ἔστιν ὕλη ἄνευ εἴδους. Εἰ τοίνυν ἡ νοητὴ οὐσία ἐπιγίνεται ὡς εἶδος, ἕψεται δύο εἴδη εἶναι, ἐν ἑνὶ καὶ τῷ αὐτῷ. Ὅπέρ ἐστιν ἀμήχανον.**

**62-63** Βοήτιος – διαφορά] Boet., De lib. per., cap. 1: natura est unam quamque rem informans specifica differentia. **67-69** Ἀλλ' – τρίτῳ] Ar., De An. II, 413a4-7: οὖν ἤτοι μέρη ἔνια τῆς ψυχῆς ἢ ἡ ὅλη, εἰ μεριστή, οὐκ ἔστι χωριστὴ τοῦ σώματος, οὖ ἐστι ψυχή, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια αὐτῶν τῶν μερῶν ἐστιν. οὐ μὴν ἀλλ' ἔννια οὐθὲν κωλύει. οὐ γάρ ἐστι σώματος ἐντελέχεια οὐδενός. **73-74** ἐν – σώματι] cf. Concil. Anquir., Decr. Mag. Grat., Pars II, causa XXVI, quest. V. C. XII, § 1, col. 1030: Illud etiam non est omittendum, quod quedam sceleratae mulieres retro post sathanam conversae, demonum illusionibus et fantasmatibus seductae, credunt se et profitentur, cum Diana nocturnis horis dea paganorum, vel cum Herodiade, et innumera multitudine mulierum equitare super quasdam bestias, et multa terrarum spacia intempestae noctis silentio pertransire, eiusque iussionibus obedire velut dominae, et certis noctibus euocari ad eius servicium. **77-78** ἐν – δύνασθαι] Al., De art. I, cap. 4: Neque subiecta materia est sine forma, neque forma sine subiecta materia actu potest esse.

**63** μία] deest Aq. **68** τοῦ σώματος] deest Aq. **72** Post Βουλῇ spatium vacuum ca. 13 litt. P] αἳ σφίσιν] αἵ σφισιν P **75** Post σώματι erasit ὥσπερ in fin. f. 269v et scr. ὥσπερ in princ. f. 270r P

**[2.15] Πρὸς δὲ τούτοις,** τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον **διαφέρουσι** γένει**, οὐδέ τι λέγεται κατ᾽ αὐτῶν συνωνύμως, ὡς δῆλον διὰ τοῦ φιλοσόφου καὶ τοῦ ὑπομνηματιστοῦ αὐτοῦ ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Πλέον τοίνυν διαλλάττει τὸ φθαρτὸν καὶ ἄφθαρτον ἢ δύο ἐναντία, ἅ εἰσιν εἴδη τοῦ αὐτοῦ γένους. Ἀλλὰ τὸ ἓν ἐναντίον οὐκ ἔστιν οὐδὲ εἶναι δύναται εἶδος τοῦ ἄλλου ἐναντίου· φησὶ γὰρ ὁ Βοήτιος ὅτι τὸ ἓν ἐναντίον οὐχ ἑνοῦται τῷ λοιπῷ πρὸς τὸ εἶναι. Ἡ νοητὴ ἄρα οὐσία, ἄφθαρτος οὖσα, οὐχ ἑνοῦται τῷ φθαρτῷ σώματι πρὸς τὸ εἶναι. Ὡδὶ δὲ οὐκ ἔστιν εἶδος αὐτοῦ, τοῦ εἴδους χορηγοῦντος τῇ ὕλῃ τῷ εἶναι.**

**[2.16] Ἔτι, ὅ τί ποτε ἑνοῦταί τινι ἀλλὰ τοῦ μὴ ὄντος ἐκ τῆς αὐτῆς οὐσίας, οὐχ ἑνοῦται αὐτῷ ὡς εἶδος. Ἀλλ᾽ ὁ νοῦς ἑνοῦται τῷ σώματι διὰ φαντάσματος, ὃ μὴ ἔστιν ἐκ τῆς τοῦ νοῦ οὐσίας, ὡς τὸ Ὑπόμνημά φησιν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ἡ πνευματικὴ ἄρα οὐσία ἡ οὖσα νοῦς, οὐχ ἑνοῦται τῷ σώματι ὡς εἶδος.**

**[2.17] Χωρὶς δὲ τούτων πᾶσα οὐσία νοητή ἐστι νοερά. Πᾶσα δὲ οὐσία νοερά, ἀποκέκριται ἀπὸ τῆς ὕλης, διὰ τὸ περιουσίᾳ ἀυλίας εἶναι νοεράν. Οὐδεμία τοίνυν οὐσία νοητή ἐστιν εἶδος ἐν ὕλῃ. Καὶ ταύτῃ οὐ δύναται ἑνοῦσθαι τῷ σώματι ὡς εἶδος.**

**[2.18] Ἔτι, ἐξ ὕλης καὶ εἴδους γίνεται ἕν. Εἰ τοίνυν ἡ νοητὴ οὐσία ἑνοῦται τῷ σώματι ὡς εἶδος, δεῖ ἐκ τῆς νοητῆς οὐσίας καὶ τοῦ σώματος γίνεσθαι ἕν.**

**82-83** Πρὸς – φιλοσόφου] Ar., Metaph. X, 1058b.28-29: ἀνάγκη ἕτερον εἶναι τῷ γένει τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον. **83-84** καὶ – Φυσικά] Aver., Comm. Metaph. X, comm. 26, f. 276va, litt. G-E: et ideo corruptibile et incorruptibile sunt due differentiae contrarie et illud quod cogregat illa, est nomen equivocum. **87-89** ὁ – εἶναι] Boet., In cat. Ar. IV, col. 282, § C: Dictum est in relatione, quaedam relativa simul esse naturaliter ... hoc vero in contrariis non est. Ait enim non necesse est simul semper esse contraria ... Et non erit necessarium uno contrario posito, mox subsequi alterum ... Quocirca fieri potest ut cum unum contrarium sit, aliud non sit. **93-95** Ἀλλ – τρίτῳ] Av., Comm. Metaph. III, comm. 5, ll. 127-132: Et etiam Aristoteles aperte dicit in hoc libro quod proportio istius virtutis distinguentis rationabilis ad intentiones formarum ymaginatarum est sicut proportio sensuum ad sensata; et ideo anima nichil intelligit sine ymaginatione, quemadmodum sensus nichil sentiunt sine presentia sensibilis.

**86-87** ἀλλὰ – ἐναντίου] deest Aq. **87** ἑνοῦται] iuvat A; Prochoros legit unitur?

Εἰ τοίνυν τὰ νοητὰ εἴδη ἃ ἐγγίνεται τῷ νῷ ἐγγίνονται τῇ σωματικῇ ὕλῃ, [quod est impossibile, quia formae receptae in materia corporali] ἔσονται νοητὰ μόνον ἐν δυνάμει. Οὐχ ἑνοῦται τοίνυν ἡ νοητὴ οὐσία τῷ σώματι ὡς εἶδος.

[2.19] Ἀλλ’ ἀντιφθέγγεται τὸ ὑπὸ τοῦ Διονυσίου λεγόμενον ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, ὅτι ἡ ψυχή ἐστιν οὐσία νοερά, ζωὴν ἄληκτον ἔχουσα, ἡνωμένη τῷ σώματι.

[2.20] Ἔτι, ἡ ψυχή ἐστιν εἶδος σώματος, ὡς φαίνεται διὰ τοῦ ὁρισμοῦ αὐτῆς, ὃς κεῖται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ. Ἄρα οὐσία τις νοητὴ εἴτε νοῦς ἑνοῦται σώματι ὡς εἶδος.

[2.21] Ἀπόκρισις. Ῥητέον ὅτι τὸ δυσχερὲς τῆς παρούσης ζητήσεως, ἐντεῦθεν παρίσταται, ὅτι ἡ νοητὴ οὐσία ἐστί τι χρῆμα καθ’ αὑτὸ ὑφεστώς, τῷ δ’ εἴδει
P 270v προσήκει εἶναι ἐν ἄλλῳ, εἴτουν ἐν ὕλῃ, ἧς ἐστιν ἐνέργεια | καὶ τελειότης· ὅθεν ἀντίξοον τῷ λόγῳ τῆς νοητῆς οὐσίας εἶναι δοκεῖ τὸ εἶναι εἶδος σώματος. Ταύτῃ τοι καὶ Γρηγόριος ὁ Νυσσαεὺς ἐν τῷ ἑαυτοῦ βιβλίῳ ὃ Περὶ ψυχῆς ποιεῖται, Ἀριστοτέλει προστρίβεται τὸ τιθέναι τὴν ψυχὴν μὴ ὑφεστάναι καθ’ ἑαυτὴν καὶ φθείρεσθαι φθειρομένου τοῦ σώματος, διὰ τὸ θεῖναι αὐτὴν ἐντελέχειαν, ἤτοι ἐνέργειαν, ἢ τελειότητα τοῦ φυσικοῦ σώματος. Ἀλλ’ ὅμως εἴ τις μετὰ ἀκριβείας θεῷτο, ἐναργῶς φαίνεται ἀναγκαῖον εἶναι τινὰ οὐσίαν νοητὴν εἶδος εἶναι τοῦ ἀνθρωπείου σώματος.

**106-108** τὸ – σώματι] Ps.-Dion., De div. nom., cap 2, n. 1 (PG 3, col. 636C, Ritter p. 122): διὰ ταύτας εἰσὶ καὶ ζωὴν ἔχουσι τὴν ἀνέκλειπτον καὶ ἀμείωτον. **109-110** ἡ – δευτέρῳ] Ar., De an. II, 412a19-21: ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. **116-121** Γρηγόριος – σώματος] Nem. Emes. (Gregorius Nixenus A), De nat. hom., 560C: Ἀριστοτέλης δὲ, τὴν ψυχὴν ἐντελέχειαν λέγων, οὐδὲν ἧττον συμφέρεται τοῖς ποιότητα λέγουσιν αὐτήν; 561A: Ἔστιν οὖν ἡ μὲν ὕλη, δύναμις· τὸ δὲ εἶδος, ἐντελέχεια. Καὶ τοῦτο δὲ διχῶς [νοεῖται], τὸ μὲν, ὡς ἐπιστήμη, τὸ δὲ, ὡς ἐνέργεια ... Προτέρα δέ ἐστιν ἡ ἐπιστήμη τῆς ἐνεργείας. Διὸ πρώτην ἐντελέχειαν καλεῖ τὸ εἶδος· δευτέραν δὲ τὴν ἐνέργειαν; 561B-564A: οὕτως ἐνταῦθα γεννηθεῖσα ἡ ψυχὴ ἐν τῷ σώματι τελειοῖς τὸ ζῷον, ὡς μήτε ἄνευ σώματος εἶναί ποτε τὴν ψυχήν, μήτε σῶμα δίχα ψυχῆς.

**102** εἰ] deest Aq. **109** Ἔτι] Sed Aq. **113** ὑφεστώς] ὑφεστῶς P

**Προὖπτον γὰρ ὅτι τουτωὶ τῷ ἀνθρώπῳ τῷ ἀτόμῳ, οἷον λέγω Σωκράτῃ ἢ Πλάτωνι, προσήκει τὸ νοεῖν. Οὐδεμία δὲ ἐνέργεια προσήκει τινὶ εἰμὴ κατά τι εἶδος ἐν αὐτῷ ὑπάρχον ἢ οὐσιῶδες ἢ κατὰ συμβεβηκός. Οὐδὲν γὰρ ἐνεργεῖ ἢ ποιεῖ, εἰμὴ καθὸ ἐστιν ἐνεργείᾳ. Ἔστι δὲ ἕκαστον ἐνεργείᾳ κατά τι εἶδος οὐσιῶδες ἢ συμβεβηκός, διὰ τὸ <τὸ> εἶδος εἶναι ἐνέργειαν ὥσπερ τὸ πῦρ ἐστιν ἐνεργείᾳ πῦρ διὰ τὴν πυρότητα, καὶ ἐνεργείᾳ θερμὸν διὰ τὴν θερμότητα. Δεῖ δὴ τοίνυν τὴν ἀρχὴν τῆς τοιαύτης ἐνεργείας, ἥτις ἐστὶ τὸ νοεῖν, εἰδικῶς ἐνεῖναι τῷδε τῷ ἀνθρώπῳ. Ἡ ἀρχὴ δὲ τῆς τοιαύτης ἐνεργείας οὐκ ἔστι τι εἶδος οὗ τὸ εἶναι ἤρτηται ἀπό τε τοῦ σώματος καὶ τῆς ὕλης, προσδεδεμένον ἢ καταδεδυκὸς ἐν αὐτῇ· αὕτη γὰρ ἡ** ἐνέργεια, **οὐκ ἀποτελεῖται διὰ** σώματ**ος, ὡς ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ὅθεν ἡ ἀρχὴ τῆς τοιαύτης ἐνεργείας ἔχει τὴν ἐνέργειαν ἀκοινώνητον τῇ σωματικῇ ὕλῃ, ἐπεὶ ἕκαστον ἐνεργεῖ, ᾗ ἐστί· διά τοι τοῦτο καὶ ἀναγκαῖον τὸ εἶναι ταύτης τῆς ἀρχῆς ἀνεστάναι ὑπὲρ τὴν σωματικὴν ὕλην καὶ μὴ ἐξέχεσθαι αὐτῆς. Τοῦτο δέ ἐστιν ἴδιον τῆς νοητῆς οὐσίας. Δεῖ ἄρα λέγειν εἶναί τινα οὐσίαν νοητὴν εἶδος τοῦ ἀνθρωπίνου σώματος.**

**[2.22] Τινὲς δὲ συγχωροῦντες τὸ νοεῖν εἶναι ἐνέργειαν τῆς ἀΰλου οὐσίας, ἀπηγόρευσαν αὐτὴν τὴν ἄυλον οὐσίαν ἑνοῦσθαι τῷ σώματι ὡς εἶδος. Ὧν ὁ Ἀβερόης ἠξίου τὸν δυνάμει νοῦν κεχωρῆσθαι ἀπὸ τοῦ σώματος κατὰ τὸ εἶναι. Συνεῖδε μέντοι ὅτι, εἰ μή τις εἴη ἕνωσις αὐτοῦ πρὸς τοῦτον τὸν ἄνθρωπον, ἡ τούτου ἐνέργεια καθήκειν τουτῳὶ τῷ ἀνθρώπῳ οὐ δύναται·**

**124-125** οὐδὲν – ἐνεργείᾳ] cf. Ar., De gen. et corr. I, 320b.17-19: Γίνεται μὲν οὖν ἁπλῶς ἕτερον ἐξ ἑτέρου ... καὶ ὑπό τινος δὲ ἐντελεχείᾳ ὄντος **131-132** αὕτη – τρίτῳ] Ar., De an. III, 429ª.24-27: οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν· διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ἢ ψυχρὸς ἢ θερμός, κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθὲν ἔστιν. **141-142** Συνεῖδε – δύναται] Av., Comm. de an., p. 388. Ll. 37-39: subiectum quod perficitur per rem intellectam non est intentiones ymaginate que sunt intellecte in potentia, sed intellectus materialis est qui perficitur per intellecta; et est cuius proportio ad ea est sicut proportio intentionis coloris ad virtutem visibilem; ibid, p.405, ll. 413-418: remanet ut continuatio intellectorum cum nobis hominibus fit per continuationem intentionis intellectae cum nobis (et sunt intentiones imaginatae) scilicet partis quae est in nobis de eis aliquo modo quasi forma; ibid., p. 486, ll. 200-202: intellectus materialis non copulatur nobiscum pers se intelligat

**123** Σωκράτῃ] Socrati T, Sorti L **136** Post λέγειν Aq. habet: si predicta coniungantur

**εἰ γὰρ δύο εἶεν οὐσίαι ἐκ διαμέτρου διακεκριμέναι, τῆς μιᾶς ἐνεργούσης ἢ ποιούσης οὐ λέγεται ἡ ἑτέρα ἐνεργεῖν. Ὅθεν ἐτίθετο τὸν** P 271r **νοῦν ἐκεῖνον, ὃν ἔλεγε πάντῃ διακεκρίσθαι κατὰ τὸ εἶναι τοῦ σώματος, συνεχίζεσθαι | τούτῳ ὃ τῷ ἀνθρώπῳ διὰ τῶν φαντασμάτων τούτῳ τῷ λόγῳ, ὅτι τὸ νοητὸν εἶδος, ὅπέρ ἐστι τελειότης τοῦ δυνάμει νοῦ, βέβηκεν ἐν τοῖς φαντάσμασιν, ἀφ’ ὧν ἀποσπᾶται. Τὰ δὲ φαντάσματα ἔστιν ἐν τωδὶ τῷ ἀνθρώπῳ, διὰ τὸ τὴν φανταστικὴν δύναμιν ὑπάρχειν δύναμιν ἐν σώματι, εἴτουν ἔχουσιν ὄργανον ἐν σώματι. Τὸ νοητὸν εἶδός ἐστι μεθόριον, συνάπτον τὸν δυνάμει νοῦν τῶν καθέκαστα ἀνθρώπῳ. Ἀλλ’ αὕτη ἡ συνέχεια, οὐδενὶ τρόπῳ ἀπόχρη πρὸς τὸ τὸν καθέκαστα ἄνθρωπον λέγειν νοεῖν. Ὡς γὰρ ὁ Ἀριστοτέλης φησὶν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ βιβλίῳ,** τὰ φαντάσματα **δρᾷ πρὸς τὸν δυνάμει νοῦν, ὥσπερ τὸ χρῶμα εἰς τὴν ὄψιν. Οὕτω τοίνυν τὸ νοητὸν εἶδος ὁ δυνάμει νοῦς ἀπὸ τῶν φαντασμάτων ἀναμάττεται, ὥσπερ τὸ εἶδος τοῦ χρώματος ἐστὶν ἐν τῇ τῆς ὄψεως αἰσθήσει. Ἐν δὲ τοῖς φαντάσμασιν οὕτως ἐνυπάρχει τὸ νοητὸν εἶδος, ὥσπερ τὸ ὁρατὸν εἶδος ἐστὶν ἐν τῷ χρώματι τοῦ τοίχου. Καθὸ δὲ τὸ εἶδος τὸ ὁρατόν, ὅπέρ ἐστι μόρφωσις τῆς ὄψεως, ἔστιν ὡς ἐν ὑποβάθρᾳ τῷ τοῦ τοίχου χρώματι, οὐ συνάπτεται ἡ ὄψις τῷ τοίχῳ ὡς ὁρῶντι, ἀλλ’ ὡς ὁρωμένῳ· οὐ γὰρ κατατοῦτο ὁ τοῖχος ὁρᾷ, ἀλλ’ ὁρᾶται.**

**153-154** Ὡς – νοῦν] Ar., De an. III, 431a.14-17: τῇ δὲ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰσθήματα ὑπάρχει ... διὸ οὐδέποτε νοεῖ ἄνευ φαντάσματος ἡ ψυχή. **155** ὥσπερ – ὄψιν] cf. Ar., De An. II, 430a.15-17: ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα

**159** μόρφωσις] sic P; intellige μορφή (forma Aq.) **148** Hic post ἀποσπᾶται Aq. habet: Sic ergo habet duplex esse: unum in intellectu possibili cuius est forma, et aliud in phantasmatibus a quibus abstrahitur.

**Οὕτω τοίνυν οὐδὲ τοῦτο ποιεῖ γινώσκειν τὸ εἶναι ἐν αὐτῷ εἶδος, οὗ ἡ ὁμοιότης ἔστιν ἐν τῇ γινωσκούσῃ δυνάμει, ἀλλὰ τὸ εἶναι ἐν αὐτῷ τὴν γνωστικὴν δύναμιν. Οὐ τοίνυν οὑτοσὶν ὁ ἄνθρωπος κατατοῦτο ἔσται νοῶν, καθό εἰσιν ἐν αὐτῷ τὰ φαντάσματα (ὧν ἡ ὁμοιότης, ἥτίς ἐστιν εἶδος νοητόν, ἔστιν ἐν τῷ δυνάμει νῷ), ἀλλ’ ἕπεται διὰ τούτου τὰ αὐτοῦ φαντάσματα εἶναι ἄλλων νοήματα. Διά τοι τοῦτο προσήκει αὐτὸν τὸν δυνάμει νοῦν, ὅς ἐστι δυνάμει νοῶν, εἰδικῶς ἐνεῖναι τουτῳὶ τῷ ἀνθρώπῳ πρὸς τὸ τὸν ἄνθρωπον τουτονὶ νοεῖν˙ δοκεῖ τε ἐν αὐτῷ τῷ τῆς συνεχείας λόγῳ ἐλλιπῶς διειλέχθαι, τοῦ νοητοῦ εἴδους οὐχ ἑνὸς ὄντος μετὰ τοῦ δυνάμει νοῦ, εἰμὴ τόσον ἀναμέμεικται ἀπὸ τῶν φαντασμάτων˙ οὕτω γὰρ μόνον εἰσὶν ἐνεργείᾳ νοητῇ˙ ᾗ δέ ἐστιν ἐν τοῖς φαντάσμασιν, ἔστι νοητὸν μόνον δυνάμει˙ δι’ ὧν δὴ μάλιστα δείκνυται ἡ διάταξις τοῦ δυνάμει νοῦ πρὸς τὰ φαντάσματα ἢ ἡ συνέχεια. Ἀνάγκη γὰρ ἐκεῖνα εἶναι πάντῃ διακεκριμένα, ὧν τῷ ἑνὶ οὐ δύναταί τι ἑνοῦσθαι, εἰ μὴ θατέρου χωρισθείη.**

**[2.23] Ταύτην οὖν τὴν δόξαν μεθέντες ὡς ἀδύνατον, θεωρητέον ἂν εἴη ὅτι Πλάτων ἐρρωμενέστατα ὑπέθετο τουτονὶ τὸν ἄνθρωπον νοεῖν, μὴ μέντοι τὴν νοητὴν οὐσίαν ἑνοῦσθαι τῷ σώματι ὡς εἶδος. Ὡς γὰρ ὁ Νύσσης Γρηγόριος διηγεῖται, Πλάτων ἠξίου τὴν νοερὰν οὐσίαν ἣ καλεῖται ψυχή, ἑνοῦσθαι τῷ σώματι κατά τινα πνευματικὴν συνάφειαν ὃ δὴ νοεῖται καθὸ**

**179-180** Ὡς – οὐσίαν] Nem. Emes., De nat. hom., col. 593B-596B: Πλάτων μὲν οὖν ... Ἐπὶ μὲν γὰρ τῶν σωμάτων ἡ ἕνωσις ἀλλοίωσιν τῶν συνιόντων πάντως ἐργάζεται ... ἐπὶ δὲ τῶν νοητῶν ἕνωσις μὲν γίνεται, ἀλλοίωσις δὲ οὐ παρακολουθεῖ. Οὐ γὰρ πέφυκε τὸ νοητὸν κατ’ οὐσίαν ἀλλοιοῦσθαι ... οὐκ ἄρα ἀλλοιοῦται ἡ ψυχὴ ἐν τῇ ἑνώσει. Δεδειγμένου τοίνυν τούτου, ὅτι τὰ νοητὰ ἀναλλοίωτα κατ’ οὐσίαν ἐστὶν, ἀναγκαίως παρακολουθεῖ, τὸ καὶ ἑνούμενα αὐτὰ μὴ συνδιαφθείρεσθαι, οἷς ἥνωνται. Καὶ ἥνωται τοίνυν καὶ ἀσυγχύτως ἥνωται τῷ σώματι ἡ ψυχή. Ὅτι μὲν γὰρ ἥνωται, ἡ συμπάθεια δείκνυσι˙ συμπαθεῖ γὰρ ὅλον ἑαυτῷ τὸ ζῷον, ὡς ἓν ὄν˙ ὅτι δὲ καὶ ἀσύγχυτος μένει, δῆλον ἐκ τοῦ τὴν ψυχὴν τρόπον τινὰ χωριζομένην τοῦ σώματος ἐν τῷ ὕπνῳ, καὶ ὥσπερ νεκρὸν αὐτὸ κεῖσθαι καταλείπουσαν.

**163** οὗ] οὐ P  **170-171** ἐλλιπῶς διηλέχθαι] defecisse Aq.

τὸ κινοῦν ἢ ποιοῦν, ἅπτεται τοῦ κινουμένου ἢ πάσχοντος καὶ εἰ ἀσώματον P 271v εἴη· ἀφ’ οὗ δὴ λόγου φησὶν Ἀριστοτέλης | ἐν τῷ Περὶ Γενέσεως πρώτῳ, ὅτι τινὰ ἅπτονται μὴ ὑποκείμενα ἁφῇ, διὰ τὸ ποιεῖν μὴ πάσχειν δέ. Ὅθεν ἔλεγεν ὁ Πλάτων, ὡς Γρηγόριος Νύσσης ἱστορεῖ, τὸν ἄνθρωπον μὴ εἶναι σύνθετον ἐκ ψυχῆς καὶ σώματος, ἀλλ’ εἶναι ψυχὴν προσχρωμένην σώματι, ὡς διαιτᾶσθαι νοεῖσθαι ἐν τῷ σώματι, ὥσπερ ὁ ναύτης τρόπῳ γέ τῳ ἐνειλεῖται ἐν τῇ νηί· οὗ δοκεῖ ἅπτεσθαι Ἀριστοτέλης ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ. Οὕτω τοίνυν <τουτονὶ> τὸν ἄνθρωπόν φησι νοεῖν, ἐφόσον οὑτοσὶ ὁ ἄνθρωπός ἐστιν αὐτὴ ἡ νοητὴ οὐσία ἥτίς ἐστιν ἡ ψυχή, ἧς ἰδία ἐνέργεια ἐστὶ τὸ νοεῖν, μὴ οὔσης μέντοι γε ταυτησὶ τῆς οὐσίας εἶδος τοῦ σώματος. Ἀλλὰ πρὸς ἀνασκευὴν τοῦ τοιούτου λόγου, ἓν ἀντὶ πάντων ἀπόχρη, ὅπερ Ἀριστοτέλης ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ εἰσάγει ὀρθῶς κατὰ τῆς θέσεως ταύτης. Εἰ γὰρ ἡ ψυχὴ μὴ ἐνῷτο τῷ σώματι ὡς εἶδος, ἕψεται τὸ σῶμα καὶ τὰ τούτου μόρια μὴ ἔχειν τὸ εἰδοπεποιημένον εἶναι διὰ τῆς ψυχῆς. Ὅπερ ἐναργῶς ψεῦδος δείκνυται˙ ἀπαλλαττούσης γὰρ τῆς ψυχῆς οὐ λέγεται ὀφθαλμὸς ἢ σὰρξ ἢ ὀστοῦν ὅτι μὴ ὁμωνύμως, ὥσπερ ὁ πεπλασμένος ὀφθαλμὸς ἢ ὁ λίθινος. Ὅθεν δῆλον τὴν ψυχὴν εἶναι εἶδος καὶ τὸ τί ἦν εἶναι τουτουὶ τοῦ σώματος, ἀφ’ ἧς τὸ σῶμα ἔχει τὸν τοῦ εἴδους αὐτοῦ λόγον. Ὅπῃ δὲ τοῦτ’ εἶναι δύναται, ζητητέον ἂν εἴη. Ἐν νῷ τοίνυν ληπτέον, ὅτι, ὅσο τι εἶδός ἐστι τελειότερον, τοσοῦτον ὑπερβάλλει τὴν σωματικὴν

**183-184** ἀφ’ – δέ] Ar., De gen. et corr. I, 323a28-30: ἔστι δ' ὡς ἐνίοτέ φαμεν τὸ κινοῦν ἅπτεσθαι μόνου τοῦ κινουμένου, τὸ δ' ἁπτόμενον μὴ ἅπτεσθαι ἁπτομένου. **184-186** Ὅθεν – σώματι] Nem. Emes., De nat. hom., 505A: Πλάτων δὲ οὐ δοκεῖ λέγειν τὸν ἄνθρωπον εἶναι τὸ συναμφότερον, ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν σώματι τοιῶδε χρωμένην **187-189** ὡς – δευτέρῳ] Ar., De an. II, 413a8-9: ἔτι δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ <ἢ> ὥσπερ πλωτὴρ πλοίου; eam comparationem Aristoteles non Platoni attribuit. **193-198** Ἀριστοτέλης – λίθινος] cf. Ar., De an. II, 413b17-25-9: θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, ψυχὴ ἂν ἦν αὐτοῦ ἡ ὄψις˙ αὕτη γὰρ οὐσία ὀφθαλμοῦ ἡ κατὰ τὸν λόγον (ὁ δ' ὀφθαλμὸς ὕλη ὄψεως), ἧς ἀπολειπούσης οὐκέτ' ὀφθαλμός, πλὴν ὁμωνύμως, καθάπερ ὁ λίθινος καὶ ὁ γεγραμμένος. δεῖ δὴ λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῶντος σώματος˙ ἀνάλογον γὰρ ἔχει ὡς τὸ μέρος πρὸς τὸ μέρος, οὕτως ἡ ὅλη αἴσθησις πρὸς τὸ ὅλον σῶμα τὸ αἰσθητικόν, ᾗ τοιοῦτον; cf. 412b17-25; Metaph. VII, 1035b24-25; ea comparatio passim in Aristotelis operibus est.

**188** ἐνειλεῖται] deest Aq. **192** ἀντὶ πάντων] deest Aq.

ὕλην. Ὃ φαίνεται ἐπάγουσιν ἐν διαφόροις τάξεσιν εἰδῶν. Τὸ γὰρ τοῦ στοιχείου εἶδος οὐκ ἔχει τινὰ ἐνέργειαν εἰμὴ τὴν διὰ τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων, αἳ τυγχάνουσιν οὖσαι διαθέσεις τῆς σωματικῆς ὕλης. Τὸ δ’ εἶδος τῶν μικτῶν σωμάτων ἔχει τινὰ ἐνέργειαν ἐκπίπτουσαν τὰς ποιητικὰς καὶ παθητικὰς ποιότητας, ἥτις ἕπεται τῷ εἴδει ἐκ τῆς εἰς αὐτὰ ἐπιρροῆς τῆς ἀπὸ τοῦ οὐρανίου σώματος· ὥσπερ ἡ μαγνῆτις ἐφέλκεται τὸν σίδηρον, καὶ ὁ σάπφειρος, ἰᾶται τὰ ἀποστήματα. Ὑπὲρ ταῦτα δέ, ἡ φυτικὴ ψυχὴ τὴν ἐνέργειαν κέκτηται, ᾗ δὴ δουλεύουσιν ὀργανικῶς αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες. Ἀλλ’ ὅμως ὑπὲρ τὴν δύναμιν τῶν τοιούτων ποιοτήτων αὐτὴ τὰς ἰδίας ἐνεργείας εἴληχεν, ἐν τῷ τρέφειν καὶ αὔξειν μέχρις
P 272[r] ὡρισμένου πέρατος καὶ τῷ ἄλλ’ ἄττα τοιάδε διεξερ|γάζεσθαι. Ἡ δὲ αἰσθητικὴ ψυχὴ περαιτέρω ἔχει τὴν ἐνέργειαν, πρὸς ἣν οὐδενὶ τρόπῳ ἐκτείνονται αἱ ποιητικαὶ καὶ παθητικαὶ ποιότητες, εἰ μή πως αἰτοῖντο πρὸς σύνθεσιν τοῦ ὀργάνου δι’ οὗ ἡ τοιαύτη ἐνέργεια ἐπιτελεῖται· οἷον τὸ ὁρᾶν καὶ ἀκούειν καὶ ὀρέγεσθαι καὶ τὰ τοιαῦτα. <Τὸ> τελεώτατον δὲ τῶν εἰδῶν ἤγουν ἡ ἀνθρωπίνη ψυχή, ἥτίς ἐστι πέρας πάντων τῶν φυσικῶν εἰδῶν, ἔχει τὴν ἐνέργειαν ὑπερεκπίπτουσαν τοῖς ὅλοις τὴν σωματικὴν ὕλην, ἣ οὐ γίνεται δι’ ὀργάνου σωματικοῦ, ἀλλὰ νοῦ. Καὶ ἐπειδὴ τὸ εἶναι οὑτινοσοῦν ἀναλογεῖ τῇ αὐτοῦ ἐνεργείᾳ, ὡς εἴρηται, ἕκαστον ἐνεργεῖ˙ ᾗ δὴ ἐστὶν ὄν˙ δεῖ δὲ <τὸ> τῆς ψυχῆς εἶναι ἐλαύνειν ὑπὲρ τὴν σωματικὴν ὕλην καὶ μὴ

**207** μαγνῆτις] μαγνίτις P **218** ὑπερεκπίπτουσαν] M[hic inc.] | σωματικὴν] deest Aq. **219** οὑτινοσοῦν] ὅτινοσοῦν M **220** αὐτοῦ] ἑαυτοῦ M **221** δὲ deest M

**εἶναι ἀπ' αὐτῆς ὁλικῶς περιειλημμένον, τρόπῳ δέ τινι ἅπτοιτο αὐτοῦ ἡ ὕλη. Ὅσον τοίνυν ὑπερβαίνει τὸ εἶναι τῆς σωματικῆς ὕλης δυναμένη καθ' αὐτὴν ὑφεστάναι καὶ ἐνεργεῖν ἡ ἀνθρωπίνη ψυχὴ ἐστὶν οὐσία πνευματική· ἐφόσον δὲ ἅπτεται αὐτῆς ἡ ὕλη καὶ τοῦ ἰδίου εἶναι ἡ ψυχὴ κοινωνεῖ αὐτῇ, ἐστὶ σώματος εἶδος. Ἅπτεται δὲ αὐτῆς ἡ σωματικὴ ὕλη τῷδε τῷ λόγῳ. Ἀεὶ γὰρ τὸ ὑπερκείμενον ἐν ταῖς τάξεσιν ἅπτεται τοῦ ὑποβεβηκότος, ὡς φαίνεται διὰ τοῦ Διονυσίου, ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων· καὶ διατοῦτο ἡ ἀνθρωπίνη ψυχή, ἥτίς ἐστιν ἐσχάτη ἐν τῇ τάξει τῶν πνευματικῶν οὐσιῶν, τοῦ αὐτῆς εἶναι μεταδιδόναι δύναται τῷ ἀνθρωπίνῳ σώματι, ὅπερ ἐν τῷ τῶν σωμάτων καταλόγῳ τὴν κρείττω χώραν εἴληχεν, ὡς ἐκ ψυχῆς καὶ σώματος ἓν γίνεσθαι καθάπερ ἐξ ὕλης καὶ εἴδους. Ἢν δ' αὐτὴ ἡ νοητὴ οὐσία ἐξ ὕλης καὶ εἴδους συγκέηται, ἀδύνατόν ἐστιν εἶναι εἶδος σώματος· ἐκ γὰρ τοῦ τῆς ὕλης λόγου ἐστὶ μὴ εἶναι ἔν τινι, ἀλλὰ ταύτην εἶναι πρῶτον ὑποκείμενον.**

**[2.24] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι ἡ νοητὴ οὐσία, εἰ καὶ μὴ περιίσχεται τῷ σώματι, ἅπτεται μέντοι αὐτῆς ὁπῃτιοῦν τὸ σῶμα, ὡς εἴρηται.**

**[2.25] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι τὸ νοεῖν ἐστιν ἐνέργεια τῆς ἀνθρωπίνης ψυχῆς, καθ' ὃ ὑπερεκπίπτει τὴν ἀναλογίαν τῆς σωματικῆς ὕλης, καὶ διατοῦτο οὐκ ἐπιτελεῖται διά τινος σωματικοῦ ὀργάνου. Πλὴν δύναται λέγεσθαι αὐτὸ τὸ σύνθετον εἴτουν τὸν ἄνθρωπον νοεῖν, ἐφόσον ἡ ψυχή, ἥτίς ἐστιν αὐτοῦ μέρος ειδικόν, ἔχει ταύτην ἰδίαν τὴν ἐνέργειαν, ὥσπερ ἡ ἐνέργεια οὑτινοσοῦν μορίου ἀπονέμεται τῷ ὅλῳ ἀνθρώπῳ. Ὁρᾷ μὲν γὰρ τῷ ὀφθαλμῷ, πεζεύει δὲ τῷ ποδί, παραπλησίον δὴ νοεῖ καὶ τῷ νῷ.**

**226-228** ἀεὶ – ὀνομάτων] cf. Ps.-Dion., De div. nom., cap. 7, n. 3 (PG 3, col. 872B, Ritter p. 198): ἀεὶ τὰ τέλη τῶν προτέρων συνάπτουσα ταῖς ἀρχαῖς τῶν δευτέρων.

**222** ἅπτοιτο αὐτοῦ] ἅπτεσθαι αὐτῆς M **227** ἐν] deest P **229** ἀνθρωπίνη] ἀνθρώπ<ε>ιος P **232** ἓν] deest P **234** τινι] alio Aq. **236** καὶ] deest P **244** παραπλησίον] παραπλησίως M | δὴ] sic P, M; intellige δὲ

**[2.26] Πρὸς τὸ τρίτον ῥητέον ὅτι ἡ ψυχὴ ἔχει τὸ εἶναι ὑφεστώς, ἐφόσον τὸ** P 272v **αὐτῆς εἶναι οὐκ ἤρτηται τῆς σωματικῆς ὕλης, ὡσὰν ὑπὲρ | τὴν τοῦ σώματος φύσιν ἀναδραμόν. Προσίεται μέντοι τὸ σῶμα πρὸς τὴν τοῦ τοιούτου εἶναι κοινωνίαν, ὡς ταύτῃ ἓν εἶναι τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος εἶναι, ὅπέρ ἐστιν ἀνθρώπου εἶναι. Εἰ δὲ κατ’ ἄλλο εἶναι ἡνοῦτο αὐτῇ τὸ σῶμα εἵπετο, ἂν εἶναι ἡ ἕνωσις κατὰ συμβεβηκός.**

**[2.27] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι ἡ ψυχὴ κατὰ τὴν ἑαυτῆς οὐσίαν ἐστὶν εἶδος τοῦ σώματος καὶ οὐ κατά τι ἐπελθόν. Πλὴν ἐφόσον μὲν ἅπτεται αὐτῆς τὸ σῶμα, ἐστὶν εἶδος αὐτοῦ· καθόσον δὲ ὑπερβάλλεται αὐτὴ τὴν τοῦ σώματος ἀναλογίαν, λέγεται πνεῦμα ἢ πνευματικὴ οὐσία.**

**[2.28] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι οὐδὲν μέρος ἔχει τὴν τῆς φύσεως τελειότητα διατμηθὲν ἀπὸ τοῦ ὅλου. Ὅθεν ἡ ψυχή, μόριον οὖσα τῆς ἀνθρωπίνης φύσεως, οὐκ ἔχει τὴν τελειότητα τῆς φύσεως αὐτῆς εἰμὴ ἐν τῇ πρὸς τὸ σῶμα ἑνώσει. Ὃ φαίνεται ἐκ τοῦ φύεσθαι τὴν ψυχὴν οἵαν, δυνάμεις μέν τινας προχεῖν ἐξ ἑαυτῆς, μὴ οὖσα ἐντελεχείας σωματικῶν ὀργάνων, καθὸ δὴ ἐξαίρει τὴν τοῦ σώματος ἀναλογίαν· τινὰς δ’ αὖ προβάλλεσθαι ἐνεργείας οὔσας ἐντελεχείας σωματικῶν ὀργάνων, ἐφόσον αὐτῶν ἅπτεται ἡ σωματικὴ ὕλη. Οὐκ ἔστι δέ τι ἐντελὲς ἐν τῇ ἑαυτοῦ φύσει, εἰ μὴ ἐνεργείᾳ ἐκπληροῦν δύναιτο, τὸ περιεχόμενον ἐν ἑαυτῷ δυνάμει. Ἀμέλει εἰ καὶ ἡ ψυχὴ εἶναι καὶ νοεῖν δύναιτο ἐφ’ ἑαυτῆς ἀπὸ τοῦ σώματος γενομένη, ὅμως οὐ τετελείωται κατὰ τὴν ἑαυτῆς φύσιν ἐρημωθεῖσα τοῦ σώματος· ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τοῖς Εἰς τὴν Γένεσιν.**

**264-267** Ἀμέλει – Γένεσιν] Aug., De gen. ad litt. XII, cap. 35, n. 68 (PL 34, col. 483): Sed si quem movet, quid opus sit spiritibus defunctorum corpora sua in resurrectione recipere, si potest eis etiam sine corporibus summa illa beatitudo praeberi; difficilior quidem quaestio est, quam ut perfecte possit hoc sermone finiri: sed tamen minime dubitandum est, et raptam hominis a carnis sensibus mentem, et post mortem ipsa carne deposita, transcensis etiam similitudinibus corporalium, non sic videre posse incommutabilem substantiam, ut sancti Angeli vident; sive alia latentiore causa, sive ideo quia inest ei naturalis quidam apperitus corpus administrandi; quo appetitu retardatur quodammodo ne tota intentione pergat in illud summum coelum, quamdiu non subest corpus, cuius administratione appetitus ille conquiescat. Porro autem si tale sit corpus, cuius sit difficilis et gravis administratio, sicut haec caro quae corrumpitur, et aggravat animam, de propagine transgressionis existens, multo magis avertitur mens ab illa visione summi coeli: unde necessario abripienda erat ab eiusdem carnis sensibus, ut ei, quomodo capere posset, illud ostenderetur. Proinde cum hoc corpus iam non animale, sed per futuram commutationem spirituale receperit Angelis conaequata, perfectum habebit naturae suae modum, obediens et imperans, vivificata et vivificans, tam ineffabili facilitate, ut sit ei gloriae quod sarcinae fuit.

**245** ὑφεστώς] ὑφεστῶς P **246** αὐτῆς] αὐτοῦ P (erratum ex eius) | ὡς ἄν] ὡσανεὶ M **246-247** τοῦ – φύσιν] materiam corporalem Aq. **247** ἀναδραμόν] ἀναδραμών P **250** τὸ σῶμα] τῷ σώματι M | εἵπετο] ἕπετ’ M **253** αὐτὴ] deest Aq. **258** ἑνώσει] ἑνῶσι M. Post τοῦ Aq. habet: in virtute ipsius animae est quod

**[2.29] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὸ θαῦμα οὐκ ἐξείληπται ἐκεῖ, καθὸ λέγεται ἀπεναντίας τῇ φυσικῇ ἐνεργείᾳ, ἀλλὰ καθὸ δὴ καὶ αὐτὰ τὰ φυσικὰ ἔργα, θαύματα καλοῦνται, ᾗ δὴ τῇ ἀκαταλήπτῳ τοῦ Θεοῦ δυνάμει προχωρεῖ. Καὶ τούτῳ τῷ τρόπῳ ὁ Αὐγουστῖνος ἐν τῇ Εἰς τὸν Ἰωάννην ἐξηγήσει φησὶ θαυμασιώτερον εἶναι ἐξ ὀλίγων πυρῶν τοσαύτην πληθὺν ληίων ἀνιέναι, ὅση περ ἀπαρκεῖ πρὸς κόρον παντὶ τῷ ἀνθρωπείῳ γένει, ἢ ἐκ πέντε ἄρτων πέντε χιλιάδας ἀνδρῶν κορέσαι.**

**[2.30] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι, δι’οὗ τι ἐξασθενεῖ προεπινοουμένης τῆς ἑαυτοῦ φύσεως οὐκ ἔστι φυσικόν. Συμβαίνει δὲ τέως πλειστάκις τι συνιέναι πρὸς φύσιν ὁτουοῦν, ἀφ’ οὗ ἕπεταί τις πήρωσις ἢ ἀσθένεια· ὥσπερ ἡ ἐκ τῶν ἐναντίων σύνθεσίς ἐστι μὲν φυσικὴ τῷ ζῴῳ, ἕπεται δὲ ὅμως ἐξ αὐτῆς τῷ ζῴῳ θάνατος καὶ φθορά. Ἔχει δὲ ὁμοίως καὶ ἐπὶ ψυχῆς˙ ἔστι γὰρ αὐτῇ φυσικὸν δεῖσθαι φαντασμάτων πρὸς τὸ νοεῖν, ἀφ’ οὗ ὅμως ἕπεται ἡττᾶσθαι κατὰ τὸ νοεῖν τῶν ὑπερκειμένων οὐσιῶν. Ὃ δὲ λέγεται** τὴν ψυχὴν ὑπὸ τοῦ σώματος βαρύνεσθαι**, τοῦτ’ οὐκ ἔστιν ἐκ τῆς αὐτοῦ φύσεως, ἀλλ’ ἐκ**
P 273r **τῆς αὐτοῦ φθορᾶς, κατὰ τὸ αὐτὸ τῆς Σοφίας ἐν τῷ ἑνδεκάτῳ· | τὸ** γὰρ **φθειρόμενον** σῶμα βαρύνει **τὴν** ψυχήν. **Ὃ δέ φαμεν ἀφέλκειν ἑαυτὴν τῆς τοῦ σώματος πλοκῆς, ὥστε ἑαυτὴν νοεῖν, ληπτέον ἐστὶν ἀφέλκειν ἑαυτὴν τῆς τοῦ σώματος συναφείας, ὡσανεὶ ἀπὸ ἀντικειμένου. Ἡ γὰρ ψυχὴ νοεῖται κατὰ ἀπόστασιν πάσης σωματότητος, οὐ μέντοι ἀφίσταται ἀπ’ αὐτῆς κατὰ τὸ εἶναι˙ μᾶλλον μὲν οὖν τινῶν σωματικῶν ὀργάνων πηρωθέντων οὐ δύναται ἡ ψυχὴ ὀρθῶς οὔθ’ ἑαυτὴν οὔτ’ ἄλλο νοεῖν· ὡς ὅταν ὁ ἐγκέφαλος λυμανθῇ.**

**271-272** Αὐγουστῖνος – φησί] Aug., In Ioh., tract. 24, n. 1: Quia enim ille non est talis substantia quae videri oculis possit, et miracula eius quibus totum mundum regit universamque creaturam administrat, assiduitate viluerunt, ita ut pene nemo dignetur attendere opera Dei mira et stupenda in quolibet seminis grano; secundum ipsam suam misericordiam servavit sibi quaedam, quae faceret opportuno tempore praeter usitatum cursum ordinemque naturae, ut non maiora, sed insolita videndo stuperent, quibus quotidiana viluerant. Maius enim miraculum est gubernatio totius mundi, quam saturatio quinque millium hominum de quinque panibus: et tamen haec nemo miratur: illud mirantur homines non quia maius est, sed quia rarum est. Quis enim et nunc pascit universum mundum, nisi ille qui de paucis granis segetes creat? Fecit ergo quomodo Deus. Unde enim multiplicat de paucis granis segetes, inde in manibus suis multiplicavit quinque panes. **283-284** κατὰ – ψυχήν] Sap. 9, 15: φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν.

**273** ἀνθρωπείῳ] ἀνθρωπίνῳ M **276** τέως] deest Aq. **277** συνιέναι] est pertinens Aq. **280** αὐτή] αὐτῇ M **283** τὸ – ἑνδεκάτῳ] Sap. IX Aq. | ἐν τῷ] deest P **287** ἀντικειμένου] obiectis Aq. **288** αὐτῆς] sic P, M; intellige αὐτῶν? (eis Aq.)

**[2.31] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, ὅσο τι εἶδός ἐστι μετεωρότερον, τοσοῦτο δεῖται δια κρείττονος ποιοῦντος προαχθῆναι. Ὅθεν, ἐπεὶ ἡ ἀνθρωπίνη ψυχή ἐστιν ὑπερηφανωτέρα πάντων τῶν ειδῶν, πρόεισιν ἀπὸ τοῦ πάντων κρατίστου, εἴτουν τοῦ Θεοῦ, ἑτέρῳ μέντοι τρόπῳ παρὰ τὰ λοιπὰ εἴδη τὰ ἔκ τινων ποιητικῶν. Τὰ μὲν γὰρ ἄλλα εἴδη οὐχ ὑφέστηκεν˙ ὅθεν τὸ εἶναι οὐκ ἔστιν αὐτῶν, ἀλλ’ αὐτοῖς ἄλλα εἰσίν˙ ἀμέλει καὶ τὸ γίνεσθαι αὐτῶν ἐστι καθὸ ἡ ὕλη ἢ τὸ ὑποκείμενον ἀναφέρει ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ˙ ὅπέρ ἐστιν [educi] εἶδος ἐκ τοῦ τῆς ὕλης δυνάμει, ἄνευ συνθέσεως οὑτινοσοῦν ἐξωτερικοῦ. Ἀλλ’ αὐτὴ ἡ ψυχὴ ἔχει τὸ εἶναι ὑφεστώς˙ ὅθεν ἰδίως αὐτῇ ὀφείλεται τὸ γίνεσθαι καὶ τὸ σῶμα προσάγεται πρὸς τὸ αὐτοῦ εἶναι. Καὶ διατοῦτο εἶναι λέγεται ἀπὸ ἐξωτερικοῦ, καὶ ὅτι οὐκ ἔξεισιν ἐκ τοῦ τῆς ὕλης δυνάμει.**

**[2.32] Ὅθεν φαίνεται λύσις καὶ πρὸς τὸ ἔνατον.**

**[2.33] Πρὸς τὸ δέκατον ῥητέον ὅτι τὸ πνεῦμα μᾶλλον συγχωρεῖ τῷ πνεύματι ἢ τῷ σώματι τῇ τῆς φύσεως οἰκειότητι. Ἀλλ’ ἡ καταλληλία τῆς ἀναλογίας ἣ ζητεῖται πρὸς τὴν ὕλην καὶ τὸ εἶδος μᾶλλον προσήκει τῷ πνεύματι καὶ τῷ σώματι ἢ τῷ πνεύματι πρὸς πνεῦμα, ἐφόσον δύο μὲν πνεύματά εἰσι δύο ἐνέργειαι, τὸ δὲ σῶμα παραβάλλεται πρὸς τὴν ψυχήν, ὥσπερ δύναμις πρὸς ἐνέργειαν.**

**[2.34] Πρὸς τὸ ἐνδέκατον ῥητέον ὅτι ὁ ἄγγελος καὶ ἡ ψυχή εἰσιν ἴσα τῇ τοῦ γένους φύσει, ᾗ δὴ ἑκάτερόν ἐστι νοερὰ οὐσία. Ἀλλ’ ὁ ἄγγελος τῇ φύσει τοῦ εἴδους ἐστὶν ὑψηλότερος, ὡς φαίνεται διὰ τοῦ Διονυσίου ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῆς Οὐρανίου ἱεραρχίας.**

**301** εἶναι – ἐξωτερικοῦ] cf. Ar., De gen. an., 736b12-28: λείπεται δὴ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον. **311-313** Ἀλλ’ – Ἱεραρχίας] Ps.-Dion., De cael. hier., cap. 4, n. 1, 2 (PG 3, col. 177D-180, Ritter pp. 20-21): τὸ γὰρ εἶναι πάντων ἐστὶν ἡ ὑπὲρ τὸ εἶναι θεότης˙ τὰ δὲ ζῶντα, τῆς αὐτῆς ὑπὲρ πᾶσαν ζωὴν ζωοποιοῦ δυνάμεως˙ τὰ δὲ λογικὰ καὶ νοερὰ, τῆς αὐτῆς ὑπὲρ πάντα καὶ λόγον αὐτοτελοῦς καὶ προτελαίου σοφίας. Δῆλον δὲ, ὅτι περὶ αὐτὴν ἐκεῖνι τῶν οὐσιῶν εἰσιν, ὅσαι πολλαχῶς αὐτῆς μετειλήφασιν. Αἱ γοῦν ἅγιαι τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις, ὑπὲρ τὰ μόνον ὄντα, καὶ ἀλόγως ζῶντα, καὶ τὰ καθ’ ἡμᾶς λογικὰ, τῆς θεαρχικῆς μεταδόσεως ἐν μετουσίᾳ γεγόνασι.

**296** ἄλλα] aliqua Aq. **299** ὑφεστώς] ὑφεστῶς P **300** αὐτοῦ] αὐτῆς M **304** συγχωρεῖ] convenit Aq. **306** πνεύματι ... πνεύματι] spiritu ... spiritu Aq. **311** ἄγγελος] τὸ add. post ἄγγελος P | τῇ φύσει] τῆς φύσεως M

**[2.35] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι τὸ λογικὸν ἰδίως λαμβανόμενόν ἐστι διαφορὰ ψυχῆς, οὐκ ἀγγέλου, ἀλλὰ μᾶλλον τὸ νοερόν ἐστι τούτου διαφορά, ὡς ὁ Διονύσιος χρῆται˙ ὁ γὰρ ἄγγελος οὐ γινώσκει τὴν ἀλήθειαν τῇ τοῦ λόγου μεταβάσει, ἀλλ' ἁπλῇ ἐπιβολῇ, ὅπέρ ἐστιν ἰδίως τὸ νοεῖν. Εἰ μέντοι [rationale] καταχρηστικῶς λαμβάνοιτο, τηνικαῦτα ῥητέον ἐστὶν ὅτι οὐκ ἔστιν ἐσχάτη εἰδοποιὸς διαφορά, ἀλλὰ διαιρεῖται δι' ἄλλων εἰδοποιῶν διαφορῶν διὰ τοὺς τοῦ νοεῖν διαφόρους βαθμούς.**

**[2.36] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι ὁ νοῦς οὐ λέγεται ἐνέργεια**
P 273v **μέρους τινὸς τοῦ σώματος˙ ἔστι | καὶ γὰρ δύναμις οὐ χρωμένη ὀργάνῳ σωματικῷ. Αὐτὴ μέντοι τῆς ψυχῆς ἡ οὐσία ἑνοῦται τῷ σώματι ὡς εἶδος, καθάπερ εἴρηται.**

**[2.37] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι ἐκείναις ταῖς γυναιξὶν ὁ δρόμος συμβῆναι λέγεται ἐν τῷ πνεύματι, οὐχ ὅτι τὸ πνεῦμα, εἴτουν ἡ τῆς ψυχῆς οὐσία, ἔξω τοῦ σώματος ἐνείργει, ἀλλ' ὅτι ἐν τῷ πνεύματι ὅπέρ ἐστιν ἐν τῷ τῆς ψυχῆς φανταστικῷ τὰ τοιαῦτα φάσματα τυποῦται.**

**[2.38] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι ἡ ὕλη ἄνευ εἴδους κυρίως ὀνομάζουσιν οὐ δύναται εἶναι ὑποκείμενον˙ ὑποκείμενον γὰρ ἰδίως λέγεταί τι ὂν ἐνεργείᾳ. Ἀλλ' ἐπεὶ τὸ ἔμψυχον σῶμά ἐστιν ὂν ἐνεργείᾳ, ὡς δύνασθαι εἶναι ὑποκείμενον, οὐκ ἔχει ἀπ' ἄλλου εἴδους τοῦτο ἢ ἀπὸ τῆς ψυχῆς, ὡς ὑποκατιοῦσι δειχθήσεται.**

**315-317** ἀλλὰ – νοεῖν] Ps.-Dion., De div. nom., cap VII, n. 2 (PG 3, col. 868B, Ritter p. 195): Ἐξ αὐτῆς αἱ νοηταὶ καὶ νοεραὶ τῶν ἀγγελικῶν νοῶν δυνάμεις τὰς ἁπλᾶς καὶ μακαρίας ἔχουσι νοήσεις, οὐκ ἐν μεριστοῖς, ἢ ἀπὸ μεριστῶν, ἢ αἰσθήσεων. ἢ λόγων διεξοδικῶν συνάγουσαι τὴν θείαν γνῶσιν, οὐδὲ ὑπό τινος κοινοῦ πρὸς ταῦτα συμπεριεχόμεναι, παντὸς δὲ ὑλικοῦ καὶ πλήθους καθαρεύουσαι, νοερῶς, ἀΰλως, ἑνοειδῶς, τὰ νοητὰ τῶν θείων νοοῦσι˙ καὶ ἔστιν αὐταῖς ἡ νοερὰ δύναμις καὶ ἐνέργεια, τῇ ἀμιγεῖ καὶ ἀχράντῳ καθαρότητι κατηγλαϊσμένη, καὶ συνοπτικὴ τῶν θείων νοήσεων ἀμερείᾳ, καὶ ἀϋλίᾳ, καὶ τῷ θεοειδῶς ἑνὶ πρὸς τὸν θεῖον ὑπέρσοφον καὶ νοῦν, καὶ λόγον, ὡς ἐφικτὸν, ἀποτυπουμένη διὰ τὴν θείαν σοφίαν. **323-324** αὐτὴ – εἴρηται] vide supra [2.23].11-14

**314** λογικόν] λέγειν M (rationale A) **315-317** ἔστι – διαφορά] deest Aq.

[2.39] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι τὸ φθαρτὸν καὶ ἄφθαρτον, οὐ συμφέρουσιν ἐν τῷ γένει κατὰ τὴν τῶν φυσικῶν θεωρίαν διὰ τὸν τοῦ εἶναι διάφορον τρόπον καὶ τὸν διάφορον λόγον τῆς ἐν ἑκατέρῳ δυνάμεως, εἰ καὶ δύναιντο συνιέναι ἐν τῷ λογικῷ γένει, ὅπερ νοεῖται κατ' ἐπιβολὴν νοητὴν μόνον. Ἡ ψυχὴ δέ, εἰ καί ἐστιν ἄφθαρτος, οὐκ ἔστιν ὅμως ἐν ἄλλῳ γένει ἢ τὸ σῶμα· μέρος γὰρ οὖσα τῆς ἀνθρωπίνης φύσεως οὐ καθήκει αὐτῇ εἶναι ἐν γένει ἢ εἴδει ἢ εἶναι πρόσωπον ἢ ὑπόστασιν ἄνευ τοῦ συγκειμένου. Ὅθεν δὲ τόδε τι δύναται λέγεσθαι, διὰ δὲ τούτου νοεῖται ἡ ὑπόστασις ἢ τὸ τοῦ προσώπου ἄτομον, ἐν γένει εἴη εἴδει ἱδρυόμενον. Ἀλλ' εἰ τὸ δέ τι τόδε τι λέγοιτο πᾶν τὸ δυνάμενον καθ' αὐτὸ ὑφεστάναι, ταύτῃ καὶ ἡ ψυχὴ ἔσται τὸ δέ τι τόδε τι.

[2.40] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον ὅτι ἐκείνη ἡ θέσις καθόλου ἐστὶν ἀδύνατος, ὡς δέδεικται.

[2.41] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι ἔστιν ἐκ τοῦ τῆς νοερᾶς οὐσίας λόγου τὸ ἀποτετειχίσθαι τῆς ὕλης, ἀφ' ἧς μὴ ἤρτηται τὸ αὐτῆς εἶναι, ὥσπερ ὁλοκλήρως περιειλημμένον ἀπὸ τῆς ὕλης. Ὅθεν οὐδὲν προσίσταται τὴν ψυχὴν εἶναι οὐσίαν τε νοερὰν καὶ εἶδος σώματος, ὡς εἴρηται.

[2.42] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον ὅτι ἐκ τῆς ἀνθρωπίνης ψυχῆς καὶ τοῦ σώματος οὕτω γίνεται ἕν, ὅτι τῆς ψυχῆς ὑπερβαινούσης τὴν τοῦ σώματος ἀναλογίαν ἐκ τοῦ μέρους ᾧ τὸ σῶμα ὑπερεκπίπτει, ἀποδέδοται αὐτῇ δύναμις νοερά. Ὅθεν οὐ δεῖ τὰ νοητὰ εἴδη τὰ ὄντα ἐν τῷ νῷ λαμβάνεσθαι ἐν τῇ σωματικῇ ὕλῃ.

**350** ὡς – εἴρηται] vide supra [2.23].11-14.

**338** δέ] deest M **340** ἄνευ – συγκειμένου] sed compositio Aq. **341** δὲ] etiam nec Aq.; δὲ[2]] deest Aq. **342** τὸ – ἄτομον] vel persona vel inviduum Aq. **343**, **344** τόδε τι] τὸ δέ τι P **348** ἀφ' – εἶναι] qua dependeat eius esse Aq. **349** ἀπὸ – ὕλης] sic P, M; intellige ὑπὸ τῆς ὕλης (a materia Aq.) **353** ἀποδέδοται] ἀποδίδοται M (attribuitur A) **354** νοητά] νοερά M (intelligibiles A)

**<Πότερον ἡ νοητὴ οὐσία ἡ οὖσα ἀνθρωπίνη ψυχὴ ἑνοῦται τῷ σώματι διαμέσου τινὸς ἢ οὔ.>**

**Κεφάλαιον τρίτον**

P 274r **[3.1] Τρίτον ζητεῖται, πότερον ἡ νοητὴ οὐσία ἡ οὖσα ἀνθρωπίνη ψυχὴ ἑνοῦται | τῷ σώματι διαμέσου τινός. Καὶ δοκεῖ ὅτι μή. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ δεκάτῳ τρίτῳ κεφαλαίῳ τοῦ Περὶ τῆς οὐρανίου ἱεραρχίας ὅτι τὰ ὑπερκείμενα συνάπτονται τοῖς ὑποβεβηκόσι διὰ τῶν μέσων. Ἀλλὰ τῆς νοητῆς οὐσίας καὶ τοῦ σώματος μεταξὺ ἔνεστί τινα μέσα ἥ τε φυτικὴ ψυχὴ καὶ ἡ αἰσθητική. Ἡ νοητὴ ἄρα οὐσία ἡ οὖσα λογικὴ ψυχὴ ἑνοῦται τῷ σώματι μεσιτευούσης τῆς φυτικῆς καὶ αἰσθητικῆς ψυχῆς.**

**[3.2] Ἔτι ὁ Φιλόσοφός φησιν ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ ὅτι** ψυχὴ ἐστὶν ἐντελέχεια σώματος ὀργανικοῦ δύναμιν ζωὴν ἔχοντος. **Τὸ τοίνυν ὀργανικὸν φυσικὸν σῶμα, δύναμιν καὶ ζωὴν ἔχον, παραβάλλεται πρὸς τὴν ψυχὴν ὡς ὕλη πρὸς εἶδος. Ἀλλὰ τοῦτο, δηλαδὴ τὸ ὀργανικὸν φυσικὸν σῶμα, οὐκ ἔστιν εἰμὴ διά τινος εἴδους οὐσιώδους. Ἐκεῖνο τοίνυν τὸ οὐσιῶδες εἶδος, ὁτιδήποτε εἴη, φθάνει ἐν τῇ ὕλῃ τὴν νοητὴν οὐσίαν, ἥτίς ἐστι λογικὴ ψυχή. Τῷ δ᾽αὐτῷ λόγῳ καὶ τὰ ἄλλα εἴδη τὰ ἑπόμενα, ἅπερ τυγχάνει ὄντα ἥ τε φυτικὴ ψυχὴ καὶ ἡ αἰσθητική.**

**5-7** ὁ – μέσων] Ps.-Dion., De cael. hier., cap. 13, n. 3 (PG 3, col. 301A, Ritter p. 44): ἀλλὰ καὶ πᾶσι τοῖς νοεροῖς ἀναλόγως ἐπιφαίνεται, καὶ τὴν οἰκείαν φωτοδοσίαν ἐγχειρίζουσα ταῖς πρεσβυτάταις οὐσίαις, δι᾽ αὐτῶν ὡς πρώτων εἰς τὰς ὑποβεβηκυίας αὐτὴ εὐκόσμως διαδίδωσι, κατὰ τὴν ἑκάστης διακοσμήσεως θεοπτικὴν συμμετρίαν. **11-12** ὁ – ἔχοντος] Ar., De an. II, 412a27-28: διὸ ἡ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος.

**5** ὅτι μή] τί μὴ (bis accent. μὴ) P; quod sic Aq. **7** ὑπερκείμενα] suprema Aq. | ὑποβεβηκόσι] infima Aq. **8** φυτική] φυσικὴ M (vegetabilis A) **11** ψυχὴ] deest Aq. **12** δύναμιν] potentia Aq. (δυνάμει? potentiam est?) | ζωήν] καὶ add. ante ζωήν M **18** φυτικὴ ... αἰσθητικὴ] sensibilis ... vegetabilis Aq.

[3.3] Ἔτι, εἰ καὶ ἡ ὕλη μὴ εἴη γένος μήτε ἡ διαφορὰ μορφή (οὐδέτερον γὰρ τῶν συνθέντων κατηγορεῖται), τὸ γένος δὲ καὶ ἡ μορφὴ κατὰ τῶν εἰδῶν κατηγορεῖται˙ ὅμως κατὰ τὸν Φιλόσοφον ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικὰ τὸ μὲν γένος λαμβάνεται ἀπὸ τῆς ὕλης, ἡ δὲ διαφορὰ ἀπὸ τῆς μορφῆς. Γένος δὲ τοῦ ἀνθρώπου ἐστὶ τὸ ζῷον, ὃ λαμβάνεται ἀπὸ τῆς αἰσθητικῆς ψυχῆς, διαφορὰ δὲ τὸ λογικόν, ὃ λαμβάνεται ἀπὸ τῆς λογικῆς ψυχῆς. Ἡ αἰσθητικὴ τοίνυν ψυχὴ ἔχει πρὸς τὴν λογικὴν ψυχὴν ὡς ὕλη πρὸς εἶδος. Ἀλλ’ ἡ αἰσθητικὴ φύσις τελειοῦται διὰ τῆς αἰσθητικῆς ψυχῆς. Ἡ αἰσθητικὴ ἄρα ψυχὴ προϋπάρχει τῆς λογικῆς ψυχῆς ἐν τῇ ὕλῃ· καὶ τῷ αὐτῷ λόγῳ τὰ ἄλλα εἴδη τὰ ἡγούμενα.

[3.4] Χωρὶς δὲ τούτων, ὡς ἀποδείκνυται ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς, πᾶν τὸ κινοῦν ἑαυτῷ διαιρεῖται εἰς δύο μοίρας, ὧν μία μὲν ἐστὶ κινοῦσα, ἄλλη δὲ κινουμένη. Ἀλλ’ ὁ ἄνθρωπος καὶ ὁτιοῦν ζῷόν ἐστι κινοῦν ἑαυτῷ˙ τὸ κινοῦν δὲ αὐτοῦ μέρος ἐστὶ ψυχή, τὸ δέ κινούμενον [pars], οὐχ οἷόν τε εἶναι ὕλη ψιλή, ἀλλ’ εἶναι χρὴ σῶμα˙ πᾶν γὰρ τὸ κινούμενόν ἐστι σῶμα, ὡς ἀποδείκνυται ἐν τῷ τῆς Φυσικῆς ἕκτῳ. Τὸ δὲ σῶμά ἐστι διά τινος εἴδους προϋφεστώς. Ἄρα τι εἶδος ἔστιν ἐν τῇ ὕλῃ πρὸ τῆς ψυχῆς. Ὡδὶ δὲ ὅπερ καὶ πρότερον.

**19-23** εἰ – μορφῆς] Ar., Metaph. VIII, 1043a2-7: φανερὸν δὴ ἐκ τούτων ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον, ὅτι ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι τούτων ἕκαστον. οὐσία μὲν οὖν οὐδὲν τούτων οὐδὲ συνδυαζόμενον, ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ˙ καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα φανερὸν δὴ ἐκ τούτων ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον, ὅτι ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι τούτων ἕκαστον. οὐσία μὲν οὖν οὐδὲν τούτων οὐδὲ συνδυαζόμενον, ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ˙ καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα. **29-31** ὡς – κινουμένη] Ar., Phys. VIII, 257b12-13: τὸ μὲν ἄρα κινεῖ τὸ δὲ κινεῖται τοῦ αὐτὸ αὐτὸ κινοῦντος. **33-34** πᾶν – ἕκτῳ] Ar., Phys. VIII, 234b10-20: Τὸ δὲ μεταβάλλον ἅπαν ἀνάγκη διαιρετὸν εἶναι. ἐπεὶ γὰρ ἔκ τινος εἴς τι πᾶσα μεταβολή, καὶ ὅταν μὲν ᾖ ἐν τούτῳ εἰς ὃ μετέβαλλεν, οὐκέτι μεταβάλλει, ὅταν δὲ ἐξ οὗ μετέβαλλεν, καὶ αὐτὸ καὶ τὰ μέρη πάντα, οὔπω μεταβάλλει (τὸ γὰρ ὡσαύτως ἔχον καὶ αὐτὸ καὶ τὰ μέρη οὐ μεταβάλλει), ἀνάγκη οὖν τὸ μέν τι ἐν τούτῳ εἶναι, τὸ δ' ἐν θατέρῳ τοῦ μεταβάλλοντος˙ οὔτε γὰρ ἐν ἀμφοτέροις οὔτ' ἐν μηδετέρῳ δυνατόν. λέγω δ' εἰς ὃ μεταβάλλει τὸ πρῶτον κατὰ τὴν μεταβολήν, οἷον ἐκ τοῦ λευκοῦ τὸ φαιόν, οὐ τὸ μέλαν˙ οὐ γὰρ ἀνάγκη τὸ μεταβάλλον ἐν ὁποτερῳοῦν εἶναι τῶν ἄκρων.

**20** συνθέντων] sic P; intellige συνθέτων **25** ψυχή] natura Aq. | ψυχή$^{2}$] deest P **26** αἰσθητική] αἰσθητὴ P (sensitiva Aq.) **27** ὕλῃ] natura Aq. **30** ἑαυτῷ] sic P, M; intellige ἑαυτὸ (ipsum Aq.) **31** ἑαυτῷ, M] sic P; intellige ἑαυτὸ (ipsum Aq.)

**[3.5] Ἔτι, ὁ Δαμασκηνός φησιν ὅτι τηλικαύτη ἐστὶν ἡ τῆς θείας οὐσίας ἁπλότης, ὡς μὴ προσήκειν τὸν λόγον ἐνοῦσθαι τῷ σώματι εἰμὴ μεσιτευούσης ψυχῆς. Ἡ κατὰ τὸ ἁπλοῦν τοίνυν καὶ σύνθετον διάστασις ἐμποδὼν γίνεται πρὸς τό τινα δύνασθαι συνάπτεσθαι ἀμέσως. Ἀλλ’ ἡ λογικὴ ψυχὴ μάλιστα διέχει τοῦ σώματος κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον. Δεῖ** P 274v **τοίνυν | διά τινος μέσου συνάπτεσθαι.**

**[3.6] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ πνεύματος καὶ ψυχῆς βιβλίῳ ὅτι** ἡ ψυχὴ ἥτις ἀληθῶς πνεῦμα ἐστί καὶ ἡ σὰρξ ἣ ἀληθῶς σῶμα ἐστί, πρὸς ταῖς ἑαυτῶν ἐσχατιαῖς μετ’ εὐχερίας καὶ συμφυῶς ζεύγνυνται, εἴτουν ἐν τῷ τῆς ψυχῆς φανταστικῷ, ὅπερ οὐκ ἔστι σῶμα, ἀλλ’ ὅμοιον σώματι, καὶ τῇ αἰσθητικότητι ἣ σχεδὸν πνεῦμα ἐστίν, ἐπεὶ ἄνευ ψυχῆς ἐπιτελεῖσθαι οὐχ οἷόν τε. **Συζεύγνυται τοίνυν τῷ σώματι ἡ ψυχὴ διαμέσου δύο, δηλαδὴ τοῦ φανταστικοῦ καὶ τῆς αἰσθητικότητος.**

**[3.7] Ἔτι, ἐν τῷ αὐτῷ βιβλίῳ λέγεται ὅτι, ἐφόσον ἡ ψυχή ἐστιν ἀσώματος, διὰ τῆς λεπτοτέρας φύσεως τοῦ ἰδίου σώματος εἴ τοι ἤτοι τοῦ πυρὸς καὶ τοῦ ἀέρος αὐτὸ διοικεῖ. Τῷ αὐτῷ δὲ λόγῳ τὸ σῶμα διοικεῖ, ᾧ καὶ ἑνοῦται· οἰχομένων γὰρ τῶν οἷς αὐτὸ διοικεῖ, ἀπαλλάττεται ἀπ’ αὐτοῦ, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ ἑβδόμῳ τῆς Εἰς τὴν Γένεσιν Ἐξηγήσεως. Ἡ ψυχὴ ἄρα ἑνοῦται τῷ σώματι διὰ μέσου.**

**37-39** ὁ – ψυχῆς] Dam., De fid. orth. III, n. 6 (PG 94, col. 1005): Ἥνωται τοίνυν σαρκὶ διὰ μέσου νοῦ ὁ Λόγος τοῦ Θεοῦ μεσιτεύοντος Θεοῦ καθαρότητι, καὶ σαρκὸς ταχύτητι· ἡγεμονικὸν μὲν γὰρ ψυχῆς τε καὶ σαρκὸς ὁ νοῦς· ὁ νοῦς δὲ, τῆς ψυχῆς τὸ καθαρώτατον, ἀλλὰ καὶ νοῦ, Θεός· καὶ ὅτε μὲν παραχωρεῖται ὑπὸ τοῦ κρείττονος, τὴν οἰκείαν ὁ νοῦς τοῦ Χριστοῦ ἡγεμονίαν ἐνδείνκυται. **43-48** ὁ – τε] Ps.-Aug., De spir. et an., cap. 14 (PL 40, col. 789): Itaque anima quae vere spiritus est, et caro quae vere corpus est, in suis extremitatibus facile et convenienter uniuntur, id est, in phantastico animae, quod corpus non est, sed simile corpori; et sensualitate carnis quae fere spiritus est, quia sine anima fieri non potest.

**40** ἀλλ’] deest P **44** πνεῦμα ἐστί] ἐστί πνεῦμα M (spiritus est Aq.) **45** εὐχερείας] εὐχερίας P **48** μέσου] μέσον P; μέσων M (cf. l. 55 διὰ μέσου) **51** ἤτοι] ἤτοι P; id est Aq. | αὐτὸ] corpus Aq. **53** ἀπ’ αὐτοῦ] corpore Aq.

[3.8] Ἄνευ δὲ τούτων, τὰ μάλιστα διεστῶτα οὐ συνάπτεται εἰ μὴ διὰ μέσου. Τὸ δὲ φθαρτὸν καὶ τὸ ἄφθαρτον μάλιστα διέχουσιν, ὡς λέγεται ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά. Ἡ ἀνθρωπίνη τοίνυν ψυχή, ἥτίς ἐστιν ἄφθαρτος, οὐχ ἑνοῦται τῷ φθαρτῷ σώματι εἰμὴ διὰ μέσου.

[3.9] Ἔτι, φιλόσοφός τις εἴρηκεν ἐν τῷ Περὶ διαφορᾶς πνεύματος καὶ ψυχῆς βιβλίῳ ὅτι ἡ ψυχὴ ἑνοῦται τῷ σώματι μεσιτεύοντος πνεύματος. Ἑνοῦται ἄρα αὐτῷ διὰ μέσου.

[3.10] Ἔτι, τὰ τῇ οὐσίᾳ ἕτερα οὐ συνάπτονται ἄνευ μέσου· δεῖ γὰρ εἶναί τι τὸ ποιοῦν αὐτὰ ἕν, ὡς φαίνεται ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά. Ἀλλ’ ἡ ψυχὴ καὶ τὸ σῶμα διαφέρουσι κατὰ τὴν οὐσίαν. Οὐκ ἄρα δύνανται συνάπτεσθαι εἰμὴ διὰ μέσου.

[3.11] Ἔτι, ἡ ψυχὴ ἑνοῦται τῷ σώματι πρὸς τὸ τελειωθῆναι τῇ μετ’ αὐτοῦ ἑνώσει· οὐ γάρ ἐστι τὸ εἶδος διὰ τὴν ὕλην, ἀλλ’ ἡ ὕλη διὰ τὸ εἶδος. Τελειοῦται δὲ ἡ ψυχὴ ἐκ τῆς τοῦ σώματος ἑνώσεως διαφερόντως τό γ’ ἧκον πρὸς τὴν διὰ φαντασίας νόησιν, ἐφόσον δηλαδὴ νοεῖ ἀποματτομένη τὰ νοητὰ ἀπὸ τῶν φαντασμάτων. Ἑνοῦται ἄρα τῷ σώματι διὰ τῶν φαντασμάτων, ἃ μὴ ἔστιν ἐκ τῆς τοῦ σώματος οὐσίας.

**57-58** ὡς – Φυσικὰ] vide supra in apparatu fontium [2.15].83-84, 84-85. **63-64** δεῖ – Φυσικά] Ar., Metaph. VIII, 1045a8-10: πάντων γὰρ ὅσα πλείω μέρη ἔχει καὶ μὴ ἔστιν οἷον σωρὸς τὸ πᾶν ἀλλ' ἔστι τι τὸ ὅλον παρὰ τὰ μόρια, ἔστι τι αἴτιον.

**58** ἥτις] deest P **67** μετ’ αὐτοῦ] ἑαυτοῦ P; huiusmodi Aq. **69** τό γ’] τὸ γ’ P **71** τὰ νοητά] deest Aq. **72** Hic post οὐσίας Aq. habet: neque de essentia animae. Ergo anima unitur corpori per medium.

**[3.12]** Ἔτι, τὸ σῶμα πρὸ τῆς ἐπιδημίας τῆς λογικῆς ψυχῆς εἰς τὴν μητρῴαν νηδὺν ἔχει τί εἶδος. Παραδυομένης τοίνυν αὐτῆς οὐχ οἷον τε λέγειν ἐκεῖνο τὸ εἶδος ἀπολείπειν τὸ σῶμα˙ οὔτε γὰρ εἰς τὸ μὴ ὂν χωρεῖ, οὔτε ἔστι λέγειν εἰς ὅ τι ἂν ἀναλύῃ. Εἶδός τι ἄρα προϋπάρχει ἐν τῇ ὕλῃ πρὸ τῆς λογικῆς ψυχῆς.

**[3.13]** Ἔτι, ἐν τῷ ἐμβρύῳ πρὶν τὴν λογικὴν ψυχὴν προσελάσαι ἐκφαίνονται ζωῆς ἔργα, ὡς φαίνεται ἐν τῷ Περὶ ζῴων <μορίων> δεκάτῳ ἕκτῳ. Ἀλλὰ τὰ τῆς ζωῆς ἔργα οὐκ εἰσὶν εἰ μὴ ἀπὸ ψυχῆς. Προϋπάρχει ἄλλη ἄρα ψυχὴ πρὸ
P 275r τῆς προσόδου τῆς λογικῆς ψυχῆς. Καὶ ταύτῃ δοκεῖ τὴν λο|γικὴν ψυχὴν ἑνοῦσθαι τῷ σώματι μεσιτευούσης ἑτέρας ψυχῆς.

**[3.14]** Ἔτι, τοῦ ἀφαιρεματικοῦ μὴ ὄντος ψεύδους, ὡς λέγεται ἐν τῷ τῆς Φυσικῆς δευτέρῳ, ἀνάγκη τὸ σῶμα περὶ οὗ οἱ μαθηματικοὶ διαλέγονται ὁπώσποτε εἶναι. Ἐπεὶ τοίνυν μὴ κεχώρισται τῶν αἰσθητῶν, ἕπεται εἶναι ἐν τοῖς αἰσθητοῖς. Ἀλλὰ πρὸς τὸ εἶναι σῶμα ζητεῖται τὸ τῆς σωματικότητος εἶδος. Τὸ τῆς σωματικότητος ἄρα εἶδος οὐχ ἥκιστα προεπινοεῖται ἐν τῷ ἀνθρωπείῳ σώματι, ὅπέρ ἐστι σῶμα αἰσθητὸν πρὸ τῆς ἀνθρωπίνης ψυχῆς.

**[3.15]** Παρὰ ταῦτα, ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικὰ λέγεται πάνθ' ὅρον ἔχειν μόρια, καὶ ὅτι τὰ μόρια τοῦ ὅρου εἰσὶν εἴδη. Ἐν παντὶ τοίνυν ὁριστῷ, ἀνάγκη εἶναι πλείω εἴδη. Ἐπεὶ τοίνυν ὁ ἄνθρωπός ἐστί τι ὁριστόν, ἀναγκαῖον τιθέναι ἐν αὐτῷ πλείω εἴδη. Καὶ ταύτῃ προϋπάρχει ἄλλο εἶδος ἐν τῷ ἀνθρώπῳ <πρὸ> τῆς λογικῆς ψυχῆς.

**84-85** τοῦ – δευτέρῳ] Ar., Phys. II, 193b35: οὐδὲ γίγνεται ψεῦδος χωριζόντων. **90-91** ἐν – μόρια] Ar., Metaph. VII, 1034b20-22: οὐδὲ γίγνεται ψεῦδος χωριζόντων ὡς δὲ ὁ λόγος πρὸς τὸ πρᾶγμα, καὶ τὸ μέρος τοῦ λόγου πρὸς τὸ μέρος τοῦ πράγματος ὁμοίως ἔχει...

**75** αὐτῆς] animae rationalis Aq. **76** τὸ σῶμα] deest Aq. **84** ἀφαιρεματικοῦ] abstrahentium Aq. **88** οὐχ ἥκιστα] ad minus Aq. **89** ἀνθρωπείῳ] ἀνθρωπίνῳ M **90** τὰ φυσικά] deest M

**[3.16] Ἔτι, οὐδὲν δίδωσιν ὃ μὴ ἔχει. Ἀλλ’ ἡ λογικὴ ψυχὴ οὐκ ἔχει σωματότητα, ἀσώματος οὖσα. Οὐκ ἄρα δίδωσι τῷ ἀνθρώπῳ σωματότητα· καὶ ταύτῃ δεῖ τὸν ἄνθρωπον ἔχειν τοῦτο ἐξ ἑτέρου εἴδους.**

**[3.17] Ἔτι, ὁ Ὑπομνηματιστής φησι τὴν πρώτην ὕλην πρότερον λαμβάνειν τὰ καθόλου εἴδη ἢ τὰ μερικά· ὡς φέρε εἰπεῖν πρότερον τὸ τοῦ σώματος εἶδος ἢ τὸ τοῦ ἐμψύχου σώματος, καὶ οὕτως ἐφεξῆς. Ἐπεὶ τοίνυν ἡ ἀνθρωπίνη ψυχή ἐστιν εἶδος ἔσχατον καὶ μάλιστα εἰδοποιόν, δοκεῖ προϋποτίθεσθαι τὰ ἄλλα εἴδη, ἐν τῇ ὕλῃ τὰ καθόλου.**

**[3.18] Αὖθις, τὸ Ὑπόμνημα φησὶν ἐν τῷ Περὶ τῆς οὐσίας τοῦ κόσμου βιβλίῳ, ὅτι τὰ διαστήματα προϋπάρχουσιν ἐν τῇ ὕλῃ, πρὸ τῶν στοιχειωδῶν εἰδῶν. Ἀλλὰ τὰ διαστήματά ἐστι συμβεβηκότα καὶ προϋποτίθενται ἄλλο εἶδος οὐσιῶδες ἐν τῇ ὕλῃ· ἄλλως γὰρ τὸ κατὰ συμβεβηκὸς εἶναι ἡγήσεται τοῦ οὐσιώδους εἶναι. Πρὸ τοῦ τοίνυν εἴδους τοῦ ἁπλοῦ σώματος προϋπάρχει ἐν τῇ ὕλῃ ἄλλο εἶδος οὐσιῶδες. Πολλῷ ἄρα κρεῖττον πρὸ τῆς λογικῆς ψυχῆς.**

**[3.19] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ γενέσεως βιβλίῳ, ῥᾷον ὁ ἀὴρ ἀμείβεται εἰς τὸ πῦρ ἢ τὸ ὕδωρ, διὰ τὸ συμβαίνειν αὐτῷ κατὰ μίαν ποιότητα, εἴτουν ἐν τῇ θέρμῃ. Πηνίκα τοίνυν ἐξ ἀέρος πῦρ γίγνεται, ἀνάγκη μένειν τὴν αὐτὴν θέρμην τῷ εἴδει. Εἰ γὰρ διαλλάττει τῷ εἴδει ἡ θερμότης τοῦ πυρὸς πρὸς τὴν ἐν τῷ ἀέρι, ἔσονται ὀκτὼ ποιότητες πρῶται καὶ οὐ τέτταρες μόναι. Ὁ γὰρ αὐτὸς ἔσται λόγος καὶ περὶ τῶν ὑπολοίπων ποιοτήτων, ὧν**

**95** οὐδὲν – ἔχει] Ar., Soph. el., 171a9; 178a37: “ἃ μὴ ἔχοι τις, δοίη ἄν” **98-100** ὁ – ἐφεξῆς] Av., Comm. Metaph. I, comm. 17: Sed primo recipit formam universalem, et postea mediante forma universali recipit formas alias usque ad individuales. **103-104** τὸ – εἰδῶν] Av., De subst. Orb. IX, f. 4r, litt. B: prima materia numquam denudatur a dimensionibus non terminatis...; (litt. D) Et quia illa forma scilicet dimensionis, non terminate existit in prima materia primitus, et succedit sibi in ea... **109-111** κατὰ – θέρμῃ] Ar., De gen. er corr. II, 331a-332a2

**101** εἰδοποιόν] εἰδοποιός P et M (attractio ex ψυχή)

**ἡτισοῦν ἐν δυσὶ στοιχείοις εὑρίσκεται. Εἰ τοίνυν λέγοιτο μένειν μὲν τὸ αὐτὸ εἶδος, διαφέρειν δὲ τῷ ἀριθμῷ, οὐκ ἔσται ῥᾴω ἡ τοῦ ἀέρος εἰς τὸ πῦρ** P 275v **μεταβολὴ ἢ τοῦ ὕδατος εἰς τὸ αὐτό· τὸ γὰρ | εἶδος τοῦ πυρὸς ταὐτὰ πράγματα ἕξει, φθεῖρον δύο τοῦ ἀέρος εἴδη, ὥσπερ καὶ τοῦ ὕδατος. Λείπεται τοίνυν εἶναι τὴν αὐτὴν τῷ ἀριθμῷ θερμότητα. Τοῦτο δ' εἶναι οὐχ οἷόν τε μὴ προϋπάρχοντός τινος εἴδους οὐσιώδους, ὑπομένοντος ἐν ὁποτέρῳ ἑνὸς καὶ συντηροῦντος τὸ τῆς θερμότητος ὑποκείμενον ἕν· οὐ γὰρ οἷόν τε εἶναι συμβεβηκὸς ἓν τῷ ἀριθμῷ, εἰ μὴ ἓν εἴη τὸ ὑποκείμενον. Δεῖ ἄρα λέγειν πρὸ τοῦ εἴδους τοῦ ἁπλοῦ σώματος νοεῖσθαι ἐν τῇ ὕλῃ ἄλλο εἴδος οὐσιῶδες· ᾗπου ἄρα πρὸ τῆς λογικῆς ψυχῆς.**

**[3.20] Ἔτι, ἡ πρώτη ὕλη, καθόσον ἐστὶν ἐφ' ἑαυτῆς, ἀδιαφόρως ἔχει πρὸς πάντα τὰ εἴδη. Εἰ τοίνυν μὴ προϋπάρχοιεν εἴδη τινὰ καὶ διαθέσεις πρὸ ἄλλων δι' ὧν ἀφορίζεται πρὸς τοῦτο τὸ εἶδος μᾶλλον ἢ πρὸς ἐκεῖνο, οὐκ ἂν μᾶλλον ἐγγένοιτο αὐτῇ τοῦτο τὸ εἶδος ἢ ἐκεῖνο.**

**[3.21] Ἔτι, ἡ ὕλη ἑνοῦται τῷ εἴδει διὰ δυνάμεως ἣ δύναται αὐτῷ ὑπεῖναι. Ἀλλ' ἡ δύναμις ἐκείνη οὐκ ἔστι τὸ αὐτὸ ὅπερ ἡ οὐσία τῆς ὕλης· ὡδὶ γὰρ ἔσται ἴση τῷ Θεῷ κατὰ τὴν ἁπλότητα, ὅς ἐστιν ἡ αὐτοῦ δύναμις. Πίπτει τοίνυν μέσον τι τῆς ὕλης καὶ τῆς ψυχῆς, καὶ ὁτουοῦν ἄλλου εἴδους.**

**116** εἶδος] sic P; intellige τῷ εἴδει (specie Aq.) | ῥᾴω] ῥᾷον P; ῥάων M **117** τὸ αὐτὸ] ignem Aq. **117-118** ταὐτὰ – δύο] habebit corrumpere duas qualitates Aq. **121** ὁποτέρῳ] ὁπωτέρῳ P **124** ᾗπου] multis magis Aq. **126** προϋπάρχοιεν] προϋπάρχειεν P

**[3.22] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ γραφόμενον ἐν τῷ Περὶ τῶν ἐκκλησιαστικῶν δογμάτων βιβλίῳ·** οὔτε δύο ψυχὰς ἐν τῷ ἀνθρώπῳ φαμέν, μίαν μὲν ζῳώδη τὸ σῶμα ψύχουσαν· καὶ ἑτέραν ἀσώματον τὸν λόγον χορηγοῦσαν**. Καὶ τοῦτο οὕτως ἐπιχειρεῖται. Καθάπερ γὰρ ὁ ἄνθρωπος εἰς τὸ τοῦ ζῴου γένος τελεῖ, οὕτω καὶ εἰς τὸ τοῦ ἐμψύχου σώματος καὶ τῆς σωματικῆς οὐσίας. Ἀλλὰ δι’ ἑνὸς καὶ τοῦ αὐτοῦ εἴδους, ὅπέρ ἐστι ἡ ψυχή, ἐστὶ καὶ ἄνθρωπος καὶ ζῷον, ὡς ἐκ τῆς προειρημένης χρήσεώς ἐστι δῆλον. Τῷ αὐτῷ ἄρα λόγῳ διὰ τοῦ αὐτοῦ εἴδους καθιδρύεται ἐν ἅπασι τοῖς ἐπάνω γένεσι· καὶ ταύτῃ οὐ προϋπάρχει τῆς ψυχῆς ἄλλο εἶδος ἡνωμένον τῷ σώματι.**

**[3.23] Ἔτι, πλεῖον διεστήκασιν ὁ Θεὸς καὶ ἡ ψυχὴ ἢ ἡ ψυχὴ καὶ τὸ σῶμα. Ἀλλ’ ἐν τῷ τῆς σαρκώσεως μυστηρίῳ ὁ Λόγος ἥνωται ἀμέσως τῇ ψυχῇ. Ἧπου πολλῷ μᾶλλον ἄρα ἡ ψυχὴ δύναται ἑνοῦσθαι τῷ σώματι ἀμέσως.**

**[3.24] Ἔτι,** τὸ μέσον **ἀνάγκη μετέχεσθαι ὑφ’** ἑκατέρ**ων** τῶν ἄκρων**. Ἀλλ’ οὐχ οἷόν τε εἶναί τι ὃ τῇ μέν ἐστι σωματικόν, τῇ δὲ ἀσώματον. Οὐκ ἄρα δύναταί τι πίπτειν μέσον τῆς ψυχῆς καὶ τοῦ σώματος.**

**[3.25] Ἔτι, ὁ διδάσκαλος φησὶν ἐν τῷ πρώτῳ τμήματι τοῦ δευτέρου βιβλίου τῶν Γνωμῶν, ὅτι ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα ἕνωσίς ἐστι παράδειγμα ἐκείνης τῆς ἀληθοῦς ἑνώσεως, ᾗ δὴ ἡ μακαρία ψυχὴ ἑνοῦται τῷ Θεῷ. Ἀλλ’ ἐκείνη ἡ κοινωνία γίνεται ἀμέσως. Καὶ αὕτη ἄρα ἡ ἕνωσις.**

**133-135** ἐν – χορηγοῦσαν] Genn., De eccl. dogm., cap. XV: Neque duas animas esse dicimus in uno homine, sicut Jacobus et alii Syrorum scribunt, unam animalem qua animetur corpus et immixta sit sanguini, et alteram spiritualem quae rationem ministret: sed dicimus unam esse eandemque animam in homine, quae et corpus sua ratione disponat, habens in se libertatem arbitrii, ut in sua substantiae eligat cogitatione quod vult. **145** τὸ – ἄκρων] Ar., De an. II 424a6-7: τὸ γὰρ μέσον κριτικόν· γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων; cf. Pol. IV, 1294b17; Phys. II, 224b30-31; Top. II, 1246a6-7; Metaph. X, 1057a19-20. **148-150** ὁ – Θεῷ] Pet. Lomb., Sent. II, cap. 6, no. 3: Ideo Deus voluit eam [animam] corpori uniri, ut in humana conditione ostenderet novum exemplum beatae unionis quae est inter Deum et spiritum.

**135** ψύχουσαν] vivificet Aq. | Καὶ] Ex Aq. **137** σωματικῆς] deest Aq. **140** αὐτοῦ] deest P (unam et eamdem Aq.) **141** ἡνωμένον τῷ σώματι] in materia Aq. **144** πολλῷ μᾶλλον] deest M **145** ὑφ’] cum Aq.

[3.26] Ἔτι ὁ Φιλόσοφός φησιν, ἐν τῷ Περὶ ψυχῆς πρώτῳ ὅτι τὸ σῶμα οὐ P 276r συνέχει τὴν ψυχήν, ἀλλὰ | μᾶλλον ἡ ψυχὴ τὸ σῶμα· ἐν οἷς φησι τὸ Ὑπόμνημα ὅτι ἡ ψυχή ἐστιν αἰτία τῆς τοῦ σώματος συνεχείας. Ἀλλ' ἡ τοῦ σώματος συνέχεια ἤρτηται τοῦ εἴδους τοῦ οὐσιώδους, δι' οὗ τὸ σῶμα ἐστὶ σῶμα. Ἡ ψυχὴ ἄρα αὕτη ἡ λογική ἐστιν ἐν τῷ ἀνθρώπῳ εἶδος, ᾧ τὸ σῶμά ἐστι σῶμα.

[3.27] Ἔτι, δραστικωτέρα ἐστὶ καὶ ῥωμαλαιωτέρα ἡ λογικὴ ψυχὴ ἢ τὸ εἶδος τοῦ ἁπλοῦ στοιχείου. Ἀλλ' ἀπὸ τοῦ εἴδους τοῦ ἁπλοῦ στοιχείου ἔχει τὸ ἁπλοῦν σῶμα ὅ τί ποτε οὐσιῶδες ἔχει. Πολλῷ ἄρα ἐρρωμενέστερον ἀπὸ τῆς ψυχῆς τὸ ἀνθρώπειον σῶμα. Καὶ ταύτῃ οὐ προϋπάρχει τι ἢ εἶδος, ἤ τι μέσον.

[3.28] Ἀπόκρισις. Ῥητέον, ὅτι ταύτης τῆς ζητήσεως ἡ ἀλήθεια, ἀμηγέπη ἤρτηται ἀπὸ τῆς προλαβούσης. Εἰ γὰρ ἑνοῦται ἡ λογικὴ ψυχὴ τῷ σώματι κατὰ μόνην τὴν δύναμιν συναπτομένη ὡς κινοῦσα, καθάπέρ τινες ἠξίωσαν, οὐδὲν ἐμποδὼν ἔσται λέγειν εἶναι πολλὰ μέσα τῆς τε ψυχῆς καὶ τοῦ σώματος· καὶ πολλῷ πλέον τῆς ψυχῆς καὶ τῆς πρώτης ὕλης. Εἰ δ' αὖ τεθείη ἡ ψυχὴ ἑνοῦσθαι τῷ σώματι, ὡς εἶδος, ἀναγκαῖόν ἐστι λέγειν ἑνοῦσθαι αὐτῷ ἀμέσως. Πᾶν γὰρ εἶδος, εἴτ' εἴη οὐσιῶδες εἴτε συμβεβηκός, ἑνοῦται ὕλῃ ἢ ὑποκειμένῳ· ἕκαστον δὲ κατατοῦτό ἐστιν ἕν, καθό ἐστιν ὄν. Ἔστι δὲ ἕκαστον ὂν ἐνεργείᾳ διὰ τοῦ εἴδους, εἴτ' εἴη οὐσιῶδες εἴτε συμβεβηκός.

**153-154** ὁ – σῶμα] Ar., De an. I, 411b6-9: τί οὖν δή ποτε συνέχει τὴν ψυχήν, εἰ μεριστὴ πέφυκεν; οὐ γὰρ δὴ τό γε σῶμα· δοκεῖ γὰρ τοὐναντίον μᾶλλον ἡ ψυχὴ τὸ σῶμα συνέχειν· ἐξελθούσης γοῦν διαπνεῖται καὶ σήπεται. **154-155** τὸ – συνεχείας] Av., Comm. De an. I: Quod igitur continuat animam, si naturaliter est divisibilis? Hoc enim non est corpus, quoniam existimandum est esse econtrario, scilicet quod anima continuat corpus; (l. 26-33) Et hoc intendebat cum dixit: existimandum est enim esse contrarium, etc. Idest, opinio enim quam habemus naturaliter in hoc contraria est huic opinioni, scilicet quod anima magis digna est ut sit causa copulationis corporis et sue unitatis in numero, quam ut sit corpus causa copulationis anime. Omne enim quod est non est unum aut continuum per suam materiam, sed per suam formam. **164-165** Εἰ – ἠξίωσαν] vide in apparatu Articuli secundi ad l. 110-111. **170** ἕκαστον – ὄν] Ar., Metaph. IV, 1003b23-24: εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν ταὐτὸν καὶ μία φύσις τῷ ἀκολουθεῖν ἀλλήλοις ὥσπερ ἀρχὴ καὶ αἴτιον; X, 1054a13: ταὐτὸ σημαίνει πως τὸ ἓν καὶ τὸ ὄν.

**155** ὑπόμνημα] Commentator Aq. **156** αὕτη] αὐτὴ M **158** καὶ ῥωμαλαιωτέρα] κ<αὶ lac. circa 6 litterarum | ῥωμα>λεωτέρα] virtuosior Aq. **161** ἀνθρώπειον] ἀνθρώπινον M **163** Ἀπόκρισις] Respondeo Aq. **168** ἑνοῦσθαι] ἑνοῦσα P (attractio ex ψυχή); uniri Aq.

**ὅθεν πᾶν εἶδός ἐστιν ἐνεργείᾳ, καὶ κατὰ τὸ εἰκός ἐστι λόγος ἑνώσεως, ᾧ δή ἐστί τι ἕν. Ὥσπερ τοίνυν οὐκ ἔστι λέγειν εἶναί τι ἄλλο μέσον ᾧ ἡ ὕλη τὸ εἶναι ἔχει ἢ τὸ εἶδος αὐτῆς, οὕτως οὐκ ἐνδέχεται λέγειν εἶναι ἄλλό τι μέσον ἑνοῦν τὸ εἶδος καὶ τὴν ὕλην ἢ τὸ ὑποκείμενον. Καθὸ τοίνυν ἡ ψυχή ἐστιν εἶδος τοῦ σώματος, οὐχ οἷόν τε εἶναί τι μέσον τῆς τε ψυχῆς καὶ τοῦ σώματος. Ἧ δέ ἐστι κινοῦσα, κατατοῦτο οὐδὲν προσίσταται τιθέναι ἐκεῖ μέσα πολλά· πρόδηλον γὰρ τὴν ψυχὴν διὰ μὲν τῆς καρδίας κινεῖν τὰ ἄλλα μέλη, διὰ δὲ τοῦ πνεύματος, κινεῖν τὴν καρδίαν. Ἀλλ' ὅμως ἄδηλον μένει, τί ποτέ ἐστιν ἴδιον ὑποκείμενον τῆς ψυχῆς, ὃ παραβάλλεται πρὸς αὐτὴν ὥσπερ ὕλη πρὸς εἶδος. Περὶ δὴ τὸ τοιοῦτο δισσή ἐστι δόξα. Ἔνιοι μὲν γάρ φασι πολλὰ τυγχάνειν εἴδη οὐσιώδη ἐν τῷ αὐτῷ ἀτόμῳ, ὧν τὸ ἓν ὑπαλλάττει πρὸς τὸ ἄλλο· καὶ ταύτῃ ἡ ὕλη οὐκ ἔστιν ἄμεσον ὑποκείμενον τοῦ ἐσχάτου οὐσιώδους εἴδους, ἀλλ' ὑπάγεται αὐτῷ μεσιτεύουσι εἴδεσι μέσοις, ὥστε αὐτὴν τὴν ὕλην, καθό ἐστιν ὑπὸ τὸ πρῶτον εἶδος, εἶναι ὑποκείμενον ἴδιον τοῦ ἔγγιστα δευτέρου εἴδους, καὶ οὕτως ἐφεξῆς μέχρι τοῦ ἐσχάτου εἴδους. Οὕτω τοίνυν τῆς λογικῆς ψυχῆς ὑποκείμενον ἔγγιόν ἐστι τὸ σῶμα τὸ τέλειον ψυχῇ αἰσθητικῇ· καὶ τούτῳ ἑνοῦται ἡ**

P 276v **λογικὴ ψυχὴ ἀμέσως ὡς εἶδος. | Ἑτέρα δόξα ἐστὶ τὸ ἐν ἑνὶ ἀτόμῳ μὴ εἶναι πλὴν εἰμὴ ἓν εἶδος οὐσιῶδες. Καὶ κατατοῦτο προσῆκε λέγειν ὅτι διὰ τοῦ οὐσιώδους εἴδους, ὅπέρ ἐστιν ἡ ἀνθρωπίνη ψυχή, ἔχει τουτὶ τὸ**

**178-179** πρόδηλον – μέλη] cf. Ar., De mot. anim., cap. 10, 703a14: ἐπεὶ δ' ἡ ἀρχὴ τοῖς μὲν ἐν τῇ καρδίᾳ; De part. anim. III, 666a11-13: Ἔτι δ' αἱ κινήσεις τῶν ἡδέων καὶ τῶν λυπηρῶν καὶ ὅλως πάσης αἰσθήσεως ἐντεῦθεν ἀρχόμεναι φαίνονται καὶ πρὸς ταύτην περαίνουσαι **179** διὰ – καρδίαν] cf. Ar., De mot. anim., 703a4-b2: Κατὰ μὲν οὖν τὸν λόγον τὸν λέγοντα τὴν αἰτίαν τῆς κινήσεως – ποιεῖν δὲ τὸ ἔργον τὸ αὐτῶν διὰ τὴν φύσιν. **181-183** Περὶ – ἄλλο] τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ ἔστι χωριστά, καθάπερ τινές φασιν· **189-190** Ἑτέρα – οὐσιῶδες] cf. Ar., De an. I, 411b6-27: τί οὖν δή ποτε συνέχει τὴν ψυχήν – τῇ δ' ὅλῃ ψυχῇ ὡς οὐ διαιρετῇ οὔσῃ.

**174** ἢ] per Aq. **179** τὴν καρδίαν] corpus Aq. **185** πρῶτον] deest Aq. **186** ἴδιον, τοῦ ἔγγιστα] proximum Aq. (translator legit proprium proximae?) **188** ἔγγιον] proximum Aq. **191** εἴδους] deest M

**ἄτομον μὴ μόνον τὸ ἄνθρωπος εἶναι, ἀλλὰ καὶ τὸ εἶναι ζῶν καὶ τὸ εἶναι ζῷον, καὶ τὸ εἶναι σῶμα, καὶ οὐσία καὶ ὄν. Καὶ ταύτῃ οὐδὲν ἄλλο εἶδος οὐσιῶδες προτερεῖ ἐν τῷδε τῷ ἀνθρώπῳ τῆς ἀνθρωπίνης ψυχῆς. Καί, ὡς εἰκός, οὐδὲ τὸ κατὰ συμβεβηκός˙ ἀδύνατον γὰρ λέγειν τὴν πρώτην ὕλην τελειοῦσθαι πρότερον διὰ τοῦ κατὰ συμβεβηκὸς εἴδους ἢ τοῦ οὐσιώδους, ὅπέρ ἐστιν ἀδύνατον˙ δεῖ γὰρ πᾶν τὸ συμβεβηκὸς ὥσπέρ τινος ὑποθέσεως ἐπιβαίνειν τῆς οὐσίας. Τούτων δὲ τῶν δύο δοξῶν ἡ διαφορὰ ἐντεῦθεν ὥρμητο, ὅτι τινὲς πρὸς τὸ ζητεῖν τὴν ἀλήθειαν περὶ τῆς τῶν ὄντων φύσεως προὐχώρησαν ἐκ τῶν νοητῶν λόγων, καὶ τοῦτο γέγονεν ἴδιον τῶν Πλατωνικῶν, ἔνιοι δ’ αὖ ἐκ τινῶν αἰσθητῶν, καὶ τοῦτο γέγονεν ἴδιον τῆς Ἀριστοτέλους φιλοσοφίας, ὥς φησιν ὁ Σιμπλίκιος ἐν τῷ εἰς τὰς Κατηγορίας Ὑπομνήματι. Ἐν νῷ πεποίηνται λέγων οἱ Πλατωνικοὶ τάξιν τινὰ γενῶν καὶ εἰδῶν, καὶ ὅτι ἀεὶ τὰ ἐπάνω δύνανται θεωρεῖσθαι, ἄνευ τῶν ὑπ’ αὐτά· ὥσπερ ὁ καθόλου ἄνθρωπος ἄνευ τοῦδε τοῦ ἀνθρώπου, καὶ τὸ ζῷον ἄνευ τοῦ ἀνθρώπου, ὃς δὴ λόγος καὶ περὶ τῶν καθεξῆς ἔχει. Ἔτι τε ᾠήθησαν ὁτιδήποτε ἀπομεμαγμένον ἐν τῷ νῷ εἶναι καὶ πράγματι χωριστὸν τῆς ὕλης˙ ἐπεὶ ἐδόκει αὐτοῖς τὸν ἀναιρούμενον αὐτὸ νοῦν εἶναι ψευδῆ καὶ κενόν, εἰ μηδὲν πρᾶγμα χωριστὸν ἀποκρίνοιτο αὐτό˙**

**201-203** ἔνι – Ὑπομνήματι] cf. Simpl., In Ar. cat. comm. VIII, p. 6, l. 22-30: διττῆς δὲ οὔσης ἐναργείας εἰς πίστιν, τῆς μὲν ἀπὸ νοῦ, τῆς δὲ ἀπὸ αἰσθήσεως, τοῖς μετὰ αἰσθήσεως ζῶσιν διαλεγόμενος τὴν ἀπὸ τῆς αἰσθήσεως προτιμᾷ˙ διὸ καὶ τὸ ἀναγκαστικὸν αὐτοῦ ταῖς ἀποδείξεσιν ὑπάρχει, ὡς καὶ τὸν μὴ πειθόμενον διά τινας οὐκ εὐτυχεῖς προλήψεις ὅμως ἠναγκασμένον ἐπιστομίζεσθαι. πανταχοῦ δὲ ἐθέλει τῆς φύσεως μὴ ἐξίστασθαι, ἀλλὰ καὶ τὰ ὑπὲρ τὴν φύσιν κατὰ τὴν πρὸς τὴν φύσιν θεωρεῖ σχέσιν, ὥσπερ ὁ θεῖος Πλάτων ἀνάπαλιν κατὰ τὸ Πυθαγόρειον ἔθος καὶ τὰ φυσικὰ ἐπισκέπτεται καθὸ τῶν ὑπὲρ φύσιν μετέχουσιν. **203-206** Ἐν – ἔχει] Boet., In Prorph. I, cap. 11 (85B): Quocirca cum et genera et species cogitantur, tunc ex singulis in quibus sunt eorum similitudo colligitur, ut ex singulis hominibus inter se dissimilibus humanitatis similitudo, quae similitudo cogitata animo veraciterque perspecta fit species, quarum specierum rursus diversarum considerata similitudo, quae nisi in ipsis speciebus aut in earum individuis esse non potest, efficit genus, itAq.ue haec sunt quidem in singularibus. **206-209** Ἔτι – αὐτό] cf. Ar., Metaph. I, 987b7-18: οὗτος οὖν τὰ μὲν τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα˙ κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ ὁμώνυμα τοῖς εἴδεσιν. τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλεν˙ οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν ἥτις ἂν εἴη τῶν εἰδῶν ἀφεῖσαν ἐν κοινῷ ζητεῖν. ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον.

**192** καὶ τὸ εἶναι ζῶν] deest Aq. **194** προτερεῖ] sic P; intellige προτερεύει (precedit Aq.) **199** ὅτι] Ἔτι M **201** ἔνιοι] ἔνι P (quidam Aq.) | τινῶν] sic P et M; intellige τῶν **204** τὰ ἐπάνω] superius Aq. | τὰ ὑπ’] inferiori Aq. **206** ᾠήθησαν] existimavit Aq. **208** ἀναιρούμενον] abstrahens Aq. **209** αὐτό] sic P, M; intellige αὐτῷ (ei Aq.)

**διὸ πρὸς τούτοις πεπιστεύκασι τὰ** μαθηματικὰ **ἀπεσπάσθαι ἀπὸ τῶν** αἰσθητῶν **διὰ τὸ ἔξω αὐτῶν νοεῖσθαι. Ὅθεν ὁ Πλάτων ἐδόξαζεν ἄνθρωπον χωριστὸν ἀπὸ τῶνδε τῶν ἀνθρώπων καὶ οὕτω καθ' εἱρμὸν μέχρι τοῦ ὄντος καὶ τοῦ ἑνὸς καὶ τοῦ ἀγαθοῦ, ὅπερ ἄκραν τῶν ὄντων κορυφὴν ἐτίθετο. Συνεῖδον γὰρ ἀεὶ τὸ ὑποβεβηκὸς εἶναι μερικώτερον τοῦ ἰδίου ὑπερκειμένου καὶ ὅτι ἡ ὑπερκειμένη φύσις μετέχεται ὑπὸ τῆς ὑποκειμένης αὐτῇ· τὸ δὲ μετέχον ἔχει πρὸς τὸ μετεχόμενον ὥσπερ ὕλη· κἀντεῦθεν ἐψηφίσαντο ἐν τοῖς ἐξ ἀφαιρέσεως ὅτι, ὅσο τί ἐστι καθόλου μᾶλλον, τοσοῦτο καὶ μᾶλλον ἔοικέ τι εἴδει. Ἔνιοι δὲ διὰ τῆς αὐτῆς ὁδοῦ προβαίνοντες ἐκ τοῦ ἀντικειμένου ἐδόξασαν ὅτι, ὅσο τί εἶδός ἐστι καθόλου, τοσοῦτο μᾶλλόν ἐστιν ὑλικόν. Καὶ αὕτη ἡ δόξα γέγονε τοῦ Ἀβικέβρου ἐν τῷ τῆς Πηγῆς τῆς Ζωῆς βιβλίῳ, ὃς ἐτίθετο τὴν ὕλην ἄνευ παντὸς εἴδους, ἣν ἐκάλει ὕλην καθόλου, ἣν καὶ ἔλεγε κοινὴν ταῖς νοηταῖς οὐσίαις καὶ ταῖς σωματικαῖς, καὶ ἐπιέναι αὐτῇ τὸ καθόλου εἶδος, ὅπέρ ἐστι τὸ τῆς οὐσίας** P 277r **εἶδος., | τὴν ὕλην δὲ τὴν ὑπὸ τὸ τῆς οὐσίας εἶδος οὖσαν ἐν ἄλλῳ μὲν αὐτῆς μέρει λαμβάνειν τὸ εἶδος τῆς σωματότητος, θατέρου μέρους αὐτῆς, ὃ τείνει εἰς τὰς νοητὰς οὐσίας, μένοντος ἄνευ τοῦ τοιούτου εἴδους· καὶ οὕτως ἐφεξῆς τέθεικεν ἐν τῇ ὕλῃ εἶδος ὑπὸ ἕτερον εἶδος κατὰ τὴν τῶν γενῶν καὶ τῶν εἰδῶν τάξιν μέχρι τοῦ ἐσχάτου καὶ εἰδικωτάτου εἴδους. Αὕτη δὲ ἡ θέσις, εἰ καὶ δοκοίη διαφωνεῖν ἀπὸ τῆς πρώτης, ὅμως κατὰ τὴν τοῦ πράγματος**

**210-211** διὸ – νοεῖσθαι] cf. Ar. Metaph. I, 987b14-18: ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον; Phys. II, 193b35-194a1: λανθάνουσι δὲ τοῦτο ποιοῦντες καὶ οἱ τὰς ἰδέας λέγοντες· τὰ γὰρ φυσικὰ χωρίζουσιν ἧττον ὄντα χωριστὰ τῶν μαθηματικῶν. **212-213** καὶ – ἐτίθετο] cf. Ar., Eth. nic. I, 1096a23-24: ἔτι δ' ἐπεὶ τἀγαθὸν ἰσαχῶς λέγεται τῷ ὄντι. Macr., In somn. Scip. I, p. 7, ll.5-7: sic Plato cum de τἀγαθῷ loqui esset animatus, dicere quid sit non ausus est, hoc solum de eo sciens, quod sciri quale sit ab homine non possit...; Aug., De civ. VIII (233): ipsum autem verum ac summum bonum Plato dicit Deum; Dion., De div. nom., cap. 4, n. 1 (PG 3, col. 693B, Ritter p. 143): Εἶεν δὴ οὖν, ἐπ' αὐτὴν ἤδη τῷ λόγῳ τὴν ἀγαθωνυμίαν χωρῶμεν, ἣν ἐξῃρημένως οἱ θεολόγοι τῇ ὑπερθέῳ θεότητι, καὶ ἀπὸ πάντων ἀφορίζουσιν αὐτήν, ὡς οἶμαι, τὴν θεαρχικὴν ὕπαρξιν, ἀγαθότητα λέγοντες· καὶ ὅτι τῷ εἶναι τὸ ἀγαθόν, ὡς οὐσιῶδες ἀγαθόν, εἰς πάντα τὰ ὄντα διατείνει τὴν ἀγαθότητα. **218-228** Ἔνιοι – εἴδους] ea doctrina passim in opere Avencebrolis est, cf. Fons, tract. IV, no. 3, l. 1-6: tamquam si certum tibi non fuisset quod forma naturae est aliud a forma animae vegetabilis a;ia est a forma intelligentiae; tract. V, no. 34: ...haec enim materia movetur ad recipiendum formam qualitatum primarum, et postea ad recipiendum formam metallinum, deinde formam vegetabilem, deinde sensibilem, deinde rationalem, deinde intelligibilem, donec coniungatur formae intelligentiae universalis.

**211** ὁ Πλάτων] deest Aq. **212** καθ' εἱρμὸν] καθειρμὸν P **213** κορυφὴν] virtutem Aq. (verticem?) **215** ὑπερκειμένη] superioris **216** αὐτῇ] deest Aq. **217** ἐν – ὅτι] sic P, M; intellige ὅτι ante ἐν **221** ὃς] deest Aq. **222** κοινήν] κοινεῖν M **223** ἐπιέναι] ἐπίσης M **224** τὴν[2]] sic P, M | τό] deest P **225** μέρει] μέρος M

**ἀλήθειαν, συνᾴδει ταύτῃ καὶ τοῖς ἀκολουθήσασιν αὐτῆς. Καὶ γὰρ ἐπρέσβευσαν οἱ Πλατωνικοὶ ὅτι, ὅσο τις αἰτία ἐστὶ καθόλου καὶ μᾶλλον εἴδει οἰκεία, τοσοῦτον ἡ τελειότης αὐτῆς ἔν τινι ἀτόμῳ μᾶλλόν ἐστι χωριστὴ ἐφ’ ἑαυτῆς. Ὅθεν πρῶτον ὑποκείμενον τῷ πρώτῳ χωριστῷ, ὅπέρ ἐστι τὸ ἀγαθόν, ἔθεσαν τὴν πρώτην ὕλην, ὡς τῷ ἀνωτάτω ποιητικῷ ἀποκρίνοιτο τὸ πρῶτον ὑποκείμενον˙ καὶ οὕτω καθεξῆς κατὰ τὴν τάξιν τῶν χωριστῶν αἰτιῶν καὶ τῶν μετεχομένων εἰδῶν ἐν τῇ ὕλῃ· ὥσπερ γὰρ τὸ καθολικώτερον χωριστόν ἐστιν εἰδικώτερον, οὕτω τὸ καθολικώτερον εἶδος τὸ μεταλαμβανόμενόν ἐστιν ὑλικώτερον. Αὕτη δὲ ἡ θέσις κατὰ τὰς ὑπὸ Ἀριστοτέλους τεθείσας φυσικὰς ἀρχάς ἐστιν ἀδύνατος. Πρῶτον μέν, ὅτι οὐδὲν ἄτομον τῶν ὑπὸ τὴν οὐσίαν ἔσται ἁπλῶς ἕν˙ οὐ γάρ ἐστιν ἁπλῶς ἓν ἐκ δύο ἐντελεχειῶν, ἀλλ’ ἐκ δυνάμεως καὶ ἐντελεχείας, καθόσον τὸ ἐν δυνάμει γίνεται ἐνεργείᾳ Διά τοι τοῦτο καὶ οὑτοσὶν ὁ λευκὸς ἄνθρωπος. Οὐκ ἔστιν ἁπλῶς ἕν, ἀλλὰ τὸ ζῷον δίπουν ὑπάρχει ἁπλῶς ἕν, ὅτι αὐτὸ τοῦτο ὅπέρ ἐστι ζῷον ἐστὶ δίπουν. Εἰ δ’ εἴη ἰδίᾳ μὲν** ζῷον, **ἰδίᾳ δὲ** δίπουν, ὁ ἄνθρωπος **οὐκ ἂν εἴη** ἕν, **ἀλλὰ** πολλά, **ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ τρίτῳ καὶ τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά. Δῆλον τοίνυν ὡς, εἰ πολλὰ εἴη εἴδη ἐν ἑνὶ ἀτόμῳ οὐσίας, πέρας οὐκ ἔσται ἓν ἁπλῶς, ἀλλὰ κατά τι· ὥσπερ ὁ λευκὸς ἄνθρωπος. Δεύτερον δέ, ὅτι κατατοῦτο συνέστηκεν ὁ τοῦ συμβεβηκότος λόγος, τὸ εἶναι ἐν ὑποκειμένῳ, οὕτω μέντοι, ὡς διὰ τοῦ**

**231-238** ἐπρέσβευσαν – ὑλικώτερον] Procl. Instit. theol., 70.1-10: Πάντα τὰ ἐν ἀρχηγικοῖς αἰτίοις ὁλικωτέραν καὶ ὑπερτέραν τάξιν ἔχοντα ἐν τοῖς ἀποτελέσμασι κατὰ τὰς ἀπ’ αὐτῶν ἐλλάμψεις ὑποκείμενά πως γίνεται ταῖς τῶν μερικωτέρων μεταδόσεσι˙ καὶ αἱ μὲν ἀπὸ τῶν ἀνωτέρων ἐλλάμψεις ὑποδέχονται τὰς ἐκ τῶν δευτέρων προόδους, ἐκεῖναι δὲ ἐπὶ τούτων ἑδράζονται˙ καὶ οὕτω προηγοῦνται μεθέξεις ἄλλαι ἄλλων, καὶ ἐμφάσεις ἄλλαι ἐπ’ ἄλλαις ἄνωθεν εἰς τὸ αὐτὸ φοιτῶσιν ὑποκείμενον, τῶν ὁλικωτέρων προενεργούντων, τῶν δὲ μερικωτέρων ἐπὶ ταῖς ἐκείνων ἐνεργείαις τὰς ἑαυτῶν μεταδόσεις χορηγούντων τοῖς μετέχουσιν. **244-246** Εἰ – Φυσικά] Ar., Metaph., non VII sed VII, 1037b13-21: . διὰ τί δὴ τοῦτο ἕν ἐστιν ἀλλ' οὐ πολλά, ζῷον καὶ δίπουν˙ ἐπὶ μὲν γὰρ τοῦ ἄνθρωπος καὶ λευκὸν πολλὰ μέν ἐστιν ὅταν μὴ ὑπάρχῃ θατέρῳ θάτερον, ἓν δὲ ὅταν ὑπάρχῃ καὶ πάθῃ τι τὸ ὑποκείμενον, ὁ ἄνθρωπος (τότε γὰρ ἓν γίγνεται καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος)˙ ἐνταῦθα δ' οὐ μετέχει θατέρου θάτερον˙ τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν (ἅμα γὰρ ἂν τῶν ἐναντίων τὸ αὐτὸ μετεῖχεν˙ αἱ γὰρ διαφοραὶ ἐναντίαι αἷς διαφέρει τὸ γένος)

**230** τοῖς ἀκολουθήσασιν] est sequela | αὐτῆς] intellige αὐτῇ (attractio ex eius) **231** τίς] τῇ M **233** πρῶτον] deest Aq. | ὑποκείμενον] effectum Aq. | πέρας] individuum substantiae Aq. **247** οὐσίας] deest P | πέρας] deest M

**ὑποκειμένου νοεῖσθαί τι ὄν ἐνεργείᾳ καὶ οὐ δυνάμει μόνον· καθ’ ὃν δὴ τρόπον τὸ οὐσιῶδες εἶδος οὐκ ἐνυπάρχει ἐν ὑποκειμένῳ, ἀλλὰ ἐν ὕλῃ. Ὁτῳδήποτε τοίνυν εἴδει ὑποβάλλεταί τι ὂν ἐνεργείᾳ, ἐκεῖνο τὸ εἶδος ἀμηγέπῃ συμβεβηκὸς ἐστί. Φανερὸν δέ ἐστιν ὅτι ὁτιοῦν εἶδος οὐσιῶδες, ποιεῖ ὂν ἐνεργείᾳ [et constituit]· ὅθεν ἕπεται μόνον τὸ πρῶτον εἶδος τὸ τῇ ὕλῃ ἐπιγινόμενον εἶναι οὐσιῶδες, πάντα δὲ τὰ ἐπακολουθοῦντα εἶναι συμβεβηκότα. Ἐκ τούτου μέντοι συμπεραίνεται δι’ ὧν ἔνιοί φασι τὸ τὸ πρῶτον εἶδος εἶναι ἐν δυνάμει πρὸς τὸ δεύτερον, | ὅτι πᾶν τὸ ὑποκείμενον παραβάλλεται πρὸς τὸ ἴδιον συμβεβηκὸς ὡς δύναμις πρὸς ἐνέργειαν, ἐντελέστερόν τε ἔσται τὸ τοῦ σώματος εἶδος τὸ παρεχόμενον ἐπιτηδειότητα πρὸς ὑποδοχὴν ψυχῆς ἢ τὸ μὴ παρεχόμενον. Ἀμέλει καὶ εἰ τὸ τοῦ ἀψύχου σώματος εἶδος ποιεῖ αὐτὸ εἶναι ὑποκείμενον, πολλῷ μᾶλλον τὸ τοῦ σώματος εἶδος τὸ δυνάμει ζωὴν ἔχον ποιήσει αὐτὸ εἶναι ὑποκείμενον. Καὶ ταύτῃ ἡ ψυχὴ ἔσται εἶδος ἐν ὑποκειμένῳ, ὅπέρ ἐστι λόγος τοῦ συμβεβηκότος. Τρίτον, ὅτι ἕψεται ἐν τῇ προσλήψει τοῦ ἐσχάτου εἴδους, μὴ εἶναι γένεσιν ἁπλῶς, ἀλλὰ κατά τι μόνον. Ἐπεὶ γὰρ γένεσίς ἐστι μεταβολὴ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, ἐκεῖνο ἁπλῶς γίνεται ὅπερ ἀπαρτίζεται ὄν, ἁπλῶς διαλεγομένοις ἐκ τοῦ μὴ ὄντος ἁπλῶς· ὃ δὲ προϋπάρχει ἐνεργείᾳ ὂν οὐ δύναται γίνεσθαι ὂν ἁπλῶς, ἀλλ’ ὂν τόδε, οἷον λευκὸν ἢ μέγα, ὅπέρ ἐστι γίνεσθαι κατά τι. Ἐπεὶ τοίνυν τὸ εἶδος τὸ φθάσαν ἐν τῇ ὕλῃ ποιεῖ ὂν**

P 277v

**251** ἐν] deest P **253** ἀμηγέπῃ] deest Aq. **256** Ἐκ – συμπεραίνεται] Nec hoc excluditus Aq. | ὧν] hoc Aq. **258** δύναμις] δυνάμει P **260** ψυχῆς] vitae Aq. **262** τὸ – ἔχον] deest Aq. | αὐτὸς] deest Aq.

ἐνεργείᾳ, τὸ ἐπιγινόμενον εἶδος οὐ ποιήσει ἁπλῶς εἶναι, ἀλλ’ εἶναι τοδί, οἷον ἄνθρωπον ἢ ὄνον ἢ φυτόν· καὶ ταύτῃ οὐκ ἔσται γένεσις ἁπλῶς. Διά τοι τοῦτο καὶ πάντες οἱ ἀρχαῖοι, οἵτινες ἐτίθεντο τὴν πρώτην ὕλην εἶναί τι ἐνεργείᾳ, οἷον πῦρ ἢ ἀέρα ἢ ὕδωρ ἤ τι τῶν μέσων, ἔφασαν τὸ γίνεσθαι μηδὲν ἄλλο εἶναι ἢ ἀλλοιοῦσθαι· ὧν καὶ τὸ ἀπόρημα λύων ὁ Ἀριστοτέλης τίθησι τὴν ὕλην ἐν δυνάμει μόνον, ἣ δίδωσιν ὑποκείμενον τῇ γενέσει καὶ τῇ φθορᾷ ἁπλῶς. Καὶ ἐπεὶ μηδέποτε ἀποδύεται τὸ εἶδος ἡ ὕλη, διατοῦτο, ὁπόταν λαμβάνει εἶδος ἕν, ἀποβάλλει τὸ ἕτερον, καὶ ἀνάπαλιν. Ταύτῃ τοίνυν φαμὲν ὅτι ἐν τῷδε τῷ ἀνθρώπῳ οὐκ ἔστιν ἄλλο εἶδος οὐσιῶδες ἢ ἡ λογικὴ ψυχή καὶ ὅτι ὁ ἄνθρωπος διὰ ταύτης οὐ μόνον ἐστὶν ἄνθρωπος, ἀλλὰ καὶ ζῷον, καὶ ἕν, καὶ σῶμα καὶ ὄν· ὅπερ ἐντεῦθεν συνορᾶν οἷόν τε. Τὸ γὰρ εἶδός ἐστιν ὁμοιότης τῶν ἐν τῇ φύσει ἐνεργουσῶν δυνάμεων. Ἐν δὲ ταῖς ἐνεργούσαις δυνάμεσιν εὑρίσκεται ὅτι, ὅσο τις δύναμις ὑψηλοτέρα ἐστί, τοσοῦτον ἐν ἑαυτῇ πλείω περιλαμβάνει οὐ κατὰ σύμπτυξιν, ἀλλ’ ἑνιαίως· ὥσπερ τὸ κοινὸν αἰσθητήριον κατὰ μίαν δύναμιν ἐπιλαμβάνεται πάντων τῶν αἰσθητῶν, ἃ ταῖς διαφόροις δυνάμεσι τῶν κατὰ μέρος αἰσθήσεων περιλαμβάνεται. Τοῦ τελεωτέρου δὲ ποιητικοῦ ἔστιν ἐπάγειν τελεώτερον εἶδος· ὅθεν τὸ τελεώτερον εἶδος ποιεῖ πάντα καθ’ ἕν, ἃ τὰ ὑποβεβηκότα εἴδη ποιεῖ ἐν

**272-274** πάντες – ἀλλοιοῦσθαι] Ar., Phys. I 187a26-30...ἔοικε δὲ ... τὴν κοινὴν δόξαν τῶν φυσικῶν εἶναι ἀληθῆ, ὡς οὐ γιγνομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄντος (διὰ τοῦτο γὰρ οὕτω λέγουσιν, ἦν ὁμοῦ πάντα, καὶ τὸ γίγνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι...

**273** τῶν μέσων] medium Aq. **275** δίδωσιν] dicit esse | τὸ] sic P, M; intellige τῇ **277** Hic post ἀνάπαλιν Aq. habet: et ideo semper generatio unius est cum corruptione alterius et e converso. **278** et – converso] sic L; deest T **281** καὶ ἕν] deest Aq. **282-283** τῶν – δυνάμεων] agentis in materia Aq. **284** ὅσο τίς] ἡ ἐν τὸ ζὴν M (quanto aliqua Aq..) **285** σύμπτυξιν] composite Aq. **287** αἰσθήσεων] sensus proprii Aq.

P 278r Διαφόροις, καὶ ἔτι πλείω. | Τὸ πρῶτον γὰρ εἶδος τοῦ ἀψύχου σώματος, διδόασι τῇ ὕλῃ τὸ εἶναι καὶ τὸ σῶμα εἶναι, τὸ δὲ τοῦ φυτοῦ εἶδος παρασχήσεται αὐτῷ καὶ ταῦτα καὶ πρός γε τὸ ζῆν˙ ἡ δὲ αἰσθητικὴ ψυχή, καὶ τοῦτο καὶ ἔτι τὸ αἰσθητικὸν εἶναι˙ ἡ δὲ λογικὴ ψυχὴ καὶ ταῦτα καὶ προσέτι τὸ λογικὸν εἶναι. Καὶ γὰρ οὕτως εὑρίσκονται διαφέροντα τὰ εἴδη τὰ ἐν τοῖς φυσικοῖς πράγμασιν κατὰ τὸ ἧττον τέλειον καὶ μᾶλλον τέλειον, ὡς φαίνεται σκοπουμένοις διὰ πάντων τῶν φυσικῶν γενῶν καὶ εἰδῶν. Διά τοι τοῦτο καὶ τὰ τῶν ὄντων εἴδη παραβάλλονται τοῖς ἀριθμοῖς, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά, ὧν τὰ εἴδη τῇ τε παρενθήκῃ καὶ ὑφαιρέσει τῆς μονάδος ποικίλλεται. Ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ φησί· τὸ φυτικὸν εἶναι ἔστιν ἐν τῷ αἰσθητικῷ καὶ τὸ αἰσθητικὸν ἐν τῷ νοερῷ, ὥσπερ τὸ τρίγωνον ἐν τῷ τετραγώνῳ καὶ τὸ τετράγωνον ἐν τῷ πενταγώνῳ˙ τὸ γὰρ πεντάγωνον δυνάμει περιέχει τὸ τετράγωνον˙ ἔχει γὰρ τοῦτο, καὶ πρός γ’ ἔτι˙ οὐχ ὅτι τὸ πεντάγωνον ὑπάρχει ἰδίᾳ τοῦθ’ ὅπερ ἐστι τοῦ πενταγώνου ἴδιον ὡσανεὶ δύο σχήματα. Οὕτω δὴ καὶ ἡ νοερὰ ψυχὴ δυνάμει περιέχει τὸ αἰσθητικόν. Ἔχει γὰρ τοῦτο καὶ ἔτι περαιτέρω, οὐχ οὕτω μέντοι ὥστ’ εἶναι δύο ψυχαί. Εἰ δὲ ἐλέγετο ἡ νοερὰ ψυχὴ διαφέρειν κατὰ τὴν οὐσίαν τῆς αἰσθητικῆς ἐν τῷ ἀνθρώπῳ, οὐκ ἂν οἷόν τ’ ἦν ἀποδοῦναι λόγον τῆς φύσεως τῆς νοερᾶς ψυχῆς πρὸς τὸ σῶμα, ἐφόσον μηδεμία ἰδία ἐνέργεια αὐτῆς ἐστι δι’ ὀργάνου σωματικοῦ.

**299-307** Ὅθεν – ψυχαί] Ar., De an. II, 414b28-32: παραπλησίως δ' ἔχει τῷ περὶ τῶν σχημάτων καὶ τὰ κατὰ ψυχήν˙ ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν τετραγώνῳ μὲν τρίγωνον, ἐν αἰσθητικῷ δὲ τὸ θρεπτικόν.

**290** πλείω] amplius Aq. Post πλείω Aq. habet: Si | πρῶτον] deest Aq. **291** διδόασι] dat Aq. | δὲ] deest Aq. **292** ταῦτα] hoc Aq. **293** ταῦτα] hoc Aq. **294** διαφέροντα] διαφέροντι A **295** ἧττον] deest Aq. **300** εἶναι] deest Aq. **304** Hic post ἰδίᾳ Aq. habet: id quod est tetragoni et **306** τὸ αἰσθητικόν] sic P; intellige αἰσθητικήν (sensitivam Aq.) **308** αἰσθητικῆς] αἰσθητῆς P (a sensitiva Aq.) **309** πρὸς – σῶμα] καὶ τοῦ σώματος M (ad corpus Aq.)

[3.29] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι τὸ θέσπισμα τοῦ Διονυσίου καὶ ἔστιν ἐκληπτέον περὶ τῶν ποιητικῶν αἰτίων οὐ περὶ τῶν εἰδικῶν αἰτιῶν.

[3.30] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι τοῦ τελειωτάτου εἴδους παρεχομένου πάντα ὅσα παρέχονται τὰ εἴδη τὰ ἀτελέστερα καὶ ἔτι πλείω, ἡ ὕλη ἣ δὴ τελειοῦται ἀπ’ αὐτοῦ τῷ τῆς τελειότητος τρόπῳ, ᾧ τελειοῦται ἀπὸ τῶν ἀτελῶν εἰδῶν, θεωρεῖται ὡς ὕλη ἰδία ἀποσκοποῦσιν εἰς τὸν τῆς τελειότητος τρόπον, ὃν προστίθησι τὸ τελεώτερον εἶδος πρὸς τοῖς ἄλλοις, οὕτω μέντοι ὡς μὴ ἂν νοεῖσθαι διάκρισιν ἐν ταῖς εἴδεσι κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὸν τῆς ἐπινοίας λόγον. Οὕτω τοίνυν αὐτὴ ἡ ὕλη καθὸ νοεῖται ὡς τελεία ἐν τῷ σωματικῷ εἶναι τῆς ζωῆς ὑποδεκτικῷ ἐστὶν ἴδιον ὑποκείμενον τῆς ψυχῆς.

[3.31] Πρὸς τὸ τρίτον ῥητέον ὅτι τοῦ ζῴου ὄντος τοῦθ’ ὅπερ ὁ ἄνθρωπος, ἡ διάκρισις τῆς φύσεως τοῦ ζῴου ἀπὸ τοῦ ἀνθρώπου οὐκ ἔστι καθ’ ἑτερότητα πραγματικὴν εἰδῶν, ὡσὰν εἰ ἕτερον εἶδος εἴη, δι’ οὗ ἐστι ζῷον,
P 278v ἐφ’ ᾧ προστίθεται ἕτερον | δι’ οὗ γίνεται ἄνθρωπος, ἀλλὰ μόνον κατὰ τὸν τῶν ἐπινοιῶν λόγον. Καθὸ γὰρ νοεῖται τὸ σῶμα τέλειον ἐν τῷ εἶναι τῷ αἰσθητικῷ ἀπὸ τῆς ψυχῆς, κατατοῦτο παραβάλλεται πρὸς τὴν τελευταίαν τελειότητα, ἥτις ἐστὶ διὰ τῆς λογικῆς ψυχῆς, ἐφόσον τοιαύτη, ὡς ὑλικὸν πρὸς εἰδικόν ἐπεὶ γὰρ τὸ γένος καὶ τὸ εἶδος δηλοῖ τινας ἐπιβολὰς διανοητάς, οὐ ζητεῖται πρὸς διάκρισιν τοῦ γένους καὶ τοῦ εἴδους διάκρισις πραγματικὴ μορφῶν, ἀλλὰ διανοητὴ μόνον.

**310** τὸ – Διονυσίου] Vide supra in apparatu fontium [3.1].5-7.

**311** καὶ] deest M et Aq. **316** ἀτελῶν] imperfectioribus Aq. **319** τῆς ἐπινοίας] intelligibilem Aq. **325** ἐφ’ ᾧ] et Aq. **326** τὸν – λόγον] rationes intelligibiles Aq. **328** διὰ] ab Aq.

[3.32] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι ἡ ψυχὴ κινεῖ τὸ σῶμα, καταλήψει καὶ ὀρέξει. Ἡ δὲ αἰσθητικὴ δύναμις καὶ ὀρεκτικὴ ἐν τῷ ζῴῳ ἔχει ὡρισμένον ὄργανον· καὶ οὕτως ἀπ’ ἐκείνου τοῦ ὀργάνου ἄρχεται ἡ κίνησις τοῦ ζῴου, ὅπέρ ἐστιν ἡ καρδία κατὰ Ἀριστοτέλη. Οὕτω τοίνυν θάτερον μὲν μέρος τοῦ ζῴου ἐστὶ κινοῦν, θάτερον δὲ κινούμενον, ὡς κινοῦν μὲν λαμβάνεσθαι τὸ πρῶτον ὄργανον τῆς ὀρεκτικῆς ψυχῆς, τὸ δὲ λοιπὸν σῶμα, εἶναι κινούμενον. Ἀλλ’ ἐπεὶ ἐν τῷ ἀνθρώπῳ ὁ νοῦς καὶ ἡ θέλησίς εἰσι τὰ κινοῦντα, ἅπερ οὐ τυγχάνει ὄντα τινὸς ὀργάνου, τὸ ἐνεργείᾳ κινοῦν μὲν ἔσται αὐτὴ ἡ ψυχὴ τῷ μέρει τοῦ νοοῦντος καὶ θέλοντος, κινούμενον δὲ τὸ σῶμα, καθό ἐστι τέλειον ἀπ’ αὐτῆς τῆς ψυχῆς ἐν τῷ σωματικῷ εἶναι.

[3.34] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι ἐν τῇ σαρκώσει τοῦ Λόγου ἡ ψυχὴ ἐγγίνεται μέση τῆς τε θεότητος καὶ τῆς σαρκὸς οὐ λόγῳ ἀνάγκης, ἀλλὰ τοῦ γιγνομένου καὶ καθήκοντος· ἀμέλει καὶ κριθείσης τῆς ψυχῆς ἀπὸ τῆς σαρκὸς ἐν τῷ τοῦ Χριστοῦ θανάτῳ ἔμεινεν ὁ Λόγος τῇ σαρκὶ ἀμέσως ἡνωμένος.

[3.35] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι τὸ βιβλίον ἐκεῖνο οὐκ ἔστιν Αὐγουστίνου, οὐδὲ πάνυ τοι ἔχει σεβασμιώτερον, ἔν τε τῷ παρόντι λόγῳ ἀποχρώντως ἀκαταλλήλως διαλέγεται. Ἑκάτερον γὰρ ἥ τε αἰσθητικότης καὶ ἡ φαντασία πρὸς τὴν ψυχὴν ἀναφέρεται, ἐφόσον ἡ μὲν αἰσθητικότης εἰς τὴν σάρκα ἀνάγεται, καθόσον ἐστὶν ὄρεξις τῶν εἰς τὸ σῶμα ἡκόντων, τὸ δὲ φανταστικὸν εἰς ψυχὴν διὰ τὸ ἐν αὐτῷ εἶναι τὰς τῶν σωμάτων ὁμοιότητας ἄνευ αὐτῶν τῶν σωμάτων. Λέγεται δὲ εἶναι ταῦτα μέσα ψυχῆς καὶ σώματος οὐχ ᾗ δὴ ἡ ψυχή ἐστιν εἶδος σώματος, ἀλλ’ ᾗ δή ἐστι κινοῦσα.

**335** ὅπέρ – Ἀριστοτέλη] Ar., De part. anim. III, 665a10-14: Ἡ μὲν γὰρ καρδία ἐν τοῖς ἔμπροσθεν καὶ ἐν μέσῳ κεῖται, ἐν ᾗ τὴν ἀρχήν φαμεν τῆς ζωῆς καὶ πάσης κινήσεώς τε καὶ αἰσθήσεως (ἐπὶ τὸ καλούμενον γὰρ ἔμπροσθεν ἡ αἴσθησις καὶ ἡ κίνησις...; De gen. an. II, 743b25-26: Διὰ μὲν οὖν τὸ τὴν ἀρχὴν ἐν τῇ καρδίᾳ τῶν αἰσθήσεων εἶναι καὶ τοῦ ζῴου παντὸς αὕτη γίγνεται πρῶτον **335-338** Οὕτω – κινούμενον] Vide supra [3.4].30-32: πᾶν – κινουμένη.

**336** Hic post ὡς Aq. habet: pars **339** τῷ ἐνεργείᾳ] actus Aq. **340** καὶ θέλοντος] deest Aq. **343** λόγῳ] deest Aq. **344** τοῦ γιγνομένου] deest Aq. **348** σεβασμιώτερον] σεβασμιώτατος M (nec est multum authenticus Aq.) **349** ἑκάτερον] ἑκατέρου P (utrumque Aq.) **350** μέν] deest P **353** αὐτῶν] deest Aq.

**[3.36] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι ἡ τοῦ σώματος οἰκονομία, τείνει ἐς τὴν ψυχήν, ἐφόσον ἐστὶ κινοῦσα, οὐκ ἐφόσον ἐστὶ εἶδος. Εἰ δὲ καὶ οἷς ἡ ψυχὴ διοικεῖ τὸ σῶμά εἰσι προὔργου πρὸς τὴν ψυχὴν παραμένειν ἐν τῷ σώματι ὡς ἴδιαι διαθέσεις |** P 279r **τῆς τοιᾶσδε ὕλης οὐ διατοῦτο ὅμως ἕπεται τὸν αὐτὸν εἶναι λόγον οἰκονομίας καὶ ἑνώσεως εἴδους. Καθάπερ γὰρ ἡ αὐτή ἐστι ψυχὴ κατὰ τὴν οὐσίαν, ἥτις ἐστὶ κινοῦσα καὶ εἶδος, διαφέρει δὲ τῷ λόγῳ, οὕτω δὴ καὶ ταὐτά εἰσιν ἃ προὔργου τυγχάνει ὄντα πρός τε τὴν εἰδικὴν ἕνωσιν καὶ πρὸς τὴν διοίκησιν, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν λόγον.**

**[3.37] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι τῇ διαφορᾷ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ὡς τῷ φθαρτῷ ἀπὸ τοῦ ἀφθάρτου, οὐκ ἀνατρέπεται τὸ εἶναι εἶδος αὐτοῦ, ὡς ἐκ τῶν προειρημένων δῆλόν ἐστιν, ὅθεν ἕπεται ἀμέσως τῷ σώματι ἑνοῦσθαι.**

**[3.38] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ ψυχὴ λέγεται ἑνοῦσθαι τῷ σώματι διὰ πνεύματος, ἐφόσον δηλαδὴ ἐστι κινοῦσα, ὅτι τὸ πρῶτον** κινούμενον **ἀπὸ τῆς ψυχῆς ἐν τῷ σώματί** ἐστι τὸ πνεῦμα, **ὡς ὁ Ἀριστοτέλης φησὶν ἐν τῷ βιβλίῳ τῷ Περὶ αἰτίας τῆς κινήσεως τῶν ζῴων, πλὴν κἀκεῖνο τὸ βιβλίον, οὐ μεγάλην ἔχει τινὰ ἀξιοπιστίαν.**

**[3.39] Πρὸς τὸ δέκατον ῥητέον ὅτι, εἴ τινα δύο εἰσὶ διάφορα τῇ οὐσίᾳ, οὕτως, ὥσθ' ἑκάτερον ἔχειν τὴν φύσιν τοῦ ἰδίου εἴδους πλήρη, οὐ δύνανται ἑνωθῆναι εἰμὴ διά του μέσου συνδέοντος καὶ ἑνοῦντος. Ἡ ψυχὴ δὲ καὶ τὸ σῶμα οὐκ εἰσὶ τοιαῦτα ἑκατέρου φυσικῶς ὄντος μορίου τοῦ ἀνθρώπου, ὡς ὕλη πρὸς εἶδος, ὧν ἡ ἕνωσίς ἐστιν ἄμεσος ὡς δέδεικται.**

**365-366** ὡς – ἐστιν] vide supra, [2.39].335-345. **369-371** ὅτι – Ζῴων] Ar., De mot. anim., 703a7-18: τὸ μὲν οὖν κινούμενον μὲν μὴ πεφυκὸς δὲ κινεῖν δύναται πάσχειν κατ' ἀλλοτρίαν δύναμιν· τὸ δὲ κινοῦν ἀναγκαῖον ἔχειν τινὰ δύναμιν καὶ ἰσχύν. πάντα δὲ φαίνεται τὰ ζῷα καὶ ἔχοντα πνεῦμα σύμφυτον καὶ ἰσχύοντα τούτῳ. τίς μὲν οὖν ἡ σωτηρία τοῦ συμφύτου πνεύματος, εἴρηται ἐν ἄλλοις· τοῦτο δὲ πρὸς τὴν ἀρχὴν τὴν ψυχικὴν ἔοικεν ὁμοίως ἔχειν ὥσπερ τὸ ἐν ταῖς καμπαῖς σημεῖον, τὸ κινοῦν καὶ κινούμενον, πρὸς τὸ ἀκίνητον. ἐπεὶ δ' ἡ ἀρχὴ τοῖς μὲν ἐν τῇ καρδίᾳ τοῖς δ' ἐν τῷ ἀνάλογον, διὰ τοῦτο καὶ τὸ πνεῦμα τὸ σύμφυτον ἐνταῦθα φαίνεται ὄν. πότερον μὲν οὖν ταὐτόν ἐστι τὸ πνεῦμα ἀεὶ ἢ γίνεται ἀεὶ ἕτερον, ἔστω ἄλλος λόγος (ὁ αὐτὸς γάρ ἐστι καὶ περὶ τῶν ἄλλων μορίων) **375-378** Ἡ – δέδεικται] vide supra, [3.28].167-177.

**364** τῷ φθαρτῷ] sic P; intellige τοῦ φθαρτοῦ **372** τινὰ] deest Aq. **375** του] sic P et M; intellige τινος **376** Hic post ἀνθρώπου Aq. habet: sed comparantur ad invicem

**[3.40] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι ἡ ψυχὴ ἑνοῦται τῷ σώματι διὰ τὸ τελειωθῆναι, οὐχ ὅπως τό γ' ἧκον εἰς τὴν διὰ φαντασίας νόησιν, ἀλλὰ καὶ ὅσον πρὸς τὴν τοῦ εἴδους φύσιν καὶ πρὸς ἄλλας ἐνεργείας, ἃς μέτεισι διὰ τοῦ σώματος. Δοθέντος μέντοι κατὰ μόνην τὴν διὰ φαντασίας νόησιν ἑνοῦσθαι αὐτῷ οὐχ ἕπεται τὴν ἕνωσιν εἶναι μεσιτευούσης τῆς φαντασίας· οὕτω γὰρ ἑνοῦται ἡ ψυχὴ τῷ σώματι διὰ τὸ νοεῖν, ὡς δι' αὐτῆς νοεῖν τὸν ἄνθρωπον· ὅπερ οὐκ ἂν εἴη, εἰ γίγνοιτο ἡ ἕνωσις διὰ τῶν φαντασμάτων, ὡς ἐν τοῖς φθάσασιν ἀποδέδεικται.**

**[3.41] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι τὸ σῶμα πρὸ τοῦ ψυχωθῆναι ἔχει τι εἶδος, ἐκεῖνο τὸ δὲ εἶδος οὐχ ὑπομένει τῆς ψυχῆς προσαγούσης. Ἡ γὰρ τῆς ψυχῆς ἄφιξίς ἐστι διά τινος γενέσεως, ἡ δὲ τοῦ ἑνὸς γένεσις οὐκ ἔστιν ἄνευ τῆς φθορᾶς τοῦ ἑτέρου· ὥσπερ, ἡνίκα ἐγγίνεται τὸ εἶδος τοῦ πυρὸς τῇ ὕλῃ, παύεται ᾧ εἶναι ἐνεργείᾳ ἐν αὐτῇ τὸ εἶδος τοῦ ἀέρος καὶ μένει ἐν δυνάμει μόνον. Οὐδὲ ἔστι λέγειν τὸ εἶδος γίνεσθαι ἢ φθείρεσθαι· ἐκείνου γάρ ἐστι τὸ γίνεσθαι καὶ φθείρεσθαι, οὗτινός ἐστι καὶ τὸ εἶναι· ὅπερ οὐκ ἔστι τοῦ εἴδους ὡς ὄντος, ἀλλ' ὡσανεὶ ἐκείνου ᾧ ἔστι τι. Ὅθεν καὶ γίνεσθαι οὐ λέγεται εἰμὴ** P 279v **τὸ σύνθετον, | ἐφόσον ἔξεισιν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ.**

**[3.42] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι ἐν τῷ ἐμβρύῳ φαίνονταί τινα ζωῆς ἔργα. Ἀλλ' ἔνιοι εἰρήκασι τὰ τοιάδε ἔργα εἶναι ἐκ τῆς τῆς μητρὸς ψυχῆς. Ὅπερ ἀδύνατον ὂν τυγχάνει· ἐκ γὰρ τοῦ λόγου τῶν τῆς ζωῆς ἔργων,**

**389-390** ἡ – ἑτέρου] vide supra in apparatu fontium [3.28].268. **396-398** ὅτι – ψυχῆς] Ar., De gen. an. II, 733b26-30: ἐξ οὗ μὲν οὖν ἐστιν ἡ ὕλη ἣν ἔνια μὲν ζῷα ἔχει πρώτην ἐν αὐτοῖς λαβόντα ἐκ τοῦ θήλεος, οἷον ὅσα μὴ ζῳοτοκεῖται ἀλλὰ σκωληκοτοκεῖται ἢ ᾠοτοκεῖται, τὰ δὲ μέχρι πόρρω ἐκ τοῦ θήλεος λαμβάνει διὰ τὸ θηλάζειν, ὥσπερ ὅσα ζῳοτοκεῖται μὴ μόνον ἐκτὸς ἀλλὰ καὶ ἐντός.

**380** τό γ' ἧκον] solum Aq. | εἰς – νόησιν] ad intelligere phantasticum Aq. **382** κατὰ] propter Aq. | τὴν – νόησιν] sic P, M; intelligente phantasticum Aq. | διὰ φαντασίας] διαφορὰν a. corr. M **388** ἐκεῖνο] deest P (illa Aq.) **391** ᾧ] deest Aq.

**ἐστὶ τὸ εἶναι ἀπό τινος ἀρχῆς ἐνδοτερικῆς, ὅπέρ ἐστιν ἡ ψυχή. Εἰσὶ δ’ οἳ ἔφασαν ὅτι ἐξ ἀρχῆς ἔνεστιν αὐξητικὴ καὶ θρεπτικὴ ψυχή, ἡ δ’ αὐτὴ ἐκείνη, ἐπειδὰν μᾶλλον γένηται τελεία, γίνεται ψυχὴ αἰσθητική, κἄπειτα γίνεται ψυχὴ νοερά, ἀλλὰ δι’ ἐνεργείας ἔξωθεν ποιοῦντος. Ἀλλὰ τοῦτό ἐστιν ἀδύνατον. Πρῶτον μὲν γὰρ ἕψεται τὸ εἶδος τὸ οὐσιῶδες δέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, καὶ ὅτι ἡ γένεσίς ἐστι κίνησις συνεχής. Δεύτερον ὅτι ἕψεται τὴν λογικὴν ψυχὴν εἶναι φθαρτήν, τῆς φυτικῆς καὶ θρεπτικῆς οὐσῶν τοιούτων, ἐφ’ ὧν ὡσανεὶ θεμελίων ἐπιβέβηκεν. Ἀμήχανον τέ ἐστι λέγειν εἶναι τρεῖς ψυχὰς τῷ ἐνὶ ἀνθρώπῳ, ὡς δέδεικται. Λείπεται τοίνυν ῥητέον ὅτι ἐν τῇ γενέσει τοῦ ἀνθρώπου ἢ τοῦ ζῴου, εἰσὶ πολλαὶ γενέσεις καὶ φθοραὶ ἀλλήλας διαδεχόμεναι. Παραβάλλοντος γὰρ τοῦ τελειοτέρου εἴδους ὑπεξίσταται τὸ ἀτελέστερον. Καὶ ταύτῃ ἐν τῷ ἐμβρύῳ οὔσης τῆς φυτικῆς ψυχῆς, ἐπειδὰν ἡ πρόοδος ἐπὶ μείζονα τελειότητα ἐξίκηται, ἀναιρεῖται τὸ ἀτελὲς εἶδος, καὶ διαδέχεται τὸ τελεώτερον, ἥτις ἐστὶ φυτικὴ καὶ αἰσθητικὴ ὁμοῦ· τελευτῶν ὑποχωρούσης καὶ ταύτης ἐπιγίνεται τὸ τελευταῖον καὶ τελειότατον εἶδος, ὅπερ ἐστὶν ἡ λογικὴ ψυχή.**

**407-408** Ἀμήχανον – δέδεικται] vide supra [3.28].269-271 (Ταύτῃ – ἔν)

**402** Post ποιοῦντος Aq. habet: quod est Deus. **406** φυτικῆς] φυσικῆς P | τοιούτων] corruptibiles Aq. **407** Hic post ἐπιβέβηκεν Aq. habet: animae rationalis esse substantia vegetabilis et sensibilis | εἶναι] deest M **410** Παραβάλλοντος] intellige προβάλλοντος? (adveniente Aq.) **411** Hic post ἐμβρύῳ Aq. habet: primo **412** Hic post ψυχῆς Aq. habet: tantum **413** Hic post τελεώτερον Aq. habet: forma **413-414** ἥτις … φυτικὴ … αἰθητικὴ] sic P, M; intellige ὅ τι … φυτικὸν … αἰσθητικόν (erratum e forma, i.e. genus femininum latine) | τελευτῶν] sic P, M; intellige τελευταῖον? (ultimum Aq.)

P 280r

**[3.43] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι τὸ σῶμα τὸ μαθηματικὸν λέγεται σῶμα ἀφαιρεματικόν· ὅθεν τὸ λέγειν τὸ σῶμα τὸ μαθηματικὸν εἶναι ἐν τοῖς αἰσθητοῖς, ἔστι λέγειν δύο ἀντικείμενα ὁμοῦ, ὡς ὁ Ἀριστοτέλης ἐπιχειρεῖ ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικὰ κατά τινων Πλατωνικῶν τοῦτο τιθεμένων. Οὐ μέντοι ἕπεται τὴν τῶν ἀφαιρούντων ἐπίνοιαν εἶναι ψευδῆ, εἴ τι σῶμα μαθηματικὸν εἴη μόνον ἐν τῷ νῷ· οὐ γὰρ νοεῖ ὁ ἀφαιρῶν νοῦς σῶμά τι μὴ εἶναι ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ νοεῖ αὐτὸ μὴ νοῶν τὰ αἰσθητά· ὥσπερ, εἴ τις νοεῖ τὸν ἄνθρωπον μὴ νοῶν τὸ αὐτοῦ γελαστικόν, οὐ ψεύδεται, ψεύδεται δέ, εἰ νοοίη τὸν ἄνθρωπον μὴ εἶναι γελαστικόν. Φημὶ μέντοι γε τὸ μαθηματικὸν σῶμα ὅτι, εἰ καὶ εἴη ἐν τῷ αἰσθητῷ σώματι ἐφόσον τὸ μαθηματικὸν σῶμά ἐστι διαστηματικὸν μόνον, εἰς τὸ τῆς ποσότητος γένος τείνει· ὅθεν οὐ ζητεῖται ἐν αὐτῷ τι εἶδος οὐσιῶδες. Τὸ δὲ ὂν σῶμα ἐν τῷ τῆς οὐσίας γένει ἔχει εἶδος οὐσιῶδες, ὃ λέγεται σωματότης, ὅπερ οὐκ ἔστι τρεῖς διαστάσεις, ἀλλ' ὁτιδήποτε εἶδος οὐσιῶδες, ἀφ' οὗ ἕπεται ἐν τῇ ὕλῃ τὸ τριχῇ διαστατόν· | καὶ τοῦτο τὸ εἶδος ἐν μὲν τῷ πυρί ἐστιν ἡ πυρότης, ἐν δὲ τῷ ζῴῳ ἡ αἰσθητικὴ ψυχή, ἐν δὲ τῷ ἀνθρώπῳ ἡ νοερά.**

**[3.44] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι τὰ μέρη τοῦ ὁρισμοῦ εἰσι μέρη μορφῆς ἢ εἴδους οὐ κατὰ πραγματικὴν διάκρισιν, ἀλλὰ κατὰ τὴν ἐπίνοιαν, ὡς εἴρηται.**

**418-420** unde – Φυσικά] Ar., Metaph., non IV sed III, 998a13: ἔτι δὲ δύο στερεὰ ἐν τῷ αὐτῷ ἀναγκαῖον εἶναι τόπῳ **421-422** Οὐ – ψευδῆ] vide supra in apparatu fontium, [3.14].85-86

**419** λέγειν δύο] δύο λέγειν P (dicere duo Aq.) **420** τετάρτῳ] III Aq. **421-422** τὴν – ἐπίνοιαν] abstrahentium Aq. **427** αἰσθητῷ] αἰσθητικῷ M (sensibili Aq.) **428** ἐν αὐτῷ] ad ipsum Aq. **433** Hic post νοερά Aq. habet: anima **435** Hic post διάκρισιν Aq. habet: formarum **436** ἐπίνοιαν] ἐπινοίᾳ P

**[3.45] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι, εἰ καὶ ἡ ψυχὴ μὴ ἔχει σωματότητα ἐνεργείᾳ, ἔχει μέντοι δύναμιν· ὥσπερ ὁ ἥλιος τὴν θέρμην.**

**[3.46] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον ὅτι ἡ τάξις ἐκείνη ἧς ἅπτεται τὸ ὑπόμνημα, ἔστι κατὰ μόνον τὸν τῆς ἐπινοίας λόγον, ὅτι πρῶτον νοεῖται τελειοῦσθαι ἡ ὕλη κατὰ τὸν λόγον τοῦ καθόλου γένους ἢ τοῦ εἴδους· ὥσπερ πρῶτον νοεῖταί τι ὂν ἢ ζῶν, καὶ ζῶν ἢ ζῷον, καὶ ζῷον ἢ ἄνθρωπος.**

**[3.47] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι ὁτιοῦν εἶναι γένους ἢ εἴδους προεπινοεῖται τοῦ κατὰ συμβεβηκὸς εἶναι. Ὅθεν, ὁπόταν ἤδη ἡ ὕλη νοεῖται, τελεία κατὰ τὸν λόγον τοῦδε τοῦ γένους, ὅπέρ ἐστι σῶμα, δύνανται ἐν αὐτῇ νοεῖσθαι αἱ διαστάσεις, αἵ εἰσιν ἴδια συμβεβηκότα τοῦδε τοῦ γένους. Καὶ ταύτῃ κατὰ τὴν ἐπινοίᾳ τάξιν δύνανται νοεῖσθαι ἐν τῇ ὕλῃ κατὰ διάφορα αὐτῆς μόρια διάφορα εἴδη στοιχειώδη.**

**[3.48] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον ὅτι ἡ αὐτὴ τῷ εἴδει ἐστὶ θέρμη ἐν τῷ πυρὶ καὶ τῷ ἀέρι, ὅτι ἡτισοῦν ποιότης εἰδικῶς ἀποδίδοταί τινι στοιχείῳ ἐν ᾧ ἐστι τελείως, καὶ κατὰ κοινωνίαν ἢ καὶ μετοχέτευσιν ἀποδίδοται ἄλλῳ ἀτελέστερον. Ἡνίκα τοίνυν ἐκ τοῦδε τοῦ ἀέρος γίνεται τόδε τὸ πνεῦμα, μένει μὲν ἡ αὐτὴ τῷ εἴδει θέρμη, ἀλλ' αὐξηνθεῖσα, οὐχ ἡ αὐτὴ δὲ τῷ ἀριθμῷ, ὅτι μηδὲ τὸ αὐτό ἐστιν ὑποκείμενον· οὐδὲ δρᾷ τοῦτο πρὸς τὸ δυσχερῶς γίνεσθαι τὴν μεταβολήν, ἐφόσον φθείρεται κατὰ συμβεβηκὸς τῇ φθορᾷ τοῦ ὑποκειμένου καὶ οὐκ ἐκ τῆς ἐναντιότητος τοῦ δρῶντος.**

**439-440** ἡ – ὑπόμνημα] vide supra in apparatu fontium [3.17].99-101

**438** δύναμιν] virtute Aq. **440** ὑπόμνημα] Commentator Aq. **441** εἴδους] specialis Aq. **444** προεπινοεῖται – εἶναι] consequuntur propria accidentia illius generis vel speciei Aq. | προεπινοεῖται] interpres lexit subsequuntur pro consequntur: cf. infra, δύνανται νοεῖσθαι (subsequuntur) **445** τελεῖα] sic P; intellige τελεία **449-455** ἡ – δρῶντος] deest M **450** τινὶ] uno Aq. πνεῦμα] sic P; intellige πῦρ (ignis Aq.) | αὐξηνθεῖσα] sic P; intellige αὐξηθεῖσα **454** μηδέ] μὴ δὲ P

**[3.49] Πρὸς τὸ εἰκοστὸν ῥητέον ὅτι ἡ ὕλη ψιλὴ καὶ καθ’ αὐτὴν νοουμένη ἀδιαφόρως ἔχει πρὸς πάντα τὰ εἴδη, ἀλλ’ ὁρίζεται πρὸς τὰς εἰδικὰς μορφάς, τῇ τοῦ κινοῦντος δυνάμει, ὡς παραδίδοται ἐν τῷ Περὶ γενέσεως δευτέρῳ. Καὶ γὰρ κατὰ τὴν ἐπινοίᾳ τάξιν τῶν ἐν τῇ ὕλῃ εἰδῶν, ἔστιν ἡ τάξις τῶν φυσικῶν ποιητικῶν. Αὐτὰ γὰρ τὰ οὐράνια σώματα ἕτερόν ἐστι καθόλου μᾶλλον ποιητικὸν τοῦ ἑτέρου, οὐδὲ τῷ καθόλου μᾶλλον ποιοῦν ποιεῖ ἰδίᾳ καὶ χωρὶς τῶν ὑποβεβηκότων ποιητικῶν, ἀλλὰ τὸ ἔσχατον ποιοῦν ποιεῖ τὸ ἴδιον ἀποτέλεσμα τῇ δυνάμει πάντων τῶν ὑποκειμένων. Ὅθεν οὐκ ἐντίθενται ἐκ διαφόρων ποιητικῶν διάφορα εἴδη ἐν ἑνὶ ἀτόμῳ, ἀλλ’ ἓν εἶδος ἐντίθενται ἀπὸ** P 280v **τοῦ ἔγγιστα ποιοῦντος, περιέχον ἐν ἑαυτῷ δυνάμει | πάντα τὰ εἴδη τὰ προλαμβάνοντα· καὶ ἡ ὕλη, καθὸ θεωρεῖται τελεία, τῷ λόγῳ τοῦ καθολικωτέρου εἴδους, γίνεται ἰδία πρὸς τὴν ἐπακολουθοῦσαν τελειότητα.**

**[3.50] Πρὸς τὸ εἰκοστὸν πρῶτον ῥητέον, ὅτι ὁτιοῦν γένος τῆς οὐσίας δύναμις ἐστίν, ὥσπερ τὸ εἶδος ἐνέργεια. Ὅθεν ἡ ὕλη οὐχ ὕπεστιν εἴδει μεσιτευούσης ἄλλης τινὸς δυνάμεως.**

**457-460** ἡ – δευτέρῳ] Ar., De gen. et corr. II, 335a30: ἡ μὲν γάρ ἐστιν ὡς ὕλη, ἡ δ' ὡς μορφή. Δεῖ δὲ καὶ τὴν τρίτην ἔτι προσυπάρχειν· οὐ γὰρ ἱκαναὶ πρὸς τὸ γεννῆσαι αἱ δύο, καθάπερ οὐδ' ἐν τοῖς πρώτοις. Ὡς μὲν οὖν ὕλη τοῖς γενητοῖς ἐστιν αἴτιον τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι. Τὰ μὲν γὰρ ἐξ ἀνάγκης ἐστίν, οἷον τὰ ἀίδια, τὰ δ' ἐξ ἀνάγκης οὐκ ἔστιν. Τούτων δὲ τὰ μὲν ἀδύνατον μὴ εἶναι, τὰ δὲ ἀδύνατον εἶναι διὰ τὸ μὴ ἐνδέχεσθαι παρὰ τὸ ἀναγκαῖον ἄλλως ἔχειν. Ἔνια δὲ καὶ εἶναι καὶ μὴ εἶναι δυνατά, ὅπερ ἐστὶ τὸ γενητὸν καὶ φθαρτόν· ποτὲ μὲν γὰρ ἔστι τοῦτο, ποτὲ δ' οὐκ ἔστιν. Ὥστ' ἀνάγκη γένεσιν εἶναι καὶ φθορὰν περὶ τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι. Διὸ καὶ ὡς μὲν ὕλη τοῦτ' ἐστὶν αἴτιον τοῖς γενητοῖς, ὡς δὲ τὸ οὗ ἕνεκεν ἡ μορφὴ καὶ τὸ εἶδος.

**459** παραδίδοται] παραγίνεται P (traditur Aq.) **460** γὰρ] deest Aq. **461** Hic post ποιητικῶν Aq. habet: Inter **462** τῷ καθόλου] universalius Aq. **464** ἀποτέλεσμα] deest Aq. **466** ἐντίθενται] sic P; intellige ἐντίθεται **468** προλαμβάνοντα] προλαβόντα M (praecedentes Aq.) **468** Hic post εἴδους Aq. habet: accidentium consequentium **471** Hic post γένος Aq. habet: dividatur per potentiam et actum, ipsa potentia, quae est genere **472** δύναμις] sic P; materia Aq.

## Κεφάλαιον τέταρτον

**<Πότερον ὅλη ἡ ψυχὴ ἐστὶν ἐν ὁτῳδήποτε τοῦ σώματος μορίῳ, καὶ δοκεῖ οὐ δῆτα>**

**[4.1] Τέταρτον ζητεῖται, πότερον ὅλη ἡ ψυχή ἐστιν ἐν ὁτῳδήποτε τοῦ σώματος μορίῳ. Καὶ δοκεῖ οὐ δῆτα. Φησὶ γὰρ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ τῆς αἰτίας τῆς κινήσεως τῶν Ζῴων βιβλίῳ˙ οὐδαμῇ ἔστι χρεία ἐν ὁτῳδήποτε** τοῦ σώματος εἶναι **τὴν** ψυχήν, ἀλλ’ ἔν τινι **αὐτοῦ** ἀρχῇ **ὑπάρχει. Ἐν τῇ** φύσει **δὲ οὐδέν ἐστι** μάτην. **Οὐκ ἄρα ἔστιν ἡ ψυχὴ ἐν ᾡτινιοῦν μέρει τοῦ σώματος.**

**[4.2] Ἔτι, ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος συνίσταται τὸ ζῷον. Εἰ τοίνυν ἐν παντὶ μέρει τοῦ σώματος διαιτᾶται ἡ ψυχή, πᾶν μέρος ζῴου ἔσται ζῷον· ὅπέρ ἐστιν ἄτοπον.**

**[4.3] Ἔτι, ἐν ᾧ ἐστι τὸ ὑποκείμενον, ἐν ἐκείνῳ ἔστι καὶ τοῦ ὑποκειμένου ἡ ἰδιότης. Ἀλλὰ πᾶσαι αἱ τῆς ψυχῆς δυνάμεις εἰσὶν ἐν τῇ αὐτῆς οὐσίᾳ ὥσπερ [et] ἰδιότητες ἐν ὑποκειμένῳ. Εἰ τοίνυν ἡ ψυχὴ εἴη ἐν ὁτῳδήποτε τοῦ σώματος μέρει, ἕψεται ἐν παντὶ μέρει τοῦ σώματος εἶναι πάσας τὰς τῆς ψυχῆς δυνάμεις. Καὶ ταύτῃ ἡ ἀκοὴ ἔσται ἐν τῷ ὀφθαλμῷ καὶ ἡ ὄψις ἐν τῷ ὠτί· ὅπέρ ἐστιν ἄτοπον.**

**[4.4] Ἔτι, οὐδὲν εἶδος ὃ ζητεῖ ἀνομοιότητα μερῶν εὑρίσκεται ἐν τῷ τυχόντι μορίῳ˙ ὃ δῆλον ἐκ τοῦ εἴδους τῆς οἰκίας, ὃ μὴ ἔστιν ἐν τῷ τυχόντι μέρει τοῦ οἴκου, ἀλλ’ ἐν ὅλῳ τῷ οἴκῳ. Τὰ εἴδη δὲ ἃ μὴ ζητεῖ ἀνομοιότητα εἰσὶν ἐν ἑκάστοις μέρεσι, καθάπερ οὖν τὸ εἶδος τοῦ τε πυρὸς καὶ τοῦ ἀέρος. Ἀλλ’ ἡ ψυχή ἐστιν εἶδος ζητοῦν ἀνομοιότητα μερῶν, ὡς φαίνεται ἐν πᾶσι τοῖς ζῴοις. Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἐν τῷ τυχόντι τοῦ σώματος μέρει.**

**5-8** Φησὶ – σώματος] Ar., De mot. anim., 703a36-37: ὥστε μηδὲν δεῖν ἐν ἑκάστῳ εἶναι ψυχήν, ἀλλ' ἔν τινι ἀρχῇ τοῦ σώματος οὔσης... **7-8** Ἐν – μάτην] Ar., De an. III, 432b21-22: εἰ οὖν ἡ φύσις μήτε ποιεῖ μάτην μηθὲν μήτε ἀπολείπει τι τῶν ἀναγκαίων...

**2**, **4** ἡ] deest P **7** αὐτοῦ] sic P (corporis Aq.) **15** παντὶ] sic Aq. (qualibet Aq.) **20** Hic post ἀνομοιότητα Aq. habet: partium **23** ζῴοις] sic P (animatis Aq.)

**[4.5] Ἔτι, οὐδὲν εἶδος συμπαρεκτεινόμενον τῇ τῆς ὕλης ἐκτάσει ἔστιν ὅλον ἐν ἑκάστῳ μέρει τῆς ἰδίας ὕλης. Ἀλλ’ ἡ ψυχὴ ἐκτείνεται κατὰ τὴν τῆς ὕλης ἔκτασιν˙ λέγεται γὰρ ἐν τῷ βιβλίῳ τῷ Περὶ τῆς ποσότητος τῆς ψυχῆς,** τοσαύτην εἶναι αὐτὴν διάστασιν, ὅσην αὐτὰ τὰ τοῦ σώματος διαστήματα εἶναι ὑπομένει. **Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἐν ἑκάστῳ μέρει τοῦ σώματος.**

**[4.6] Χωρὶς δὲ τούτων, τὸ τὴν ψυχὴν εἶναι ἐν ᾡτινιοῦν μέρει σώματος διαφερόντως δοκεῖ ἐκ τοῦ ἐν ὁτῳδήποτε αὐτοῦ μορίῳ ἐνεργεῖν, εἰ ἡ**
P 281r **ψυχὴ μὴ ἐνεργεῖ, εἰμὴ ἔνθα | ἐστί. Φησὶ δὲ ὁ Αὐγουστῖνος ἐν τοῖς Πρὸς Βουλουσιανόν· ἡ ψυχὴ αἰσθάνεται καὶ ὁρᾷ ἐν τῷ οὐρανῷ, ᾗ μὴ ἐστίν. Οὐκ ἄρα ἀναγκαῖον τυγχάνει ὂν τὴν ψυχὴν ἔναυλον εἶναι ᾡτινιοῦν μέρει σώματος.**

**[4.7] Ἔτι, κατὰ τὸν Φιλόσοφον** κινοῦ**σιν** ἡμ**ῖν** κιν**οῦνται** τὰ ἐν ἡμῖν**. Συμβαίνει δὲ ἓν μέρος τοῦ σώματος κινεῖσθαι ἄλλου ἠρεμοῦντος. Εἰ ἄρα ἔστιν ἡ ψυχὴ ἐν ὁτῳοῦν μέρει τοῦ σώματος, ἕπεται ὁμοῦ κινεῖσθαι καὶ ἠρεμεῖν. Ὃ δοκεῖ ἀδύνατον.**

**[4.8] Ἔτι, εἰ ἡ ψυχὴ ἐστὶν ἐν παντὶ τοῦ σώματος μορίῳ, ὁτιδήποτε μόριον τοῦ σώματος ἄμεσον τάξιν ἕξει πρὸς τὴν ψυχήν˙ καὶ οὕτως οὐκ ἤρτηνται τὰ ἄλλα μέρη τῆς καρδίας. Ὅπέρ ἐστιν ἀντίπαλον τοῖς εἰς τὸ Κατὰ Ματθαῖον Ἱερωνύμου, ὅς φησι** τὸ ἡγεμονικὸν τοῦ ἀνθρώπου μὴ εἶναι ἐν τῷ ἐγκεφάλῳ κατὰ Πλάτωνα, ἀλλ’ ἐν τῇ καρδίᾳ κατὰ τὸν Χριστόν**.**

**26-28** λέγεται – ὑπομένει] Aug., de quant. an., cap. 5, n. 7: quid ergo amplius quaeris quanta sit anima, cum videas esse tantam quantam ipsa spatia corporis patiuntur? **32-33** ὁ – ἐστίν] Aug., Ep., ep. 137, cap. 2, no. 5: an et in coelo vivit, quia et in coelo sentit, et sensus esse non potest ubi vita non est? an sentit, et ubi non vivit; quia cum in sua tantum carne vivat, sentit etiam in his locis, quae praeter eius carnem continent ea quae tangit aspectu? **36** κατὰ – ἡμῖν] Ar., Top. II, 113a29-30: κινουμένων γὰρ ἡμῶν ἀναγκαῖον καὶ τὰ ἐν ἡμῖν πάντα συγκινεῖσθαι. **42-44** εἰς – Χριστόν] Hier., Matth. II, 109A: Ergo animae principale non secundum Platonem in cerebro, sed iuxta Christum in corde est.

**27** αὐτὴν] τὴν M **31** Εἰ] sic P, M; intellige Ἀλλ’? (Sed Aq.) **33** Βουλουσιανὸν] sic P, M; Valusianum L; Volusianum T

**[4.9] Παρὰ ταῦτα, οὐδὲν εἶδος ζητοῦν ὡρισμένον σχῆμα δύναται εἶναι ἔνθα μὴ ἔστιν αὐτὸ τὸ σχῆμα. Ἀλλ’ ἡ ψυχὴ ἐστὶν ἐν τῷ σώματι ὡρισμένῳ σχήματι διαμεμορφωμένῳ. Φησὶ γὰρ τὸ Ὑπόμνημα ἐν τῷ Περὶ ψυχῆς πρώτῳ· ὁτιοῦν σῶμα ζῴου ἔχειν σχῆμα ἴδιον. Καὶ τοῦτο καθορᾶται ἐν τοῖς εἴδεσι. Τὰ γὰρ τοῦ λέοντος μέλη οὐ διαφέρουσι τῶν μελῶν τοῦ κόρακος εἰμὴ διὰ τὴν τῆς ψυχῆς ἑτερότητα. Ἐπεὶ τοιγαροῦν τὰ μέρη οὐ μιμεῖται τὸ τοῦ ὅλου σχῆμα, ἡ ψυχὴ οὐκ ἔσται ἐν τῷ μέρει˙ καὶ τοῦτ’ ἐστὶν ὃ τὸ αὐτὸ Ὑπόμνημά φησιν ἐν τῷ αὐτῷ βιβλίῳ, ὅτι,** εἰ ἡ καρδία φύεται ὥστ’ εἶναι ὑποδοκεὺς τῆς ψυχῆς διὰ τὸ τοιοῦτον ἔχειν σχῆμα, πρόδηλόν ἐστι τὸ αὐτῆς μέρος μὴ ὑποδέχεσθαι αὐτὴν, διὰ τὸ μὴ ἔχειν τοιοῦτο σχῆμα.

**[4.9] Ἄνευ δὲ τούτων, ὅσο τί ἐστι χωριστόν, τοσοῦτο ἧττον ὁρίζεται ἔν τινι σωματικῷ· ἀλλ’ ὁ ἄγγελος ἔστι μᾶλλον χωριστόν, ἢ ἡ ψυχή. Ὁρίζεται δὲ ὁ ἄγγελος ἔν τινι μορίῳ κινητῷ, ὃ κινεῖ, καὶ οὐκ ἔστιν ὁτῳδήποτε μορίῳ αὐτοῦ, ὡς φαίνεται διὰ τοῦ Φιλοσόφου ἐν τῷ τῆς Φυσικῆς τετάρτῳ, ἔνθα φησὶ τὸν κινοῦντα τὸν οὐρανὸν μὴ εἶναι ἐν τῷ κέντρῳ, ἀλλ’ ἔν τινι μέρει τῆς περιφερείας. Πολλῷ ἄρα ἧττον ἡ ψυχὴ ἔστιν ἐν ᾡτινιοῦν μέρει τοῦ σώματος.**

**[4.10] Ἔτι, εἰ ἐν ᾧ τοῦ σώματος μέρει ἔστιν ἐνέργεια ψυχῆς, ἔστιν αὐτὴ ἡ ψυχή, δι’ ἴσου λόγου ἐν ὅτῳ μέρει τοῦ σώματος ἔστιν ἐνέργεια τῆς ὀπτικῆς δυνάμεως ἐνταῦθα ἐστὶν ὀπτικὴ δύναμις· ἀλλ’ ἐνέργεια ὀπτικῆς δυνάμεως εἴη ἂν ἐν τῷ ποδί, εἰ εἴη ἐκεῖ ὄργανον ὀπτικῆς δυνάμεως· ἄρ’ ὅτι ἄπεισιν ἐν τῷ ποδὶ ἡ ἐνέργεια ὀπτικῆς δυνάμεως, ἥτις ἔστι διὰ τὴν ἔνδειαν τοῦ ὀργάνου μόνον. Ἔσται ἄρα ἐκεῖ ὀπτικὴ δύναμις, εἰ ἔστι ψυχή. Ὅπερ ἄτοπον.|**

**50-53** ὃ – σχῆμα] Av, Comm. de an., p.126.23-25: Si cor habet naturam recipiendi animam quia habet talem figuram, manifestum est quod pars eius non recipit illam animam, quia non habet illam figuram. **57-59** ὡς – περιφανείας] Ar., Phys., non IV sed VIII, 267b6-9: ἀνάγκη δὴ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι˙ αὗται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δ' ἡ τοῦ κύκλου κίνησις˙ ἐκεῖ ἄρα τὸ κινοῦν.

**46** Ὑπόμνημα] sic P; Commentator Aq. **51** Ὑπόμνημα] sic P, M; Commentator Aq. **52** ἔχειν] deest P; habet Aq. **58** τὸν – οὐρανόν] τὴν κινοῦσαν τὸν οὐρανὸν ψυχήν P; motor celi Aq. **59** περιφερείας] περιφανείας P; circumferentiae Aq. **61** ᾧ] sic P, M; quacumque Aq. **65** ἥτις] deest M, Aq. **66** ὅπερ ἄτοπον] deest Aq.

P 281v

**[4.11] Πρὸς δὲ τούτοις, εἰ ἡ ψυχὴ ἐστὶν ἐν παντὶ μορίῳ τοῦ σώματος, ἀνάγκη ὅπῃ ποτέ ἐστι μέρος τοῦ σώματος, ἐκεῖ εἶναι καὶ τὴν ψυχήν. Ἀλλὰ τοῦ νηπίου αὐξάνοντος, τὰ μέρη ἄρχονται εἶναι διὰ τῆς αὔξης, ὅπου πρότερον οὐχ ὑπῆρχον· καὶ ἡ τοιαύτη ἄρα ψυχὴ ἄρχεται εἶναι ἔνθα μὴ πρότερον ἦν. Ἀλλὰ ἀδύνατον δοκεῖ. Τρισὶ γὰρ τρόποις ἄρχεταί τι εἶναι ἔνθα μὴ πρότερον ἦν· ἢ καθὸ ἐκ νέου γίνεται, καθάπερ ἡνίκα ἡ ψυχὴ δημιουργεῖται καὶ ἐγχεῖται τῷ σώματι, ἢ κατὰ τὴν ἰδίαν μετάβασιν, ὥσπερ τὸ σῶμα μεταχωρεῖ ἐκ τόπου εἰς τόπον, ἢ μεταβολῇ ἑτέρου εἰς αὐτό, ὥσπερ τὸ σῶμα τοῦ Χριστοῦ ἄρχεται εἶναι ἐν τῷ θυσιαστηρίῳ· ὧν οὐδὲν ἐνταῦθα δύναται λέγεσθαι. Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἐν παντὶ μορίῳ τοῦ σώματος.**

**[4.12] Ἔτι, ἡ ψυχὴ οὐκ ἔστιν εἰμὴ ἐν τῷ σώματι, οὗ ἐστὶ τὸ ἐνεργείᾳ.** Ἔστι **δὲ ἐνέργεια** σώματος **ὀργανικοῦ, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ. Ἐπεὶ τοίνυν ὁτιοῦν μέρος τοῦ σώματος οὐκ ἔστι τὸ ὀργανικὸν σῶμα, οὐκ ἔσται ψυχὴ ἐν ὁτῳδήποτε τοῦ σώματος μέρει.**

**[4.13] Ἔτι, πλεῖον διαλλάττει ἡ σὰρξ καὶ τὸ ὀστοῦν τοῦ ἑνὸς ἀνθρώπου, ἢ δύο σάρκες δύο ἀνθρώπων. Ἀλλὰ ψυχὴ μία οὐ δύναται εἶναι ἐν σώμασι δυσὶ διαφόρων. Οὐκ ἄρα δύναται εἶναι ἐν πᾶσι τοῖς τοῦ ἑνὸς μέρεσιν ἀνθρώπου.**

**[4.14] Ἔτι, εἰ ἡ ψυχὴ ἔστιν ἐν ᾡτινιοῦν μέρει τοῦ σώματος, δεῖ ἢ περιαιρεθέντος ὁτουοῦν μέρους συμπαραιρεῖσθαι καὶ τὴν ψυχήν, ὃ φαίνεται εἶναι ψεῦδος, μένοντος ζῶντος τοῦ ἀνθρώπου, ἢ μεταπίπτειν ἐξ ἐκείνου τοῦ μέρους πρὸς τὰ λοιπά, ὅπερ ἀμήχανον, τῆς ψυχῆς οὔσης ἁπλῆς καὶ κατὰ τὸ εἰκὸς ἀκινήτου. Οὐκ ἄρα ἔστιν ἐν παντὶ μέρει τοῦ σώματος.**

**88-89** ἡ – δευτέρῳ] vide in apparatu fontium [3.2].12-13.

**70** ὅπου] ὅπερ P (unde Aq.) | ὑπῆρχον] sic P, M; intellige ὑπῆρχεν **77** τὸ] τῷ P

[4.15] Ἔτι, οὐδὲν ἀδιαίρετον δύναται εἶναι εἰμὴ ἐν ἀδιαιρέτῳ, διὰ τὸ τὸν τόπον δεῖν παρισοῦσθαι τῷ ἐν τόπῳ. Ἐν τῷ σώματι δὲ παρίσταται ἀποδεικνῦναι ἄπειρα ἀδιαίρετα. Εἰ τοίνυν ἡ ψυχὴ εἴη ἐν ὁτῳδήποτε μέρει τοῦ σώματος, ἕψεται εἶναι ἐν ἀπείροις˙ ὅπερ εἶναι οὐχ οἷόν τε, πεπερασμένης οὖσα δυνάμεως.

[4.16] Ἔτι, ἐπεὶ ἡ ψυχὴ ἁπλῆ καὶ ἄνευ ποσότητος ἐστὶ διαστηματικῆς, οὐδεμία ὁλότης δύναται ἀποφέρεσθαι αὐτῇ εἰμὴ δυνάμεως. Ἄρ’ οὐκ ἔστιν ἐν παντὶ τοῦ σώματος μορίῳ εἰμὴ κατὰ τὰς αὐτῆς δυνάμεις, ἐν αἷς θεωρεῖται ἡ ὁλότης τῆς δραστηρίου αὐτῆς δυνάμεως. Οὐκ ἄρα ἐν ἑκάστοις τοῖς τοῦ σώματος μέρεσιν ἔστιν ὅλη ἡ ψυχή.

[4.17] Αὖθις, τὸ δύνασθαί τι ὅλον εἶναι ἐν ὅλῳ σὺν πᾶσι τοῖς μέρεσιν ἔοικε προϊέναι ἐκ τῆς αὐτοῦ ἁπλότητος. Ἐν μὲν οὖν τοῖς σώμασι τοῦθ’ ὁρῶμεν, ἀδύνατον συμβαίνειν. Ἀλλ΄ οὐδὲ ἡ ψυχή ἐστιν ἁπλῆ, ἀλλὰ σύνθετος ἐξ
P 282r ὕλης | καὶ εἴδους. Οὐκ ἄρα ἔστιν ἐν ᾧτινιοῦν τοῦ σώματος μέρει. Ἀπόδειξις τῆς μέσης˙ ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικὰ καθάπτεται τῶν τιθεμένων τὴν σωματικὴν ὕλην πρώτην ἀρχὴν πάντων διὰ τὸ δοξάζειν μόνα σωματικὰ στοιχεῖα, ὥστε ἔστι τι καὶ στοιχεῖον ἀσώματον. Τὸ δὲ στοιχεῖον ἐστίν, ὑλικὴ ἀρχή. Ἄρα αἱ ἀσώματοι οὐσίαι, ὡς ὁ ἄγγελος καὶ ἡ ψυχή, ἔχουσιν ὑλικὴν ἀρχήν.

[4.17] Ἔτι, ζῷα τινὰ διατμηθέντα, ζῇ. Οὐκ ἔστι δὲ λέγειν τὸ ἕτερον μέρος ζῆν ὅλῃ τῇ ψυχῇ οὐδὲ πρὸ τῆς τομῆς. Ἄρα ὅλη ἡ ψυχὴ ἦν ἐν ἐκείνῳ τῷ μέρει˙ ἀλλὰ τῆς ψυχῆς μέρος.

**104-106** ὁ – ἀσώματον] Ar., Metaph., non II sed I, 988b24-26: τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δ' ἀσωμάτων οὔ, ὄντων καὶ ἀσωμάτων. **109** ζῷα – ζῇ] Ar., Metaph. VII, 1040b13-14: διὸ ἔνια ζῷα διαιρούμενα ζῇ.

**96** Ἄρ’] sic P; intellige Ἀλλ’ (Sed Aq.) **97** εἰ μὴ] deest Aq. **98** ἑκάστοις] αὐτοῖς M; qualibet Aq. **102** οὐδὲ – ἔστιν] anima non est Aq. **105** πάντων] deest Aq. **106** σωματικὰ] corporum Aq. **107** ἀσώματοι] ἀσώμαται P **110** οὐδὲ – τομῆς] deest Aq.

**[4.18] Ἔτι, τὸ ὅλον καὶ τὸ τέλειον ἔστι ταὐτό, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς.** Τέλειον **δέ ἐστι τὸ ἐφαπτόμενον τῆς ἰδίας δυνάμεως, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς. Ἰδία δὲ δύναμις τῆς ἀνθρωπίνης ψυχῆς ἐστι τὸ νοεῖν, ὅπερ οὐκ ἔστι τὸ ἐνεργείᾳ τινὸς μέρους τοῦ σώματος. Οὐκ ἔστιν ἄρα ὅλη ἡ ψυχὴ ἐν ὁτῳδήποτε τοῦ σώματος μορίῳ.**

**[4.19] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Αὐγουστίνου εἰρημένον ἐν τῷ Περὶ Τριάδος τρίτῳ, ὅτι ἡ ψυχὴ** ἐν ὅλῳ ὅλη ἐστὶ καὶ ἐν ὁτῳδήποτε μέρει αὐτοῦ, ὅλη**.**

**[4.20] Ἔτι, ὁ Δαμασκηνός φησιν ὅτι ὁ ἄγγελος, ἔνθα ἐστίν, ἐνταῦθα καὶ ἐνεργεῖ. Τῷ ἴσῳ ἄρα λόγῳ καὶ ἡ ψυχή. Ἀλλ’ ἡ ψυχὴ ἐνεργεῖ ἐν παντὶ μορίῳ τοῦ σώματος˙ ὁτιδήποτε γὰρ μόριον τοῦ σώματος τρέφεται καὶ αὔξεται καὶ αἰσθάνεται. Ἡ ψυχὴ ἄρα ἔστιν ἐν ἑκάστῳ τοῦ σώματος μέρει.**

**[4.21] Ἔτι, ἡ ψυχή ἐστι μείζονος δυνάμεως ἢ τὰ ὑλικὰ εἴδη. Τὰ δὲ ὑλικὰ εἴδη, ὥσπερ τὸ πῦρ ἢ ὁ ἀήρ, εἰσὶν ἐν ὁτῳδήποτε μέρει. Ἦ που ἄρα ἡ ψυχή.**

**[4.22] Παρὰ ταῦτα, ἐν τῷ Περὶ πνεύματος καὶ ψυχῆς βιβλίῳ, λέγεται** τὴν ψυχὴν τῇ ἑαυτῆς παρουσίᾳ τὸ σῶμα ζωοῦν**. Ἀλλ’ ὁτιδήποτε τοῦ σώματος μόριον ζῳοῦται ἀπὸ τῆς ψυχῆς. Ἡ ψυχὴ ἄρα πάρεστι παντὶ τοῦ σώματος μέρει.**

**[4.21] Ἀπόκρισις. Ῥητέον, ὅτι ἡ ἀλήθεια ταυτησὶ τῆς σκέψεως ἤρτηται τῶν προειρημένων. Δέδεικται γὰρ πρότερον τὴν ψυχὴν ἑνοῦσθαι τῷ σώματι**

**112-114** τὸ – Φυσικῆς] Ar., Phys. III, 207a13-14: ὅλον δὲ καὶ τέλειον ἢ τὸ αὐτὸ πάμπαν ἢ σύνεγγυς τὴν φύσιν **117-119** Ἀλλ’ – ὅλη] Aug., De Trin., non III sed VI, cap. 6, n. 8 (PL 42, col. 853): ...et in toto tota est, et in qualibus eius parte tota est. **120-121** ὁ – ἐνεργεῖ] Ioh. Dam., De fid. orth. I, 13 (PG 94, col. 853A): ὅμως λέγεται εἶναι ἐν τόπῳ διὰ τὸ παρεῖναι νοητῶς καὶ ἐνεργεῖν κατὰ τὴν αὐτοῦ φύσιν, καὶ μὴ εἶναι ἀλλαχοῦ, ἀλλ’ἐκεῖσε νοητῶς περιγράφεσθαι, ἔνθα καὶ ἐνεργεῖ. **126-127** ἐν – ζωοῦν] Ps.-Aug., De spir. et an., cap. 18 (PL 40, col. 793): Anima praesentia sua corpus vivificat...

**114** τρίτῳ] sic P; VI T **114-115** τὸ νοεῖν, ὅπερ] sic P; secundum intellectum T **120** ἔνθα ... ἐνταῦθα] sic P, M; ibi ... ubi Aq. **125** ἐν] deest | P ἦ που] sic P, M; multo magis Aq.

οὐχ ὅπως ὡς κινοῦσαν, ἀλλὰ καὶ ὡς εἶδος. Ἐπὶ δὲ τούτοις δέδεικται μὴ προϋποτίθεσθαι τὴν ψυχήν ἕτερα εἴδη οὐσιώδη ἐν τῇ ὕλῃ, χορηγοῦντα τὸ οὐσιῶδες εἶναι τῷ σώματι ἢ τοῖς αὐτοῦ μέρεσιν˙ ἀλλ’ ὅτι τὸ σῶμα ὅλον καὶ τὰ αὐτοῦ μέρη ἔχουσι τὸ οὐσιῶδες εἶναι, καὶ εἰδοποιὸν διὰ τῆς ψυχῆς· ἧς ὑπεξιούσης, ὥσπερ οὐ μένει τὸ ὅλον ζῷον ἢ ἕν, οὕτως οὐδὲ ἡ χεὶρ μένει χεὶρ ἢ ὁ ὀφθαλμὸς ἢ ἡ σὰρξ ἢ τὸ ὀστοῦν ἀλλ’ ἢ καθ’ ὁμωνυμίαν, ὥσπερ τὰ γεγραμμένα ἢ τὰ λίθινα. Οὕτω τοίνυν ἐπείπερ πᾶσα ἐντελέχεια ἔστιν ἐν τῷ οὗ ἐστιν ἐντελέχεια, δεῖ τὴν ψυχήν, ἥτις ἐστὶν ἐντελέχεια, καὶ
P 282v γάρ ἐστιν εἶδος τοῦ σώματος, | καὶ οὐ μόνον κινοῦσα αὐτό, καὶ πάντα τὰ αὐτοῦ μέρη, εἶναι ἐν ὅλῳ τῷ σώματι καὶ ἐν ὁτῳδήποτε αὐτοῦ μέρει. Ἄλλως μέντοι πρὸς τὸ πᾶν ἔχει σῶμα καὶ ἄλλως πρὸς τὰ αὐτοῦ μέρη. Ἡ γὰρ ψυχὴ τοῦ μὲν παντὸς σώματός ἐστιν ἐντελέχεια πρῶτον καὶ καθ’αὐτό, τῶν μερῶν δὲ τῇ πρὸς τὸ ὅλον τάξει. Ὃ δὴ πρὸς τὸ ὑπ’ ὄψιν ἀγαγεῖν σκεπτέον ἂν εἴη. Ἐπεὶ γὰρ ἡ ὕλη ἐστὶ διὰ τὸ τοιόνδε εἶδος, ἀνάγκη ὑπάρχειν τὴν ὕλην κατὰ τὸ προσῆκον τῷ εἴδει. Ἐν τούτοις δὲ τοῖς φθαρτοῖς τὰ ἀτελέστερα εἴδη, ὅσα ἀσθενεστέρας ὑπάρχει δυνάμεως, εὐαριθμητοτέρας ἔχουσιν ἐνεργείας, πρὸς ἅς, οὐ ζητεῖται μερῶν ἀνομοιότης τις· ὥσπερ φαίνεται ἐν πᾶσι τοῖς φθαρτοῖς καὶ ἀψύχοις. Ἡ δὲ ψυχή, ἅτε δὴ οὖσα δυνάμεως ὑψηλοτέρας καὶ μείζονος, δύναται εἶναι ἀρχὴ διαφόρων ἐνεργειῶν, ὧν πρὸς τὴν ἐξεργασίαν ζητοῦνται ἀνομοιότητες μερῶν

**138** καθ’ – λίθινα] vide supra in apparatu fontium [2.23].193-198.

**132** ὅπως] sic P; solum Aq. **134** ὅτι] sic P; et Aq. **135** καὶ – μέρη] et omnes eius partes Aq. **136** ὅλον – ἕν] homo aut animal aut vivum Aq. **137** χείρ] deest Aq. **141-142** καὶ – μέρη] deest Aq. **143** πρὸς τὸ πᾶν] sic P; totum Aq. | σῶμα] deest Aq. **142-143** πρὸς – μέρη] sic P; partes eius Aq. **149** τίς] deest Aq. **149** φθαρτοῖς καὶ] deest Aq. **151** ἀνομοιότητες μερῶν] dissimiles partes Aq.

σώματος, ἔχουσιν ἐνεργείας. Διά τοι τοῦτο καὶ πᾶσα ψυχὴ ζητεῖ διαφορὰν ὀργάνων ἐν τοῖς τοῦ σώματος μέρεσιν, οὗ ἐστιν ἐντελέχεια, καὶ τοσούτῳ μείζω διαφοράν, ὅσον ἡ ψυχή ἐστι τελεωτέρα. Οὕτω τοίνυν τὰ μὲν χαμαίζηλα τῶν εἰδῶν μονοειδῶς τελειοῦσι τὴν ἰδίαν ὕλην, ἡ δὲ ψυχὴ πολυειδῶς, ὡς ἐκ τῆς τῶν μερῶν ἀνομοιότητος συσταίη ἡ τοῦ σώματος ὁλοκληρία, οὗ πρῶτον καὶ καθ’ αὑτὸ ἐστιν ἡ ψυχὴ ἐντελέχεια. Λοιπὸν δὲ πρὸς θεωρίαν, τί δήποτέ ἐστι τὸ λεγόμενον, ὅλην τὴν ψυχὴν εἶναι ἐν ὅλῳ τῷ σώματι καὶ ὅλην ἐν ἑκάστοις μέρεσιν. Ὅπερ ἵνα καταφανὲς ἡμῖν γένοιτο, θεωρητέον ἂν εἴη ὅτι τρισσὴ ὁλικότης εὑρίσκεται. Ἡ μὲν γὰρ πρώτη [et] ἐναργεστέρα, ἡ κατὰ τὴν ποσότητα, ᾗ δὴ τὸ ὅλον λέγεται ποσόν, ὃ πέφυκε διαιρεῖσθαι εἰς τὰ τῆς ποσότητος μέρη˙ καὶ αὕτη ἡ ὁλικότης οὐ δύναται ἀποδίδοσθαι τοῖς εἴδεσιν εἰμὴ κατὰ συμβεβηκός, ἐφόσον δηλαδὴ διαιροῦνται τῇ τῆς ποσότητος διαιρέσει· ὥσπερ ἡ λευκότης τῇ τῆς ἐπιφανείας διαιρέσει˙ καὶ τοῦτο μὲν ἐκείνων τῶν εἰδῶν ἃ συμπαρεκτατικὰ λέγονται τῇ ποσότητι, ὃ ἐντεῦθεν προσγίνεταί τισι τῶν εἰδῶν, διὰ τὸ ἔχειν τὴν ὕλην ὁμοίαν, ἢ ὅτι ἐγγυτάτω ὁμοίαν, τῷ ὅλῳ καὶ τῷ μέρει. Ὅθεν τὰ εἴδη τὰ ζητοῦντα μεγάλην ἀνομοιότητα ἐν τοῖς μέρεσιν οὐκ ἔχει τὴν τοιαύτην ἔκτασιν καὶ ὁλικότητα, ὥσπερ διαφερόντως αἱ ψυχαὶ τῶν ζῴων τῶν τελείων. Δευτέρα δὲ ὁλικότης θεωρεῖται κατὰ τὴν τῆς οὐσίας τελειότητα, ᾗ δὴ ὁλικότητι ἀποκρίνονται τὰ μέρη τῆς οὐσίας, τῆς μὲν φυσικῆς ἐν τοῖς

**158-159** ὅλην – μέρεσιν] Aug., Trinit. VI. 6 (apud Max. Plan.), 403.26-27: καὶ ἐν ἑκάστῳ σώματι, καὶ ἐν ὅλῳ ὅλη ἐστὶ καὶ ἐν ἑκάστῳ μέρει αὐτοῦ ὅλη.

**152** ἔχουσιν ἐνέργειας] deest M **160** ὁλικότης] ὁδικότης M; totalitas Aq. **164** τῇ] τὸ P **165** τοῦτο] haec Aq. **171** ὁλικότητι] ὁλικότητα P, ὁλικότης M

**συνθέτοις ἥ τε ὕλη καὶ μορφή, τῆς δὲ λογικῆς τὸ γένος καὶ τὸ εἶδος. Ἡ δὴ** P 283[r] **τελειότης ἐν μὲν τοῖς κατὰ | συμβεβηκὸς εἴδεσι δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐκέτι δὲ κἀν τοῖς οὐσιώδεσι. Τρίτη δὲ ὁλικότης ἐστὶ κατὰ δύναμιν. Εἰ τοίνυν τὴν ζήτησιν ποιοίμεθα περί τινος εἴδους ἐκτεινομένου ἐν ὕλῃ, ὡς φέρε εἰπεῖν περὶ τῆς λευκότητος, δυνάμεθα λέγειν εἶναι ὅλον ἐν ὁτῳδήποτε μέρει τῇ ὁλότητι τῆς τε οὐσίας καὶ τῆς δυνάμεως, εἴτουν τῇ πρώτῃ ὁλότητι, οὐχ ἥτις ἔνεστιν αὐτῇ κατὰ συμβεβηκός, ὥσπερ ὅλος ὁ τῆς λευκότητος λόγος εὑρίσκεται ἐν ὁτῳδήποτε μέρει τῆς ἐπιφανείας, οὐχ ὅλη δὲ ἡ ποσότης ἣν ἔχει κατὰ συμβεβηκός· ἀλλὰ μέρος ἐν μέρει. Ἡ ψυχὴ δὲ καὶ μάλιστα ἡ ἀνθρωπίνη, οὐκ ἔχει τὸ συμπαρεκτείνεσθαι ὕλῃ· ὅθεν ἐν αὐτῇ ἡ πρώτη ὁλικότης χώραν οὐκ ἔχει. Λείπεται τοίνυν κατὰ τὴν ὁλικότητα ἁπλῶς τῆς οὐσίας λέγεσθαι δύνασθαι ὅλην εἶναι ἐν ὁτῳδήποτε μέρει τοῦ σώματος, οὐ μὴν κατὰ τὴν τῆς δυνάμεως ὁλικότητα· εἰ γὰρ καὶ τὰ μέρη αὐτοῦ διαφόρως μορφοῦνται, ἀπ᾽ αὐτῆς πρὸς διαφόρους ἐνεργείας, ἀλλ᾽ ὅμως ἔστι τις ἐνέργεια αὐτῆς, εἴτουν τὸ νοεῖν, ἣν δι᾽ οὐδενὸς τοῦ σώματος μέρους ἐξανύειν δύναται. Ὅθεν, εἰ οὕτω ληφθείη τῆς ψυχῆς ἡ ὁλικότης, κατὰ δύναμιν λέγω, οὐ μόνον οὐκ ἔσται ὅλη ἐν ὁτῳοῦν τοῦ σώματος μέρει, ἀλλ᾽ οὐδὲ ὅλη ἐν ὅλῳ, ὅτι ἡ τῆς ψυχῆς δύναμις τὴν τοῦ σώματος χώραν ὑπερβαίνει, ὡς ἐν τοῖς ὑπολαβοῦσι δέδεικται.**

**190** ὡς – δέδεικται] vide supra [2.23].217-227.

**172** τὸ εἶδος] differentia Aq. **175-177** περὶ – ὁλότητι] deest M **177** εἴτουν] non autem Aq. **178** οὐχ] deest Aq. **182** ὁλικότητα] ὁλικώτηταν P **185-186** ἀλλ᾽ ὅμως] et Aq. **188** τοῦ σώματος] deest Aq.

**[4.22] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι ὁ Φιλόσοφος ἐκεῖ διαλέγεται Περὶ ψυχῆς ὅσον πρὸς τὴν κινητικὴν δύναμιν, ἣ πρῶτον ἱδρύεται ἐν τῇ καρδίᾳ.**

**[4.23] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἐν ᾡτινιοῦν τοῦ σώματος μορίῳ πρῶτον καὶ καθ’ αὐτό, ἀλλ’ ἐν τῇ πρὸς τὸ πᾶν τάξει, ὡς εἴρηται· καὶ διατοῦτο οὐ πᾶν μόριον ζῴου ζῷον.**

**[4.24] Πρὸς τὸ τρίτον ῥητέον ὅτι κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ ὕπνου καὶ γρηγόρσεως βιβλίῳ, οὗ ἐστιν ἡ δύναμις τοῦ αὐτοῦ ἐστι καὶ ἡ ἐνέργεια. Ὅθεν αἱ δυνάμεις ἐκεῖναι, ὧν ἐνέργειαι οὐκ εἰσὶ μόνης τῆς ψυχῆς, ἀλλὰ τοῦ συναμφοτέρου, εἰσὶ μὲν ἐν τῷ ὀργάνῳ ὥσπερ ἐν ὑποκειμένῳ, ἐν δὲ τῇ ψυχῇ ὥσπερ ἐν ῥίζῃ. Μόναι δὲ ἐκεῖναι αἱ δυνάμεις εἰσὶν ἐν τῇ ψυχῇ ὥσπερ ἐν ὑποκειμένῳ, ὧν τὰς ἐνεργείας ἡ ψυχὴ οὐ διὰ τῶν τοῦ σώματος ὀργάνων μέτεισιν, εἰσὶ μέντοιγε ἐν αὐτῇ, ᾗ δὴ τὸ σῶμα ὑπερβαίνει. Ὅθεν οὐχ ἕπεται ἐν παντὶ τοῦ σώματος μορίῳ εἶναι πάσας τὰς τῆς ψυχῆς δυνάμεις.**

**[4.25] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι τὸ εἶδος τοῦ οἴκου κατὰ συμβεβηκὸς ὂν**
P 283v **οὐ δίδωσιν εἶδος εἰδοποιὸν ἑκάστοις τοῦ οἴκου τοῖς μέρεσιν, | ὥσπερ ἡ ψυχὴ παρέχεται πᾶσι τοῖς μέρεσι τοῦ σώματος. Καὶ διατοῦτο οὐκ ἔστιν ὅμοιον.**

**[4.26] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ χρῆσις ἐκείνη οὐχ οὕτω νοεῖται, ὅτι ἡ ἀνθρωπίνη ψυχὴ ἐκτείνεται κατὰ τὴν τοῦ σώματος ἔκτασιν, ἄλλ’ ὅτι ἡ κατὰ δύναμιν τῆς ψυχῆς ποσότης οὐκ ἐκτείνεται εἰς μείζονα τοῦ σώματος ποσότητα.**

**194-195** ὡς εἴρηται] vide supra [4.21].143-145 (Ἄλλως – τάξει)

**193** ᾡτινιοῦν] ὁτινιοῦν P **202** ὀργάνων] organum Aq. | εἰσὶ – ᾗ] deest Aq.; ᾗ (sing.) P sed quae (pl.) Aq. **206** εἰδοποιόν] deest M **209** οὐχ] deest P

**[4.27] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι πᾶσα ἡ ἐνέργεια τρόπῳ τινὶ νοεῖται, μέση τῆς ἐνεργείας καὶ τοῦ ὑποκειμένου τῆς ἐνεργείας ἢ πράγματι, ὥσπερ ἐκεῖναι αἱ ἐνέργειαι αἳ προΐασιν ἀπὸ τοῦ ποιοῦντος εἴς τι ἐξωτερικὸν ἐφ' ᾧ μεταβαλεῖν, ἢ κατὰ τὸν τῆς ἐπινοίας τρόπον, ὥσπερ τὸ νοεῖν καὶ θέλειν καὶ τ' ἄλλα τὰ τοιάδε, εἰ καί εἰσιν ἐνέργειαι μένουσαι ἐν τῷ ἐνεργοῦντι, ὡς λέγεται ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά, ἑρμηνεύονται μέντοι κατὰ τὸν τῶν ἄλλων ἐνεργειῶν τρόπον ὡς ἀφ' ἑνὸς τείνουσαι εἰς ἄλλο. Οὕτω τοίνυν, ὅταν λέγηταί τις ἐνεργεῖν δεῦρο ἢ ἐκεῖσε, διχῇ δύναται νοεῖσθαι˙ ἑνὶ μὲν τρόπῳ, ὅταν διὰ τῶν τοιούτων ἐπιρρημάτων ὁρίζεται τὸ ῥῆμα ἐκ τοῦ μέρους, ὅθεν ἡ ἐνέργεια πρόεισιν ἀπὸ τοῦ ποιοῦντος˙ καὶ ταύτῃ ἀληθὲς ὑπάρχει ὂν τὸ τὴν ψυχήν, ὁπήποτε ἐνεργεῖ, ἐκεῖ εἶναι. Ἑτέρῳ τρόπῳ, ἐκ τοῦ μέρους ᾧ ἡ ἐνέργεια νοεῖται ὁρίζεσθαι πρὸς ἄλλο˙ ὡδὶ δὲ οὐχ ὁπηδήποτε ἐνεργεῖ, ἐκεῖ καὶ ὑπάρχει˙ οὕτω γὰρ αἰσθάνεται καὶ ὁρᾷ εἰς τὸν οὐρανόν, ἐφόσον ὁ οὐρανὸς ὁρᾶται καὶ τῇ αὐτῆς ὑποπίπτει αἰσθήσει.**

**[4.28] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι ἡ ψυχὴ κινουμένου τοῦ σώματος, κινεῖται κατὰ συμβεβηκός· καὶ οὐ καθ' αὑτήν, οὐκ ἔστι δὲ ἄτοπον, τὶ ὁμοῦ κινεῖσθαι κατὰ συμβεβηκὸς καὶ ἀτρεμίζειν καθ' αὑτὸ κατὰ διάφορα. Ἦν δ' αὐτὸ ἄτοπον, εἰ καθ' αὑτὸ ὁμοῦ ἠρεμοίη καὶ κινοῖτο.**

**[4.29] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι, εἰ καὶ ἡ ψυχὴ εἴη ἐντελέχεια μορίου τινὸς τοῦ σώματος, οὐ μέντοι ἐναχῶς πάντα τὰ τοῦ σώματος μέρη τελειοῦνται ἀπ' αὐτῆς, ὡς εἴρηται, ἀλλ' ἐστὶν ἕτερον ἑτέρου ἀρχοειδέστερον καὶ τελειότερον.**

**217-218** εἰ – Φυσικά] Ar., Metaph. IX, 1050a34-35: ὅσων δὲ μὴ ἔστιν ἄλλο τι ἔργον παρὰ τὴν ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει ἡ ἐνέργεια (οἶον ἡ ὅρασις ἐν τῷ ὁρῶντι καὶ ἡ θεωρία ἐν τῷ θεωροῦντι καὶ ἡ ζωὴ ἐν τῇ ψυχῇ... **233** ὡς εἴρηται] vide supra [4.21].143-157 (Ἄλλως – ἐντελέχεια).

**213** ἡ] deest P **216** μεταβαλεῖν] μεταβάλλει M **223** ὁπήποτε] ὅπή ποτε P; ὅπη δήποτε M **229** αὐτὸ] accidens Aq. 230 κινοῖτο] κινεῖτο[a. corr.]?P **233** ἔστιν] deest Aq.

**[4.30] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ ψυχὴ λέγεται καθωρισμένον σχῆμα εἶναι σώματι οὐχ ὅτι τὸ σχῆμά ἐστιν αἰτία, δι’ ἣν ἔστιν ἡ ψυχὴ ἐν τῷ σώματι, καὶ γὰρ μᾶλλον ἡ ψυχή ἐστιν αἰτία τοῦ πρὸς τὸ σῶμα σχήματος˙ ὅθεν εἰ μὴ εἴη τὸ σχῆμα συνᾷδον τῇ ψυχῇ τῇδε, οὐκ ἔστιν ἐνταῦθα ἡ ψυχή. Ἀλλ’ ἄλλο σχῆμα ζητεῖ ἡ ψυχὴ ἐν ὅλῳ τῷ σώματι οὗτινός ἐστι κατὰ τὸ** P 284r **πρότερον ἐντελέχεια, καὶ ἄλλο ἐν τῷ μέρει οὗτινός ἐστιν ἐντελέχεια, τῇ πρὸς τὸ ὅλον τάξει, | ὥσπερ εἴρηται. Ὅθεν ἐν τοῖς ζῴοις ἐν οἷς τὸ τοῦ μέρους σχῆμα σχεδὸν πάνυ πολὺ διαλλάττει, τοῦ σχήματος τοῦ ὅλου, τὸ μέρος οὐχ ὑποδέχεται τὴν ψυχὴν ὥσπερ τὸ πρῶτον καὶ ὅλον τελειωτόν, ὥστε κατατμηθὲν ζῆν, δέχεται μέντοι τὴν ψυχὴν τῇ πρὸς τὸ πᾶν τάξει, ὡς συνεζευγμένην ζῆν.**

**[4.31] Πρὸς τὸ δέκατον ῥητέον ὅτι ὁ ἄγγελος ἐνεργεῖ ἐν τῷ οὐρανίῳ σώματι, ὅπερ κινεῖ, οὐχ ὡς εἶδος, ἀλλ’ ὥσπερ κινῶν. Ὅθεν οὐχ ὅμοιόν τι ἐστιν αὐτοῦ τε πέρι καὶ ψυχῆς, ἥτις ἐστὶν εἶδος τοῦ τε ὅλου καὶ ὁτουοῦν μέρους.**

**[4.32] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι, εἰ ἦν ὀφθαλμὸς ἐν τῷ ποδί, ἦν ἂν ἐκεῖ δύναμις ὀπτική˙ καὶ γὰρ αὕτη ἡ δύναμίς ἐστιν ἐντελέχεια τοῦ τοιοῦδε ὀργάνου ἐμψύχου. Μὴ ὄντος δὲ μενεῖ ἐκεῖ ἡ ψυχή, οὐ μέντοι ὀπτικὴ δύναμις.**

**[4.33] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι ἡ** αὔξη**, οὐκ ἔστιν ἄνευ κινήσεως** τοπ**ικῆς, ὡς ἐν τῷ τετάρτῳ τῶν Φυσικῶν ὁ Φιλόσοφος διαγορεύει. Ὅθεν αὔξοντι τῷ παιδισκαρίῳ, ὥσπερ ὁτιοῦν μέρος τοῦ σώματος αὐτοῦ, ἄρχεται εἶναι καθ’ αὐτό, ᾗ πρότερον μὴ ἦν, οὕτως ἡ ψυχὴ κατα-συμβεβηκὸς καὶ κατὰ μεταβολήν, ἐφόσον κατὰ συμβεβηκὸς κινεῖται τοῦ κινουμένου σώματος.**

**241** ὥσπερ εἴρηται] vide supra [4.21].143-157 (Ἄλλως – ἐντελέχεια). **254-255** ἡ – διαγορεύει] Ar., Phys. IV, 209a26-29: ἔτι ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ, οὕτω καὶ ἐν τόπῳ ἅπαντι σῶμα˙ πῶς οὖν ἐροῦμεν περὶ τῶν αὐξανομένων; ἀνάγκη γὰρ ἐκ τούτων συναύξεσθαι αὐτοῖς τὸν τόπον, εἰ μήτ' ἐλάττων μήτε μείζων ὁ τόπος ἑκάστου.

**235** καθωρισμένον] καθορισμένον M **237** πρὸς τὸ σῶμα] corporis Aq. **238** εἰ] sic P, M; intellige ᾗ (ubi Aq.) **242** πάνυ πολύ] πάμπολυ M **243** πρῶτον ... ὅλον] ὅλον ... πρῶτον M **255** ὁ – διαγορεύει] λέγεται M; ut dicit philosophus Aq. **256** παιδισκαρίῳ] παιδὶ σκαρίῳ P; παιδισκαρίῳ M (παιδὶ σκαρίῳ a. corr.) **257** ᾗ] ὃ M (ubi Aq.) **259** τοῦ κινουμένου σώματος] moto corpore Aq.

**[4.34] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι τὸ σῶμα τὸ ὀργανικόν ἐστι τελειωτὸν ἀπὸ τῆς ψυχῆς πρῶτον καὶ καθ’ αὑτό, ἕκαστα δὲ τῶν ὀργάνων καὶ τὰ τῶν ὀργάνων μέρη ὡς ἐν τάξει τῇ πρὸς τὸ ὅλον, ὡς εἴρηται.**

**[4.35] Πρὸς δὲ τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι ἡ σάρξ μου μετὰ τῆς σαρκός <σου>, συγγενέστερά εἰσι τῷ τοῦ εἴδους λόγῳ ἢ ἡ σάρξ μου μετὰ τοῦ ἐμοῦ ὀστοῦ. Ἀλλὰ τῇ πρὸς τὸ ὅλον ἀναλογίᾳ ἀντέστραπται· ἡ γὰρ ἐμὴ σὰρξ καὶ τὸ ἐμὸν ὀστοῦν δύνανται τάττεσθαι πρὸς ἓν ὅλον ποιητέον, οὐ μὴν ἡ ἐμὴ καὶ σὴ σάρξ.**

**[4.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον ὅτι τοῦ μέρους ἀκρωτηριασθέντος, οὐχ ἕπεται συναφαιρεῖσθαι τὴν ψυχὴν ἢ πρὸς θάτερον μέρος μεταχωρεῖν, εἰ μὴ δοθείη ἐν ἐκείνῳ μόνῳ τῷ μέρει τὴν ψυχὴν εἶναι· ἀλλ’ ἕψεται ἐκεῖνο τὸ μέρος παύσασθαι τελειούμενον ἀπὸ τῆς τοῦ παντὸς ψυχῆς.**

**[4.37] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι ἡ ψυχὴ οὐκ ἔστιν ἀδιαίρετος, ὥσπερ τὸ σημεῖον, ἔχουσα ἐν συνεχεῖ (ταύτῃ γὰρ ἦν ἂν ἀπεναντίας τῷ λόγῳ αὐτῆς εἶναι καὶ ἐν διαιρετῷ), ἀλλ’ ἔστιν ἀδιαίρετος κατὰ ἀφαίρεσιν ἀπὸ παντὸς γένους τοῦ συνεχοῦς. Ὅθεν οὐκ ἔστιν ἐναντίον τῷ λόγῳ αὐτῆς, εἰ εἴη ἔν τινι τόπῳ διαιρετῷ.**

**[4.38] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον ὅτι ἡ ψυχὴ ἐξ αὐτοῦ τούτου τοῦ εἶναι ἀδιαίρετος ἕπεται μὴ ἔχειν ὁλότητα ποσότητος. Ἀλλ’ οὐδὲ διὰ τοῦτο λείπεται εἶναι ἐν αὐτῇ μόνην τὴν ὁλικότητα τὴν κατὰ τὴν δύναμιν· ἔστι καὶ**
P 284v **γὰρ | ἐν αὐτῇ ὁλικότης κατὰ τὸν τῆς οὐσίας λόγον, ὡς εἴρηται.**

**262** ὡς εἴρηται] vide supra, [4.21].143-145 (Ἄλλως – τάξει). **280** ὡς εἴρηται] vide supra, [4.21].182-190 (Λείπεται – δέδεικται).

**262** ὡς] ὥσπερ M **267** σή] σὺ M **269** θάτερον] sic P; aliam Aq. **270** δοθείη] δοθοίη P **273** Post ἔχουσα Aq. habet: situm. **274** Hic post ἐν Aq. habet: loco; post Aq. habet: anima **276** τόπῳ] sic P; toto Aq. **280** τὴν – δύναμιν] potentiarum Aq.

**[4.39] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον ὅτι ὁ Φιλόσοφος ἐν ἐκείνῳ τῷ βιβλίῳ σκοπεῖ ζητεῖν περὶ πασῶν τῶν ἀρχῶν πάντων τῶν ὄντων, οὐ μόνον τῶν ὑλικῶν, ἀλλὰ καὶ τῶν εἰδικῶν καὶ τῶν ποιητικῶν καὶ τῶν τελικῶν. Καὶ διατοῦτο τοῖς ἀρχαίοις φυσικοῖς ἐνσκήπτει μόνην τὴν ὑλικὴν αἰτίαν τιθεμένοις, ἣ μὴ ἔχει χώραν ἐν τοῖς ἀσωμάτοις οὖσι· καὶ διατοῦτο μὴ πάντα τῶν ὄντων αἴτια ὁμολογοῦσιν. Οὐ τοίνυν σκοπὸν προΐσχεται λέγειν εἶναί τι στοιχεῖον ὑλικὸν τῶν ἀσωμάτων ὄντων, ἀλλ' ὅτι ἐκεῖνοι εἰσὶ μεμπτέοι οἱ τῶν ἀρχῶν τῶν ἀσωμάτων πραγμάτων ὀλιγωρήσαντες, μόνον δὲ τὸ ὑλικὸν αἴτιον δοξάζοντες.**

**[4.40] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι ἐν ἐκείνοις τοῖς ζῴοις ὅσα τεμνόμενα ζῇ ἔστι ψυχὴ μία μὲν ἐνεργείᾳ, δυνάμει δὲ πλείους. Διὰ δὲ τῆς τομῆς προέρχονται, εἰς τὸ ἐνεργείᾳ τοῦ πλήθους, ὥσπερ ἐν πᾶσι τοῖς εἴδεσι παρίσταται τοῖς ἐκτεινομένοις παρὰ τὴν ὕλην.**

**[4.41] Πρὸς τὸ εἰκοστὸν ῥητέον ὅτι τῆς ψυχῆς λεγομένης εἶναι ὅλης ἐν τῷ τυχόντι μέρει λαμβάνεται τὸ ὅλον καὶ τὸ τέλειον κατὰ τὸν τῆς οὐσίας λόγον, καὶ οὐ κατὰ τὸν τῆς δυνάμεως τῆς τε ἁπλῶς καὶ τῆς ἐν τῷ ἐνεργεῖν, ὡς ἐκ τῶν προειρημένων δῆλον.**

**281-283** ὁ – τελικῶν] Ar., Metaph. I, 988a18-b21. **284** τοῖς – ἐνσκήπτει] vide in apparatu [4.17].105-107.

**282** πασῶν] deest Aq. **285** οὖσι] rebus Aq. **286** ὁμολογοῦσιν] poterant ponere Aq. **287** ὄντων] rerum Aq. **288** πραγμάτων] rerur Aq. | δὲ] deest Aq. **292** πλήρους] multitudinis Aq. **296** καὶ – ἐνεργεῖν] et non secundum rationem potentiae seu virtutis Aq.

## Κεφάλαιον πέμπτον

## <Πότερον ἔστὶ τις οὐσία ἄυλος κτιστὴ ἀσύναπτος σώματι ἢ οὔ.>

**[5.1] Πέμπτον ζητεῖται πότερον ἔστι τις οὐσία ἄυλος κτιστὴ ἀσύναπτος σώματι. Καὶ δοκεῖ μή. Φησὶ γὰρ ὁ Ὠριγένης, ἐν τῷ Περὶ ἀρχῶν πρώτῳ· μόνου ἐστὶ τοῦ Θεοῦ, τοῦ Πατρὸς λέγω καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ἴδιον, τὸ νοεῖσθαι ὑπάρχειν, ἄνευ προσθήκης τινὸς κοινωνίας σώματος· οὐδεμία ἄρα οὐσία νοητὴ κτιστὴ δυναται εἶναι ἄνευ κοινωνίας σώματος.**

**[5.2] Ἔτι, Πασχάλιος ὁ πάπας φησὶ τὰ ἄυλα ἄνευ τῶν σωματικῶν ὑφεστάναι οὐχ οἷά τε. Οὐκ ἄρα ἔνεστι τιθέναι οὐσίας ἀύλους μὴ οὔσας ἡνωμένας σώμασιν.**

**[5.3] Ἔτι, τοῦτο ὁμοίως ᾄδεσθαι δῆλον ἐστί·** πᾶν πνεῦμα κτιστὸν δεῖται ψυχαγωγίας σωματικῆς. **Φανερὸν δὲ ὅτι τῆς** φύσ**εως** μὴ **ὑστεριζούσης ἐν τοῖς** ἀναγκαί**οις πολλῷ ἧττον ὁ Θεὸς ἀμηχανήσει ὥστε τὴν οἰκείαν ῥᾳστώνην παρασχεῖν τοῖς πνεύμασιν. Οὐκ ἄρα τὸ κτιστὸν πνεῦμα ἄνευ σώματος εὑρίσκεται.**

**[5.4] Ἔτι, εἴ τις οὐσία νοητὴ κτιστή ἐστιν οὐδαμῶς ἡνωμένη σώματι, ἀναγκαῖον εἶναι ὑπὲρ τὴν τοῦ χρόνου φοράν· τὰ γὰρ σωματικὰ οὐκ ἐκβαίνει τὸν χρόνον. Ἀλλ’ αἱ νοηταὶ κτισταὶ οὐσίαι οὐ πάντῃ ὑπὲρ χρόνον εἰσίν. Ἐπεὶ γὰρ ἐκ τοῦ**
P 285r **μηδενὸς | δεδημιούργηνται καὶ κατὰ τὸ εἰκός ἀπὸ τροπῆς ἤρξαντο, ἀναγκαῖον τρεπτὰς εἶναι ταύτας, ὡς δύνασθαι ἀποβαίνειν εἰς τὸ μή ὄν, εἰ μὴ ἀπ’ ἄλλου κατέχοιντο. Ὃ δὲ εἰς τὸ μὴ ὂν ἀπογίνεσθαι δύναται, οὐ πάντῃ ἐστὶν ἔξω χρόνου· δύναται γὰρ νῦν εἶναι καὶ ἐν ἑτέρῳ νῦν μὴ εἶναι. Ἀμήχανον τοίνυν εἶναί τινας οὐσίας νοητὰς ἄνευ σωμάτων.**

**8-9** Πασχάλιος – τε] Concil. Anquir., Decr. Mag. Grat., causa I, quest. III, canon 7: Item Pascalis Papa. Si quis obiecerit, non consecrationes emi, sed res, que ex consecratione proveniunt, penitus desipere probatur. Nam cum corporalis ecclesia, ut episcopus, aut abbas, aut tale aliquid sine rebus corporalibus in nullo proficiat, sicut nec anima sine corpore corporaliter vivit, quisquis horum alterum vendit sine quo nec alterum provenit, neutrum invenditum derelinquit. Nullus ergo emat ecclesiam vel prebendam, vel aliquid ecclesiasticum, nec pastellum, nec pastum antea vel postea pro huiusmodi solvat. **11-12** τοῦτο – σωματικῆς] Bern., Cantic., sermo 5, no. 6 (800D): liquet omnem creatum spiritum, sive ut juvet, sive ut juvetur simul et juvet, corporeo prorsus indigere solatio. **12-13** Φανερὸν – ἀναγκαίοις] extractum ex Ar., De An. III, 432b21-22: εἰ οὖν ἡ φύσις μήτε ποιεῖ μάτην μηθὲν μήτε ἀπολείπει τι τῶν ἀναγκαίων.

**8** Πασχάλιος] sic P (Pascalis L; Paschasius T) **11** τοῦτο ὁμοίως ᾄδεσθαι] sic P; Bernardus Super Canticum Aq. **13-14** ὥστε – πνεύμασιν] deest Aq. **15** εἴ τις] ἤτις P **16** τὴν – φοράν] sic P, M; tempus Aq. **16-17** τὰ – χρόνον] sic P, M; tempus enim temporalia non excedit Aq.

[5.5] Παρὰ ταῦτα, οἱ ἄγγελοι ἀναιροῦνταί τινα σώματα. Τὸ δὲ ἀνειλημμένον σῶμα παρὰ τοῦ ἀγγέλου κινεῖται ἀπ’ αὐτοῦ. Ἐπεὶ τοίνυν τὸ κινεῖσθαι κατὰ τόπον προϋποτίθησι τὸ αἰσθάνεσθαι καὶ ζῆν, ὡς φαίνεται ἐν τῷ Περὶ ψυχῆς δευτέρῳ, δοκεῖ τὰ ἀνειλημμένα σώματα παρὰ τῶν ἀγγέλων αἰσθάνεσθαι καὶ ζῆν. Ὡδὶ δέ εἰσι σώμασι φύσει ἡνωμένοι. Ἀλλὰ γὰρ μάλιστα τῶν ἄλλων οὗτοι δοκοῦσι σωμάτων ἀπολελύσθαι. Οὐδεμία ἄρα νοητὴ οὐσία κτιστή, ἐστὶ σώματος ἀτελής.

[5.6] Ἔτι, ὁ ἄγγελος φύσει ἐστὶ τελειότερος τῆς ψυχῆς. Τελειότερον δέ ἐστι τὸ ζῶν καὶ ζωὴν ὑποτεῖνον ἢ τὸ ζῶν μόνον. Ἐπεὶ τοίνυν ἡ ψυχὴ καὶ ζῇ καὶ ζῆν παρέχεται τῷ σώματι καθό ἐστὶν εἶδος αὐτοῦ, ἔοικε πολλῷ μᾶλλον κρεῖττον τὸν ἄγγελον μὴ ὅτι ζῆν, ἀλλὰ καί τινι σώματι ζωὴν παρέχεσθαι, ᾧ διδοίη ἂν ζωήν. Καὶ ταύτῃ τὸ πρότερον.

[5.7] Ἔτι, δῆλον ὂν τυγχάνει τοὺς ἀγγέλους γινώσκειν τὰ καθέκαστα˙ ἄλλως γὰρ εἰκῇ ἐν τοῖς ἀνθρώποις εἰς φυλακὴν καταλέγοιντο. Οὐ δύνανται δὲ τὰ καθέκαστα γινώσκειν διὰ τῶν καθόλου εἰδῶν˙ ταύτῃ γὰρ ἐπίσης ἕξει ἡ τούτων γνῶσις πρός τε τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, καίπερ τὰ μέλλοντα γινώσκοντος μόνου τοῦ Θεοῦ. Ἴσασι τοίνυν οἱ ἄγγελοι ἕκαστα διὰ τῶν μερικῶν μορφῶν, ἃ ζητεῖ ὄργανα σωματικά, οἷς ἐγγίνονται. Οἱ ἄγγελοι ἄρα ἔχουσιν ὄργανα σωματικὰ σφίσιν ἡνωμένα. Καὶ ταύτῃ οὐδὲν πνεῦμα κτιστὸν δοκεῖ εἶναι πάντῃ σώματος καθαρεῦον.

**25-27** Ἐπεὶ – δευτέρῳ] Ar., De an. II, 413a22-15: πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν, οἷον νοῦς, αἴσθησις, κίνησις καὶ στάσις ἡ κατὰ τόπον, ἔτι κίνησις ἡ κατὰ τροφὴν καὶ φθίσις τε καὶ αὔξησις.

**27** ἡνωμένοι] ἡνωμένα M **29** ἀτελής] sic P, M; non unita Aq. **33** ὅτι] sic P, M; solum Aq. | ζωὴν παρέχεσθαι] sic P, M; uniatur Aq. **36** εἰκῇ ἐν] sic P, M; frustra Aq. **39** γινώσκοντος] sic P, M; cognoscere Aq.

**[5.8] Ἔτι, ἀρχὴ ἀτομότητος δοκεῖ εἶναι ἡ ὕλη. Οἱ δὲ ἄγγελοί εἰσιν οἷον ἄτομα. Οὐ γὰρ ἂν ἔχοιεν ἰδίας ἐνεργείας· τὸ γὰρ ἐνεργεῖν τῶν ὑφεστώτων ἐστίν. Ἐπεὶ τοίνυν μὴ ἔχουσιν ὕλην ἐξ ἧς εἰσίν, ὡς ἐν τοῖς φθάσασι δέδεικται, δοκεῖ ἔχειν ὕλην, ἐν ᾗ, δηλαδὴ σώματα οἷς ἐνοῖντο.**

**[5.9] Ἔτι, τῶν κτιστῶν πνευμάτων ὄντων οὐσιῶν πεπερασμένων, ἀναγκαῖον ἐστὶν εἶναι ἐν ὡρισμένῳ γένει καὶ εἴδει. Ἔστι τοίνυν εὑρεῖν ἐν αὐτοῖς φύσιν καθόλου εἴδους. Ἀλλ’ ἐκ ταύτης τῆς καθόλου φύσεως ἀδύνατον ἔχειν ὅθεν ἂν ἀτομίζοιντο. Δεῖ ἄρα τι εἶναι ἐπείσακτον δι’ οὗ ἄτομα γένοιντο. Τοῦτο δὲ οὐχ οἷόν τε εἶναί τι ὑλικόν, ὅπερ ἂν ὑποσταίη τὴν τοῦ ἀγγέλου σύνθεσιν,**
P 285v **τῶν ἀγγέλων ὄντων ἀΰλων οὐσιῶν, ὡς ἐν τοῖς | ἄνω εἴρηται. Ἀναγκαῖον τοίνυν προστίθεσθαι αὐτοῖς ὕλην τινὰ σωματικήν, δι’ ἧς ἄτομα γένοιντο. Καὶ ταύτῃ τὸ πρότερον.**

**[5.10] Χωρὶς δὲ τούτων, αἱ νοηταὶ οὐσίαι κτισταί οὐκ εἰσὶν ὕλη μόνον. Ταύτῃ γὰρ ἂν εἶεν ἐν δυνάμει μόνον, καὶ μίαν ἂν οὐδεμίαν ἔχοιεν ἐνέργειαν. Οὐδ’ αὖ εἰσι σύνθετοι ἐξ ὕλης καὶ μορφῆς, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται. Λείπεται τοίνυν εἶναι μορφὰς μόνον. Ἐκ δὲ τοῦ λόγου τῆς μορφῆς ἐστιν εἶναι ἐντελέχειαν τῆς ὕλης, ᾗ ἐνοῦται. Δοκεῖ ἄρα τὰς νοητὰς οὐσίας ἐνοῦσθαι σωματικῷ τρόπῳ.**

**[5.11] Ἐπὶ δὲ πᾶσι τούτοις, περὶ τῶν ὁμοίων ἔστιν ἡ αὐτὴ κρίσις. Ἀλλά τινες οὐσίαι κτισταὶ νοηταὶ ἥνωνται σώμασιν. Ἄρα πᾶσαι.**

**44-45** γὰρ – ἐστίν] passim in Ar.; cf. Eth. Nic. II, 1110b6-7: περὶ γὰρ τὰ καθ' ἕκαστα αἱ πράξεις; Metaph. I, 981a16-17 et alia. **45-46** ὡς – δέδεικται] vide supra [2.23].233-236 (Ἣν – ὑποκείμενον).

**43** οἷον] sic P; quendam Aq. **44-45** τῶν ὑφεστώτων] particularium Aq. **49-50** ὅθεν ἂν] sic P; quod Aq. **51** ὑποσταίη] intret Aq. **56** μίαν] deest Aq. | οὐδεμίαν ἂν τρόπῳ] sic P; intellige ἂν οὐδεμίαν

**[5.11] Ἀλλ’ ἀντίπαλόν ἐστι τὸ ὑπὸ τοῦ Διονυσίου εἰρημένον ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, ὅτι οἱ ἄγγελοί εἰσιν** ἀσώματοι καὶ ἄυλοι.

**[5.12] Ἔτι, κατὰ τὸν Φιλόσοφον ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς, ἐὰν δύο τινὰ συνεζευγμένα εὑρίσκωνται, ὧν θάτερον ἄνευ θατέρου οἷόν τε εἶναι, ἀναγκαῖον καὶ τὸ ἕτερον ἄνευ θατέρου εὑρίσκεσθαι. Οἷον ἔστι τι κινοῦν κινούμενον· ἀμέλει ἥν τι ᾖ κινούμενον μὴ κινοῦν, δυνατὸν εὑρεθῆναι καί τι κινοῦν μὴ κινούμενον. Οὕτω γοῦν εὑρίσκεταί τι σύνθετον ἐξ οὐσίας σωματικῆς καὶ ἀσωμάτου. Ἐπεὶ τοίνυν εὑρίσκεταί τι σῶμα ἔρημον πνεύματος, δοκεῖ καὶ πνεῦμά τι εὑρίσκεσθαι δύνασθαι σώματος ἀτυχές.**

**[5.13] Ἔτι, ὁ ἀπὸ τοῦ Ἁγίου Βίκτορος Ῥικάρδος τοῦτον ἐπιχειρεῖ τὸν τρόπον. Ἐν τοῖς θείοις εὑρίσκονται πλείω πρόσωπα ἐν μιᾷ φύσει, ἐν δὲ τοῖς ἀνθρώποις ἓν πρόσωπον ἐν δυσὶ φύσεσιν, εἴτουν τῇ ψυχῇ καὶ τῷ σώματι. Ἆρ’ εὑρίσκεται καὶ τὸ μέσον, δηλαδὴ ὅπέρ ἐστι πρόσωπον ἓν ἐν μιᾷ φύσει. Ὅπερ οὐκ ἂν εἴη, εἰ ἡ νοητὴ οὐσία σώματι ἑνοῖτο.**

**[5.14] Ἔτι, ὁ ἄγγελός ἐστιν ἐν τῷ ἀναλαμβανομένῳ σώματι. Εἰ τοίνυν σῶμά τι συνάπτοιτο αὐτῷ φυσικῶς, ἕψεται δύο σώματα ὁμοῦ εἶναι ἐν τῷ αὐτῷ· ὅπέρ ἐστιν ἀδύνατον. Εἰσὶν ἄρα οὐσίαι τινὲς νοηταὶ κτισταὶ μὴ ἔχουσαι σώματα φυσικῶς ἑαυταῖς ἡνωμένα.**

**63-65** Διονυσίου – ἄυλοι] Ps.-Dion., De div. nom., cap. 4, n. 1 (PG 3,col. 693C, Ritter p. 144)): καὶ ὡς ἀσώματοι καὶ ἄϋλοι νοοῦνται. **73-75** Ῥικάρδος – σώματι] Ric., Trinit. III, cap. 9 (921B): Conferamus in unum si placet quae ratio ratiocinando invenit in natura divina, et ea quae experientia reperi in natura humana. Utrobique unitas, utrobique pluralitas; ibi unitas substantiae, hic unitas personae; ibi pluralitas personarum, hic veri pluralitas substantiarum; ibi siquidem pluralitas personarum in unitate substantiae, hic autem pluralitas substantiarum in unitate personae.

**63** ἀντίπαλον] ἀντίξοον (contra Aq.) M **67** εὑρίσκωνται] εὑρίσκονται P, εὑρίσκεται M **68** ἔστι] sic P, M; invenitur Aq. **77** σώματι] deest P **79** σῶμά τι] σώματι P (corpus aliud Aq.)

**[5.15] Ἀπόκρισις. Ῥητέον ὅτι, ἐπεὶ ἡ ἡμετέρα κατάληψις ἀπὸ τῶν αἰσθήσεων λαμβάνει τὴν ἀρχήν, ἡ δὲ αἴσθησίς ἐστι τῶν σωματικῶν, οἱ πρῶτοι περὶ τῆς ἀληθείας ζητήσαντες ἄνθρωποι μόνης τῆς σωματικῆς ὕλης ἐν καταλήψει γενέσθαι ἐξέσχον, ἐπὶ τοσοῦτον, ὡς τοὺς πρώτους φυσικοὺς φιλοσόφους μηδὲν ἄλλο οἴεσθαι εἶναι εἰμὴ τὰ σώματα˙ ὅθεν καὶ αὐτὴν τὴν** P 286r **ψυχὴν σῶμα εἶναι ἔλεγον. Οἷς ἀκολουθῆσαι | δοκοῦσι καὶ Μανιχαῖοι [haeretici], οἳ τὸν Θεὸν φῶς τι σωματικὸν εἶναι ἐπ' ἄπειρα μήκους διαστήματα ᾤοντο. Παραπλησίως τε καὶ οἱ** Ἀνθρωπομορφισταί, **οἳ περιγραφαῖς ἀνθρωπείου σώματος ἐσχηματισμένον εἶναι εἰσῆγον τὸ θεῖον, μηδὲν ὑπὲρ τὰ σώματα εἶναι φαντασθέντες. Οἱ δὲ μετ' ἐκείνους φιλόσοφοι εὐλόγως διὰ νοῦ τὰ σωματικὰ διασχόντες πρὸς τὴν τῆς ἀσωμάτου κατάληψιν οὐσίας ἐγκαθωρμίσαντο˙ ὧν** Ἀναξαγόρας **πρῶτος, ἐπεὶ πάντα ἐξ ἀρχῆς τὰ σωματικὰ ἀλλήλοις πεφύρθαι ὑπελάμβανεν, ἠναγκάσθη ἐφιστᾶν τοῖς σωματικοῖς τι ἀσώματον** ἀμιγὲ**ς τὰ σωματικὰ** πάντα διακρίν**ον καὶ** κιν**οῦν, καὶ τοῦτο νοῦν προσηγόρευε, διακρίνοντα καὶ κινοῦντα πάντα, ὃν ἡμεῖς φαμεν Θεόν. Πλάτωνι δὲ ἑτέρα κέχρησται ὁδὸς πρὸς τὸ τὰς ἀσωμάτους οὐσίας τίθεσθαι˙ καὶ γὰρ ᾤετο, πρεινὶ τὸ μετέχον εἶναι τίθεσθαί τι χρῆναι χωριστὸν μόνον καὶ μεθεκτόν. Ἀμέλει κἀπειδὴ πάντα τὰ αἰσθητὰ σώματα μετέχει τῶν κατηγορουμένων αὐτῶν, εἴτουν τῆς τῶν γενῶν καὶ τῶν εἰδῶν φύσεως καὶ τῶν ἄλλων τῶν καθόλου κατηγορουμένων αὐτῶν, τέθεικε τὰς τοιάσδε φύσεις χωριστὰς ἀπὸ τῶν αἰσθητῶν καθ' αὑτὰς ὑφεστώσας˙ ἃς οὐσίας χωριστὰς ἐκάλει.**

**85-86** ὡς – ἔλεγον] cf. Ar. Phys. IV, 213a29: οἰόμενοι δὲ τὸ ὂν ἅπαν εἶναι σῶμα φασίν **86-87** ὅθεν – ἔλεγον] cf. Ar., De An. I, 403b31-404b14 **89-91** cf. Aug., Haer., cap. L.1-4 (39): Vadianos, quos appellat Epiphanius, et schismaticos, non haereticos vult videri; alii vocant Anthropomorphitas, quoniam Deum sibi fugunt cogitatione carnali in simultudinem hominis corruptibilis; Ep., cap. 4, nos 3-4 et a. **93-96** ὧν – πάντα] Ar., Phys. VIII, 250b24-26: ἢ γὰρ ὡς Ἀναξαγόρας λέγει (φησὶν γὰρ ἐκεῖνος, ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον, κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι); 256b24-27: διὸ καὶ Ἀναξαγόρας ὀρθῶς λέγει, τὸν νοῦν ἀπαθῆ φάσκων καὶ ἀμιγῆ εἶναι, ἐπειδή γε κινήσεως ἀρχὴν αὐτὸν εἶναι ποιεῖ; De An. I-III, 404b1-5; 405a13-19; 405b19-23; 429a18-19; Metaph. I, 984a11-16. **97-99** Πλάτωνι – μεθεκτόν] Procl., Inst. theol., 23.1-3: Πᾶν τὸ ἀμέθεκτον ὑφίστησιν ἀφ' ἑαυτοῦ τὰ μετεχόμενα, καὶ πᾶσαι αἱ μετεχόμεναι ὑποστάσεις εἰς ἀμεθέκτους ὑπάρξεις ἀνατείνονται. **100-103** πάντα – ἐκάλει] cf. Ar., Metaph. I, III, 987b1-14; 997b3-5; 1039a24-28

**85** ὕλης] sic P; naturam Aq. **87** ἄλλο] deest Aq. **92** εὐλόγως] ἀλόγως P (rationabiliter Aq.) **93** οὐσίας] οὐσίαν M **93** ἐγκαθωρμίσαντο] ἐγκαθορμίσαντο P, M **95** πάντα] deest Aq. **97** κέχρησται] sic P; intellige κέχρηται **98** πρεινὶ] sic P; πρηνὶ M; intellige πρὶν ἤ? **99** καὶ] deest M | μεθεκτόν] ἀμέθεκτον M (participatum Aq.)

Ὁ δ’ Ἀριστοτέλης πρὸς τὸ τὰς χωριστὰς ἀσωμάτους οὐσίας δοξάζειν προήχθη ἐκ τῆς ἀιδιότητος τῆς οὐρανίου κινήσεως, ἀνάγκη γὰρ τῆς οὐρανίου κινήσεως εἶναί τι τέλος τιθέναι· εἰ δὲ τὸ τέλος τῆς τινος κινήσεως οὐκ αἰεὶ τῷ αὐτῷ τρόπῳ ἔχει, εἴτε κινοῖτο καθ’ αὐτὸ ἢ καὶ κατὰ συμβεβηκός, ἀναγκαῖόν ἐστι τὴν κίνησιν ἐκείνην οὐκ ἀεὶ μονοειδῶς ἔχειν. Ὅθεν ἡ φυσικὴ τῶν κούφων καὶ τῶν βαρέων κίνησις μᾶλλον ἐπιτείνεται, ἐπειδὰν ἐγγὺς γένηται τοῦ εἶναι κατὰ χώραν. Νῦν δὲ ὁρῶμεν τὰς οὐρανίους κινήσεις ἐς ἀεὶ κατὰ ταὐτὰ τηρουμένας· ἐξ οὗ εἴκαζε τῆς τοιᾶσδε μονοειδοῦς κινήσεως τὴν διηνέκειαν. Ἔδει τοίνυν ὑποτίθεσθαι τὸ τέλος τῆς τοιαύτης κινήσεως μὴ κινεῖσθαι μήτε καθ’ αὐτὸ μήτε κατὰ συμβεβηκός. Πᾶν δὲ σῶμα ἢ ὅπέρ ἐστιν ἐν σώματι κινητόν ἐστι καθ’ αὐτὸ ἢ κατὰ συμβεβηκός. Οὕτω τοίνυν ἀναγκαῖον γέγονε τιθέναί τινα οὐσίαν πάντῃ ἀπὸ τοῦ σώματος χωριστήν, ἥτις εἴη τέλος τῆς οὐρανίου κινήσεως.

[5.16] Ἐν τῷδε δοκοῦσιν αἱ τρεῖς προειρημέναι θέσεις ἀπ’ ἀλλήλων διαφέρειν, ὅτι ὁ μὲν Ἀναξαγόρας ἀνάγκην οὐκ εἶχε κατὰ τὰς ὑπ’ αὐτοῦ ὑποτιθεμένας ἀρχὰς δοξάζειν εἰμὴ μίαν οὐσίαν ἀσώματον. Ὁ δὲ Πλάτων
P 286v πολλὰς ἠναγκάζετο τιθέναι καὶ πρὸς ἀλλήλας τεταγμένας | ὃ κατά τε τὸ πλῆθος καὶ τὴν τάξιν τῶν γενῶν καὶ τῶν εἰδῶν καὶ τῶν ἄλλων ὅσα χωριστὰ ἐτίθετο· ἐπρέσβευε γὰρ πρῶτον χωριστόν, κατ’ οὐσίαν ἐστὶν ἀγαθὸν καὶ τὸ ἕν, καὶ κατὰ τὸ εἰκὸς διαφόρους τάξεις νοητῶν καὶ νοερῶν.

**104-105** Ὁ – κινήσεως] Ar., Metaph. VII, 1073a14-b17. **113-114** Πᾶν – ἐστὶ] vide supra in apparatu fontium [3.4].33-34. **118-119** Ἀναξαγόρας – οὐσίαν] vide supra in apparatu fontium [5.15].94-97. **119-122** Ὁ – ἐτίθετο] vide supra in apparatu fontium [3.28].203-206 **124-125** ἐπρέσβευε – ἕν] vide supra in apparatu fontium [3.28].212-213. **125** καὶ – νοερῶν] vide supra in apparatu fontium [3.28].212-213.

**105-106** ἀνάγκη – κινήσεως] deest P **107** ἀεί] ἐν P (semper Aq.) | εἴτε] sic P, M; sed Aq. **110** Νῦν] deest Aq. **113** τοιαύτης] τοιάσδε M **119** οὐσίαν ἀσώματον] ἀσώματον οὐσίαν M; substantiam incorpoream Aq. **122** ὅ] ἅ P **123** τὸ] deest M | νοερῶν] intellectuum Aq.

**Ἀριστοτέλης δὲ καὶ αὐτὸς πολλὰς μὲν ἠξίου χωριστὰς οὐσίας. Ἐπεὶ γὰρ ἐν τῷ οὐρανῷ φαίνονται πολλαὶ κινήσεις, ὧν ἡντινοῦν ἐτίθετο εἶναι μονοειδῆ καὶ ἀΐδιον, ἑκάστης δὲ κινήσεως, δεῖ εἶναί τι τέλος ἴδιον, ἐξ οὗ τὸ τέλος τῆς τοιαύτης κινήσεως εἶναι προσήκει οὐσίαν ἀσώματον, ἑπόμενον γέγονε θεῖναι μὲν πολλὰς οὐσίας ἀσωμάτους τεταγμένας πρὸς ἀλλήλας κατὰ τὴν φύσιν καὶ τάξιν τῶν οὐρανίων κινήσεων, οὐδὲν δὲ ὑπὲρ ταῦτα διαλεχθῆναι περὶ τούτων ἠξίωσεν˙ ἴδιον γὰρ τῆς αὐτοῦ φιλοσοφίας γέγονεν ἀπὸ τῶν γνωρίμων μὴ πάνυ πόρρω προϊέναι. Ἀλλ’ αὐταί γε αἱ ὁδοὶ ὡς ἐλάχιστα συμβάλλονται τῇ ἡμετέρᾳ προθέσει˙ οὔτε γὰρ τῇ Ἀναξαγόρου συντιθέμεθα τῶν αἰσθητῶν μίξει, οὔτε τῷ χωριστῷ τῶν καθόλου μετὰ Πλάτωνος, οὔτε τῇ ἀϊδιότητι τῆς οὐρανίου κινήσεως μετὰ Ἀριστοτέλους. Ὅθεν ἀνάγκη ἑτέρας ὁδοὺς ἡμᾶς μετελθεῖν πρὸς τὴν τοῦ προκειμένου φανέρωσιν.**

**[5.17] Πρῶτον τοίνυν δοκεῖ εἶναί τινας οὐσίας πάντῃ σωμάτων ἀπολελυμένας ἐκ τῆς τοῦ σύμπαντος τελειότητος˙ τοιαύτη γὰρ εἶναι δοκεῖ τοῦ παντὸς ἡ τελειότης, ὡς μηδεμιᾶς ἐνδεῖν φύσεως ἣν ἐνδέχεται εἶναι˙ διά τοι τοῦτο κἀν τῷ τῆς Γενέσεως πρώτῳ ἕκαστα μὲν λέγονται καλά, πάντα δὲ ὁμοῦ λίαν καλά. Δῆλον δὲ ὅτι, ἐὰν δύο ᾖ τινα ὧν θάτερον θατέρου οὐκ ἤρτηται κατὰ τὸν αὐτοῦ λόγον, δυνατόν ἐστιν ἄνευ θατέρου θάτερον εὑρίσκεσθαι˙ ὥσπεροῦν καὶ τὸ ζῷον οὐκ**

**125-130** Ἀριστοτέλης – κινήσεων] Ar., Metaph. XII, 1073a28-b1: ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φοράν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους (ἀΐδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ σῶμα˙ δέδεικται δ' ἐν τοῖς φυσικοῖς περὶ τούτων), ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου τε κινεῖσθαι καθ' αὑτὴν καὶ ἀϊδίου οὐσίας. ἥ τε γὰρ τῶν ἄστρων φύσις ἀΐδιος οὐσία τις οὖσα, καὶ τὸ κινοῦν ἀΐδιον καὶ πρότερον τοῦ κινουμένου, καὶ τὸ πρότερον οὐσίας οὐσίαν ἀναγκαῖον εἶναι. φανερὸν τοίνυν ὅτι τοσαύτας τε οὐσίας ἀναγκαῖον εἶναι τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καθ' αὑτάς, καὶ ἄνευ μεγέθους διὰ τὴν εἰρημένην αἰτίαν πρότερον. **133-135** οὔτε – Ἀριστοτέλους] vide supra in apparatu fontium [5.16].119-120, 120-124, 125-130. **140** Γενέσεως – καλά] cf. Gen. 1.4: καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν; cf. Aug., Conf. XIII, cap. 28, n. 43. (PL 32, col. 864): septies numeravi scriptum esse vidisse quia bonum est quod fecisti: et hoc octavum est, quia vidisti omnia quae fecisti; et ecce non solum bona sed etiam valde bona tamquam simul omnia. Nam singula tantum bona erant; simul autem omnia et bona, et valde.

**130** διαλεχθῆναι] processit Aq. **139** ἥν] ἦν P, M (quam Aq.) **143** Hic post ζῷον Aq. habet: secundum suam rationem

ἤρτηται τοῦ λογικοῦ, διὸ καὶ οἷόν τε εὑρίσκεσθαι ζῷον λογικόν. Ἔστι δὲ ἐκ τοῦ τῆς οὐσίας λόγου, τὸ καθ’ αὐτὴν ὑφεστάναι· ὃ μηδενὶ τρόπῳ ἤρτηται τοῦ λόγου τοῦ σώματος. Ὁ γὰρ τοῦ σώματος λόγος σκοπεῖ τινὰ συμβεβηκότα τρόπῳ τινί, εἴτουν τὰς διαστάσεις, ἃ μή ἐστιν αἰτία τοῦ ὑφεστάναι. Λείπεται τοίνυν μετὰ τὸν Θεόν, ὃς μὴ περιέχεται γένει τινί, εὑρίσκεσθαι ὑπὸ γένος οὐσίαν τινά σωμάτων ἐλεύθερον. Δεύτερον, δύναται τὸ αὐτὸ θεωρεῖσθαι ἐκ τῆς τῶν ὄντων τάξεως, ἢ τοιαύτη εἶναι δύναται, ὡς ἀφ’ ἑνὸς τοῦ ἐσχάτου πρὸς θάτερον ἄκρον | [P 287r] μὴ οἷόν τε δίοδον εἶναι, εἰμὴ διὰ μέσων˙ καθάπερ ὑπὸ μὲν τῷ οὐρανίῳ σώματι ἀμέσως εὑρίσκεται τὸ πῦρ, ὑπὸ δὲ τῷ ὁ ἀήρ, καὶ μετὰ τὸν τὸ ὕδωρ, ὑφ’ ᾧ ἡ γῆ, κατὰ τὸ καθῆκον δηλαδὴ τῇ περιφανείᾳ καὶ λεπτότητι τούτων τῶν σωμάτων. Ἀνέχει μὲν γὰρ ἐπὶ τῆς ἄκρας τῶν ὄντων κορυφῆς, τὸ πάντων ἁπλούστατον καὶ ἕν, εἴτουν ὁ Θεός. Οὐκ ἐνδέχεται τοίνυν ἀμέσως εὐθὺς μετὰ Θεὸν ἱδρῦσθαι τὴν σωματικὴν οὐσίαν τὴν πάντῃ σύνθετον καὶ διαιρετήν, ἀλλὰ δεῖ τιθέναι μέσα πολλά, δι’ ὧν ἡ μετοχέτευσις γίνεται ἀπὸ τῆς κορυφαίας ἁπλότητος τοῦ Θεοῦ πρὸς τὴν σωματικὴν πληθύν˙ ὧν μέσων ἔνια μέν εἰσιν οὐσίαι ἀσώματοι σωμάτων χηρεύουσαι, ἄλλα δὲ ἀσώματοι μὲν οὐσίαι, σώματι δὲ ἡνωμέναι. Τρίτον, τοῦτο δοκεῖ ἐκ τῆς τοῦ νοῦ ἰδιότητος. Δῆλον γὰρ ὅτι τὸ νοεῖν, ἔστιν ἐνέργεια διὰ σώματος ἐπιτελεῖσθαι μὴ δυναμένη, ὡς ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ.

**151-152** ἀφ’ – μέσων] cf. Ar., Metaph. X, 1057a21-22: μεταξὺ μὲν γὰρ ταῦτα λέγομεν εἰς ὅσα μεταβάλλειν ἀνάγκη πρότερον τὸ μεταβάλλον; Phys. V, 226b23-25: μεταξὺ δὲ εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ φύσιν συνεχῶς μεταβάλλον. **152-158** καθάπερ – Θεός] cf. Ar., De coel. II, 287a32-34: Εἰ γὰρ τὸ μὲν ὕδωρ ἐστὶ περὶ τὴν γῆν, ὁ δ' ἀὴρ περὶ τὸ ὕδωρ, τὸ δὲ πῦρ περὶ τὸν ἀέρα, καὶ τὰ ἄνω σώματα κατὰ τὸν αὐτὸν λόγον. **162-163** Δῆλον – τρίτῳ] cf. Ar., De an. III, 429a24-27: διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι˙ ποιός τις γὰρ ἂν γίνοιτο, ἢ ψυχρὸς ἢ θερμός, κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ˙ νῦν δ' οὐθὲν ἔστιν.

**150** τοιαύτη] τοιαύτης M **155** πάντων] sic P; omnibus modis Aq. **160** ἄλλα] sic P, M; aliqua Aq.

**Ὅθεν δεῖ τὴν οὐσίαν ἧς τοῦτό ἐστιν ἐνέργεια ἔχειν τὸ εἶναι οὐκ ἐξημμένον τοῦ σώματος, ἀλλ' ἐστὼς ὑπὲρ τὸ σῶμα· ὥσπερ γάρ ἐστιν ἕκαστον, οὕτω καὶ ἐνεργεῖ. Εἴ τις τοίνυν οὐσία νοοῦσα σώματι ἑνοῖτο, οὐκ ἔσται τοῦτο αὐτῇ, ἐφόσόν ἐστιν νοοῦσα, ἀλλὰ διά τι ἄλλο, ὥσπερ ἐν τοῖς ἄνω εἴρηται, ἀναγκαῖον εἶναι τὴν ἀνθρωπίνην ψυχὴν συνάπτεσθαι σώματι, διὰ τὸ δεῖσθαι τῶν διὰ τοῦ σώματος ἐπιτελουμένων ἐνεργειῶν πρὸς συμπλήρωσιν τῆς νοερᾶς ἐνεργείας, ᾗ δὴ νοεῖ ἀποσπῶσα τῶν φαντασμάτων τὰ νοητά. Ὅπερ συμβαίνει μὲν τῇ νοερᾷ ἐνεργείᾳ, τείνει δὲ εἰς τὸ αὐτῆς ἀτελές, ὡσὰν ἐν τοῖς μόνον οὖσι νοητοῖς, ἐν ἀρρωστίᾳ διατελούσης τοῦ νοεῖν, ὡσπεροῦν καὶ ταῖς νυκτερίσι διὰ τὸ τῆς ὄψεως ἀτελὲς ἀναγκαῖον γίνεται τὸ ὁρᾶν ἐν τοῖς ἀλαμπέσιν· ὅτι δὲ κατὰ συμβεβηκὸς συζεύγνυταί τινι, οὐκ ἐν πᾶσι τὸ αὐτὸ εὑρίσκεται. Πρὸς τούτοις δὲ ἀνάγκη πρὸ τοῦ ἔν τινι γένει ἀτελοῦς εὑρίσκεσθαί τι τέλειον ἐν τῷ αὐτῷ γένει· τὸ γὰρ τέλειον φύσει πρότερόν ἐστι τοῦ ἀτελοῦς, ὡσπεροῦν καὶ ἡ ἐνέργεια τῆς δυνάμεως. Λείπεται τοίνυν ἀναγκαῖον εἶναι τιθέναι τινὰς οὐσίας ἀσωμάτους σώμασιν ἀσυνάπτους ὡσὰν σώματός που μὴ δεομένας πρὸς τὰς νοερὰς ἐνεργείας.**

**[5.18] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι ἐν τούτῳ οὐ πάνυ τοί ἐστιν ἀποδεκτέα ἡ τοῦ Ὠριγένους δόξα· καὶ γὰρ πάμπολλα ἐν ἐκείνῳ φθέγγεται τῷ βιβλίῳ πολλὴν ἔχοντα τὴν πλάνην, ἑπόμενος ταῖς δόξαις τῶν ἀρχαίων φιλοσόφων. |**

**165-166** ὥσπερ – ἐνεργεῖ] vide supra [2.21].133-135 (ὅθεν – ἐστί); [2.21].220-222 (τὸ – ὄν). **166-171** Εἴ – νοητά] vide supra [3.40].368-371 (Πρὸς – σώματος).

**165** ἑστὼς] ἑστῶς P **167** τι] τοι P (aliquid Aq.) **171** τὰ νοητά] deest Aq. **172** ἐν] sic P (ex Aq.) **175** τὸ αὐτό] sic P (cum eo Aq.) **180** νοερὰς ἐνεργείας] singularis in Aq. **182** auctoritas] δόξα Aq. **183** ἑπόμενος] ἑπόμενοι P (sequens Aq.) | τὴν πλάνην] τὸν πλάνον M

P 287v **[5.19] Πρὸς τὸ δεύτερον ῥητέον ὅτι ὁ Πασχάλιος διαλέγεται περὶ τῶν ἀύλων οἷς συνάπτονται τὰ ἀπὸ τῶν ὡρῶν, μεθ' ὧν τῇ πράσει καὶ τῇ ὠνῇ αὐτὰ τὰ ἄυλα πράττεσθαι καὶ ἀγοράζεσθαι νοοῦνται· ὁμοῦ γὰρ αἱ ἄυλοι καθιερώσεις, οὐκ ἰδίᾳ καὶ καθ' αὑτὰς ὑφεστήκασιν ἄνευ τῶν σωματικῶν καὶ τῶν ὡραίων, ἃ ταύταις συμπλέκονται.**

**[5.20] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι πᾶν κτιστὸν πνεῦμα δεῖται ψυχαγωγίας σώματος, ἔνια μὲν ἑαυτῶν εἵνεκα, ὥσπερ αἱ λογικαὶ ψυχαί, ἔνια δὲ δι' ἡμᾶς, ὥσπερ οἱ ἄγγελοι, οἳ ἐν τοῖς ἀνειλημμένοις σώμασιν ἡμῖν φαντάζονται.**

**[5.21] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι αἱ νοηταὶ οὐσίαι αἱ κτισταί, ὅσον πρὸς τὸ ἴδιον εἶναι πιστεύονται μετρεῖσθαι ἀιδιότητι, εἰ καὶ αἱ αὐτῶν κινήσεις χρόνῳ μετροῦνται, κατ' ἐκεῖνο τὸ τοῦ Αὐγουστίνου ἐν τῷ τῆς Γενέσεως τετάρτῳ, ὅτι** ὁ Θεὸς κινεῖ τὴν πνευματικὴν κτίσιν ἐν χρόνῳ. **Ὃ δὲ λέγεται δύνασθαι τρέπεσθαι εἰς τὸ μὴ ὄν, οὐκ οἰστέον εἴς τινα δύναμιν ἐνυπάρχουσαν αὐταῖς, ἀλλὰ πρὸς τὴν τοῦ ποιοῦντος δύναμιν· ὥσπερ γὰρ πρὸ τοῦ εἶναι ἐδύναντο εἶναι μόνῃ τῇ τοῦ ποιοῦντος δυνάμει, οὕτω καὶ οὖσαι δύνανται μὴ εἶναι μόνῃ τῇ τοῦ Θεοῦ δυνάμει, ὃς δύναται ὑφαιρεῖν τὴν συντηροῦσαν αὐτὰς χεῖρα. Οὐδεμία δὲ ὕπεστιν αὐταῖς πρὸς τὸ μὴ εἶναι δύναμις, ὡς ταύτῃ χρόνῳ μετρεῖσθαι, ὥσπερ τὰ δυνάμενα κινεῖσθαι, εἰ καὶ μὴ κινοῦνται χρόνῳ μετροῦνται.**

**185-189** ὁ – συμπλέκονται] vide supra in apparatu fontium [5.2].8-9. **196-197** κατ' – χρόνῳ] Aug., De gen. ad litt., non IV sed VIII, cap. 22, n. 43 (PL 34, col. 389): Deus non per tempus motus moveat creaturam spiritualem per tempus.

**186** τὰ – ὡρῶν] sic P (temporalia Aq.) **187** ἄυλοι] ἄυλαι P, M **187-188** ὁμοῦ – καθιερώσεις] iura enim spiritualia vel Aq. **194** αἵ] καὶ M **195-196** αἱ ... κινήσεις ... μετροῦνται] ἡ ... κίνησις ... μετρεῖται P (motus ... mensurentur Aq.) **200** ἐδύναντο] ἐδύνατο M (poterant Aq.) **201** μόνῃ] μόνον M (solam Aq.)

**[5.22] Πρὸς τὸ πέμπτον ῥητέον ὅτι τὸ κινεῖσθαι κατὰ τόπον ἀπό τινος ἔνδοθεν κινοῦντος καὶ συνημμένου προϋποτίθησι τὸ αἰσθάνεσθαι καὶ ζῆν. Ταύτῃ δὲ οὐ κινοῦνται τὰ ἀνειλημμένα σώματα ἀπὸ τῶν ἀγγέλων. Ὅθεν ὁ λόγος οὐχ ἕπεται.**

**[5.23] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι τὸ ζῆν καὶ ζωὴν χορηγεῖν κατὰ τὸ ποιεῖν κρεῖττόν ἐστι τοῦ ζῆν μόνον. Τὸ δὲ ζωὴν ὑποτείνειν εἰδικῶς ἐστιν ὑποδεεστέρας οὐσίας παρὰ τὴν ζῶσαν ἐν τῷ καθ' αὑτὴν ὑφεστάναι χωρὶς σώματος· τὸ εἶναι γὰρ ταυτησὶ τῆς νοερᾶς φύσεως, ἥτις ἐστὶν εἶδος σώματος, ἐστὶν ὑποβεβηκὸς τῇ γειτνιάσει τῆς σωματικῆς φύσεως ἐπὶ τοσοῦτον, ὡς δύνασθαι μετέχεσθαι ὑπ' αὐτοῦ.**

**[5.24] Πρὸς τὸ ἕβδομον ῥητέον ὅτι οἱ ἄγγελοι γινώσκουσι τὰ καθ' ἕκαστα διὰ τῶν καθόλου εἰδῶν, ὥσπέρ ἐστιν εἰκόνες τῶν λόγων τῶν ἰδεῶν, αἷς ὁ Θεὸς γινώσκει <καὶ τὰ> κατὰ καθόλου καὶ τὰ κατὰ μέρος. Οὐκ ἀνάγκη μέντοι γινώσκειν τὰ καθέκαστα τῶν μελλόντων τὸν ἄγγελον, ἃ μὴ μετέσχε πω τῆς ὕλης καὶ τοῦ εἴδους, ἃ καὶ ὡσανεὶ ὑπ' ὄψιν ἄγονται διὰ τῶν εἰδῶν τοῦ ἀγγελικοῦ νοῦ. Ἐατέον δὲ περὶ τοῦ θείου νοῦ, ὃς ἐν τῷ τῆς αἰωνιότητος νῦν ἱδρυμένος ὅλον τὸν χρόνον μιᾷ ἐπιβολῇ καθορᾷ.**

P 288r **[5.25] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι ἡ ὕλη ἐστὶν ἀτομότητος | ἀρχή, ἐφόσον μὴ πέφυκεν ἐν ἄλλῳ γίνεσθαι. Τὰ δ' εἴδη ἃ πέφυκεν ἐν ἄλλῳ ὑποκειμένῳ γίνεσθαι, ἀφ' ἑαυτῶν ἀτομίζεσθαι οὐ δύνανται˙ ἐκ γὰρ τοῦ σφῶν λόγου αὐτῶν, ἀδιάφορόν ἐστιν αὐτοῖς γίνεσθαι ἐν ἑνὶ ἢ πλείοσιν. Ἀλλ' εἴ τι εἶδος εἴη μὴ ὂν ἐν ἄλλῳ ληπτόν, τὴν ἀτομότητα ἔχει, ἐκ τοῦ μὴ δύνασθαι ἐν πλείοσιν εἶναι, ἀλλ' αὐτὸ μόνον μένει ἐν ἑαυτῷ. Ὅθεν ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικὰ ἀπεναντίας τὸν Πλάτωνα ἐλέγχων φησίν˙ εἰ τὰ τῶν ὄντων** εἴδη **εἰσὶ** χωριστά, ἀνάγκη **εἶναι ταῦτα οὐ τὸ κοινόν, ἀλλ' ἰδικόν.**

**227-230** Ὅθεν – ἰδικόν] Ar., Metaph. VII, 1039a24-33: Φανερὸν δ' ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ τοῖς τὰς ἰδέας λέγουσιν οὐσίας τε χωριστὰς εἶναι καὶ ἅμα τὸ εἶδος ἐκ τοῦ γένους ποιοῦσι καὶ τῶν διαφορῶν. εἰ γὰρ ἔστι τὰ εἴδη, καὶ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ, ἤτοι ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ἐστὶν ἢ ἕτερον˙ τῷ μὲν γὰρ λόγῳ δῆλον ὅτι ἕν˙ τὸν γὰρ αὐτὸν διέξεισι λόγον ὁ λέγων ἐν ἑκατέρῳ. εἰ οὖν ἔστί τις ἄνθρωπος αὐτὸς καθ' αὑτὸν τόδε τι καὶ κεχωρισμένον, ἀνάγκη καὶ ἐξ ὧν, οἷον τὸ ζῷον καὶ τὸ δίπουν, τόδε τι σημαίνειν καὶ εἶναι χωριστὰ καὶ οὐσίας˙ ὥστε καὶ τὸ ζῷον.

**205** τινος] deest Aq. **209** κατὰ – ποιεῖν] sic P (effective Aq.) **213** τῇ γειτνιάσει] sic P, M (et affine Aq.) **216** ὥσπέρ] sic P (quae Aq.) | τῶν ἰδεῶν] sic P, M (idealium Aq.) **218** τὸν ἄγγελον] deest Aq. | μετέσχει] sic P, M; intellige μετέσχε? (participaverunt Aq.) **220** τῆς ὕλης] sic P (naturam Aq.) | τοῦ] τοῦ τος[a. corr.] **223** γίνεσθαι] sic P (recipi Aq.) **224** γίνεσθαι] sic P (recipi Aq.) | ἀφ'] ἐφ' M **225** αὐτῶν] deest M | γίνεσθαι] sic P, M (recipiantur Aq.) **226** Hic post ληπτόν Aq. habet: ex hoc ipso **227** μένει] sic P; intellige μένειν **230** οὐ – ἰδικόν] sic P (singulares Aq.)

**[5.26] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι ἐν τοῖς ἐξ ὕλης καὶ εἴδους συνθέτοις τὸ ἄτομον προστίθησι τῇ τοῦ εἴδους φύσει τὴν ἀπόδοσιν τῆς ὕλης καὶ τὰ ἀτομίζοντα συμβεβηκότα, ἐν δὲ τοῖς χωρὶς ὕλης εἴδεσιν οὐ προστίθησι τὸ ἄτομον ἐπὶ τὴν τοῦ εἴδους φύσιν τι πράγματι. Ἐν γὰρ τοῖς τοιούτοις ἡ οὐσία αὐτοῦ ἐστιν αὐτὸ τὸ ὑφεστὼς ἄτομον, ὡς φαίνεται διὰ τοῦ φιλοσόφου ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά. Προστίθησι μέντοι κατ' ἐπίνοιαν, εἴτουν τὸ μὴ δύνασθαι ὑπάρχειν ἐν πλείοσι.**

**[5.27] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι αἱ οὐσίαι αἱ οὖσαι χωρισταὶ ἀπὸ τῶν σωμάτων, εἰσὶν εἴδη μόνον· οὔκουν γε μὴν ἐντελέχειαί τινος ὕλης. Εἰ γὰρ καὶ ἡ ὕλη δύναται εἶναι ἄνευ εἴδους, τὸ εἶδος μέντοι δύναται εἶναι ἄνευ ὕλης, ἡ γὰρ καὶ ὕλη ἔχει διὰ τοῦ εἴδους, καὶ οὐ τὸ ἀνάπαλιν.**

**[5.28] Πρὸς τὸ ἐνδέκατον ῥητέον ὅτι ἡ ψυχὴ διὰ τὸ εἶναι ταπεινοτέρα, παρὰ τὰς ἄλλας νοητὰς οὐσίας μείζονα ἔχει γειτνίασιν μετὰ τῆς σωματικῆς φύσεως, ὡς δύνασθαι εἶναι εἶδος αὐτῆς μᾶλλον ἢ αἱ ὑψηλότεραι οὐσίαι.**

**235** ὑφεστὼς] ὑφεστῶς P **233** χωρὶς ὕλης] sic P (abstractis Aq.) **240** Hic post ὕλη Aq. habet: non **241** ἡ] εἰ P | εἰ – καὶ] sic P, M; intellige καὶ γὰρ ἡ | ἔχει] τὸ εἶναι add. post ἔχει P **245** αὐτῆς μᾶλλον,] sic P, M; intellige αὐτῆς, μᾶλλον

## Κεφάλαιον ἕκτον

## Πότερον ἡ νοητὴ οὐσία συναφθείη ἂν τῷ οὐρανίῳ σώματι.

**[6.1] Ἕκτον ζητεῖται πότερον ἡ νοητὴ οὐσία συναφθείη ἂν τῷ οὐρανίῳ σώματι. Καὶ δοκεῖ δὴ ἐπιεικῶς. Φησὶ γὰρ ὁ Διονύσιος ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων ὅτι ἡ θεία σοφία συνάπτει τὰ πέρατα τῶν πρώτων ταῖς ἀρχαῖς τῶν δευτέρων. Ἀφ’ οὗ δύναται λαμβάνεσθαι τὴν ὑποβεβηκυῖαν φύσιν ἐν τῇ αὐτῆς. Ἄκρᾳ ἅπτεσθαι τῶν ὑπερκειμένων ἐν ταῖς ἐσχατιαῖς αὐτῶν· ἄκρα δὲ ἐν τῇ σωματικῇ φύσει ἐστὶ τὸ οὐράνιον σῶμα, ταπεινὸν δὲ ἐν ταῖς νοηταῖς φύσεσίν ἐστιν ἡ ψυχή. Τὸ οὐράνιον ἄρα σῶμα ἐμψύχωται.**

P 288v

**[6.2] Ἔτι, τοῦ κρείττονος σώματος κρεῖττον ἐστὶ τὸ εἶδος. Τὸ δὲ οὐράνιον σῶμα κράτιστόν ἐστι πάντων τῶν σωμάτων, ἡ δὲ ψυχὴ τῶν εἰδῶν τὸ βέλτιστον. Εἰ τοίνυν τινὰ τῶν ταπεινοτέρων | σωμάτων ἐμψύχωται. Πολλῷ ἄρα μᾶλλον τὸ οὐράνιον σῶμα ἔμψυχον ἔσται.**

**[6.3] Ἀλλ’ ἔλεγεν ὅτι, εἰ καὶ τὸ οὐράνιον σῶμα οὐκ ἐμψύχωται, τὸ εἶδος μέντοι ᾧ τὸ σῶμα ἐκεῖνο ἐστὶ σῶμα κρεῖττόν ἐστι τοῦ εἴδους, ᾧ τὸ ἀνθρώπειον σῶμα ὑπάρχει σῶμα. Ἀλλ’ ἰτέον εὐθύς· ἐν τῷ ἀνθρωπείῳ σώματι, ἢ ἔστιν ἄλλο εἶδος οὐσιῶδες παρὰ τὴν λογικὴν ψυχήν, παρεχόμενον τὸ εἶναι τῷ σώματι ἢ οὔ. Εἰ μὲν οὖν οὐκ ἔστιν, ἀλλ’ αὐτὴ ἡ ψυχὴ δίδωσι τὸ οὐσιῶδες εἶναι τῷ σώματι, ἐπεὶ ἡ ψυχή ἐστιν ὅτι κράτιστον**

**4-6** ὁ – δευτέρων] vide supra in apparatu fontium [2.23].227-229.

**8** αὐτῶν] singularis Aq. (sui) **9** ταῖς – φύσεσιν] sic P, M; natura spirituali Aq. **10** ἐμψύχωται] sic P, M; intellige ἐψύχωται **13** ἐμψύχωται] sic P, M; intellige ἐψύχωται **15** ἐμψύχωται] sic P, M; intellige ἐψύχωται **17** ἀνθρώπειον] sic P (hominis Aq.)

**τῶν εἰδῶν· ἕψεται τὸ εἶδος δι᾽ οὗ τὸ ἀνθρώπινον σῶμα ἔσται σῶμα εἶναι κρεῖττον τοῦ εἴδους δι᾽ οὗ τὸ οὐράνιον σῶμα ἔσται σῶμα. Εἰ δέ τι εἴη ἄλλο εἶδος οὐσιῶδες ἐν τῷ ἀνθρώπῳ συντελοῦν τῷ σώματι τῷ εἶναι σῶμα παρὰ τὴν λογικὴν ψυχήν, προὖπτον ὂν πᾶσι τυγχάνει δι᾽ ἐκείνου τοῦ εἴδους τὸ ἀνθρώπειον σῶμα ὑποδεκτικὸν εἶναι τῆς λογικῆς ψυχῆς. Ὃ δὲ ὑποδεκτικὸν ὑπάρχει ὄν, τελειοτέρας ἀγαθότητος ἐστὶ κρεῖττον τοῦ πρὸς τὴν τοιαύτην ὑποδοχὴν ἀνεπιτηδείου, ὡς λέγεται ἐν τῷ Περὶ οὐρανοῦ καὶ κόσμου δευτέρῳ. Εἰ τοίνυν τὸ οὐράνιον σῶμα μὴ εἴη δεκτικὸν ψυχῆς λογικῆς, ἔτι ἕψεται τὸ εἶδος δι᾽ οὗ τὸ σῶμα τὸ ἀνθρώπινόν ἐστι ψυχῆς ὑποδεκτικόν, εἶναι κρεῖττον τοῦ εἴδους δι᾽ οὗ τὸ οὐράνιον σῶμά ἐστι σῶμα. Ὃ δοκεῖ ἄτοπον.**

**[6.4] Ἔτι, ἡ τοῦ παντὸς τελειότης ζητεῖ μηδενὶ σώματι ἀπαγορεύεσθαι τὸ πρὸς ὃ φυσικῶς κλίνεται. Πᾶν δὲ σῶμα φυσικὴν ἔχει ῥοπὴν εἰς τοῦθ᾽ ὃ δεῖται πρὸς τὴν αὐτοῦ ἐνέργειαν. Ἐνέργεια δὲ ἰδία τοῦ οὐρανίου σώματος, ἡ κυκλικὴ κίνησις, πρὸς ἣν δεῖται νοητῆς οὐσίας. Οὐ γὰρ ἡ τοιάδε κίνησις δύναται ἕπεσθαι ἑτέρῳ εἴδει σωματικῷ, ὥσπερ ἡ τῶν βαρέων καὶ τῶν κούφων κίνησις· ἐδέησε γὰρ αὐτὴν κίνησιν παύσασθαι, ἐπειδὰν ἀφίκηται, εἴς τί πῃ ὡρισμένον, ὅπερ συμβαίνει κἀν τοῖς βαρέσι καὶ τοῖς κούφοις· ὃ ψεῦδος εἶναι φαίνεται. Λείπεται τοίνυν τὰ οὐράνια σώματα ἔχειν οὐσίας νοητὰς ἑαυταῖς ἡνωμένας.**

**25-28** Ὃ – δευτέρῳ] Ar., De coel. II, 292b17-19: Μάλιστα μὲν γὰρ ἐκείνου τυχεῖν ἄριστον πᾶσι τοῦ τέλους· εἰ δὲ μή, ἀεὶ ἄμεινόν ἐστιν ὅσῳ ἂν ἐγγύτερον ᾖ τοῦ ἀρίστου.

**23** τῷ] sic P; intellige τὸ **25** ἀνθρώπειον] ἀνθρωπεῖον P **33** φυσικὴν] φυσικὸν P **36** ἑτέρῳ] sic P (aliquam Aq.) **37** αὐτὴν] sic P; intellige ἂν τὴν?

[6.5] Χωρὶς δὲ τούτων, πᾶν ὅπερ ἔν τινι θέσει ὂν κινεῖται φυσικῶς ἐν τῇ αὐτῇ θέσει ὄν, οὐχ οἷόν τε ἠρεμεῖν εἰμὴ βίᾳ· ὥσπερ τὸ κοῦφον καὶ τὸ βαρὺ ἔξω τοῦ ἰδίου που διατελῶν. Ἀλλ’ εἰ ἡ τοῦ οὐρανοῦ κίνησις εἴη ἀπό τινος εἴδους φυσικοῦ, ἀναγκαῖον, ἐν ὁτῳδήποτε ποῦ ἂν ᾖ, κινεῖσθαι φυσικῶς. Ἐν ᾡτινιοῦν ἄρα ποῦ τεθέν, οὐχ ἠρεμήσει εἰμὴ βίᾳ. Οὐδὲν δὲ βίαιον δύναται εἶναι ἀΐδιον. Οὐκ ἐς ἀεὶ τοίνυν ἐστήξει μετὰ τὴν τῆς κρίσεως ἡμέραν, ὥσπερ πίστει δεχόμεθα. Ἐπεὶ τοίνυν τοῦτ’ ἔστιν ἄτοπον, ἀναγκαῖον φαίνεται εἶναι τὸν | οὐρανὸν κινεῖσθαι κινήσει θελητικῇ. Καὶ ταύτῃ ἕπεται τὸν οὐρανὸν εἶναι ἔμψυχον.

P 289[r]

[6.6] Ἔτι, ἐν παντὶ γένει τὸ ὄν, καθ’ αὑτὸ πρότερόν ἐστι τοῦ δι’ ἄλλο. Ἀλλ’ ὁ οὐρανός ἐστι πρῶτον ἐν τῷ τῶν κινητῶν γένει. Ἄρ’ ἔστι καθ’ αὑτὸν κινούμενος, ὡσὰν κινῶν ἑαυτόν. Πᾶν δὲ κινοῦν ἑαυτὸ διαιρεῖται εἰς δύο μοίρας, ὧν μία μέν ἐστι κινοῦσα κατ’ ὄρεξιν, ὡς ἡ ψυχή, ἄλλη δὲ κινουμένη, ὡς τὸ σῶμα. Τὸ ἄρα οὐράνιον σῶμα ἐμψύχωται.

[6.7] Παρὰ ταῦτα, οὐδὲν τῶν πάντῃ ἀπὸ ἐξωτερικοῦ κινοῦντος κινουμένων, ἔχει κίνησιν φυσικήν. Ἐπεὶ τοίνυν ἡ οὐράνιος κίνησίς ἐστι δι’ οὐσίας νοητῆς, κατὰ γὰρ τὸν Αὐγουστῖνον ἐν τῷ Περὶ Τριάδος τρίτῳ ὁ Θεὸς διοικεῖται τὴν σωματικὴν οὐσίαν διὰ τῆς νοητῆς, εἰ ἐκείνη ἡ οὐσία μὴ ἑνοῖτο τῷ οὐρανῷ, ἀλλ’ εἴη παντάπασιν ἐξωτερική, ἡ οὐράνιος κίνησις οὐκ ἔσται φυσική. Ὅπέρ ἐστιν ἐναντίον τῷ Φιλοσόφῳ ἐν τῷ Περὶ Οὐρανοῦ πρώτῳ.

**46** Οὐδὲν – ἀΐδιον] Ar., De coel. II, 286a17-18: οὐ γὰρ ἂν ἦν ἀΐδιος ἡ κίνησις· οὐθὲν γὰρ παρὰ φύσιν ἀΐδιον. **50** ἐν – ἄλλο] Ar., Phys. VIII, 257a30-31: τὸ γὰρ αὐτὸ καθ' αὑτὸ ὂν ἀεὶ πρότερον αἴτιον τοῦ καθ' ἕτερον καὶ αὐτοῦ ὄντος. **52-54** Πᾶν – ἐμψύχωται] vide in apparatu fontium [3.4].29-31. **57-58** κατὰ – νοητῆς] Aug., De Trin. III, cap. 4, n. 9 (PL 42, col. 873): Sed quemadmodum corpora crassiora et inferiora per subtiliora et potentiora quodam ordine reguntur. **60-61** ὅπέρ – πρώτῳ] cf. Ar., De coel. I, 268b14-16: Πάντα γὰρ τὰ φυσικὰ σώματα καὶ μεγέθη καθ' αὑτὰ κινητὰ λέγομεν εἶναι κατὰ τόπον· τὴν γὰρ φύσιν κινήσεως ἀρχὴν εἶναί φαμεν αὐτοῖς.

**42** Hic post ὥσπερ Aq. habet: corpus **43** κίνησις] κίνησιν M **44** τινος] deest Aq. **46** ἐς ἀεὶ] ὡσανεὶ M | ἐστήξει] sic P (quiescet celum Aq.) **48** εἶναι] sic P (dicere Aq.) **52** κινούμενος] sic P, M; intellige κινούμενον | ὡσὰν] ὡς ἂν P

**[6.8] Ἔτι, ἐκείνη ἡ νοητὴ οὐσία ἡ κινοῦσα τὸν οὐρανόν, εἰ εἴη ἐξωτερικὴ μόνον, οὐχ οἷόν τε λέγεσθαι κινεῖν τὸν οὐρανὸν θελήσει μόνῃ. Τὸ γὰρ αὐτῆς θέλειν οὕτως ἔσται τὸ δρᾶν αὐτῆς· ὅπέρ ἐστι μόνου τοῦ Θεοῦ. Δεήσει τοίνυν προστιθέναι τὶ πρὸς τὸ κινεῖν, εἴτουν τὴν ἑαυτῆς δύναμιν. Καὶ ταύτῃ, τῆς αὐτῆς δυνάμεως οὔσης πεπερασμένης, ἕπεται συμβῆναι αὐτῇ κάμνειν καὶ ἀπαγορεύειν κατὰ τὸ κινεῖν ἐν μήκει χρόνου ὑπερφυεῖ˙ ὅπέρ ἐστιν ἄτοπον, καὶ μάλιστα τοῖς τιθεμένοις ἀίδιον τὴν τοῦ οὐρανοῦ κίνησιν. Ἆρ’ ἡ νοητὴ οὐσία ἡ τὸν οὐρανὸν κινοῦσα ἐστὶν αὐτῷ ἡνωμένη.**

**[6.9] Ἔτι, ὡς φέρεται ἐν τῷ τρίτῳ τῶν Φυσικῶν, οἱ τὰς προσγειοτέρας σφαῖρας κινοῦντες** κινοῦνται κατὰ συμβεβηκός, **ἀλλ’ οὐχ ὁ καὶ τὴν ὑπάτην σφαῖραν κινῶν, ἀλλ’ ὁ ταυτηνὶ τὴν σφαῖραν κινῶν ἥνωται αὐτῇ ὡς κινῶν. Οἱ τὰς προσγειοτέρας ἄρα σφαῖρας κινοῦντες ἑνοῦνται αὐταῖς οὐ μόνον ὡς κινοῦντες, ἀλλὰ καὶ ὡς εἴδη. Καὶ ταύτῃ τοὐλάχιστον, αἱ προσγειότεραι σφαῖραί εἰσιν ἔμψυχαι.**

**[6.10] Ἔτι, ὡς ἐν τῷ ὑπομνήματι τοῦ ἑνδεκάτου τῶν Μετὰ τὰ φυσικὰ φέρεται, αἱ χωρισταὶ οὐσίαι τὴν ἄριστον εἰλήχασι λῆξιν τῶν δυνατῶν κληροῦσθαι αὐταῖς˙ καὶ τοῦτ’ ἐστίν, ἵν’ ἑκάστη αὐτῶν κινῇ τὸ οὐράνιον σῶμα, καὶ ὡς ποιοῦσα καὶ ὡς τέλος. Οὐκ ἂν δὲ τοῦτ’ εἴη, εἰ μὴ ὁπωστιοῦν αὐταῖς ἑνοῖντο. Τοῖς οὐρανίοις ἄρα σώμασίν εἰσιν ἡνωμέναι αἱ ἀσώματοι οὐσίαι. Καὶ ταύτῃ τὰ οὐράνια σώματα δοκεῖ ἐμψυχῶσθαι.**

**66-67** ἕπεται – ὑπερφυεῖ] Ar., De coel. II, 284a16-17: πᾶν γὰρ τὸ τοιοῦτον ἐπίπονον, ὅσῳπερ ἂν ἀϊδιώτερον ᾖ, καὶ διαθέσεως τῆς ἀρίστης ἄμοιρον. **70-71** ὡς – συμβεβηκός] Ar., Phys., non III sed VIII, 259b28-31: οὐκ ἔστιν δὲ τὸ αὐτὸ τὸ κινεῖσθαι κατὰ συμβεβηκὸς ὑφ' αὑτοῦ καὶ ὑφ' ἑτέρου˙ τὸ μὲν γὰρ ὑφ' ἑτέρου ὑπάρχει καὶ τῶν ἐν τῷ οὐρανῷ ἐνίαις ἀρχαῖς, ὅσα πλείους φέρεται φοράς, θάτερον δὲ τοῖς φθαρτοῖς μόνον. **76-77** ὡς – φέρεται] Av., Comm. in Metaph. XI, comm. 48 (f. 332$^{v}$.L-M): Si autem posuerimus quod impossibile est ut sit corpus coeleste, quod non habet iuvamentum in motione stellae alicuius, et posuerimus quod principia moventia impossibile est ut sint nisi in dispositione meliori, quod non accidit eis passio materiae, cum sint entia per se non in materia, et esse eorum in dispositione meliori est ut sint moventia, necesse est ut via numerandi ista principia sit via ista, scilicet ex numeratione motuum stellarum.

**64** τὸ] τῷ P **65** εἴτουν – δύναμιν] deest Aq. **67** ὑπερφυεῖ] deest Aq. **68** τοῦ οὐρανοῦ] deest Aq. **70-75** Ἔτι – ἔμψυχαι] σφαῖρ- passim scripsit σφέρ- M **76** ὑπομνήματι] sic P, M (Commentator Aq.) | ἄριστον] ἀχώριστον M (optima Aq.) **77** φέρεται] P, M (dicit Aq.) **81** ἐμψυχῶσθαι] sic P; intellige ἐψυχῶσθαι

**[6.11] Ἔτι, τὸ Ὑπόμνημα ἐν τῷ αὐτῷ βιβλίῳ διαρρήδην φησὶ τὰ οὐράνια σώματα ἐμψυχῶσθαι.**

**[6.12] Ἔτι, οὐδὲν δρᾷ ὑπὲρ τὸ ἑαυτοῦ εἶδος· τὸ γὰρ ἀποτέλεσμα ἀνέφικτον κρεῖττον ὑπάρχειν τῆς ἑαυτοῦ αἰτίας. Ἡ δὲ ζῶσα οὐσία ἐστὶ κρείττων τῆς μὴ**
P 289v **ζώσης, ὥς φησιν Αὐγουστῖνος | ἐν τῷ βιβλίῳ, τῷ Περὶ τῆς Φύσεως τοῦ Οὐρανοῦ. Ἐπεὶ τοίνυν τὰ οὐράνια σώματα προτείνει ζωήν, μάλιστα τοῖς ἐκ σηπεδόνος γινομένοις ζῴοις, δοκεῖ τὰ οὐράνια σώματα ζῆν καὶ ἐμψυχῶσθαι.**

**[6.13] Ἄνευ δὲ τούτων, τὸ Ὑπόμνημα φησὶν ἐν τῷ Περὶ τῆς οὐρανοῦ οὐσίας βιβλίῳ τὴν κυκλικὴν κίνησιν ἴδιον εἶναι τῆς ψυχῆς. Μάλιστα τοίνυν ἔοικεν ἐκεῖνα τὰ σώματα λαχεῖν ψυχάς, οἷς ἐστι πρὸς φύσεως τὸ κινεῖσθαι κυκλικῶς. Τοιαῦτα δέ εἰσι τὰ οὐράνια σώματα. Ἄρα ἐμψύχωται.**

**[6.14] Ἔτι, τὸ αἰνεῖν καὶ διηγεῖσθαι καὶ ἀγαλλιᾶσθαι οὐ συνίσταται, εἰμὴ τῇ ἐμψύχῳ φύσει καὶ λογιζομένῃ. Ἀλλὰ τὰ προειρημένα ἀνατίθενται τῷ οὐρανῷ, ἐν τῇ ἱερᾷ Γραφῇ, κατ' ἐκεῖνο τὸ ἐν τοῖς Ψαλμοῖς·** αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν· **καὶ τὸ** οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ**, κἀν τῷ ἐνάτῳ τῆς Ἀποκαλύψεως· ἀγαλλιῶ** ἐπ' αὐτ**ὴν ὁ** οὐραν**ός. Οἱ οὐρανοὶ ἄρα ἐμψύχωνται.**

**82-83** τὸ – ἐμψυχῶσθαι] Av., Comm. Metaph. XI, comm. 25 (f. 310r.B-C): Deinde dicit "et post hoc erunt ista anima", etc. et dicit hoc, quia substantiarum quaedam sunt naturales et quaedam animatae. animatae autem videntur esse principia substantiarum naturalium, et quasi dicat. et post hunc sermonem dicamus, quod principia omnium substantiarum forte est anima, et corpus: aut intellectus ex anima, et desyderium tantum, et innuit corpora coelestia. quia enim sunt principia animatorum et non animatorum, fuit necesse ut essent animata, et ut principia eorum sint corpus et anima. **85-87** Ἡ – Οὐρανοῦ] Aug., De ver. rel., cap. 29, n. 52: Quaelibet namque viva substantia cuilibet non vivae substantiae, naturae lege praeponitur. **90-91** τὸ – ψυχῆς] Av., De subst. orb., cap. 2 (f. 6r.B): Unde necesse est ut principium motus coelestis corporis sit generis animae tantum. et quod motus, quem habet circulariter, sit motus propriae animae, secundum quod est anima. **97-98** αἰνεῖτε – οὐρανῶν] Ps. 148.4: αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. **97** οἱ – Θεοῦ] Ps. 18, 2: Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. **99** ἀγαλλιῷ – οὐρανός] Apoc. 18.2: Εὐφραίνου ἐπ' αὐτῇ, οὐρανέ, καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.

**82** ὑπόμνημα] sic P (Commentator Aq.) **83** ἐμψυχῶσθαι] sic P; intellige ἐψυχῶσθαι **84** ὑπὲρ] sic P (extra Aq.) **86-87** Περὶ – Οὐρανοῦ] sic P (De vera religione Aq.) **89** ἐμψυχῶσθαι] sic P; intellige ἐψυχῶσθαι **93** κυκλικῶς] φυσικῶς M (circulariter Aq.) **100** ἐμψύχωνται] sic P; intellige ἐψύχωνται

**[6.15] Ἀλλ’ ἀντίξοόν ἐστι τὸ ὑπὸ τοῦ Δαμασκηνοῦ λεγόμενον [II libro]˙** μηδέ**νας** ἐμψύχ**ους** οὐρανοὺς **μηδὲ** φωστῆρας **ὑπάρχειν˙** ἄψυχοι γάρ εἰσι καὶ αἰσθή**σεως ἄμοιροι.**

**[6.16] Ἔτι, τὰ σώμασι συναπτόμενα οὐ διίστανται ἀπ’ αὐτῶν εἰμὴ τῷ θανάτῳ. Τὰ δ’ οὐράνια σώματα οὐ δύνανται εἶναι θνητά, ἄφθαρτα ὄντα. Εἴ τινες τοίνυν οὐσίαι νοηταὶ συνάπτοιντο αὐτοῖς ὡς ψυχαί, ἀιδίως συνδεθήσονται αὐτοῖς. Ὃ δοκεῖ ἄτοπον, τό τινας ἀγγέλους αἰδίως σώμασιν ἀποτετάχθαι.**

**[6.17] Ἔτι, ὁ οὐράνιος σύλλογος τῶν μακαρίων ἔκ τε τῶν ἀγγέλων καὶ τῶν ψυχῶν συνέστηκεν. Ἀλλ’ αἱ τῶν οὐρανίων ψυχαί, εἴπέρ εἰσιν οἱ οὐρανοὶ ἔμψυχοι, εἰς οὐδετέραν τελέσουσι φοράν, καὶ ἔσονται λοιπὸν φύσεις λογικαί τινες μὴ δυνάμεναι ἐν μετουσίᾳ γενέσθαι τοῦ μακαρίου συλλόγου, ὅπερ εἶναι δοκεῖ ἀθέμιτον.**

**[6.18] Χωρὶς δὲ τούτων, πᾶσα φύσις λογικὴ ἐπὶ τῆς αὐτῆς φύσεως θεωρουμένη, ἐνδέχεται ἁμαρτάνειν. Εἴ τινες τοίνυν λογικαὶ κτίσεις τοῖς οὐρανίοις σώμασιν ἥνωνται, οὐδὲν ἂν ἐκώλυσεν ἐνίας αὐτῶν ἁμαρτεῖν˙ καὶ ταύτῃ ἕπεταί τι τῶν οὐρανίων σωμάτων, κινεῖσθαι πονηρῷ πνεύματι, ὃ δοκεῖ ἕωλον.**

**[6.19] Ἔτι, τὰς ἐπικουρίας τῶν μακαρίων πνευμάτων δάκρυσιν ἐπιβοώμεθα. Εἴ τινα τοίνυν πνεύματα σώμασιν οὐρανίοις ἥνωντο, ἐφόσον μὴ θέμις τιθέναι ταῦτα πονηρά, ἀλλ’ ὡς μακάρια, ὡσὰν διακονούμενα τῷ Θεῷ, ἐν τῇ τῶν σωματικῶν διοικήσει ἕψεται τὴν αὐτῶν προστασίαν μετὰ δακρύων παραιτεῖσθαι. Ἀλλά τις δοκεῖ φρενοβλάβεια, εἴ τις προσαγορεύων τὸν ἥλιον ἢ τὴν σελήνην λέγει· «Εὔχου ὑπὲρ ἡμῶν». Οὐκ**
P. 290r **ἄρα ἀξιωτέον | πνεύματά τινα σώμασί τισιν εἶναι ἡνωμένα.**

**101-103** Δαμασκηνοῦ – ἄμοιροι] Dam., De fid. orth. II, cap. 6 (PG 94, col. 885A): Μηδεὶς δὲ ἐμψυχωμένους τοὺς οὐρανούς, ἢ τοὺς φωστῆρας ὑπολαμβανέτω· ἄψυχοι γάρ εἰσι, καὶ ἀναίσθητοι.

**102** μηδένας] sic P; intellige μηδείς (nullus Aq.) | μηδὲ] μὴ δὲ P | ὑπάρχειν] sic P (existimet Aq.; Prochoros legit existent?) **104** τὰ – συναπτόμενα] sic P, M (anima unita corpori Aq.) | σώματα] σώμασι M | διίστανται] sic P (separatur Aq.) **107** ἀιδίως] intell. ἀιδίοις (σώμασιν); ἀιδίους P (attractio ex ἀγγέλους) **110** ψυχῶν] ἀψύχων M (animis Aq.) **111** τελέσουσι] sic P, M (continentur Aq.) **112** τοῦ – συλλόγου] sic P, M (beatudinis Aq.); Prochoros societatis beatorum? lexit **117** ἕπεταί τι] ἕπεται τί P **122** τῶν σωματικῶν] sic P, M (naturae corporeae Aq.) **123** φρενοβλάβεια] sic P, M (absurdum Aq.) **125** ἡμῶν] pluralis modestiae

**[6.20] Ἔτι, ἡ** ψυχὴ συνέχει τὸ σῶμα **ᾧ ἑνοῦται, κατὰ τὸν Φιλόσοφον ἐν τῷ Περὶ ψυχῆς πρώτῳ. Εἰ τοίνυν τὰ οὐράνια σώματα ἐμψύχωνται, ἕπεταί τινα οὐσίαν νοητήν, συνέχειν τὸ οὐράνιον σῶμα ὅλον· ὅπέρ ἐστι τῆς ἐσχάτης ἀβελτηρίας, μόνης τῆς ἀκτίστου σοφίας λάχος τοῦτ᾽ ἀνῃρημένης, ἧς ἐκ προσώπου ἐν τῷ τοῦ Ἐκκλησιαστοῦ δεκάτῳ τετάρτῳ λέγεται· τὸν** γύρον τοῦ οὐρανοῦ μόνη **περιῆλθον.**

**[6.21] Ἀπόκρισις. Ῥητέον, ὅτι περὶ ταύτην τὴν ζήτησιν, διάφοροι γεγόνασι δόξαι, οὐχ ἧττον ἐν τοῖς ἀρχαίοις φιλοσόφοις ἢ τοῖς τῆς ἐκκλησίας διδασκάλοις. Ὁ μὲν δὴ Ἀναξαγόρας ἐνόμιζε τὰ οὐράνια σώματα, εἶναι ἄψυχα· ὅθεν καὶ παρὰ Ἀθηναίων ἀνῄρηται· εἴρηκε γὰρ** τὸν ἥλιον εἶναι λίθον ἡμμένον. **Πλάτων δὲ καὶ Ἀριστοτέλης καὶ οἱ τούτων ὀπαδοί, ἐνόμιζον τὰ οὐράνια σώματα ἔμψυχα. Ὁμοίως δὲ καὶ τῶν κατὰ τὴν ἐκκλησίαν διδασκάλων· Ὠριγένης μὲν ἠξίου ταῦτα τῆς τῶν ἐμψύχων μερίδος· ᾧ καὶ Κύριλλος ἠκολούθησεν, ὡς φαίνεται ἐν τῇ τοῦ Ἐκκλησιαστοῦ εἰς τὸ δεύτερον ἐξηγήσει·** περιιὼν **πάντα** κύκλῳ **διὰ**

**126-127** ἡ – πρώτῳ] Ar., De an. I, 411b6-9: τί οὖν δή ποτε συνέχει τὴν ψυχήν, εἰ μεριστὴ πέφυκεν; οὐ γὰρ δὴ τό γε σῶμα· δοκεῖ γὰρ τοὐναντίον μᾶλλον ἡ ψυχὴ τὸ σῶμα συνέχειν· ἐξελθούσης γοῦν διαπνεῖται καὶ σήπεται. 130-131 ὡς – περιῆλθον] Ecclesiasticus 24.8: γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη. **133-144** inter – Εὐχαριστίας] cf. Bas. Hom. in Hex. III (PG 29, col. 76A-B): Οὔτε γὰρ οἱ οὐρανοὶ ἔμψυχοι, ἐπειδὴ Διηγοῦνται δόξαν Θεοῦ· οὔτε τὸ στερέωμα ζῶόν ἐστιν αἰσθητικόν, ἐπειδὴ Ἀναγγέλλει ποίησιν τῶν χειρῶν αὐτοῦ. **134-136** Ὁ – ἡμμένον] cf. Aug., De civ. XVIII, cap. 41, n. 2 (PL 41, col. 601): unde miror cur Anaxagoras reus factus sit, quia solem esse dixit lapidem ardentem, negans utique Deum. **136-137** Πλάτων – ἔμψυχα] De Platone, cf. Aug., De civ. XIII, cap. 16, n. 2 (PL 41, col. 388): Et hoc quidem utrum Plato verum de sideribus dicat, alia quaestio est: neque enim ei continuo concedendum est, globos istos luminum sive orbiculos luce corporea super terras, seu die, seu nocte fulgentes, suis quibusdam propriis animis vivere, eisque intellectualibus et beatis, quod etiam de ipso universo mundo, tanquam uno animali maximo, quo cuncta cetera continerentur animalia, instanter affirmat; Boet. In Porph. Isag. II, cap. 5 (col. 93A); III, cap. 4 (col. 103A); IV, cap. 6 (col. 123B), 7 (col. 124B); Macr., In somn. Scip, I, cap. 14, no. 17-19; De Aristotele, De coel. II, 285a29-30: ὁ δ' οὐρανὸς ἔμψυχος καὶ ἔχει κινήσεως ἀρχήν; 298a18-21: Ἀλλ' ἡμεῖς ὡς περὶ σωμάτων αὐτῶν μόνον, καὶ μονάδων τάξιν μὲν ἐχόντων, ἀψύχων δὲ πάμπαν, διανοούμεθα· δεῖ δ' ὡς μετεχόντων ὑπολαμβάνειν πράξεως καὶ ζωῆς. **138-139** Ὠριγένης – μερίδος] Or., De princ. I, cap. 3 (PG 11, col. 173A): Aliis enim qui vocantur planetae, moventur ordinibus, aliis hi quos ἀπλανεῖς vocant. In quo id manifestissime ostenditur, quod neque quae animantia sunt, possunt aliquando esse sine motu. **140-141** Ἐκκλησιατοῦ – πνεύματος] Eccl., non 2 sed 1.6: κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. **141-142** Δαμασκηνὸς – γέγονεν] vide in apparatu fontium [6.15].101-103.

**127** ἐμψύχωνται] sic P; intellige ἐψύχωνται **128-129** τῆς – ἀβελτηρίας] sic P (absurdum Aq.) **138-139** ταῦτα – μερίδος] sic P (corpora celestia animata Aq.) **139-141** ᾧ – πνεύματος] Hieronimus, ut patet in quadam Glosa super Eccl. I "Lustrans universa in circuitu pergit spiritus". Aq.

πνεύματος. Ὁ δ’ αὖ Δαμασκηνὸς ὑποτίθεται τὰ οὐράνια σώματα εἶναι ἄψυχα, ὡς τῇ προεισαχθείσῃ χρήσει δῆλον γέγονεν. Ὁ δ’ Αὐγουστῖνος ἄδηλον καταλείπει ἔν τε τῷ δευτέρῳ τῆς Εἰς τὴν Γένεσιν ἐξηγήσεως καὶ ἐν τῷ Περὶ Εὐχαριστίας.

Ἑκατέρα δὲ δόξα οὐκ ἀπορεῖ λόγων ἀποδεικτικῶν. Ἡ μὲν γὰρ ἔννοια τῆς τῶν οὐρανίων σωμάτων εὐγενείας ἐπάγεται πρὸς τὸ ταῦτ’ ἔμψυχον τιθέναι. Ἐν γὰρ τῷ τῶν ὄντων γένει τὰ ζῶντα τῶν μὴ ζώντων προὔχει, ἡ δ’ αὖ ἔννοια τῆς εὐγενείας τῶν νοητῶν οὐσιῶν εἰς τὴν ἐναντίαν ἡμᾶς προτρέπεται. Αἱ γὰρ ὑπερκείμεναι νοηταὶ οὐσίαι οὐ πεφύκασιν ἔχειν τὰς τῶν ψυχῶν ἐνεργείας εἰ μὴ τὰς οἰκείας τῷ νῷ. Αἱ γὰρ ἄλλαι τῆς ζωῆς ἐνέργειαί εἰσι τῆς ψυχῆς ἐνέργειαι, ἐφόσον εἶδος σώματος ἐστὶ φθαρτοῦ καὶ μεταβλητοῦ· εἰσὶ γὰρ σύν γέ τινι μεταβολῇ καὶ ἀλλοιώσει σωματικῇ οὐδὲ ἔοικε δεῖσθαι τὸν νοῦν τῶν ὑπερκειμένων οὐσιῶν λαμβάνειν τὴν γνῶσιν ἀπὸ τῶν αἰσθητῶν, ὥσπερ ὁ ἡμέτερος νοῦς. Εἰ δὴ μηδεμία τίς ἐστιν ἐν αὐταῖς ἐκ τῶν τῆς ζωῆς ἐνεργειῶν εἰμὴ τὸ νοεῖν καὶ θέλειν, ἃ οὐ δεῖται σωματικῶν ὀργάνων, τὸ τούτων ἀξίωμα τὴν πρὸς τὸ σῶμα ἕνωσιν παραιτεῖσθαι δοκεῖ τῷ μεγέθει τῆς ὑπερβολῆς. Τοῖν δυοῖν δὲ τούτοιν θεωρημάτοιν τὸ δεύτερον ἰσχυρότερόν ἐστιν ἢ τὸ πρότερον. Ἡ γὰρ τῆς ψυχῆς καὶ τοῦ σώματος σύνοδος οὐκ αἰτίαν εἴληχε τὴν τοῦ
P 290v σώματος βελτίωσιν, ἀλλὰ τὴν τῆς ψυχῆς, ᾗ σώματος δεῖται | πρὸς τὴν αὐτῆς

**142-143** Ὁ – Ἐξηγήσεως] Aug., De gen. ad litt. II, cap. 18, n. 38 (PL 34, col. 279): Solet etiam quaeri, utrum caeli luminaria ista conspicua corpora sola sint, an habeant rectores quosdam spiritus suos: et si habent, utrum ab eis etiam vitaliter inspirentur, sicut animantur carnes per animas animalium, an sola sine ulla permixtione praesentia. Quod licet in praesenti non facile comprehendi possit; arbitror tamen in processu tractandarum Scripturarum opportuniora loca posse occurrere, ubi nobis de hac re, secundum sanctae auctoritatis regulas, etsi non ostendere certum aliquid, tamen credere licebit. Nunc autem servata semper moderatione piae gravitatis, nihil credere de re obscura temere debemus; ne forte quod postea veritas patefecerit, quamvis libris sanctis sive Testamenti Veteris sive Novi nullo modo esse possit adversum, tamen propter aniorem nostri erroris oderimus. **143-144** ἐν – Εὐχαριστίας] Aug., Enchir., cap. 28 (PL 40, col. 259): ...dicant qui possunt, si tamen possunt probare quod dicunt: ego me ista ignorare confiteor. Sed ne illud quidem certum habeo, utrum ad eamdem societatem pertineant sol et luna et cuncta sidera: quamvis nonnullis lucida corpora esse, non cum sensu vel intelligentia, videantur. **147-148** τὰ – προὔχει] vide in apparatu fontium [6.12].85-87,

**144** Περὶ Εὐχαριστίας] sic P (Encheridion Aq.) **145** οὐκ – ἀποδεικτικῶν] sic P (rationem probabilitatis habet Aq.) **146** εὐγενείας] sic P (necessitatis Aq.). Prochoros legit nobilitatis? cf. l. 148 εὐγενείας (nobilitatis Aq.) **150** τῶν ψυχῶν] animae Aq. **157** τῷ – ὑπερβολῆς] deest Aq. **160** αἰτίαν – βελτίωσιν] sic P (est propter corpus, ut corpus scilicet nobilitetur Aq.)

**τελειότητα, ὥσπερ ἐν τοῖς ἄνω εἴρηται. Εἰ δέ τις τοῦ βάθους μᾶλλον ἅψοιτο τῆς προκειμένης θεωρίας, ἢ οὐδεμίαν ἢ πάνυ μικρὰν ἐν ἀμφοτέραις ταῖς δόξαις εὑρήσει τὴν διαφωνίαν. Σκεπτέον δὲ οὕτως. Οὐ γὰρ οἷόν τε λέγειν τὴν κίνησιν τοῦ οὐρανίου σώματος ἕπεσθαι εἴδει σωματικῷ, ὥσπερ ἡ τοῦ πυρὸς ἀκολουθεῖ κίνησις. Δῆλον γὰρ ὅτι φυσικὸν ἓν εἶδος οὐκ ἔχει, εἰμὴ πρὸς ἓν τὴν ῥοπήν. Ὁ δὲ τῆς κινήσεως λόγος διαμάχεται τῷ τῆς ἑνάδος λόγῳ, ἐκ γὰρ τοῦ  τῆς κινήσεως λόγου ἐστί, τό τι ἄλλως ἔχειν νῦν καὶ πρότερον˙ ὅθεν οὐκ ἐπικλίνεται τὸ φυσικὸν εἶδος πρὸς τὴν κίνησιν δι’ αὐτήν, ἀλλὰ διὰ τὸ εἶναι ἕν τινί που, οὗ ληφθέντος ἠρεμεῖ ἡ κίνησις˙ ὅπερ κἀν τῇ οὐρανίῳ κινήσει συνέβαινε μέν, εἰ φυσικῷ εἴδει εἵπετο. Δεῖ τοίνυν λέγειν τὴν οὐράνιον κίνησιν εἶναι ἀπό τινος οὐσίας νοούσης. Τέλος γὰρ τῆς τοιαύτης κινήσεως οὐ δύναται εἶναι εἰμή τι ἀγαθὸν χωριστόν, δι’ ὃ κινεῖ ἡ νοοῦσα οὐσία, ἢ κινεῖ τὸν οὐρανόν, ἐφ ᾧ δηλαδὴ τυχεῖν τῆς ὁμοιότητος ἐν τῷ ἐνεργεῖν καὶ πράγματι ἕν τινι εἰκὼν τὸ δυνάμει περιεχόμενον ἐν ἐκείνῳ τῷ νοητῷ καὶ ἀγαθῷ, ἔτι τε μάλιστα ἡ συμπλήρωσις τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ, δι’ οὓς καὶ τὰ ἄλλα πάντα εἶναι δοκεῖ.**

**Ταύτῃ τοίνυν ἔσται δισσὴ τάξις τῶν νοητῶν οὐσιῶν. Αἱ μὲν γὰρ ἔσονται κινοῦσαι τὰ οὐράνια σώματα, αἵ καὶ συνάπτονται αὐτοῖς, ὥσπερ οἱ κινοῦντες τοῖς κινουμένοις· καθαπεροῦν καὶ ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ, ὅτι πάντα τὰ οὐράνια σώματα ἰθύνεται, διὰ πνεύματος λόγῳ ζῶντος˙ ὃ φέρεται κἀν τῷ τετάρτῳ τῶν Διαλόγων**

**165** ὥσπερ – κίνησις] cf. Ar., Phys. IV, 214b14: οἷον τῷ πυρὶ μὲν ἄνω. **180-182** ὁ – ζῶντος] vide supra in apparatu fontium [6.7].57-58 **182-183** ὃ – Γρηγορίου] Greg. Magn., Dialog. IV, cap. 6 (col. 327B): Ἀλλὰ τὴν ζωὴν τῆς ψυχῆς ἐν τῷ σώματι μενούσης, δύναμαι εἰκάσαι ἐξ αὐτῶν τῶν τοῦ σώματος κινημάτων. εἰ μὴ γὰρ παρῆν τῷ σώματι ἡ ψυχή, τὰ μέλη τοῦ αὐτοῦ σώματος κινεῖσθαι οὐκ ἠδύναντο.

**161-162** ἅψοιτο – θεωρίας] sic P, M (intime consideret Aq.) | οὐδεμίαν] nullam | μικρὰν] modicam **163** εὑρήσει] εὑρίσει M **164** εἴδει σωματικῷ] aliquam formam corpoream Aq. 164-165 ὥσπερ – κίνησις] sicut motus sursum consequitur formam ignis **167** τό τι] τὸ τὶ P, M **172** μὴ τὶ] μή τι P, M. Post ἀγαθὸν Aq. habet: intelligibile **170** συνέβαινεν μέν] συνέβαινεν ἂν M | εἶδος] aliquam formam Aq. **173** δι’ ὃ] διὸ P **175** ἕν τινι εἰκὼν] πράγματι ἐξενεγκεῖν M (ut explicet) | καὶ] deest Aq. | ἔτι] ἔστι M

**Γρηγορίου. Ἔνιαι δὲ εἰσί, τέλη τούτων τῶν κινήσεων, αἳ πάντῃ εἰσὶ χωρισταὶ καὶ σώμασιν ἀσύναπτοι· ἃ δοκεῖ ἀποχρῆναι πρὸς τὸ σῴζεσθαι τὴν Πλάτωνος δόξαν καὶ Ἀριστοτέλους. Καὶ περὶ μὲν Πλάτωνος πρόδηλον· καὶ γὰρ ὁ Πλάτων, ὥσπερ εἴρηται, οὐδὲ τὸ ἀνθρώπινον εἴρηκε σῶμα ἄλλως ἡνῶσθαι ἢ ἐφόσον ἡ ψυχὴ συνάπτεται αὐτῷ ὡς κινοῦσα. Ἐκ δὲ τῶν εἰρημένων Ἀριστοτέλει, φανερόν ἐστι μὴ τίθεσθαι ἐν τοῖς οὐρανίοις σώμασίν τινα τῶν τῆς ψυχῆς δυνάμεων, εἰμὴ τὴν νοεράν, τὸν δὲ νοῦν κατ’ αὐτὸν οὐδενὸς σώματος εἶναι τὸ ἐνεργείᾳ. Τὸ δὲ λέγειν περαιτέρω τὰ οὐράνια σώματα, τούτῳ τῷ τρόπῳ ἐμψυχῶσθαι, ὃν καὶ τὰ ὑποβεβηκότα, ἃ** P 291$^{r}$ **ψυχῇ αὔξονται καὶ τρέφονται καὶ αἰσθάνονται, διαμάχεται τῷ ἀφθάρτῳ τῶν οὐρανίων | σωμάτων. Οὕτω τοίνυν ἀπιστητέον ἂν εἴη, ἐμψυχῶσθαι τῷ τῶν ὑποβεβηκότων τρόπῳ. Οὐκ ἀπιστέον δὲ ὅμως τὰ εἰρημένα σώματα ἐμψυχῶσθαι, εἰ διὰ τῆς ἐμψυχώσεως οὐδὲν ἄλλο νοοῖτο, ἢ ἡ ἕνωσις τοῦ κινοῦντος πρὸς τὸ κινούμενον· ὧν δὴ δύο τρόπων ὁ Αὐγουστῖνος ἔοικεν ἁπτόμενος ἐν τῷ δευτέρῳ τῶν Εἰς τὴν Γένεσιν. Φησὶ γάρ·** εἴωθε ζητεῖσθαι, πότερον οἱ φωστῆρες τοῦ οὐρανοῦ οὗτοι οἱ διαφανεῖς, σώματα μόνα εἰσὶν, ἢ ἔχουσί τινας ἡγεμόνας ἴδια πνεύματα· καί, εἰ ἔχουσι, πότερον ζωτικῶς δι’ αὐτῶν ἐμπνέονται, ὥσπερ αἱ σάρκες διὰ τῶν ψυχῶν τῶν ζῴων. **Ἀλλ’ εἰ ἑκάτερα ἄπορα καταλείπεται, ὡς διὰ τῶν ἑπομένων φαίνεται, ἀλλὰ κατὰ τὰ προειρημένα ῥητέον ἂν εἴη ὅτι ἔχουσι μὲν πνεύματα ἐφεστῶτα αὐτῶν, ἀφ’ ὧν μέντοι γε οὐχ οὕτω ψυχοῦνται, ὥσπερ τὰ ὑποβεβηκότα ζῷα ἀπὸ τῶν ἰδίων ψυχῶν.**

**185-188** Καὶ – κινοῦσα] cf. Ar., De an. II, 413a8-9: ἔτι δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ <ἢ> ὥσπερ πλωτὴρ πλοίου. **188-190** Ἐκ – νοεράν] cf. Ar., De an. III, 434b3-8: οὐχ οἷόν τε δὲ σῶμα ἔχειν μὲν ψυχὴν καὶ νοῦν κριτικόν, αἴσθησιν δὲ μὴ ἔχειν, μὴ μόνιμον ὄν, γενητὸν δέ – ἀλλὰ μὴν οὐδὲ ἀγένητον· διὰ τί γὰρ οὐχ ἕξει; ἢ γὰρ τῇ ψυχῇ βέλτιον ἢ τῷ σώματι, νῦν δ' οὐδέτερον· ἡ μὲν γὰρ οὐ μᾶλλον νοήσει, τῷ δ' οὐθὲν ἔσται μᾶλλον δι' ἐκεῖνο) – οὐθὲν ἄρα ἔχει ψυχὴν σῶμα μὴ μόνιμον <ὂν> ἄνευ αἰσθήσεως. **191-192** Τὸν – ἐνεργείᾳ] vide infra in apparatu fontium [9.X].X.X **198-202** ὧν – ζῴων] vide supra in apparatu fontium [6.21].142-143.

**183** τέλη] τέλει P, M | χωρισταὶ καὶ] deest P **184** ἀσύναπτοι] ἀσύναπται P, M. Post ἀσύναπτοι Aq. habet: Aliae vero uniuntur corporibus coelestibus per modum quo motor unitur mobili **185** ἃ] sic P, M (et hoc Aq.) **190** τίθεσθαι] posuit Aq. **192** ἐμψυχῶσθαι] sic P, M; intellige ἐψυχῶσθαι **193** αὔξονται καὶ] deest Aq. **195** ἐμψυχῶσθαι] sic P, M; intellige ἐψυχῶσθαι **196** εἰρημένα] sic P, M (coelestia Aq.) | ἐμψυχῶσθαι] sic P, M; intellige ἐψυχῶσθαι **201** εἰ] deest P **204** ῥητέον – ὅτι] εἰ μὲν εἴη τὶ ὃ P (dicendum est quod Aq.)

[6.22] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι τὸ οὐράνιον σῶμα ἅπτεται τῶν νοητῶν οὐσιῶν, ἐφόσον ἡ ἐσχάτη τάξις τῶν νοητῶν οὐσιῶν συνάπτεται τοῖς οὐρανίοις σώμασιν ὡς κινοῦσα.

[6.23] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι κατὰ τὴν δόξαν Ἀβερόου, ὁ οὐρανός ἐστι σύνθετος ἐξ ὕλης καὶ εἴδους, ὥσπερ τὸ ζῷον ἐν τοῖς ὑποβεβηκόσι. Ἀλλ' ὅμως ἐν ἑκατέροις ἡ ὕλη ὁμωνύμως λέγεται. Ἐν γὰρ τοῖς μετεώροις τῶν σωμάτων οὐκ ἔστι δύναμις πρὸς τὸ εἶναι ὥσπερ ἐν τοῖς ταπεινοτέροις, ἀλλὰ πρὸς τὸ ποῦ μόνον˙ ὅθεν αὐτὸ τὸ σῶμα ἐνεργείᾳ ὑπάρχον ἔστιν ὕλη, οὐδὲ δεῖται εἴδους, ὃ παρέξει αὐτῷ τὸ εἶναι ἐνεργείᾳ ὄν, ἀλλ' ὃ παρέξεται αὐτὸ κίνησιν μόνον. Καὶ ταύτῃ τὸ οὐράνιον σῶμα ἔχει κρεῖττον εἶδος ἢ τὸ ἀνθρώπινον σῶμα. Καὶ ἄλλως δέ. Εἰ γὰρ ῥηθείη, ὥσπερ ἔνιοι φασίν, ὅτι αὐτὸ τὸ οὐράνιον σῶμα ἐστὶ σύνθετον ἐξ ὕλης καὶ εἴδους [corporali], ἔτι καὶ τότε λέγειν οἷόν τε ὅτι ἐκεῖνο τὸ εἶδος τὸ σωματικὸν ἔσται κράτιστον, ἐφόσον ἐκεῖνό ἐστιν εἶδος καὶ ἐντελέχεια πληροῦσα ὅλην τὴν τῆς ὕλης δύναμιν οὕτως ὡς μηδεμίαν λείπεσθαι δύναμιν πρὸς ἄλλο εἶδος.

[6.34] Δι' οὗ λύσις ὑπανοίγνυται καὶ πρὸς τὸ τρίτον.

[6.35] Πρὸς δὲ τὸ τέταρτον ῥητέον ὅτι τὸ οὐράνιον σῶμα ἐξ αὐτοῦ τοῦ κινεῖσθαι διὰ νοητῆς οὐσίας ἕπεται κλίνεσθαι πρὸς αὐτὴν ὥσπερ πρὸς κινοῦν, καὶ οὐκ ἄλλως.

[6.36-37] Ὡς δὲ καὶ πρὸς τὸ πέμπτον καὶ ἕκτον ῥητέον.

[6.38] Πρὸς δὲ τὸ ἕβδομον ῥητέον, ὅτι ἡ οὐσία ἡ νοητὴ ἡ κινοῦσα τὸν οὐρανόν, ἔχει δύναμιν [naturalem] ὡρισμένην πρὸς τὴν τοῦ τοιοῦδε σώματος κίνησιν, παραπλησίως δὲ καὶ τὸ τοῦ οὐρανοῦ σῶμα, ἔχει φυσικὴν ἐπιτηδειότητα, ὡς τῇ τοιᾷδε κινήσει κινεῖσθαι. Καὶ κατατοῦτο ἡ τοῦ οὐρανοῦ κίνησις, ἐστὶ φυσική, εἰ καὶ εἴη δι' οὐσίας νοούσης.

**209** κινοῦσα] κινοῦσαι P **216** μόνον] μόνη P (solum Aq.) | κρεῖττον] sic P, M (nobiliorem Aq.) **218-219** ἔτι καὶ τότε] sic P, M (tunc adhunc Aq.) **221** μηδεμίαν] sic P (non Aq.) **223** τοῦ] deest P **223-224** ἐξ – κινεῖσθαι] sic P, M (ex hoc quod movetur Aq.)

**[6.39] Πρὸς τὸ ὄγδοον ῥητέον ὅτι ἐνδόξως εἴρηται τῷ τῆς θελήσεως ἐπιτάγματι τὴν νοητὴν οὐσίαν κινεῖν τὸ οὐράνιον σῶμα. Εἰ γὰρ καὶ ἡ** P 291v **σωματικὴ | ὕλη πρὸς τὴν εἰδικὴν μεταβολὴν οὐχ ὑπακούει τῷ κτιστῷ πνεύματι, ἀλλὰ μόνῳ τῷ Θεῷ, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ, τὸ ὑπακούειν μέντοι δύνασθαι πρὸς τὸ νεῦμα κατὰ τὴν ἐν τόπῳ μεταβολὴν καὶ ἐν ἡμῖν δῆλον, ἐν οἷς παραχρῆμα πρὸς τὸ τῆς βουλήσεως σύνθημα ἕπεται ἡ κίνησις τῶν σωματικῶν μελῶν. Εἰ μέντοι λόγου χάριν τῷ τῆς βουλήσεως συνθήματι προστεθείη καὶ τῆς δυνάμεως ἐπίρροια, οὐ διατοῦτο ἕπεται κάματος ἐκ τοῦ πεπεράνθαι τὴν δύναμιν· ἡτισοῦν γὰρ δύναμις τάξεως ὑπερκειμένης, εἰ καί ἐστι πεπερασμένη καθ' αὑτὴν καὶ πρὸς τὰς ὑψηλοτέρας αὐτῆς ἀφορῶσιν, ἔστι μέντοιγε ἄπειρος πρὸς τὰς αὐτῆς ταπεινοτέρας ἀποβλέπουσιν, καθαπεροῦν καὶ ἡ τοῦ ἡλίου δύναμίς ἐστιν ἄπειρος προσέχουσι τὸν νοῦν τοῖς ἐν γενέσει καὶ φθορᾷ, ὧν τῇ προαγωγῇ, εἰ καὶ ἐπ' ἄπειρον εἴη, οὐκ ἂν ἐλασσωθείη, παραπλησίως τε ἡ τοῦ νοῦ δύναμις ἀποσκοποῦσιν εἰς τὰ αἰσθητὰ εἴδη. Ταύτῃ δὴ καὶ ἡ δύναμις τῆς νοητῆς οὐσίας τῆς τὸν οὐρανὸν κινούσης ἐστὶν ἄπειρος ἀποσκοποῦσιν εἰς τὴν οὐράνιον κίνησιν· ὅθεν οὐχ ἕπεται ἐν αὐτῇ κάματος.**

**[6.40] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ ψυχὴ ἡ κινοῦσα τὰ φθαρτὰ ζῷα, ἑνοῦται αὐτοῖς κατὰ τὸ εἶναι. Ἀλλ' ἡ νοητὴ οὐσία ἡ κινοῦσα τὰ οὐράνια σώματα ἑνοῦται αὐτοῖς κατὰ τὸ κινεῖν μόνον. Ὅθεν τὸ μὲν κινεῖσθαι κατὰ**

**233-236** Εἰ – τρίτῳ] Aug., De trin. III, cap. 8, n. 13 (PL 42, col. 875): Nec ideo putandum est istis transressoribus angelis ad nutum servire hanc visibilium rerum materiam, sed Deo potius, a quo haec potestas datur...

**239** λόγου χάριν] deest Aq. **240** διατοῦτο] διατοῦ τοῦτο P **242** ὑψηλοτέρας] superioris Aq. **248** οὐράνιον] sic P, M (corporalis Aq.)

συμβεβηκὸς ἀποδίδοται τῇ ψυχῇ τοῦ φθαρτοῦ ζῴου τῷ ἰδίῳ λόγῳ αὐτῆς. Ἀνάγκη γὰρ κινουμένου τοῦ σώματος, μεθ’ οὗ ἐστὶν ἓν κατὰ τὸ εἶναι ἡ ψυχή, αὐτὴν κατὰ συμβεβηκὸς κινεῖσθαι˙ τὸ δὲ κινεῖσθαι κατὰ συμβεβηκὸς ἀποδίδοται τῷ κινοῦντι τὴν ὑποβεβηκυῖαν σφαῖραν οὐ τῷ λόγῳ αὐτοῦ, ἀλλὰ τῷ λόγῳ τοῦ κινητοῦ˙ ἐφόσον δηλαδὴ ἡ ὑποβεβηκυῖα σφαῖρα κινεῖται κατὰ συμβεβηκός, καταφερομένη τῇ κινήσει τῆς ὑπερκειμένης. Ὁ δὲ τὴν ὑπάτην σφαῖραν κινῶν οὐδενὶ τρόπῳ κατὰ συμβεβηκὸς κινεῖται˙ ἡ γὰρ αὐτοῦ σφαῖρα οὐ κινεῖται καταφερομένη, ἀλλὰ τὰς ἄλλας καταφέρει.

[6.41] Πρὸς τὸ δέκατον ῥητέον ὅτι ἐν τούτῳ πεφώραται ὁ Ἀβερόης διαφόρως διαλεχθείς. Ἐν γὰρ τῷ Περὶ τῆς οὐσίας τοῦ οὐρανοῦ βιβλίῳ εἴρηκε ταὐτὸν εἶναι τὸ κινοῦν τὰ οὐράνια σώματα καὶ ὡς δρῶν καὶ ὡς τέλος. Ὅπερ ἐπιεικῶς πλάνης ἀνάμεστον ἐλέγχεται, μάλιστα κατὰ τὴν αὐτοῦ δόξαν ἣν τίθεται λέγων τὴν πρώτην αἰτίαν μὴ εἶναι ὑπὲρ τὴν οὐσίαν τὴν κινοῦσαν τὸν πρῶτον οὐρανόν˙ ταύτῃ γὰρ ἕπεται τὸν Θεὸν εἶναι ψυχὴν τοῦ [primi] οὐρανοῦ, ᾗ δὴ τὴν οὐσίαν τὴν κινοῦσαν τὸν πρῶτον οὐρανὸν ὡς P 292r ποιοῦσαν φασὶ ψυχὴν αὐτοῦ. Καὶ ὁ λόγος ᾧ τοῦτο | ἀποδείκνυσι κομιδῇ, ἐνδεῶς ἔχει˙ ἐπεὶ γὰρ ἐν ταῖς χωρισταῖς οὐσίαις τῆς ὕλης ἐστὶ τὸ αὐτὸ νοῦς καὶ νόημα, ᾠήθη εἶναι ταὐτὸ καὶ ὀρεκτὸν καὶ ὄρεξιν. Ὅπερ οὐχ ὅμοιόν ἐστιν˙ ἡ γὰρ οὑτινοσοῦν γνῶσις γίνεται ᾗ δὴ τὸ γινωσκόμενον γίνεται

**270-272** ἐπεὶ – ἐστιν] Av., De subst. orb., cap. 1 (f. 5v.B): Ergo nihil est in corporibus coelestibus, quo forma, qua est motus, differat ab ea, ad quam est motus: immo sunt eaedem formae, et non differunt, nisi in dispositione.

**254-255** ἡ ψυχή] deest Aq. **256-260** σφαῖρα] passim scripsit σφέρα M **264** ταὐτὸν] ταὐτὰ M **259** ὑπάτην] ὑπὸ τὴν M | οὐδενὶ] sic P, M (neutro Aq.) **266-267** τὴν – κινοῦσαν] substantias moventes **269** φασὶ] sic P, M (dicitur Aq.) | τοῦτο] τούτῳ P **270** ἀποδείκνυσι] sic P (dixit Aq.) **271** ὄρεξιν] ὄρεξις M

**ἐν τῷ γινώσκοντι˙ ἡ δὲ ὄρεξις γίνεται κατὰ τὴν ἐπιστροφὴν τοῦ ὀρεγομένου πρὸς τὸ ὀρεκτόν˙ εἰ δὴ τὸ ἀγαθὸν τοῦ ὀρεκτοῦ εἴη ἐν τῷ ὀρεγομένῳ ἐξ ἑαυτοῦ, οὐ προσῆκεν ἂν αὐτῷ κινεῖσθαι πρὸς μετουσίαν τοῦ ὀρεκτοῦ ἀγαθοῦ˙ ὅθεν ἀνάγκη λέγειν τὸ ὀρεκτὸν ἀγαθόν. Ὅπερ ὡς τέλος κινεῖ, εἶναι ἕτερον τοῦ ὀρεγομένου ὃ κινεῖ ὡς ποιοῦν. Τοῦτο δὲ καὶ αὐτός φησιν ἐν τῷ ἑνδεκάτῳ ὑπομνήματι τῶν Μετὰ τὰ φυσικά˙ τίθησι γὰρ ἐκεῖ δύο κινοῦντα, ἓν συνημμένον, ὃ καλεῖ ψυχήν, καὶ ἕτερον ἀπηρτημένον, ὃ κινεῖ ὡς τέλος. Ἐκ τούτου μέντοι συνόλου οὐδὲν πλέον ἕχεται ἢ ὅτι ἡ νοητὴ οὐσία ἑνοῦται τῷ οὐρανίῳ σώματι ὡς κινοῦσα.**

**[6.42] Πρὸς τὸ ἑνδέκατον ῥητέον ὅτι τὰ οὐράνια σώματα φησίν, ἐμψυχῶσθαι, διὰ τὸ τὰς νοητὰς οὐσίας ἑνοῦσθαι αὐτοῖς ὡς κινούσας, καὶ οὐχ ὡς εἴδη˙ ὅθεν ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά φησι τὴν εἰδοποιὸν δύναμιν τοῦ σπέρματος μὴ δρᾶν εἰμὴ τῇ ἑνούσῃ θέρμῃ τῷ σπέρματι, οὐχ ὅτι ἔστιν ἐν αὐτῷ εἶδος, ὥσπερ ἡ ψυχὴ ἐν τῷ φυσικῷ σώματι, ἀλλ' ὅτι ἔστιν ἐκεῖ ἐγκεκλεισμένη, ὥσπερ ἡ ψυχὴ ἐγκεκλεισμένη ἐν τοῖς οὐρανίοις σώμασι.**

**[6.43] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι τὸ οὐράνιον σῶμα ἐφόσον κινεῖται διὰ τῆς νοητῆς οὐσίας, ἐστὶν ὄργανον αὐτῆς˙ καὶ οὕτω κινεῖται τῇ δυνάμει ταυτησὶ τῆς οὐσίας πρὸς τὸ ζωὴν δημιουργεῖν ἐν τούτοις τοῖς ὑποβεβηκόσιν· ὥσπερ ὁ πρίων ποιεῖ τῇ δυνάμει τῆς τέχνης πρὸς τὸ δημιουργεῖν τὴν κιβωτόν.**

**[6.44] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι ἐξ ἐκείνου τοῦ λόγου πλέον ληφθῆναι οὐχ οἷόν τε ἢ τὰ οὐράνια σώματα διὰ τῶν νοητῶν οὐσιῶν κινεῖσθαι.**

**277-279** τοῦτο – τέλος] Av., Comm. Metaph. XII (318v.HI): Amplius in libro de Anima formas abstractas esse intellectus. quapropter movens est intellectus, et est movens, quia agit motum, et quia est finis motus. Haec autem differunt in nobis, secundum illud, quod movet nos in loco secundum quod est agens, et quod movet nos in loco secundum quod est finis. Et habet dublex esse, in anima,, et extra animam. quod autem est in anima, est agens motum, secundum vero, quod est extra animam, est movens et finem. **284-288** ἐν – σώμασι] Av., Comm. Metaph. VII, cap. 31 (181r.FG): Sed universaliter non agit nisi per calorem, qui est in femine: non itAq.ue sit forma in eis, sicut anima in calore naturali, sed itAq.ue sit inclusa in corporibus coelestibus.

**274** δὴ] autem Aq. | τοῦ ὀρεκτοῦ] desideratum Aq. **279** ἀπηρτημένον] separatum Aq. **283** ἐμψυχῶσθαι] sic P, M; intellige ἐψυχῶσθαι **286** αὐτῷ] αὐτῇ P **291** ταυτησὶ] sic P, M (spiritualis Aq.)

**[6.45] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι κατὰ τὸν Δαμασκηνὸν τὸ λέγεσθαι** τοὺς οὐρανοὺς διηγεῖσθαι τὴν δόξαν τοῦ Θεοῦ**, καὶ** αἰνεῖν **καὶ** ἀγαλλιᾶσθαι**˙ ὑλικῶς λέγεται ἐφόσον εἰσὶ τοῖς ἀνθρώποις ὕλη τοῦ αἰνεῖν, καὶ διηγεῖσθαι· παραπλήσια γὰρ εὑρίσκονται, ἐν ταῖς Γραφαῖς καὶ περὶ τῶν ὀρέων καὶ βουνῶν καὶ τῶν ἄλλων τῶν ἀψύχων δημιουργημάτων.**

**[6.46] Πρὸς δὲ τὸ πρῶτον τῶν ἀπὸ τοῦ ἐναντίου ἀνθυποφερομένων ῥητέον τὸν Δαμασκηνὸν ἀποποιεῖσθαι τὰ οὐράνια σώματα εἶναι ἔμψυχα οὕτως ὥστε τὰς νοητὰς οὐσίας ἑνοῦσθαι αὐτοῖς ὡς εἶδος, ὥσπερ τοῖς φθαρτοῖς σώμασι.**

**[6.47] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι εἷς ἄγγελος ἀπολέγεται πρὸς φυλακὴν ἑνὸς ἀνθρώπου, ἐφόσον ζῇ˙ ὅθεν οὐκ ἔστιν ἄτοπον, εἰ καταλέγοιτο πρὸς τὸ κινεῖν τὸ οὐράνιον σῶμα, | μέχρις οὗ κινεῖται.**

P 292v **[6.48] Πρὸς τὸ τρίτον ῥητέον ὅτι, εἰ τὰ οὐράνια σώματα ἐμψύχωται, τὰ προϊστάμενα αὐτῶν πνεύματα ἐν τῇ τῶν ἀγγέλων ἑταιρίᾳ καταλογίζονται˙ ὅθεν ὁ Αὐγουστῖνος ἐν τῷ Ἐγχειριδίῳ φησίν˙ ἀλλ’ οὐδὲ ἐκείνου βεβαίως ἔχω, πότερον εἰς τὴν τῶν ἀγγέλων ἑταιρίαν ὅ τε ἥλιος καὶ ἡ σελήνη τελεῖ καὶ πάντα τὰ ἄστρα, εἰ καὶ οὔκουν οὐδέ σοι δοκεῖ, οὐχ ἧττον εἶναι λαμπρὰ τῇ αἰσθήσει ἢ τῷ νοερῷ.**

**[6.49] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι ἐν τούτῳ, οὐδεμία ἐστὶν ἀμφισβήτησις, εἰ ἀκολουθήσωμεν τῇ δόξῃ τοῦ Δαμασκηνοῦ, τιθέντος τοὺς ἁμαρτόντας ἀγγέλους τοῦ καταλόγου εἶναι τῶν προϊσταμένων τῶν φθαρτῶν σωμάτων˙ εἰ δὲ κατὰ τὴν ἀξίωσιν Γρηγορίου καὶ ἐκ τῶν ὑπερανῳκισμένων ἔνιοι ἥμαρτον, ῥητέον ὅτι ὁ Θεὸς τοὺς εἰς ταυτηνὶ τὴν λειτουργίαν ἀποταχθέντας ἐτήρησεν ἀπὸ τοῦ πτώματος, ὥσπερ καὶ πολλοὺς ἄλλους.**

**297-299** κατὰ – ἀγαλλιᾶσθαι] vide supra in apparatu fontium [6.15]101-103. **300-302** παραπλήσια – δημιουργημάτων] cf. Dan., 3.75: εὐλογεῖτε, ὄρη καὶ βουνοὶ τὸν Κύριον˙ ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας; Ps. 148.7: αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς... et 9: τὰ ὄρη καὶ πάντες οἱ βουνοί... **304-306** τὸν – σώμασι] vide supra in apparatu fontium [6.15]101-103 **312-315** ὁ – νοερῷ] vide supra in apparatu fontium [6.21]143-144 **317-319:** τῇ – σωμάτων] cf. Dam., De fid. orth. II, cap. 4 (873A-876A): Ἐκ τούτων τῶν ἀγγελικῶν δυνάμεων πρωτοστάτης τῆς περιγείου τάξεως, καὶ τῆς γῆς, τὴν φυλακὴν ἐγχειρισθεὶς παρὰ Θεοῦ... **319-320** κατὰ – ἥμαρτον] Greg., Homil. II, hom 34 (PL 76, 1250B-C): Quibus nimirum ordinibus ille primus angelus ideo ornatus et opertus exstitit, quia dum cunctis agminibus angelorum praelatus est, ex eorum comparatione clarior fuit.

**304** εἶδος] sic P, M (formae Aq.) **305** σώμασι] sic P, M (animalibus Aq.) **309** εἰ] deest P **310** ἐμψύχωται] sic P; intellige ἐψύχωται **312** ἐκείνου] sic P, M (illud Aq.) **313** πάντα] ταῦτα M **313** οὐδέ – δοκεῖ] sic P, M (nonnullis ... videantur Aq.) **316** ἀκολουθήσωμεν] ἀκολουθήσομεν P **317** ἁμαρτόντας] ἁμαρτῶντας P, M **318** τοῦ καταλόγου εἶναι] de numero fuisse **320** ἔνιοι] ἐνὶ P | ἀποταχθέντας] ἀποταχθέντος P

**[6.50] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οὐ λέγομεν** Εὔχου ὑπὲρ ἡμῶν, ἥλιε· **ὅτι ἡ νοητὴ οὐσία ἑνοῦται τῷ οὐρανίῳ σώματι οὐχ ὡς εἶδος, ἀλλ’ ὡς κινοῦν μόνον, ὥστε περιαιρεθῆναι τὴν τῆς εἰδωλολατρίας πρόφασιν.**

**[6.51] Πρὸς τὸ ἕκτον ῥητέον ὅτι ἐν τῷ τετάρτῳ τῆς Φυσικῆς κατὰ τὸν Φιλόσοφον τὸ κινοῦν τὸν οὐρανόν ἐστιν ἔν τινι μέρει αὐτοῦ, καὶ οὐκ ἐν ὅλῳ· καὶ ταύτῃ οὐ περίεισι τὸν γύρον οὐρανοῦ· ἴδιον δέ ἐστι περὶ τῆς ψυχῆς· ἣ δίδωσι τὸ εἶναι τοῖς σώμασι κατά τε τὸ ὅλον καὶ τὰ μέρη.**

**325-327** κατὰ – οὐρανοῦ] vide supra in apparatu fontium [4.9].58-60.

**324** εἰδωλολατρίας] εἰδωλολατρείας P **325-326** κινοῦν μόνον] κινούμενον M **327** περίεισι] περίησι P

**Κεφάλαιον ἕβδομον**

**Πότερον ἡ οὐσία ἡ νοητὴ τῷ ἀερίῳ σώματι ἑνωθείη ἂν ὡς εἶδος ἢ οὔ.**

**[7.1] Ἕβδομον ζητεῖται, πότερον ἡ οὐσία ἡ νοητὴ τῷ ἀερίῳ σώματι ἑνωθείη ἂν ὡς εἶδος. Καὶ δοκεῖ. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἔν τε τῇ Εἰς τὴν Γένεσιν ἐξηγήσει καὶ ἐν τῷ τετάρτῳ τοῦ Περὶ τῆς πόλεως τοῦ Θεοῦ.** Οἱ δαίμονες **ἔχουσι** σώματα ἀέρια. **Ἀλλ’ οἱ δαίμονές εἰσιν οὐσίαι νοηταί. Ἡ οὐσία ἄρα ἡ νοητή, σώματι ἑνωθείη ἂν ἀερίῳ.**

**[7.2] Ἔτι, ὁ Αὐγουστῖνος, ἐν τῷ Περὶ δαιμόνων μαντείας φησὶν ὅτι οἱ δαίμονες τῇ λεπτότητι τοῦ ἀερίου σώματος διικνοῦνται τὴν ἀνθρωπείαν αἴσθησιν. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ μὴ τῷ ἀερίῳ σώματι φυσικῶς ἑνωθεῖεν. Αἱ οὐσίαι ἄρα αἱ νοηταὶ τοῖς ἀερίοις σώμασι συνάπτονται.**

**[7.3] Ἔτι,** τὸ μέσον **οὐκ ἀπηχεῖ** πρὸς **τὰ** ἄκρα. **Ἀλλ’ ἐν τῇ τῶν οὐρανίων σωμάτων χώρᾳ εὑρίσκεται ζωή, κατὰ τοὺς τιθεμένους τὰ οὐράνια σώματα εἶναι ἔμψυχα. Ἐν δὲ τῇ τῆς γῆς χώρᾳ εὑρίσκεται ζωή, ἐν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς. Καὶ ἐν τῇ μέσῃ ἄρα χώρᾳ, ἥτις ἐστὶ τοῦ ἀέρος, εὑρίσκεται ζωή. Οὐδὲ οἷόν τε εἰς τὴν τῶν ὀρνίθων ἀναφέρεσθαι ζωήν· οἱ γὰρ ὄρνιθες ἐπ’ ὀλίγον τοῦ ἀέρος διάστημα ὑπὲρ γῆς ἀναδύουσι· δοκεῖ δὲ προσῆκον δι’** P. 293r **ὅλου τοῦ ἀερίου διαστήματος ὀρνίθων ζωὴν παρατετάσθαι. | Δεῖ ἄρα τιθέναι ὡς δοκεῖ εἶναί τινα ἐκεῖ ἀέρια ζῷα· ἀφ’ οὗ ἕπεται οὐσίας τινὰς νοητὰς τῷ ἀερίῳ σώματι ἑνοῦσθαι.**

**4-6** ὁ – ἀέρια] Aug., De gen. ad litt. III, cap. 10, n. 14 (PL 34, col. 285): etsi daemones aeria sunt animalia, quoniam corporum aeriorum natura vigent et propterea morte non dissolvuntur; De civ., non IV sed VIII, cap. 16: De moribus ergo daemonum cum idem Platonicus (i.e. Apuleius) loqueretur ... Breviter autem eos definiens ait, daemones esse genere animalia, animo passiva, mente rationalia, corpore aerea, tempore aeterna ... quod corpore aeria, ipsi sunt soli. **8-10** ὁ – αἴσθησιν] Aug., De div., cap. 3, n. 7 (PL 40, col. 584): Daemonum ea est natura, ut aerii corporis sensu terrenorum corporum sensum facile praedecant; celeritate etiam propter eiusdem aerii corporis superiorem mobilitatem... **12** μέσον – ἄκρα] vide supra in apparatu fontium [3.24].14 **12-13** ἐν – σώματα] vide supra [6.21].136-144 cum apparatu critico **14-15** ἐν – ἀέρος] Aug., De gen. ad litt. III, cap. 7, n. 10 (PL 34, col. 283): quia videlicet hoc caliginosum et humidum spatium, in quo aves volant, illi spatio contiguum est, ubi volare non possunt, quod iam merito tranquillitatis et quietis pertinet ad firmamentum coeli. In coelo ergo volant aves, sed in isto, quod ille Ps. etiam terrae nomine includit; propter quod coelum vocantur multis locis volatilia coeli: non tamen in firmamento, sed secundum firmamentum.

**5** ὡς εἶδος] deest Aq. **8** ἑνωθείη] unitur Aq. **14** Ἐν δὲ] ἔν τε P, M **15** τε] sic P, M (autem Aq.) **17** Post ἀναδύουσι Aq. habet: nec **18** ὅλου] ἴσου M (totum Aq.) **18-19** δι’ – παρατετάσθαι] sic P, M (totum aliud spatium aeris vacuum vita remaneret Aq.); Prochoros legit avium? et Graece reddidit ὀρνίθων (vacuum Aq.)

**[7.4] Χωρὶς δὲ τούτων, τοῦ κρείττονος σώματος, κρεῖττον ἐστὶ τὸ εἶδος. Ἀλλ’ ὁ** ἀὴρ **ἐστὶ κρεῖττον σῶμα, ἢ ἡ** γῆ, **είδικώτερον ὂν καὶ λεπτότερον. Εἰ δὴ τῷ γηίνῳ σώματι εἴτουν τῷ ἀνθρωπείῳ ἑνοῦται οὐσία νοητή, ἥτις ἐστὶν ἡ ψυχή, πολλῷ μᾶλλον τῷ ἀερίῳ σώματι <ἂν> συναφθείη.**

**[7.5] Ἔτι, τῶν μάλιστα συμβαινόντων, ῥᾴων ἐστὶν ἡ ἕνωσις. Ἀλλ’ ὁ ἀὴρ μᾶλλον δοκεῖ συμβαίνειν τῇ ψυχῇ ἢ τὸ μικτὸν σῶμα, οἷόν ἐστι τὸ ἀνθρώπινον, ὅτι ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῇ Εἰς τὴν Γένεσιν ἐξηγήσει, ἡ ψυχὴ διοικεῖ τὸ σῶμα δι’ ἀέρος. Ἄρα μᾶλλον πέφυκε συνάπτεσθαι σώματι ἀερίῳ ἢ [etiam corpori] μικτῷ.**

**[7.6] Ἔτι, λέγεται ἐν τῷ βιβλίῳ τοῦ Περὶ οὐσίας οὐρανοῦ,** ἡ κυκλικὴ κίνησις, ἴδιός ἐστι τῆς ψυχῆς, **καὶ τοῦτο διὰ τόδε, ὅτι ἡ ψυχὴ τὸ ἐξ ἑαυτῆς ἀδιάφορός ἐστι κινεῖσθαι κατὰ πᾶν μέρος. Ἀλλὰ τοῦτο δοκεῖ καὶ τῷ ἀέρι συμβάλλειν˙ ἔστι γὰρ μετὰ μὲν τῶν κούφων, κοῦφος, μετὰ δὲ τῶν βαρέων, βαρύς. Ἡ ψυχὴ ἄρα δοκεῖ διαφερόντως ἑνοῦσθαι τῷ ἀερίῳ σώματι. Ἀλλ’ ἀπεναντίας. Ἡ ψυχὴ ἐστὶν ἐντελέχεια σώματος ὀργανικοῦ. Ἀλλὰ τὸ ἀέριον σῶμα, οὐ δύναται εἶναι ὄργανον, ἐπεὶ γὰρ μὴ ἔστιν ὁριστὸν ὅρῳ ἰδίῳ, ἀλλὰ μόνον ἀλλοτρίῳ, οὐκ ἔστιν ἐσχηματισμένον. Ἡ νοητὴ ἄρα οὐσία, ἥτις ἐστὶ ἡ ψυχή, οὐ δύναται σώματι ἀερίῳ συνάπτεσθαι.**

**[7.7] Ἀπόκρισις. Ῥητέον, ὅτι ἀδύνατον ἐστὶ τὴν νοητὴν οὐσίαν σώματι ἀερίῳ συνάπτεσθαι ὡς εἶδος˙ ὃ δύναται φανερὸν γενέσθαι τριχῶς˙ πρῶτον μὲν ὅτι παρὰ τὰ ἄλλα σώματα, τὰ ἁπλᾶ τῶν στοιχείων σώματα, εἰσὶν ἀτελέστερα, ἐφόσον εἰσὶν ὑλικά, ἀποσκοποῦσιν εἰς τὰ ἄλλα πάντα σώματα˙ ὅθεν οὐ προσήκει κατὰ τὸν τῆς τάξεως τῶν ὄντων λόγον, ἁπλοῦν τὶ σῶμα**

**22** ὁ – γῆ] Ar., De gen et corr. I, 318b29-32: πνεῦμα γὰρ καὶ ἀὴρ κατὰ μὲν τὴν αἴσθησιν ἧττόν ἐστιν ... κατὰ δ' ἀλήθειαν μᾶλλον τόδε τι καὶ εἶδος ταῦτα τῆς γῆς. **27-28** ὡς – ἀέρος] Aug., De gen. ad litt. VII, cap. 15, n. 21 (PL 34, col. 363): Quapropter non est quidem humanae animae natura, nec de terra, nec de Aq.ua, nec de aere, nec de igne quolibet; sed tamen crassioris corporis sui materiam, hoc est, humidam quamdam terram, quae in carnis versa est qualitatem, per subtilioris naturam corporis administrat, id est per lucem et aerem; cap. 19, n. 25: Per lucem tamen et aerem, quae in ipso quoque mundo praestantiam, quam patiendi corpulentiam sicut humor et terra, tanquam per ea quae spiritui similiora sunt, corpus administrat. **30-31** ἐν – ψυχῆς] vide supra in apparatu fontium [6.13].90-91. **34** ἡ – ὀργανικοῦ] vide supra in apparatu fontium [4.9].58-60.

**22** ἐστὶ κρεῖττον] κρεῖττον ἐστὶ M (est nobilior Aq.) **26-27** οἷον – ἀνθρώπινον] deest M; τὸ ἀνθρώπινον corpus hominis Aq. **35** ὄργανον] sic P (organicum Aq.) **36** ἔστιν ἐσχηματισμένον] ἔστι σχηματισμένον M **37** ἡ] deest P

στοιχειῶδες οὐσίᾳ νοητῇ ἑνωθῆναι, ὡς εἴδει.

Δεύτερος λόγος, ὅτι ὁ ἀὴρ ἐστὶ σῶμα ὅμοιον, ἔν τε τῷ ὅλῳ καὶ πᾶσι τοῖς αὐτοῦ μέρεσιν˙ ὅθεν εἴ τινι τοῦ μέρους τοῦ σώματος, ἑνοῦταί τις οὐσία νοητή, τῷ αὐτῷ λόγῳ, καὶ ὅλῳ τῷ ἀέρι ἑνωθήσεται, ὡς δὲ καὶ ἄλλῳ ὁτῳοῦν παντὸς στοιχείου ὁμοίου ὄντος, ἔν τε τῷ ὅλῳ καὶ τοῖς μέρεσιν ὡς ἁπλοῦ, ὃ δοκεῖ ἠλιθιώτατον.

Τρίτος λόγος ἐστίν, ὅτι ἡ νοητὴ οὐσία, διχῇ τινι σώματι ἑνουμένη, εὑρίσκεται ἑνὶ μὲν τρόπῳ τῷ παρέχειν κίνησιν τῷ σώματι, καθάπερ εἴρηται, ὥσπερ τοῖς οὐρανίοις σώμασιν αἱ νοηταὶ οὐσίαι συνάπτονται˙ ἑτέρῳ τρόπῳ ὡς ἡ νοητὴ οὐσία διὰ τοῦ σώματος βοηθηθείη πρὸς ἐκπλήρωσιν τῆς ἰδίας αὐτῆς ἐνεργείας, ἥτις ἐστὶ τὸ νοεῖν, ὥσπερ ἡ ἀνθρωπίνη ψυχὴ ἑνοῦται τῷ σώματι, ὡς
P 293v διὰ τῶν | σωματικῶν αἰσθήσεων τὰς ἐπιστήμας ἀναμάξηται. Τῷ δ’ ἀέρι ἡ πνευματικὴ οὐσία οὐ δύναται ἑνοῦσθαι, οὔτε τῷ λόγῳ τῆς κινήσεως˙ τῷ γὰρ ἀέρι σύμφυτός ἐστι κίνησις τίς, ᾗ κεκλήρωται τῷ φυσικῷ εἴδει αὐτοῦ, οὔτε εὑρίσκεταί τις κίνησις ἢ ἐν ὅλῳ τῷ ἀέρι, ἢ ἔν τινι αὐτοῦ μέρει, ἥτις οὐ δύναται ἀναφέρεσθαι εἴς τινα αἰτίαν σωματικήν˙ ὅθεν ἐκ τῆς κινήσεως αὐτοῦ οὐ φαίνεται τινὰ οὐσίαν νοητὴν ἑνοῦσθαι αὐτῷ˙ ἔτι τὲ οὐχ ἑνοῦται τῷ ἀερίῳ σώματι ἡ νοητὴ οὐσία διὰ τὴν τελειότητα τῆς νοερᾶς ἐνεργείας˙ τὸ γὰρ ἁπλοῦν σῶμα, οὐκ ἔστιν ὄργανον αἰσθήσεως, ὡς ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς βιβλίῳ. Ὅθεν ἕπεται τὴν νοητὴν οὐσίαν, οὐδενὶ τρόπῳ σώματι ἑνοῦσθαι ἀερίῳ.

**49-50** καθάπερ – συνάπτονται] vide supra [6.21].136-144 cum apparatu fontio. **60-61** τὸ – βιβλίῳ] Ar., De an. III, 434b9-11: ἀλλὰ μὴν εἴγε αἴσθησιν ἔχει, ἀνάγκη τὸ σῶμα εἶναι ἢ ἁπλοῦν ἢ μικτόν. οὐχ οἷόν τε δὲ ἁπλοῦν˙ ἁφὴν γὰρ οὐχ ἕξει, ἔστι δὲ ἀνάγκη ταύτην ἔχειν.

**46** στοιχείου] elemento Aq. **46-47** ὁμοίου – ἁπλοῦ] deest Aq. **49** τῷ παρέχειν] ad exhibendum **55** κεκλήρωται] consequitur Aq. **59-60** τῷ – οὐσία] deest M **60** ἔστιν] sic P (potest esse Aq.) **62** ἕπεται] sic P (relinquitur Aq.) | οὐδενὶ] οὐδένα M | ἑνοῦσθαι] ἡνῶσθαι M

**[7.8] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁπηδήποτε ὁ Αὐγουστῖνός φησι τοὺς δαίμονας ἔχειν σώματα ἀέρια, οὐ διαλέγεται διισχυριζόμενος, ὡσὰν ἰδίᾳ ἀξιώσει, ἀλλὰ κατὰ τὰς τῶν ἄλλων δόξας· ὅθεν ὁ αὐτὸς φησίν, ἐν τῷ εἰκοστῷ πρώτῳ τοῦ Περὶ τῆς Πόλεως τοῦ Θεοῦ** εἰσί τινα ἴδια καὶ τοῖς δαίμοσι σώματα, ὥσπερ τῆς παιδείας εὖ εἰδόσιν ἀνθρώποις ἔδοξεν, ἐκ τούτου τοῦ ἀέρος τοῦ παχέος καὶ ὑγροῦ. Εἰ δέ τις οὐδένα ἔχειν σώματα τοὺς δαίμονας διατείνεται, οὐ πονητέον τοῦδε περὶ τοῦ πράγματος πραγματειώδει ζητήσει, οὐδ' ἀγωνιστέον φιλονείκῳ διαλέξει**.**

**[7.9] Ἐκ δὲ τούτου φαίνεται, καὶ πρὸς τὸ δεύτερον λύσις.**

**[7.10] Πρὸς δὲ τὸ τρίτον ῥητέον, ὅτι ἐν τῇ κάτω χώρᾳ, ἤτοι περὶ τὴν γῆν, ἔστιν ὁ τόπος τῆς τῶν στοιχείων μίξεως. Τὰ δὲ μικτὰ σώματα, ὅσῳ μᾶλλον πρὸς τὸ τῆς μίξεως ἴσον προβαίνουσι, τοσοῦτο μᾶλλον ἀφίστανται τῆς ἀκρότητος τῶν ἐναντίων· καὶ ταύτῃ ὁμοιότητός τινος τυγχάνουσι τῶν οὐρανίων σωμάτων· ἅπερ ἄνευ τινὸς εἰσὶν ἐναντιότητος. Ὡδὶ δὲ φαίνεται τὴν ζωήν, ἐν τῇ ταπεινοτάτῃ χώρᾳ μᾶλλον εἶναι δύνασθαι ἢ ἐν τῇ μέσῃ, ἄντικρυς, ἡνίκα τοσοῦτο μᾶλλον ἐν τούτοις τοῖς ὑποβεβηκόσιν, ἐπιτηδειότερον ἐστί, τὸ σῶμα πρὸς τὴν ζωήν, ὅσον ἂν ἐγγυτέρω γένηται τῆς περὶ τὴν σύνθεσιν ἰσότητος.**

**[7.11] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὸ τοῦ ἀέρος σῶμά** ἐστι **κρεῖττον, ἢ** τῆς γῆς. **Ἀλλὰ τὸ εὔκρατον σῶμα ἔστι κρεῖττον ἑκατέρου, ὡσὰν πλεῖστον, ὡς ἀποκεχωρηκὸς τῆς ἐναντιότητος. Καὶ τοῦτο μόνον εὑρίσκεται τῇ νοητῇ οὐσίᾳ ἑνούμενον, ἐν ᾧ δὴ σώματι ἀναγκαῖον πλεονεκτεῖν τὰ ὑποβεβηκότα στοιχεῖα ὑλικῶς πρὸς τὴν εὐκρασίαν καθιστᾶν, διὰ τὴν ὑπερβολὴν τῆς δραστηρίου δυνάμεως τῆς ἐν τοῖς ἄλλοις στοιχείοις.**

**63-65** ὅπηδήποτε – δόξας] cf. Aug., De gen. ad litt. XI, cap. 13, n. 17 (PL 34, col. 436): In quo tamen bonum est hoc ipsum quod vivit, et vivificat corpus, sive terrenum, sicut hominis anima...; idem, De civ. IX, cap. 10 (col. 263): (Plotinus) Platonem caeteris excellentius intellexisse laudatur. Is cum de humanis animis ageret ... Ita hoc ipsum quod mortales sunt homines corpore, ad misericordiam Dei patris pertinere arbitratus est, ne semper huius vitae miseria teneretur. Hac misericordia indigna iudicata est iniquitas daemonun, quae in animi passivi miseria, non mortale, sicut homines, sed aeternum corpus accepit. **65-70** ὅθεν – διαλέξει] Aug., De civ. XXI, cap. 10, n. 1 (PL 41, col. 724): Nisi quia sunt quaedam sua etiam daemonibus corpora, sicut doctis hominibus visum est, ex isto aere crasso atque humido ... Si autem quisquam nulla habere corpora daemones assererat, non est de hac aut laborandum operosa inquisitione, aut contentiosa disputatione certandum. **81-82** τὸ – γῆς] vide supra in apparatu fontium [7.4].23.

**64** ὡσὰν] ὡς ἂν P; ὡσανεὶ M **66** ἴδια] ἀίδια M **67** τῆς] sic P, M; intellige τοῖς (εἰδόσιν) | παιδείας – εἰδόσιν] doctis Aq. **72** ἤτοι] εἴτοι P **77** Hic post ζωήν Aq. habet: in suprema et **79** τὴν] deest P **81-82** ἢ τῆς γῆς] quam terra Aq. **84** σώματι] deest Aq.

**[7.12] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ἡ ψυχὴ λέγεται διοικεῖν τὸ σῶμα τὸ ἴδιον, δι’ ἀέρος, ὅσον πρὸς τὴν κίνησιν· ἔστι καὶ γὰρ ὑποδεκτικώτερος κινήσεως τῶν ἄλλων πυκνῶν σωμάτων.**

**[7.13] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ὁ ἀήρ, οὐκ ἔστιν ἀδιάφορος πρὸς πᾶσαν** P 294r **κίνησιν, ἀλλὰ προσέχουσι μὲν τὸν νοῦν | ἐνίοις, ἐστὶ κοῦφος· ἀποσκοποῦσι δὲ εἰς ἄλλα βαρύς. Ὅθεν οὐχ ἕπεται διατοῦτο εἶναι τελειωτὸς διὰ ψυχῆς.**

**89** πυκνῶν] πικνῶν P, M

## Κεφάλαιον ὄγδοον

## Πότερον πάντες οἱ ἄγγελοι διαφέρουσι τῷ εἴδει πρὸς ἀλλήλους ἢ οὔ.

**[8.1] Ὄγδοον ζητεῖται πότερον πάντες οἱ ἄγγελοι διαφέρουσι τῷ εἴδει πρὸς ἀλλήλους. Καὶ δοκεῖ οὔ. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Ἐγχειριδίῳ ὅτι** ἡ λογικὴ σύμπασα κτίσις ἡ οὖσα ἐν τοῖς ἀνθρώποις, ὅσον ταῖς ἁμαρτίαις καὶ ταῖς διὰ ταύτας κολάσεσιν ὅλη ἂν ἀπολώλει, εἰ μὴ ἐκ μέρους ἠξίωται ἀναλαμβάνεσθαι. **Ἀφ᾽ οὗ δοκεῖ τόδε, ὅτι, εἰ πάντες ἄγγελοι ἀλλήλων διαφέροιεν κατὰ τὴν τοῦ εἴδους φύσιν, πολλῶν ἀγγέλων ἀδιορθωτὶ πταιόντων πολλαὶ φύσεις δύναιντο πρόρριζαι ἀπολωλέναι. Ἀλλ᾽ οὐκ ἀνέχεται τοῦτο ἡ θεία πρόνοια περί τινος λογικῆς φύσεως ὡς πρόριζον ἀπολέσθαι, ὡς φαίνεται διὰ τῆς προεισενεχθείσης ῥήσεως. Οὐ πάντες ἄρα οἱ ἄγγελοι διαφέρουσιν ἀπ᾽ ἀλλήλων κατὰ τὴν τοῦ εἴδους φύσιν.**

**[8.2] Ἔτι, ὅσον εἰσί τινα ἐγγυτέρω τοῦ Θεοῦ, ἐν ᾧ οὐδεμία ἐστὶν ἑτερότης, τοσοῦτο ἧττόν εἰσι διάφορα. Οἱ δὲ ἄγγελοι κατὰ τὴν τῆς φύσεως τάξιν ἐγγυτέρω εἰσὶ τοῦ Θεοῦ ἢ οἱ ἄνθρωποι. Μᾶλλον δέ εἰσι διάφορα, τὰ διαφέροντα ἀλλήλων τῷ ἀριθμῷ καὶ τῷ εἴδει, ἢ τὰ διαφέροντα τῷ ἀριθμῷ καὶ συνιόντα τῷ εἴδει. Ἐπεὶ τοίνυν οἱ ἄνθρωποι οὐ διαφέρουσι τῷ εἴδει, ἀλλὰ τῷ ἀριθμῷ μόνον, δοκεῖ μηδὲ τοὺς ἀγγέλους τῷ εἴδει διαφέρειν.**

**[8.3] Ἔτι, τὸ αὐτό τινῶν κατὰ τὰς εἰδικὰς ἀρχὰς ποιεῖ ταὐτά τινα τῷ εἴδει εἶναι, ἡ δὲ κατὰ τὰς** ὑλικὰς **ἀρχὰς διαφορὰ ποιεῖ διαφέρειν τῷ** ἀριθμῷ **μόνον. Ἐν δὲ τοῖς ἀγγέλοις αὐτὸ τὸ εἶναι ἔχει ὡς εἰδικὸν πρὸς τὴν τοῦ ἀγγέλου οὐσίαν, ὡς ἀνωτέρω εἴρηται. Ἐπεὶ τοίνυν πάντες οἱ ἄγγελοι συμβαίνουσιν ἐν τῷ εἶναι, διαφέρουσι δὲ κατὰ τὴν οὐσίαν, δοκεῖ μὴ διαφέρειν τοὺς ἀγγέλους τῷ εἴδει, ἀλλὰ τῷ ἀριθμῷ μόνον.**

**4-7** ὁ – ἀναλαμβάνεσθαι] Aug., Enchir., cap. 29 (PL 40, col. 246): alia vero creatura rationalis quae in hominibus erat, quoniam peccatis atque suppliciis et originalibus et propriis tota perierat, ex eius parte reparata, quod angelicae societati ruina illa diabolica minuerat, suppleretur. **20-21** ἡ – μόνον] cf. Ar., Metaph. XII, 1074a33-34: ἀλλ' ὅσα ἀριθμῷ πολλά, ὕλην ἔχει. **22** ὡς – εἴρηται] vide supra [1.36].270-293

**3** πότερον] deest P **4** γὰρ] deest Aq. **5** σύμπασα] deest Aq. **6** διὰ ταύτας] deest Aq. | εἰ μὴ] deest Aq. **7** ὅτι] deest Aq. **8** ἀδιορθωτὶ] ἀδιόρθωτα P **9** πταιόντων] sic P, M (cadentibus Aq.) **18** μηδὲ] μὴ δὲ P, M **19** εἰδικὰς ἀρχάς] singularis (formali principio) Aq. **20** ὑλικὰς ἀρχὰς] singularis (principio materiali) Aq.

**[8.4] Ἔτι, πᾶσα οὐσία κτιστὴ ὑφεστῶσα, ἔστιν ἄτομον περιεχόμενον ὑπό τινι φύσει κοινοῦ εἴδους, οὕτως ὥστε, εἰ τὸ ἄτομον εἴη σύνθετον, ἡ τοῦ εἴδους φύσις κατηγορηθήσεται αὐτοῦ, κατὰ τὸν τοῦ συνθέτου λόγον˙ εἰ δὲ τὸ ἄτομον εἴη ἁπλοῦν, ἡ τοῦ εἴδους φύσις κατηγορηθήσεται αὐτοῦ κατὰ ἁπλοῦς λόγους. Ὁ δὲ ἄγγελος ἐστίν, οὐσία κτιστὴ ὑφεστῶσα, εἴτουν εἴη σύνθετος ἐξ ὕλης καὶ εἴδους εἴτε ἁπλοῦς, δεῖ περιέχεσθαι ὑπό τινι φύσει εἴδους. Ἀλλὰ τῇ φύσει τοῦ εἴδους οὐ λυμαίνεται, τὸ δύνασθαι ἔχειν πολλὰ ὑποκείμενα˙ ὁμοίως ἔτι οὐδὲ τῷ ἀτόμῳ τῷ ὑπὸ τῇ φύσει τοῦ εἴδους ὄντι λυμαίνεται, εἰ ἔχει τὶ μεθ' ἑαυτοῦ σύζυγον ἐν τῷ αὐτῷ εἴδει. Δυνατὸν ἄρα δοκεῖ εἶναι πολλοὺς ἀγγέλους ἑνὸς εἴδους˙** ἐν **δὲ** τοῖς ἀιδίοις, οὐ διαφέρ**ουσι τὸ** εἶναι **καὶ τὸ δύνασθαι, ὡς λέγεται ἐν τῷ τρίτῳ τῆς Φυσικῆς. |**
P 294v **Ἆρ' ἐν τοῖς ἀγγέλοις, εἰσὶ πλέω ἄτομα ὑφ' ἓν εἶδος.**

**[8.5] Χωρὶς δὲ τούτων ἐν τοῖς ἀγγέλοις, ἐστὶ τελεία ἀγάπη˙ οὐδὲν τοίνυν ὑφαιρετέον αὐτῶν, ὃ πρὸς τὴν τελειότητα τῆς ἀγάπης τείνει. Ἀλλὰ τὸ πολλοὺς εἶναι ἑνὸς εἴδους, τείνει πρὸς τὴν τῆς ἀγάπης τελειότητα˙ τὰ γὰρ τοῦ αὐτοῦ εἴδους ζῷα, φύσει ἄλληλα ἀγαπᾷ, κατ' ἐκεῖνο τὸ ἐν τῷ δεκάτῳ τετάρτῳ τοῦ Ἐκκλησιαστοῦ˙ πᾶν ζῷον, τὸ ὅμοιον αὐτῷ ἀγαπᾷ. Ἆρ' ἄγγελοι πολλοὶ εἰσὶν ἑνὸς εἴδους.**

**[8.6] Ἔτι, μόνου τοῦ εἴδους ὁριζομένου κατὰ τὸν Βοήτιον, τὰ ἐν τοῖς ὅροις κοινωνοῦντα, δοκεῖ συμβαίνειν κἀν τοῖς εἴδεσιν. Ἀλλὰ πάντες οἱ ἄγγελοι, συντρέχουσιν ἐν ἐκείνῳ τῷ ὅρῳ, ὃν ὁ Δαμασκηνός φησιν ἐν τῷ τρίτῳ βιβλίῳ˙ ὁ** ἄγγελος ἐστίν, οὐσία νοερά, ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, τῷ Θεῷ **ὑπηρετουμένη˙ κατὰ χάριν, οὐ φύσει ἀθανασίας ὑποδεκτική. Ἆρα πάντες οἱ ἄγγελοι, εἰσὶν ἑνὸς εἴδους.**

**34-35** ἐν – Φυσικῆς] Ar., Phys. III, 203b30: ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις. **40-42** κατ' – εἴδους] Ecclesiasticus, non 14 sed 13.15: Πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ **43** μόνου – Βοήτιον] Boet., De div. (PL 64, cols 885D-886A): Solam tantum exsequar diffiniendi regulam. Rerum enim aliae sunt superiores, aliae inferiores, aliae mediae. Superiores quidem diffinitio nulla complectitur, idcirco quod earum superiora genera inveniri non possunt. Porro autem inferiores ut sunt individua, ipsa quoque a diffinitione seclusa sunt. Mediae igitur quae et habent genera, et de aliis, vel generibus, vel de speciebus, vel de individuis praedicantur sub diffinitionem cadere possunt. **45-47** ὁ – ὑποδεκτική] Dam., De fid. orth., non III sed II, cap. 3 (PG 94, col. 865): Ἄγγελος τοίνυν ἐστὶν οὐσία νοερά, ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, Θεῷ λειτουργοῦσα, κατὰ χάριν ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα.

**29** εἴτουν] εἴτ' οὖν P, M **40** τοῦ] deest P **41** ἄγγελοι] sic P, M (in angelis Aq.) **44** κοινωνοῦντα] conveniunt Aq. | συμβαίνειν] convenire Aq. **45** συντρέχουσιν] conveniunt Aq.

**[8.7] Ἔτι, οἱ ἄγγελοι κατὰ τὴν τῆς φύσεως τάξιν, εἰσὶν ἐγγυτέρω τοῦ Θεοῦ, ἢ οἱ ἄνθρωποι. Ἀλλ’ ἐν τῷ Θεῷ εἰσὶ τρία πρόσωπα μιᾶς φύσεως κατὰ τὸν ἀριθμόν. Ἐπεὶ τοίνυν ἐν τοῖς ἀνθρώποις εἰσὶ πλείω πρόσωπα μιᾶς φύσεως κατὰ τὸ εἶδος, δοκεῖ πολλῷ κρεῖττον ἐν τοῖς ἀγγέλοις εἶναι πολλὰ πρόσωπα, ἐν μιᾷ φύσει εἴδους συνιόντα.**

**[8.8] Ἔτι, ὁ Γρηγόριος φησίν, ἐν ἐκείνῃ τῇ οὐρανίῳ πατρίδι, ἔνθα τὸ πλήρωμα τῶν μακαρίων ἐστίν, εἰ καί τινα δωροῦνταί τισι μεθ’ ὑπεροχῆς, οὐδὲν ὅμως ἰδίᾳ δωρεῖταί τισι. Πάντα γὰρ πάντων εἰσίν, εἰ καὶ μὴ ἐπίσης· ἄλλοι γὰρ ἄλλων κρείττω κέκτηνται, τὰ κοινῇ πᾶσι διαφέροντα. Οὐκ ἔστιν ἄρα διαφορὰ ἐν τοῖς ἀγγέλοις, εἰ μὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον. Τὸ δὲ μᾶλλον καὶ ἧττον, οὐ διαιροῦσιν εἴδη. Οἱ ἄγγελοι ἄρα, οὐ διαφέρουσιν εἴδει.**

**[8.9] Ἔτι, τὰ συνιόντα ἐν τῷ κρείττονι, συνίασιν ἐν τῷ εἴδει· κρεῖττον γάρ ἐστι τὸ τιθὲν ὑπὸ τῷ εἴδει, ἢ τὸ τιθὲν ὑπὸ τὸ γένος· ἔστι γὰρ ἡ εἰδοποιὸς διαφορά, μορφωτικὴ ἀποσκοποῦσιν εἰς τὸ γένος. Ἀλλ’ οἱ ἄγγελοι πάντες συνίασιν, ἐν τῷ κρείττονι τῶν ἐν αὐτοῖς, εἴτουν ἐν τῇ νοερότητι. Ἄρα πάντες οἱ ἄγγελοι συνίασιν ἐν τῷ εἴδει.**

**[8.10] Ἔτι, εἴ τι γένος διαιρεῖται δυσὶ διαφοραῖς, ὧν ἡ μία τῆς ἑτέρας ἐστὶν ἀτελεστέρα, ἡ ἀτελεστέρα διαφορά, πολυπληθεστέρα ἐστὶ τῆς τελειοτέρας, ὥσπερ τὸ ἄλογον διὰ πλειόνων εἰδῶν κεχώρηκεν ἢ τὸ λογικόν. Ἡ δὲ νοητὴ οὐσία διαιρεῖται, εἴς τε τὸ συναπτὸν καὶ ἀσύναπτον· τὸ δὲ συναπτὸν τῷ σώματι ἐστὶν ἀτελέστερον ἐν ταῖς νοηταῖς οὐσίαις. Ἐπεὶ τοίνυν ἡ νοητὴ οὐσία ἡ σώματι συνημμένη εἴτουν ἡ ἀνθρωπίνη ψυχὴ οὐ διακρίνεται εἰς πολλὰ εἴδη, πολλῷ μᾶλλον ἡ οὐσία ἡ νοητὴ ἡ ἀσύναπτος, εἴτουν ὁ ἄγγελος, οὐ πληθύνεται πληθύι εἰδῶν.**

**54-57** ὁ – διαφέροντα] Greg., Homil. II, ho. 34, n. 14 (PL 76, cols 1255B-D): Sic quippe in illa summa civitate specialia quaedam singulorum sunt, ut tamen sint communia omnium; et quod in se ex parte quisque habet, hoc in alio ordine totum possidet. Sed idcirco uno eodemque vocabulo communiter non censentur, ut ille ordo vocari privato uniuscujusque rei nomine debeat, qui hanc in munere plenius accepit. Seraphim namque incendium diximus, et tamen amore conditoris simul omnes ardent. Cherubim vero plenitudinem scientiae, et tamen quis ibi aliquid nesciat ubi ipsum omnes simul fontem scientiae Deum vident? Throni quoque illa agmina quibus conditor praesidet vocantur, sed beatus esse quis potest, nisi Creator suus ejus menti praesideat? Quae ergo ex parte ab omnibus habentur, eis in privato nomine data sunt qui haec in munere plenius acceperunt, Nam et si qua illic sic alii habent, ut haberi ab aliis nequAq.uam possint, sicut speciali nomine dominationes et principatus vocantur, cuncta ibi singulorum sunt, quia per charitatem spiritus ab alio in aliis habentur.

**49** οἱ ἄγγελοι] ὁ ἄγγελος M **53** συνιόντα] convenientes Aq. **55** τῶν μακαρίων] sic P, M ex beatorum? (boni Aq.) **56** τισι] deest Aq. | δωρεῖταί] sic P, M (possidetur Aq.) | πάντων] sic P, M (in omnibus Aq.) **57** τὰ – διαφέροντα] sic P, M (quae tamen omnes habent) **64** τῶν–αὐτοῖς] quod in eis est Aq. | τῇ νοερότητι] sic P, M (natura intellectuali Aq.) **67** πολυπληθεστέρα] multiplicabilis Aq. **68** κεχώρηκεν] sic P, M (multiplicatur Aq.) **71** συνημμένη] unibilis Aq.

P 295r [8.11] Ἔτι, Βονιφάτιος ὁ πάπας φησὶν ὅτι οἱ διακονοῦντες ἐν τῇ στρατευομένῃ ἐκκλησίᾳ, εἰσὶ παράδειγμα τῆς οὐρανίου | στρατιᾶς, ἐν ᾗ οἱ ἄγγελοι διαφέρουσι τῇ τάξει καὶ τῇ ἐξουσίᾳ. Ἀλλ' ἐν τῇ στρατευομένῃ ἐκκλησίᾳ, ἡ τῆς τάξεως διαφορὰ τοῦ ἀγγέλου καὶ τῆς δυνάμεως οὐ ποιεῖ τοὺς ἀνθρώπους διαλλάττειν τῷ εἴδει. Οὐδ' ἄρα ἐν τῇ οὐρανίῳ στρατιᾷ τῶν ἀγγέλων, οἱ ἄγγελοι τῷ εἴδει διαφέρουσι, καὶ οἱ διαφόρων ὄντες τάξεων, ἢ ἱεραρχιῶν.

[8.12] Ἔτι, ὥσπερ τὰ ὑποβεβηκότα στοιχεῖα κεκόσμηται φυτοῖς καὶ ζῴοις, καὶ ὁ ἀστροφόρος οὐρανὸς ἄστρασι καὶ ἡλίῳ καὶ σελήνῃ, οὕτω καὶ ὁ ἐμπύριος οὐρανός, κεκόσμηται τοῖς ἀγγέλοις. Ἀλλ' ἐν τοῖς φυτοῖς καὶ τοῖς ζῴοις, εὑρίσκονται πολλὰ τοῦ αὐτοῦ εἴδους· ὁμοίως τὲ δοκεῖ πάντας τοὺς ἀστέρας εἶναι τοῦ αὐτοῦ εἴδους, καὶ γὰρ κοινωνοῦσι καθ' ἓν εἶδος τὸ κρεῖττον, ὅπέρ ἐστι τὸ φῶς. Ἔοικε τοίνυν τῷ ἴσῳ λόγῳ, ἢ πάντας ἢ ἐνίους τῶν ἀγγέλων κοινωνεῖν ἐν ἑνὶ εἴδει.

[8.13] Ἔτι, εἰ μὴ τίθενται πολλοὶ ἄγγελοι συνιέναι εἰς ἓν εἶδος, τοῦτο οὐκ ἔστιν, εἰ μὴ [solum] ὅτι ἐν αὐτοῖς οὐκ ἔστιν ὕλη. Ἀλλ' ἡ τῆς ὕλης ἀπόφασις, οὐχ ὅτι τὸ πλῆθος ἀναιρεῖ τῶν ἀτόμων, ἀλλὰ καὶ τὴν ἑνάδα· τὸ γὰρ ἄτομον, οὐχ ὑπάγεται τῷ εἴδει, εἰ μὴ δι' ὕλης· ἡ γὰρ ὕλη ἐστίν, ἀτομότητος ἀρχή. Εἰ τοίνυν ἀναγκαῖον ὑπάρχει τιθέναι τοὺς ἀγγέλους εἶναι ἄτομά τινα, τῷ ἴσῳ λόγῳ τίθεσθαι δυνατόν, εἶναι πολλοὺς ὑφ' ἓν εἶδος.

**74-76** Βονιφάτιος – ἐξουσίᾳ] Bon., Epist. II (cols 43B-44): ...coelestium militiarum exempla nos instruunt (exemplar nos instruit): quia dum sint archangeli, liquet quia non aequales sunt, sed in potestate et ordine (sicut nostis) differt alter ab altero.

**75** στρατευομένῃ] στρατευμένῃ M **87** κοινωνεῖν] sic P, M (ex communicent? conveniant Aq.)

**[8.14] Ἔτι, ἐν τοῖς χωριστοῖς ἀπὸ τῆς** ὕλης, τὸ αὐτὸ ἐστὶ τὸ νοοῦν καὶ τὸ νοούμενον**, κατὰ τὸν Φιλόσοφον. Εἰ τοίνυν οἱ ἄγγελοι εἶεν ἄνευ ὕλης, ταὐτὸ ἂν εἴη ὅ τε νοῶν ἄγγελος, καὶ ὁ νοούμενος ἄγγελος. Ἀλλὰ ὀστισοῦν ἄγγελος νοεῖ ὀντιναοῦν ἄγγελον ἄλλον˙ ἕπεται τοίνυν μὴ εἶναι εἰ μὴ ἕνα μόνον ἄγγελον, ὅπέρ ἐστι ψευδές. Οὐκ ἄρ᾽ οἰητέον εἶναι τοὺς ἀγγέλους ἀύλους, καὶ ταύτῃ οὐδ᾽ ὑποληπτέον πάντας τῷ εἴδει διαφέρειν.**

**[8.15] Πρὸς δὲ τούτοις ὁ ἀριθμὸς ἐστίν, εἶδος ποσότητος, ἣ οὐκ ἔστιν ἄνευ ὕλης. Εἰ τοίνυν ἐν τοῖς ἀγγέλοις μὴ εἴη ὕλη, οὐκ ἂν εἴη ἐν αὐτοῖς ἀριθμός, ὅπερ ὂν καὶ αὐτὸ ψεῦδος τυγχάνει. Ταὐτὸ ἄρα τοῖς πρότερον.**

**[8.16] Ἔτι, ἐν τοῖς ἀΰλοις, οὐκ ἔστι πληθυσμός, εἰ μὴ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ὡς ὁ Ῥαββὶ Μωυσῆς φησίν. Εἰ τοίνυν οἱ ἄγγελοι εἰσὶν ἄνευ ὕλης, ἢ οὐκ ἔστιν ἐν αὐτοῖς πλῆθος, ἢ τὸ ἓν ἐστὶν αἰτία τοῦ ἑτέρου ὧν ἑκάτερον ἀπὸ τῆς ἀληθείας ὑπάρχει. Ἄρα τὸ αὐτὸ τοῖς πρότερον.**

**[8.17] Ἔτι, τὰ κτίσματα, δεδημιούργηνται ὑπὸ τοῦ Θεοῦ, ἵνα ἐν αὐτοῖς ἡ θεῖα ἀγαθότης, παριστῆται. Ἀλλ᾽ ἐν ἑνὶ εἴδει ἀγγέλου, παριστᾶται ἡ θεία ἀγαθότης τελειότερον, ἢ ἐν τῷ ἑνὶ εἴδει τοῦ ἀνθρώπου. Οὐκ ἄρα δεῖ τιθέναι πολλὰ εἴδη ἀγγέλων.**

**[8.18] Ἔτι, τὰ διάφορα εἴδη κατὰ τὰς εἰδοποιοὺς διαφορὰς διαφέρει τὰς ἀντιδιῃρημένας˙ οὐ δύνανται δὲ ἀποδίδοσθαι τοσαῦται διαφοραὶ εἰδοποιοί, ὅση νομίζεται ἡ πληθὺς τῶν ἀγγέλων. Οὐ πάντες ἄρα οἱ ἄγγελοι**
P 295v **δια|φέρουσιν εἴδει.**

**94-95** ἐν – Φιλόσοφον] vide supra in apparatu fontium [1.29].182-183 **103-104** ἐν – φησίν] Maimon., Dux neutrorum I, cap. 73 (f. 37r): Est quod non oportet ut cogitetur etiam multiplicatio ulo modo: nisi ea conditione, si unum sit causa alterius: et tunc erit inter ipsa diversitas et distinctio in existendo, cum sit unum causa alterius: et alterum causatum; idem, II, cap. 1, propos. 16 (f. 39r): Omne quod non habet materiam non comprehenditur ab intellectu multiplicari secundum numerum materiarum et subiectorum in quibus sunt. Et idcirco separata que non sunt corpora nec potentiae in corporibus, non comprehenduntur ab intellectu multa: nisi fuerint causae et causata.

**98** οἰητέον] ponendum Aq. **99** ὑποληπτέον] ponendum Aq. **102** αὐτὸ – τυγχάνει] quod falsum est **106** ἀπὸ – ὑπάρχει] est falsum Aq. **113** νομίζεται] ponitur Aq.

Ἀλλὰ τοὐναντίον. Εἰ γὰρ ἔνιοι τῶν ἀγγέλων συμβαίνουσι τῷ εἴδει, μάλιστα δοκεῖ περὶ τῶν μιᾶς ὑπαρχόντων τάξεως. Ἀλλ' οἱ μιᾶς ὄντες τάξεως, οὐ συμβαίνουσι τῷ εἴδει, ἐφόσον ἐν τῇ αὐτῇ τάξει εἰσὶ πρῶτοι, δεύτεροι, καὶ μέσοι, ὡς ὁ Διονύσιός φησιν, ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῆς Ἀγγελικῆς Ἱεραρχίας˙ τὸ δ' εἶδος οὐ τίθεται τῶν αὐτοῦ ἀτόμων, κατὰ τὸ πρότερον καὶ ὕστερον˙ ὡς λέγεται ἐν τῷ τρίτῳ, τῶν Μετὰ τὰ φυσικά˙ οὐκ ἄρα εἰσὶν ἄγγελοι πολλοὶ εἴδους ἑνός.

[8.19] Ἔτι, ἐκεῖνα μόνα δοκεῖ πληθύνεσθαι, κατὰ ἀριθμὸν ὑφ' ἓν εἶδος, ὅσα εἰσὶ φθαρτά˙ ἵν' ἡ τοῦ εἴδους φύσις ἡ μὴ δυναμένη συντηρεῖσθαι ἐν τῷ ἑνὶ συντηρεῖται ἐν πλείοσι. Ἀλλ' οἱ ἄγγελοι εἰσὶν ἄφθαρτοι. Οὐκ ἄρα εἰσὶ πολλοὶ ἄγγελοι, ἑνὸς εἴδους.

[8.20] Ἔτι, τὸ πλῆθος τῶν ἀτόμων, ἐν τῷ ἑνὶ εἴδει ἔστιν ἐκ τῆς κατὰ τὴν ὕλην διαιρέσεως. Οἱ δ' ἄγγελοι εἰσὶν ἄυλοι˙ ὅτι, ὡς ὁ Αὐγουστῖνός φησιν ἐν τῷ τῆς Ἐξομολογήσεως τρισκαιδεκάτῳ, ἡ μὲν ὕλη, τοῦ μηδενὸς ἐστὶν ἐγγύς˙ οἱ δ' ἄγγελοι τοῦ Θεοῦ. Ἐν τοῖς ἀγγέλοις ἄρα οὐκ ἔστι πλῆθος ἀτόμων ὑφ' ἓν εἶδος.

[8.21] Ἀπόκρισις. Ῥητέον, ὅτι περὶ ταύτην τὴν ζήτησιν, διαφόρως ἔνιοι διειλέχθησαν. Τινὲς μὲν γὰρ ἔφασαν, πάσας τὰς ἀσωμάτους οὐσίας εἶναι ἑνὸς εἴδους˙ ἄλλοι δὲ ὅτι πάντες οἱ ἄγγελοι μιᾶς ἱεραρχίας ἢ καὶ μιᾶς τάξεως˙ ἄλλοι δ' αὖ ὅτι πάντες οἱ ἄγγελοι ἀλλήλων διαφέρουσιν εἴδει, ὃ κἀμοὶ δοκεῖ τριῶν εἵνεκα λόγων. Ὁ μὲν οὖν πρῶτος λαμβάνεται,

**117-119** ἐν – Ἱεραρχίας] Dion., De coel. hier., cap. 10, n. 2 (PG 3, col. 273B, Ritter, p. 40): καὶ πᾶσαν ἱεραρχίαν ὁρῶμεν εἰς πρώτας καὶ μέσας καὶ τελευταίας δυνάμεις διῃρημένην. **121-122** τὸ – Φυσικά] Ar., Metaph. III, 999a12-13: ἐν δὲ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δ' ὕστερον. **127-128** ὡς – Θεοῦ] Aug. Conf., non XIII sed XII, cap. 7, n. 7 (PL 32, cols 828-829): Tu eras, et aliud nihil unde fecisti coelum et terram, duo quaedam; unum prope te, alterum prope nihil.

**118** δεύτεροι] sic P (medii Aq.) | μέσοι] sic P (ultimi Aq.) **119** τίθεται] sic P (praedicatur Aq.) **130** πλῆθος] sic P, M; intellige πληθυσμός? (multiplicatio Aq.) **132** διειλέχθησαν] διηλέχθησαν P **133** ἑνὸς εἴδους] ἓν εἶδος M

**ἐκ τῆς κατασκευῆς τῆς οὐσίας αὐτῶν. Ἀναγκαῖον γὰρ λέγειν, ἢ εἶναι εἴδη καθ’ αὐτὰ ὑφεστῶτα ἄνευ ὕλης, ὡς ἐν τοῖς φθάσασιν εἴληπται, ἢ εἶναι εἴδη, ἐξ ὕλης καὶ εἴδους σύνθετα. Εἰ μὲν οὖν ἐστὶν ὁ ἄγγελος εἶδος ἁπλοῦν ἀνακεχωρηκὸς τῆς ὕλης, ἀδύνατον ἐστί, πλάττειν γοῦν εἶναι πολλοὺς ἀγγέλους ἑνὸς εἴδους· καὶ γὰρ ἡτίποτε μορφὴ ὁτῳδήποτε τρόπῳ ὑλικὴ καὶ ὑφειμένη, εἰ τίθοιτο χωριστὴ ἢ κατὰ τὸ εἶναι, ἢ καὶ κατ’ ἐπίνοιαν, οὐ μένει, εἰ μὴ μένει ἐν εἴδει ἑνί. Νοείσθω γὰρ ἡ λευκότης, ἄνευ παντὸς ὑποκειμένου ὑφεστηκυῖα· ἀδύνατον τοίνυν τιθέναι πολλὰς λευκότητας, καὶ γὰρ ὁρῶμεν τήνδε, μηδὲν τῆσδε τῆς λευκότητος διαφέρουσαν, εἰ μὴ καθὸ ἐστὶν ἐν τῷδε, ἢ τῷδε τῷ ὑποκειμένῳ· ἔχει δ’ ὡς καὶ περὶ τῆς ἀνθρωπότητος εἰ εἴη χωριστή· οὐ γάρ ἐστιν ὅτι μὴ μία μόνον. Εἰ δὲ ἔστιν ὁ ἄγγελος οὐσία ἐξ ὕλης καὶ εἴδους σύνθετος, ἀναγκαῖον τὴν ὕλην τῶν διαφόρων ἀγγέλων εἶναι τρόπῳ γέ τῳ διακεκριμένην. Διάκρισις δὲ ὕλης, οὐχ εὑρίσκεται ὅτι μὴ διττή· μία μὲν κατὰ τὸν ἴδιον λόγον τῆς ὕλης, καὶ τοῦτ’ ἐστὶ κατὰ τὴν πρὸς διαφόρους ἐνεργείας σχέσιν. Ἐπεὶ γὰρ ἡ ὕλη κατὰ τὸν ἴδιον λόγον ἔστιν ἐν δυνάμει, ἡ δὲ δύναμις πρὸς τὴν ἐνέργειαν**
P 296r **λέγεται, ἀναγκαῖον κατὰ τὴν | τῶν ἐνεργειῶν τάξιν, θεωρεῖσθαι τὴν διάκρισιν ἐν ταῖς δυνάμεσι καὶ ταῖς ὕλαις· καὶ τούτῳ τῷ τρόπῳ ἡ ὕλη τῶν χαμαὶ σωμάτων, ἥτις ἐστὶ δύναμις πρὸς τὸ εἶναι, διαφέρει τῆς ὕλης τῶν οὐρανίων σωμάτων, ἥτις ἐστὶ δύναμις πρὸς τὸ ποῦ· δευτέρα**

**139** ἀνακεχωρηκὸς] ἀνακεχερωκὸς P; ἀνακεχωροκὸς M | γοῦν] deest M; etiam Aq. | εἶναι] deest Aq. **140** ἡτίποτε] sic P, M; intellige ἥτις ποτὲ **141** ὁτῳδήποτε] quantumcumque Aq. **142** μένει] μέλλει P (remanet Aq.) **144** τῆσδε] τῆς δε P **147** τὴν ὕλην] sic P, M (materiae Aq.) **148** Hic post ἀγγέλων Aq. habet: dicere |διακεκριμένην] sic P, M (distinctae Aq.). Post ὕλης Aq. habet: a materia

δὲ διάκρισις ὕλης ἐστί, κατὰ τὴν διαίρεσιν τῆς ποσότητος, ᾗ δή, ἡ οὖσα ὕλη ὑπὸ τοῖσδε τοῖς διαστήμασιν ἀπὸ τῆς οὔσης ὑπ’ ἄλλοις διαστήμασι διακρίνεται. Ἡ μὲν οὖν πρώτη διάκρισις τῆς ὕλης, ποιεῖ τὴν κατὰ γένος ἑτερότητα. Κατὰ γὰρ τὸν Φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά˙ τὰ γένη δὲ διαφέρουσι τῇ κατὰ τὴν ὕλην ἑτερότητι˙ ἡ δὲ δευτέρα τῆς ὕλης διάκρισις, ποιεῖ τὴν ἑτερότητα τῶν ἀτόμων, ἐν τῷ αὐτῷ εἴδει. Αὐτὴ δὲ ἡ δευτέρα διάκρισις τῆς ὕλης, οὐχ οἷόν τε εἶναι ἐν διαφόροις ἀγγέλοις, ἐφόσον εἰσὶν οἱ ἄγγελοι ἀσώματοι καὶ πανταχῶς ἄνευ διαστημάτων πηλικότητα. Λείπεται τοίνυν, εἴπερ εἰσὶν οἱ ἄγγελοι ἐξ ὕλης καὶ εἴδους σύνθετοι, εἶναι αὐτοῖς διάκρισιν ὑλῶν, κατὰ τὸν πρῶτον τρόπον, καὶ ταύτῃ ἕπεται μὴ μόνον εἴδει , ἀλλὰ καὶ γένει διαφέρειν.

Ὁ δὲ δεύτερος εἴληπται λόγος, ἐκ τῆς τοῦ σύμπαντος τάξεως. Φανερὸν γὰρ δισσὸν εἶναι τὸ ἀγαθὸν τοῦ παντός˙ καὶ τὸ μὲν χωριστόν, εἴτουν ὁ Θεός, ὃς ἐστὶ καθάπερ ὁ ἡγεμὼν ἐν τῷ στρατῷ, τὸ δέ, ἐν αὐτοῖς τοῖς οὖσι, καὶ τοῦτο ἐστὶν ἡ τάξις τῶν μερῶν τοῦ παντός, ὥσπερ ἡ τάξις τῶν μερῶν τοῦ στρατοῦ, ἔστιν ἀγαθὸν τοῦ στρατοῦ˙ ὅθεν <ὁ> Ἀπόστολος φησίν, ἐν τῷ δεκάτῳ τρίτῳ τῆς Πρὸς Ῥωμαίους, τὰ δὲ ὑπὸ τοῦ Θεοῦ διατεταγμένα εἰσί. Δεῖ τοίνυν τὰ ὑπερκείμενα τοῦ παντὸς μόρια, μᾶλλον μετέχειν, τοῦ ἀγαθοῦ, τοῦ καθόλου, ὅπέρ ἐστιν ἡ τάξις. Τελειότερον δὲ μετέχουσι τῆς τάξεως τὰ ἐν οἷς ἐστὶν ἡ τάξις καθ’ αὐτά, ἢ τὰ ἐν οἷς ἐστὶ κατὰ συμβεβηκὸς μόνον.

**158-160** Ἡ – ἑτερότητι] Ar., Metaph. V, 1024b9-12: ἕτερα δὲ τῷ γένει λέγεται ὧν ἕτερον τὸ πρῶτον ὑποκείμενον καὶ μὴ ἀναλύεται θάτερον εἰς θάτερον μηδ' ἄμφω εἰς ταὐτόν, οἷον τὸ εἶδος καὶ ἡ ὕλη ἕτερον τῷ γένει; cf. X, 1054b27-30: πᾶν γὰρ τὸ διαφέρον διαφέρει ἢ γένει ἢ εἴδει, γένει μὲν ὧν μὴ ἔστι κοινὴ ἡ ὕλη μηδὲ γένεσις εἰς ἄλληλα, οἷον ὅσων ἄλλο σχῆμα τῆς κατηγορίας, εἴδει δὲ ὧν τὸ αὐτὸ γένος. **167-170** Φανερὸν – στρατοῦ] Ar., Metaph. XII, 1075a11-15: Ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ὅλου φύσις τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ καθ' αὑτό, ἢ τὴν τάξιν. ἢ ἀμφοτέρως ὥσπερ στράτευμα; καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον οὗτος· οὐ γὰρ οὗτος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ τοῦτόν ἐστιν. **171-172** ὅθεν – εἰσί] Rom. 13, 1: ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν.

**157** τοῖσδε] τοῖς δε P **159-160** τὰ γένη] sic P, M (genere Aq.) **164** πηλικότητα] sic P, M; intellige πηλικότητος (quantivitativis Aq et alia lectio: quantitatis) **169** τὸ δέ] deest M (lacuna ca 4) **174** τελειότερον – μετέχουσι] τελειοτέρα δοκεῖ ἔχουσι M (Perfectius autem participant Aq.)

Πρόδηλον δὲ ἐν πᾶσι τοῖς τοῦ αὐτοῦ εἴδους ἀτόμοις, μὴ εἶναι τὴν τάξιν, εἰ μὴ κατὰ συμβεβηκός· συνίασι μὲν γὰρ ἐν τῇ φύσει τοῦ εἴδους, διαφέρουσι δέ, ταῖς ἀτομιζούσαις ἀρχαῖς, καὶ τοῖς διαφόροις συμβεβηκόσιν ἃ κατὰ συμβεβηκὸς ἔχει πρὸς τὴν τοῦ εἴδους φύσιν. Τὰ δὲ εἴδει διαφέροντα τὴν τάξιν ἔχει καθ’ αὐτὰ καὶ κατὰ τὰς οὐσιώδεις ἀρχάς· εὑρίσκεται γὰρ ἐν τοῖς τῶν ὄντων εἴδεσιν ἓν ἄλλου πλεονεκτῶν, ὥσπερ κἀν τοῖς εἴδεσι τῶν ἀριθμῶν, ὡς λέγεται ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά. Ἐν οὖν τοῖς ὑποβεβηκόσιν, ἅ ἐστιν ἐν γενέσει καὶ φθορᾷ καὶ χαμαίζηλος μοῖρα τοῦ παντός, ἧττον μέτεστι τῆς τάξεως· εὑρίσκονται μὲν γὰρ πάντα τὰ ὁπωσοῦν διαφέροντα τάξιν ἔχοντα, ἀλλ’ ἔνια μέν κατὰ συμβεβηκὸς μόνον, ὥσπερ τὰ τοῦ ἑνὸς εἴδους ἄτομα, ἔνια δὲ καθ’ αὑτὰ ὥσπερ τὰ εἴδη, ἐν τοῖς ὑπερκειμένοις δὲ τοῦ παντὸς μορίοις. Εἴτουν ἐν τοῖς οὐρανίοις σώμασι, οὐχ
296v εὑρίσκεται | τάξις κατὰ συμβεβηκός, ἀλλὰ καθ’ αὐτὸ μόνον· καὶ γὰρ εἴδει πάντα ἀλλήλων τὰ σώματα διαφέρει, οὐδέ εἰσιν ἐν αὐτοῖς πλείω ἄτομα εἴδους ἑνός, ἀλλ’ εἷς μόνον ἥλιος, καὶ μία μόνον σελήνη, καὶ ταύτῃ καὶ περὶ τῶν ἄλλων. Πολλῷ οὖν ἄρα μᾶλλον ἐν τῇ ἀνωτάτῃ μοίρᾳ τοῦ παντὸς οὐχ εὑρίσκονταί τινα τεταγμένα κατὰ συμβεβηκὸς καὶ οὐ καθ’ αὐτά. Καὶ ταύτῃ λείπεται πάντας τοὺς ἀγγέλους εἴδει διαφέρειν, μείζονι καὶ ἥττονι εἰδῶν τελειότητι ἁπλῶν ἐκ τῆς μείζονος ἢ ἥττονος ἐγγύτητος πρὸς τὸν Θεόν, ὅς ἐστιν ἐνέργεια καθαρὰ καὶ ἀπείρου τελειότητος.

**180-182** εὑρίσκεται – Φυσικά] Ar., Metaph., non IV sed VIII, 1043b36-1044a2: καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος.

**176** τοῦ αὐτοῦ] sic P, M; unius Aq. **179** εἴδει] εἴδει[a. corr. ex εἴδη] M; εἴδη P (specie Aq.) **180** καὶ] deest Aq. **181** πλεονεκτῶν] sic P, M; intellige πλεονεκτοῦ? (habundare Aq.) **182** ἐν – φυσικά] in IV Metaph. Aq. **183** χαμαίζηλος] infima Aq. **184** τά] deest P **186-187** ἔνια – εἴδη] deest Aq. **187** ὑπερκειμένοις] singularis Aq. | μορίοις] singularis Aq. **189** Hic post τὰ Aq. habet: coelestia **191** μοίρᾳ] μοῖρα P

Τρίτος δὲ λόγος λαμβάνεται, ἐκ τῆς τελειότητος τῆς ἀγγελικῆς φύσεως˙ τέλειον γὰρ ἕκαστον προσαγορεύεται, ἡνίκα μηδενὸς ἐνδεῖ τῶν εἰς αὐτὸ φερόντων˙ αὕτη δὲ τῆς τελειότητος ἐπίβασις ἡ τελευταία τοῖς οὖσι νοεῖσθαι δύναται˙ τῷ γὰρ Θεῷ ὃς ἔχει τὴν ἄκραν τῆς τελειότητος, οὐδενὸς ἐνδεῖ τῶν ἡκόντων εἰς τελειότητα τοῦ ὅλου εἶναι˙ προέχει γὰρ ἐν ἑαυτῷ ἁπάσας τῶν πραγμάτων τὰς τελειότητας ἁπλῶς καὶ ὑπερφυῶς, ὡς ὁ Διονύσιός φησιν˙ ἄτομον δὲ ὁτιοῦν τῶν ἐν τῇ χθαμαλῇ μοίρᾳ τῶν ὄντων τῇ προσηκούσῃ τοῖς ἐν γενέσει καὶ φθορᾷ τέλειον εὑρίσκεται ἐκ τοῦ ἔχειν ὅ τί ποτε εἰς αὐτὸ τείνει κατὰ τὸν τῆς ἀτομότητος λόγον αὐτοῦ, οὐχ ὅ τί ποτε τείνει πρὸς τὴν τοῦ εἴδους φύσιν αὐτοῦ˙ ἡ γὰρ φύσις τοῦ ἰδίου εἴδους, καὶ ἐν ἄλλοις ἀτόμοις εὑρίσκεται˙ ὃ προὖπτον εἰς τὸ ἀτελὲς φέρειν, οὐχ ὅπως ἐν τοῖς ἐν γένεσι ζῴοις, ἐν οἷς ἓν ἄλλου δεῖται ὁμοειδοῦς πρὸς συνδιαίτησιν, ἀλλὰ καὶ ἐν ἅπασι τοῖς ζῴοις τοῖς ἐκ σπέρματος ὁπῃτιοῦν γινομένοις˙ ἐν οἷς τὸ ἄρρεν δεῖται τοῦ ὁμοειδοῦς θήλεος πρὸς τὸ γεννᾶν˙ καὶ περαιτέρω ἐν πᾶσι τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἐν οἷς ἀναγκαῖον ἐστὶ τὸ πλῆθος τῶν ἀτόμων τοῦ ἑνὸς εἴδους˙ ὥστε τὴν μὴ δυναμένην ἀιδίως συντηρεῖσθαι φύσιν, ἐν ἑνὶ ἀτόμῳ διὰ τὴν ἐνοῦσαν ἀφθαρσίαν αὐτῷ σῴζεσθαι ἐν τοῖς πλείοσιν. Ἐν τῷ ἄνω δὲ τοῦ παντὸς μέρει, εὑρίσκεται βάσις τελειότητος ὑψηλοτέρα˙ ἐν οἷς ἓν ἄτομον, ὡς ὁ ἥλιος, οὕτως ἐστὶ τέλειος, ὡς μηδενὸς αὐτῷ δεῖν τῶν εἰς τὴν φύσιν τοῦ εἴδους αὐτῶν τεινόντων˙ ὅθεν ὅλη τοῦ εἴδους ἡ ὕλη,

**198-199** τέλειον – φερόντων] cf. Ar., Phys. III, 207a.8-10: οὗ δὲ μηδὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον˙ οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηδὲν ἄπεστιν... **201-202** προέχει – φησίν] Ps.-Dion., De div. nom., cap. 5, n. 4 (PG 3, col. 817D, Ritter p. 183): Καὶ γὰρ ὁ θεὸς οὐ πώς ἐστιν ὤν, ἀλλ' ἁπλῶς καὶ ἀπεριορίστως ὅλον ἐν ἑαυτῷ τὸ εἶναι συνειληφὼς καὶ προειληφώς.

**199** ἡ τελευταῖα] sic P΄πᾶσι M; ex extremis Aq. **203** τῇ προσηκούσῃ] sic P, M (quae continet Aq.; Prochoros legit pertinet?) **208** γενέσει] γενέσι P **213** διὰ – αὐτῷ] sic P, M (propter eius corruptibilitatem Aq.) **216** φύσιν – εἴδους] sic P, M (speciem Aq.)

συνέχεται ὑπὸ τῷ ἑνὶ ἀτόμῳ. Ἔχει γὰρ οὖν οὕτως καὶ περὶ τῶν ἄλλων οὐρανίων σωμάτων˙ πολλῷ τοίνυν ἄρα μᾶλλον ἐν τῇ ὑπερτάτῃ τῶν κτιστῶν μοίρᾳ, καὶ τῇ παρὰ τὸν Θεὸν ἐγγυτάτω εἴτουν τοῖς ἀγγέλοις, ἥδε ἡ τελειότης εὑρίσκεται, ὡς μηδενὶ χρῆναι ἀτόμῳ τῶν εἰς τὴν ὅλην τοῦ εἴδους φύσιν τεινόντων, καὶ ταύτῃ οὐκ εἰσὶ πλείω ἄτομα, ἑνὸς εἴδους. Ὁ δὲ Θεὸς ὁ τὴν κορωνίδα κατέχων τῆς τελειότητος, οὐδενὶ τῶν ἄλλων συμβαίνει, οὐ μόνον ἐν τῷ εἴδει, ἀλλὰ κἂν τῷ γένει, οὐδὲ ἕν τινι |
P 297r συνωνύμῳ κατηγορίᾳ.

[8.22] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐκεῖ διαλέγεται περὶ τῆς ἀγγελικῆς καὶ ἀνθρωπίνης φύσεως, οὐχ ᾗ θεωροῦνται ἐν τῷ φυσικῷ εἶναι, ἀλλ᾽ ᾗ πρὸς τὴν μακαριότητα τάττονται˙ οὕτω γὰρ ἔνιοι ἔν τε τῇ ἀγγελικῇ καὶ ἀνθρωπίνῃ φύσει ἀπολώλασιν. Ὅσον οὖν πρὸς ταύτην τὴν εἰς τὴν μακαριότητα τάξιν ἡ ἀνθρωπεία φύσις διαιρεῖται ἀπεναντίας ὅλῃ τῇ ἀγγελικῇ˙ ὅλη γὰρ ἡ φύσις τῶν ἀγγέλων, ἑνὶ τρόπῳ πέφυκε καταλύειν τὴν μακαριότητα, ἢ ὑστερίζειν ἀδιόρθωτα δηλαδὴ εὐθὺς καὶ παρὰ τὴν πρώτην αἵρεσιν˙ ἡ δὲ ἀνθρωπίνη φύσις, ἐν τῷ παντὶ τοῦ χρόνου διαύλῳ˙ διὸ καὶ ὁ Αὐγουστῖνος ἐκεῖ διαλέγεται, περὶ πάντων τῶν ἀγγέλων, ὡς καὶ περὶ μιᾶς φύσεως, διὰ τὸν ἕνα τρόπον τῆς τάξεως πρὸς τὴν μακαριότητα, εἰ καὶ διαφέροιεν κατὰ τὸ εἶδος τῆς φύσεως.

[8.23] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ἐπειδὰν ἡ ζήτησις ᾖ περὶ τοῦ ἓν ἢ πολλὰ εἴδη εἶναι, ἡ σκέψις γίνεται τοῖς πράγμασι κατὰ τὰς φύσεις αὐτῶν. Καὶ κατατοῦτο οὐ διαλεκτέον περὶ τῶν ἀγγέλων ἁπάντων ὡς περὶ μιᾶς φύσεως ἐγγυτάτης τῷ Θεῷ˙ μόνος γὰρ ὁ πρῶτος ἄγγελός ἐστι κατατοῦτο, φύσις ἐγγυτάτη τοῦ Θεοῦ, ἐν ᾗ φύσει οὐδεμία τίς ἐστι διαφορὰ [quia] οὔτε κατὰ εἶδος οὔτε κατ᾽ ἀριθμόν.

**225** ὁ – διαλέγεται] vide supra in apparatu fontium [8.1].4-7 **232-233** ὁ – διαλέγεται] ibidem

**219** μοίρᾳ] μοῖρα P, M **220** μηδενὶ – ἀτόμῳ] sic P, M (uni individuo nihil desit Aq.) **221** ἑνὸς εἴδους] sic P, M (in una specie Aq.) **224** κατηγορίᾳ] sic P, M (praedicato Aq.) **229** ἀνθρωπεία] ἀνθρωπίνη M **231** καὶ] deest Aq. **232** παντὶ] deest Aq. **233** ὡς] καὶ P (sicut Aq.) **235** διαφέροιεν] διαφέρειν P (differant Aq.) **236-237** περὶ – πολλὰ] sic P, M (de differentia vel convenientia Aq.) **237** τοῖς πράγμασι] sic P, M (de rebus Aq.) **239** ἐστι] sic P, M (erat Aq.)

**[8.24] Πρὸς τὸ τρίτον ῥητέον· ὅτι αὐτὸ τὸ εἶναι, ἔχει ὡς ἐνέργεια· ὡς μὲν ἐν ταῖς συνθέτοις φύσεσιν, ὡς δὲ καὶ ταῖς ἁπλαῖς· ὡσπεροῦν ἐν ταῖς συνθέτοις φύσεσι τὸ εἶδος οὐ λαμβάνεται ἀπ’ αὐτοῦ τοῦ εἶναι, ἀλλ’ ἀπὸ τῆς μορφῆς, τὸ μὲν γὰρ εἶδος κατηγορεῖται ἐν τῷ τί ἐστι· τὸ δ’ εἶναι τείνειν δοκεῖ εἰς τὴν τοῦ εἰ ἔστι ζήτησιν, οὕτως οὐδὲ ἐν ταῖς ἀγγελικαῖς οὐσίαις, τὸ εἶδος λαμβάνεται κατ’ αὐτὸ τὸ εἶναι, ἀλλὰ κατὰ τὰς ἁπλᾶς μορφὰς τὰς ὑφεστώσας· ὡς ἔστι διαφορὰ κατὰ τὴν τάξιν τῆς τελειότητος, ὡς εἴρηται.**

**[8.25] Πρὸς τὸ τέταρτον ῥητέον ὅτι, ὥσπερ τὸ ἐν ὑποκειμένῳ εἶδος ἢ ἐν ὕλῃ ἀτομίζεται διὰ τὸ εἶναι ἐν τῷδε, οὕτω τὸ χωριστὸν εἶδος ἀτομίζεται διὰ τὸ μὴ πεφυκέναι εἶναι ἔν τινι. Ὥσπερ γὰρ τὸ εἶναι ἐν τῷδε ἀπείργει τὴν κοινότητα τοῦ καθόλου ὃ κατηγορεῖται κατὰ πλειόνων, οὕτω τὸ μὴ δύνασθαι εἶναι ἔν τινι· ὡσπεροῦν ἡ λευκότης οὐ κωλύεται ἔχειν ὑφ’ ἑαυτὴν πολλὰ ἄτομα ἐκ τοῦ εἶναι λευκότης ὃ τείνει εἰς τὸν τοῦ εἴδους λόγον, ἀλλ’ ἐκ τοῦ εἶναι ἐν τῷδε, ὃ φέρει εἰς τὸν τοῦ ἀτόμου λόγον, οὕτως ἡ φύσις τοῦδε τοῦ ἀγγέλου οὐκ εἴργεται εἶναι ἐν πολλοῖς, ἐκ τοῦ εἶναι φύσις ἐν <τῇ> τοιαύτῃ τάξει τῶν ὄντων· ὃ συμβάλλεται πρὸς τὸν τοῦ εἴδους λόγον· ἀλλ’ ἐκ τοῦ πεφυκέναι μὴ λαμβάνεσθαι ἔν τινι ὑποκειμένῳ, ὃ φέρει εἰς τὸν τοῦ ἀτόμου λόγον.**

P 297v **[8.26] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τῆς | ἀγάπης ἑπομένης τῇ καταλήψει, ὅσον ἡ κατάληψις ἐστὶ καθόλου, τοσοῦτον ἡ ταύτῃ ἑπομένη ἀγάπη, τὸ καθόλου σκοπεῖ ἀγαθόν· ὅσον δὲ ἡ κατάληψίς ἐστι μερική, τοσοῦτον ἡ ἀγάπη· ἡ ταύτῃ ἑπομένη τὸ ἴδιον ἀγαθὸν σκοπεῖται· ὅθεν ἐν ἡμῖν ἡ ἰδία ἀγάπη ἐκ τῆς αἰσθητικῆς καταλήψεως ἀνίσχει· ἡ δὲ κοινὴ ἀγάπη, τοῦ ἀπολελυμένου ἀγαθοῦ ἐκ τῆς νοερᾶς καταλήψεως· ἐπεὶ τοίνυν οἱ ἄγγελοι, ὅσον εἰσὶν** ὑψηλότερ**οι, τοσοῦτο μᾶλλον καθολικωτέραν ἔχουσι ἐπιστήμην· ὡς ὁ Διονύσιός φησιν ἐν τῷ δωδεκάτῳ Περὶ τῆς Ἀγγέλων Ἱεραρχίας κεφαλαίῳ· διατοῦτο ἡ σφῶν ἀγάπη μᾶλλον σκοπεῖται τὸ κοινὸν**

**264** ἡ – ἀγάπη] cf. Aug., De gen. ad litt. XI, cap. 15, n. 19 (PL 34, col. 436): propter ... et quendam propriae rei amorem: cui sapienter nomen latina lingua indidit, cum appellavit privatum, quod potius a detrimento quam ab incremento dictum elucet. Omnis enim privatio minuit. **266-269** ἐπεὶ – κεφαλαίῳ] Ps.-Dion., De coel. hier., cap. 12, n. 2 (PG 3, cols 292C-293B, Ritter pp. 42-43): Φαμὲν γὰρ ὅτι τῆς ὁλικῆς καὶ ὑπερκειμένης τῶν πρεσβυτέρων διακόσμων δυνάμεως ἀποδέουσιν οἱ τελευταῖοι τῆς γὰρ μερικῆς καὶ ἀναλόγου μετέχουσι κατὰ τὴν μίαν ἁπάντων ἐναρμόνιον καὶ συνδετικὴν κοινωνίαν. Οἷον ἡ τῶν ἁγίων Χερουβὶμ τάξις μετέχει σοφίας καϊ γνώσεως ὑψηλοτέρας, αἱ δὲ τῶν ὑπ' αὐτοὺς οὐσιῶν διακομήσεις μετέχουσι μὲν καὶ αὐταὶ σοφίας καὶ γνώσεως, μερικῆς δὲ ὅμως ὡς πρὸς ἐκείνους καὶ ὑφειμένης...

**242** ἐνέργεια] ἐνεργείᾳ P **243** καὶ] κἂν M **248** ὡς] sic P; intellige ὧν (quorum Aq.) **250** τό ... τὸ] τοῦ ... τοῦ M **253** ἡ] quae Aq. **258** τοῦ – λαμβάνεσθαι] intellige μὴ ante πεφυκέναι (quod non est nata recipi Aq.) **261** καθόλου] sic P, M (universalior Aq.) | ταύτῃ] ταύτης P

ἀγαθόν. Μᾶλλον τοίνυν ἀγαπῶσιν ἀλλήλους, εἰ εἴδει διαφέροιεν, ὃ μᾶλλον ἀνήκει εἰς τὴν τοῦ παντὸς τελειότητα, ὡς δέδεικται, ἢ εἰ τῷ εἴδει συμβαίνοιεν, ὃ φέρει πρὸς τὸ ἴδιον ἀγαθόν, τοῦ ἑνὸς εἴδους.

[8.27] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι τὰς χωριστὰς οὐσίας, οὐκ ἐφικνεῖται ἡ ἡμετέρα ψυχὴ ἡνωμένη ἔτι σώματι καθ’ αὐτὰς νοεῖν, ὡς ἐπίστασθαι περὶ αὐτῶν τὸ τί ἐστιν· αἱ γὰρ αὐτῶν οὐσίαι, ἀπολείπουσι τὸ τῶν αἰσθητῶν οὐσιῶν γένος, καὶ τὰς ἀναλογίας αὐτῶν, ἐξ ὧν ὁ νοῦς ὁ ἡμέτερος τὴν κατάληψιν αἱρεῖ. Καὶ διατοῦτο αἱ χωρισταὶ οὐσίαι, ὁρίζεσθαι παρ’ ἡμῶν ἰδίως ἀδυνάτως ἔχουσιν, εἰ μὴ πόρρωθεν μόνον ἢ κατά τινα ἐνέργειαν αὐτῶν. Καὶ τούτῳ τῷ τρόπῳ ὁ Δαμασκηνὸς ὁρίζεται τὸν ἄγγελον, οὐ τῷ οἰκείῳ τοῦ εἰδικωτάτου εἴδους ὅρῳ, ἀλλὰ τῷ τοῦ ὑπ’ ἀλλήλου, καὶ ὃ γένος ἐστὶ καὶ εἶδος, ὅθεν ὁρισθῆναι δυνατόν.

[8.28] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ὁ τρόπος τῆς διακρίσεως τῶν θείων προσώπων, ἔστιν ἄνευ τῆς κατὰ τὴν οὐσίαν διακρίσεως, ὅπερ ἡ κτιστὴ φύσις οὐ χωρεῖ· καὶ διατοῦτο οὐ δεῖ μεθέλκειν αὐτὸ ἐπὶ τοὺς ἀγγέλους διὰ τὴν πρὸς Θεὸν δῆθεν ἐγγύτητα.

[8.29] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι τὸ μᾶλλον καὶ τὸ ἧττον, διχῇ λαμβάνεται· ἑνὶ μὲν τρόπῳ, κατὰ τὸν διάφορον τρόπον τῆς μεταλήψεως τοῦ αὐτοῦ καὶ ἑνὸς εἴδους, ὥσπερ τὸ μᾶλλον λευκὸν λέγεται μᾶλλον λαμπρόν, ἢ τὸ ἧττον λευκόν· καὶ ταύτῃ τὸ μᾶλλον καὶ ἧττον, οὐ διακρίνουσιν εἴδει. Ἑτέρῳ δὲ τρόπῳ λέγεταί τι μᾶλλον καὶ ἧττον, κατὰ τοὺς βαθμοὺς τῶν διαφόρων εἰδῶν, ὥσπερ τὸ λευκὸν λέγεται μᾶλλον λαμπρόν, ἢ τὸ ἐρυθρόν, ἢ τὸ χλοάζον· καὶ ταύτῃ τὸ μᾶλλον καὶ ἧττον, διαιροῦσιν εἴδη· ᾧ δὴ τρόπῳ καὶ οἱ ἄγγελοι διαφέρουσι κατὰ τὸ μᾶλλον καὶ ἧττον, ἐν τοῖς νοητοῖς δώροις τοῖς φυσικοῖς.

**269-270** ὃ – δέδεικται] vide supra [8.21].167-196. **278** τούτῳ – ἄγγελον] vide infra

**269** διαφέροιεν] διαφέρειεν M **271** φέρει] sic P (pertineret Aq.) **273** αὐτὰς] sic P, M (essentias earum Aq.) **274** ἀπολείπουσι] excedunt Aq. **275** τὰς ἀναλογίας] singularis Aq. (proportionem) **279** τῷ] τὸ P, M | καὶ] deest Aq. **283-284** δεῖ – ἐγγύτητα] sic P, M (est hoc ad consequentiam trahendum in creaturis) **286-287** τοῦ – ἑνὸς] unius et eiusdem Aq. **288** εἴδει] sic P, M (speciem Aq.) **289** τι] deest Aq.

[8.30] Πρὸς τὸ ἔνατον ῥητέον ὅτι τοῦθ’ ὃ ἱδρύει εἰς τὸ εἶδος, ἔστιν ἐπιτιμώτερον τοῦ εἰς τὸ γένος ἱδρύοντος, ὥσπερ τὸ ὡρισμένον τοῦ ἀορίστου· ἔχει γὰρ τὸ ὡρισμένον πρὸς τὸ ἀόριστον, ὡς ἐνεργείᾳ πρὸς (P 298r) δύναμιν· οὐχ οὕτω δέ, ὥστ’ ἀεὶ τὸ ἀπολαμ|βάνον εἰς τὸ εἶδος τείνειν εἰς ἐπιτιμωτέραν φύσιν, ὡς φαίνεται ἐν τοῖς εἴδεσι τῶν ἀλόγων ζῴων· οὐ γὰρ γίνονται τὰ τοιαῦτα εἴδη προσθήκῃ τινὸς ἐπιτιμωτέρας φύσεως, ἐπὶ τὴν αἰσθητικὴν φύσιν, ἥτίς ἐστιν ἐν αὐτοῖς ἐπιφανεστέρα, ἀλλὰ διορισμῷ πρὸς διαφόρους βαθμοὺς ἐν αὐτῇ τῇ φύσει· ὡς δὲ ῥητέον καὶ περὶ τοῦ νοεροῦ, ὅπερ ἐστι κοινὸν ἐν τοῖς ἀγγέλοις.

[8.31] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τοῦτο οὐ δοκεῖ εἶναι καθόλου ἀληθὲς τὸ τὴν ἀτελεστέραν διαφορὰν εἰς πλείω εἴδει προχεῖσθαι· τὸ γὰρ σῶμα διαιρεῖται εἴς τε τὸ ἔμψυχον καὶ ἄψυχον· πλέω μέντοι εἶναι δοκεῖ εἴδη τῶν ἐμψύχων σωμάτων, ἢ τῶν ἀψύχων· καὶ διαφερόντως εἰ τὰ οὐράνια σώματα εἰσὶν ἔμψυχα, καὶ πάντα τὰ ἄστρα εἴδει διαφέρει· ὅπερ ἐν τοῖς φυτοῖς καὶ τοῖς ζῴοις, οὐκ ἀμφισβητεῖται· καὶ γὰρ εἰσὶν ἐν αὐτοῖς ἑκατέροις μέγισται εἰδῶν διαφοραί· ὥστε μέντοι τοῦ πράγματος τὴν ἀλήθειαν ἀκριβώσασθαι· προσεκτέον τὸν νοῦν· ὁ γὰρ Διονύσιος ἐκ διαμέτρου δοκεῖ τὴν ψῆφον περὶ τούτων ἐξενεγκεῖν πρὸς τοὺς Πλατωνικούς· οὗτοι μὲν γὰρ φασὶ τὰς οὐσίας, ὅσον εἰσὶ τοῦ πρώτου νοὸς ἐγγύτεραι, τοσοῦτον ὑπάρχειν ἥττονος ἀριθμοῦ· ὁ δὲ Διονύσιος ἐν τῷ Περὶ τῆς Ἀγγελικῆς Ἱεραρχίας δεκάτῳ τετάρτῳ κεφαλαίῳ, φησὶ τοὺς ἀγγέλους, πᾶσαν τὴν ὑλαίαν πληθὺν ὑπερβαίνειν· ἑκάτερον δὲ ἀληθὲς

**310-312** ὁ – Πλατωνικούς] vide infra **313-315** ὁ – ὑπερβαίνειν] Ps.-Dion., De coel. hier., cap. XIV (PG 3, col. 312A, Ritter p. 50): Πολλαὶ γάρ εἰσιν αἱ μακάριαι στρατιαὶ τῶν ὑπερκοσμίων νοῶν τὴν ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τῶν καθ’ ἡμᾶς ὑλαίων ἀριθμῶν συμμετρίαν...

**294** εἰς – εἶδος] sic P, M (in specie Aq.) **295** εἰς – γένος] sic P, M (in genere Aq.) **296** ἐνεργείᾳ] sic P, M (actus Aq.) **297** τὸ ἀπολαμβάνον] sic P, M (illud quod constituit Aq.) | εἰς – εἶδος] sic P, M (in specie Aq.) **299** τινὸς] sic P, M (alterius Aq.) **304** τὸ] τὶ P (quod Aq.) **308** ὅπερ] sic P, M (sed Aq.) | οὐκ – καὶ] deest Aq. **311** γὰρ] deest Aq. **313** νοὸς] sic P, M (uni Aq.) **314** δεκάτῳ – κεφαλαίῳ] deest M

εἶναι, δύναταί τις διαλαβεῖν ἐκ τῶν σωματικῶν πραγμάτων· ἐν οἷς ὅσο τὶ σῶμα μετεωρότερον εὑρίσκεται· τοσοῦτον ἧττον μὲν ἀπομάττεται τῆς ὕλης, εἰς μείζω δὲ διατείνεται ποσόν· ἀμέλει κἀπειδήπερ ὁ ἀριθμὸς τρόπῳ γέ τῳ, ἐστὶν αἰτία τῆς συνεχοῦς ποσότητος· ᾗ δὴ τὸ μὲν σημεῖον, ἡ μονὰς ποιεῖ· τὸ δὲ σημεῖον, τὴν γραμμήν· εἴ τι δεῖ τὸν εἰωθότα τοῖς Πλατωνικοῖς τρόπον διαλεχθῆναι, ἀνάγκη λέγειν καὶ ἐν τῷ σύμπαντι τῶν ὄντων πληρώματι ὅτι, ὅσο τινὰ τὴν ὑψηλοτέραν ἐν τοῖς οὖσιν εἴληχε χώραν, τοσοῦτο μᾶλλον ἀποφέρονται τοῦ εἰδικοῦ πλήθους. ὃ θεωρεῖται τῇ διακρίσει τῶν εἰδῶν· καὶ τούτῳ σῴζεται τὸ λεγόμενον παρὰ τοῦ Διονυσίου· ἧττον δὲ τοῦ ὑλικοῦ πλήθους· ὃ θεωρεῖται τῇ διακρίσει τῶν ἀτόμων, ἐν τῷ αὐτῷ εἴδει· ἐν ᾧ σών ἐστὶ τὸ τῶν Πλατωνικῶν δόγμα· τὸ δ' εἶναι ἓν μόνον εἶδος τοῦ λογικοῦ ζῴου· πολλῶν ὄντων τῶν εἰδῶν τῶν ἀλόγων ζῴων, ἐντεῦθεν ἔχει τὴν ἀφορμήν· δημιουργεῖται γὰρ τὸ λογικὸν ζῷον, ὡς τὴν σωματικὴν φύσιν ἐν τῷ κατ' αὐτὴν ὑπερέχοντι, ἅπτεσθαι τῆς ἐσχατιᾶς τῶν ἀσωμάτων φύσεων· ὁ δ' ὑπερκείμενος βαθμὸς τινὸς φύσεως ἢ καὶ ὁ ἔσχατος ἐστὶν εἷς μόνον, εἰ καὶ δύναιντο λέγεσθαι πολλὰ εἶναι εἴδη τῶν λογικῶν ζῴων, εἴ τις θείη τὰ οὐράνια σώματα ἔμψυχα εἶναι.

[8.32] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι οἱ ἄνθρωποι περιέχονται ἐν ταῖς σωματικαῖς δημιουργίαις, αἵ εἰσιν ἡ χθαμαλωτέρα μοῖρα τοῦ παντός, ἐν ᾗ P 298v εὑρίσκονταί τινα τεταγμένα, οὐ μόνον καθ' αὐτά, | ἀλλὰ καὶ κατὰ συμβεβηκός. Καὶ διατοῦτο ἐν τῇ στρατευομένῃ ἐκκλησίᾳ ἡ κατὰ τὴν δύναμιν καὶ τὴν τάξιν διαφορά, οὐ ποικίλλει τὸ εἶδος. Ἰδίᾳ δὲ ἐν τοῖς ἀγγέλοις ἔχει, οἵ εἰσὶν <ἡ> ὑπερανῳκισμένη μοῖρα τοῦ παντὸς ὡς εἴρηται. Ἔστι δὲ ἐν τοῖς ἀνθρώποις ὁμοιότης οὐ τελεία τῶν ἀγγέλων, ἀλλ' ὁποίαν εἶναι συμβαίνει, ὡς εἴρηται.

**320-321** τὸν – διαλεχθῆναι] cf. Ar., De coel. III, 299a6-8: Ἔπειτα δῆλον ὅτι τοῦ αὐτοῦ λόγου ἐστὶ στερεὰ μὲν ἐξ ἐπιπέδων συγκεῖσθαι, ἐπίπεδα δ' ἐκ γραμμῶν, ταύτας δ' ἐκ στιγμῶν.

**319** ἡ] deest M **321** ἀνάγκη λέγειν] sic P (ita est Aq.) **323** ἀποφέρεται] ἀποφέρονται M **326** σών] sic M (deest P); intellige σῷζον? σῷνον? (salvatur Aq.) | δόγμα] sic P (dictum Aq.) **334** σωματικαῖς] sic P (corruptibiles Aq.) **339** ὁποίαν] ὁποῖαν P

**[8.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι τὰ εἰς κόσμον τελοῦντα τῆς γῆς καὶ τοῦ ὕδατος ἐπεὶ εἰσὶ φθαρτά, ζητεῖ πλῆθος ἐν τοῖς αὐτῶν εἴδεσιν ὡς εἴρηται. Τὰ δ’ οὐράνια σώματα, εἰσὶ διαφόρων εἰδῶν, ὡς καὶ τοῦτο εἴρηται· τὸ γὰρ φῶς, οὐκ ἔστιν εἶδος οὐσιῶδες καθ’ αὐτὸ ποιότης ὂν αἰσθητή, ὃ περὶ οὐδενὸς εἴδους οὐσιώδους δύναται λέγεσθαι. Χωρὶς τούτων, οὐκ ἔστι τοῦ αὐτοῦ λόγου τὸ φῶς ἐν πᾶσιν, ὃ δῆλον ἐκ τοῦ διαφόρων σωμάτων μετεώρων ἀκτίνας διάφορα κεκτῆσθαι ἀποτελέσματα.**

**[8.34] Πρὸς τὸ τρισκαιδέκατον λεκτέον, ὅτι ἡ ἀτομότης ἐν τοῖς ἀγγέλοις, οὐκ ἔστι δι’ ὕλης, ἀλλ’ ᾗ εἰσὶν εἴδη καθ’ αὐτὰ ὑφεστῶτα, ἃ μὴ πέφυκεν εἶναι ἐν ὕλῃ ἢ ὑποκειμένῳ, ὡς φθάσαντες εἴπομεν.**

**[8.35] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι οἱ ἀρχαῖοι φιλόσοφοι τεθείκασι τὸ καταληπτικὸν ὀφείλειν εἶναι ἐκ τῆς φύσεως τοῦ καταλαμβανομένου· ὅθεν ὁ Ἐμπεδοκλῆς εἴρηκεν, ὅτι τὴν γῆν, τῇ γῇ καταλαμβάνομεν· καὶ τῷ ὕδατι τὸ ὕδωρ. Ἀλλὰ πρὸς ἀνασκευὴν ὁ Ἀριστοτέλης τούτου, τέθεικε τὴν καταληπτικὴν δύναμιν ἐν ἡμῖν, ᾗ δή ἐστιν ἐν δυνάμει εἶναι ἐψιλωμένην τῆς φύσεως τῶν καταληπτῶν, ὥσπερ ἡ τοῦ ὀφθαλμοῦ κόρη τοῦ χρώματος· τὴν ἐνεργείᾳ μέντοι αἴσθησιν εἶναι τὸ ἐνεργείᾳ αἰσθητόν, ἐφόσον γίνεται ἡ** αἴσθησις ἐνεργείᾳ **κατὰ τὸ μορφοῦσθαι τῷ** αἰσθητῷ **εἴδει. Τῷ δ’ αὐτῷ λόγῳ καὶ ὁ ἐνεργείᾳ νοῦς, ἔστι** τὸ νοούμενον **ἐνεργείᾳ, διὰ τὸ μορφοῦσθαι τῷ νοητῷ εἴδει·** οὐ γάρ ἐστιν ὁ λίθος ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ **τοῦ λίθου** εἶδος, **ὡς αὐτὸς φησίν· ἐκ τούτου δέ ἐστι τὶ ἐνεργείᾳ νοητόν, ὅτί ἐστι χωριστὸν τῆς ὕλης· καὶ διατοῦτο φησὶν ἐν τοῖς οὖσιν** ἄνευ ὕλης, τὸ αὐτὸ **ἐστὶ** νοῦς, καὶ **ὃ** νο**εῖται. Οὐκ ἄρα ἀνάγκη τὸν**

**351-353** οἱ – καταλαμβανομένου] cf. Ar., De an. I, 404b16-18: τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ. γινώσκεσθαι γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι. **353-354** ὅθεν – ὕδωρ] Ar., De an. I, 404b11-15: ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων, λέγων οὕτως, γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖαν, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον, στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ. **354-357** ὁ – χρώματος] Ar., De an. III, 429a18-22: ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ (παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει)· ὥστε μηδ' αὐτοῦ εἶναι φύσιν μηδεμίαν ἀλλ' ἢ ταύτην, ὅτι δυνατός. **357-358** τὴν – αἰσθητόν] Ar., De an. III, 426a15-16: ἐπεὶ δὲ μία μέν ἐστιν ἐνέργεια ἡ τοῦ αἰσθητοῦ καὶ τοῦ αἰσθητικοῦ... **359-360** ὁ – ἐνεργείᾳ] Ar., De an. III, 430a3-4: ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον; cf. ibid., 430a19-20: τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι· **360-361** οὐ – εἶδος] vide supra in apparatu fontium [1.26].175-176. **363-364** καὶ – νοεῖται] vide in apparatu fontium [1.29].182-183.

**341** τὰ – γῆς] ornamenta terrae Aq. **342** ἐν – εἴδεσιν] eadem specie Aq. **343** καὶ] deest Aq. **344** καθ’ αὐτὸ] eorum Aq. | ὂν] sic P; intellige οὖσα **350** ὕλῃ ... ὑποκειμένῳ] subjecto ... materia Aq.

νοοῦντα ἄγγελον τὸν αὐτὸν τῇ οὐσίᾳ εἶναι τῷ νοουμένῳ ἀγγέλῳ, διὰ τὸ εἶναι ἄυλον, ἀλλὰ δεῖ τὸν νοῦν τοῦ ἑνὸς μορφοῦσθαι τῇ τοῦ ἑτέρου ὁμοιότητι.

**[8.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ὁ ἀριθμὸς ὁ γινόμενος ἐκ τῆς τοῦ συνεχοῦς διαιρέσεως, ἔστιν εἶδος τοῦ ποσοῦ, καὶ ἔστι μόνον ἐν ταῖς ὑλικαῖς οὐσίαις· ἐν δὲ ταῖς ἀΰλοις οὐσίαις, ἔστι πλῆθος ἐκ τῶν ὑπερβαλλόντων, καθὸ καὶ τὸ ἓν καὶ τὰ πολλὰ διαιροῦσι τὸ ὄν. Τοῦτο δὲ τὸ πλῆθος ἕπεται τῇ εἰδικῇ διακρίσει.**

**[8.37] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι ἡ διαφορὰ τοῦ αἰτίου καὶ αἰτιατοῦ,**
P. 299r **τίθεται παρά τινων πρὸς τὸ πολλὰς ποιεῖν τὰς χωριστὰς | οὐσίας, διὰ τὸ ἐντεῦθεν τιθέναι πολλοὺς προελθεῖν βαθμοὺς ἐν αὐτοῖς, καθὸ τὸ αἰτιατὸν ὑποβέβηκε τὴν αἰτίαν· ὅθεν, εἰ τιθείη μὲν διαφόρους βαθμοὺς ἐν ταῖς ἀΰλοις οὐσίαις ταττούσης τῆς θείας σοφίας ὡς αἰτίας, μενεῖ ὁ αὐτὸς τῆς διακρίσεως λόγος, εἰ καὶ μία αὐτῶν οὐκ ἔστιν αἰτία τῆς ἑτέρας.**

**[8.38] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἡτισοῦν φύσις κτιστή, οὖσα πεπερασμένη οὐχ οὕτω τελέως προγράφει τὴν θείαν ἀγαθότητα, ὥσπερ τὸ πλῆθος τῶν φύσεων· τὸ γὰρ ἐν πολλαῖς φύσεσι πολυειδῶς περιεχόμενον, ἑνοειδῶς ἐν τῷ Θεῷ καταλαμβάνεται· διά τοι τοῦτο καὶ γέγονε χρεία ἐν τῷ παντὶ εἶναι, πλείους φύσεις, καὶ ἔτι ἐν ταῖς ἀγγελικαῖς οὐσίαις.**

**[8.39] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ἡ ἀντίθεσις τῶν διαφορῶν τῶν ποιουσῶν τὰ ἀγγελικὰ εἴδη, λαμβάνεται κατὰ τὸ τέλειον καὶ τὸ ἀτελές, ἢ τὸ ὑπερβάλλον καὶ ὑπερβαλλόμενον, ὥσπέρ ἐστιν ἐν τοῖς ἀριθμοῖς, καὶ ὥσπερ ἔχει τὸ ἔμψυχον καὶ ἄψυχον, καὶ ἄλλ΄ ἄττα τοιάδε.**

**364-365** διὰ – ἄυλον] sic P (si sunt immaterialiter Aq.) **370** καὶ] deest Aq. | δὲ] et Aq. **373** πρὸς] deest Aq. **374** πολλοὺς] diversos Aq. **375** ὑποβέβηκε] ὑπερβέβηκε P; est infra Aq. **379** προγράφει] προγράφοι P

## <Κεφάλαιον ἔνατον>

## Πότερον ὁ δυνάμει νοῦς ἐστιν εἷς ἐν πᾶσι τοῖς ἀνθρώποις.

**[9.1] Ἔνατον ζητεῖται, πότερον ὁ δυνάμει νοῦς ἐστιν εἷς ἐν πᾶσι τοῖς ἀνθρώποις. Καὶ δοκεῖ ταύτῃ. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Ποσότητος Ψυχῆς βιβλίῳ· εἰ εἴποιμι πολλὰς εἶναι ψυχάς, ἐμαυτὸν ἐγὼ διαγελάσομαι. Γελοῖον ἄρα δοκεῖ τὸ λέγειν πολλὰς εἶναι ψυχὰς νοεράς.**

**[9.2] Ἔτι, ἐν τοῖς ἄνευ ὕλης, ἐστὶν ἓν μόνον ἄτομον ἐν ἑνὶ εἴδει, ὡς δέδεικται. Ἀλλ' ὁ δυνάμει νοῦς ἢ ἡ νοερὰ ψυχὴ οὐσία ἄυλος οὖσα, οὐκ ἔστι σύνθετος, ὡς ἐν τοῖς ἄνω δέδεικται. Ἔστιν ἄρα μία μόνον ψυχὴ νοερά, ἢ δυνάμει νοῦς ἐν ὅλῳ τῷ ἐν τῷ ἀνθρωπείῳ εἴδει.**

**[9.3] Ἀλλ' ἔλεγεν ὅτι εἰ καὶ μὴ ἔχει ἡ νοερὰ ψυχὴ ὕλην ἐξ ἧς ἐστίν, ἔχει μέντοι ὕλην ἐν ᾗ ἐστίν, εἴτουν τὰ σώματα, ὧν τῷ πληθυσμῷ πληθύνεται ἡ νοερὰ ψυχή. Ἀλλὰ τοὐναντίον· ἀναιρουμένης τῆς αἰτίας, συναναιρεῖται τὸ ἀποτέλεσμα. Εἰ τοίνυν ὁ πληθυσμὸς τῶν σωμάτων ἔστιν αἴτιον τοῦ πλήθους τῶν ψυχῶν ἀναιρουμένων τῶν σωμάτων, οὐ δύνανται μένειν αἱ νοεραὶ ψυχαί.**

**[9.4] Ἔτι, ἡ ἀτομότης γίνεται, τῷ διορισμῷ τῶν οὐσιωδῶν ἀρχῶν· ὥσπερ γὰρ ἐκ τοῦ λόγου τοῦ ἀνθρώπου ἐστὶ τὸ εἶναι ἐκ ψυχῆς καὶ σώματος, οὕτως ἐκ τοῦ λόγου τοῦδε τοῦ ἀνθρώπου τὸ εἶναι ἐκ τοῦδε τοῦ σώματος καὶ ἐκ ταύτης τῆς ψυχῆς. Ἀλλὰ τὸ σῶμα, οὐκ ἔστιν ἐκ τῆς οὐσίας τῆς ψυχῆς. Ἀμήχανον τοίνυν τὴν ψυχήν, ἀτομίζεσθαι διὰ τοῦ σώματος, καὶ ταύτῃ | οὐ**
P 299v **διὰ πλήθους βαδιοῦνται αἱ ψυχαὶ κατὰ τὴν ἀναλογίαν τοῦ πλήθους τῶν σωμάτων.**

**4-5** Φησὶ – διαγελάσομαι] Aug., De quant. an., cap. 33, n. 69 (PL 32, col. 1073): Si enim dixero unam esse animam, conturbaberis quod in altero beata est, et in altero misera; nec una res simul beata et misera esse potest. Si unam simul et multas esse dicam, ridebis; nec facile michi unde tuum risum comprimam suppetit. Si multas tantummodo dixero esse, ipse me ridebo, minusque me michi displicentem, quam tibi, perferam. **7** ἐν – εἴδει] Ar., Metaph. VIII, 1045a36-b7: ὅσα δὲ μὴ ἔχει ὕλην μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς ὅπερ ἕν τί [εἶναί] ἐστιν ἕκαστον, ὥσπερ καὶ ὅπερ ὄν τι, τὸ τόδε, τὸ ποιόν, τὸ ποσόν – διὸ καὶ οὐκ ἔνεστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν – , καὶ τὸ τί ἦν εἶναι εὐθὺς ἕν τί ἐστιν ὥσπερ καὶ ὄν τι – διὸ καὶ οὐκ ἔστιν ἕτερόν τι αἴτιον τοῦ ἓν εἶναι οὐθενὶ τούτων οὐδὲ τοῦ ὄν τι εἶναι· εὐθὺς γὰρ ἕκαστόν ἐστιν ὄν τι καὶ ἕν τι, οὐχ ὡς ἐν γένει τῷ ὄντι καὶ τῷ ἑνί, οὐδ' ὡς χωριστῶν ὄντων παρὰ τὰ καθ' ἕκαστα. **17-20** ὥσπερ – ψυχῆς] cf. Ar., Metaph. VII, 1035b28-31: ὁ δ' ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ οὕτως ἐπὶ τῶν καθ' ἕκαστα, καθόλου δέ, οὐκ ἔστιν οὐσία ἀλλὰ σύνολόν τι ἐκ τουδὶ τοῦ λόγου καὶ τησδὶ τῆς ὕλης ὡς καθόλου· καθ' ἕκαστον δ' ἐκ τῆς ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐστίν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

**3** Ἔνατον] Ἔννατον P **9** Hic post σύνθετος Aq. habet: ex materia et forma **12-13** πληθύνεται – ψυχή] sic P (multiplicantur animae intellectivae Aq.) **16** νοεραὶ] multae Aq.

**[9.5] Ἔτι, ὁ Αὐγουστῖνος φησὶν ἐν τοῖς Κατὰ Φελικιανοῦ·** εἰ τὴν γένεσιν τῆς ψυχούσης δυνάμεως ζητεῖ μεν, προτέρα ἐστὶν ἡ ψυχὴ ἢ ἡ μήτηρ, καὶ ἐκ ταύτης πάλιν δοκεῖ τίκτεσθαι μετὰ τῆς γονῆς· **καὶ διαλέγεται** περὶ τῆς ψυχῆς, ᾗ ἐμψύχωται ἡ γυνή, ὡς ἐκ τῶν αὐτίκα ἑπομένων δῆλον· **ἀφ' οὗ δοκεῖ λέγειν, τὴν αὐτὴν εἶναι ψυχὴν ἐν τῇ γυναικὶ καὶ τῷ παιδί, καὶ τῷ αὐτῷ λόγῳ ἐν πᾶσι τοῖς ἀνθρώποις.**

**[9.6] Ἔτι, εἰ ἄλλος δυνάμει νοῦς ἐν ἐμοὶ εἴη, καὶ ἄλλος ἐν σοί, δεήσει τὸ νοούμενον πρᾶγμα εἶναι ἄλλο ἐν ἐμοὶ καὶ ἄλλο ἐν σοί, ἐφόσον τὸ νοούμενον πρᾶγμα ἔστιν ἐν τῷ νοοῦντι, καὶ ταύτῃ τὸ νοούμενον πρᾶγμα, ἀριθμήσεται τῇ ἀριθμήσει τῶν ἀτόμων ἀνθρώπων. Ἀλλὰ πάντα τὰ ἀριθμούμενα τῇ ἀριθμήσει τινῶν ἀτόμων, ἔχουσι πρᾶγμα νοητὸν κοινόν· καὶ ταύτῃ τοῦ νοουμένου πράγματος ἔσται ἄλλο νοητὸν πρᾶγμα κοινόν· καὶ τοῦτο ἐπ' ἄπειρον, ὅπερ ἀδύνατον. Οὐκ ἄρα ἔσται ἄλλος ἐν ἐμοὶ καὶ ἄλλος ἐν σοὶ δυνάμει νοῦς.**

**[9.7] Αὖθις, εἰ μὴ εἷς εἴη δυνάμει νοῦς πᾶσι τοῖς ἀνθρώποις, ἐπεὶ συμβαίνει τὴν ἐπιστήμην παρὰ τοῦ διδασκάλου τῷ μαθητῇ γίνεσθαι, ἀνάγκη ἢ τὴν αὐτὴν τῷ ἀριθμῷ ἐπιστήμην τὴν οὖσαν ἐν τῷ διδασκάλῳ μεταρρεῖν εἰς τὸν μαθητήν, ἢ τὴν τοῦ διδασκάλου ἐπιστήμην δημιουργεῖν τὴν ἐπιστήμην τοῦ φοιτητοῦ, ὥσπερ ἡ θέρμη τοῦ πυρὸς δημιουργεῖ τὴν θέρμην τὴν ἐν τοῖς ξύλοις, ἢ τὸ μανθάνειν μηδὲν εἶναι ἄλλο, ἢ**

**24-27** ὁ – δῆλον] Ps-Aug., Contra Fel., cap. 12 (1167): ItAq.ue si originem animantis potentiae requiramus, prior est matre, et ex hac rursus nata videtur esse cum sobole: prior, inquam, anima, per quam mater est animata. **30-36** εἰ – ἄπειρον] Av., Comm. de an. III, comm. 5 (Crawford, p. 411.710-717): Quoniam, si res intellecta apud me et apud te fuerit una omnibus modis, continget quod, cum ego scirem aliquod intellectum, ut tu scires etiam ipsum, et alia multa impossibilia. Et si posuerimus eum esse multa, continget ut res intellecta apud me et apud te sit una in specie et due in individuo; et sic res intellecta habebit rem intellectam, et sic procedit in infinitum. **41-43** τὴν – ξύλοις] Av., Comm. de an. III, cap. 5 (Crawford, p. 411-412.717-721): Et sic erit impossible ut discipulus addiscat a magistro, nisi scientia que est in magistro sit virtus generans et creans scientiam que est in discipulo, ad odum secundum quern iste ignis generat alium ignem sibi similem in specie; quod est impossibile.

**25** ζητεῖ μεν] sic P, M; intellige ζητοῖμεν (requiramus Aq.) **27** ἐμψύχωται] sic P, M; intellige ἐψύχωται | ὡς – δῆλον] sic P (ut statim subdit Aq.) **34** τινῶν] deest Aq. **35** κοινόν] deest Aq. **36** καὶ τοῦτο] deest Aq.

ἀναμιμνῄσκεσθαι. Εἰ γὰρ ὁ μανθάνων ἔχει πρὸ τοῦ μαθεῖν ἣν μανθάνει ἐπιστήμην, τὸ μανθάνειν οὐδὲν ἔστιν ἄλλο ἢ ἀναμιμνῄσκεσθαι· εἰ δὲ μὴ ἔχοι ταύτην πρότερόν, ἢ προσλαμβάνεται αὐτὴν ὑπάρχουσαν πρότερον ἐν ἄλλῳ, ἐκείνως δὲ ἀνάγκῃ ἐν αὐτῷ ἐκ νέου συνίστασθαι, παρ’ ἄλλου. Ταῦτα δὲ τὰ τρία, εἴτουν τὴν αὐτὴν εἶναι τῷ ἀριθμῷ ἐν τῷ διδασκάλῳ καὶ μαθητῇ καὶ τὸ τὴν ἐν τῷ διδασκάλῳ εἶναι αἰτίαν τῆς ἐν τῷ μαθητῇ, καὶ τὸ ἀνάμνησιν εἶναι, εἰσὶν ἀδύνατα. Τῆς γὰρ ἐπιστήμης οὔσης συμβεβηκός, ἀδύνατον τὴν αὐτὴν τῷ ἀριθμῷ μεταχωρεῖν εἰς ὑποκείμενον ἐξ ὑποκειμένου· ὡς γὰρ ὁ Βοήτιος φησί, τὰ συμβεβηκότα φθείρεσθαι δύνανται, μεταβαίνειν, δ’ οὔ· ὁμοίως τέ, ἀδύνατον τὴν ἐπιστήμην τοῦ διδασκάλου δημιουργὸν εἶναι τῆς ἐν τῷ μαθητῇ ἐπιστήμης· τοῦτο μὲν ὅτι ἡ ἐπιστήμη, οὐκ ἔστι ποιότης ποιητική, τοῦτο δ’ ὅτι τὰ προφερόμενα παρὰ τοῦ διδασκάλου ῥήματα, μόνον διανιστᾶσι τὸν μαθητὴν πρὸς τὸ νοεῖν, ὡς ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ Διδασκάλου βιβλίῳ. Τὸ δὲ τὸ μανθάνειν εἶναι, ἀναμιμνῄσκεσθαι, ἀπογινώσκεται παρὰ τοῦ φιλο|σόφου ἐν τῷ
300r πρώτῳ τῶν Ὑστέρων. Οὐκ ἔστιν ἄρα ἄλλος καὶ ἄλλος ὁ δυνάμει νοῦς ἐν πᾶσι τοῖς ἀνθρώποις.

**56-58** τὰ – βιβλίῳ] Aug., De mag., cap. 12, n. 40 (1217).

**46** πρότερόν] sic P; intellige πρότερον **47** Hic post ἄλλῳ Aq. habet: scilicet in magistro, aut non existentem prius in alio **48-50** εἴτουν – εἶναι] deest Aq. **52** εἰς – ὑποκειμένου] sic P (de subiecto ad subiectum Aq.) **53** μεταβαίνειν] sic P, M; intellige μεταβάλλειν? (transmutari Aq.)

**[9.8] Ἔτι, πᾶσα δύναμις καταληπτική, ἥτίς ἐστιν ἐν ὕλῃ σωματικῇ, ἐκεῖνα μόνον γινώσκει, ὅσα συγγένειαν ἔχει μετὰ τῆς ὕλης ἐν ᾗ ἐστίν˙ ὥσπερ ἡ ὄψις γινώσκει μόνον τὰ χρώματα, ἃ ἔχει συγγένειαν μετὰ τῆς τοῦ ὀφθαλμοῦ κόρης, ἥτίς ἐστιν ὑποδεκτικὴ τῶν χρωμάτων τῇ ἑαυτῆς διαφανείᾳ. Ἀλλ’ ὁ δυνάμει νοῦς, οὐκ ἔστιν ὑποδεκτικὸς τῶν ἐχόντων συγγένειαν, ἢ μεθ’ ὅλου τοῦ σώματος, ἢ μεθ’ ὁτουοῦν μορίου αὐτοῦ˙ ὁ δυνάμει νοῦς ἄρα οὐκ ἔστι καταληπτικὴ δύναμις ἐν ὕλῃ σώματος, οὔτε ἐν ὅλῳ τῷ σώματι, οὔτε ἔν τινι μορίῳ αὐτοῦ. Οὐκ ἄρα πληθύνεται τῷ πληθυσμῷ τῶν σωμάτων.**

**[9.9] Χωρὶς δὲ τούτων, εἰ ἡ νοερὰ ψυχὴ ἢ ὁ δυνάμει νοῦς, πληθύνεται κατὰ τὴν ἀναλογίαν τοῦ πλήθους τῶν σωμάτων, τοῦτ’ ἄλλως οὐκ ἔνεστιν, εἰ μὴ διὰ τὸ εἶναι εἶδος τοῦ σώματος. Ἀλλ’ οὐχ οἷόν τε εἶναι εἶδος σώματος, σύνθετος γὰρ οὖσα ἐξ ὕλης καὶ εἴδους οὐ δύναται εἶναι εἶδος τινός. Ἡ νοερὰ ἄρα ψυχὴ ἢ ὁ δυνάμει νοῦς, οὐ δύναται πληθύνεσθαι τῷ πληθυσμῷ τῶν σωμάτων.**

**[9.10] Ἔτι, ὥσπερ ὁ Κυπριανὸς φησίν, ὁ Κύριος ἐπέσχε τοὺς μαθητὰς** εἰσελθεῖν εἰς **τὴν** πόλιν **τῶν** Σαμαρειτῶν**, διὰ τὴν ἁμαρτίαν τῆς ἀποστασίας˙ ὅτε γὰρ τῆς βασιλείας Δαυὶδ ἀπέστησαν αἱ δέκα φυλαί, ἐν Σαμαρείᾳ προὔστησαν σφῶν αὐτῶν βασιλέα. Ὁ αὐτὸς ἄρα ἦν λαὸς τῶν καιρῶν τοῦ Χριστοῦ, ὁ καὶ πρότερον ὤν˙ οὕτω δὲ ἔχει ὁ λαὸς πρὸς τὸν λαόν, ὥσπερ ὁ ἄνθρωπος πρὸς τὸν ἄνθρωπον, καὶ ἡ ψυχὴ πρὸς τὴν ψυχήν. Μία ἄρα ἔστι ψυχὴ ἐν τῷ ὄντι καὶ τῷ γεγονότι καὶ τῷ ἐς νέωτα ἐψομένῳ˙ καὶ ταύτῃ, διὰ τοῦ αὐτοῦ λόγου, ἡ αὐτὴ ἔσται ψυχὴ ἐν ἑκάστοις ἀνθρώποις.**

**76-79** ὁ – Σαμαρειτῶν] Mt. 10, 5: Τούτους τους δώδεκα απέστειλεν ο Ιησούς και παρήγγειλεν εις αυτούς, λέγων· Εις οδόν εθνών μη υπάγητε, και εις πόλιν Σαμαρειτών μη εισέλθητε.

**67** σώματος] corporali Aq.; Prochoros legit corporis? **73** Hic post εἴδους Aq. habet: ut a multis ponitur: compositum enim ex materia et forma **77** ἀποστασίας] sic P, M (schismatis Aq.) **79** βασιλέα] caput regni Aq. **82** Hic post ἄρα Aq. habet: eadem ratione **82-83** τῷ – καὶ] deest Aq.

[9.11] Ἔτι, μᾶλλον ἤρτηται τὸ συμβεβηκὸς τοῦ ὑποκειμένου, ἢ τὸ εἶδος τῆς ὕλης· ἐφόσον τὸ μὲν εἶδος δίδωσι τῇ ὕλῃ τὸ εἶναι ἁπλῶς, τὸ δὲ συμβεβηκὸς οὐ δίδωσι τὸ ἁπλῶς εἶναι. Τὸ δὲ συμβεβηκὸς δύναται εἶναι, ἐν πολλοῖς ὑποκειμένοις, ὥσπερ ὁ εἷς χρόνος ἔστιν ἐν πολλαῖς κινήσεσιν, ὡς ὁ Ἄνσελμος φησί. Πολλῷ ἄρα μία ψυχὴ δύναται εἶναι πολλῶν σωμάτων. Καὶ ταύτῃ οὐκ ἀνάγκη εἶναι πολλοὺς δυνάμει νοῦς.

[9.12] Παρὰ ταῦτα, ἡ νοερὰ ψυχὴ ἰσχυροτέρα ἐστὶ τῆς φυτικῆς. Ἀλλ' ἡ φυτικὴ ψυχή, δύναταί τι ῥωννύναι καὶ ἔξω τοῦ σώματος, οὗ εἶδος ἐστί· φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ ἕκτῳ τῆς Μουσικῆς, ὅτι αἱ ὀπτικαὶ ἀκτῖνες, ῥώννυνται ἀπὸ τῆς τοῦ ὁρῶντος ψυχῆς, ὡς πόρρω ἵεσθαι καὶ
P 300v μέχρι τοῦ ὁρωμένου | πράγματος. Πολλῷ ἄρα μᾶλλον ἡ νοερὰ ψυχὴ δύναται τελέως οἰκονομεῖν τὰ ἄλλα σώματα, ἄνευ τοῦ σώματος ἐν ᾧ ἐστίν.

[9.13] Ἔτι, εἰ ὁ δυνάμει νοῦς πληθύνεται κατὰ τὸν τῶν σωμάτων πληθυσμόν, πληθυνθήσεται. Ἀλλ' ἀπὸ πάντων τῶν εἰδῶν, ἃ πληθύνεται κατὰ τὸ πλῆθος τῆς σωματικῆς ὕλης, δύναταί τις ἀποσπᾶσθαι κοινὴ ἐπιβολή. Ἄρα ἔστιν ἀνελέσθαι ἀπὸ τῶν νοουμένων εἰδῶν διὰ τοῦ δυνάμει νοῦ, τινὰ κοινὴν νοητὴν ἐπιβολήν· καὶ δι' ἴσου λόγου, ἐπειδὰν ἐκείνη ἡ ἐπιβολὴ νοουμένη πληθύνεται ἀναλόγως τῷ πλήθει τῶν δυνάμει νῶν, ἔστιν αὖθις ἀπομάττεσθαι ἄλλην ἐπιβολήν, κοινὴν νοητήν, καὶ τοῦτο ἐπ' ἄπειρον· τὸ δ' οὐχ οἷόν τε. Ἔστιν ἄρα εἷς νοῦς δυνάμει πᾶσι.

**93-95** ὁ – πράγματος] Aug., De mus. VI, cap. 8, n. 21 (col. 1174): ut igitur nos ad capienda spatia locorum diffusio radiorum iuvat, qui e brevibus pupulis in aperta emicant, et adeo sunt nostri corporis, ut quamquam in procul positis rebus quas videmus, a nostra anima vegetentur; ut ergo eorum effusione adiuvamur ad capienda spatia locorum: ita memoria... **86** ἐφόσον – δίδωσι] cf. Boet., De trin., cap. 2 (PL 64, col. 1250B): Omne namque esse ex forma est.

**87** Τὸ] sic P, M (unum Aq.) **92** ῥωννύναι] vegetare Aq. **94** ῥώννυνται] vegetantur Aq. | ἵεσθαι] sic P; Prochoros legit produci? **96** ἄνευ] sic P (praeter Aq.) **99** Hic post πληθυσμόν Aq. habet: oportet quod species intelligibiles, quae sunt in intellectu possibili in me et in te, secundum multiplicationem corporum **104** τῶν – νῶν] intellectus possibilis Aq.

**[9.14] Πρὸς τούτοις πάντες ἄνθρωποι συμβαίνουσιν ἐν ταῖς πρώταις ἀρχαῖς. Τοῦτο δ’ οὐκ ἂν εἴη, εἰ μὴ τοῦθ’ ᾧ γινώσκονται αἱ πρῶται ἀρχαί, εἴη ἓν κοινὸν ἐν ἅπασι τοῖς ἀνθρώποις· τοιοῦτον δέ ἐστιν ὁ δυνάμει νοῦς. Ἔστιν ἄρα εἷς νοῦς ἐν ἅπασι δυνάμει.**

**[9.15] Ἔτι, οὐδὲν πρᾶγμα ἀτομισθὲν καὶ πληθυνθὲν δι’ ὕλης, ἐστὶ νοητὸν ἐνεργείᾳ. Ἀλλ’ ὁ δυνάμει νοῦς, ἐπειδὰν ἐνεργείᾳ νοῇ, ἐστὶν ἐνεργείᾳ νοῦς· ὁ δὲ ἐνεργείᾳ νοῦς, ἐστὶ τὸ νοητὸν ἐνεργείᾳ, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, ὥσπερ καὶ ἡ ἐνεργείᾳ αἴσθησις, τὸ ἐνεργείᾳ αἰσθητὸν ἐστίν. Ὁ δυνάμει ἄρα νοῦς, οὐκ ἀτομίζεται, οὐδ’ εἰς πλῆθος χωρεῖ διὰ σωματικῆς ὕλης, ὡδὶ δέ ἐστιν εἷς ἐν ἅπασιν.**

**[9.16] Ἔτι, τὸ λαμβανόμενον ἔστιν ἐν τῷ λαμβάνοντι τῷ τρόπῳ τοῦ λαμβάνοντος. Ἀλλὰ τὸ εἶδος τὸ νοητὸν λαμβάνεται ἐν τῷ νῷ ὡς νοητὸν ἐνεργείᾳ, καὶ οὐχ ὡς ἠτομισμένον δι’ ὕλης. Ὁ δυνάμει ἄρα νοῦς, οὐκ ἀτομίζεται διὰ τῆς ὕλης· οὐδ’ ἄρα πληθύνεται τῷ πληθυσμῷ τῆς σωματικῆς ὕλης.**

**[9.17] Ἐφ’ ἅπασι δὲ τούτοις ὁ δυνάμει νοῦς, Σωκράτους καὶ Πλάτωνος νοεῖ τὴν οὐσίαν ἑαυτοῦ, ἐφόσον ὁ νοῦς εἰς ἑαυτὸν ἀνακάμπτει· αὐτὴ ἄρα ἡ οὐσία τοῦ δυνάμει νοῦ, ἐστὶν νοητὴ ἐνεργείᾳ. Ἀλλ’ οὐδὲ ἓν εἶδος ἀτομισθὲν καὶ πληθυνθὲν δι’ ὕλης ἐστὶ νοητὸν ἐνεργείᾳ. Ὁ δυνάμει ἄρα νοῦς οὐκ ἀτομίζεται καὶ πληθύνεται διὰ τῆς σωματικῆς ὕλης. Καὶ ταύτῃ ὑπολείπεται εἶναι ἕνα ἐν ἅπασι δυνάμει νοῦν.**

**112-114** ὁ – τρίτῳ] vide supra in apparatu fontium [8.35]. 359-360.

**108** γινώσκονται] cognoscunt Aq. **111** πρᾶγμα] sic P (forma Aq.) **114** καὶ] deest Aq.
**118** νοητὸν] sic P (intellecta Aq.) **120** ἀτομίζεται] est individuatus Aq.

[9.18] Ἀλλ’ ἐναντίον ἐστὶ τὸ λεγόμενον, ἐν τῇ Ἀποκαλύψει. Μεταταῦτα, εἶδον ὄχλον πολύν, ὃν ἀριθμῆσαι οὐκ ἠδυνάμην˙ τὸ πλῆθος δὲ ἐκεῖνο, οὐκ ἦν ἀνθρώπων σωματικῶς βιούντων˙ ἀλλὰ ψυχῶν, ἀπολυθεισῶν τοῦ σώματος. Εἰσὶν ἄρα ψυχαὶ νοεραὶ πολλαί, οὐχ ὅτι ἄρτι ἡνίκα τοῖς σώμασιν ἥνωνται, ἀλλ’ ἔτι καὶ τῶν σωμάτων ἀνεθεῖσαι.

[9.19] Ἔτι, ὁ Αὐγουστῖνος φησίν˙ ἴθι δή, πλάσωμεν τῷ λόγῳ, ὡς οἱ πολλοὶ βούλονται, εἶναι ἐν τῷ κόσμῳ ψυχὴν καθόλου˙ καὶ μεταταῦτα ὑπάγει˙ (P 301r) τοιαῦτα ὑποθέμενοι ἃ χρὴ | πρεσβεύειν κηρύττομεν˙ ἔστι τοίνυν ἄδοξον, εἶναι μίαν πάντων ψυχήν.

[9.20] Ἔτι, μᾶλλον δέδεται ἡ λογικὴ ψυχὴ τῷ ἀνθρωπείῳ σώματι, ἢ τῷ οὐρανίῳ σώματι ὁ κινῶν αὐτῷ. Ἀλλὰ τὸ ὑπόμνημα φησίν, ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, ὅτι, εἰ εἶεν πλείω σώματα κινητά, εἶεν ἂν πλείους οἱ κινοῦντες ἐν τοῖς οὐρανίοις σώμασιν, ᾖ που ἄρα πολλῶν ὄντων ἀνθρωπείων σωμάτων, ἔσονται πολλαὶ ψυχαὶ νοεραί˙ καὶ διατοῦτο οὐχ εἷς μόνον νοῦς δυνάμει.

[9.21] Ἀπόκρισις. Ῥητέον ὅτι πρὸς ἐνάργειαν ταυτησὶ τῆς ζητήσεως δεῖ προγνῶναι τί δήποτε νοεῖται τῷ ὀνόματι τοῦ δυνάμει νοῦ, καὶ τοῦ ἐνεργοῦντος˙ ἐπιστητέον δὲ ὅτι ὁ Ἀριστοτέλης προήχθη πρὸς τὴν τοῦ νοῦ θεωρίαν, διὰ τοῦ κατὰ τὴν αἴσθησιν παραδείγματος˙ ἐκ δὲ τοῦ τῆς αἰσθήσεως μέρους, ἐπείπερ ποτὲ μὲν εὑρισκόμεθα αἰσθανόμενοι δυνάμει, ὁτὲ δὲ ἐνεργείᾳ, χρὴ τιθέναι ἐν ἡμῖν τινὰ δύναμιν αἰσθητικήν δι’ ἧς ἐσμὲν

**129** Μεταταῦτα – ἠδυνάμην] Apoc. 7, 9: Μετά ταύτα είδον, και ιδού, όχλος πολύς, τον οποίον ουδείς ηδύνατο να αριθμήση... **133-135** ὁ – κηρύττομεν] Ps.-Aug., Contra Fel., cap. 12 (PL 42, cols 1166; 1167): Fingamus ergo, sicut plerique volunt, esse in mundo animam generalem...; Et hic si verborum vim, quotidiani sermonis contemplator attendas, contraria proponimus, oppugnantia praedicamus. **198-140** τὸ – σώμασιν] Av., Comm. de an. III, cap. 5 (Crawford, p. 403-404.485-492): Et hec est intentio eius quod fuit dictum in primo de Celo et Mundo, scilicet quod, si esset alius mundus, esset aliud corpus celeste; et si esset aliud corpus celeste, haberet alium motorem in numero a motore istius corporis celestis; et si hoc esset, tune motor corporis celestis esset materialis et numeratus per numerationem corporum celestium, scilicet quia impossibile est quod unicus motor in numero sit duorum corporum diversorum in numero; cf. Ar., De coel. I, 276a18-b25; Idem, 277b27-278b8; Metaph. XII, 1074a31-35. **145-146** ὁ Ἀριστοτέλης – παραδείγματος] Ar., De an. III, 429a13-b5: εἰ δή ἐστι τὸ νοεῖν ... ὁ δὲ χωριστός.

**132** ὅτι] solum Aq. **135** ὑπάγει] sic P; intellige ἐπάγει? (subdit Aq.) **137** λογικὴ] intellectiva Aq. **138** αὐτῷ] sic P; intellige αὐτὸ | ὑπόμνημα] sic P (Commentator Aq.) **140** σώμασιν] orbibus Aq. | ᾖ που] magis Aq. **141** διατοῦτο] deest Aq.

αἰσθητικοὶ δυνάμει· καὶ ταύτην εἶναι ἐν δυνάμει πρὸς τὰ αἰσθητά· καὶ μηδὲν αὐτῶν ἔχειν ἐνεργείᾳ, ἐν τῇ αὐτῆς οὐσίᾳ· ἄλλως γάρ, εἰ ἡ αἴσθησις ἔχοι ἐνεργείᾳ τὰ αἰσθητά, ὥσπερ οἱ ἀρχαῖοι φιλόσοφοι ἠξίουν, ἕψεται ἀεὶ εἶναι ἡμᾶς αἰσθανομένους ἐνεργείᾳ· παραπλησίως οὖν εὑρισκόμενοι ἐνίοτε μὲν νοοῦντες ἐνεργείᾳ· ἐνίοτε δὲ δυνάμει, ἀναγκαῖον ἐστὶ τιθέναι τινὰ δύναμιν, δι’ ἧς ἐσμὲν νοοῦντες δυνάμει· ἥτις ἐν τῇ αὐτῆς οὐσίᾳ καὶ φύσει, οὐκ ἔχει τινὰ τῶν νοητῶν πραγμάτων, ἃ νοεῖν δυνάμεθα, εἴπέρ ἐστι δυνάμει πρὸς πάντα· καὶ διατοῦτο ἐπικαλεῖται δυνάμει αἴσθησις, [sicut et sensus secundum quod est in potentia posset vocari sensus possibilis]. Ἡ δὲ δυνάμει αἴσθησις, ἀναφέρεται εἰς τὸ ἐνεργείᾳ διὰ τῶν ἐνεργείᾳ αἰσθητῶν, τῶν ἔξω τῆς ψυχῆς ὄντων· ὅθεν οὐκ ἀναγκαῖον τιθέναι τὴν αἴσθησιν ἐνεργοῦσαν· ὁμοίως τὲ οὐκ ἂν ἦν ἀναγκαῖον τιθέναι τὸν νοῦν νοοῦντα, εἰ τὰ καθόλου, ἃ εἰσὶν ἐνεργείᾳ νοητά, καθ’ αὑτὰ ὑφεστήκασιν ἔξω τῆς ψυχῆς, ὥσπερ ὁ Πλάτων ἠξίου· ἀλλ’ ἐπεὶ ὁ Ἀριστοτέλης οὐ τέθεικεν αὐτὰ ὑφεστάναι εἰ μὴ ἐν τοῖς αἰσθητοῖς, ἃ μὴ ἔστι νοητὰ ἐνεργείᾳ, ἠνάγκασται τιθέναι τινὰ δύναμιν, ᾗ γένοιντ’ ἂν τὰ δυνάμει νοητὰ ἐνεργείᾳ νοητά, ἐν τῷ τὰ εἴδη τῶν πραγμάτων ἀναλέγεσθαι ἀπό τε τῆς ὕλης καὶ πάντων τῶν ἀτομιζόντων· καὶ αὕτη ἡ δύναμις καλεῖται νοῦς ἐνεργῶν. Τοῦ δὲ δυνάμει νοῦ πέρι ὁ Ἀβερόης ἐν τῷ Περὶ ψυχῆς τρίτῳ ὑπομνήματι τέθεικεν εἶναι αὐτὸν οὐσίαν τινὰ χωριστὴν κατὰ τὸ εἶναι, ἀπὸ τῶν ἀνθρωπείων σωμάτων· συνεχίζεσθαι δὲ ἡμῖν διὰ τῶν φαντασμάτων·

**150-151** εἰ – ἠξίουν] cf. Ar., De an. III, 417a6-7: δῆλον οὖν ὅτι τὸ αἰσθητικὸν οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον... **161-162** εἰ – ἠξίου] Ar., Metaph. I, 987b1-18: Σωκράτους ... μόνον. **162-167** ὁ – ἐνεργῶν] Ar., De an. III, 430a10-17: Ἐπεὶ δ' [ὥσπερ] ἐν ἁπάσῃ τῇ φύσει ἐστὶ [τι] τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ τὸ αἴτιον καὶ ποιητικόν, τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς· καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. **167-169** Τοῦ – φαντασμάτων] Av., Comm. de an. III, comm. 5 (Crawford, p. 405.524-527 et passim): remanet ut continuatio ... cum nobis in potentia.

**149** τὰ αἰσθητά] species sensibilium Aq. **155** τῶν – πραγμάτων] sic P, M (de naturis rerum sensibilium Aq.) **156** εἴπέρ] sed Aq. **157** αἴσθησις] intellectus Aq. **161** τὸν –νοοῦντα] deest M | νοοῦντα] sic P (agentem Aq.); Prochoros legit intelligentem **162** ἐπεὶ] deest M **164** ᾗ γένοιντ’] quae faceret Aq. **168** τέθεικεν] τέθηκεν P, M

**καὶ αὖθις εἶναι ἕνα νοῦν δυνάμει πάντων· τοῦ δὲ ταύτην τὴν δόξαν ἀντίπαλον εἶναι τῇ πίστει, ῥᾴδιον διιδεῖν· καὶ γὰρ ἀναιρεῖ τὰ γέρα καὶ τὰς εὐθύνας τῆς ἀποκειμένης ζωῆς.**

**Ἀλλὰ γὰρ ἐξελεγκτέον ταύτην τὴν θέσιν ἀδύνατον εἶναι καθ’ αὐτὴν διὰ τῶν ἀληθῶν τῆς φιλοσοφίας ἀρχῶν· δέδεικται δὲ ἐν τοῖς ἄνω ἡνίκα περὶ τῆς** P 301v **πρὸς τὸ σῶμα ἑνώσεως | τῆς ἀσωμάτου οὐσίας τὸν λόγον ἐνεστησάμεθα, ὅτι κατὰ ταύτην τὴν θέσιν ἕψεται, μηδένα ἄνθρωπον μερικὸν νοεῖν τί· καὶ μέντοι δοθέντος γυμνασίας εἵνεκα, ὅτι τίς ἄνθρωπος μερικὸς διὰ τοῦ ταύτῃ χωριστοῦ νοῦ, δύναιτο νοεῖν, ἕψεται τρία τὰ ἄτοπα, εἰ προστεθείη εἶναι ἕνα νοῦν ἁπάντων δυνάμει, ᾧ πάντες νοοῦσι· πρῶτον μὲν ὅτι ἀδύνατον μιᾶς δυνάμεως ὁμοῦ καὶ ἐφάπαξ, εἶναι πλείους ἐνεργείας ἀποσκοποῦσιν εἰς τὸ αὐτὸ ἀντικείμενον· συμβαίνει δὲ δύο ἀνθρώπους ὁμοῦ καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἓν καὶ τὸ αὐτὸ νοητὸν νοεῖν· εἰ τοίνυν ἑκάτερος νοεῖ δι’ ἑνὸς δυνάμει νοῦς, ἕπεται μίαν καὶ τὴν αὐτὴν εἶναι νοερὰν ἐνέργειαν ἑκατέρου· ὥσπερ εἰ δύο ἄνθρωποι ὁρῷεν ἑνὶ ὀφθαλμῷ, εἵπετο ἂν τὴν αὐτὴν εἶναι ὅρασιν ἑκατέρου· ὃ φαίνεται εἶναι πάντῃ ἀμήχανον· οὐδὲ οἷόν τε λέγεσθαι ὅτι τὸ νοεῖν ἐμὲ οὐκ ἔστιν ἄλλο τοῦ σοῦ νοεῖν τῇ ἑτερότητι τῶν φαντασμάτων· τὸ γὰρ φάντασμα οὐκ ἔστι τὸ ἐνεργείᾳ νοητόν· ἀλλὰ τὸ ἀποσπώμενον ἀπ’ αὐτοῦ, ὃ τίθεται εἶναι ἕν· ὅθεν ἡ διαφορὰ τῶν φαντασμάτων, ἐστὶν ἔξω τῆς νοερᾶς ἐνεργείας· καὶ ταύτῃ οὐ δύναται**

**169** ἀνθρωπείων] hominum Aq. **177** μέντοι] μὲν δὴ P **178** εἰ προστεθείῃ] εἴτε προσθείη M; si ponatur Aq. **182** νοητὸν] νόημα M | ἑκάτερος] ἑκατέροις P **183** νοῦ] νοῦς P. Post αὐτὴν Aq. habet: numero **184** εἰ] οἱ M **187** τὸ[1]] deest P **188** ἕν] sic P (universale Aq.)

**ποικίλλειν αὐτήν· δεύτερον ὅτι, ἀδύνατον ἐστίν, εἶναι ἒν τῷ ἀριθμῷ τοῖς ἀτόμοις τοῦ αὐτοῦ εἴδους ἐκεῖνο, δι' οὗ τοῦ εἴδους μετέχουσιν· εἰ γὰρ δύο ἵπποι συνέλθοιεν εἰς ταὐτὸν τῷ ἀριθμῷ, ᾧ τὸ εἶδος τοῦ ἵππου κληρώσονται, ἕψεται δύο ἵππους εἶναι ἕνα ἵππον· ὅπέρ ἐστιν ἀδύνατον· καὶ διατοῦτο ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά, λέγεται τὰς ἀρχὰς τοῦ εἴδους, ᾗ εἰσὶ προσδιωρισμέναι, ποιεῖν τὸ ἄτομον· οἷον εἰ λόγος εἴη τοῦ ἀνθρώπου τὸ εἶναι ἐκ ψυχῆς καὶ σώματος, λόγος ἔσται τοῦδε τοῦ ἀνθρώπου, εἶναι ἐκ τοῦδε τοῦ σώματος, καὶ ἐκ τῆσδε τῆς ψυχῆς. Ὅθεν τὰς ἀρχὰς οὑτινοσοῦν εἴδους ἀναγκαῖον πληθύνεσθαι τῷ πληθυσμῷ τῶν ἀτόμων τοῦ αὐτοῦ εἴδους· ἀπὸ δὲ τῆς ἰδίας ἐνεργείας τῆς ἑπομένης τῷ εἴδει, διαγινώσκεται τὸ ληφθὲν εἶδος· διαιτῶμεν γὰρ εἶναι ἀληθινὸν χρυσόν, τὸν ἔχοντα τὴν ἐνέργειαν τοῦ χρυσοῦ ἰδίαν· ἰδία δὲ ἐνέργεια τοῦ ἀνθρωπείου εἴδους, ἐστὶ νοεῖν· ὅθεν κατὰ ταύτην τὴν ἐνέργειαν, τίθησιν ὁ Ἀριστοτέλης τὴν ἄκραν τοῦ ἀνθρώπου εὐδαιμονίαν, ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικά· ταύτης δὲ τῆς ἐνεργείας ἀρχή, οὐκ ἔστιν ὁ παθητικὸς νοῦς· ἢ ἡ διανοητικὴ δύναμις, ἢ ἡ ὀρεκτικὴ καὶ αἰσθητική· αἳ ἀμηγέπῃ κοινωνοῦσι τῷ λόγῳ· ἐφόσον αὗται μὲν αἱ δυνάμεις οὐκ ἔχουσι τὴν ἐνέργειαν, εἰ μὴ δι' ὀργάνων σωματικῶν· τὸ δὲ νοεῖν ἀδύνατον εἶναι δι' ὀργάνου σωματικοῦ· ὡς ἐν τῷ Περὶ ψυχῆς τρίτῳ δείκνυται· καὶ ταύτῃ λείπεται, τὸν δυνάμει νοῦν εἶναι ᾧ ὁ ἄνθρωπος, τὸ ἀνθρώπινον εἶδος κληροῦται· οὐχ ὁ παθητικὸς νοῦς, ὡς Ἀβερόης ἐπλάσατο. Ὑπόλοιπον τοίνυν ἀδύνατον εἶναι ἕνα νοῦν δυνάμει ἐν πᾶσιν ἀνθρώποις εἶναι. Τρίτον, ἕψεται**

**194-196** ἐν – ψυχῆς] Ar., Metaph. VII, 1035b27-33: ὁ δ' ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ οὕτως ἐπὶ τῶν καθ' ἕκαστα, καθόλου δέ, οὐκ ἔστιν οὐσία ἀλλὰ σύνολόν τι ἐκ τουδὶ τοῦ λόγου καὶ τησδὶ τῆς ὕλης ὡς καθόλου· καθ' ἕκαστον δ' ἐκ τῆς ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐστίν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. – μέρος μὲν οὖν ἐστὶ καὶ τοῦ εἴδους (εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι) καὶ τοῦ συνόλου τοῦ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης <καὶ τῆς ὕλης> αὐτῆς. **207-208** τὸ – δείκνυται] Ar., De an. III., 429a24-25: διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι.

**199-200** ἀπὸ – εἶδος] a quo Aq. **202-203** ὁ Ἀριστοτέλης] philosophus Aq. **205** ἢ] id est Aq. **206** κοινωνοῦσιν] κοινωνεῖν M

302r **τὸν δυνάμει νοῦν μὴ λαμβάνειν | ἄλλα εἴδη ἀποσπώμενα τῶν ἡμετέρων φαντασμάτων, εἰ εἴη εἷς νοῦς δυνάμει πάντων, τῶν τε ἀπογεγονότων, καὶ περιόντων, καὶ ἐσομένων· ἐπεὶ γὰρ ἄνθρωποι πολλοὶ προὐχώρησαν πολλὰ νοοῦντες, ἕπεται ἀποσκοποῦσιν εἰς πάντα ἐκεῖνα ἃ κατειλήφασιν, εἶναι ἐνεργείᾳ καὶ οὐ δυνάμει τὸν νοῦν πρὸς τὸ λαμβάνειν· οὐδὲ γὰρ λαμβάνει, ὃ δὴ ἔχει, ἀφ' οὗ περαιτέρω ἕψεται· ὅτι εἰ ἡμεῖς ἐσμὲν νοοῦντες καὶ ἐπιστήμας ἀναλεγόμενοι διὰ τοῦ δυνάμει νοῦ, τὸ ἐπιστητὸν ἴσχειν ἐν ἡμῖν, μὴ εἶναι ἄλλο, ἢ ἀναμιμνῄσκεσθαι· εἰ καὶ τοῦτο αὐτὸ καὶ καθ' αὐτὸ ἄτοπον δοκεῖ, τὸν δυνάμει νοῦν, εἰ εἴη οὐσία χωριστὴ κατὰ τὸ εἶναι τελεοῦσθαι εἰς τὸ ἐνεργείᾳ διὰ τῶν φαντασμάτων· ἐφόσον τὰ ὑπερκείμενα ἐν τοῖς οὖσιν οὐ δέονται τῶν ὑποβεβηκότων εἰς τὴν αὐτῶν τελειότητα· ὥσπερ γὰρ ἄτοπον ὂν τυγχάνει, τὰ οὐράνια σώματα εἰς τὸ ἐνεργείᾳ ἐξικνεῖσθαι, τελειούμενα παρὰ τῶν ὑποβεβηκότων σωμάτων, ὁμοίως, καὶ πολλῷ μᾶλλον ἀδύνατόν ἐστιν, οὐσίαν τινὰ χωριστὴν εἰς τὸ ἐνεργείᾳ προβιβάζεσθαι λαμβάνουσαν ἀπὸ τῶν φαντασμάτων. Ἔτι τε, προὖπτον ταύτην τὴν δόξαν ἀντιβαίνειν τοῖς Ἀριστοτέλους ῥήμασι. Καὶ γὰρ ἀρχόμενος ζητεῖν περὶ τοῦ δυνάμει νοῦ, εὐθὺς καὶ ἐκ προοιμίων καλεῖ αὐτὸν μόριον τῆς ψυχῆς, λέγων, περὶ δὲ τοῦ τῆς ψυχῆς μέρους, ᾧ** γινώσκει καὶ φρονεῖ, **καὶ βουλόμενος ζητεῖν περὶ τῆς φύσεως τοῦ δυνάμει νοῦ προαπορεῖ τινά· πότερον τὸ νοοῦν μέρος ὑπάρχει χωριστὸν**

**230** περὶ – φρονεῖ] Ar., De an. III, 429a23: λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή.

**213** ἀπογεγονότων] ἀπογενότων P, M **214** καὶ ἐσομένων] deest Aq. **218** ἀναλεγόμενοι] deest Aq. | ἐπιστητόν] ἐπιστήμον M **219** ἀναμιμνήσκεσθαι] ἀναμιμνῆσθαι M | ἴσχειν] deest Aq. **223** τυγχάνει [dicere] **224** ἐξικνεῖσθαι] perficientur Aq. | τελειούμενα] accipiendo Aq. | σωμάτων] deest M **225** μᾶλλον] amplius Aq. **229** Post ᾧ Aq. habet: anima

τῷ ὑποκειμένῳ τῶν ἄλλων μερῶν τῆς ψυχῆς ὡς ὁ Πλάτων ἠξίου, ἢ λόγῳ μόνον· καὶ τοῦτ’ ἐστὶν ὅ φησιν εἴτε χωριστῷ ὄντι, εἴτε ἀχωρίστῳ, κατὰ τὸ μέγεθος, ἢ τὸν λόγον· ἐξ οὗ φαίνεται ὅτι ὁτουοῦν ὑποτεθέντος τούτων, οὐ διαπεσεῖται τὸ δόγμα αὐτοῦ· ὃ σκοπεῖ περὶ τοῦ δυνάμει νοῦ. Οὐκ ἂν δὲ ἐκράτει τὸ εἶναι χωριστὸν κατὰ τὸν λόγον, εἰ ἡ προειρημένη θέσις εἴη ἀληθής· ὅθεν ἡ προειρημένη δόξα, οὐκ ἔστι γνώμη τοῦ Ἀριστοτέλους. Πρὸς τούτοις , ἔτι ἐπιφέρει ὅτι ὁ δυνάμει νοῦς, ἐστὶν ᾧ ἡ ψυχὴ δοξάζει καὶ νοεῖ, καὶ πόλλ’ ἕτερα ἄττα τοιάδε· ἐξ ὧν ἐναργῶς δίδωσι νοεῖν ὅτι ὁ δυνάμει νοῦς, ἔστι τι τῆς ψυχῆς, καὶ οὐκ ἔστιν οὐσία χωριστή.

[9.22] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἡγεῖται εἶναι γελοῖον, τὸ τιθέναι τῶν διαφόρων ἀνθρώπων τὰς ψυχάς, εἶναι πολλάς, οὕτως μέντοι γε ὡς μὴ μόνον ἀριθμῷ ἀλλὰ καὶ εἴδει διαφέρει· καὶ διαφερόντως κατὰ τὴν τῶν Πλατωνικῶν δόξαν, οἳ ἐφιστᾶσι πᾶσι τοῖς οὖσιν ἑνὸς εἴδους, ἓν τὶ κοινὸν αὐθυπόστατον.

[9.23] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι οἱ ἄγγελοι, [sicut non habent materiam ex qua sunt, ita] οὐκ ἔχουσιν ὕλην, ἐν ᾗ εἰσίν. Ἡ δὲ ψυχή, ἔχει [materiam in qua est], καὶ διατοῦτο οἱ μὲν ἄγγελοι, οὐ δύνανται εἶναι πολλοὶ ἐν ἑνὶ εἴδει, ψυχαὶ δὲ δύνανται εἶναι πολλαὶ τοῦ αὐτοῦ εἴδους.

[9.24] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ὥσπερ τὸ σῶμα ἔχει πρὸς τὸ τῆς ψυχῆς εἶναι, οὕτω καὶ πρὸς τὴν αὐτῆς ἀτομότητα· ἕκαστον γὰρ κατὰ ταυτὸν ἐστίν, ἓν καὶ ὄν· τὸ εἶναι δὲ τῇ ψυχῇ ζητεῖται, καθὸ ἑνοῦται τῷ σώματι· μεθ’ οὗ
P 302$^{v}$ μίαν ὁμοῦ καθίστησι | φύσιν, ἧς ἑκάτερον μόριον ἐστίν. Ἐπεὶ μέντοι ἡ νοερὰ ψυχὴ ἔστιν εἶδος ὑπερβάλλον τοῦ σώματος, τὴν δεκτικὴν δύναμιν, καὶ ἔχει τὸ εἶναι αὐτῆς ἠρμένον ὑπὲρ τὸ σῶμα, διατοῦτο χωριζομένου τοῦ σώματος, ἔτι μένει αὐτῆς τὸ εἶναι. Καὶ ὁμοίως ἀναλόγως κατὰ τὰ σώματα πληθυνόμεναι, ὅμως ἀπογινομένων αὐτῶν, μένουσι πολλαὶ αἱ ψυχαί.

**232** ὡς – ἠξίου] Ar., De an. I, 411b5-6: λέγουσι δή τινες μεριστὴν αὐτήν, καὶ ἄλλῳ μὲν νοεῖν ἄλλῳ δὲ ἐπιθυμεῖν; cf. Av., Comm. de an. I, comm. 90 (Crawford, p. 121.8-13): Innuit Platonem, qui opinatur quod anima essentialiter dividitur in corpore secundum divisionem membrorum in quibus agit suas actiones diversas, et quod non communicatur in aliquo membro, ita quod pars intelligens est in cerebro tantum, et desiderans in corde tantum, et nutriens in epate. **238-239** ᾧ – νοεῖ] vide supra in apparatu fontium [9.21]2.30.

**243** ὡς – μόνον] deest Aq. | ἀλλὰ] deest Aq. **244** ἐφιστᾶσι] posuerunt Aq. **238** νοῦς] νοῦς bis scripsit P **241** καὶ] deest Aq. **252** ζητεῖται] sic P (acquiritur Aq.); Prochoros legit requiritur **243** διαφέρει] διαφέρειν P (different Aq.) **256** αὐτῇ τὸ] αὐτῆς P (τὸ deest)

[9.25] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι, εἰ καὶ τὸ σῶμα μὴ ἔστιν ἐκ τῆς οὐσίας τῆς ψυχῆς, ἡ ψυχὴ μέντοι κατὰ τὴν αὐτῆς οὐσίαν, ἔχει σχέσιν πρὸς τὸ σῶμα· ἐφόσον τοῦτ᾽ ἐστὶν οὐσιῶδες αὐτῇ, τὸ εἶναι εἶδος σώματος· καὶ διατοῦτο ἐν τῷ τῆς ψυχῆς ὅρῳ, τίθεται τὸ σῶμα. Ὥσπερ τοίνυν ἐκ τοῦ λόγου τῆς ψυχῆς ἐστὶ τὸ εἶναι εἶδος τοῦ σώματος, οὕτως ἐκ τοῦ λόγου τῆσδε τῆς ψυχῆς, ἐφόσον ἐστὶν ἥδε ψυχή, ἐστὶ τὸ ἔχειν σχέσιν πρὸς τόδε τὸ σῶμα.

[9.26] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐκεῖ διαλέγεται, ὑποθέμενος τὴν δόξαν τῶν τιθεμένων εἶναι μίαν ψυχὴν καθόλου, ὡς ἐκ τῶν προειρημένων δῆλον.

[9.27] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι ἐν τούτῳ τῷ λόγῳ μάλιστα δοκεῖ ῥεῦσαι ὁ Ἀβερόης, ὅτι δηλαδὴ ἕψεται, ὡς αὐτὸς οἴεται, εἰ ὁ δυνάμει νοῦς μὴ εἴη εἷς ἐν πᾶσι τοῖς ἀνθρώποις, τὸ νοούμενον πρᾶγμα ἀτομίζεσθαι καὶ ἀριθμεῖσθαι τῇ ἀτομότητι καὶ τῷ ἀριθμῷ τῶν καθέκαστα ἀνθρώπων· καὶ ταύτῃ εἶναι δυνάμει νοητὸν καὶ οὐκ ἐνεργείᾳ. Δεικτέον τοίνυν ἐν πρώτοις, ὅτι τόδε τὸ ἄτοπον, οὐχ ἥκιστα ἕπεται τιθεμένοις τὸν δυνάμει νοῦν εἶναι ἕνα ἢ τιθεμένοις αὐτὸ πολλαπλασιάζεσθαι ἐν πολλοῖς. Καὶ πρῶτον ὅσον πρὸς τὴν ἀτομότητα· δῆλον γὰρ ὅτι τὸ εἶδος τὸ ὂν ἔν τινι ἀτόμῳ, τῷ αὐτῷ λόγῳ ἀτομίζεται δι᾽ αὐτοῦ, εἴτε εἴη ἓν μόνον, ἐν ἑνὶ εἴδει, ὥσπερ ὁ ἥλιος, εἴτε πολλὰ εἶεν ἐν ἑνὶ εἴδει, ὥσπερ μαργαρίται· ἑκατέρου γὰρ λαμπρότης

**261** ἐν – σῶμα] Ar., De an. II, 412b4-6: εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. **268-272** ὁ – ἐνεργείᾳ] Av., Comm. de an. III, comm. 5 et passim (Crawford, p. 402.432-436): Si enim posuerimus quod iste intellectus materialis est numeratus per numerationem individuorum hominum, continget ut sit aliquid hoc, aut corpus aut virtus in corpore. Et cum fuerit aliquid hoc, erit intentio intellecta in potentia.

**269** οἴεται] sic P (dicit Aq.) **271** ἀτομότητι] ἐκτομότητι P (individuationem Aq.) | τῷ ἀριθμῷ] numeratione Aq. **273** τόδε – ἄτοπον] ista incovenientia (plur. Aq.) **275** γὰρ] deest Aq.

ἀτομίζεται. Ἀνάγκη δὲ λέγειν τὸν δυνάμει νοῦν, εἶναί τι ἄτομον ἰδικόν· τὸ γὰρ ἐνεργεῖν, τῶν καθέκαστα ἐστίν· εἴτ’ οὖν εἴη εἷς ἐν ἑνὶ εἴδει, εἴτε πολλοὶ τῷ αὐτῷ λόγῳ ἀτομηθήσεται, τὸ νοούμενον πρᾶγμα ἐν αὐτῷ· ὅσον δὲ πρὸς τὸ πλῆθος τῶν εἰδῶν, φανερὸν ὡς, εἰ καὶ μὴ πολλοὶ εἶεν νοῦς δυνάμει ἐν τῷ ἀνθρωπείῳ εἴδει, ὅμως εἰσὶ πολλοὶ νοῦς ἐν τῷ παντί· ὧν πλείους νοοῦσι ἓν καὶ τὸ αὐτό· μενεῖ ἄρα τὸ αὐτὸ ἀπόρημα, πότερον τὸ νοούμενον πρᾶγμα ἔστιν ἕν, ἢ πολλὰ ἐν τοῖς διαφόροις· διὰ μὲν οὖν τούτων, οὐ δύναται ἀποδεικνύναι τὸν αὐτοῦ σκοπόν· καὶ τῆς αὐτοῦ γὰρ θέσεως κειμένης, ἔτι τὸ αὐτὸ ἄτοπον μενεῖ. Καὶ διατοῦτο πρὸς λύσιν τῶν ἀμφισβητουμένων, θεωρητέον ἂν εἴη· ὅτι εἰ δεῖ περὶ τοῦ νοῦ διαλέγεσθαι καθ’ ὁμοιότητα τῆς αἰσθήσεως, ὡς φαίνεται ἐκ τῆς Ἀριστοτέλους τεχνολογίας ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, ἀνάγκη λέγειν τὸ νοούμενον πρᾶγμα μὴ ἔχειν πρὸς τὸν δυνάμει νοῦν, ὥσπερ τὸ νοητὸν εἶδος ᾧ ὁ δυνάμει νοῦς | [P 303r] ἐστὶν ἐνεργείᾳ· ἀλλὰ τοῦτο μὲν τὸ εἶδος ἔχει ὡς ἀρχὴ τοῦ εἴδους, ᾧ ὁ νοῦς νοεῖ, ἐκεῖνο δὲ τὸ νόημα ἢ τὸ νοούμενον πρᾶγμα, ἔχει ὡς γεγενημένον, καὶ εἰδοπεποιημένον διὰ τῆς τοῦ νοῦ ἐνεργείας· εἴτε τοῦτ’ εἴη ἁπλῶς τὸ αὐτό τί ἦν εἶναι τοῦ πράγματος, εἴτ’ εἴη σύνθεσις καὶ διαίρεσις προτάσεως. Ἃς δὴ δύο ἐνεργείας ἐννοῶν ὁ Ἀριστοτέλης, ἀποδίδωσιν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, τὴν μὲν μίαν δηλαδὴ καλῶν νοῦν τῶν ἀδιαιρέτων, ᾗ δηλονότι ὁ νοῦς καταλαμβάνει τὸ τί

**287-289** εἰ – τρίτῳ] De an. III, 429a15-b5. **294-295** Ἃς – τρίτῳ] De an. III, 430a26-28: Ἡ μὲν οὖν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις περὶ ἃ οὐκ ἔστι τὸ ψεῦδος, ἐν οἷς δὲ καὶ τὸ ψεῦδος καὶ τὸ ἀληθές σύνθεσίς τις ἤδη νοημάτων ὥσπερ ἓν ὄντων.

**278-279** τὸ – ἐνεργεῖν] actus (plur.) Aq. **279** ἐστίν] sunt Aq. | πολλοὶ] πολλὸς P (multi Aq.) **281** τῶν εἰδῶν] deest Aq. | καὶ] deest Aq. **282** πλείους] multi Aq. **283** ἀπόρημα] ἀπόρρημα P, M **284** τούτων] sic P, M; intellige τούτου (hoc Aq.) **285-286** τὸ – μενεῖ] eadem inconvenientia remanebant Aq. **286** τῶν ἀμφισβητουμένων] huius Aq. **288** τεχνολογίας] processu Aq. **290** ἐστὶν] sic P, M (fit Aq.) **293** αὐτό] deest Aq. **295** ἐννοῶν] sic P, M; intellige τὸν νοῦ (intellectus Aq.); Prochoros legit intelligens)

ἐστι τοῦ πράγματος· καὶ ταύτην οἱ Ἄραβες καλοῦσιν ἐκσφράγισιν ἢ εἰκόνισιν κατὰ νοῦν, τὴν δ’ ἑτέραν τίθησι σύνθεσιν καὶ διαίρεσιν νῶν· ἣν οἱ Ἄραβες προσαγορεύουσι πίστευσιν ἢ πίστιν ἁπλῶς· ἑκατέρας δὲ τούτων τῶν ἐνεργειῶν, προεπινοεῖται τὸ νοητὸν εἶδος, ᾧ ὁ δυνάμει νοῦς ἔστιν ἐνεργείᾳ· ὁ γὰρ δυνάμει νοῦς, οὐκ ἐνεργεῖ, ὅτι μὴ καθὸ ἐστὶν ἐνεργείᾳ· ὥσπερ οὐδ’ ἡ ὄψις ὁρᾷ, εἰ μὴ καθὸ γέγονεν ἐνεργείᾳ διὰ τοῦ ὁρατοῦ εἴδους· ὅθεν τὸ ὁρατὸν εἶδος, οὐκ ἔχει ὡς τὸ ὁρώμενον, ἀλλ’ ὡς τὸ ᾧ ἡ ὅρασις γίνεται· ἔχει δ’ ὡς καὶ περὶ τοῦ δυνάμει νοῦ, πλὴν ὅτι ὁ μὲν δυνάμει νοῦς ἀνακάμπτει ἐφ’ ἑαυτόν, καὶ ἐπὶ τὸ ἑαυτοῦ εἶδος, ἡ δ’ ὄψις πολλοῦ γε καὶ δεῖ. Τὸ τοίνυν νοούμενον πρᾶγμα, ὑπὸ δύο νῶν ἔστι· τῇ μέν, ἓν καὶ τὸ αὐτό, τῇ δ’ αὖ, πολλά· ἐκ μὲν οὖν τοῦ μέρους τοῦ γινωσκομένου πράγματος, ἔστιν ἓν καὶ τὸ αὐτό· τὸ δ’ ἀνῆκον εἰς τὴν γνῶσιν αὐτήν, ἔστιν ἄλλο καὶ ἄλλο· ὥσπερ εἰ δύο ὁρῷεν τοῖχον ἕνα, τὸ ὁρώμενον πρᾶγμα ἐκ μὲν τοῦ ἑαυτοῦ μέρους ἐστὶ τὸ αὐτό, ἄλλο μέντοι καὶ ἄλλο κατὰ τὰς διαφόρους ὁράσεις. Καὶ καθόλου ὅμοιον ἐστὶ καὶ περὶ τοῦ νοῦ, εἰ καὶ τὸ νοούμενον πρᾶγμα ἔξω τῆς ψυχῆς ἐστὶν ὥσπερ τὸ ὁρώμενον πρᾶγμα ὡς οἱ Πλατωνικοὶ ἠξίουν. Ἀλλὰ γὰρ ἔχειν δοκεῖ δυσχέρειαν μείζω κατὰ τὴν τῶν Ἀριστοτελικῶν δόξαν, εἰ καὶ ὁ αὐτὸς εἴη λόγος τοῖς ὀρθῶς σκοπεῖσθαι βουλομένοις· οὐ γάρ ἐστι διαφορὰ μεταξὺ Πλάτωνος καὶ Ἀριστοτέλους, εἰ μὴ καθὸ ὁ μὲν Πλάτων τίθησι τὸ νοούμενον πρᾶγμα, τὸν ὅμοιον τρόπον, ἔχειν τὸ εἶναι ἔξω τῆς ψυχῆς, ᾧ ὁ νοῦς αὐτὸ νοεῖ, εἴτουν χωριστὸν καὶ κοινόν, ὁ δ’ Ἀριστοτέλης τίθεται μὲν τὸ νοούμενον πρᾶγμα εἶναι ἔξω τῆς ψυχῆς. ἑτέρω δὲ τρόπῳ, νοεῖται μὲν χωριστῶς, ἔχει δὲ τὸ εἶναι ἐν

**297-298** καὶ – νοῦν] Av., Comm. de an. III, comm. 21 (Crawford, p. 455.14-17): Et quia famosior differentiarum per quas dividitur actio ntellectus sunt due actiones, quarum una dicitur ormatio et alia fides, incepit hie notificare differentiam inter has duas actiones; III, comm. 27 (p. 465.15-16): ...comprehensio intellectuum separatorum est formatio tantum...

**297** τοῦ] alicuius Aq. | ἐκσφράγισιν] ἐκσφράγησιν P, M **298** εἰκόνισιν] εἰκόνησιν M **299** ἑκατέρας] sic P, M; intellige ἑκατέραις (utrique Aq.) **300** ἔστιν] fit Aq. **305-306** πολλοῦ – δεῖ] non Aq. **307** οὖν] quia Aq. **308-310** τὸ δ’– αὐτό] deest M **311** ἐστὶ] esset Aq. | περὶ – νοῦ] ex parte Aq. | καὶ] deest Aq. **312** ἐστὶν] subsisteret Aq. **316** τίθησι] posuit Aq.

**συγκρίματι· ὡδὶ δὲ ὥσπερ κατὰ Πλάτωνα αὐτὸ τὸ νοούμενον πρᾶγμα, ἔστιν ἔξω τῆς ψυχῆς αὐτῆς, οὕτω καὶ κατὰ τὸν Ἀριστοτέλην· ὃ δῆλον ἐντεῦθεν· οὐδέτερος γὰρ αὐτῶν τέθεικε τὰς ἐπιστήμας εἶναι ἐκ τῶν ἐνόντων τοῖς ἡμετέροις νοῖς ὥσπερ ἐξ ὑποκειμένων, ἀλλ' ὁ μὲν Πλάτων εἴρηκε τὰς ἐπιστήμας εἶναι ἐκ τῶν χωριστῶν εἰδῶν, ὁ δ' Ἀριστοτέλης ἐκ τοῦ τί ἦν εἶναι τοῦ ἐνυπάρχοντος τῷ πράγματι τόνδε τοῦ καθόλου λόγον τὸν συνεστῶτα ἔκ τε τοῦ κοινοῦ καὶ τοῦ χωριστοῦ ἔπεσθαι μόνῳ τῷ τοῦ νοεῖν τρόπῳ |**
303v **ἐφόσον νοοῦμεν κοινῶς ἀποσπῶντες τὰ εἴδη· κατὰ δὲ τὸν Πλάτωνα ἕπεται, καὶ ὁ τοῦ εἶναι τρόπος τῶν χωριστῶν εἰδῶν. Καὶ διατοῦτο ὁ μὲν Πλάτων ἐτίθετο καθόλου ὑφεστάναι, Ἀριστοτέλης, δ' οὔ. Οὕτω τοίνυν καταφανές, τίνα τρόπον πλῆθος τῶν νῶν οὐ διαβέβληται, οὔτε τῷ καθόλου, οὔτε τῇ κοινότητι οὔτε τῷ μοναδικῷ τοῦ πράγματος.**

**[9.28] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι ἡ ἐπιστήμη ἐγγίνεται ἐν τῷ μαθητῇ παρὰ τοῦ διδασκάλου, οὐχ ὥσπερ ἡ θέρμη ἐν τοῖς ξύλοις παρὰ τοῦ πυρός, ἀλλ' ὥσπερ ἡ ὑγίεια ἐν τῷ κάμνοντι παρὰ τοῦ ἰατροῦ, ὃς ἐμποιεῖ τὴν ὑγείαν χορηγίᾳ τινῶν φαρμάκων, οἷς ἡ φύσις χρῆται πρὸς τὴν τῆς ὑγείας ἀνάληψιν. Καὶ διατοῦτο τῇ αὐτῇ τάξει πρόεισιν ὁ ἰατρὸς πρὸς τὸ ὑγιάζειν, ὥσπερ ἡ φύσις ὑγιάζει, ὡσπεροῦν ἀρχὴ τοῦ ὑγιάζειν ἐστὶν ἡ ἔνδον φύσις, οὕτως ἡ ποιητικὴ ἀρχὴ τῆς ἐπιστήμης ἔστιν ἔνδον, εἴτουν τὸ φῶς τοῦ ἐνεργοῦντος νοῦ, ᾧ γίνεται ἡ ἐπιστήμη ἐν ἡμῖν, ἐπειδὰν προΐωμεν τῇ συνθήκῃ τῶν καθόλου ἀρχῶν εἴς τινα μερικώτερα, ἃς δὴ καθόλου ἀρχάς, τῇ διὰ πείρᾳ ἀναλεγόμεθα εὑρίσκοντες. Ὁμοίως τὲ ὁ διδάσκαλος διάγει ἀπὸ τῶν καθόλου ἀρχῶν ἐπὶ τὰ μερικὰ προβλήματα, ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν Ὑστέρων φησίν, ἡ ἀπόδειξίς ἐστι συλλογισμὸς ὁ ποιῶν εἰδέναι.**

**328-329** ὁ – οὗ] Ar., Analyt. I, 71b117-18: ἀπόδειξιν δὲ λέγω συλλογισμὸν ἐπιστημονικόν.

**317** κοινῶς – εἴδη] abstractae et communites Aq. **321** τῷ μοναδικῷ] unitati Aq. **322** μὴ] deest Aq. **323** ὑποκειμένων] ὑποκειμένου P (substantiis Aq.) **326** ἀνάληψιν] causandum Aq. | πρὸς – ὑγιάζειν] in sanando Aq. **327** ἀρχὴ] principium principaliter Aq. **329** γίνεται] sic P (causatur Aq.) **341** διάγει] sic P (deducit Aq.); Prochoros legit perducit? **342** ἀπὸ] deest Aq. | προβλήματα] sic P, M (conclusiones Aq.) **337** ὑγιάζει] ὑγειάζει P, M **343** ἡ] deest P

**[9.29] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι καὶ ἐκ τούτου τοῦ λόγου ἐξηπάτηται ὁ Ἀβερόης. Ὠήθη γὰρ διὰ τὸ εἰρηκέναι τὸν Ἀριστοτέλην, τὸν δυνάμει νοῦν εἶναι χωριστόν, ὅτι ἔστι χωριστὸς κατὰ τὸ εἶναι, καὶ κατὰ τὸ εἰκός, ὅτι οὐκ ἐπιδίδωσιν εἰς πλῆθος τῷ πληθυσμῷ τῶν σωμάτων. Ἀλλ' ὁ Ἀριστοτέλης τοῦτο μέν, οὐδὲν ἐνενόησε, βούλεται δὲ εἶναι τὸν δυνάμει νοῦν, δύναμιν τῆς ψυχῆς, ἣ μὴ ἔστι τὸ ἐνεργείᾳ τινὸς ὀργάνου, ὡσὰν ἔχουσα τὸ δρᾶν, δι' ὀργάνου σωματικοῦ, ὥσπερ ἡ ὀπτικὴ δύναμις ἔστι δύναμις ὀργάνου, ἔχουσα τὴν ἐνέργειαν δι' ὀργάνου σωματικοῦ. Καὶ ἐπεὶ μὴ ἔχει τὴν ἐνέργειαν ὁ δυνάμει νοῦς δι' ὀργάνου σωματικοῦ, διατοῦτο οὐκ ἀνάγκη γινώσκειν ταῦτα μόνον ἃ ἔχει συγγένειαν, ἢ μεθ' ὅλου τοῦ σώματος, ἢ μετά τινος μορίου αὐτοῦ.**

**[9.30] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ἡ δόξα ἡ τιθεῖσα τὴν ψυχὴν εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους, ἐστὶ πάντῃ ψευδὴς καὶ ἄδοξος. Οὐ γὰρ δύναται εἶναι σώματος εἶδος, εἰ εἴη ἐξ ὕλης καὶ εἴδους σύνθετος. Εἰ γὰρ ἡ ψυχὴ εἴη εἶδος σώματος κατὰ τὸ ἑαυτῆς μόνον εἶδος, ἕψεται ἓν καὶ τὸ αὐτὸ εἶδος τελειοῦν διαφόρους ὕλας διαφόρων γενῶν, δηλαδὴ τὴν πνευματικὴν ὕλην τῆς ψυχῆς, καὶ τὴν ὕλην τοῦ σώματος· ὅπερ ἔχει ὂν ἀδύνατον. Καὶ γάρ ἐστιν ἴδιον τὸ ἐνεργείᾳ τοῦ ἰδίου δυνάμει. Καὶ χωρὶς δὲ τούτων ἐκεῖνο τὸ ἐξ ὕλης καὶ εἴδους σύνθετον, οὐκ ἂν εἴη ψυχή, ἀλλὰ τὸ εἶδος τοῦ σώματος·**
P 304r **λέγοντες γὰρ ψυχὴν | νοοῦμεν τὸ ὂν εἶδος τοῦ σώματος. Εἰ δὲ τὸ τῆς**

**345-348** ἐξηπάτηται – σωμάτων] Av., Comm. de an. III, comm. 4 et passim (Crawford, p. 386.99-105): Et cum talis est dispositio intellectus materialis, scilicet quod est unum entium, et quod potentia est abstracta, et non habet formam materialem, manifestum est ipsum esse non passivum, cum passiva, scilicet transmutabilia, sunt sicut forme materiales, et quod est simplex, sicut dicit Aristoteles, et separabilis. Et sic intelligitur natura intellectus materialis apud Aristotelem.

**349** τοῦτο – ἐνενόησε] deest Aq.; τοῦτο deest P; ενενόηκε M **361** τοῦ σώματος] corporalem Aq. **362** ἐνεργείᾳ] sic P, M (actus Aq.) **364** τοῦ σώματος] sic P, M (eius Aq.)

ψυχῆς εἶδος εἴη εἶδος τοῦ σώματος, μεσιτευούσης τῆς ἰδίας ὕλης, ὥσπερ τὸ χρῶμα ἐστὶ τὸ ἐνεργείᾳ τοῦ σώματος μεσιτευούσης τῆς ἐπιφανείας, ὡς ταύτῃ ὅλη ἡ ψυχὴ δύνασθαι λέγεσθαι εἶδος τοῦ σώματος, ὥσπερ τὸ χρῶμα καὶ ἡ ἐπιφάνεια τὸ ἐνεργείᾳ τοῦ σώματος, ἀλλὰ τοῦτ' ἐστὶν ἀδύνατον· διὰ γὰρ τῆς ὕλης νοοῦμεν τὸ δυνάμει ὂν μόνον· ὃ δέ ἐστι δυνάμει μόνον, οὐ δύναται εἶναι τινὸς τὸ ἐνεργείᾳ, ὅπέρ ἐστιν εἶναι εἶδος. Εἰ δέ τις τῷ τῆς ὕλης ὀνόματι νοεῖ τι ἐνεργείᾳ, ὀλιγωρητέον· οὐδὲν γὰρ κωλύει, τοῦθ' ὃ καλοῦμεν ἐνέργειαν, ὀνομάζειν τινὰ ὕλην, ὥσπερ τοῦθ' ὃ καλοῦμεν ἡμεῖς λίθον, τινὰ δύνασθαι καλεῖν ὄνον.

[9.31] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι, καθάπερ ὁ Σένεκας ποταμὸς οὐκ ἔστιν οὗτος ὁ ποταμὸς διὰ τόδε τὸ ῥέον ὕδωρ, ἀλλὰ διὰ τήνδε τὴν προχοήν, καὶ διὰ τόδε τὸ ῥεῖθρον· ὅθεν ἀεὶ λέγεται, ὁ αὐτὸς ποταμός, εἰ καὶ τὸ νάον ὕδωρ ἔστιν ἄλλο καὶ ἄλλο, οὕτω καὶ ὁ αὐτὸς λαὸς λέγεται οὐ διὰ τὸ ταυτὸν τῆς ψυχῆς καὶ τῶν ἀνθρώπων, ἀλλὰ διὰ τὴν αὐτὴν οἴκησιν, ἢ μάλιστα διὰ τοὺς αὐτοὺς νόμους καὶ τοὺς αὐτοὺς τρόπους τοῦ πολιτεύειν, ὡς ὁ Ἀριστοτέλης φησὶν ἐν τῷ τρίτῳ τῶν Πολιτειῶν.

[9.32] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ὁ χρόνος παραβάλλεται, πρὸς μίαν μόνον κίνησιν, ὥσπερ συμβεβηκὸς πρὸς ὑποκείμενον, εἴτουν πρὸς τὴν κίνησιν τοῦ πρώτου κινητοῦ, ᾧ μετροῦνται πᾶσαι αἱ ἄλλαι κινήσεις· πρὸς δὲ τὰς ἄλλας κινήσεις παραβάλλεται ὥσπερ τὸ μέτρον πρὸς τὸ μετρητόν. Ὥσπερ ἔχει καὶ ἐπὶ τοῦ πήχεος· καὶ γὰρ παραβάλλεται οὗτος πρὸς τὴν ξύλινην ῥᾶβδον, ὥσπερ πρὸς ὑποκείμενον· πρὸς δὲ τὸ ὕφασμα τὸ δι' αὐτῆς μετρούμενον, ὥσπερ πρὸς τὸ μετρητὸν μόνον. Καὶ διατοῦτο οὐχ ἕπεται εἶναι ἓν συμβεβηκὸς ἐν πολλοῖς ὑποκειμένοις.

**374-380** καθάπερ – Πολιτειῶν] Ar., Pol. III, 1276a34-b15. **381-384** ὁ – μετρητόν] Ar., Phys. IV, 220b15-221a6.

**367-368** ὥσπερ – σώματος] **371** ὀνόματι] ὀνοματο P (lapsus calami) | νοεῖ τι] νοεῖται M; Intelligat aliquem actum. **374** Σένεκας] sic P (Sequana Aq.) **378** καὶ] sic P, M (aut Aq.) | οἴκησιν] οἴησιν P (habitationem Aq.) **379** τοὺς – τρόπους] eundem modum | πολιτεύειν] sic P, M (vivendi Aq.) **388** μάλιστα] magis Aq.

**[9.33] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἡ ὅρασις κατὰ τὴν τοῦ πράγματος ἀλήθειαν, οὐ γίνεται δι’ ἀκτίνων ἔξω βαλλομένων. Τοῦτο δέ φησιν ὁ Αὐγουστῖνος κατὰ τὴν ἑτέρων δόξαν. Καὶ τούτου μέντοι δοθέντος, ἡ ψυχὴ τρέφει τὰς ἀκτῖνας τῶν ὀφθαλμῶν, εἰς ὁσονδήποτε ἐξικνουμένας, οὐχ ὡς ἐξωτερικὰ σώματα, ἀλλὰ καθόσον συνεχίζονται τῷ ἰδίῳ σώματι.**

**[9.34] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον ὅτι, ὡς ἐκ τῶν προειρημένων φαίνεται, τὸ νοούμενον πρᾶγμα οὐκ ἀτομίζεται, οὐδὲ πληθύνεται, εἰ μὴ ἐκ τοῦ τῆς νοερᾶς ἐνεργείας μέρους. Οὐκ ἔστι δὲ ἄτοπον ἀπὸ τοῦ νοουμένου πράγματος, ἐφόσον ἐστὶ νοούμενον ὑπὸ τοῦδε, ἀποσυλᾶσθαι πρᾶγμα νοητὸν ἁπλῶς, ὥσπερ ἀπὸ τοῦδε τοῦ νοοῦντος ἀποσυλᾶται νοῦς ἁπλῶς. Οὐδὲ καταλύει τοῦτο τὸν λόγον τοῦ καθόλου. Συμβαίνει γὰρ τῷ ἀνθρώπῳ πρὸ τῆς ἐπινοίας τοῦ εἴδους, τὸ νοεῖσθαι παρ’ ἐμοῦ· ὅθεν οὐκ**
P 304v **ἀνάγκη ἐκ τῆς ἐπινοίας τοῦ ἀνθρώπου ἢ τοῦ | εἴδους εἶναι τὸ νοεῖσθαι παρ’ ἐμοῦ ἢ ἄλλου.**

**[9.35] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι ἡ ὁμολογία ἐπὶ τῶν πρώτων ἀρχῶν, οὐκ αἰτίαν ἔχει τὸ ἕν, τοῦ δυνάμει νοῦ, ἀλλὰ τὴν ὁμοιότητα τῆς φύσεως, ἐξ ἧς εἰς τὸ αὐτὸ ἔχομεν τὴν ῥοπὴν πάντες, ὥσπερ πάντες ἄνθρωποι συγχωροῦμεν ἐν τῷ οἴεσθαι τὸν λῦκον ἐχθρόν. Οὐδεὶς μέντοι ἐρεῖ μίαν εἶναι ἐν αὐτοῖς ψυχήν.**

**390-391** Τοῦτο – Αὐγουστῖνος] Aug., De quant. an., cap. 23, n. 43 (PL 32, col. 1060): Imo ita est: is enim se foras porrigit, et per oculos emicat longius quAq.uaversum potest lustrare quod cernimus; De gen. I, cap. 16, n. 31 (PL 34, col. 258): Iactus enim radiorum ex oculis nostris, cuiusdam lucis quidem est iactus; et contrahi potest, cum aerem, qui est oculis nostris proximus, intuemur; et emitti, cum ad eamdem rectitudinem, quae sunt longe posita attendimus: nec sane cum contrahitur, omnino cernere quae longe sunt desinit; sed certe obscurius, quam cum in ea obtutus emittitur.

**392** εἰς] καὶ M 9 (in Aq.) **397** ὑπὸ τοῦδε] sic P, M (ad huc Aq.) **398** νοητὸν] intelligens Aq. **400** πρὸ] sic P, M (aut Aq.); Prochoros legit aut intentionem **401** ἐπινοίας] intellectu Aq. **402** ἄλλου]sic P, M (illo Aq.); Prochoros rectius lexit alio **406** ἄνθρωποι] sic P, M (oves Aq.) | συγχωροῦμεν] sic P, M (consentiunt Aq.)

**[9.36] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι τὸ ἄτομον εἶναι οὐ διαμάχεται τὸ εἶναι, τὸ ἐνεργείᾳ νοητόν· αἱ γὰρ χωρισταὶ οὐσίαι, εἰσὶν ἐνεργείᾳ νοηταί· καίπερ οὖσαι ἄτομα. Ἄλλως γὰρ οὐκ ἂν ἔχοιεν ἐνεργείας, αἵ εἰσι τῶν καθέκαστα, ἀλλὰ τὸ ἔχειν ὑλικὸν εἶναι, διαμάχεται τὸ εἶναι τὸ ἐνεργείᾳ νοητόν· καὶ διατοῦτο τὰ εἴδη τὰ ἄτομα, τὰ ἀτομιζόμενα διὰ τῆς ὕλης, οὐκ εἰσὶν ἐνεργείᾳ νοητά, ἀλλὰ δυνάμει μόνον. Ἡ δὲ ψυχὴ ἡ νοερά, οὐκ ἀτομίζεται διὰ τῆς ὕλης, ὡσὰν οὖσα ὑλικὸν εἶδος, καὶ μάλιστα κατὰ τὸν νοῦν καθ' ὃν ὑπερβαίνει τὴν σωματικὴν ἀναλογίαν· τούτῳ δὲ τῷ τρόπῳ ἀτομίζεται κατὰ τὴν σωματικὴν ὕλην ὡς εἴρηται, τῷ ἔχειν σχέσιν εἶναι εἶδος τοῦδε τοῦ σώματος. Ὅθεν διὰ τούτου, οὐκ ἀναιρεῖται, τὸν δυνάμει νοοῦν τοῦδε τοῦ ἀνθρώπου εἶναι νοῦν ἐνεργείᾳ. Ὁμοίως τὲ τὰ συλλαμβανόμενα ἐν αὐτῷ.**

**[9.37] Καὶ διατοῦτο φαίνεται λύσις πρὸς τὰ δύο ἑπόμενα.**

**409** τὸ] sic P; intellige τῷ **409-412** αἱ – νοητὸν] deest M **414** ὡσὰν οὖσα] sic P, M (ut fiat Aq.) **415** τὴν σωματικὴν] materiae corporalis Aq. | τῷ] sic P (in quantum scilicet Aq.) **418** νοῦν] νοοῦντος P (intellectus Aq.)

## Κεφάλαιον δέκατον

## Πότερον ὁ ἐνεργείᾳ νοῦς ἔστιν εἷς πάντων ἀνθρώπων

[10.1] Δέκατον ζητεῖται, πότερον ὁ ἐνεργείᾳ νοῦς ἐστιν εἷς πάντων ἀνθρώπων. Καὶ δοκεῖ ταύτῃ. Τὸ γὰρ φωτίζειν τοὺς ἀνθρώπους, ἔστι τοῦ Θεοῦ μόνου, κατʹ ἐκεῖνο τὸ τοῦ Ἰωάννου ἐν τῷ πρώτῳ· ἦν τὸ φῶς τὸ ἀληθινόν, ὅτι φωτίζει πάντα ἄνθρωπον, καὶ τὰ λοιπά. Τοῦτο δὲ προσήκει τῷ ἐνεργείᾳ νῷ, ὡς φαίνεται διὰ τοῦ Περὶ ψυχῆς τρίτου. Ὁ ἐνεργῶν ἄρα νοῦς ἐστιν ὁ Θεός. Ὁ δὲ Θεὸς εἷς. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, ἔστιν εἷς μόνον.

[10.2] Ἔτι, οὐδὲν χωριστὸν σώματος πληθύνεται τῷ πληθυσμῷ τῶν σωμάτων. Ἀλλʹ ὁ ἐνεργείᾳ νοῦς ἐστι χωριστὸς τοῦ σώματος, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ὁ ἐνεργείᾳ ἄρα νοῦς οὐ πληθύνεται τῷ πληθυσμῷ τῶν σωμάτων· καὶ κατὰ τὸ ἀκόλουθον, οὐδὲ τῷ πληθυσμῷ τῶν ἀνθρώπων.

[10.3] Ἔτι, οὐδέν ἐστιν ἐν τῇ ἡμετέρᾳ ψυχῇ, ὃ ἀεὶ νοεῖ. Τοῦτο δὲ προσήκει τῷ ἐνεργείᾳ νῷ. Λέγεται γὰρ ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, οὐ γὰρ ποτὲ μὲν νοεῖ, ποτὲ δʹ οὐ. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, οὐκ ἔστι τι τῶν τῆς ψυχῆς. Καὶ διατοῦτο οὐ πληθύνεται τῷ πληθυσμῷ τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων.

[10.4] Χωρὶς δὲ τούτων, οὐδὲν ἀναφέρει ἑαυτό, ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. Ἀλλʹ ὁ δυνάμει νοῦς ἀναφέρεται εἰς τὸ ἐνεργείᾳ διὰ τοῦ | 
P 305r ἐνεργοῦντος νοῦ, ὡς φαίνεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ὁ ἐνεργῶν ἄρα νοῦς, οὐκ ἐρρίζωται τῇ τῆς ψυχῆς οὐσίᾳ, ἐν ᾗ πέπηγεν ὁ δυνάμει νοῦς. Καὶ ταύτῃ τὸ πρότερον.

**6-7** ἦν – ἄνθρωπον] Io. 1, 9: Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον. **7-8** Τοῦτο – τρίτου] Ar., De an. III, 430a15: ὡς ἕξις τις, οἷον τὸ φῶς. **11-12** Ἀλλʹ – τρίτῳ] Ar., De an. III, 430a17: καὶ οὗτος ὁ νοῦς χωριστὸς... **15-16** Λέγεται – οὐ] Ar., De an. III, 430a22: ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ' οὐ νοεῖ. **19-20** ἀλλʹ – τρίτῳ] Ar., De an. III, 430a14-15: καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν...

**6** ἐν – πρώτῳ] deest P | **7** ὅτι] sic P, M (quae Aq.) | πάντα ἄνθρωπον] deest Aq. | προσήκει] sic P, M (contingit Aq.) **18** ἑαυτό] ἑαυτῷ P, M

**[10.5] Ἔτι, πᾶς πληθυσμὸς ἕπεταί τινι διακρίσει. Ἀλλ’ ὁ ἐνεργείᾳ νοῦς, οὐ δύναται διακρίνεσθαι δι’ ὕλης, χωριστὸς ὤν, οὐδὲ διαφορᾷ, καὶ γὰρ ἂν διαφέροι εἴδει. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, οὐ πεπλήθυνται ἐν τοῖς ἀνθρώποις.**

**[10.6] Ἔτι, τὸ αἰτία ὂν ἄλλοις χωρισμοῦ, ἔστι μάλιστα χωριστόν. Ἀλλ’ ὁ ἐνεργείᾳ νοῦς, ἔστιν ἄλλοις αἰτία χωρισμοῦ˙ ἀφελεῖ γὰρ τὰ εἴδη τῆς ὕλης˙ ἔστιν ἄρα χωριστός. Καὶ ταύτῃ οὐ πεπλήθυνται τῷ πληθυσμῷ τῶν σωμάτων.**

**[10.7] Ἔτι, οὐδεμία δύναμις, ἧ τοσοῦτο μᾶλλον ἔχει τὸ ἐνεργεῖν, ὅσον μᾶλλον ἐνεργεῖ, ἔχει πέρας τῆς ἑαυτῆς ἐνεργείας.** Ἀλλ’ ὁ **ἐνεργῶν** νοῦς**, ἔστι τοιοῦτος˙ καὶ γὰρ ὅσο νοοῦμεν τὶ τῶν ὑπερεχόντων νοητῶν,** οὐχ ἧττον **δυνάμεθα** νοεῖν**,** ἀλλὰ καὶ μᾶλλον, **ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ. Ὁ ἐνεργῶν ἄρα νοῦς οὐκ ἔχει πέρας τὶ τῆς ἰδίας ἐνεργείας. Πᾶν δὲ κτιστόν, ἔχει πέρας τῆς ἰδίας ἐνεργείας, πεπερασμένης ὂν δυνάμεως. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, οὐκ ἔστι τι κτιστόν˙ καὶ ταύτῃ ἐστίν, εἷς μόνον.**

**[10.8] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ ὀγδοηκοστῷ τρίτῳ κεφαλαίῳ τῶν Ζητήσεων,** πᾶν οὗ ἅπτεται αἴσθησις σωματική, μεταβάλλει μηδὲν διαλεῖπον διάστημα χρονικόν. Καταλαμβάνεσθαι δὲ οὐχ οἷοντε τὸ ὑπορρέον ὁμαλῶς ἐν ὁτῳοῦν χρόνου διαστήματι. Οὐκ ἐλπιστέον τοίνυν τὸ εἰλικρινὲς τῆς ἀληθείας διὰ τῶν σωματικῶν αἰσθήσεων˙ **καὶ** ἑπομένως **τούτοις ἐπιφέρει˙** οὐχ ἥκιστα τὲ τὸ ὂν αἰσθητὸν οὐκ ἔχει τι ψεύδει ἐοικός, ὡς εἶναι φωράσιμον μὴ δύνασθαι˙ οὐδὲν δὲ καταλαμβάνεσθαι δύναται, ὃ μὴ διακρίνεται τοῦ ψεύδους. Οὐκ ἄρα ἱδρύεται τὸ κριτήριον τῆς ἀληθείας ἐν ταῖς αἰσθήσεσιν**. Οὕτω τοίνυν δοκιμάζει διὰ τῶν αἰσθητῶν περὶ τῆς**

**32-34** Ἀλλ’ – τρίτῳ] Ar., De an. III, 429b3-4: ἀλλ' ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον. **38-39** ὁ – Ζητήσεων] Aug., De div. quest. LXXXIII, quaestio 9 (col. 13): omne quod corporeus sensus attingit, sine ulla intermissione temporis commutatur ... non est expectanda sinceritas veritatis a corporis sensibus.

**23** τινὶ] deest P (aliquam Aq.) **25** διαφέροι] διαφέρει P | πεπλήθυνται] πεπληθύνεται M **27** ἄλλοις] deest Aq. **28** ἀφελεῖ] sic P (abstrahit Aq.) **29-30** τῶν σωμάτων] sic P (hominum Aq.) **31** ἧ τοσοῦτο] ἢ τοσοῦτο P; ἥτισοῦν τὸ | μᾶλλον] ἄλλον M (magis Aq.) | ἔχει] sic P (potest Aq.) **33** νοοῦμεν – νοητῶν] sic P (magnum intellegibile Aq.); τὶ deest M **36** πεπερασμένης] πεπερασμένον M **40-41** τὸ ὑπορρέον] sic P, M (quod mutatur Aq.) **42** ἑπομένως] ἑπομένου P **43** τι] deest Aq.

**ἀληθείας ἀδύνατον εἶναι κρίνειν· τοῦτο μέν, διὰ τὸ εἶναι μεταβλητά· τοῦτο δ’ ὅτι ἔχουσί τι ὅμοιον ψεύδει. Ἀλλὰ τοῦτο συμβαίνει πάσῃ τῇ κτίσει. Ἄρα κατ’ οὐδὲν κτιστόν, δυνάμεθα διαιτᾶν τοῦ ἀληθοῦς πέρι, ἀλλὰ κατὰ τὸν ἐνεργείᾳ νοῦν οἷοί τε ἐσμὲν περὶ τῆς ἀληθείας διαιτᾶν. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, οὐκ ἔστι τι κτιστόν, ᾡδὶ δὲ τὸ πρότερον.**

**[10.9] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ Τριάδος τετάρτῳ, ὅτι οἱ ἀσεβεῖς** πολλῶν ὀρθῶς ἐπιλαμβάνονται, ὡς δὲ καὶ ἐγκωμιάζουσιν ἐν τοῖς ἀνθρωπείοις ἤθεσι, τίσιν οὖν εὐθύναις χρώμενοι, εἰ μὴ ἐν οἷς ὁρῶσι τῷ τρόπῳ βιωτέον ἑκάστῳ <ἂν> εἴη, εἰ καὶ μὴ αὐτοὶ τῷ αὐτῷ βιοῦσι τρόπῳ. Οὐ γὰρ ἐν τῇ αὐτῶν φύσει συμβαίνει· καὶ γὰρ τὰς μὲν αὐτῶν ψυχὰς εἶναι μεταβλητάς, τούτους δὲ τῆς ἀληθείας τοὺς | κανόνας, ἀμεταβλήτους· οὐδὲ P 305v ἐν τῇ κατὰ τὴν ψυχὴν ἕξει. Ἐκεῖνοι μὲν γὰρ οἱ κανόνες, δικαιοσύνης εἰσίν· οἱ δέ, τῆς σφῶν ψυχῆς ἀδικίας. Ποῦ τοίνυν εἰσὶν ἐγγεγραμμένοι, εἰ μὴ ἐν τῷ βιβλίῳ τοῦ φωτὸς ἐκείνου, ὃ ἀλήθεια καλεῖται**; Ἐξ οὗ δοκεῖ, τὸ δικαίου τὲ πέρι καὶ ἀδίκου εὐθύνειν ἡμῖν προσήκειν, κατὰ τὸ ὑπερκείμενον τῶν ἡμετέρων ψυχῶν φῶς· τὸ δὲ τῆς ἀληθείας κριτήριον, τοῦτο μὲν ἐν τοῖς θεωρητικοῖς, τοῦτο δέ, κἀν τοῖς πρακτικοῖς, ἡμῖν προσήκει κατὰ τὸν ἐνεργείᾳ νοῦν. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, ἔστι φῶς τὶ ὑπερβεβηκὸς τὰς ἡμετέρας ψυχάς. Οὐκ ἄρα πληθύνεται τῷ πληθυσμῷ τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων.**

**52-60** ὁ – καλεῖται] Aug., De trin. IV, cap. 15, n. 21 (PL 42, col. 1052): ...multa recte reprehendunt recteque laudant in hominum moribus. Quibus ea tandem regulis iudicant nisi in quibus vident quemadmodum quisque vivere debeat etiamsi nec ipsi eodem modo vivant? Ubi eas vident? Neque enim in sua natura, cum procul dubio mente ista videantur, eorumque mentes constet esse mutabiles, has vero regulas immutabiles ... nec in habitu suae mentis cum illae regulae sint iustitiae, mentes vero eorum esse constet iniustas ... Ubi ergo scriptae sunt, nisi in libro lucis illius quae veritas dicitur...?

**50** οἷοί τε] οἷοι τὲ P; οἷον τε M **53-54** τοῖς ἀνθρωπείοις] sic P, M (hominum Aq.) **54** εὐθύναις] εὐθύνοις P **55** Hic post τρόπῳ Aq. habent: Ubi eas vident? **61** εὐθύνειν] iudicare Aq. **62** τῆς ἀληθείας] deest Aq. **64-65** τὰς – ψυχάς] mentem nostram Aq.

**[10.10] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ τῆς Ἀληθοῦς Θρησκείας βιβλίῳ, ὅτι Περὶ δύο τινῶν ὧν οὐδέτερόν ἐστὶ τὸ ἄριστον, οὐ δυνάμεθα κρίνειν τὸ βέλτιον, εἰ μὴ διά τινος κρείττονος ἀμφοῖν. Κρίνομεν δὲ τὸν ἄγγελον εἶναι κρείττω τῆς ψυχῆς, καίπερ οὐδετέρου ὄντος τοῦ ἀρίστου. Δεῖ δὲ ταύτην τὴν δίαιταν γίνεσθαι, διά τινος κρείττονος ἀμφοῖν, ὃ μηδὲν ἄλλο <ἂν> εἴῃ, ἢ ὁ Θεός. Κρίνοντες τοίνυν διὰ τοῦ ἐνεργοῦντος νοῦ, ἐροῦμεν, τὸν ἐνεργείᾳ νοῦν εἶναι τὸν Θεόν, καὶ ταύτῃ τὸ πρότερον.**

**[10.11] Παρὰ ταῦτα ὁ Φιλόσοφός φησιν ἐν τῷ Περὶ ψυχῆς τρίτῳ, ὅτι ὁ ἐνεργείᾳ νοῦς, ἔχει πρὸς τὸν δυνάμει νοῦν, ὥσπερ ἡ τέχνη πρὸς τὴν ὕλην. Ἀλλ’ <ἐν> οὐδενὶ γένει τεχνητοῦ, ἡ τέχνη καὶ ἡ ὕλη εἰς τὸ αὐτὸ συμπίπτουσιν, οὐδὲ καθόλου τὸ ποιοῦν καὶ ἡ ὕλη εἰς τὸ αὐτὸ τῷ ἀριθμῷ, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, οὐκ ἔστι τι ἐν τῇ τῆς ψυχῆς οὐσίᾳ, ἐν ᾗ ἐστιν ὁ δυνάμει νοῦς· καὶ ταύτῃ οὐ πληθύνεται τῷ τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων πληθυσμῷ.**

**[10.12] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ αὐτεξουσιότητος τρίτῳ, ὅτι** ὁ λόγος καὶ ἡ ἀλήθεια τοῦ ἀριθμοῦ, πᾶσι τοῖς λόγῳ χρωμένοις πάρεστιν· ἀλλ’ ὁ λόγος καὶ ἡ ἀλήθεια τοῦ ἀριθμοῦ, **ἔστι μία. Ἀνάγκη ἄρα εἶναί τι ἕν, καθὸ πάρεστι πᾶσι. Τοῦτο δέ ἐστιν ὁ ἐνεργείᾳ νοῦς, οὗ τῇ δυνάμει τοὺς καθόλου λόγους τῶν ὄντων ἀναματτόμεθα. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, ἔστιν εἷς πᾶσιν.**

**[10.13] Αὖθις ἐν τῷ αὐτῷ βιβλίῳ λέγεται ὅτι,** εἰ τὸ κορυφαῖον ἀγαθὸν πᾶσιν ἕν ἐστι, δεῖ καὶ τὴν ἀλήθειαν ἐν ᾗ θεωρεῖται, καὶ ἁλώσιμον γίνεται, τουτέστι τὴν σοφίαν, πᾶσι μίαν εἶναι κοινήν. **Ἀλλὰ τὸ ἄκρον ἀγαθόν, καθορᾶται καὶ ἁλίσκεται παρ’ ἡμῶν διὰ τοῦ νοῦ, καὶ μάλιστα τοῦ ἐνεργείᾳ. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, ἔστιν εἷς ἐν ἅπασιν.**

**67-70** ὁ – ἀμφοῖν] Aug., De vera rel., cap. 31-32 (PL 34, cols 147-149). **75-76** ὁ – ὕλην] Ar., De an. III, 430a12-13: ... τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν... **82-83** ὁ – est] Aug. De lib. arb., non III sed II, cap. 8, n. 20 (PL 44, col. 1251): ratio et veritas numeri omnibus ratiocinantibus praesto est. **87-89** εἰ – κοινήν] Aug., De lib. arb., non III sed II, cap. 9, n. 27 (PL 44, col. 1255): Si summum bonum omnibus unum est, oportet etiam veritatem in qua cernitur et tenetur, id est sapientiam, omnibus unam esse communem.

**69** Hic post κρίνειν Aq. habet: quid eorum sit altero **71** δὲ] ergo Aq. **73** ἐροῦμεν ] sic P, M (videtur Aq.) **76** νοῦν] deest Aq. **84** τι] καὶ M (aliquid Aq.) **85** οὗ] οὐ P **88** γίνεσθαι] γίνεται P **91** εἷς] εἰς P

[10.14] Ἔτι, τὸ αὐτὸ πέφυκε ποιεῖν τὸ αὐτό. Ἀλλὰ τὸ καθόλου ἐστὶν ἓν ἐν ἅπασιν. Ἐπεὶ τοίνυν τοῦ ἐνεργείᾳ νοῦ ἐστὶ τὸ ποιεῖν τὸ καθόλου, δοκεῖ καὶ τὸ ἐνεργείᾳ νοῦν εἶναι τὸν αὐτὸν ἐν ἅπασι.

P 306r [10.15] Ἔτι, εἰ ὁ ἐνεργείᾳ | νοῦς ἔστι τι κτιστόν, ἀνάγκη ἢ ἐκτίσθαι ἐνδεδυμένον καὶ περιρρέοντα τοῖς εἴδεσι, καὶ ταύτῃ ἐκεῖνα τὰ εἴδη διατίθησι καὶ τὸν δυνάμει νοῦν, καὶ οὐ δεήσεται ἀπομάττεσθαι τὰ νοητὰ εἴδη ἀπὸ τῶν φαντασμάτων, ἢ ἔκτισται γυμνὸς καὶ ἐστερημένος τῶν εἰδῶν˙ καὶ ταύτῃ οὐκ ἔσται δραστήριος πρὸς τὸ ἀποσπᾶν τὰ εἴδη ἀπὸ τῶν φαντασμάτων˙ οὐ γὰρ εἴσεται οὗ ἐφίεται μετὰ τὸ ἀναλαβεῖν, εἰ μὴ πρότερον ἕξει γνῶσιν τινὰ αὐτοῦ, ὥσπερ ὁ ζητῶν τὸν φυγάδα δοῦλον, οὐκ ἀναγινώσκει, ἐπειδὰν εὕρῃ, ἣν μή τινα πρότερον ἔχει γνῶσιν αὐτοῦ. Οὐκ ἄρα ἔστι τῆς ψυχῆς ὁ ἐνεργῶν νοῦς. Καὶ ταύτῃ οὐ πληθύνεται ὡς αἱ ψυχαὶ καὶ οἱ ἄνθρωποι.

[10.16] Ἔτι, τεθείσης αἰτίας αὐτάρκους, παρέλκον ἐστὶν ἑτέραν αἰτίαν τιθέναι πρὸς τὸ ἀποτέλεσμα· ἀλλ’ ἔστι τις ἀποχρῶσα ἐξωτερικὴ αἰτία πρὸς τὸν τοῦ νοῦ φωτισμόν˙ εἴτουν ὁ Θεός. Οὐκ ἄρα χρὴ τιθέναι τὸν ἐνεργείᾳ νοῦν, οὗ ἔργον ἐστὶ τὸ φωτίζειν, εἶναί τι ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ, ὡδὶ δὲ οὐ πληθύνεται ἀναλόγως ταῖς ψυχαῖς καὶ τοῖς ἀνθρώποις.

[10.17] Ἔτι, εἰ ὁ ἐνεργείᾳ νοῦς τίθεταί τι εἶναι τοῦ ἀνθρώπου, ἀνάγκη συντελεῖν εἴς τι τῷ ἀνθρώπῳ˙ οὐδὲν γάρ ἐστιν εἰκῇ καὶ ἄχρηστον ἐν τοῖς ὑπὸ Θεοῦ δηδημιουργημένοις. Ἀλλ’ ὁ ἐνεργείᾳ νοῦς, οὐ συνεισφέρει τι τῷ ἀνθρώπῳ πρὸς τὸ εἰδέναι, ὅσον πρὸς τὸ φωτίζειν τὸν δυνάμει νοῦν˙ ὅτι ὁ δυνάμει νοῦς, γενόμενος ἐνεργείᾳ διὰ τοῦ νοητοῦ

**94** τὸν] τὸ P **95** τὶ] deest P (aliquid q) **96** καὶ] sic P, M (seu Aq.) **97** διατίθησι καὶ] sic P (ponit in Aq.); διατίθησι deest M **100** μετὰ – ἀναλαβεῖν] deest M (postquam eam abstraxerit Aq.) **101** αὐτοῦ] deest Aq. **110** Post εἶναι Aq. habet: animae

**εἴδους, καθ’ αὑτὸν ἀρκεῖ πρὸς τὸ ἐνεργεῖν· ὥσπερ καὶ ὁτιοῦν ἄλλο τὸ ἔχον εἶδος ὁμοίως οὐ συμβάλλεται, ὅσον πρὸς τὸ καταλάμπειν τὰ φαντάσματα, ἀφέλκον τὰ νοητὰ εἴδη ἀπ’αὐτῶν· ὅτι ὥσπερ τὸ εἶδος τὸ ἀνειλημμένον ἐν τῇ αἰσθήσει ἐγχαράττει τὴν αὐτοῦ ὁμοιότητα ἐν τῇ φαντασίᾳ, οὕτω δοκεῖ τὸ εἶδος τὸ ἐν τῇ φαντασίᾳ ἐφόσον ἐστὶν ἀσωματότερον, καὶ διατοῦτο ἐρρωμενέστερον δύνασθαι ἐγκολάπτειν τὴν αὐτοῦ ὁμοιότητα εἰς περαιτέρω δύναμιν, εἴτουν εἰς τὸν δυνάμει νοῦν. Οὐκ ἄρα ὁ ἐνεργῶν νοῦς ἔστι τί τῆς ψυχῆς, καὶ ταύτῃ οὐ πληθύνεται ἐν τοῖς ἀνθρώποις.**

**Ἀλλ’ ἀντίξοον ἐστὶ τὸ ὑπὸ τοῦ φιλοσόφου εἰρημένον [III De anima], ὅτι ὁ ἐνεργῶν νοῦς ἔστι τι τῆς ψυχῆς. Πληθύνεται ἄρα τῷ πληθυσμῷ τῶν ψυχῶν.**

**[10.18] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος τρίτῳ, ὅτι** οἱ φιλόσοφοι οἱ τῶν λοιπῶν κρείττους, οὐκ εἰσὶν ἐν ἐκείνοις τοῖς ἄκροις καὶ ἀιδίοις λόγοις τῷ νῷ τεθεωρηκότες**, ταῦθ’ ἃ ἱστορικῶς ὑπεξέθεντο. Καὶ ταύτῃ δοκεῖ ἔν τινι φωτί, συμφύτῳ ταῦτα κατειληφέναι. Φῶς δὲ ἐν ᾧ θεωροῦμεν τὴν ἀλήθειαν, ἔστιν ὁ ἐνεργείᾳ νοῦς. Ὁ ἐνεργείᾳ ἄρα νοῦς, ἔστι τι τῆς ψυχῆς. Καὶ ταύτῃ τὸ πρότερον.**

**[10.19] Ἔτι, ὁ Αὐγουστῖνός φησιν ἐν τῷ Περὶ Τριάδος δωδεκάτῳ,** πιστευτέον ἐστὶν οὕτω δεδημιουργῆσθαι τὴν φύσιν τοῦ νοῦ τῆς ψυχῆς, ὡς τὴν οὐσίαν ἐκείνην οὕτως ὁρᾶν ἔν τινι φωτὶ ἀσωμάτῳ, ὥσπερ ὁ τῆς σαρκὸς ὀφθαλμὸς ὁρᾷ, τὰ κείμενα περὶ τόδε τὸ | P 306v | σωματικὸν φῶς**. Φῶς δὲ ᾧ ἡ ἡμετέρα ψυχὴ νοεῖ, ἔστιν, ὁ ἐνεργῶν νοῦς. Ὁ ἐνεργῶν ἄρα νοῦς, ἔστι τι ἐκ τοῦ τῆς ψυχῆς γένους. Καὶ ταύτῃ πληθύνεται τῷ πληθυσμῷ τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων.**

**123-124** τὸ – ψυχῆς] Ar., De an. III, 430b13-15: ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς· καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν. **125-127** ὁ – ὑπεξέθεντο] Aug., De trin. IV, cap. 16, n. 21 (PL 42, col. 902): Nec isti philosophi caeteris meliores in illis summis aeternisque rationibus intellectu talia contemplati sunt: alioquin non eiusdem generis praeterita quae potuerunt historici inquirerent, sed potius et futura praenoscerent; quod qui potuerunt, ab eis vates, a nostris Prophetae appellati sunt. **131-134** ὁ – φῶς] Aug., De trin. XII, cap. 15, n. 24 (PL 42, col. 1011): sed potius credendum est mentis intellectualis ita conditam esse naturam, ut rebus intellegibilibus naturali ordine, disponente Conditore, subiuncta sic ista videat in quadam luce sui generis incorporea, quemadmodum oculus carnis videt quae in hac corporea luce circumadiacent.

**117** ἀφέλκον] ἀφέλκων P, M **120** δύνασθαι] δύναται P, M **128** κατειληφέναι] contemplati Aq. **129** ὁ – νοῦς] ἄρα M **132** δεδημιουργῆσθαι] δεδημιουργῆσθαι P **132-133** τὴν – ἐκείνην] sic P (subjuncta ista Aq.); Prochoros legit substantiam istam **133** Hic post φωτὶ Aq. habet: sui generis **134** τὸ – φῶς] τῷ σώματι ἢ φῶς (corporea luce Aq.) **135** ᾧ] ὃ P, M (ista qua Aq.)

**[10.20] Ἀπόκρισις. Ῥητέον ὅτι, καθάπερ καὶ πρῴην εἴρηται, ἀναγκαῖον γέγονε τῷ Ἀριστοτέλει ὑποτίθεσθαι ἐνεργοῦντα νοῦν˙ οὐ γὰρ ἐτίθετο τὰς φύσεις τῶν αἰσθητῶν πραγμάτων καθ' αὐτὰς ὑφεστάναι ἄνευ ὕλης, ὡς εἶναι ἐνεργείᾳ νοητάς˙ καὶ διατοῦτο ἐδέησεν αὐτῷ εἶναί τινα δύναμιν τὴν ποιοῦσαν αὐτὰ ἐνεργείᾳ νοητά, ἀποσπῶσαν τῆς ἀτομιζούσης ὕλης. Ἣ δὴ δύναμις καλεῖται ἐνεργῶν νοῦς˙ ὃν ἔνιοι μὲν ἠξίωσαν εἶναί τινα δύναμιν χωριστήν, καὶ μὴ πληθυνομένην τῷ πλήθει τῶν ἀνθρώπων˙ τινὲς δὲ εἶναι δύναμιν χωριστήν, καὶ μὴ πληθυνομένην τῷ πλήθει τῶν ἀνθρώπων˙ τινὲς δὲ εἶναι δύναμιν τινὰ τῆς ψυχῆς καὶ πληθύνεσθαι πληθυνομένων τῶν ἀνθρώπων˙ ὅπερ ἑκάτερόν ἐστιν ἀληθὲς ἀμηγέπῃ. Ἀνάγκη γὰρ ὑπὲρ τὴν ἀνθρωπίνην ψυχὴν εἶναί τινα νοῦν, ὅθεν ἤρτηται τὸ νοεῖν αὐτῆς˙ ὅπερ ἐκ τριῶν εἶναι δύναται δῆλον. Πρῶτον μὲν ὅτι πᾶν τὸ διαφέρον τινὶ κατὰ μετουσίαν, πρότερον ἐστὶν ἐν ἄλλῳ οὐσιωδῶς, ὥσπερ εἰ ὁ σίδηρος πεπύρωται, ἀνάγκη εἶναί τι πῦρ ἐν τοῖς οὖσι κατὰ τὴν αὐτοῦ οὐσίαν καὶ φύσιν. Ἡ δὲ ἀνθρωπίνη ψυχή, ἔστι νοερὰ κατὰ μέθεξιν˙ οὐ γὰρ καθ'ὁτιοῦν μόριον αὐτῆς νοεῖ, ἀλλὰ κατὰ τὸ κρεῖττον μόνον. Δεῖ δὴ εἶναί τι ὑψηλότερον τῆς ψυχῆς, νοῦς ὃν καθ' ὅλην αὐτοῦ τὴν φύσιν, ὅθεν ἡ τῆς ψυχῆς ἀπορρεῖ νοερότης, καὶ ἀφ' οὗ ἤρτηται τὸ νοεῖν αὐτῆς. Δεύτερον ὅτι ἀνάγκη πρὸ παντὸς κινητοῦ εὑρίσκεσθαι τὶ ἀκίνητον, ἐκείνη τῇ κινήσει, ὥσπερ ὑπὲρ τὰ ἀλλοιωτὰ ἔστι τι ἀναλλοίωτον, ὡς τὸ οὐράνιον σῶμα˙ πᾶσα γὰρ κίνησις τὴν αἰτίαν ἴσχει ἀπό τινος ἀκινήτου. Αὐτὸ δὲ τὸ τῆς ψυχῆς νοεῖν, ἔστι διὰ κινήσεως˙ νοεῖ γὰρ διαθέουσα ἡ ψυχὴ ἐκ τῶν**

**145-147** τινὲς – ἀνθρώπων] vide supra in apparatu fontium [10.18].123-124.

**139** γέγονε] γέγοναι M **140** ὑφεστάναι] ὑφεστῶσας M (subsistere Aq.) **141** αὐτῷ] deest Aq. **142** αὐτὰ] αὐτὸ P **157** ἀναλλοίωτον] ἀναλοίωτον P, M **158** Hic post τῆς Aq. habet: humanae

ἀποτελεσμάτων εἰς τὰς αἰτίας, καὶ ἐκ τῶν αἰτιῶν εἰς τὰ ἀποτελέσματα, καὶ ἐκ τῶν ὁμοίων εἰς τὰ ὅμοια· καὶ ἐκ τῶν ἀντικειμένων εἰς τὰ ἀντικείμενα. Ἀνάγκη τοίνυν εἶναι ὑπὲρ τῆς ψυχῆς νοῦν τινά, οὗ τὸ νοεῖν πέπηγε καὶ ἀτρεμίζει, ἄνευ τῆς τοιαύτης μεταβάσεως. Τρίτον ὅτι ἀνάγκη ἐν ὁτῳοῦν ἑνὶ καὶ τῷ αὐτῷ, τὴν δύναμιν εἶναι προτέραν τῆς ἐνεργείας, καίτοι τῆς ἐνεργείας ἁπλῶς προϋπαρχούσης, τῆς δυνάμεως ἐν ἑτέρῳ· ὡς δὲ καὶ πρὸ παντὸς ἀτελοῦς, ἀνάγκη ἡγεῖσθαι τὸ τέλειον. Ἡ δ’ ἀνθρωπίνη ψυχὴ εὑρίσκεται ἐν προοιμίοις ἐν δυνάμει πρὸς τὰ νοητά, καὶ ἀτελὴς κατὰ τὸ νοεῖν· οὐδὲ γὰρ ἐπιλαμβάνεται πώποτε πάσης τῆς ἀληθείας ἐν τῇδε τῇ ζωῇ. Χρεὼν εἶναι τοίνυν ὑπὲρ τὴν ψυχήν τινα νοῦν ἐνεργείᾳ διατελοῦντα αἰεί, καὶ τὸ παράπαν τέλεον, τῇ τῆς ἀληθείας ἐπιστήμῃ.

Ἀθέμιτον δὲ τοῦτον λέγειν τὸν νοῦν ποιεῖν τὰ ἐνεργείᾳ νοητὰ (P 307r) ἀμέσως ἐν ἡμῖν, ἄνευ δυνάμεως ἡστινοσοῦν, ᾗ τῇ ἡμετέρᾳ ψυχῇ προσήκει παρ’ αὐτοῦ· τοῦτο γὰρ κοινὸν εὑρίσκεται | κἀν τοῖς σωματικοῖς πράγμασι· καὶ γὰρ ἐν τοῖς τὴν ταπεινὴν κατέχουσι χώραν πράγμασιν εὑρίσκονταί τινες δυνάμεις μερικαὶ ποιητικαὶ πρὸς ὡρισμένα ἀποτελέσματα παρὰ τὰς καθόλου ποιητικὰς δυνάμεις· ὡσπεροῦν καὶ τὰ τέλεια ζῷα οὐ γίγνεται ἐκ μόνης τῆς καθόλου τοῦ ἡλίου δυνάμεως, ἀλλὰ καὶ τῆς κατὰ μέρος τῆς οὔσης ἐν τῷ σπέρματι· εἰ καὶ ζῷ’ ἄττα ἀτελῆ γεννῶνται ἄνευ σπέρματος, ἐκ τῆς τοῦ ἡλίου δυνάμεως, εἰ καὶ ἐν τῇ τούτων γενέσει οὐκ ἄπεστί τις ἐνέργεια

**163** ἀνάγκη] deest P (necesse est Aq.) **167** Post καὶ Aq. habet: invenitur **170** Hic post ἀληθείας Aq. habet: intelligibilium **171** ἐνεργείᾳ νοητὰ] sic P, M; intellige νοητὰ ἐνεργείᾳ **173** προσήκει] participet Aq. | κοινὸν] communiter Aq. **174** χώραν] sic P, M; intellige χώραν | τινες] deest Aq. **182** Hic post τὸν Aq. habet: superior

δυνάμεως μερική, ἀλοιούσης καὶ διατιθείσης τὴν ὕλην. Ἡ δ’ ἀνθρωπίνη ψυχή, ἐστὶ τὸ τελειότατον, τῶν εἰς τὰ ὑποβεβηκότα πράγματα τελούντων. Ὅθεν ἀνάγκη παρὰ τὴν καθόλου δύναμιν τοῦ ὑψηλοτέρου νοῦ εἶναί τινα ἐν αὐτῇ δύναμιν οἱονεὶ μερικήν, πρὸς τουτὶ τὸ ὡρισμένον ἀποτέλεσμα, ὡς δηλαδὴ γίνεσθαι τὰ νοητὰ ἐνεργείᾳ. Καὶ ὅτι τοῦτο ἀληθὲς ὂν τυγχάνει, τῇ πείρᾳ δῆλον καθίσταται. Ὁ γὰρ μερικὸς εἷς ἄνθρωπος, ὥσπερ Σωκράτης ἢ Πλάτων, ἡνίκα βούλεται, ποιεῖ ἐνεργείᾳ νοητά, ἀποσυλῶν δηλαδὴ τὸ καθόλου τῶν μερικῶν˙ ἐπειδὰν ἀποκρίνῃ τοῦθ’ ὅπέρ ἐστι κοινὸν πᾶσι τοῖς ἀτόμοις ἀνθρώποις τοῦ ἰδίᾳ ἑκάστοις ὑπάρχοντος. Οὕτω τοίνυν ἡ ἐνέργεια τοῦ ἐνεργείᾳ νοῦ, ἥτίς ἐστιν ἀπομάττεσθαι τὸ καθόλου, ἐστὶν ἐνέργεια τοῦδε τοῦ ἀνθρώπου, ὥσπερ καὶ τὸ θεωρεῖν καὶ κρίνειν περὶ τῆς κοινῆς φύσεως, ὅπέρ ἐστιν ἐνέργεια τοῦ δυνάμει νοῦ. Πᾶν δὲ τὸ ποιοῦν ἡντιναοῦν ἐνέργειαν, ἔχει ἐκ τοῦ καθ’ αὐτὸ εἶδους, δύναμιν ἐν ἑαυτῷ, ἥτίς ἐστι τοιᾶσδε ἐνεργείας ἀρχή. Ἀμέλει καὶ καθάπερ ἀναγκαῖον ὑπάρχει τὸν δυνάμει νοῦν εἶναί τι κατ’ εἶδος ἐμπεπηγὸς τῷ ἀνθρώπῳ, ὡς καὶ πρῴην δεδείχαμεν, οὕτως ἀναγκαῖον ἐστὶ καὶ τὸν ἐνεργείᾳ νοῦν εἶναί τι εἰδικῶς ἐνειρμένον τῷ ἀνθρώπῳ. Οὐδ’ ἀπόχρη πρὸς τοῦτο τὸ διὰ τῶν φαντασμάτων προσέχεσθαι, ὡς ὁ Ἀβερόης ποιεῖ, ὥσπερ κἀν τοῖς ἄνω δέδεικται, ἐν τοῖς περὶ τοῦ δυνάμει νοῦ, ὅπερ οὖν καὶ Ἀριστοτέλης διαρρήδην φρονῆσαι φαίνεται, ἐπειδὰν λέγῃ ἀναγκαῖον εἶναι ἐν τῇ ψυχῇ διαφοράς, δηλαδὴ τὸν δυνάμει νοῦν, καὶ τὸν ἐνεργείᾳ.

**200-202** Ἀριστοτέλης – διαφοράς] vide supra in apparatu fontium [10.18].123-124.

**172** ἀλλοιούσης] ἀλοιούσης P, M **194** ἡντιναοῦν] ἥστινωσοῦν M

**Ἔτι τὲ φησὶ τὸν ἐνεργείᾳ νοῦν εἶναι οἱονεὶ τὶ φῶς, ὃ φῶς ἐστὶ μεθεκτόν. Πλάτων δέ, ὡς ὁ Θεμίστιος ἐν τῷ Περὶ ψυχῆς Ὑπομνήματι φησίν, ἀπαντήσων τῷ λόγῳ, εἰς τὸν χωριστὸν νοῦν, καὶ οὐ πρὸς τὴν ἑνοῦσαν τῇ ψυχῇ δύναμιν, παραβέβληκεν αὐτὸν τῷ ἡλίῳ. Τίς ποτε δέ ἐστιν οὗτος ὁ χωριστὸς νοῦς, ἀφ’ οὗ τὸ νοεῖν, τῇ ἀνθρωπίνῃ ψυχῇ ἤρτηται, ἄξιον ἐπιστῆσαι. Ἔνιοι μὲν γὰρ εἰρήκασι τοῦτον τὸν νοῦν, εἶναι ὑποβεβηκυῖαν τινὰ χωριστὴν οὐσίαν, ἣ διὰ τοῦ σπέρματος μετὰ τῶν ἡμετέρων συνάπτεται ψυχῶν· τοῦτο δὲ πλεοναχῶς πολεμεῖ τῇ τῆς πίστεως ἀληθείᾳ. Πρῶτον μὲν ὅτι ἐπεὶ τοῦτο τὸ νοερὸν φῶς τῇ φύσει τῆς ψυχῆς οἰκείως ἔχει, παρ’ἐκείνου**

P 307v **| μόνου ἐστίν, ἀφ’ οὗ ἡ τῆς ψυχῆς φύσις δημιουργεῖται. Μόνος δὲ ὁ Θεός ἐστι δημιουργὸς τῆς ψυχῆς, καὶ οὐκ οὐσία τις χωριστή, ἣν ἄγγελον φαμέν, ὅθεν εἰδικῶς λέγεται ἐν τῷ πρώτῳ τῆς Γενέσεως, ὅτι αὐτὸς ὁ Θεὸς** ἐνεφύσησεν εἰς τὸ **τοῦ ἀνθρώπου** πρόσωπον, **πνεῦμα ζωῆς· ὅθεν λείπεται τὸ φῶς τοῦ ἐνεργοῦντος νοῦ, μὴ ἴσχειν τὴν αἰτίαν ἐν τῇ ψυχῇ ἀπό τινος ἄλλης οὐσίας χωριστῆς, ἀλλ’ ἀμέσως παρὰ τοῦ Θεοῦ. Δεύτερον ὅτι ἐσχάτη τελειότης παντὸς ἐνεργοῦντος ἐστί, τὸ δύνασθαι ἀντιλαμβάνεσθαι τῆς ἰδίας ἀρχῆς. Ἡ ἐσχάτη δὲ τελειότης εἴτε μακαριότης τοῦ ἀνθρώπου, ἐστὶ κατὰ τὴν νοερὰν ἐνέργειαν, ὡς καὶ ὁ Φιλόσοφος ἐν τῷ τετάρτῳ τῶν Ἠθικῶν φησίν. Εἰ τοίνυν ἀρχὴ καὶ αἰτία τῆς νοερότητος τοῖς ἀνθρώποις ἔστιν ἄλλη τὶς οὐσία χωριστή, ἀνάγκη τήν τελευταίαν τοῦ ἀνθρώπου μακαριότητα καθεστάναι ἐν ἐκείνῃ τῇ κτιστῇ οὐσίᾳ· καὶ τοῦτο σαφῶς ὑποτίθενται οἱ**

**204-206** Πλάτων – ἡλίῳ] Them., In de an. VI (Vebreke, p. 235.10-11): Propter hoc enim non solem in comparatione proposuit (Aristoteles) sed lumen, Plato autem solem. **214-215** ἐν – ζωῆς] ...καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς... **218-220** Ἡ – φησίν] Ar., Eth. Nic., non IV sed X, 1177a12-b4.

**204** ἀπαντήσων] ἀπαντήσων P, M (attendens Aq.) **205** τῷ λόγῳ] τὸν λόγον[a. corr.] P **206** Τίς ποτε] τίποτε M **208** τινὰ] deest Aq. **209** διὰ – σπέρματος] sic P, M; suo lumine Aq. (Prochoros legit seminis?) **213** εἰδικῶς] significanter Aq. **221** τοῖς ἀνθρώποις] sic P, M; hominum Aq. | ἔστιν] sic P, M; esset Aq.

**ταύτην τιθέντες τὴν ἀξίωσιν· καὶ γὰρ ὑποτίθενται τὴν τελευταίαν τοῦ ἀνθρώπου μακαριότητα ἐν τῷ συνάπτεσθαι νῷ ἐνεργοῦντι. Ἡ δ' ὀρθὴ πίστις, τίθησι τὴν τελευταίαν τοῦ ἀνθρώπου μακαριότητα εἶναι ἐν μόνῳ τῷ Θεῷ, κατ' ἐκεῖνο τὸ τοῦ Ἰωάννου ἑπτακαιδέκατον·** καὶ αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν**, ἐν ᾗ δὴ μακαριότητος μετουσίᾳ οἱ ἄνθρωποι** ἴσοι **τοῖς** ἀγγέλοις **γίνονται· ὡς περιέχεται ἐν τῷ τοῦ Λουκᾶ [XX]. Ὥστε, εἰ ὁ ἄνθρωπος μετέχει τοῦ νοεροῦ φωτὸς παρὰ τοῦ ἀγγέλου, ἕψεται τὸν ἄνθρωπον κατὰ τὴν ψυχὴν μὴ εἶναι κατ' εἰκόνα αὐτοῦ τοῦ Θεοῦ, ἀλλὰ κατ' εἰκόνα τῶν ἀγγέλων, ἀπεναντίας τοῖς λεγομένοις ἐν τῷ τῆς Γενέσεως πρώτῳ· ποιήσωμεν** ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν· **εἴτουν κατὰ τὴν κοινὴν τῆς Τριάδος εἰκόνα, οὐ κατὰ τὴν τῶν ἀγγέλων εἰκόνα. Ὅθεν φαμὲν ὅτι τὸ φῶς, τοῦ ἐνεργείᾳ νοῦ, περὶ οὗ ὁ Ἀριστοτέλης διαλέγεται, ἡμῖν ἀμέσως ἐνίδρυται παρὰ Θεοῦ· καθὸ δὴ διορῶμεν, τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ· οὗ δὴ πέρι λέγεται κἀν τοῖς Ψαλμοῖς·** πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε**, δι' οὗ δηλαδὴ ἡμῖν** τὰ ἀγαθὰ **δείκνυνται. Οὕτω τοίνυν τὸ μὲν ποιοῦν, ἐν ἡμῖν τὰ νοητὰ ἐνεργείᾳ, δίκην φωτὸς μεθεκτοῦ ἔστι τι τῆς ψυχῆς, καὶ πληθύνεται ἀναλόγως τῷ πλήθει τῶν ψυχῶν καὶ τῶν ἀνθρώπων· ὃ δὲ ποιεῖ τὰ νοητὰ δίκην ἡλίου λάμποντος, ἔστιν ἓν χωριστόν, ὅπέρ ἐστιν ὁ Θεός. Ὅθεν ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ πρώτῳ τῶν Μονολόγων,** ἐπαγγέλλεται ὁ λόγος ἑαυτὸν δείξειν, τῇ ἐμῇ ψυχῇ τὸν Θεόν, ὥσπερ ὁ ἥλιος δείκνυται τοῖς ὀφθαλμοῖς· καὶ γὰρ οἱονεί τινες ὀφθαλμοί, τοῦ ἐν ἡμῖν νοοῦντος, εἰσὶν αἱ τῆς ψυχῆς αἰσθήσεις· ἕκαστα δὲ τῶν ἐν ταῖς ἐπιστήμαις ὁμολογουμένων, τοιαῦτα εἰσίν, οἷα τῷ φωτὶ καταλαμπόμενα· | [P 308r] ὁ δὲ Θεός ἐστιν αὐτὸς ὁ καταλάμπων**.**

**227-228** κατ' – Θεόν] Io. 17, 3: αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσιν σὲ τὸν μόνον ἀληθινὸν Θεὸν **229-230** ἴσοι – Λουκᾶ] Lc. 20, 36: ἰσάγγελοι γάρ εἰσι. **233-234** ἄνθρωπον – ἡμετέραν] Gen. 1, 23: ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. **238-239** λέγεται – Κύριε] Ps. 4, 7: πολλοὶ λέγουσι· τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. **243-248** ὁ – καταλαμπόμενα] Aug., Sol. I, cap. 6, no. 12 (col. 875): Promittit enim Ratio... ita se demonstraturam deum tuae menti, ut oculis sol demonstratur. Nam mentis quasi sui sunt oculi sensus animae; disciplinarum autem quaeque certissima talia sunty qualia illa quae sole illustrantur ut videri possint... Deus autem est ipse qui illustrat.

**225** νῷ] τῷ M (intellectui Aq.) **230** Ὥστε] sic P, M; Tertio quia Aq. **232** ἀπεναντίας] ἀπεναντίως M **235** εἰκόνα] deest M **236** καθὸ] καὶ M (secundum quod Aq.) **246** τοῦ – νοοῦντος] deest Aq. **247** ὁμολογουμένων] certissima Aq. **247** τῷ φωτὶ] sole Aq.

οὐχ οἷόν τε δὲ τοῦτο τὸ ἓν χωριστὸν ὃ καὶ τῆς ἡμετέρας γνώσεως ἐστὶν ἀρχή, νοεῖσθαι διὰ τοῦ ἐνεργείᾳ νοῦ˙ περὶ οὗ ὁ Φιλόσοφος διαλέγεται, ὡς ὁ Θεμίστιος ὑπομνηματίζει, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ἐν τῇ φύσει τῆς ψυχῆς. Ὁ γὰρ ἐνεργείᾳ νοῦς καλεῖται παρὰ τοῦ φιλοσόφου, φῶς μεθεκτὸν ἐν τῇ ἡμετέρᾳ φύσει παρὰ Θεοῦ. Ἀφ' ὧν πάντων λείπεται τὸν ἐνεργείᾳ νοῦν μὴ εἶναι ἕνα ἐν ἅπασι.

[10.21] Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι μὲν ἔστιν ἴδιον τοῦ Θεοῦ, τὸ φωτίζειν τοὺς ἀνθρώπους. Ἀλλὰ τὸ ἐνιδρύειν αὐτοῖς τὸ φυσικὸν φῶς τοῦ ἐνεργείᾳ νοῦ, καὶ πρὸς τούτῳ τὸ φῶς τῆς χάριτος καὶ τῆς δόξης˙ ὁ γὰρ ἐνεργείᾳ νοῦς καταλάμπει τὰ φαντάσματα ὥσπερ φῶς ἐμπεπηγὸς παρὰ Θεοῦ.

[10.22] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ ἐνεργείᾳ νοῦς, λέγεται παρὰ Ἀριστοτέλους χωριστός, οὐχ ὡς ἂν ὢν ἕτερον παρὰ τὴν τῆς ψυχῆς οὐσίαν, ἔχων τὸ εἶναι ἔξω τοῦ σώματος, ἀλλ' ὅτι μὴ ἔστιν ἐντελέχεια τινὸς μέρους τοῦ σώματος, οὕτως ὥστε τὴν αὐτοῦ ἐνέργειαν γίνεσθαι διά τινος ὀργάνου σωματικοῦ, ὡσπεροῦν καὶ τοῦ δυνάμει νοῦ περιείρηται.

[10.23] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι ἐκεῖνον τὸν λόγον οὔ φησιν ὁ Ἀριστοτέλης περὶ τοῦ ἐνεργοῦντος νοῦ, ἀλλὰ περὶ τοῦ ἐνεργείᾳ νοῦ. Πρῶτον μὲν γὰρ διείλεκται περὶ τοῦ δυνάμει νοῦ, κἄπειτα περὶ τοῦ ἐνεργοῦντος νοῦ· καὶ μετὰ ταῦτα ἤδη ἄρχεται διαλέγεσθαι περὶ τοῦ ἐνεργείᾳ νοῦ, ἔνθα φησί˙ ταυτὸ δὲ ἐστὶ κατὰ τὴν ἐνέργειαν ἡ τοῦ πράγματος ἐπιστήμη, καὶ αὐτὸ τὸ ἐπιστητὸν πρᾶγμα˙ καὶ διακρίνει τὸν δυνάμει

**250** περὶ – διαλέγεται] vide supra in apparatu fontium [10.18].123-124. **250-251** ὡς – ὑπομνηματίζει] vide in apparatu fontium [10.20] 204-206. **251-253** Ὁ – Θεοῦ] Ar., De an. I, 408b29: ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστιν. **268-269** ταυτὸ – ἐπιστήμη] Ar., De an. III, 430a19-20: τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι.

**251** γὰρ] sic P, M; sed Aq. **254** ἕνα] deest P (unus) **255** μὲν – ἴδιον] ἔστι μὲν ἴδιον M (proprium est) **256** τοὺς] deest M **257** γὰρ] sic P; sed Aq. **264** περιείρηται] sic P, M; intellige πέρι εἴρηται **269** δυνάμει] in Actu Aq.

**νοῦν ἀπὸ τοῦ ἐνεργείᾳ τριχῇ. Πρῶτον μὲν ὅτι ὁ δυνάμει νοῦς, οὐκ ἔστι τὸ δυνάμει νοητόν˙ ὁ δὲ ἐνεργείᾳ νοῦς, ἢ ἡ ἐνεργείᾳ ἐπιστήμη, ἔστι τὸ ἐνεργείᾳ νοητόν, ἢ ἐπιστητὸν πρᾶγμα˙ ὡς δὲ καὶ αἰσθήσεως πέρι διορίζεται, λέγων τὴν δυνάμει αἴσθησιν, καὶ τὸ δυνάμει αἰσθητόν, εἶναι ἕτερα. Δεύτερον, παραβάλλει τὸν ἐνεργείᾳ νοῦν πρὸς τὸν δυνάμει νοῦν, ὅτι ὁ δυνάμει νοῦς, ἔστι πρότερος τῷ χρόνῳ, ἐν ἑνὶ καὶ τῷ αὐτῷ, ἢ ὁ ἐνεργείᾳ νοῦς˙ πρότερον γάρ ἔστι τις νοῦς, τῷ χρόνῳ δυνάμει ἢ ἐνεργείᾳ˙ φύσει δέ ἐστι πρότερον τῷ ἐνεργείᾳ, τοῦ δυνάμει, καὶ ἁπλῶς διαλεγομένοις, πρότερον τιθέναι δεῖ τῷ χρόνῳ τινὰ νοῦν ἐνεργείᾳ, ἢ δυνάμει, ὃς ἐπάνεισιν εἰς τὸ ἐνεργείᾳ διά τινος νοῦ ἐνεργείᾳ. Καὶ τοῦτ' ἐστίν, ὃ ἐπάγει˙** ὃ δὲ κατὰ χρόνον πρότερον δυνάμει ἐν ἑνί, τοῦτο φύσει πρότερον ἐν ἄλλῳ καὶ χρόνῳ˙ **καὶ ταύτῃ τῇ παραθέσει χρῆται ἔν τε τῇ δυνάμει, καὶ τῇ ἐνεργείᾳ˙ ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά, καὶ ἐν ἄλλοις ὅτι πλείστοις τόποις. Τρίτην τίθησι διαφορὰν ὅσον πρὸς τοῦτο, ὅτι ὁ δυνάμει νοῦς ἢ ὁ δυνατός, ἐνίοτε μὲν εὑρίσκεται νοῶν, ἐνίοτε δὲ μὴ νοῶν˙**
P 308v **| Τοῦτο δέ, οὐχ οἷόν τε λέγεσθαι περὶ τοῦ ἐνεργείᾳ νοῦ, ὥσπερ καὶ ἡ ὀπτικὴ δύναμις ἐνίοτε μὲν ὁρᾷ, ἐνίοτε δὲ οὐχ ὁρᾷ˙ ἀλλ' ἡ ἐνεργείᾳ ὄψις, ἔστιν ἐν αὐτῷ τῷ ἐνεργείᾳ ὁρᾶν˙ καὶ τοῦτ' ἐστίν, ὃ φησίν˙** ἀλλ' οὐ ποτὲ μὲν νοεῖ, ποτὲ δὲ οὐ νοεῖ˙ **καὶ μεταταῦτα ἐπάγει˙** χωριστὸν δὲ τοῦτο μόνον, ὃ ἀληθῶς ἐστίν**, ὅπερ οὐχ οἷόν τε μὴ νοεῖσθαι περὶ τοῦ ἐνεργοῦντος νοῦ καὶ τοῦ δυνάμει νοῦ, ἐφόσον ἑκάτερον προείρηκε** χωριστόν˙ **ἀλλ' ἀνάγκη εἰρῆσθαι περὶ παντὸς τοῦ ζητουμένου πρὸς τὸν ἐνεργείᾳ νοῦν, εἴτουν**

**280-281** ὃ – χρόνῳ] Ar., De an. III, 430a20-21: αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι˙ ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί... **281-282** ταύτῃ – Φυσικά] Ar., Metaph. IX, 1049b10-1050a3: πάσης δὴ τῆς τοιαύτης προτέρα ἐστὶν ἡ ἐνέργεια καὶ λόγῳ καὶ τῇ οὐσίᾳ˙ χρόνῳ δ' ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ. τῷ λόγῳ μὲν οὖν ὅτι προτέρα, δῆλον ... τῷ δὲ χρόνῳ πρότερον ὧδε˙ τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργοῦν πρότερον, ἀριθμῷ δ' οὔ ... καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον.

**270** ἐνεργείᾳ] in potentia Aq. **273** διορίζεται] sic P; dixerat Aq. **276** ἐστι – χρόνῳ] sic P; intellige τῷ χρόνῳ post ἐστι **277** τῷ] sic P; intellige τὸ **279** Hic post ἢ Aq. habet: intellectum **280** ὃ$^2$] sic P; quae (fem.) Aq. **281** ἐν ἄλλῳ] deest Aq. **283** Τρίτην] Tertio Aq. | τίθησι] ostendit Aq. **288** νοεῖ] deest Aq. | ἐπάγει] ὑπάγει P **289** μὴ] deest Aq. Post νοεῖσθαι Aq. habet: nec **289** καὶ] nec Aq. **291** εἰρῆσθαι] quod intelligatur

**περὶ ὅλου τοῦ νοεροῦ μέρους· ὅθεν καὶ ἐπάγει˙** καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀίδιον**˙ ὃ εἰ ληφθείη περὶ τοῦ νοοῦντος νοῦ, ἕψεται τὸν δυνάμει νοῦν εἶναι φθαρτόν, ὡς Ἀλέξανδρος ὑπείληφεν. Ἀλλὰ τοῦτ᾽ ἔστιν ἀντίπαλον τοῖς ὑπ᾽ Ἀριστοτέλους δογματισθεῖσιν, ἐν τοῖς πρότερον περὶ τοῦ δυνάμει νοῦ. Ταύτην δὲ τὴν περικοπὴν Ἀριστοτέλους ἐνταῦθα γέγονεν ἀναγκαῖον ἐπεξεργάσασθαι, ὡς μηδενὶ γενέσθαι πρόφασιν πλάνης.**

**[10.24] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι οὐδὲν κωλύει δύ᾽ ἄττα πρὸς ἄλληλα παραβαλλόμενα, οὕτως ἔχειν, ὡς ἑκάτερον εἶναι ὡς δύναμις καὶ ἐνέργεια ἀποβλέψει τῇ πρὸς τὸ ἕτερον κατὰ διάφορα˙ ὥσπερ τὸ πῦρ ἔστι μὲν δυνάμει ψυχρόν, ἐνεργείᾳ δὲ θερμόν, τὸ δ᾽ ὕδωρ ἀνάπαλιν˙ διὸ καὶ τὰ φυσικὰ ποιοῦντα ὁμοῦ ποιεῖ καὶ πάσχει. Εἰ τοίνυν παραβάλλοιτο τὸ νοοῦν μέρος τῆς ψυχῆς πρὸς τὸ φανταζόμενον, κατὰ μέν τι ὡς δύναμις ἕξει˙ κατὰ δέ τι ὡς ἐνέργεια ἀποσκοποῦσιν εἰς αὐτό. Τὰ μὲν γὰρ ἐνεργείᾳ φαντάσματα, ἔχει ὁμοιότητα, ὡρισμένης φύσεως˙ ἐκείνη δὲ ἡ ὁμοιότης τοῦ ὡρισμένου εἴδους, ἡ ἐν τῇ φαντασίᾳ, ἔστιν ἐν δυνάμει ἀφαιρεματικὴ ἀπὸ τῶν ὑλαίων διαθέσεων. Ἐν δὲ τῷ νοερῷ μέρει, ἐκ τοῦ ἀνάπαλιν˙ οὐ γὰρ ἔχει τοῦτο ἐνεργείᾳ, τὰς ὁμοιότητας τῶν διακεκριμένων πραγμάτων, ἀλλὰ μόνον ἔχει ἐνεργείᾳ φῶς ἄυλον δύναμιν ἔχον ἀφαιρεῖν τὰ δυνάμει ἀφαιρετά˙ καὶ ταύτῃ οὐδὲν προσίσταται ἐν τῇ αὐτῇ οὐσίᾳ τῆς ψυχῆς εὑρίσκεσθαι νοῦν δυνάμει, ὃς πρὸς τὰ εἴδη τὰ ἀποσυλώμενα ἀπὸ τῶν φαντασμάτων ἔστι δυνάμει, καὶ νοῦν ἐνεργείᾳ˙ ὃς ἀφηλοῖ τὰ εἴδη ἀπὸ τῶν φαντασμάτων˙ καὶ εἴη ἂν ὅμοιον, εἴ τι εἴη ἓν καὶ τὸ αὐτὸ σῶμα, ὅπέρ ἐστι διαφανὲς ἐν δυνάμει ὂν πρὸς πάντα τὰ χρώματα, καὶ πρός γε τοῦτο ἔχον φῶς, ὃ δύναιτο φωτίζειν τὰ χρώματα, ὥσπερ τρόπῳ γέ τῳ φαίνεται ἐν τῷ ὀφθαλμῷ τοῦ κυνὸς καὶ τῆς γαλῆς.**

**292-293** Ὅθεν – ἀίδιον] Ar., De an. III, 430a23: καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον. **294-295** τοῖς – νοῦ] Ar., De an. I, 408b18-79, 24-25: ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι ... καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται 408b.25 ἄλλου τινὸς ἔσω φθειρομένου, αὐτὸ δὲ ἀπαθές ἐστιν.

**297** ἐπεξεργάσθαι] ὑπεξεργάσθαι M | μηδενὶ] μηδὲν P (ne alicui Aq.) **302** τὸ] τὸ bis scripsit P **303** δύναμις] in potentia Aq. **304** ἀποσκοποῦσιν – αὐτό] respectu eorum Aq. **305** φαντάσματα] fantasma Aq. **306** ἡ – ἔστιν] sic P, M; intellige ἔστιν post ἡ **308** τοῦτο] deest Aq. **309** φῶς] ὡς P (lumen Aq.) **312** ἀφηλοῖ] sic P, M; intellige ἀφελεῖ (abstrahit Aq.) | εἴδη] speciem Aq. **314** διαφανὲς] διαφορᾶς M (diaphanum Aq.) | ἔχον] ἔχειν M (haberet Aq.) **315** ὥσπερ – γέ] sicut Aq. **316** τοῦ – καὶ] deest Aq.

**[10.25] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι τὸ φῶς τοῦ ἐνεργείᾳ νοῦ, πληθύνεται ἐμμέσως, διὰ τοῦ πληθυσμοῦ τῶν ψυχῶν τῶν μετεχόντων αὐτὸ τὸ φῶς, τοῦ ἐνεργοῦντος νοῦ. Αἱ δὲ ψυχαὶ πληθύνονται κατὰ τὰ σώματα, ὡς προείρηται.**

**[10.26] Πρὸς τὸ ἕκτον ῥητέον, ὅτι αὐτὸ τοῦτο τὸ φῶς τοῦ ἐνεργοῦντος νοῦ μὴ εἶναι τὸ ἐνεργείᾳ τινὸς ὀργάνου σωματικοῦ, δι' οὗ ἐνεργήσειεν, ἀρκεῖ πρὸς τὸ δύνασθαι χωρίζειν τὰ νοητὰ εἴδη, ἐφόσον ὁ χωρισμὸς τῶν νοητῶν** P 309r **εἰδῶν τῶν | λαμβανομένων ἐν τῷ δυνάμει νῷ, οὐκ ἔστι μείζων τοῦ χωρισμοῦ τοῦ ἐνεργείᾳ νοῦ.**

**[10.27] Πρὸς τὸ ἔβδομον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος μᾶλλον συμπεραίνει περὶ τοῦ δυνάμει νοῦ, ἢ περὶ τοῦ ἐνεργοῦντος νοῦ. Τοῦτο γὰρ ὁ Φιλόσοφος εἰσάγει περὶ τοῦ δυνάμει νοῦ, ὅτι, ἐπειδὰν νοήσῃ τὸ μέγιστον νοητόν, οὐχ ἧττον ἀλλὰ καὶ μᾶλλον δύναται νοεῖν, περὶ ὅτουποτε μέντοι νοηθείη, οὐχ ἕπεται τὴν δύναμιν τοῦ νοῦ ᾧ νοοῦμεν εἶναι ἄπειρον ἁπλῶς, ἀλλ' εἶναι ἄπειρον, ἀποσκοποῦσιν εἴς τι γένος καὶ ὅμως ἔχει τέλος, ἐφόσον πρὸς ὑπερέχον γένος οὐ δύναται ἀνατείνεσθαι˙ ὥσπερ ἡ ὀπτικὴ δύναμις οὐκ ἔχει ὅρον ἐν τῷ τοῦ χρώματος γένει˙ καὶ γάρ, εἰ καὶ ἐπ' ἄπειρον πολυπλασιασθεῖεν, πάντα δυνατὰ ὅμως τῇ ὄψει καταλαμβάνεσθαι˙ οὐ μέντοι δύναται γινώσκειν τὰ κρείττονι γένει προσήκοντα, ὥσπερ τὰ καθόλου. Ἔχει δ' οὖν οὕτω καὶ περὶ τοῦ ἡμετέρου νοῦ˙ καὶ γὰρ ἀποσκοποῦσιν εἰς τὰ νοητὰ τὰ συμφυᾶ αὐτῷ, οὐκ ἔχει ὅρον˙ καὶ μὲν δὴ ὁρίζεται πρὸς τὰ ὑπὲρ αὐτὸν νοητά, ὄντα τῆς χωριστῆς φύσεως, καὶ ἀσθενεῖ˙ ἔχει γὰρ πρὸς τὰ καταδηλώτατα τῶν πραγμάτων, ὥσπερ ὁ τῆς γλαυκὸς ὀφθαλμὸς πρὸς τὸ τοῦ ἡλίου φῶς, ὡς λέγεται ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά.**

**340-342** ἔχει – Φυσικά] Ar., Metaph. II, 993b9-11: ὥσπερ γὰρ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, οὕτω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νοῦς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων.

**318** αὐτὸ – φῶς] sic P, M; intellige αὐτοῦ τοῦ φωτός (genitivus) **320** προείρηται] προείρηνται P **327** περὶ] πέρι P **329** ἀλλὰ – μᾶλλον] minimum Aq. **330** ἕπεται] deest M. Post γένος Aq. habet: Nihil enim prohibet aliquam virtutem quae in se finita est non habere terminum in aliquo genere determinato **333** ἡ – δύναμις] sic P; visus Aq. **335** πάντα δυνατὰ] sic P, M; intellige πάντες δυνατοί (omnes Aq.) **340** ἀσθενεῖ] ἀσθενῆ P (deficit Aq.) **340** καταδηλώτατα] καταδηλότατα[a. corr.] P

**[10.28] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος παρήκει πρὸς τὰ ζητούμενα. Τὸ γὰρ κρίνειν τινὶ περὶ τῆς ἀληθείας, λέγεται διχῆ˙ ἐνὶ μὲν τρόπῳ, ὥσπερ κρίνομεν περὶ τῶν σκέψεων διὰ τῶν ἀρχῶν˙ καὶ περὶ τῶν ἐν κανόνων, διὰ τῶν κανόνων˙ καὶ ταύτῃ δοκεῖ τοὺς λόγους τοῦ Αὐγουστίνου, προκεχωρηκέναι˙ οὐδὲ γὰρ τὸ μεταβλητὸν ἢ τὸ ὅμοιον ψευδεῖ δύναται εἶναι, ἀνεξαπάτητος κανὼν τῆς ἀληθείας. Ἑτέρῳ τρόπῳ λέγεταί τι, κρίνειν περὶ τῆς ἀληθείας, ὥσπερ δυνάμει κριτικῇ. Καὶ τούτῳ τῷ τρόπῳ διὰ τοῦ ἐνεργείᾳ νοῦ, δυνάμεθα περὶ ἀληθείας κρίνειν˙ ὥστε μέντοι βαθύτερον τὸν νοῦν τοῦ Αὐγουστίνου διερευνήσασθαι, καὶ τίνα τρόπον ἔχει ἡ ἀλήθεια, σκοπῶμεν ὡδί. Τινὲς γὰρ ἀρχαῖοι φιλόσοφοι μὴ τιθέμενοι ἄλλην ὁδὸν καταλήψεως παρὰ τὴν αἴσθησιν, οὐδ᾽ ἄλλα ὄντα παρὰ τὰ αἰσθητὰ ἀπεφήναντο, μηδεμίαν βεβαιότητα περὶ τῆς ἀληθείας ἔχεσθαι οἷόν τ᾽ εἶναι. Καὶ τοῦτο δυοῖν ἕνεκα. Πρῶτον μὲν γὰρ ἐτίθεντο τὰ αἰσθητὰ εἶναι ἐν διηνεκεῖ ῥύσει καὶ μεταβολῇ, καὶ μηδὲν εἶναι χρῆμα ἐν τοῖς οὖσι μόνιμον. Δεύτερον δὲ ὅτι εὑρίσκονται περὶ τὸ αὐτὸ τινὲς διαφόρως κρίνοντες, ὥσπερ ἄλλως ὁ γρηγορῶν, καὶ ἄλλως ὁ καθεύδων˙ καὶ ἄλλως ὁ νοσῶν, καὶ ἄλλως ὁ ὑγιαίνων˙ οὐδ᾽ οἷόν τ᾽ εἶναι ληφθῆναι τὶ ᾧ κριθεῖεν, πότερος αὐτῶν ἀληθέστερον δοξάζει, ἐφόσον ἕκαστος ἔχει τινὰ ἀληθείας εἴδωλα˙ καὶ οἵδε εἰσὶν οἱ δύο λόγοι, ὧν Αὐγουστῖνος ἅπτεται, δι᾽ οὓς εἰρήκασιν οἱ ἀρχαῖοι τὴν ἀλήθειαν μὴ εἶναι ἁλώσιμον ἡμῖν. Ἀμέλει καὶ Σωκράτης ἀπογνοὺς τῆς ἀληθείας περὶ τῶν ὄντων, ἀθηρεύτου οὔσης, ὅλον ἑαυτὸν εἰς**

**352-354** Τινὲς – ἀπεφήναντο] Ar., De an. III, 427a21-26: καὶ οἵ γε ἀρχαῖοι τὸ φρο-νεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν – ὥσπερ καὶ Ἐμπεδοκλῆς ... πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ τὸ αἰσθάνεσθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε καὶ φρονεῖν τῷ ὁμοίῳ τὸ ὅμοιον... **362-364** Ἀμέλει – σοφίαν] Ar., Metaph. I, 987b1-7: Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γιγνόμενον καὶ οὐ τῶν αἰσθητῶν˙ ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων.

**343** παρήκει] παρείκει P **345** σκέψεων] sic P; conclusionibus Aq. **346** ἐν κανόνων] sic P; ἐγκανόνων M; intellige ἐν κανόνι | τῶν κανόνων] sic P; regulatis Aq. **348** ψευδεῖ] ψευδῆ P **349** κριτικῇ] κριτικὴ M **350** δυνάμεθα]deest Aq. **352** σκοπῶμεν] sic P; sciendum est Aq. **353** ὁδὸν] sic P, M; Prochoros legit viam (vim Aq.) **355** οἷόν τ᾽] οἷον τ᾽ P, M **359** καὶ] deest Aq. | οἷόν τ᾽] οἷον τ᾽ P, M **360** ἕκαστος] ἕκαστον M **360-361** τινὰ ... εἴδωλα] sic P, M; aliquam ... similitudinem Aq.

P 309v **τὴν ἠθικὴν κατεβάλετο σοφίαν· Πλάτων δὲ ὁ μαθητὴς | αὐτοῦ συγχωρῶν τοῖς ἀρχαίοις φιλοσόφοις, ᾗ δὴ ἔλεγον τὰ αἰσθητὰ ῥυτὰ εἶναι καὶ κινεῖσθαι ἀεί, καὶ ὅτι τὸ τῆς αἰσθητικῆς δυνάμεως κριτήριον, οὐκ ἔστιν ὀρθὸν πρὸς τὸ πήξασθαι τὴν περὶ τὰς ἐπιστήμας βεβαιότητα, τέθεικεν ἐκ μὲν θατέρου μέρους τὰ εἴδη τὰ χωριστὰ τῶν ὄντων, καὶ ταῖς αἰσθήσεσιν ἄληπται· ἐξ ὧν εἴρηκεν εἶναι τὰς ἐπιστήμας· ἐκ δὲ θατέρου μέρους τέθεικεν ἐν τῷ ἀνθρώπῳ τὴν ὑπὲρ τὴν αἴσθησιν καταληπτικὴν δύναμιν· ἤτοι τὸν λόγον, ἢ τὸν νοῦν· καταλαμπόμενον παρὰ τοῦ ὑπερέχοντος ἡλίου νοητοῦ· ὥσπερ καταλάμπεται ἡ ὄψις ὑπὸ τοῦ ὁρατοῦ ἡλίου· ὁ δ’ Αὐγουστῖνος, ἀκολουθήσας Πλάτωνι, ὅσον ἡ καθολικὴ πίστις στέγει, οὐ τέθεικε τὰ εἴδη τῶν πραγμάτων καθ’ αὑτὰ ὑφεστῶτα, ἀλλ’ ἀντὶ τούτων τέθεικε τοὺς λόγους τῶν ὄντων τοὺς ἐν τῇ θείᾳ διανοίᾳ· καὶ ὅτι δι’ αὐτῶν κατὰ τὸν ἐλλαμπόμενον νοῦν τῷ θείῳ φωτί, περὶ πάντων κρίνομεν· οὐχ οὕτω μέντοι, ὅτι αὐτοὺς τοὺς λόγους ὁρῶμεν· τοῦτο γάρ ἐστιν ἀδύνατον, εἰ μὴ καὶ τὴν οὐσίαν ἴδοιμεν τοῦ Θεοῦ, ἀλλὰ καθὸ ἐκεῖνοι οἱ ὑπερανῳκισμένοι λόγοι ἐνσφραγίζονται ταῖς ἡμετέραις διανοίαις· οὕτω γὰρ ὁ Πλάτων τέθεικε τὰς ἐπιστήμας ἐκ τῶν χωριστῶν εἰδῶν εἶναι, οὐχ ὅτι ἐκεῖνα ὁρᾶται, ἀλλὰ καθὸ ἡ ἡμετέρα διάνοια ἐκείνας ἀπομέμακται περὶ τῶν πραγμάτων τὴν κρίσιν ἔχει· ὅθεν καὶ ἔν τινι Ἐξηγήσει ἐπ’ ἐκείνῳ, τῷ** ὀλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων**, λέγεται ὅτι**

**364-366** πάντων – ἀεί] Ar., Metaph. I, 987a29-b1: Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπεγένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν. ἐκ νέου τε γὰρ συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν. **372-375** ὁ – διανοίᾳ] Aug., De div. quaest., q. 46 (col. 30): Sunt namque ideae principales formae quaedam, vel rationes rerum stabiles atque incommutabiles, quae ipsae formatae non sunt, ac per hoc aeternae ac quae ipsae formatae non sunt ac per hoc aeternae ac semper eodem modo sese habentes, quae in divina intelligentia continentur... has autem rationes ubi arbitrandum est esse, nisi in ipsa mente Creatoris? **380-382** ὁ – ἔχει] Ar., Metaph. I, 987b9-14 et passim. **383** ὀλιγώθησαν – ἀνθρώπων] Ps. 11: 2: ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.

**364** κατεβάλετο] κατεβάλλετο P; contulit Aq. | Πλάτων] πάντων P (Plato Aq.) **366** καὶ – ἀεί] deest Aq. **370** ἤτοι] εἴτοι P, M **371** καταλαμπόμενον] καταλαμπόμενα P, M (illustratam Aq.) **374** ἀντὶ] ἔν τι M **375** τοὺς] deest Aq. **378** ἴδοιμεν] εἴδοιμεν M **379** ἐνσφραγίζονται] sic P; imprimunt Aq. **381** ἀπομέμακται] sic P, M; participat Aq. **382** τὴν κρίσιν] sic P, M; scientiam Aq. **383** τῷ] τὸ P

καθάπερ ἀφ’ ἑνὸς προσώπου ἀνίσχουσι πολλαὶ ὁμοιότητες ἐν τοῖς κατόπτροις, οὕτω καὶ ἐκ μιᾶς πρώτης ἀληθείας, ἀλήθειαι πολλαὶ εἰς τὰς ἡμετέρας διανοίας ἐξάλλονται. Ἀριστοτέλης δέ, ἑτέραν ἔτεμεν ὁδόν˙ πρῶτον γὰρ πολλαχῶς δείκνυσιν εἶναί τι μόνιμον, ἐν τοῖς αἰσθητοῖς˙ δεύτερον ὅτι τὸ ἴδιον κριτήριον τῆς αἰσθήσεως, ἐστὶ βέβαιον, ἐν τοῖς ἰδίοις αἰσθητοῖς˙ ἐξαπατᾶται δὲ περὶ τὰ κοινὰ αἰσθητά, κατὰ συμβεβηκός˙ τρίτον ὅτι ὑπὲρ τὴν αἴσθησιν ἔστι δύναμις νοερά, ᾗ κρίνει περὶ τοῦ ἀληθοῦς οὐ διά τινων αἰσθητῶν ἔξω τελούντων, ἀλλὰ διὰ τοῦ φωτὸς τοῦ ἐνεργοῦντος νοῦ˙ ὃ ποιεῖ νοητά, τὰ ἔξω διατελοῦντα˙ οὐ πάνυ δὲ διοισόμεθα, εἴτε αὐτὰ τὰ νοητὰ μετέχονται ἀπὸ τοῦ Θεοῦ εἴτε αὐτὸ τὸ φῶς τὸ ποιοῦν τὰ νοητὰ μετέχεται ἀπ’ αὐτοῦ.

[10.29] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι οἱ κανόνες ἐκεῖνοι, οὓς οἱ ἀσεβεῖς καθορῶσιν, εἰσὶν αἱ ἐν τοῖς πρακτέοις πρῶται ἀρχαί, αἳ ὁρῶνται διὰ τοῦ φωτὸς τοῦ ἐνεργοῦντος νοῦ τοῦ παρὰ Θεοῦ μεταληφθέντος, ὥσπερ καὶ αἱ πρῶται ἀρχαὶ τῶν θεωρητικῶν ἐπιστημῶν.

[10.30] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι ἐκεῖνο, ἀφ’ οὗ ἡ κρίσις γίνεται περὶ δύο, τί αὐτῶν κρεῖττον ὂν τυγχάνει, δεῖ εἶναι ἑκατέρου κρεῖττον, εἰ τούτῳ
P 310r κρίνοιντο ὡς κανόνι καὶ μέτρῳ˙ οὕτω γὰρ τὸ λευκὸν ἐστὶ κανὼν | καὶ μέτρον πάντων τῶν ἄλλων χρωμάτων καὶ ὁ Θεός, πάντων τῶν ὄντων˙ καὶ γὰρ ἕκαστον τοσοῦτο κρεῖττον ἐστίν, ὅσον ἐγγίζει τῷ ἀρίστῳ˙ τοῦτο δὲ ᾧ κρίνομέν τι εἶναι κρεῖττον ἑτέρου ὡς δυνάμει καταληπτικῇ, οὐκ ἀνάγκη εἶναι ἑκατέρου κρεῖττον˙ οὕτω δὲ διὰ τοῦ ἐνεργοῦντος νοῦ κρίνομεν τὸν ἄγγελον, εἶναι κρείττω τῆς ψυχῆς.

**386-387** Ἀριστοτέλης – αἰσθητοῖς] Ar., Metaph. IV, 1009b12-1010a15. **388-389** τὸ – αἰσθητοῖς] Ar., De an. II, 418a8-25. **389-394** τρίτον –αὐτοῦ] Ar., De an. III, 430a10-17: Ἐπεὶ δ' [ὥσπερ] ἐν ἁπάσῃ τῇ φύσει ἐστὶ [τι] τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ τὸ αἴτιον καὶ ποιητικόν, τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς· καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα.

**386** ἐξάλλονται] ἐξάλονται P **388** ἴδιον] deest Aq. **392** τὰ – διατελοῦντα] deest Aq. **393** διοισόμεθα] sic P (refert Aq.); Prochoros legit differt? **397** τοῦ] deest M. | μεταληφθέντος] sic P, M; participati Aq. **405** νοῦ] οὐ P

**[10.31] Πρὸς δὲ τὸ ἐνδέκατον λύσις ὑπαντᾷ ἐκ τῶν προειρημένων· οὕτω γὰρ ὁ ἐνεργῶν νοῦς παραβάλλεται πρὸς τὸν δυνάμει, ὥσπερ τὸ ἀλλοιοῦν καὶ κινοῦν πρὸς τὴν ὕλην, ἐφόσον ποιεῖ τὰ ἐνεργείᾳ νοητά, πρὸς ἅ ἐστιν ὁ δυνάμει νοῦς ἐν δυνάμει· εἴρηται δὲ ὅτι ταῦτα τὰ δύο ἐν μιᾷ τῇ τῆς ψυχῆς οὐσίᾳ βεβηκέναι δύνανται.**

**[10.32] Πρὸς τὸ δωδέκατον ῥητέον ὅτι, ὥσπέρ ἐστιν εἷς λόγος τῶν ἀριθμῶν ἐν ἅπασι τοῖς νοῖς, οὕτω καὶ εἷς λόγος λίθου· ἃ ἔστι μὲν ἕν, ἐκ τοῦ μέρους τοῦ πράγματος· οὐκ ἐκ τοῦ μέρους δὲ τοῦ ἐνεργείᾳ νοεῖν· ὅπερ οὐκ ἔστιν ἐκ τοῦ λόγου τοῦ νοουμένου πράγματος· οὐ γάρ ἐστιν ἐκ τοῦ λόγου τοῦ λίθου τὸ νοεῖσθαι. Ὅθεν ἡ τοιαύτη μονὰς τοῦ λόγου τῶν ἀριθμῶν, ἢ τῶν λίθων, ἢ οὑτινοσοῦν πράγματος οὐδὲν δρᾷ πρὸς τὴν μονάδα τοῦ δυνάμει νοῦ, ἢ τοῦ ἐνεργοῦντος, ὡς ἐν τοῖς ἄνω μᾶλλον ἐσαφήνισται.**

**[10.33] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι ἡ ἀλήθεια ἐκείνη, ἐν ᾗ περιείληπται τὸ ἄκρον ἀγαθόν, ἐστὶ κοινὴ πάσαις ταῖς διανοίαις, ἢ τῷ λόγῳ τῆς ἑνάδος τοῦ πράγματος, ἢ τῷ λόγῳ τῆς ἑνάδος τοῦ φωτός, τοῦ εἰσρέοντος πάσαις ταῖς διανοίαις.**

**[10.34] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον, ὅτι τὸ καθόλου ὃ ποιεῖ ὁ ἐνεργῶν νοῦς, ἔστιν ἓν ἐν πᾶσιν, ἀφ᾽ ὧν αὐτὸ ἀποσυλᾶται· ὅθεν ὁ ἐνεργῶν νοῦς, οὐ ποικίλλεται κατὰ τὴν αὐτῶν ἑτερότητα· ποικίλλεται δέ, κατὰ τὴν ἑτερότητα τῶν νῶν· ὅτι καὶ τὸ καθόλου, οὐκ ἐκ τούτου τοῦ μέρους ἔχει τὸ ἕν, ᾧ ἐστὶν ἐξ ἐμοῦ καὶ σοῦ νοούμενον· τὸ γὰρ ἐξ ἐμοῦ καὶ σοῦ νοεῖσθαι συμβαίνει τῷ καθόλου· ὅθεν ἡ ἑτερότης τῶν νῶν, οὐκ ἐμποδὼν γίνεται τῷ ἑνὶ τοῦ καθόλου.**

**408** ἀλλοιοῦν] sic P, M; agens Aq. **410** ὅτι] sic P, M; quomodo Aq.; Prochoros legit quod? **412** ὥσπέρ] sic P; sic Aq. **416-417** τῶν λίθων] sic P, M; lapidis Aq. **418** ἐσαφήνισται] ἐσαφήνισθαι P **421** Post τοῦ Aq. habet: primae

**[10.35] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἀτόπως λέγεται ὁ ἐνεργῶν νοῦς γυμνὸς ἢ περιβεβλημένος, πλήρης εἰδῶν, ἢ κενός· τὸ γὰρ εἰδῶν πληροῦσθαι ἐστὶ τοῦ δυνάμει νοῦ· τὸ δὲ ποιεῖν αὐτὰ ἐστὶ τοῦ ἐνεργοῦντος νοῦ. Οὐ ῥητέον δὲ τὸν ἐνεργοῦντα νοῦν ἰδίᾳ νοεῖν, ἀπὸ τοῦ δυνάμει νοῦ· ὁ γὰρ ἄνθρωπος νοεῖ, δι’ ἑκατέρου, ὁ τὴν κατάληψιν ἔχων τοῦ μερικοῦ, διὰ τῶν αἰσθητικῶν δυνάμεων τῶν ἀντιληπτικῶν ἐκείνων τῶν πραγμάτων· ἃ διὰ τοῦ ἐνεργοῦντος νοῦ ἀποσυλᾶται.**

**[10.36] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον, ὅτι οὐκ ἔστι τοῦ περὶ τὸν Θεὸν ἐνδεοῦς, τὸ νέμειν τὰς ἐνεργητικὰς δυνάμεις τοῖς οὖσιν· ἀλλ’ ἐκ τῆς αὐτοῦ πληρεστάτης τελειότητος· ἣ πρὸς κοινωνίαν ἀπόχρη πᾶσι.**

**[10.37] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι τὰ εἴδη τὰ ἐν τῇ φαντασίᾳ, εἰσὶ** P 310v **τοῦ αὐτοῦ γένους τοῖς εἴδεσι τοῖς οὖσιν ἐν τῇ | αἰσθήσει· ἑκάτερα γάρ εἰσὶν ἄτομα καὶ ὑλικά· τὰ δ’ εἴδη τὰ ἐν τῷ νῷ, ἐστὶν ἑτερογενῆ· ἔστι γὰρ καθόλου· καὶ διατοῦτο τὸ φανταστὸν εἶδος, οὐ δύναται ἐνιδρύειν εἶδος νοητόν· ὥσπερ τὸ εἶδος τὸ αἰσθητόν, ἐνσημαίνει εἶδος φανταστόν· διὸ καὶ χρεία γέγονε δυνάμεως δραστικῆς νοερᾶς, οὔκουν γε μὴν δυνάμεως φανταστικῆς δραστικῆς.**

**434** γὰρ] sic P, M; sed Aq. **435** τῶν ἀντιληπτικῶν] deest Aq. **440** εἴδη τὰ] sic P, M; species quae est Aq. **441** τοῖς – οὖσιν] sic P, M; species quae est Aq.

## Κεφάλαιον ἑνδέκατον

## Πότερον αἱ δυνάμεις τῆς ψυχῆς εἰσι ταυτὸν ὅπερ αὐτὴ ἡ οὐσία τῆς ψυχῆς.

**[11.1] Τελευταῖον ζητεῖται, πότερον αἱ δυνάμεις τῆς ψυχῆς εἰσι ταυτὸν ὅπερ αὐτὴ ἡ οὐσία τῆς ψυχῆς. Καὶ δοκεῖ ταύτῃ. Φησὶ γὰρ ὁ Αὐγουστῖνος ἐν τῷ Περὶ Τριάδος ἐνάτῳ·** διδασκόμεθα τοῦτο**, δηλαδὴ τὸ τὴν μνήμην, τὴν νόησιν, καὶ τὴν ἀγάπην,** εἶναι ἐν τῇ ψυχῇ ὑπαρκτικῶς ἢ οὐσιωδῶς, οὐχ ὡς ἐν ὑποκειμένῳ, ὥσπερ ἡ θέρμη ἢ τὸ σχῆμα ἐν τῷ σώματι ἤ τίς ἄλλη ποσότης ἢ ποιότης.

**[11.2] Ἔτι, ἐν τῷ Περὶ πνεύματος καὶ ψυχῆς βιβλίῳ λέγεται ὅτι** ὁ Θεός ἐστι πάντα αὐτοῦ, ἡ δὲ ψυχή ἐστι μέν τινα αὐτῆς**, εἴτουν αἱ δυνάμεις, τινὰ δὲ αὐτῆς, οὐκ ἔστιν, οἷον αἱ ἀρεταί.**

**[11.3] Ἔτι, αἱ οὐσιώδεις διαφοραί, οὐ λαμβάνονται ἀπό τινων συμβεβηκότων· τὸ δὲ αἰσθητικὸν καὶ λογικόν, εἰσὶν οὐσιώδεις διαφοραί, λαμβανόμενα ἀπὸ τῆς αἰσθήσεως καὶ τοῦ λόγου. Ἡ αἴσθησις ἄρα καὶ ὁ λόγος, οὐκ εἰσὶ συμβεβηκότα. Καὶ τῷ ἴσῳ λόγῳ, οὐδὲ αἱ ἄλλαι τῆς ψυχῆς δυνάμεις. Καὶ διατοῦτο δοκοῦσιν εἶναι ἐκ τῆς οὐσίας τῆς ψυχῆς.**

**[11.4] Ἀλλ’ ἔλεγεν ὅτι αἱ τῆς ψυχῆς δυνάμεις οὔτε εἰσὶ συμβεβηκότα οὔτε εἰσὶν ἐκ τῆς οὐσίας τῆς ψυχῆς, ἀλλ’ εἰσὶν ἰδιότητες φυσικαὶ εἴτε οὐσιώδεις, καὶ ταύτῃ εἰσί τι μέσον, οὐσίας τε καὶ συμβεβηκότος. Ἀλλὰ τοὐναντίον, ἐν τῇ καταφάσει καὶ ἀποφάσει οὐκ ἔστι τι μέσον· ἡ δὲ οὐσία καὶ τὸ συμβεβηκὸς διακρίνονται τῇ καταφάσει καὶ τῇ ἀποφάσει· τὸ γὰρ συμβεβηκὸς ἔστιν ἐν ὑποκειμένῳ, ἡ δ’ οὐσία, οὔ. Μεταξὺ ἄρα τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος τοῦ πράγματος οὐκ ἔστι τι μέσον.**

**5-9** ὁ – ποιότης] Aug., De trin. IX, cap. 4, n. 5 (PL 42, col. 963): Simul etiam admonemur si utrumque videre possumus haec in anima existere et tamquam involuta evolvi ut sentiatur et dinumerentur substantialiter vel, ut ita dicam, essentialiterr, non tamquam in subiecto ut color aut figura in corpore aut ulla alia qualitas aut quantitas. **10-11** ὁ – αὐτῆς] Ps.-Aug., De spir. Et an. I, cap. 13 (PL 40, col. 789): Deus est omnia sua, et anima quaedam sua. Habet siquidem naturalia, et ipsa omnia est. Potentiae namque eius et vires idem sunt quod ipsa. Habet accidentalia, et ipsa non est. Suae vires est, suae virtutes non est.

**6** τὴν μνήμην] sic P, M; mentem Aq. **6-7** τὴν νόησιν] sic P, M; notitiam Aq. **8** ἡ θέρμη] sic P, M; color (var. calor) Aq. **15** τῆς – λόγου] deest M (lacuna ca 17) **17** εἶναι – ψυχῆς] deest M (lacuna ca 2) **19** εἴτε] τε καὶ M (deest Aq.) **21** τὶ μέσον] deest M (lacuna ca 13) **23** οὔ] sic P, M; est quae non est in subiecto

**[11.5] Ἔτι, εἰ αἱ τῆς ψυχῆς δυνάμεις λέγονται ἰδιότητες φυσικαὶ ἢ οὐσιώδεις, ἢ τοῦτο ἔχουσιν, ἐφόσον εἰσὶ μέρη οὐσίας, ἢ ὅτι τὴν αἰτίαν ἴσχουσιν ἀπὸ οὐσιωδῶν ἀρχῶν. Εἰ μὲν οὖν τῷ πρώτῳ τρόπῳ, προσήκουσι τῇ αἰτίᾳ τῆς ψυχῆς· Τὰ γὰρ μέρη τῆς οὐσίας, εἰσὶν ἐκ τῆς οὐσίας τοῦ | P 311r πράγματος· εἰ δὲ τῷ δευτέρῳ λόγῳ, καὶ ταύτῃ τὰ συμβεβηκότα δύνανται λέγεσθαι οὐσιώδη. Διὰ τὸ ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τὴν αἰτίαν ἴσχειν· δεῖ ἄρα τὰς δυνάμεις τῆς ψυχῆς ἢ εἰς τὴν οὐσίαν ἀναφέρεσθαι αὐτήν, ἢ εἰς τὰ συμβεβηκότα.**

**[11.6] Ἀλλ’ ἔλεγεν ὅτι, εἰ καὶ τὰ συμβεβηκότα τὴν αἰτίαν ἔχουσιν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν, οὔκουν γε μὴν πᾶν τὸ τὴν αἰτίαν ἔχον, ἐκ τῆς οὐσίας ἔστι συμβεβηκός. Ἀλλὰ τοὐναντίον. Πᾶν τὸ μέσον, δεῖ διακρίνεσθαι· ἀφ’ ἑκατέρων τῶν ἄκρων. Εἰ τοίνυν αἱ τῆς ψυχῆς δυνάμεις εἰσὶ μέσον τῆς τε οὐσίας καὶ τῶν συμβεβηκότων, δεῖ διακρίνεσθαι, ὡς μὲν πρὸς τὴν οὐσίαν, ὡς δέ, πρὸς τὰ συμβεβηκότα. Ἀλλ’ οὐδὲν διακρίνεσθαι δύναται ἀπό τινος διὰ τοῦ κοινοῦ ἀμφοτέροις. Ἐπεὶ τοίνυν τὸ προχεῖσθαι ἀπὸ τῶν τῆς οὐσίας ἀρχῶν διὸ αἱ δυνάμεις λέγονται οὐσιώδεις, προσήκει τοῖς συμβεβηκόσι, δοκεῖ τὰς τῆς ψυχῆς δυνάμεις μὴ διακρίνεσθαι ἀπὸ τῶν συμβεβηκότων· καὶ ταύτῃ φαίνονται μὴ εἶναι μέσον οὐσίας καὶ συμβεβηκότος.**

**[11.7] Ἀλλ’ ἔλεγεν, ὅτι διακρίνονται ἀπὸ τῶν συμβεβηκότων· ὅτι ἡ ψυχὴ δύνανται νοεῖσθαι ἄνευ τῶν συμβεβηκότων, οὐ δύναται δὲ νοεῖσθαι ἄνευ τῶν ἰδίων δυνάμεων. Ἀλλὰ τοὐναντίον. Ἕκαστον νοεῖται διὰ τῆς αὑτοῦ οὐσίας· ἴδιον γὰρ ἀντικείμενον τοῦ νοῦ ἐστὶ τὸ τί ἐστίν, ὡς λέγεται ἐν τῷ Περὶ ψυχῆς τρίτῳ· ὅ τί ποτε δὲ ἐστίν, οὗ ἄνευ τὸ πρᾶγμα νοεῖσθαι οὐ δύναται, ἔστιν ἐκ τῆς οὐσίας τοῦ πράγματος. Εἰ ἄρα ἡ ψυχὴ ἄνευ δυνάμεων οὐ δύναται νοεῖσθαι, ἕπεται εἶναι τὰς δυνάμεις, ἐκ τῆς οὐσίας τῆς ψυχῆς, καὶ μὴ εἶναι μέσον οὐσίας καὶ συμβεβηκότος.**

**47-48** ἴδιον – τρίτῳ] Ar., De an. III, 430b27-28: ὁ δὲ νοῦς οὐ πᾶς, ἀλλ' ὁ τοῦ τί ἐστι κατὰ τὸ τί ἦν εἶναι ἀληθής.

**26** ἔχουσιν] sic P, M; est Aq. **28** οὐσίᾳ] αἰτίᾳ P (essentiam Aq.) **30** οὐσιωδῶν] sic P, M; subiecti Aq. **31** αὐτήν] sic P, M; intellige αὐτῆς **34** οὐσιωδῶν] substantiae Aq. | τὴν] deest P **35** τοὐνατίον] τοὐναντέον[a. corr.] P **37** τῶν συμβεβηκότων] accidens Aq. **40** διὸ] sic P, M; intellige δι’ ὃ (propter quod Aq.)

**[11.8] Ἔτι, ὁ Αὐγουστῖνος φησὶν ἐν τῷ Περὶ Τριάδος δεκάτῳ, ὅτι** ἡ μνήμη, καὶ ἡ νόησις, καὶ ἡ θέλησις, εἰσί μία ζωή, μία οὐσία· **καὶ ταύτῃ δοκεῖ τὰς τῆς ψυχῆς δυνάμεις εἶναι αὐτὴν οὐσίαν αὐτῆς.**

**[11.9] Ἔτι, ὥσπερ [tota] ἡ ψυχὴ ἔχει πρὸς τὸ ὅλον σῶμα, οὕτως ἔχει τὸ τῆς ψυχῆς μόριον, πρὸς τὸ τοῦ σώματος μόριον. Ἀλλ’ ὅλη ἡ ψυχὴ ἔστιν ἐντελέχεια οὐσιώδης ὅλου τοῦ σώματος. Ἄρα τὶ μέρος τῆς ψυχῆς, ὡς ἡ ὄψις, ἔστιν ἐντελέχεια οὐσιώδης τινὸς μέρους τοῦ σώματος, οἷον τοῦ ὀφθαλμοῦ. Ἀλλ’ ἡ ψυχὴ κατὰ τὴν αὐτῆς οὐσίαν, ἔστιν ἐντελέχεια οὐσιώδης, ὅλου τοῦ σώματος, καὶ ἑκάστου μέρους αὐτοῦ. Ἄρα ἡ ὀπτικὴ δύναμις, ἐστὶ ταυτό, ὅπερ ἡ οὐσία τῆς ψυχῆς, καὶ τῷ αὐτῷ λόγῳ, αἱ ἄλλαι τῆς ψυχῆς δυνάμεις.**

**[11.10] Ἔτι, ἡ ψυχὴ τιμιωτέρα ἐστίν, ἢ τὸ κατὰ συμβεβηκὸς εἶδος. Ἀλλὰ τὸ κατὰ συμβεβηκὸς εἶδος, τὸ δρῶν, ἐστὶν ἡ αὐτοῦ δύναμις. Πολλῷ ἄρα μᾶλλον ἡ ψυχὴ ἐστὶν αἱ αὐτῆς δυνάμεις.**

P 311v **[11.11] Ἔτι, | ὁ Ἄνσελμος φησὶν ἐν τῷ Μονολόγῳ, ὅτι οὐδέν, οἷόν τε γέγονεν ἐν τῇ ψυχῇ μεῖζον παραχθῆναι, ἢ τὸ μνημονεύειν, καὶ νοεῖν καὶ θέλειν. Ἀλλ’ ἐν πᾶσι τοῖς εἰς τὴν ψυχὴν συνιοῦσι, πρῶτον ἐστὶν ἡ αὐτῆς οὐσία, ἡ παρὰ Θεοῦ αὐτῇ δεδωρημένῃ. Αἱ δυνάμεις ἄρα τῆς ψυχῆς εἰσὶν ἡ αὐτῆς οὐσία.**

**52-54** ὁ – αὐτῆς] Aug., De trin. X, cap. 11, n. 18 (PL 42, col. 983): Haec igitur tria, memoria, intelligentia, voluntas, quoniam non sunt tres vitae, sed una vita; nec tres mentes, sed una mens: consequenter utique nec tres substantiae sunt, sed una substantia ... Quocirca tria haec eo sunt unum, quo una vita, una mens, una essentia ... haec tria unum, una vita, una mens, una essentia. **66-67** ὁ – θέλειν] Ans., Monol., cap. 67 (PL 158, col. 213C): Omnino autem cogitari non potest rationali creaturae naturaliter esse datum aliquid tam praecipuum, tamque simile summae sapientiae quam hoc, quia potest reminisci, et intelligere, et amare id quod optimum et maximum est omnium. Nihil igitur aliud est inditum alicui creaturae quod sic praeferat imaginem Creatoris.

**53** Hic post ζωή Aq. habet: una mens **54** αὐτὴν] τὴν P **61-62** αἱ – τῆς ψυχῆς] omnes aliae potentiae Aq. **66** τῷ] τῇ P **69** αὐτῆς] αὐτὴ P

**[11.12] Ἔτι, εἰ αἱ τῆς ψυχῆς δυνάμεις εἰσὶ παρὰ τὴν αὐτῆς οὐσίαν, δεῖ ῥεῖν ἀπὸ τῆς οὐσίας τῆς ψυχῆς ὥσπερ ἀπ' ἀρχῆς· ἀλλὰ τοῦτο ἐστὶν ἀδύνατον· Ἕπεται γὰρ τὸ ἠργμένον εἶναι ἀυλώτερον τῆς αὐτοῦ ἀρχῆς. Ὁ γὰρ νοῦς ἐστι δύναμις τῆς ψυχῆς, μὴ ὂν τὸ ἐνεργείᾳ τινὸς σώματος. Ἡ δὲ ψυχὴ κατὰ τὴν αὐτῆς οὐσίαν, ἐστὶ τὸ ἐνεργείᾳ τοῦ σώματος. Ἄρα καὶ τὸ πρῶτον ἄτοπον, εἴτουν τὸ τὰς τῆς ψυχῆς δυνάμεις μὴ εἶναι τὴν οὐσίαν αὐτῆς.**

**[11.13] Ἔτι, μάλιστα ἴδιον δοκεῖ τῆς οὐσίας, τὸ εἶναι τῶν ἐναντίων ὑποδεκτικήν. Ἀλλὰ καὶ ἡ θέλησις ἐστὶν ἐναντίων ὑποδεκτική, εἴτουν ἀρετῆς καὶ κακίας, καὶ ὁ νοῦς ὁμοίως, ἐπιστήμης καὶ πλάνης. Αἱ τῆς ψυχῆς ἄρα δυνάμεις, εἰσὶν οὐσία τίς· καὶ πάντως οὐκ ἄλλη, ἢ αὐτὴ ἡ οὐσία τῆς ψυχῆς. Εἰσὶν ἄρα, ὅπερ ἡ τῆς ψυχῆς οὐσία.**

**[11.14] Ἔτι, ἡ ψυχὴ ἑνοῦται ἀμέσως τῷ σώματι ὡς εἶδος, καὶ οὐ μεσιτευούσης τινὸς δυνάμεως. Ἀλλ' ἐφόσον ἐστὶν εἶδος τοῦ σώματος, δίδωσί τι ἐνεργείᾳ τῷ σώματι· οὐκ ἐκεῖνο δὲ τὸ ἐνεργείᾳ, ὅπέρ ἐστιν εἶναι· τοῦτο γὰρ τὸ ἐνεργείᾳ εὑρίσκεται καὶ ἐν τοῖς μὴ οὖσι ψυχή· οὔτ' αὖ τοῦτο τὸ ἐνεργείᾳ, ὅπέρ ἐστι ζῆν· καὶ γὰρ καὶ τοῦτο εὑρίσκεται ἐν τοῖς μὴ οὖσι λογικὴ ψυχή. Λείπεται ἄρα διδόναι τοῦτο τὸ ἐνεργείᾳ, ὅπέρ ἐστι νοεῖν· τοῦτο δὲ τὸ ἐνεργείᾳ δίδωσιν ἡ νοερὰ δύναμις. Ἡ νοερὰ ἄρα δύναμις ἔστι ταὐτόν, ὅπερ ἡ τῆς ψυχῆς οὐσία.**

**71** ἀπ' ἀρχῆς] ἀπαρχῆς P; a principio Aq. **73** τῆς ψυχῆς] sic P, M; quaedam Aq. | μὴ ὂν] sic P, M; non est Aq **78** Hic post Ἀλλὰ Aq. habet: potentiae animae sunt susceptivae contrariorum, sicut **79** καὶ] deest Aq. **83** Ἀλλ'] deest Aq. **86** ἐν – οὖσι] in quibus non est

**[11.15] Ἔτι, ἡ ψυχὴ ἐστὶ κρεῖττον, ἢ ἡ πρώτη ὕλη· ἀλλὰ ἡ πρώτη ὕλη, ἔστιν ἡ αὐτῆς δύναμις· οὐ γὰρ οἷόν τε λέγεσθαι τὴν δύναμιν τῆς ὕλης εἶναι συμβεβηκὸς αὐτῆς· ταύτῃ γὰρ προϋπάρχοι ἂν τὸ συμβεβηκὸς τοῦ οὐσιώδους εἴδους, ἐφόσον ἡ δύναμις ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἔστι τῷ χρόνῳ πρότερον, ἢ τὸ ἐνεργείᾳ, ὡς λέγεται ἐν τῷ ἐνάτῳ τῶν Μετὰ τὰ φυσικά· οὔτ' αὖθις ἐστὶν εἶδος οὐσιῶδες, ὅτι τὸ εἶδος ἐστὶ τὸ ἐνεργείᾳ, ᾧ ἀντίκειται ἡ δύναμις· οὔτ' αὖθις ἐστὶν ἡ σύνθετος οὐσία· ταύτῃ γὰρ ἡ σύνθετος οὐσία, ἡγήσαιτο τοῦ εἴδους. Καὶ ταύτῃ λείπεται τὴν δύναμιν τῆς ὕλης εἶναι αὐτὴν τὴν οὐσίαν τῆς ὕλης. Πολλῷ ἄρα μᾶλλον αἱ δυνάμεις τῆς ψυχῆς εἰσὶν ἡ αὐτῆς οὐσία.**

**[11.16] Ἔτι, τὸ συμβεβηκός, οὐχ ὑπερτείνει τὸ ἑαυτοῦ ὑποκείμενον. Ἀλλ' αἱ τῆς ψυχῆς δυνάμεις, ὑπερβαίνουσιν αὐτὸ τὸ τῆς ψυχῆς ὑποκείμενον· ἡ γὰρ**
P 312r **ψυχῆ οὐ μόνον νοεῖ | καὶ θέλει ἑαυτήν, ἀλλὰ καὶ ἄλλα. Αἱ ἄρα τῆς ψυχῆς δυνάμεις, οὐκ εἰσὶ τὰ αὐτῇ συμβεβηκότα. Λείπεται τοίνυν εἶναι ταύτας, οὐσίαν τῆς ψυχῆς.**

**[11.17] Ἔτι, πᾶσα οὐσία, διατοῦτο δοκεῖ εἶναι νοερά, διὰ τὸ ἀποτειχίζεσθαι τῆς ὕλης, ὡς ὁ Ἀβίκενός φησι· τὸ δ' εἶναι ἄυλον, προσήκει τῇ ψυχῇ κατὰ τὴν αὐτῆς οὐσίαν· ἄρα καὶ τὸ εἶναι νοεράν. Ὁ νοῦς ἄρα ἐστὶν ἡ οὐσία αὐτῆς· καὶ δι' ἴσου λόγου, αἱ ἄλλαι αὐτῆς δυνάμεις.**

**[11.18] Ἔτι, ἐν τοῖς ἄνευ ὕλης, τὸ αὐτὸ ἐστὶ νοῦς καὶ νόημα κατὰ τὸν Φιλόσοφον· ἀλλ' αὐτὴ ἡ τῆς ψυχῆς οὐσία, ἔστιν ἡ νοουμένη. Ἄρα αὐτὴ ἡ τῆς ψυχῆς οὐσία ἔστιν ὁ νοῦς ὁ νοῶν· καὶ τῷ ἴσῳ λόγῳ, ἡ ψυχὴ ἐστίν, αἱ ἄλλαι αὐτῆς δυνάμεις.**

**93-94** ἐφόσον – Φυσικά] vide in apparatu fontium [1.36].218-219. **105-107** πᾶσα – φησί] Avic., Scient. div. VIII, cap. 6 (ed. S. Van Riet, vol. II, p. 414.95-96): et est intelligentia pura, quoniam est essentia separata a materia omni modo.

**96** ἡ δύναμις] sic P, M; potentiae Aq. **101** αὐτὸ – ὑποκείμενον] sic P, M; ipsam animam Aq. **105** ἀποτειχίζεσθαι] ἀποτετειχεῖσθαι M; quod est immunis

**[11.19] Ἔτι, τὰ μέρη τοῦ τινὸς εἰσὶν ἐκ τῆς οὐσίας αὐτοῦ. Ἀλλ’ αἱ τῆς ψυχῆς δυνάμεις λέγονται μέρη αὐτῆς. Προσήκουσι τοίνυν τῇ οὐσίᾳ τῆς ψυχῆς.**

**[11.20] Ἔτι, ἡ ψυχὴ ἐστὶν οὐσία ἁπλῆ, ὥσπερ εἴρηται. Αἱ δὲ τῆς ψυχῆς δυνάμεις, εἰσὶ πολλαί. Εἰ τοίνυν αἱ τῆς ψυχῆς δυνάμεις μὴ εἶεν ἡ αὐτῆς οὐσία, ἀλλά τινα συμβεβηκότα, ἕψεται ἑνὶ καὶ τῷ αὐτῷ ἁπλῷ, εἶναι πολλὰ καὶ διάφορα συμβεβηκότα· ὃ δοκεῖ ἄτοπον. Οὐκ ἄρα αἱ τῆς ψυχῆς δυνάμεις εἰσὶν αὐτῇ συμβεβηκότα, ἀλλ’ αὐτὴ ἡ οὐσία αὐτῆς.**

**Ἀλλ’ ἐναντίον ἐστὶ τὸ ὑπὸ τοῦ Διονυσίου λεγόμενον, ἐν τῷ εἰκοστῷ κεφαλαίῳ τῆς Ἀγγελικῆς Ἱεραρχίας, ὅτι αἱ ὑπερκείμεναι οὐσίαι,** διαιροῦνται εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. **Πολλῷ ἄρα μᾶλλον ἐν ταῖς ψυχαῖς, ἕτερόν ἐστιν ἡ αὐτῶν οὐσία, καὶ ἕτερον ἡ αὐτῶν δύναμις, ἥ τε ἁπλῶς καὶ ἡ ποιητική.**

**[11.21] Ἔτι, ὁ Αὐγουστῖνος φησίν, ἐν τῷ Περὶ Τριάδος πεντεκαιδεκάτῳ, ὅτι ἡ ψυχὴ λέγεται, εἰκὼν τοῦ Θεοῦ, ὥσπερ ὁ πίναξ διὰ τὴν γραφὴν τὴν ἐν αὐτῷ. Ἀλλ’ ἡ γραφή, οὐκ ἔστιν αὐτὴ ἡ οὐσία τοῦ πίνακος. Ἄρα οὐδὲ αἱ τῆς ψυχῆς δυνάμεις καθ’ ἃς ἡ εἰκὼν τοῦ Θεοῦ ἀποδίδοται ἐν τῇ ψυχῇ, εἰσὶν αὐτὴ ἡ οὐσία τῆς ψυχῆς.**

**[11.22] Ἔτι, τὰ οὐσιωδῶς ἀριθμούμενα, οὐκ εἰσὶ μία οὐσία. Ἀλλ’ ἐκεῖνα τὰ τρία, καθὰ θεωρεῖται ἡ εἰκὼν ἐν τῇ ψυχῇ, ἀριθμοῦνται οὐσιωδῶς. Οὐκ ἄρα εἰσὶν αὐτὴ ἡ οὐσία τῆς ψυχῆς, ἥτις ἐστὶ μία.**

**[11.23] Ἔτι, ἡ δύναμις ἐστὶ μέσον τῆς τε οὐσίας καὶ τῆς ἐνεργείας. Ἡ δὲ ἐνέργεια διαφέρει τῆς οὐσίας τῆς ψυχῆς. Ἄρα καὶ ἡ δύναμις διαφέρει ἑκατέρων, ἐπεὶ οὐκ ἂν εἴη μέσον, ἀλλ’ εἴη ἂν ταὐτὸν τῷ ἄκρῳ.**

**120-122** ὑπὸ – ἐνέργειαν] Ps.-Dion., De coel. hier., cap. 11, n. 2 (PG 3, col. 284D, Ritter pp. 41-42): ἀλλ’ ἐπειδὴ εἰς τρία διῄρηνται τῷ κατ’ αὐτοὺς ὑπερκοσμίῳ λόγῳ πάντες οἱ θεῖοι νόες, εἰς οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν... **125-127** ὁ – αὐτῷ] Aug., De Trin. XV, cap. 22, n. 43 (PL 42, col. 1090): aliud est itAq.ue trinitas res ipsa, aliud imago trinitatis in re alia, propter quam imaginem simul et illud in quo sunt haec tria, imago dicitur; sicut imago dicitur simul et tabula et quod in ea pictum est; sed propter picturam quae in ea est, simul et tabula nomine imaginis appelatur.

**113** τοῦ τινὸς] sic P, M; rei Aq. **117** ἑνὶ – ἁπλῷ] sic P, M; in uno simplici Aq. **120** εἰκοστῷ] sic P, M; XI Aq. **123-124** ἥ – ποιητική] sive potentia Aq. **130** καθὰ] sic P, M; intellige καθ’ ἃ **132** ἥτις] εἴ τις M

**[11.24] Ἔτι, τὸ ποιοῦν ἀρχοειδῶς καὶ ὀργανικῶς, οὐκ εἰσὶν ἕν· ἀλλ’ ἡ δύναμις τῆς ψυχῆς παραβάλλεται πρὸς τὴν οὐσίαν αὐτῆς ὡς ποιοῦν ὀργανικὸν πρὸς ἀρχοειδές. Φησὶ γὰρ ὁ Ἄνσελμος ἐν τῷ Περὶ συμφωνίας** P 312v **προγνώσεως | καὶ αὐτεξουσιότητος, ὅτι ἡ θέλησις ἡ οὖσα τῆς ψυχῆς δύναμις, ἐστὶν ὥσπερ ὄργανον· ἄρα ἡ ψυχὴ οὐκ ἔστιν ἑαυτῆς δυνάμεις.**

**[11.25] Ἔτι, ὁ Φιλόσοφός φησιν, ἐν τῷ Περὶ μνήμης καὶ <ἀναμνήσεως> ὅτι** ἡ μνήμη ἐστὶ πάθος ἢ ἕξις **τοῦ αἰσθητικοῦ ἢ τοῦ φανταστικοῦ. Τὸ πάθος δὲ καὶ ἡ ἕξις ἔστι συμβεβηκός. Ἡ μνήμη ἄρα ἔστι συμβεβηκός· καὶ τῷ αὐτῷ λόγῳ, αἱ ἄλλαι δυνάμεις τῆς ψυχῆς.**

**[11.26] Ἀπόκρισις. Ῥητέον, ὅτι τινὲς τεθείκασι τὰς δυνάμεις τῆς ψυχῆς, μὴ εἶναι ἄλλο παρὰ τὴν αὐτῆς οὐσίαν, οὕτως ὥστε τὴν μίαν καὶ τὴν αὐτὴν οὐσίαν τῆς ψυχῆς, καθὸ μὲν ἐστὶ ἀρχὴ τῆς αἰσθητικῆς ἐνεργείας, λέγεσθαι αἴσθησιν, καθὸ δὲ ἐστὶ τῆς νοερᾶς ἐνεργείας ἀρχή, νοῦν. Καὶ οὕτω περὶ τῶν ἄλλων· καὶ πρὸς τοῦτο διαφερόντως δοκοῦσι κεκινῆσθαι, ὡς ὁ Ἀβίκενός φησι, διὰ τὴν τῆς ψυχῆς ἁπλότητα, ὡσὰν μὴ ἀνεχομένης τοσαύτην διαφορότητα, ὅση φαίνεται ἐν ταῖς τῆς ψυχῆς δυνάμεσιν. Ἀλλ’ ἡ θέσις αὕτη ἐστὶ πάντῃ ἀδύνατος· πρῶτον μὲν ὅτι ἀδύνατόν ἐστι τινὸς οὐσίας κτιστῆς, τὴν αὐτῆς ὕπαρξιν εἶναι τὴν αὐτῆς ποιητικὴν δύναμιν· φανερὸν γὰρ τὰς διαφόρους ἐντελεχείας εἶναι διαφόρων· ἀεὶ δὲ τὴν ἐντελέχειαν ἀναλογεῖν, τῷ οὗ ἐστιν ἐντελέχεια· ὥσπερ δὲ τὸ εἶναι ἔστι τις ἐντελέχεια τῆς οὐσίας, οὕτω τὸ ἐνεργεῖν, ἔστιν ἐντελέχεια τῆς ποιητικῆς δυνάμεως·**

**138-140** ὁ Ἄνσελμος – ὄργανον] Ans., De concor., cap. 11 (534AC): ita et animam habet in se quasdam vires, quibus utitur velut instrumentis ad usus congruos. Est namque ratio in anima, qua sicut suo instrumento utitur ad ratiocinandum: et voluntas, qua utitur ad volendum... Voluntas itAq.ue dici videtur aequivoce tripliciter. Aliud est enim instrumentum volendi, aliud usus eiusdem instrumenti. **141-142** ὁ – φανταστικοῦ] Ar., De mem. et reminisc., 449b24-25: ἔστι μὲν οὖν ἡ μνήμη οὔτε αἴσθησις οὔτε ὑπόληψις, ἀλλὰ τούτων τινὸς ἕξις ἢ πάθος, ὅταν γένηται χρόνος. **148-151** Καὶ – δυνάμεσιν] Avic., Sext. de natur., pars 5, cap. 7 (ed. Van Riet, tom II, p. 155.44-46): dixerunt enim quod postquam una est et non corpus, impossibile est eam dividi per instrumenta et multiplicari; fieret enim tunc forma materialis.

**140** ἑαυτῆς] ἑαυταῖς P; αἱ αὐταῖς M (erratum ex αἱ ἑαυτῆς); suae Aq.

**κατατοῦτο γὰρ ἑκάτερον αὐτῶν, ἐστὶν ἐνεργείᾳ, ἡ μὲν οὐσία, κατὰ τὸ εἶναι, ἡ δὲ δύναμις κατὰ τὸ ἐνεργεῖν˙ ὅθεν, ἐπεὶ ἐν οὐδενὶ κτίσματι ἔστι τὸ εἶναι αὐτοῦ τὸ ἐνεργεῖν αὐτοῦ, τοῦτο γάρ ἐστι μόνου τοῦ Θεοῦ, ἕπεται μηδενὸς κτίσματος δύναμιν ποιητικὴν εἶναι τὴν οὐσίαν αὐτοῦ˙ εἶναι δὲ ἐξαίρετον μόνον τοῦ Θεοῦ τὴν οὐσίαν αὐτοῦ εἶναι τὴν δύναμιν αὐτοῦ. Δεύτερον, ἀδύνατον δοκεῖ, ἰδικῷ λόγῳ αὐτῆς τῆς ψυχῆς, τριῶν ἕνεκα˙ πρῶτον μὲν ὅτι ἡ οὐσία ἔστι μία, ἐν δὲ τῇ δυνάμει, δεῖ τιθέναι πλῆθος, διὰ τὴν διαφορὰν τῶν ἐντελεχειῶν, καὶ τῶν ἀντικειμένων. Δεῖ γὰρ τὰς δυνάμεις κατὰ τὰς ἐντελεχείας αὐτῶν ποικίλλεσθαι, ἐφόσον ἡ δύναμις πρὸς τὴν ἐντελέχειαν λέγεται˙ δεύτερον, τὸ αὐτὸ φαίνεται ἐκ τῆς διαφορᾶς τῶν δυνάμεων˙ ὧν αἳ μὲν εἰσὶν ἐντελέχειαι τινῶν μερῶν τοῦ σώματος ὡς πᾶσαι αἱ δυνάμεις τοῦ αἰσθητικοῦ καὶ θρεπτικοῦ μέρους, αἱ δέ, οὐκ εἰσὶ τινὸς ἐντελέχειαι μέρους σώματος, ὥσπερ ὁ νοῦς καὶ ἡ θέλησις˙ ὅπερ οὐχ οἷόν τε εἶναι, εἰ αἱ δυνάμεις τῆς ψυχῆς μὴ εἶεν ἄλλο** P 313r **παρὰ τὴν οὐσίαν αὐτῆς˙ οὐ γὰρ ἐνδέχεται | λέγεσθαι ἓν καὶ τὸ αὐτό, εἶναι ἐντελέχειαν τοῦ σώματος καὶ χωριστόν, εἰ μὴ κατὰ διάφορα˙ τρίτον φαίνεται τὸ αὐτὸ ἐκ τῶν δυνάμεων τῆς ψυχῆς καὶ τῶν σχέσεων αὐτῶν πρὸς ἀλλήλας˙ εὑρίσκεται γὰρ μία τὴν ἄλλην κινοῦσα, ὥσπερ τὸ θυμικὸν ἡ ἐπιθυμία˙ καὶ ὁ νοῦς τὴν θέλησιν˙ ὅπερ οὐχ οἷόν τε λέγεσθαι, αἱ πᾶσαι αἱ δυνάμεις εἶεν αὐτὴ ἡ οὐσία τῆς ψυχῆς˙ τὸ γὰρ** αὐτὸ **κατὰ** τὸ αὐτό, **οὐ** κινεῖ **ἑαυτό, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν. Λείπεται ἄρα τὰς δυνάμεις τῆς ψυχῆς μὴ εἶναι τὴν οὐσίαν αὐτῆς.**

**176-177** τὸ – ἀποδείκνυσιν] Ar., Phys. VIII, 257b1: ἀδύνατον δὴ τὸ αὐτὸ αὐτὸ κινοῦν πάντῃ κινεῖν αὐτὸ αὐτό.

**161** ἐξαίρετον] deest Aq. **173** Hic post ἐκ Aq. habet: ordine | τῶν σχέσεων] sic P; habitudine Aq. **174** εὑρίσκεται] εὑρίσκεσθαι M (invenitur Aq.) **175** ἡ] sic P, M; intellige καί (et Aq.)

Ὃ καὶ συγχωροῦντες φασί, μὴ εἶναι ταύτας, μηδὲ τῶν ψυχῶν συμβεβηκός· ἀλλ’ εἶναι ἰδιότητας οὐσιώδεις ἢ φυσικάς· ἣ δὴ δόξα, τρόπῳ μέν τινι ληφθεῖσα, ἐστὶν ἀντιληπτέα· ἑτέρῳ δέ, ἀδύνατος οὖσα τυγχάνει· οὗ πρὸς ἀπόδειξιν, θεωρητέον ἂν εἴη· τὸ γὰρ συμβεβηκός, διχῇ παρὰ φιλοσόφοις λαμβάνεται· ἑνὶ μὲν τρόπῳ, καθὸ ἀντιδιαιρεῖται τῇ οὐσίᾳ· καὶ περιέχει ὑφ’ αὐτῷ τὰ ἐννέα γένη· οὕτω δὲ λαμβανομένου τοῦ συμβεβηκότος, ἡ θέσις αὐτοῦ ἔστιν ἀναγκαία· οὐ γὰρ δύναταί τι μεταξὺ συμβεβηκότος καὶ οὐσίας τίθεσθαι, ἐφόσον ἡ οὐσία καὶ τὸ συμβεβηκὸς διαιροῦσι τὸ ὄν, τῇ τε καταφάσει καὶ τῇ ἀποφάσει· τῆς μὲν γὰρ οὐσίας ἐστὶν ἴδιον τὸ ἐν ὑποκειμένῳ εἶναι, τοῦ δὲ συμβεβηκότος, οὔ· ὅθεν, ἐπεὶ αἱ τῆς ψυχῆς δυνάμεις οὐκ εἰσὶν αὐτὴ ἡ τῆς ψυχῆς οὐσία, καὶ φανερὸν μὴ εἶναι τὰ ἄλλα γένη οὐσίαν, ἕπεται εἶναι συμβεβηκότα ἔν τινι τῶν ἐννέα γενῶν περιειλημμένα· εἰσὶ τὲ ἐν τῷ δευτέρῳ εἴδει τῆς ποιότητος, ᾗ λέγεται δύναμις ἢ ἀδυναμία φυσική· ἑτέρῳ τρόπῳ λαμβάνεται τὸ συμβεβηκός, καθὸ τίθεται παρὰ τοῦ Ἀριστοτέλους, ὂν τῶν τεσσάρων κατηγορημάτων ἐν τῷ πρώτῳ τῶν Τοπικῶν καὶ καθὸ παρὰ τοῦ Πορφυρίου τίθεται ὂν τῶν πέντε φωνῶν· οὕτω γὰρ τὸ συμβεβηκὸς οὐ δηλοῖ τὸ κοινὸν τοῖς ἐννέα γένεσιν, ἀλλὰ σχέσιν συμβα<μα>τικὴν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον· ἢ τὸ ἑπόμενον τοῖς κοινῶς ἐνθεωρουμένοις· εἰ γὰρ ἡ αὐτὴ εἴη λῆψις μετὰ τῆς προτέρας, τοῦ συμβεβηκότος ἀντιδιαιρουμένου,

**191-192** ἐν – φυσική] Ar., Cat., 9a14-16: Ἕτερον δὲ γένος ποιότητος καθ' ὃ πυκτικοὺς ἢ δρομικοὺς ἢ ὑγιεινοὺς ἢ νοσώδεις λέγομεν, καὶ ἁπλῶς ὅσα κατὰ δύναμιν φυσικὴν ἢ ἀδυναμίαν λέγεται. οὐ γὰρ τῷ διακεῖσθαί πως ἕκαστον τῶν τοιούτων λέγεται, ἀλλὰ τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ ποιῆσαί τι ῥᾳδίως ἢ μηδὲν πάσχειν· οἷον πυκτικοὶ ἢ δρομικοὶ λέγονται. **192-194** τὸ – Τοπικῶν] Ar., Top. I, 101b17-18: πᾶσα δὲ πρότασις καὶ πᾶν πρόβλημα ἢ ἴδιον ἢ γένος ἢ συμβεβηκὸς δηλοῖ· καὶ γὰρ τὴν διαφορὰν ὡς οὖσαν γενικὴν ὁμοῦ τῷ γένει τακτέον.

**179** μηδὲ] μὴ δὲ P **181** Hic post δέ Aq. habet: modo **185** αὐτοῦ] deest Aq. **186** τίθεσθαι] sic P, M; esse Aq. **187** Hic post τὸ Aq. habet: non **188** οὔ] sic P, M; sic in subiecto esse **190** ἄλλα – οὐσίαν] aliae substantiae | ἔν] ἓν M (in Aq.) **191** περιειλημμένα] περιειλημμένας P, M **195** φωνῶν] sic P, M; universalium Aq. | οὐ δηλοῖ] οὐδενῖ M (non significat Aq.) **196** συμβα<μα>τική] συμβατικὴ M,P (accidentalem Aq.) **198** Hic post συμβεβηκότος Aq. habet: sic acceptum

**πρὸς τὸ γένος καὶ τὸ εἶδος, λείπεται μηδὲν τῶν ἐν τοῖς ἐννέα γένεσιν, εἶναι γένος ἢ εἶδος, ὃ φαίνεται ψεῦδος ὄν˙ ἐφόσον τὸ χρῶμα ἐστὶ γένος τοῦ λευκοῦ ὡς εἴδους˙ καὶ ὁ ἀριθμὸς τῆς δυάδος˙ οὕτω τοίνυν λαμβανομένου τοῦ συμβεβηκότος, ἔστι τι μέσον οὐσίας καὶ συμβεβηκότος˙ εἴτουν ἡ οὐσιώδης καὶ συμβα<μα>τικὴ κατηγορία˙ καὶ τοῦτο ἔστι τὸ ἴδιον˙ ὃ συμβαίνει μὲν μετὰ τῆς οὐσιώδους κατηγορίας, ἐφόσον τὴν αἰτίαν ἴσχει ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ εἴδους˙ τῷ τοι καὶ διὰ τοῦ ὅρου τοῦ δηλοῦντος τὴν οὐσίαν δείκνυται ἡ ἰδιότης | κατὰ τοῦ ὑποκειμένου˙ τῇ δὲ κατὰ συμβεβηκὸς κατηγορίᾳ προσήκει ἐν τῷ μὴ εἶναι τὴν οὐσίαν τοῦ πράγματος μήτε τῆς οὐσίας μέρος, ἀλλά τι παρὰ ταῦτα˙ διαφέρει δὲ πρὸς τὴν κατὰ συμβεβηκὸς κατηγορίαν, ὅτι ἡ κατὰ συμβεβηκὸς κατηγορία, οὐκ ἔχει τὴν αἰτίαν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ εἴδους, ἀλλὰ συμβαίνει τῷ ἀτόμῳ˙ ὥσπερ τὸ ἴδιον ἔχει τὴν αἰτίαν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τοῦ εἴδους˙ ἐνίοτε μὲν χωριστῶς, ἐνίοτε δὲ ἀχωρίστως. Οὕτω τοίνυν αἱ δυνάμεις τῆς ψυχῆς, εἰσὶ μέσον τῆς οὐσίας τῆς ψυχῆς καὶ τοῦ συμβεβηκότος, διὰ τὸ εἶναι αὐτὴν ἰδιότητας φυσικάς, ἢ οὐσιώδεις, εἴτουν τῇ οὐσίᾳ τῆς ψυχῆς φυσικῶς ἐπακολουθούσας.**

P 313v

**[11.27] Πρὸς τὸ πρῶτον οὖν ῥητέον ὅτι, ὁ,τί ποτε περὶ τῶν τῆς ψυχῆς δυνάμεων λέγεται, ὅμως ὁ νοῦς, οὐδέποτε οἴεται, εἰ μὴ μελαγχολῶν, τὰς ἕξεις καὶ τὰς ἐντελεχείας τῆς ψυχῆς εἶναι αὐτὴν τὴν οὐσίαν αὐτῆς. Φανερὸν δὲ τὴν νόησιν καὶ τὴν ἀγάπην, περὶ ἧς ὁ Αὐγουστῖνος ἐκεῖ διαλέγεται, μὴ δηλοῦν δυνάμεις, ἀλλ’ ἐντελεχείας˙ διὸ καὶ οὐκ**

**219-220** περὶ – διαλέγεται] vide supra in apparatu fontium [1.11].5-9.

**201** ὡς εἴδους] deest Aq. **203** συμβα<μα>τικὴ] συμβατικὴ M, P (accidentalem Aq.) **210-211** ἔχει – ἀρχῶν] deest Aq. **213** διὰ – αὐτὴν] sic P, M; quasi Aq.; intellige αὐτὰς pro αὐτὴν **214** ἢ] καὶ M (vel Aq.) **216** ὅμως – οἴεται] deest M (lacuna ca 16) **217** ὁ νοῦς] sic P, M; nullus Aq. **219** τὴν] τὸ P **220** Hic post ἐντελεχείας Aq. habet: aut habitus

**ἐπαγωνίζεται ὁ Αὐγουστῖνος ἐκεῖ λέγειν τὴν νόησιν καὶ τὴν ἀγάπην, εἶναι αὐτὴν τὴν οὐσίαν τῆς ψυχῆς, ἀλλ’ ὅτι ἔνεισιν αὐτῇ φυσικῶς καὶ οὐσιωδῶς· οὗ πρὸς κατάληψιν ἐπιστητέον τὸν νοῦν, ὅτι ἐκεῖ ὁ Αὐγουστῖνος διαλέγεται, περὶ τῆς μνήμης, καθὸ γινώσκει ἑαυτὴν καὶ ἀγαπᾷ ἑαυτήν· οὕτως οὖν ὁ νοῦς καὶ ἡ ἀγάπη, δύνανται παραβάλλεσθαι πρὸς τὴν μνήμην, ἢ ὥσπερ πρὸς ἀγαπῶσαν καὶ γινώσκουσαν, ἢ ὡς πρὸς ἀγαπωμένην καὶ γινωσκομένην· καὶ τούτῳ τῷ τρόπῳ, διαλέγεται ἐκεῖ ὁ Αὐγουστῖνος· οὕτω γὰρ φησὶ τὴν νόησιν καὶ τὴν ἀγάπην, οὐσιωδῶς καὶ φυσικῶς ἐν τῇ μνήμῃ ἢ τῇ ψυχῇ ὑπάρχειν, ὅτι ἡ μνήμη τὴν ἑαυτῆς ὕπαρξιν ἢ οὐσίαν γινώσκει· ἀμέλει τοι καὶ μεταταῦτα ἐπάγει·** πῶς οὐκ ἐκεῖνα τὰ τρία τῆς αὐτῆς ὑπάρχοι οὐσίας· οὐ διατοῦτο ἐφόσον ἡ μνήμη ἑαυτὴν ἀγαπᾷ, καὶ ἑαυτὴν γινώσκει**.**

**[11.28] Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι τὸ Περὶ πνεύματος καὶ ψυχῆς βιβλίον ἔστιν ἀπόκρυφον· ὁ γὰρ τούτου συγγραφεὺς ἀγνοεῖται· καὶ εἰσὶν ἐκεῖ πολλὰ ψευδῶς, ἢ καὶ κατὰ παράχρησιν εἰρημένα· ὁ γὰρ ἐκεῖνο τὸ βιβλίον συγγραψάμενος, οὐ συνῆκε τὰς τῶν ἁγίων χρήσεις, ἀφ’ ὧν λαμβάνειν ἐπεχείρει. Εἰ μέντοι μὴ καταφρονητέον εἶναι μία, εἰδέναι ἄξιον ὅτι τὸ ὅλον τρισσὸν ἐστίν· ἓν τὸ καθόλου ὅπέρ ἐστιν ὁτῳοῦν μέρει καθόλου αὐτοῦ τὴν οὐσίαν καὶ δύναμιν· ὅθεν ἰδίως κατηγορεῖται κατὰ τῶν αὐτοῦ μερῶν· ὡς ὅταν λέγηται ὁ ἄνθρωπος ζῷον· ἄλλο δέ ἐστιν ὅλον, ὃ καθολοκληρίαν λέγεται· ὃ μὴ πάρεστι τινὶ τῶν αὐτοῦ μερῶν, οὔτε κατὰ τὴν αὐτοῦ [totam] οὐσίαν,**

**214** ὁ Αὐγουστῖνος – ἀγάπην] vide supra in apparatu fontium [1.11].5-9. **223-225** ἀμέλει – γινώσκει] Aug., De trin. IX, cap. 4, n. 7 (PL 42, col. 964): Quomodo autem illa tria non sint eiusdem essentiae non video, cum mens ipsa se amet atque ipsa se noverit...

**215** καὶ] sic P; vel Aq. **216** οὗ] οὐ P | πρὸς κατάληψιν] προκατάληψιν M (intellectum Aq.) | τὸν νοῦν] deest Aq. **221** οὕτω] sic P, M; ea ratione Aq. **223** Hic post αὐτῆς Aq. habet: non **224** Hic post οὐσίας Aq. habet: non video **230** εἶναι μία] sic P, M; debeat Aq. **231** ἐστιν[2]] sic P, M; adest Aq. **231** καθόλου] sic P, M; secundum Aq.

P 314r

οὔτε καθ’ ὅλην αὐτοῦ τὴν δύναμιν, καὶ διατοῦτο οὐδενὶ τρόπῳ | κατηγορεῖται κατὰ τοῦ μέρους· ὥσπερ οὐ φαμὲν τὸν τοῖχον εἶναι τὴν οἰκίαν· τρίτον δὲ ὅλον ἐστὶ τὸ οὐσιῶδες· ὃ καὶ μέσον ἐστὶ τῶν δύο τῶν προειρημένων· ὃ πάρεστι μὲν παντὶ αὐτοῦ μέρει, κατὰ πᾶσαν αὐτοῦ τὴν οὐσίαν· ἀλλ’ οὐ κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν· διατοῦτο καὶ μέσῳ τρόπῳ κατηγορίας κεῖται. Λέγεται γὰρ ἐνίοτε κατὰ τῶν αὐτοῦ μερῶν, ἀλλ’ οὐκ ἰδίως, καὶ ταύτῃ λέγεται ὅτι ἡ ψυχὴ ἐστὶν αἱ δυνάμεις αὐτῆς, καὶ τὸ ἀνάπαλιν.

[11.29] Πρὸς τὸ τρίτον ῥητέον, ὅτι τὰ οὐσιώδη εἴδη αὐτὰ καθ’ αὐτά, εἰσὶν ἄγνωστα, γινώσκονται δὲ ἡμῖν, διὰ τῶν ἰδίων συμβεβηκότων, πολλάκις. Αἱ γὰρ οὐσιώδεις διαφοραί, ἀπὸ τῶν συμβεβηκότων λαμβάνονται, ἐν χώρᾳ εἰδῶν οὐσιωδῶν, αἳ διὰ τῶν τοιούτων συμβεβηκότων, κατάδηλα γίνεται, ὥσπερ τὸ δίπουν, τὸ βαδιστικὸν καὶ τὰ ἄλλα τὰ τοιαῦτα· καὶ ἔτι τὸ αἰσθητικὸν καὶ λογικόν· τίθενται γὰρ ὡς οὐσιώδεις διαφοραί· ἢ δυνατὸν λέγειν ὅτι τὸ αἰσθητικὸν καὶ λογικόν, καθὸ εἰσὶ διαφοραί, οὐ λαμβάνονται ἀπὸ τοῦ λόγου καὶ τῆς αἰσθήσεως, ᾗ δηλοῦσι δυνάμεις, ἀλλὰ ἀπὸ τῆς λογικῆς ψυχῆς ἢ τῆς αἰσθητικῆς.

[11.30] Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι ὁ λόγος ἐκεῖνος πρόεισιν, ἀπὸ τοῦ συμβεβηκότος τοῦ κοινοῦ τοῖς ἐννέα γένεσι· καὶ ταύτῃ οὐδέν ἐστι μέσον οὐσίας καὶ συμβεβηκότος, ἀλλὰ τῷ ἑτέρῳ τρόπῳ, ὡς εἴρηται.

**243-249** τὰ – διαφοραί] cf. Ar., Metaph. VII, 1038a1-35.

**236** ὥσπερ – φαμὲν] sic P; ut dicitur Aq. **237** τὸ οὐσιῶδες] sic P; potentiale Aq. **238** παντὶ] deest Aq. **245** γὰρ] deest Aq. **253** τοῦ] secundum quod est Aq.

**[11.31] Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι αἱ δυνάμεις τῆς ψυχῆς δύνανται λέγεσθαι οὐσιώδεις ἰδιότητες τῆς ψυχῆς· οὐχ ὅτι εἰσὶ μέρη τῆς οὐσίας, ἀλλ’ ὅτι τὰς ἀρχὰς ἴσχουσιν ἀπὸ τῆς οὐσίας· καὶ ταύτῃ οὐ διακρίνονται ἀπὸ τοῦ κοινοῦ συμβεβηκότος τοῖς ἐννέα γένεσιν· ἀλλὰ διακρίνονται ἀπὸ τοῦ συμβεβηκότος τοῦ ὄντος συμβα<μα>τικοῦ κατηγορήματος. ὃ μὴ ἔχει τὴν ἀρχὴν ἀπὸ τοῦ οὐσιώδους εἴδους.**

**[11.32] Ὅθεν φαίνεται λύσις καὶ πρὸς τὸ ἕκτον.**

**[11.33] Πρὸς τὸ ἕβδομον ῥητέον, ὅτι δισσὴ ἐστὶν ἡ ἐνέργεια τοῦ νοῦ, ὥσπερ λέγεται ἐν τῷ τῆς Ψυχῆς τρίτῳ· μία ᾗ νοεῖ τὸ τί ἐστί· καὶ ᾗ ἐνεργείᾳ νοεῖν ὁ νοῦς δύναται τὴν οὐσίαν τοῦ πράγματος, καὶ ἄνευ ἰδίου, καὶ ἄνευ συμβεβηκότος, ἐφόσον οὐδέτερον τούτων ὕπεισιν εἰς τὴν οὐσίαν τοῦ πράγματος· καὶ οὕτως ὁ λόγος προΐει. Ἑτέρα ἐνέργεια ἐστί, τοῦ συντιθέντος καὶ διαιροῦντος νοῦ· καὶ ταύτῃ δύναται ἡ οὐσία νοεῖσθαι καὶ ἄνευ τοῦ κατὰ συμβεβηκὸς κατηγορουμένου, καὶ εἰ εἴη ἀχώριστον, ὥσπερ καὶ κόραξ δύναται νοεῖσθαι λευκός· οὐ γάρ ἔστιν ἐκεῖ διαμάχη τῶν νῶν, ἐφόσον τὰ ἀντικείμενα οὐκ ἤρτηται τῶν ἀρχῶν τοῦ εἴδους τοῦ δηλουμένου τῷ ὀνόματι τοῦ κειμένου τῷ ὑποκειμένῳ· ταύτῃ γὰρ τῇ ἐνεργείᾳ ὁ νοῦς οὐ δύναται νοεῖν τὴν οὐσίαν, ἄνευ τοῦ ἰδίου· οὐ γὰρ δύναται νοεῖσθαι ὁ ἄνθρωπος μὴ εἶναι γελαστικὸς ἢ τὸ**
P 314v **τρίγωνον, μὴ ἔχειν τρεῖς γωνίας δυσὶν | ὀρθ<ὰς καὶ> ἴσας· ἐνταῦθα γὰρ διαμάχεται ὁ νοῦς πρὸς ἑαυτόν· τὸ γὰρ ἀντικείμενον τοῦ κατηγορουμένου, ἐξέχεται τῆς φύσεως τοῦ ὑποκειμένου. Οὕτω τοίνυν τῇ πρώτῃ ἐνεργείᾳ τοῦ νοῦ δύναται νοεῖσθαι ἡ οὐσία τῆς ψυχῆς, ἵνα δηλαδὴ νοῆται τὸ τί ἐστιν, ἄνευ τῶν δυνάμεων, οὐ τῇ δευτέρᾳ δὲ ἐνεργείᾳ, ὡς νοεῖσθαι μὴ ἔχειν δυνάμεις.**

**256** τῆς ψυχῆς] deest Aq. **260** ἀπὸ – εἴδους] sic P, M; a natura speciei Aq. **266** προΐει] [a. corr. ex προΐη] P; προΐη M (procedit Aq.) **268** Hic post ἀχώριστον Aq. habet: secundum rem **270** τὰ ἀντικείμενα] sic P, M; oppositum praedicati Aq. **271-276** δηλουμένου – ὑποκειμένου] δηλοῦντος M **272** γὰρ] sic P; vero Aq. **277** Hic post ἐνεργείᾳ Aq. habet: ita scilicet quod **278** νοῆται] νοεῖται P

[11.34] Πρὸς τὸ ὄγδοον ῥητέον, ὅτι ἐκεῖνα τὰ τρία λέγονται εἶναι μία ζωή, μία οὐσία, ἢ καθὸ παραβάλλονται πρὸς τὴν οὐσίαν, ὡς ὑποκείμενον, ἢ ἐκείνῳ τῷ τρόπῳ, ᾧ τὸ προσωπικὸν κατηγορεῖται κατὰ τῶν μερῶν.

[11.35] Πρὸς τὸ ἔνατον ῥητέον, ὅτι ὅλη ἡ ψυχὴ ἐστὶν εἶδος οὐσιῶδες [totius] τοῦ σώματος, οὐ τῷ λόγῳ τῆς ὁλότητος τῶν δυνάμεων, ἀλλὰ κατὰ τὴν οὐσίαν αὐτήν, ὡς ἀνωτέρω εἴρηται. Ὅθεν οὐχ ἕπεται αὐτὴν τὴν ὀπτικὴν δύναμιν εἶναι εἶδος οὐσιῶδες τοῦ ὀφθαλμοῦ, ἀλλ’ αὐτὴν τὴν οὐσίαν τῆς ψυχῆς, καθὸ ἐστὶν ὑποκείμενον ἢ ἀρχὴ τῆς τοιαύτης δυνάμεως.

[11.36] Πρὸς τὸ δέκατον ῥητέον, ὅτι τὸ εἶδος τὸ συμβεβηκός, ὅ ἐστιν ἀρχὴ ἐνεργείας, αὐτό ἐστι δύναμις τῆς οὐσίας, τοῦ ποιοῦντος· οὐ πρόεισι δὲ ἐπ’ ἄπειρον, ὡς ἡστινοσοῦν δυνάμεως εἶναι ἄλλην δύναμιν.

[11.37] Πρὸς τὸ ἑνδέκατον ῥητέον, ὅτι ἡ οὐσία, ἐστὶ μεῖζον δῶρον ἁμηγέπῃ, ἢ αἱ δυνάμεις, ὥσπερ ἡ αἰτία ἐστὶ κρεῖττον τοῦ ἀποτελέσματος, ἀλλὰ καθ’ ἕτερον ἁμηγέπῃ, αἱ δυνάμεις εἰσὶ κρείττους, ἐφόσον εἰσὶν ἐγγύτεραι τῶν ἐνεργειῶν, αἷς ἡ ψυχὴ τῷ ἑαυτῆς τέλει προσίσχεται.

[11.38] Πρὸς τὸ δωδέκατον ῥητέον, ὅτι ἐντεῦθεν συμβαίνει ἀπορρεῖν τινὰ δύναμιν τῆς οὐσίας τῆς ψυχῆς, ἣ μὴ ἔστιν ἐνέργεια μορίου τινὸς τοῦ σώματος, ὅτι ἡ οὐσία τῆς ψυχῆς, ὑπερβαίνει τὴν ἀναλογίαν τοῦ σώματος, ὡς ἐν τοῖς φθάσασιν εἴρηται. Ὅθεν οὐχ ἕπεται τὴν δύναμιν εἶναι ἀυλωτέραν ἢ τὴν οὐσίαν, ἀλλ’ ἐκ τοῦ τῆς ψυχῆς μείζονος ἕπεται ἡ τῆς δυνάμεως ἀυλότης.

285 ὡς – εἴρηται] vide supra responsionem articuli quarti [4.21].

**282** τὸ προσωπικὸν] sic P, M; totum potentiale Aq. **285** Hic post αὐτήν Aq. habet: animae | ἀνωτέρω] ἀνωτάτω P **288** συμβεβηκός] συμβατικὸν P (accidentalis Aq.) **299** ἐκ – μείζονος] sic P; immateriate animae Aq.

**[11.39] Πρὸς τὸ τρισκαιδέκατον ῥητέον, ὅτι τῶν συμβεβηκότων ἕτερον ἐστίν, ἔγγιον αὖ ὑποκειμένῳ ἑτέρῳ, ὥσπερ ἡ ποσότης ἐστίν, ἐγγυτέρα τῇ οὐσίᾳ τῆς ποιότητος· καὶ ταύτῃ ἡ οὐσία δέχεται συμβεβηκὸς ἑτέρου μεσιτεύοντος, ὡς τὸ χρῶμα τῆς ἐπιφανείας, καὶ τὰς ἐπιστήμας μεσιτευούσης τῆς νοερᾶς δυνάμεως. Τούτῳ τοίνυν τῷ τρόπῳ, ἡ δύναμις τῆς ψυχῆς, ἐστὶν ὑποδεκτικὴ τῶν ἐναντίων, ὥσπερ ἡ ἐπιφάνεια τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἐφόσον δηλαδὴ ἡ οὐσία ὑποδέχεται τὰ ἐναντία κατὰ τὰ προειρημένα.**

**[11.40] Πρὸς τὸ τεσσαρεσκαιδέκατον ῥητέον ὅτι, ἐφόσον ἡ ψυχὴ ἔστιν εἶδος τοῦ σώματος κατὰ τὴν αὐτῆς οὐσίαν, δίδωσι τὸ εἶναι τῷ σώματι, ἐφόσον δέ ἐστιν εἶδος οὐσιῶδες, δίδωσιν αὐτῇ τὸ τοιοῦτον εἶναι, ὅπέρ ἐστι ζῆν· ἐφόσον δέ ἐστι τοιοῦτον εἶδος, εἴτουν ψυχή, δίδωσιν αὐτῇ τὸ τοιοῦτον ζῆν, εἴτουν τὸ νοεῖν,** P 315r **| ἡ δύναμις ἢ ἡ ἕξις, ἐνίοτε δὲ ἀντ᾽ αὐτοῦ εἶναι τῆς νοερᾶς φύσεως, καὶ οὕτως ἐστὶν ἀρχὴ τοῦ νοεῖν αὐτὴ ἡ οὐσία τῆς νοερᾶς ψυχῆς.**

**[11.41] Πρὸς τὸ πεντεκαιδέκατον ῥητέον, ὅτι ἡ δύναμις τῆς ὕλης, οὐ τέτακται πρὸς τὸ ἐνεργεῖν, ἀλλὰ πρὸς τὸ οὐσιῶδες εἶναι. Καὶ διατοῦτο ἡ δύναμις τῆς ὕλης, δύναται εἶναι ἐν τῷ τῆς οὐσίας γένει. οὐχ ἡ δύναμις δὲ τῆς ψυχῆς ἡ οὖσα πρὸς τὸ ἐνεργεῖν.**

**[11.42] Πρὸς τὸ ἑκκαιδέκατον ῥητέον ὅτι, καθάπερ ὑπείπομεν, ὁ Αὐγουστῖνος παραθεωρεῖ τὸν νοῦν καὶ τὴν ἀγάπην πρὸς τὴν μνήμην, καθὼς γινώσκεται καὶ ἀγαπᾶται. Καὶ εἰ κατὰ ταύτην τὴν σχέσιν ὁ νοῦς καὶ ἡ ἀγάπη εἶεν ἐν τῇ μνήμῃ ἢ τῇ ψυχῇ ὥσπερ ἐν ὑποκειμένῳ, ἐν πᾶσι τοῖς γινωσκομένοις καὶ ἀγαπωμένοις, ὥσπερ συμβεβηκὸς ὑπερέβαινεν αὐτὸ τὸ ἴδιον ὑποκείμενον· ὅπέρ ἐστιν ἀδύνατον· ἐπεὶ ὁ Αὐγουστῖνος σκοπεῖ ἀποδεικνῦναι εἶναι ταῦτα τὴν οὐσίαν τῆς ψυχῆς, οὐκ ἂν ἦν τὶ ἡ αὐτοῦ ἀπόδειξις· καὶ γὰρ οὐκ ἧττον ἀληθὲς ἐστὶ περὶ τῆς οὐσίας τοῦ πράγματος, τὸ μὴ εἶναι ἔξω τοῦ πράγματος ἢ περὶ τοῦ συμβεβηκότος τὸ μὴ εἶναι ἔξω τοῦ ὑποκειμένου.**

**320** ὅτι – ὑπείπομεν] vide supra articulum primum [1.1]-[1.35].

**302** ἔγγιον] ἔγγυον P, M (propinqius Aq.) | αὖ] deest M, Aq. | ἑτέρῳ] ἑτέρου P, M **303** Hic post δέχεται Aq. habet: unum **304-305** τὰς ἐπιστήμας] scientiam Aq. **310** τῷ σώματι] τοῦ σώματος M **311** ἔστι – εἴτουν] deest M (lacuna ca 12) **313-314** τὸ – ψυχῆς] τὸ νοεῖν δὲ ἐνίοτε μὲν λαμμβάνεται ἀντὶ ἐνεργείας, καὶ ὥσπερ ἀρχὴ (lacuna ca 5) ἐστὶν ἡ δύναμις ἐνίοτε δὲ ἀντ᾽ αὐτοῦ τοῦ εἶναι τῆς νοερᾶς φύσεως· καὶ οὕτως ἐστὶν ἀρχὴ τὸ νοεῖν αὐτὴ ἡ οὐσία τῆς νοερᾶς ψυχῆς M **320** καθὼς] καθὸ P (secundum quod Aq.) **322** Sic post ὑποκειμένῳ Aq. habet: pari ratione **324** ὥσπερ] sic P, M; et sic Aq.

**[11.43] Πρὸς τὸ ἑπτακαιδέκατον ῥητέον, ὅτι ἐξ αὐτοῦ τούτου τοῦ ὑπερανῳκίσθαι τῆς ὕλης ἕπεται τὸ ἔχειν νοερὰν δύναμιν, οὐχ οὕτω μέντοι ὡς τὴν αὐτοῦ δύναμιν εἶναι τὴν οὐσίαν αὐτοῦ.**

**[11.44] Πρὸς τὸ ὀκτωκαιδέκατον ῥητέον, ὅτι ὁ νοῦς οὐ μόνον ἐστὶν νοερὰ δύναμις, ἀλλὰ πολλῷ μᾶλλον οὐσία μετὰ δυνάμεως. Ὅθεν οὐ μόνον νοεῖται ἡ δύναμις, ἀλλὰ καὶ ἡ οὐσία.**

**[11.45] Πρὸς τὸ ἐννεακαιδέκατον ῥητέον, ὅτι αἱ δυνάμεις τῆς ψυχῆς λέγονται μέρη οὐ τῆς οὐσίας τῆς ψυχῆς, ἀλλ’ ὅλης τῆς δυνάμεως αὐτῆς, ὥσπερ εἰ λέγοιτο ὅτι ἡ δύναμις τοῦ ἐπάρχου ἐστὶ μέρος ὅλης τῆς βασιλείου δυνάμεως.**

**[11.46] Πρὸς τὸ εἰκοστὸν ῥητέον, ὅτι τῶν δυνάμεων τῆς ψυχῆς πολλαὶ οὐκ εἰσὶν ἐν τῇ ψυχῇ ὥσπερ ἐν ὑποκειμένῳ, ἀλλ’ ἐν τῷ συνθέτῳ, καὶ ταύτῃ τῇ πληθύι τῶν δυνάμεων προσήκει πολυειδείᾳ μερῶν σώματος. Αἱ δυνάμεις δὲ ἐν μόνῃ τῇ οὐσίᾳ τῆς ψυχῆς ὥσπερ ἐν ὑποκειμένῳ εἰσὶν ὁ ἐνεργῶν νοῦς καὶ ὁ δυνάμει καὶ ἡ θέλησις· καὶ πρὸς τοῦτον τὸν πληθυσμὸν τῶν δυνάμεων ἀπόχρη, ὅτι ἐν τῇ τῆς ψυχῆς οὐσίᾳ ἔστι τις σύνθεσις τοῦ ἐνεργείᾳ καὶ τοῦ δυνάμει, ὡς προείρηται.**

**346** ὡς προείρηται] vide responsionem articuli primi [1.36].

**329** Hic post τοῦ Aq. habet: anima est **330** Hic post ὕλης Aq. habet: secundum suam substantiam **334** ἡ ... ἡ] sic P, M **341** πολυειδείᾳ] πολυειδέα P; πολυειδεῖ M

## Part III: Prochoros Cydones' translations of the *Quaestiones Disputatae*

### 1. Method and technique

One of the main aims of our study is to explore the method and technique Prochoros used in rendering the original Latin text of the two *Quaestiones* into Greek in an attempt to assess the metaphrastic process. For this purpose, specimens of the two texts are examined in parallel below, by means of a philological commentary (including a lexical and stylistic analysis) based on a collation of Prochoros' Greek translations with the Latin original texts in the Leonine and Turin editions. It should be stressed that during our collation of the Greek and Latin *Quaestiones*, it became clear that Prochoros must have used a different tradition of the Latin texts, as indicated by the variants[76] as well as the number of cases of Greek translated text that does not exist in the Latin edited text.[77]

In his translation of *QDP* and *QDSC* Prochoros retained, by and large, the structure and word order of the Latin text, so long as it agreed with the syntax of his destination language. Nevertheless, he was prepared to adapt the translation when necessary in order to keep the meaning of the Latin words and at the same time to preserve the aesthetic appreciation of the Greek version for the reader, who would read it independently, rather than using it as a guide to the Latin original. Hence, he often uses *periphrasis* in his translation to provide a more varied, stylish and natural rendering in Greek, e.g. 'τοῦ σώματος' for 'corporalem' (*QDSC*, [9.30].361), 'τὰ εἰς κόσμον τελοῦντα' for 'ornamenta' (*QDSC* [8.33].341), and 'ἑνὶ καὶ τῷ αὐτῷ' for 'in uno' (*QDSC* [11.20].117); also, 'necessarium (est)' becomes 'ἀναγκαῖον τυγχάνει' (*QDSC* [4.6.32-34]), while throughout the text 'Commentator' translates as 'Ὑπόμνημα', which is more common in Greek. Also, 'τυγχάνει οὖσα' for 'est' (*QDSC* [3.5].14), 'φιλοσοφίας γεγυμνασμένοι' for 'philosophi' (*QDSC* [3.4].22), 'θεωρεῖσθαι δυνατόν' for 'potest' (*QDSC* [3.4].37) and 'μόνοι τῶν πάντων' for 'soli' (*QDSC* [3.5].5). Similarly in *QDP*, 'est' is rendered as 'ἐπιτελεῖται' (*QDP* [2.1.8].44]), 'est formatum' has been translated as 'εἰς εἶδος ἦλθεν' (*QDP* [4.1.15].100]), 'perspicacitas' as 'τὸ τῶν ἀνθρώπων διορατικόν'

[76] See above, pp. 34-48.
[77] See above, edition of Prochoros' translations of *QDP* (pp. 60-730), *QDSC* (pp. 731-915).

(*QDP* [13.17.32].180), ‘est’ as ‘ἐστήρικται’ (*QDP* [5.8.11].91) and ‘impedit’ as ‘ἐμποδὼν γίνεται’ (*QDP* [1.3.23].168).

On the other hand, there are occasions where Prochoros’ accurate rendering is more concise than Aquinas’ text; for example, he translates ‘quod est commune’ as ‘τοῦ κοινοῦ’ (*QDSC* [11.6].39), ‘ea ratione’ as ‘οὕτω’ (*QDSC* [11.27].221) and ‘de naturis rerum sensibilium’ as ‘τῶν νοητῶν πραγμάτων’ (*QDSC* [9.21].155). Another example where Prochoros provides a more consise translation is the following instance where he abridges even a whole section:

| **Aquinas *QDSC*: a. 1 ad 9**[78] | **Prochoros *QDSC*:** [1.45].401-404 |
|---|---|
| Non enim ex hoc contingit quod aliquod indiuiduum sit corpus inanimatum et aliud corpus animatum per hoc **quod indiuiduum animatum habet formam aliquam**, cui substernatur forma substantialis corporis; set quia hoc indiuiduum animatum habet formam perfectiorem, **per quam habet non solum subsistere et corpus esse, sed etiam uiuere**; **aliud autem habet formam imperfectiorem, per quam non attingit ad uitam, sed solum ad subsistere corporaliter**. | **Ἀλλ’ ὅτι τοδὶ μὲν ἔμψυχον ἄτομον, ἔχει τε δεύτερον εἶδος· δι’ οὗ ἔχει, οὐ μόνον τὸ ὑφεστάναι καὶ σῶμα εἶναι, ἀλλὰ πρὸς δὲ καὶ τὸ ζῆν· τὸ ἕτερον δὲ ἔχει εἶδος ἀτελέστερον· δι’ οὗ οὐκ ἐφικνεῖται πρὸς τὴν ζωήν, ἀλλὰ πρὸς τὸ ὑφεστάναι μόνον σωματικῶς.** |

These abridgments, or more concise translation of a few words, unless they represent defects of the Latin manuscript used by Prochoros, serve a practical purpose, that is, to avoid repetition and obfuscating the meaning.

This tendency of avoiding repetition on grounds of style is also evident from instances where a certain noun is repeated in a section of the Latin text. Prochoros replaces the noun-in-question with the definite pronoun *αὐτός* in oblique cases, e.g.: ‘Τῷ αὐτῷ δὲ λόγῳ τὸ σῶμα (corpus) διοικεῖ ᾧ καὶ ἑνοῦται· οἰχομένων γὰρ τῶν οἷς αὐτὸ (corpus) διοικεῖ ἀπαλλάττεται ἀπ’ αὐτοῦ (corpore)’ (*QDSC* [3.7].53-54); also ‘τῆς λογικῆς ψυχῆς (animae rationalis) ... Παραδυομένης τοίνυν αὐτῆς (anima rationali)’ (*QDSC* [3.12].74-75). In *QDP* [3.5.5] the ‘posteriores philosophi’ are rendered as ‘ἐπιγενόμενοι φιλόσοφοι’ (l. 36) and further down as ‘ὕστατον φιλοσοφήσαντες’ (l. 44). Throughout

[78] COS, *Sancti Thomae De Aquino, Opera Omnia*, p. 17.

Prochoros' translation it is clear that he likes to vary his vocabulary on aesthetic grounds. In *QDP* [3.18.23] he translates '(corpora) propinqua' as '(σώματα) τὰ ἐκποδὼν αὐτῷ' and in the same paragraph he renders '(creaturas angelicas) sibi propinquas' as τοὺς ἀγγελικοὺς διακόσμους τοὺς παρ' αὐτήν. In other cases he omits to repeat the noun-in-question when not necessary, as shown in the following sections:

| | |
|---|---|
| Aquinas, q. 3 a. 6 co. | *QDP* [3.6.30].173 |
| Et vetus Testamentum, quod respectu novi Testamenti | **καὶ τὴν Παλαιὰν Διαθήκην, πρὸς τὴν Νέαν** |
| Aquinas, q. 3 a. 9 sol. 9 | *QDP* [3.9.39].321-322 |
| In **genere** substantiae, sicut est in **genere** qualitatis | τῆς οὐσίας **γένει**, ᾗ δὴ κὰν **τῷ** τῆς ποιότητος |

Another characteristic of Prochoros' translation is that he uses the same translation for a number of similar terms, e.g. σκέψις for 'inquisitio' (*QDSC* [1.36].207]) and 'consideratio' (*QDSC* [8.23].238); 'μεταβολή' for 'mutabilitas' (*QDSC* [1.3].16), 'transmutatio' (*QDSC* [3.28].266) and 'conversio' (*QDSC* [3.19].117).[79] On the other hand, he often gives more than one translation for a single word or term, e.g. 'πλείω' (*QDSC* [3.28].280), 'περαιτέρω' (*QDSC* [3.28].296), 'πλέον' (*QDSC* [6.41].280), 'μᾶλλον' (*QDSC* [9.21].226) for 'amplius'. In the case of 'ὑπερτάτη (*QDSC* [8.21].219), ἀνωτάτη (*QDSC* [8.21].193) and χθαμαλωτέρα (*QDSC* [8.32].335) μοῖρα' for 'suprema pars', the last one has the opposite meaning, which points rather to a different word in the Latin MS Prochoros consulted. Similarly, the words 'διάνοια' (*QDSC* [10.29].367), 'ζωή' (*QDSC* [1.17].52) and 'μνήμη' (*QDSC* [11.1].6) for 'mens' may be a translation of words other than 'mens' which Prochoros read in his MS.

More importantly, Prochoros' translation alters the meaning of certain words, e.g. 'μόρφωσις' (*QDSC* [2.22].161) for 'forma' (instead of 'formatio'), while his interpretation of certain words sometimes departs from the original meaning, without however disrupting the understanding of the context, e.g. his translation of 'Ergo cum in parte non inveniatur figura totius ...' as ' Ἐπεὶ τοιγαροῦν τὰ μέρη οὐ μιμεῖται τὸ τοῦ

[79] See lists of Prochoros' translation of terms in HUNGER, *Prochoros Cydones, Übersetzung von acht Briefen des Hl. Augustinus*, pp. 84-92 ; cf. review by D.M. NICOL in *The Classical Review* 35.2 (1985), 428-429.

ὅλου σχῆμα ...' (*QDSC* [4.8].49-50) – unless, again, Prochoros was reading a different word, e.g. 'imitetur' instead of 'inveniatur'. See list, pp. 922-923.

On the other hand, Prochoros tends to exaggerate certain Latin words by choosing stronger words in his translation, especially using the superlative degree of comparison in rendering Latin adverbs and adjectives into Greek. For example, in *QDSC*, 'μάλιστα' for 'magis' (*QDSC* [9.31].378), 'ἐρρωμενέστατα' (*QDSC* [2.23].180) for 'efficacius' and 'ἠλιθιώτατον' for 'absurdum' (*QDSC* [7.7].48). In *QDP*, he uses 'κατάδηλόν ἐστιν' for 'patet' (*QDP* [3.6].30), 'ὀνησιμωτάτη' for 'utilis' [5.6.17].151, 'σκοπημότατον' for 'intentus' [*QDP* [3.15.23].133), and 'τὸ αἶσχος' for 'informitas' (*QDP* [4.1.2].14).

From the aforementioned examples it is evident that Prochoros – if he had access to Greek-Latin glossaries, which is in principle probable –[80] preferred not to follow them in a slavish manner. It seems that his main aim was to convey the meaning of the *sententiae* to the Greek reader in a clear and elegant style, sometimes perhaps at the expense of 'consistency' in his translation of terms, as indeed his brother Demetrios did.[81]

Nevertheless, in other cases these divergences, rather than reflecting Prochoros' comprehension of the Latin text or his ability to render it in Greek, are most likely a result of errors of the scribe/s, namely misreadings, misunderstandings, mispellings, omissions and *homoioteleuta*. For example, errors such as 'δὴ' for 'δεῖ' (*QDSC* [1.1].6), 'ἢ' for 'εἰ' (*QDSC* [1.10].60) and 'ἥτις' for 'εἴ τις' (*QDSC* [1.36].240) are due to *itacism* and/or the resemblance of the majuscule **H** with the diphthong **ει**. Similar confusion leading to misspellings is caused by the homophones *omicron* and *omega* (*isochronism*); so we often find αὐτῷ for αὐτό (*QDSC* [9.20].138), 'ὃ' for 'ᾧ' (*QDSC* [10.19].135) and 'τῶν' for 'τόν' (*QDSC* [1.11].95). The copyist's literacy and comprehension can also be Responsible for such errors, including accentuation of the text he has in front of him, which may lead him to either reproduce an error by copying it or introduce a new one. For example, the erroneous 'ὑφεστῶς' for 'ὑφεστὼς' in **P**

[80] For Greek-Latin and Latin-Greek glossaries in Byzantium, see Ps-Dositheus, *Hermeneumata*, ed. G. Goetz, *Corpus glossarium Latinorum*, vol. III (Leipzig, 1892); idem, *Thesaurus glossarum emendatarum*, Corpus glossarium Latinorum, vols. VI-VII (Leipzig, 1899, 1903); Dositheus Magister, *Ars grammatica*, 71-77, ed. J. Tolkiehn, *Dosithei ars grammatica* (Leipzig, 1913).

[81] On Demetrios' translating method see Ch. Wright, 'Towards an edition of Demetrios Cydones's autograph translation of Thomas Aquinas's *Summa Theologiae,* Prima Pars', in *When East met West*, pp. 19-30.

appears consistently throughout the text. See list for itacism and isochronism in **P** and **M**, pp. 34 and 40.

In the wider category of scribal errors, we may include some oddities in the Greek translation which are possibly a result of errors and/or omissions in the Latin MS/S that Prochoros was reading. A good example is the use of 'ἡ πρώτη ὕλη' in the nominative instead of the correct 'ἀπὸ πρώτης ὕλης' (a prima materia) (*QDSC* [1.21].149); admitedly, it is possible that Prochoros himself was reading 'prima materia' without the preposition 'a' and therefore misunderstood it as nominative. See list of attractions in **P** and **M**, pp. 35 and 41.

Certain syntactical errors or oddities in the Greek translation may be attributed to Prochoros himself, e.g. 'τῇ ἑαυτοῦ ἑνώσει' for 'τῇ μετ'αὐτοῦ ἑνώσει' (per huiusmodi unionem) (*QDSC* [3.11].67). In some cases, Prochoros is clearly influenced by the Latin syntax, e.g. 'τῶν μετεχόντων αὐτὸ τὸ φῶς' for 'quae participant ipsum lumen', where the accusative *lumen* misleads him to place 'τὸ φῶς' in the accusative, instead of genitive (*QDSC* [10.25].318); also 'εἶδος ... ἥτις ἐστί', where he qualifies the neuter 'εἶδος' with the feminine pronoun 'ἥτις', having the feminine 'forma' in mind; the same with 'ὥστ' εἶναι δύο ψυχαί' (instead of ψυχάς) (*QDSC* [3.28].306-307) for 'quod sint duae animae'. Another good example is Prochoros' translation of 'ad unum totum constituendum' as 'πρὸς ἓν ὅλον ποιητέον', where, influenced by the Latin gerundive attraction, he uses *πρὸς + verbal adjective* instead of a final clause to express purpose.[82]

As pointed out above, the Leonine edition of *QDSC* rarely records variants of words which would help us identify MSS, or families of MSS, which transmit the Latin text Prochoros had at his disposal. As for *QDP*, the Turin edition lacks an *apparatus criticus* altogether. Some peculiarities in the translation indicate that Prochoros was reading a different word than the one in the edited Latin text. For example, in *QDSC*, the translation of 'necessitatis' as 'εὐγενείας' (*QDSC* [6.21].146) suggests that Prochoros

[82] This is also attested in Demetrios Cydones' translations: see J.A. DEMETRACOPOULOS, 'Georgios Gennadios II - Scholarios' «Florilegium Thomisticum». His Early Abridgment of Various Chapters and 'Quæstiones' of Thomas Aquinas' «Summae» and His anti-PlethonismType', *Recherches de théologie et philosophie médiévales* 69.1 (2002), 117-171; idem, 'Georgios Gennadios II - Scholarios' «Florilegium Thomisticum II» ('De Fato') and its anti-Plethonic Tenor', *Recherches de Théologie et Philosophie Médiévales* 74.2 (2007), 301-376

was reading a different word (in this case perhaps 'nobilitatis'). The same applies for 'agentem' as 'νοοῦντα' (from 'intelligentem'?) (*QDSC* [9.21].161).

In the following paragraph from *QDSC* [7.3], which discusses the unity of spiritual substances united to ethereal bodies, the word 'nec' does not exist in Prochoros' translation (l. 17); this, in combination with his translation (l. 18) of 'vacuum' as 'ὀρνίθων' (which it seems he had read as 'avium' in his MS), alters the meaning of the Latin text, though surprisingly the main argument remains the same and coherent in both cases (differences appear in **bold** characters). The argument in the Latin edited text runs as follows: *life is found in the middle region between heaven and earth; bird life should not be included, for they [i.e. birds] are lifted in a small space in the air above the earth, and it* ***would not seem proper*** *that* ***all the other air space should remain vacant of life***. Here is a translation of Prochoros' version: *life is found in the middle region between heaven and earth; bird life should not be included, for they [i.e. birds] are lifted in a small space in the air above the earth, and it* ***would seem proper*** *that* ***bird life should extend to all the other air space***. The conclusion in both versions, however, is the same: *we should therefore assume, as it seems, that some ethereal animals exist there, from which it follows that certain spiritual substances are united to an ethereal body*.

| **Aquinas *QDSC* a.7 arg.3** | **Prochoros *QDSC* [2.3].4** |
|---|---|
| Praeterea, medium non discrepat ab extremis. Sed in regione caelestium corporum invenitur vita, secundum ponentes corpora caelestia animata; in regione autem terrae invenitur vita in animalibus et plantis. Ergo et in regione media, quae est aeris, invenitur vita. Nec hoc potest referri ad vitam avium, quia aves ad modicum spatium aeris supra terram elevantur; **nec videtur conveniens quod totum aliud spatium aeris vacuum vita remaneret**. Oportet igitur ponere, ut videtur, ibi esse aliqua aerea animalia; ex quo sequitur quod aliquae substantiae spirituales aereo | Ἔτι, τὸ μέσον οὐκ ἀπηχεῖ πρὸς τὰ ἄκρα. Ἀλλ' ἐν τῇ τῶν οὐρανίων σωμάτων χώρᾳ εὑρίσκεται ζωή, κατὰ τοὺς τιθεμένους τὰ οὐράνια σώματα, εἶναι ἔμψυχα. Ἐν δὲ τῇ τῆς γῆς χώρᾳ εὑρίσκεται ζωή, ἐν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς· καὶ ἐν τῇ μέσῃ ἄρα χώρᾳ, ἥτις ἐστὶ τοῦ ἀέρος, εὑρίσκεται ζωή. Οὐδὲ οἷόν τε εἰς τὴν τῶν ὀρνίθων ἀναφέρεσθαι ζωήν· οἱ γὰρ ὄρνιθες ἐπ' ὀλίγον τοῦ ἀέρος διάστημα ὑπὲρ γῆς ἀναδύουσι· [nec] **δοκεῖ δὲ προσῆκον δι' ὅλου τοῦ ἀερίου διαστήματος, ὀρνίθων ζωὴν παρατετάσθαι**. Δεῖ ἄρα τιθέναι ὡς δοκεῖ εἶναί τινα ἐκεῖ ἀέρια ζῷα, ἀφ' οὗ ἕπεται οὐσίας τινὰς νοητὰς τῷ ἀερίῳ σώματι |

| | |
|---|---|
| corpori uniantur. | ἑνοῦσθαι. |

It is more likely though the Latin text that Prochoros used differed from that in the modern editions. Similarly, in *QDP* we observe Prochoros' translation of 'sive' as 'ὥσπερ', which suggests that Prochoros was probably reading 'sicut' (*QDP* [2.3.10].63). From his translation 'ἡ ψυχὴ πρὸ τοῦ δημιουργηθῆναι τὸ σῶμα' for 'anima antequam corpori uniatur' [3.10.7].45 we assume that Prochoros was translating the word 'creatur' instead of 'uniatur'.

In the following list, we record other cases where the difference between the Greek translation and the edited Latin text results most likely from different readings in the Latin MS/S Prochoros was using:

| ***QDP*** | **Word in Turin** | **Prochoros' translation** | **Possible variant in the MS/S Prochoros was reading** |
|---|---|---|---|
| [1.1.34].195 | veritatis | καθολικοτέρᾳ | universalitatis / totalitatis |
| [1.2.27].202 | creatura | φύσιν | Natura |
| [3.6.45].342 | terminum | φύσιν | Naturam |
| [3.12.20].126 | modus | κίνησις | Motus |
| [3.13.6].34, [6.1.32].291 | materiam | φύσιν | Naturam |
| [3.15.23].143 | Philosophis | φυσικῶν | Phisicis |
| [3.16.31].272 | solum | ὅπως | Sicut |
| [3.17.40].327 | mundus | χρόνος | Tempus |
| [5.8.11].83 | materiae | φύσεως | Naturae |
| [6.6.24].214 | paternum | πρῶτον | Primum |
| [7.2.19].126 | naturam | τῆς ὕλης | Materiam |
| [9.9.34].224 | numerum | φύσιν | Naturam |
| ***QDSC*** | | | |
| [2.15].17 | iuvat | ἑνοῦται | Unitur |
| [6.21].146 | necessitatis | εὐγενείας | Nobilitatis |

| | | | |
|---|---|---|---|
| [8.21].203 | quae continet | τῇ προσηκούσῃ | quae pertinet |
| [9.12].94 | producti | ἴεσθαι | Produci |
| [9.21].161 | agentem | νοοῦντα | intelligentem |
| [9.54].252 | acquiritur | ζητεῖται | requiritur |
| [9.27].295 | intellectus | ἐννοῶν | Intelligens |
| [9.28].341 | deducit | διάγει | Perducit |
| [9.35].400 | aut | τῆς ἐπινοίας | aut intentionem |
| [10.19].132-133 | subjuncta ista | τὴν οὐσίαν ἐκείνην | substantiam istam |
| [10.20].209 | suo lumine | διὰ τοῦ σπέρματος | Seminis |
| [10.28].393 | refert | διοισόμεθα | Differt |
| [10.31].410 | quomodo | ὅτι | Quod |

Certain of the aforementioned cases, e.g. 'πρῶτον' for 'paternum' (*QDP* [6.6.24].214) and 'φύσιν' for 'materiam' (*QDP* [3.13.6].34, [6.1.32].291), might originate from a copying error in the Latin MS tradition due to the resemblance between the abbreviated form of words (*materiam*/*naturam*, *paternum*/*primum*). Another possible explanation is that Prochoros himself misinterpreted the abbreviated forms of these words. In either case, the modern editions do not record variants that could answer this.

On the other hand, there are instances where the Greek translation makes more sense than the Latin edited text. In 'Τινὲς γὰρ ἀρχαῖοι φιλόσοφοι μὴ τιθέμενοι ἄλλην **ὁδὸν** καταλήψεως παρὰ τὴν αἴσθησιν' for 'quidam antiqui philosophi, non ponentes aliam **vim** cognoscitivam praeter sensum' (*QDSC* [10.28].353) we see that Prochoros was translating the appropriate word 'viam' (recorded most likely in his MS/S) instead of the 'vim' recorded in the Leonine edition. The reflection of Prochoros' translation of such variants could help the editors of Aquinas' works reconstruct the Latin text and improve the modern editions (see below, pp. 924). In *QDP*, the incomprehensible phrase 'Deus praedestinavit Petrum quia voluit' in the Turin edition makes sense when we read Prochoros' translation 'ὁ Θεὸς προώρισε τὴν ἁμαρτίαν', which indicates that he was reading a different word, most likely 'peccatum':

| Aquinas *QDP* q. II a.3 arg.4 | Prochoros *QDP* [2.3].4 |
|---|---|
| Sed contra, praedestinatio quodammodo est actus intellectus: dicimus enim, quod **Deus praedestinavit Petrum** quia voluit, secundum illud Rom. IX, 18: cuius vult miseretur et quem vult indurat. Ergo non solum in humanis sed etiam in divinis voluntas imperat actum intellectus. | ὁ γὰρ προορισμὸς τρόπῳ γέ τῳ, ἐνέργεια ἐστὶ τοῦ νοῦ· φαμὲν δὲ ὅτι **ὁ Θεὸς προώρισε τὴν ἁμαρτίαν**, ὅτι ἠθέλησε, κατ' ἐκεῖνο τῆς Πρὸς Ῥωμαίους, ἐν τῷ ἐνάτῳ, ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. Οὐκ ἄρα ἐν τοῖς ἀνθρωπείοις μόνον, ἀλλὰ κἀν τοῖς θείοις, ἡ θέλησις ἐπιτάττει ταῖς τοῦ νοῦ ἐνεργείαις. |

This observation is strengthened by the following examples: Prochoros translates '...οὐκ ἀνάγκη ἐκ τῆς ἐπινοίας τοῦ ἀνθρώπου ἢ [intentione] τοῦ εἴδους εἶναι τὸ νοεῖσθαι *παρ' ἐμοῦ ἢ ἄλλου*' (*QDSC* [9.34].401-2) for '...non oportet quod de intellectu hominis aut intentionis speciei sit quod intelligatur a me uel ab illo'. The last word, 'ἄλλου', should have been 'alio' (by someone else) in the Latin edited text, if supported by a witness, as it seems more correct than the 'illo' (by him/that one) adopted in the Leonine edition; 'alio' is simply not recorded by the editor in the *apparatus criticus*. Also, Prochoros translates 'per cor mouet alia membra, et per spiritum etiam mouet corpus' as 'διὰ μὲν τῆς καρδίας κινεῖν τὰ ἄλλα μέλη, διὰ δὲ τοῦ πνεύματος, κινεῖ τὴν καρδίαν' (*QDSC* [3.28].178-9). The word 'corpus' could be an erroneous variant of 'cor'.

It is evident, therefore, that Prochoros' translations of *QDP* and *QDSC* are essential in identifying and restoring problematic parts in the modern Latin editions, and at the same time shed light on the transmission of the Latin text, thus proving instrumental for future editors of Aquinas' two works. The same applies more generally for the future editions of Latin Thomistic works that have been translated into Greek. Given that modern editions are inevitably based on a limited number of surviving codices so far discovered and catalogued, there may be similar instances where the Greek translation is more comprehensible than the Latin text, which may be based on erroneous variants.

Concerning the rendering of passages from classical Greek authors, although Prochoros must have had access to Greek editions of classical texts, he evidently did not quote the Greek text *verbatim*. For instance, in Aquinas' quotations of Greek

authors Prochoros follows faithfully the Latin translation without changing or enriching it on the basis of the Greek original. This is illustrated below:

| **Aquinas *QDSC*: a. 3 resp.**[83] | **Prochoros *QDSC*: 3, 28** | **Aristotle, *De an.* II, 414b28-32** |
|---|---|---|
| Vnde etiam Aristotiles in II *De anima* dicit quod ‘uegetatiuum est in sensitivo’ et sensitiuum in intellectivo ‘sicut trigonum in tetragono ’ et tetragonum in pentagono: pentagonum enim uirtute continet tetragonum. | **Ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ *Περὶ ψυχῆς* δευτέρῳ φησί, τὸ φυτικὸν** εἶναι **ἔστιν ἐν τῷ αἰσθητικῷ, καὶ τὸ αἰσθητικόν, ἐν τῷ νοερῷ, ὥσπερ τὸ τρίγωνον, ἐν τῷ τετραγώνῳ, καὶ τὸ τετράγωνον, ἐν τῷ πενταγώνῳ· τὸ γὰρ πεντάγωνον, δυνάμει περιέχει τὸ τετράγωνον.** | Παραπλησίως δ’ ἔχει τῷ περὶ τῶν σχημάτων καὶ τὰ κατὰ ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν **τετραγώνῳ** μὲν **τρίγωνον**, ἐν **αἰσθητικῷ** δὲ τὸ θρεπτικόν. |
| **Aquinas *QDSC*: 3 co.** | **Prochoros *QDSC*: 3.28** | **Aristotle, *De an.* II, 414b28-32** |
| **Unde etiam Aristoteles in II de anima dicit, quod vegetativum est in sensitivo, et sensitivum in intellectivo, sicut trigonum in tetragono, et tetragonum in pentagono; pentagonum enim virtute continet tetragonum** | **Ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ Ψυχῆς δευτέρῳ φησί, τὸ φυτικὸν** εἶναι **ἔστιν ἐν τῷ αἰσθητικῷ, καὶ τὸ αἰσθητικόν, ἐν τῷ νοερῷ, ὥσπερ τὸ τρίγωνον, ἐν τῷ τετραγώνῳ, καὶ τὸ τετράγωνον, ἐν τῷ πενταγώνῳ· τὸ γὰρ πεντάγωνον, δυνάμει περιέχει τὸ τετράγωνον** | παραπλησίως δ' ἔχει τῷ περὶ τῶν σχημάτων καὶ τὰ κατὰ ψυχήν· ἀεὶ γὰρ ἐν τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον ἐπί τε τῶν σχημάτων καὶ ἐπὶ τῶν ἐμψύχων, οἷον ἐν **τετραγώνῳ** μὲν **τρίγωνον**, ἐν **αἰσθητικῷ** δὲ τὸ θρεπτικόν |

It is clear that in this case Prochoros translates the Latin *verbum e verbo* without quoting the original Greek text.

Prochoros faithfully reproduces in his translation Aquinas’ references of Greek sources, without however correcting the often erroneous numbers of books and chapters within these works, e.g. in Aristotle’s *Physics* and *Metaphysics* below:

---

[83] Cos, *Sancti Thomae De Aquino, Opera Omnia*, p. 44.

| Aquinas *QDSC*: a. 4 arg. 10[84] | Prochoros *QDSC*: 4.9 | Aristotle, *Phys.* VIII, 267b6-9 |
|---|---|---|
| ut patet per philosophum **in IV Physic.**, ubi dicit quod motor caeli non est in centro, sed in quadam parte circumferentiae. Multo minus igitur anima est in qualibet parte sui corporis. | ὡς φαίνεται διὰ τοῦ φιλοσόφου, **ἐν τῷ τῆς Φυσικῆς τετάρτῳ**, ἔνθα φησί, τὴν κινοῦσαν τὸν οὐρανὸν ψυχήν, μὴ εἶναι ἐν τῷ κέντρῳ, ἀλλ' ἔν τινι μέρει τῆς περιφανείας. Πολλῷ ἄρα ἧττον ἡ ψυχὴ ἔστιν ἐν ᾡτινιοῦν μέρει τοῦ σώματος. | ἀνάγκη δὴ ἢ ἐν μέσῳ ἢ ἐν κύκλῳ εἶναι· αὗται γὰρ αἱ ἀρχαί. ἀλλὰ τάχιστα κινεῖται τὰ ἐγγύτατα τοῦ κινοῦντος. τοιαύτη δ' ἡ τοῦ κύκλου κίνησις· ἐκεῖ ἄρα τὸ κινοῦν. |

| Aquinas *QDSC*: a. 4 arg. 18[85] | Prochoros *QDSC*: 4.17 | Aristotle, *Metaph.* I, 988b24-26 |
|---|---|---|
| philosophus **in II Metaphisice**, reprehendit ponentes materiam corporalem primum principium, quia ponebant solum elementa corporum, non corporum autem non. | ὁ φιλόσοφος **ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικά**, καθάπτεται τῶν τιθεμένων τὴν σωματικὴν ὕλην, πρώτην ἀρχὴν πάντων, διὰ τὸ δοξάζειν μόνα σωματικὰ στοιχεῖα, ὥστε ἔστι τι καὶ στοιχεῖον ἀσώματον. | ...τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δ' ἀσωμάτων οὔ, ὄντων καὶ ἀσωμάτων. |

The same applies for Aquinas' quotations of certain Latin writings available to Prochoros in Greek translation:

| Aquinas *QDSC*: a. 4 s. c. 2 | Prochoros *QDSC*: 4.19 | Augustine, *Trinit.* VI, cap. 6, 8 / trans. Planoudes (c. 1280/81) |
|---|---|---|
| quod dicit Augustinus **in III *De Trinitate***, quod anima **'in toto tota est, et in qualibet parte eius, tota'**. | τὸ ὑπὸ τοῦ Αὐγουστίνο εἰρημένον, **ἐν τῷ Περὶ Τριάδος τρίτῳ**, ὅτι ἡ ψυχὴ **ἐν ὅλῳ ὅλη ἐστί, καὶ ἐν ὁτῳδήποτε μέρει αὐτοῦ, ὅλη**. | ...καὶ **ἐν ὅλῳ ὅλη ἐστὶ καὶ ἐν** ἑκάστω **μέρει αὐτοῦ ὅλη**.[86] |

[84] Cos, *Sancti Thomae De Aquino, Opera Omnia*, p. 50.

[85] Cos, *Sancti Thomae De Aquino, Opera Omnia*, p. 51.

[86] Eds. M. Papathomopoulos, I. Tsavari and G. Rigotti, *Αὐγουστίνου Περὶ Τριάδος βιβλία πεντεκαίδεκα, ἅπερ ἐκ τῆς Λατίνων διαλέκτου εἰς τὴν Ἑλλάδα μετήνεγκε Μάξιμος ὁ Πλανούδης. Εἰσαγωγή, ἑλληνικὸ καὶ λατινικὸ κείμενο, γλωσσάριο. Editio princeps.* Vol. I (Athens 1995), p. 403.

It is most probable that Prochoros simply translated from a Latin MS which contained these numbers, without attempting to check and confirm them. In contrast, as has been demonstrated by Christopher Wright, Prochoros' brother Demetrios at least partially intervened (in his autograph translation of *ST* preserved in *Vat. gr.* 609) by completing and improving the references found in the Latin text, providing the book or chapter numbers in cases where Aquinas had identified only the author and the work in question. This observation is strengthened by the fact that Demetrios has left on many occasions a blank space in his aforementioned autograph MS, with the intention of researching the citations and supplying the missing information at a later point.[87] Clearly, Demetrios had access to Greek classical texts, which he consulted for his translations. It is not impossible that Prochoros, following the same habit, intervened in completing or specifying Aquinas' references. According to Athanasia Glykofrydi-Leontsini, Demetrios was trying in the process of translating to 'reconcile' Aristotle and Aquinas.[88] Demetracopoulos though, pointed out that the textual evidence for this is insuffiecient.[89]

Returning to Prochoros' translation, when it comes to Scriptural quotations, Prochoros' translation is very close, but not always identical, to the Greek wording.[90] At first sight this departure from the original seems odd given that he was a monk and he must have known his Bible very well. However, this convention reflects once more his priority to accurately render the Latin text at the expense of faithfully quoting the Greek Bible – except when, remembering the Greek passage and seeing that it does

---

87 WRIGHT, 'Towards an edition of Demetrios Cydones's autograph translation', p. 25.

88 See, for example, GLYCOFRYDI-LEONTSINI, 'Demetrios Cydones as a translator of Latin texts', pp. 180-181.

89 See, for example, J. A. DEMETRACOPOULOS, *Ἀπὸ τὴν ἱστορία τοῦ βυζαντινοῦ Θωμισμοῦ: Πλήθων καὶ Θωμᾶς Ἀκυινάτης* (Athens, 2004), pp. 172-174.

90 We have consulted the standard editon of the Septuagint by A. Rahlfs and R. Hanhart, *Septuaginta: id est Vetus Testamentum Graece iuxta LXX interpretes. Editio altera*, Stuttgart 2006 (available online at https://www.academic-bible.com/en/online-bibles/septuagint-lxx/read-the-bible-text/). Concerning the New Testament, we have used the publication by *The Center for Study and Preservation of the Majority Text* (CSPMT) (available onine at http://cspmt.org/), which is 'dedicated to scholarly study, research and preservation of Byzantine Greek New Testament manuscripts.' For the dissemination of the Bible in Byzantium and the transmission of the text of the Greek New Testament in Byzantium in particular, as found in manuscripts of the period (*textus receptus*), see D. Krueger and R. S. Nelson, 'New Testaments of Byzantium: Seen, Heard, Written, Excerpted, Interpreted', in The New Testament in Byzantium, eds Krueger and Nelson (Dumbarton Oaks Press, 2017), 1-20 (esp. p. 2, n. 2).

not differ from its Latin version in Aquinas' text, he quotes it from memory in its Greek version.[91]

| | | |
|---|---|---|
| **Aquinas *QDSC* a.6 arg.14** | **Prochoros *QDSC*: [6.14].97-98** | **Psalmus, 148, 4** |
| **laudate eum caeli caelorum** | **αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν·** | **αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν** καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. |
| **Aquinas *QDSC* a.6 arg.14** | **Prochoros *QDSC*: [6.14].98** | **Psalmus, 18.2** |
| **et caeli enarrant gloriam Dei** | **καὶ τὸ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ** | **Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ**, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα |
| **Aquinas *QDSC* a.6 arg.14** | **Prochoros *QDSC*: 6.14** | **Apocal, 18.2** |
| **exulta super eam caelum** | **ἀγαλλιῷ ἐπ' αὐτὴν ὁ οὐρανός** | Εὐφραίνου **ἐπ' αὐτῇ**, **οὐραν**έ, καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς |
| Aquinas q. 3 a. 6 arg. 16 | **Prochoros *QDP* 3.6.16** | **Genesis 1,1** |
| **in principio creationis rerum erant tenebrae super faciem abyssi.** | **ἐν ἀρχῇ τῆς τῶν ὄντων δημιουργίας, ἦν σκότος, ἐπὶ πᾶν τὸ πρόσωπον τῆς ἀβύσσου.** | ἡ δὲ γῆ **ἦν** ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ **σκότος** ἐπάνω **τῆς ἀβύσσου**, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος |

[91] Cf. HUNGER, *Briefen des Hl. Augustinus*, p. 82.

| | | |
|---|---|---|
| **Aquinas q. 3 a. 6 arg. 24** | **Prochoros *QDP* 3.6.24** | **Ecclesiastes 3.14:** |
| **Didici quod omnia opera quae fecit Deus, perserverant in aeternum** | **ἔμαθον ὅτι πάντα τὰ ἔργα ὅσα πεποίηκεν ὁ Θεός, διαμένει εἰς τὸν αἰῶνα** | ἔγνων ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ ἔσται **εἰς τὸν αἰῶνα** |
| **Aquinas q. 3 a. 6 arg. 44** | **Prochoros *QDPD* 3.6.44** | **Ecclesiasticus 33.15:** |
| **et sic intuere in omnia opera Altissimi** | **Θεῷ ἐν πᾶσι τοῖς ὑπὸ τοῦ Θεοῦ πεποιημένοις** | καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ Ὑψίστου |

From the above examples it is evident that Prochoros follows closely the original Greek wording but does not hesitate to depart when he chooses a more accurate rendering of the Latin word.

There is an instance where in Prochoros' translation there is a different biblical quotation than the one found in Aquinas' text. This confirms that Prochoros was translating from a Latin manuscript which contained Ecclesiastes 3, 14 and not John 4, 24 as in the Turin edition of the Latin text:

| **Aquinas *QDSC* q. 3 a. 6 arg. 25** | **Prochoros *QDP* [3.6].25** | ***Eccl.* 3, 14** |
|---|---|---|
| Deus spiritus est, ut habetur *Io.* 4, 24 | **ἔμαθον ὅτι πάντα τὰ ἔργα ὅσα πεποίηκεν ὁ Θεός, διαμένει εἰς τὸν αἰῶνα** | ἔγνων ὅτι πάντα, ὅσα ἐποίησεν ὁ Θεός, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα |

It is also clear that Prochoros does not quote *verbatim* Ecclesiastes, which further supports that he was translating from Latin and that this different citation was not his own adjustment.

In another example, Prochoros quotes John 1, 18 which does not exist in the Turin edition at all, but must have existed in the Latin manuscript he had in front of him. In this case Prochoros quotes *verbatim* the Greek text in John's Gospel:

| Aquinas *QDPD* q. II a.1 arg.15 | Prochoros *QDPD*: [2.1].15 | Io. 1, 18 |
|---|---|---|
| Praeterea, generatio est species mutationis. Sed in divinis non est aliqua mutatio. Ergo nec generatio: ergo nec generativa potentia.<br><br>[Vulgata, Ioannes 1.18: **unigenitus Filius, qui est in sinu Patris**.] | Ἄλλως τε· ἡ γέννησις, ἔστιν εἶδος μεταβολῆς. Ἀλλ' ἐν τοῖς θείοις, οὐκ ἔστι τις μεταβολή· οὐκ ἄρα οὐδὲ γέννησις. Ἄρ' οὐδὲ γεννητικὴ δύναμις. **Ἀλλ' ἐναντίον ἐστί, τὸ ἐν τῷ πρώτῳ τοῦ Ἰωάννου· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Εἰ γὰρ μονογενής, γεγένηται.** | **ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός** |

As in the case of Demetrios, Prochoros' main aim was to render faithfully and accurately Aquinas' references from Latin into stylish Atticizing Greek, rather than literally restoring the Greek biblical quotations. In his edition of Demetrios Cydones' *Florilegium* of translated passages from Augustine, Dionysios Kalamakis showed that Demetrios consistently translates word-for-word from the passages of Vulgata that Augustine cites. Kalamakis also showed (on the basis of a comparative examination of Augustine's citations against Demetrios' translation) that, in cases where Augustine changes the wording of the Latin Vulgata in order to adjust the syntax and better express his thought, Demetrios opts to translate faithfully the wording of Augustine's Latin text, rather than translating on the basis of the Vulgata or simply quoting the Greek biblical passage.[92] Kalamakis' overall assessment of Demetrios is that he is a highly skillful translator, sometimes very literal and sometimes less so, possessing excellent knowledge of both languages. He is usually faithful to the rules of grammar of both Latin and Greek, though to a lesser degree when he wants to preserve the structure of the original text and at the same time to change the 'Latin attire into its equivalent Greek'.[93] More recently, Christopher Wright expressed similar views with regards to Demetrios' translation of Aquinas' *Summa theologiae*, examining variations

[92] D. KALAMAKIS (ed.), *Ἀνθολόγιον ἐκ τῶν ἔργων Αὐγουστίνου Ἱππῶνος, ἐξελληνισθὲν ὑπὸ Δημητρίου τοῦ Κυδώνη* (Athens, 1996), p. 44.

[93] KALAMAKIS, *Ἀνθολόγιον ἐκ τῶν ἔργων Αὐγουστίνου*, p. 50.

and modifications in the light of the successive stages of the translation evident in the autograph MS (*Vat. gr.* 609) and other witnesses, and drawing attention to oddities and interventions in Demetrios' text, including some errors, and various adjustments, both intentional and unintentional, often made on aesthetic grounds. The use of effective synonyms to vary the rendering of certain Latin terms is also ascertained. Wright's preliminary evaluation of Demetrios' translation is that it is 'accurate and effective in representing the original, and that for the most part it remains in a tight literal relationship with it. Sentence structures are commonly modified to incorporate grammatical and syntactical constructions … but quite a close correspondence can generally be seen between the words of the original and their counterparts in the translation'. According to Wright, this approach reflects the work's technical nature, which places emphasis on precision as opposed to rhetorical elegance.[94]

The examples examined above, and there are more, illustrate that Prochoros followed a similar translating technique to that of his brother, adopting a combination of *ad verbum* and *ad sensum* method.[95] This approach reflects the tradition of preceeding Byzantine translators of Latin texts. Among the first scholars and teachers who translated whole Latin works – mostly theological and philosophical treatises, grammars, and literary texts – into refined Greek were Maximos Planoudes (ca. 1255-1305) and Manuel Holobolos (b. ca. 1245, d. 1310-1314).[96]

Planudes translated Boethius' *De consolatione philosophiae*,[97] Cicero's *De senectute somnium Scipionis* (*De re publica* IV) and the commentary on this work by Macrobius,[98] Ps.-Cicero, *Rhetorica ad Herennium* (Book III.16-28, 24-40),[99] and Augustine's *De trinitate*[100] and Ps.-Augustine's *De duodecim abusivis saeculi*.[101] As in the case of

---

[94] WRIGHT, 'Towards an edition of Demetrios Cydones's autograph translation', p. 18.

[95] See B.P. COPENHAVER, 'Translation, Terminology and Style in Philosophical Discourse', in *The Cambridge History of Renaissance Philosophy*, eds. C.B. Schmitt, Q. Skinner and E. Kessler (Cambridge, 1988), pp. 77-110.

[96] See E. FISHER, 'Planoudes, Holobolos, and the motivation for translation, *Greek, Roman, and Byzantine Studies* 43 (2002/3), 77-78.

[97] Ed. M. PAPATHOMOPOULOS, *Ἀννιτίου Μαλλίου Σεβηρίνου Βοηθίου, Βίβλος περὶ παραμυθίας τῆς φιλοσοφίας, ἣν μετήνηγκεν ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν ἑλλάδα διάλεκτον Μάξιμος Μοναχὸς ὁ Πλανούδης* (Athens/Paris/Brussels, 1999).

[98] Ed. A. MEGAS, *Maximus Planudes, Boethii De philosophiae consolatione, in linguam Graecam translati* (Thessalonika, 1996).

[99] Ed. S. BERNARDINELLO, 'La traduzione greca di Rhetorica ad Herennium III', *Aevum* 47 (1973), 387-416.

[100] Eds. PAPATHOMOPOULOS, TSAVARI and RIGOTTI, *Αὐγουστίνου Περὶ Τριάδος βιβλία πεντεκαίδεκα*.

Prochoros, Planoudes did not comment on his translating method and technique.[102] Manolis Papathomopoulos, who edited Planoudes' translation of *De consolatione philosophiae*, has demonstrated that, in his attempt to amplify the Latin text, Planoudes, like Demetrios and Prochoros, varies his vocabulary and often uses different terms to express a single Latin word. Concerning his approach, he follows a more *ad sensum* rather than *ad verbum* method, displaying profound knowledge of the Latin language which he turns into sophisticated Atticising Greek.[103]

Planoudes' senior contemporary, Holobolos, was also active in this period.[104] He translated Alfred of Shareshill's translation of Ps.-Aristotle's (Nicholas of Damascus) *De plantis*,[105] Boethius' *De hypotheticis syllogisms* (the translation was erroneously attributed to Planoudes) and *De topicis differentiis*, both edited by Dimitrios Nikitas.[106] As mentioned above (p. 17), Prochoros also translated *De topicis differentiis*, about a century later. It was not the first time Prochoros translated *de novo* an already translated work or part of it. He had done the same with chapters from Augustine's *De Trinitate* (previously translated in its entirety by Planoudes) and Articulus 4, Quaestio 10 of Aquinas' *QDP* (possibly translated by Demetrios).[107] The fact that Prochoros and Demetrios choose not to use previous Greek translations of specific passages in Aquinas, but translate them anew, can be explained by their preference to render the passages as quoted by Aquinas to avoid creating confusion and at the same time to achieve uniformity in language and style.

This tendency of combining word-by-word and *ad sensum* method in rendering classical and medieval Latin into Atticizing Greek would gradually develop, favouring the latter in the decades that followed. This is illustrated in the method used, for example, by Manuel Chrysoloras (ca. 1350-1415) to teach his Latin-speaking students. Chrysoloras promoted a rather *ad sententiam* approach, for, according to his students,

---

[101] Ed. G.N. Giannakes, 'Μαξίμου Πλανούδη μετάφραση τοῦ Περὶ τῶν δώδεκα βαθμῶν τῆς Παραχρήσεως τοῦ ψευδο-Αὐγουστίνου', *Δωδώνη* 3 (1974), pp. 219-256.

[102] Fisher, 'Planoudes, Holobolos, and the motivation for translation', p. 101.

[103] See Papathomopoulos, *Ἀννιτίου Μαλλίου Σεβηρίνου Βοηθίου, Βίβλος περὶ παραμυθίας τῆς φιλοσοφίας*, p. L (with a list of examples in pp. LI-LIII).

[104] See Fisher, 'Planoudes, Holobolos, and the motivation for translation', pp. 78, 83-97.

[105] Eds. H.J. Drossaart Lulofs and E.L.J. Poortman, *Nicolaus Damascenus de plantis : five translations* (Amsterdam, 1989).

[106] D. Nikitas (ed.), *Eine byzantinische Übersetzung von Boethius 'De hypotheticis syllogismis'* in *Hypomnemata* 69 (Göttingen, 1982), pp. 39-40; idem, *Boethius, De topicis differentiis.*

[107] Nikitas, *Eine byzantinische Übersetzung von Boethius*, p. 40

he found the *ad verbum method* to be ‘worthless’ (*absurdum*) and a ‘complete perversion of the meaning of the Greek’ (*grecam sententiam omnino pervertere*).[108] Chrysoloras’ ‘school’ subsequently influenced Western translators, such as Leonardo Bruni, who nevertheless followed mid-way between the *ad verbum* and *ad sententiam* approach. In Leonardo’s own words, ‘First I preserve all the meanings (*sententias*) … then, if it can be rendered word for word without any awkwardness or absurdity, I do so gladly; if not … I depart a bit from the words to avoid absurdity’.[109]

Returning to Prochoros’ method and technique, Herbert Hunger, in his edition of Prochoros’ unfinished translation of Augustine’s, *De libero arbitrio* and Ps.-Augustine’s *De decem plagis Aegyptiorum*, gives a account of the main characteristics of Prochoros’ translation based on representative word lists. These include a list of Latin words that Prochoros expanded in his Greek translation, a list of cases of *periphrasis*, and a list of Latin phrases rendered into Greek with a single word. [110] In this edition, Hunger confirmed his view (expressed in 1984) that ‘it never fails to amaze the reader how Prochoros’ word-for-word translation can be so faithful to the wording of the Latin original and at the same time be a perfectly readable, even elegant, text in itself’.[111] His overall assessment is that Prochoros ‘retains his position as a translator, who not only masters the Latin language, but also has a good command of Greek’.[112] In his edition of Prochoros’ autograph translation of Boethius’ *De topicis differentiis*, Dimitrios Nikitas focused purely on linguistic elements (grammatical, syntactical, phonological and semantics) as well as Prochoros’ own scribal conventions, errors and corrections, without offering an assessment of the translating method and quality, though his observations identify certain ‘idiosyncrasies and diversions’ in Prochoros’ ‘generally atticizing language’.[113]

Indeed, Prochoros’ translating approach reflects this balance, between *ἀκρίβεια* and *οἰκονομία*, that many Byzantine authors and theologians strived to achieve, with various degrees of success. Concerning Prochoros’ translation of the two *Quaestiones*, it is hoped that the examination above has amply demonstrated the method and

---

[108] COPENHAVER, ‘Translation, Terminology and Style’, p. 86.
[109] COPENHAVER, ‘Translation, Terminology and Style’, p. 87.
[110] See HUNGER, *De libero arbitrio*, pp. 70-75.
[111] HUNGER, *Act briefen des Hl. Augustinus*, p. 15, cited in idem, *De libero arbitrio*, pp. 71.
[112] HUNGER, *De libero arbitrio*, pp. 70-71.
[113] NIKITAS, *Eine byzantinische Übersetzung von Boethius*, p. CXIX.

technique he adopted, at the same time showing his command of Latin and Greek, and, overall, the high quality of his work. It is regretable that we do not possess a working copy of Prochoros' translations, as we do for Demetrios' translation of the *Summa theologiae*, which shows the stages of development of his translating process – unless such a copy exists and has not been discovered yet.

To sum up, Prochoros displays a thorough understanding of Latin and an excellent ability of rendering it into very good Greek. In his effort to remain close to the Latin original and at the same time communicate its *sententiae*, he adjusts the Latin structure for the translated text to sound more natural in Greek. This, however, does not prevent him from introducing certain Latinisms, apparently influenced by the Latin syntax. Style plays an essential role in his translation, as is evident from his varied vocabulary in translating Latin terms, his effort to avoid repetition, and his care for conciseness when needed, in order to better convey the meaning of the Latin, avoiding verbosity. In his translation of quotations cited in Aquinas' text, Prochoros prefers to remain faithful to the Latin wording rather than quoting the respective Greek *verbatim*, except in the case of certain biblical passages that he clearly quotes from memory. Apart from these adaptations, intervention is limited to additions and corrections of book and chapter numbers in the Greek text, if indeed these were introduced by Prochoros.

On the whole, Prochoros Cydones proves himself a skillful translator, capable of producing a high-quality Greek translation of Thomistic works, to be consulted, used, and circulated among Byzantine theologians and intellectuals in general, and providing additional ammunition in the theological arsenal against the Palamite group in particular. In the process, Prochoros, following parallel steps with his older brother, served well the philosophical and theological dialogue between the Greek East and the Latin West, by promoting the study of Aquinas' works and introducing western Scholastic thought to the Orthodox world, in a period when Byzantium was once more facing the need to define its orthodoxy, orthopraxy and, ultimately, identity.[114]

[114] See, for example, Manuel Chrysoloras' and Isidore of Kiev's comments on the mixed Hellenic and Roman identity of the Byzantines: CH. DENDRINOS, 'Co-operation and friendship among scholars in the circle of Emperor Manuel II Palaeologus (1390-1425) as reflected in their autograph manuscripts', Paper presented at International colloquium Unlocking the potential of texts: interdisciplinary perspectives on

## 2. Reception and impact of Prochoros' translations

So far no traces of *verbatim* quotation of Prochoros' translations of *QDP* and *QDSC* have been found in Byzantine authors, with the sole exception of the translator himself. As mentioned earlier (p. 18), in composing his own treatise *De essentia et operatione Dei*, Prochoros quoted passages from his translation of *QDP*. In the treatise, he refutes Gregory Palamas' distinction between the 'essence' and 'energies' of God.[115] It consists of six Books (I-VI), which, apart from Prochoros' introduction and the whole of Book VI, form a compilation of passages from Aquinas' *Summa contra Gentiles* (translated by Demetrios Cydones), *QDP* (translated by Prochoros) and *Summa Theologiae,* Ia Pars (translated by Demetrios).[116] Prochoros' synthesis of Thomistic excerpts, which forms the basis of his treatise, goes beyond a mere copying-and-pasting of material, which reflects his preference to contrast Aquinas to Palamas, rather than his choice to blindly follow Thomas. This differentiates Prochoros' treatise from other anti-Palamite works of the period, in the sense that it is not just influenced by Aquinas, but 'it is Thomas himself who speaks through carefully selected passages, cut out of their original context and reorganized in such a way as to refute the Palamite distinction between divine essence and energy'.[117]

Insofar as the reception of Prochoros' translation of *QDP* is concerned, it may have been consulted by other Byzantine scholars. Theophanes of Nicaea (d. 1380/1), in his

---

Medieval Greek, organised by the Centre for Research in the Arts, Social Sciences and Humanities, University of Cambridge, 18-19 July 2006 (Cambridge, 2007), published online at: *https://pure.royalholloway.ac.uk/portal/ en/publications/ cooperation-and-friendship-among-scholars-in-the-circle-of-emperor-manuel-ii-palaeologus-13901425-as-reflected-in-their-autograph-manuscripts(f3fb3f0a-270f-428b-8da0-1f1b33d00c88).html,* pp, 15-16 with note 63 (last accessed: 23 February 2017). See also A. Kaldellis, *Hellenism in Byzantium: The Transformations of Greek Identity and the Reception of the Classical Tradition* (Cambridge, 2007); idem, *The Byzantine Republic: People and Power in New Rome* (Harvard University Press, 2015).

[115] J.A. Demetracopoulos, 'The influence of Thomas Aquinas on late Byzantine philosophical and theological thought: à propos of the *Thomas de Aquino Byzantinus* project', *Bulletin de Philosophie Médiévale* 54 (2013), 101-124, at 109; idem, 'Palamas transformed', p. 314. See also Ch. Triantafyllopoulos, 'The Thomist Basis of Prochoros Kydones' antiPalamite Writing De essentia et operatione Dei and the Reaction of the Byzantine Church', in *Knotenpunkt Byzanz*, eds. V. Speer and Ph. Steinkrüger, 411-30.

[116] Ch. Triantafyllopoulos, 'The Thomist Basis', p. 416: Book I, 5 ex *De pot*. 7, 2; II, 8 ex *De pot*. 7, 4; II, 27 ex *De pot*. 7, 7; III, 3 ex *De pot*. 10, 2; III, 4 ex *De pot*. 2, 1; III, 7 ex *De pot*. 10, 3; III, 8 ex *De pot*. 8, 1. Book IV: IV, 3 ex *De pot*. 2, 6; IV, 4 ex *De pot.* 2, 5; IV, 7 ex *De pot.* 3, 3. Book V: V, 2 ex *De pot*. 3, 7; V, 6 ex *De pot.* 7, 8; V, 7 ex *De pot*. 7, 9; V, 8 ex *De pot.* 7, 10; V, 9 ex *De pot.* 7, 11 (mostly based on J.A. Demetracopoulos: 'Prochoros Cydones').

[117] Triantafyllopoulos, 'Prochoros Cydones', pp. 416-417.

response to the Latin Patriarch Paul of Constantinople in 1369/71, latently uses the articles of *QDP* where Aquinas analyzes the metaphysical aspect of the three 'terms' of creation: *creator, creatio, creatura.*[118] Prochoros' translation of *QDP* (along with Demetrios' translation of *Summa contra Gentiles*) may have also been consulted by George Amiroutzes (1400-1470), who based his anti-Averroist argument concerning the unity of the human intellect on these two works of Aquinas.[119]

Regarding the reception of Prochoros' translation of *QDSC*, it has been suggested that George Gemistos-Plethon (ca. 1355-1452/1454) may have used it (along with Demetrios Cydones' translation of *Summa contra Gentiles*, II.43 in his *Extracta Thomistica*) as one of his sources for Averroes' anthropology and epistemology.[120] The Arab philosopher appears on no less than seven occasions throughout *QDSC*: [2.22], [6.23], [6.41], [9.21], [9.27], [9.29], [10.20].[121] Plethon might have used *QDSC* also as a source for his *De differentiis*, where he discusses the possible and active intellect. *QDSC* [9.1]-[9.37] deals with the question whether the possible intellect is one in every man. Again George Amiroutzes used this particular article (9) to refute Averroes' views concerning the unity of the human intellect.

---

[118] See DEMETRACOPOULOS, 'Palamas transformed', who identified the Latin and translated Greek parallel passages in *QDP* (pp. 313-314). The following titles in our edition of Prochoros' translation correspond to Aquinas' text: [3.3.1]-[3.3.42] (Πότερον ἡ κτίσις ἔστι τι χρῆμα ἐν τοῖς οὖσιν, ἢ οὐ, καὶ εἰ ἔστι, τί ἐστι); [7.8.1]-[7.8.14] (Πότερον ἔστι τις ἀναφορὰ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν δημιουργημάτων ἢ οὔ); [7.9.1]-[7.9. (Πότερον αἱ τοιαῦται ἀναφοραὶ αἱ οὖσαι ἐν τῷ Θεῷ καὶ τῇ κτίσει εἰσὶ πράγματι ἐν αὐτοῖς τοῖς κτίσμασι, ἢ οὔ); [7.10.1]-[7.10.28] (Πότερον ὁ Θεὸς πράγματι ἀναφέρεται πρὸς τὴν κτίσιν οὕτως ὥστε αὐτὴν τὴν ἀναφορὰν εἶναί τι πρᾶγμα ἐν Θεῷ, ἢ οὔ); [7.11.1]-[7.11.12] (Πότερον αὗται αἱ ἐκ χρόνου ἀναφοραὶ εἰσὶν ἐν τῷ Θεῷ κατ' ἐπίνοιαν, ἢ οὔ).

[119] See C. MACÉ and P. VAN DEUN, 'L'intellect n'est pas commun à tous les hommes: l'*Opuscule philosophique* de George Amirutzes (†1470)', *Medioevo greco* 9 (2009), 225-230; J. MONFASANI, *George Amiroutzes: The Philosopher and his Tractates* (Recherches de Théologie et Philosophie médiévales 12), Leuven, 2011, pp. 30-31, cited in DEMETRACOPOULOS, 'Thomas d'Aquino Byzantinus', p. 18 with note 19.

[120] See DEMETRACOPOULOS, *Ἀπὸ τὴν ἱστορία τοῦ βυζαντινοῦ Θωμισμοῦ: Πλήθων καὶ Θωμᾶς Ἀκυινάτης*, pp. 148-150, and J. MATULA, 'The fate of Plethon's criticism of Averroes', in *Georgios Gemistos Plethon: The Byzantine and the Latin Renaissance*, eds. J. Matula and P.R. Blum (Olomouc, 2014), pp. 293-322 at 298-299. See also J.A. DEMETRACOPOULOS, 'Georgios Gemistos-Plethon's Dependence on Thomas Aquinas' *Summa contra Gentiles* and *Summa Theologiae*', in *Archiv für mittelalterliche Philosophie und Kultur* 12 (2006), 276-341, at 302-303; cf. idem, 'Georgios Gennadios II-Scholarios' *Florilegium Thomisticum*. His Early Abridgment of Various Chapters and *Quaestiones* of Thomas Aquinas' *Summae* and his anti-Plethonism', in *Recherches de théologie et philosophie médiévales* 69 (2002), 117-171 at 156.

[121] See CH. DENDRINOS and J.A. DEMETRACOPOULOS, 'Commission VI: Byzantine Philosophy. Section 2: Thomas de Aquino Byzantinus', *Bulletin de Philosophie Médiévale* 56 (Notre Dame IN, 2014), 13-22 at 17.

In *QDSC* Aquinas discusses Averroes' argument ([9.6].30-34) and subsequently refutes it ([9.27].306-331) on the basis of Plato's and Aristotle's views, highlighting points of agreement and disagreement, views which nevertheless reach the same conclusion.[122] It seems, therefore, that Prochoros' translation of Aquinas' *QDSC* contributed to a certain extent to the passionate debate between Platonists and Aristotelianists in Byzantium, by making some of Aquinas' views on related subjects accessible to both groups of Byzantine intellectuals and theologians in this period.

As is well known, George Scholarios was one of Aquinas' prolific translators and great admirers. For this reason one would expect that he would have at least read, if not used, the translations produced by Prochoros. The fact that Scholarios had produced a *Florilegium Thomisticum* and *Compendia* of the translations by Demetrios and Prochoros of Aquinas' *Summa contra gentiles* and *Summa theologiae*,[123] suggests that he must have had access also to Prochoros' translation of *QDP* and *QDSC*. So far no direct use of Prochoros' translations of the two quaestiones has been traced in Scholarios' extant works and translations. This, however, needs to be confirmed by further research.

A lasting legacy of Prochoros' translation of Aquinas' two *Quaestiones* in Byzantium was its impact in terms of methodology employed in investigating theological questions. Through these translations – and Demetrios' translation of Aquinas' *Summa theologiae*, which uses the same mode of exposition – the Latin model of the *quaestio disputata*, as the appropriate method to discover truth, was adopted by eminent Byzantine theologians, including Nicholas Cabasilas, Prochoros himself, Theophanes of Nicaea, Macarios Macres, and George Scholarios.[124]

It is not an exaggeration that, as Demetracopoulos has convincingly argued, through their translations of Thomistic works, the Cydones brothers changed the perception of Aquinas in Byzantium as well as the understanding and treatment of his views, which

[122] CH. DENDRINOS and J.A. DEMETRACOPOULOS, 'Thomas de Aquino Byzantinus', pp. 19-20.
[123] DEMETRACOPOULOS, 'Gennadios II-Scholarios', pp. 121-122.
[124] DEMETRACOPOULOS, 'The influence of Thomas Aquinas', pp. 117-118.

had previously been distorted by Barlaam, who had never read Aquinas' writings first hand.[125]

It is hoped that the present edition of Prochoros' translation of the two works will enable scholars to explore further their reception and impact in Byzantium and assess more fully the perception and reception of Thomas Aquinas in the Orthodox world.

[125] DEMETRACOPOULOS, 'The influence of Thomas Aquinas', pp. 111-112; idem, 'Thomas Aquinas' Impact', pp. 364-366.

## Conclusions

The aim of the thesis was to produce an edition of the Greek translation of Aquinas' *QDP* and *QDSC* by Prochoros Cydones, the only examples of this distinct western university-based philological genre that were translated into Greek in Byzantium, as a case-study of the transmission of Latin philosophical and theological texts in Byzantium in the Palaeologan period. Through our edition we were able to further explore Prochoros as a translator, to place the two translations into the wider historical and theological context, and closely examine his translating method and technique. Beginning from the latter, the evidence we have examined above shows that his priority was to render the Latin text in accurate, comprehensible and stylistically good atticizing Greek – the register of Byzantine intellectuals – and at the same time to be as faithful to the Latin original as possible. For this reason, he combined word-to-word and *ad sensum* translation.

Our investigation confirms views of previous scholars on Prochoros' translating method and technique, and advances our understanding of these aspects in the sense that, for the first time, we study against the Latin text how Prochoros renders into Greek Aquinas' quotations of passages from classical authors, Latin and Greek Fathers, and the Bible, drawn from both direct and indirect sources – something that scholars did only for Demetrios Cydones in the past.

One of the most significant contributions of the edition of Prochoros' translation of the two texts is that it restores and/or completes words, phrases and even whole passages missing in the edited Latin text. More specifically, it is possible that the Latin text used by Cydones did not simply contain textual variants but represented a different transmission of the work than the text presented in the modern Latin editions ('Aq.' in our apparatus). As we have shown, a number of passages of significant length in Cydones' translation are absent in Aq. It is highly unlikely that these passages were composed by Cydones himself. However, the numerical references to works (by Aristotle, Augustin and others) cited in the Greek text are far more frequent than in Aq. Far from Cydones being busy hunting them out himself, it is more probable that these references were present in the Latin text he consulted, especially in the case of works by Western authors such as Augustine (a good example is *QDP* [1.3.9].53, p. 57,

where Prochoros gives a reference to the long and little read work of Augustine *Contra Faustum*). It seems that the Latin text Prochoros used must have contained all these references, which were later omitted either by an editor or a copyist as being unnecessary for the standard reader. The assumption that these were not provided by Aquinas in the first place but supplied by a later editor who took the trouble to trace them, though possible is less convincing.

On the other hand, wherever Cydones' edition and Aq. give different numerical references (e.g. *QDP* [2.2.1].7, [3.8.4].33 and *QDSC* [2.30].283, [3.43].420, [6.21].140, [8.21].182) Cydones' reference is wrong and Aquinas' correct. The same is the case for the references in *QDP* by Aquinas of 'Anselm' instead of Cydones 'Augustine' ([2.4.8].39), possibly 'Hieronymus' instead of 'Boethius' ([3.10.20]108), 'Origen' instead of 'Aristotle' ([5.3.15].104), and the biblical passage I Io. 1, 5 instead of the more relevant Io. 4, 24 ([3.6.25].19-20).

There are indeed cases where both Aq. and Cydones give the same incorrect reference (see above, pp. 1-6). It is indeed possible that Cydones' wrong references might be merely the result of carelessness of the scribe who had copied the Latin MS he used. Finally, the order of solutions in *QDP* between Prochoros' text and Aq. varies in sections [3.6.43]-[3.6.52] as follows:

| **Our edition** | **Cydones** | **Aquinas** | **Our edition** |
|---|---|---|---|
| [3.6.43] | 13 | 19 | [3.6.49] |
| [3.6.44] | 14 | 13 | [3.6.43] |
| [3.6.45] | 15 | 14 | [3.6.44] |
| [3.6.46] | 16 | 16 | [3.6.46] |
| [3.6.47] | 17 | 15 | [3.6.45] |
| [3.6.48] | 18 | 22 | [3.6.52] |
| [3.6.49] | 19 | 17 | [3.6.47] |
| [3.6.50] | 20 | 18 | [3.6.48] |
| [3.6.51] | 21 | 20 | [3.6.50] |
| [3.6.52] | 22 | 21 | [3.6.51] |

Clearly the solutions 13-15 and 17-22 in Prochoros' translation do not follow the order of the argumenta 13-15 and 17-22 at the beginning of q. 3 a. 6. The fact that these solutions have been swapped around in Prochoros' text, while solution 16 has

remained in place, shows that this is the result of a scribal error, either in the Greek MSS we have consulted (P and M) or in the MS used by Prochoros.

These hypotheses should be ascertained on the basis of thorough research on Aquinas' Latin MSS with the help of experts.

An essential question raised is whether the fact that Prochoros was translating a slightly different version of the work than that to be found in the modern Latin editions cause difficulties in determining his method of translation. There is no reason to assume that the differences between the two editions involved numerous or significant differences in details of the wording. However, it does make individual examples of divergence between the two texts harder to interpret (e.g. see above, p. 921).

A significant variation is presented in *QDP* [1.6.4]. To illustrate that God sometimes commands things that are in themselves sins, Aq. gives the story of Abraham and Isaac, while Prochoros gives that of Jephthah. The former is more suitable, for God ordered Abraham to sacrifice his son but did not himself order Jephthah to sacrifice his daughter. Clearly, the Jephthah story does not serve the argument here as strongly as the story of Abraham and Isaac does. This variation points to two distinct recensions of the Latin text. Prochoros represents the earlier one and Aq. a later one with corrections and revisions.

Another example is Prochoros' reference to Aristotle's *Μετὰ τὰ ἠθικά* instead of the correct *Μετὰ τὰ φυσικά*. That this error may have been caused inadvertently by Aquinas or the editor of the Latin text is highly unlikely, for the Latin *Ethica* and *Metaphysica* are two completely different words and therefore cannot be confused. Most probably, this was an error during dictation as a result of the phonetic similarity between the Greek words ἠθικὰ and φυσικὰ rather than a copying error of the title 'Μετὰ τὰ φυσικά' from the Greek exemplar. Finally, it is highly unlikely that Prochoros would have failed to spot the title of a non-existing Aristotelian work (Μετὰ τὰ ἠθικά).

All the cases discussed above illustrate how essential it is for scholars to be able to consult reliable modern critical editions of texts and how important the study of indirect transmission of Aquinas' texts in particular, and of medieval texts in general can be.

One of the most intriguing questions raised in the thesis was why of all Aquinas' quaestiones, Prochoros chose to translate only these two works. The simplest answer we offer is that those were the texts he happened to have access to. We cannot know exactly which books the Cydones brothers had at their disposal. They probably had access to the library of the Dominicans in Pera, which must have included works by Aquinas, the most renowned fellow Dominican. It is reasonable to assume that Demetrios and Prochoros chose to translate those works that would help them to refute the Palamite teachings. As shown, the content and context of the two *Quaestiones* edited in our thesis verifies this.

Concerning the question of the date when the two *Quaestiones* were translated, despite the absence of a colophon and internal evidence, we were able to place the translation of *QDP* some time before 1367/68, when Prochoros completed his treatise *De essentia et operatione Dei*, as it is clear that his own translation of *QDP* served as one of the main sources of his treatise. We cannot be sure when *QDSC* was translated though. If indeed the two works were contained in the same Latin MS Prochoros used, it is possible that he produced the two translations together. This, however, remains to be ascertained by further evidence.

As far as the circulation and reception of the two translations is concerned, they cannot have been very wide during the Byzantine period, or indeed later. This is attested by the limited number of extant MSS and the lack of their *verbatim* use, with the exception – so far – of Prochoros' own treatise *De essentia et operatione Dei*, which contains quoted passages from his translation of *QDP*. To this evidence should be added the possible reception of *QDP* by Theophanes of Nicaea and George Amiroutzes, and of *QDSC* by George Gemistos-Plethon. Moreover, also George Scholarios must have been familiar with the two works, having used Demetrios and Prochoros' translation of the *Summa contra gentiles* and *Summa theologiae*. As new texts are being edited and Prochoros' translation of the two *Quaestiones* are now available in printed form, it is hoped that we may find more evidence for their reception in Byzantium, and beyond.

Still, there are mainly three aspects on which Prochoros' translations of Thomistic works in particular proved to have a more lasting legacy. First and foremost, his translations, along with those by Demetrios, transformed the perception and reception

of Thomas Aquinas in Byzantium. Through their translations of Thomistic texts, Byzantine scholars gained direct access to Aquinas' thought, without having to rely on previous misconceptions of his teachings.

Secondly, Prochoros introduced, through his translations of Aquinas' *QDP* and *GDSC*, the Latin *quaestio* as a methodological tool in examining theological questions in Byzantium. This model was adopted by Prochoros himself (in his *De essentia et operatione*) and other distinguished fellow theologians, such as Neilos Cabasilas, Theophanes of Nicaea, Macarios Macres, and George Scholarios.

Last but not least, Prochoros, and Demetrios, established *translation* as an independent literary genre in Byzantium, following its introduction by certain previous translators, namely Planoudes, Holobolos and Atoumes. It is understandable, and indeed true, that 'Byzantine literature proper' – namely, the literature produced by the Byzantine authors themselves – has traditionally enjoyed pride of place. Western influence has usually been seen as a marginal or subsidiary element, mainly relevant to the ecclesiastical discussions conducted between Constantinople and Rome. This, in combination with the vast number of the extant MSS and the limited number of scholars who have been assigned, or have assigned themselves, the hard task of transcribing and editing the source material from the extant MSS, accounts for the fact that editions and studies of Byzantine translations of Latin works appear only sporadically. As a result, *translation* as a literary genre, to our knowledge, is not included in any handbook of Byzantine literature. This needs to be changed.

As mentioned earlier, the present edition and study of Prochoros' translation of *QDP* and *QDSC*, is part of a larger ongoing effort to explore the transmission and reception of Thomistic thought in Byzantium by critically editing and studying the entire bulky corpus of translations of, and commentaries on, Thomistic works produced by Byzantine scholars and theologians over the last two centuries of the Empire. For the last decade a team of seasoned and younger scholars, which includes the undersigned, have been working in this direction, under the *Thomas de Aquino Byzantinus* international ongoing project, currently supported by the Stavros Niarchos Foundation (Athens) and the European Marie Curie Fellowship Programme. The editions will appear in the *Corpus Christianorum - Series Graeca.* So far the first volume has been completed and submitted for publication while another five volumes are being

prepared at present.[126] Undoubtedly, there is still much to be done. This kind of extremely time-consuming and painstaking groundwork, however, is necessary, as it is the only safe way to fully and accurately assess the impact of orthodox, and un-orthodox, readings of Thomas Aquinas in particular, and Latin philosophical and theological writings in general, in the Byzantine, and post-Byzantine, world, to the present.[127]

[126] See DENDRINOS and DEMETRACOPOULOS, 'Commission VI: Byzantine Philosophy. Section 2: Thomas de Aquino Byzantinus', 13-22.

[127] See PLESTED, *Orthodox readings of Aquinas*, chapter 7, 'New perspectives', pp. 220-228.

# Bibliography

## I. Manuscripts

**Bibliotheca Apostolica Vaticana, Vatican City**

*Vaticanus Barberinianus graecus* 540

*Vaticanus Palatinus graecus* 226

**Országos Széchenyi Könyvtár, Budapest**

*Budapestensis graecus* 13

**Bibliothèque nationale de France, Paris**

*Parisinus Coislinus graecus* 96

**Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens**

*Atheniensis, Bibliotheca Nationalis, Metochiou Panagiou Taphou* 331

**Österreichische Nationalbibliothek, Vienna**

*Vindobobonensis Philologicus graecus* 95

*Vindobonensis Theologicus graecus* 190

**Πατριαρχικὴ Βιβλιοθήκη, Jerusalem**

*Hierosolymiticus graecus* 157

## II. Printed works

### A. Reference works, Catalogues and Collections of sources


ALBERIGO G., DOSSETTI G.L., JOHANNOU P.P., LEONARDI C. and PRODI P. (eds.), *Conciliorum Oecumenicorum Decreta* (Bologna, 1973)

BARNES J. (ed.), *The Complete Works of Aristotle: The Revised Oxford Translation*, 2 vols. (Princeton, NJ, 1984)

BUCHWALD W., HOHLWEG A. and PRINZ O. (eds.), *Tusculum-Lexikon griechischer und lateinischer Autoren des Alterums und des Mittelalters* (Munich, 1982), French trans. by J.D. Berger and J. Billen with introduction by J. Fontaine, *Dictionnaire des auteurs grecs et latins de l'Antiquité et du Moyen Äge* (Turnhout, 1991)

CANDAL E., *Nilus Cabasilas et theologia S. Thomae de processione Spiritus Sancti: Novum e Vaticanis codicibus subsidium ad historiam theologiae Byzantinae saeculi XIV plenius elucidandam*, ST 116 (Vatican City, 1945)

CCSG Corpus Christianorum Series Graeca

CCSL Corpus Christianorum Series Latina

DEKKER E. and GAAR A. (eds.) *Clavis Patrum Latinorum*, CCSL (Steenbrugis, 1995)

DEVREESSE R., *Codices Vaticani graeci. III: 604-866* (Vatican City, 1950)

DU CANGE F., *Glossarium mediae et infimae Latinitatis* (Paris, 1678)

_________, *Glossarium mediae et infimae Graecitatis* (Paris, 1678)

GAMILLSCHEG E., HARLFINGER D. and HUNGER H., *Repertorium der griechischen Kopisten, 800-1600,* vol. 1, *Handschriften aus Bibliotheken Grossbritanniens,* 3 Parts (Vienna, 1981)

GAMILLSCHEG E., HARLFINGER D., ELEUTERI P., and HUNGER H., *Repertorium der griechischen Kopisten 800-1600,* vol. 3, *Handschriften aus Bibliotheken Frankreichs und Nachträge zu den Bibliotheken Italia*, 3 Parts (Vienna, 1989)

GEERARD M. (ed.), *Clavis Patrum Graecorum*, 5 vols., CCSG (Turnhout, 1970-1987); *Clavis Patrum Graecorum: Supplementum*, eds. M. Geerard and J. Noret, CCSG (Turnhout, 1998)

GLARE P.G.W., *Oxford Latin Dictionary* (Oxford, 2012$^{2}$)

JEFFREYS E., HALDON J. and CORMACK R. (eds.), *The Oxford Handbook of Byzantine Studies* (Oxford, 2008)

KAZHDAN A.P. (ed.-in-chief), *The Oxford Dictionary of Byzantium* (New York/Oxford, 1991)

LAMPE G.W.H., *A Patristic Greek Lexicon* (Oxford, 1961)

LEWIS C. T. and SHORT C., *A Latin Dictionary* (New York, 1869)

LATHAM R. E, HOWLETT D. R., ASHDOWNE R., et al., *Dictionary of Medieval Latin from British Sources* (Oxford, 2013)

LIDDELL H.G. and SCOTT R. (cont. H.S. JONES, with assistance of R. MCKENZIE), *A Greek-English Lexicon* (with rev. suppl.) (Oxford, 1969)

OMONT H., *Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale*. *Première partie* (Paris, 1886)

PG MIGNE J.-P. (ed.), *Patrologiae cursus completus. Series graeco-latina*, 161 vols. in 166 (Paris, 1857-1891)

PL MIGNE J.-P. (ed.), *Patrologiae cursus completus. Series latina*, 221 vols. (Paris, 1844-1855)

PTS Patristische Texte und Studien

SCHARTAU B., *Codices graeci Haunienses. Ein deskriptiver Katalog des griechischen Handschriftenbestandes der Königlichen Bibliothek Kopenhagen* (Copenhagen, 1994)

SCHWARTZ E. (ed.), *Acta Conciliorum Oecumenicorum*, tom. I: *Concilium universale Ephesinum*, 5 vols (Berlin, 1927-1929); tom. IV: *Concilium universale Constantinopolitum sub Iustiniano habitum: Concilii actiones VIII. Appendices graecae. Indices*, vol. 1 (Berlin, 1971)

ST Studi e testi

TANNER N. P. (ed. and trans.), *Second Council of Lyons*, Constitution II.1, *Decrees of the Ecumenical Councils*, vol. I: *Nicaea I to Lateran V* (London/Washington, DC, 1989)

TRAPP E. et al. (eds.), *Prosopographisches Lexikon der Palaiologenzeit*, fasc. 1-12 (Vienna, 1976-1990)

ZEPOS I. and P. ZEPOS (eds.), *Jus Graeco-romanum*, 8 vols. (Athens, 1931; repr. Darmstadt, 1962)

**B. Primary sources:**

**Individual authors**

AUGUSTINE, *De Trinitate*, eds. W.J. Mountain and F. Glorie, *Aurelii Augustini De Trinitate libri XV*, 2 vols., CCSL, 50A-B (Turnhout, 1968)

PS-DIONYSIUS THE AREOPAGITE, *On the Celestial Hierarchy,* eds. G. Heil and A.M. Ritter, *Corpus Dionysiacum.* II: *Pseudo-Dionysius Areopagita. De coelesti hierarchia. De ecclesiastica hierarchia. De mystica theologia. Epistulae,* PTS, 36 (Berlin/NewYork, 1991)

_________, *On the Divine Names*, ed. B.-R. Suchla, *Corpus Dionysiacum* I: *Pseudo-Dionysius Areopagita. De divinis nominibus*, PTS, 33 (Berlin, 1990)

JOHN DAMASCENE, *Elementary Introduction*, ed. B. Kotter, *Die Schriften des Johannes von Damaskos*. Vol. 1: *Institutio elementaris. Capita philosophica (Dialectica)*, PTS, 7 (Berlin, 1969)

_________, *Exposition of the Orthodox Faith*, ed. B. Kotter, *Die Schriften des Johannes von Damaskos*. Vol. 2: *Expositio Fidei (Ἔκδοσις ἀκριβὴς τῆς Ὀρθοδόξου πίστεως)*, PTS, 12 (Berlin, 1973)

_________, *On the Right Belief*, PG 94, cols 1421-1432

PROCHOROS CYDONES, *De essentia et operatione*, 1-2: PG 151 1191-1242 [attributed to Akindynos]; 6: ed. M. Candal, 'El libro VI de Próchoro Cidonio [sobre la luz tabórica]', *Orientalia Christiana Periodica* 20 (1954), 247-297

THOMAS AQUINAS, *Quaestio disputata de spiritualibus creaturis*; ed. J. Cos, *Sancti Thomae De Aquino, Opera Omnia. Iussu Leonis XIII P. M. edita cura et studio fratrum praedicatorum, Quaestio disputata de spiritualibus creaturis*, t. 24, 2 (Rome/Paris, 2000)

THOMAS AQUINAS, Quaestiones disputatae de potentia; ed. P.M. Pession, *S. Thomae Aquinatis doctoris angelici, Quaestiones disputatae*, t. 2: *Quaestiones disputatae de potentia* (Marietti: Turin/Rome, 1949; editio VIII revisa)

**Translations**

D. NIKITAS, *Boethius, De topicis differentiis* — BOETHIUS, *De topicis differentiis*, ed. D. Nikitas, *Boethius,* De Topicis differentiis *καὶ οἱ βυζαντινὲς μεταφράσεις τοῦ Μανουὴλ Ολοβώλου καὶ τοῦ Προχόρου Κυδώνη*, Corpus Philosophorum Medii Aevi. Philosophi Byzantini 5 (Athens/Paris/Brussels, 1990)

HUNGER, *Prochoros Cydones, Übersetzung von acht Briefen des Hl. Augustinus* — PROCHOROS CYDONES, *Translation of St Augustine's eight Letters*, ed. H. HUNGER *Prochoros Cydones. Übersetzung von acht Briefen des Hl. Augustinus,* Wiener Studien 9 (Vienna, 1984)

_________, *Translation of S. Augustine's* De libero arbitrio, ed. H. HUNGER, *Prochoros Cydones' Übersetzungen von S. Augustinus, De libero arbitrio I.1-90, und Ps.-Augustinus, De decem plagis Aegyptiorum*, Wiener Studien 14 (Vienna 1990)

_________, *On the use of syllogisms in theological questions*, ed. F. Tinnefeld, 'Ein Text des Prochoros Cydones im Vat. Gr. 609 über die Bedeutung der Syllogismen für die theologische Erkenntnis', in Schoors A. and P. Van Deun eds., *Philohistôr: Miscellanea in honorem Caroli Laga septuagenarii* (Louvain, 1994), 515-527

SIMPLICIUS, *Commentaries on Aristotle's Physics*, ed. H. DIELS, *Simplicii in Aristotelis Physicorum libros quattuor priores commentaria, Commentaria in Aristotelem Graeca*, vol. 9 (Berlin, 1882)

THOMAS AQUINAS, *De potentia*, ed. P. Mandonnet, *St Thomae Aquinatis Quaestiones disputatae,* vol. 2 (Paris, 1925)

_________, *Quaestiones De Anima*, ed. J.H. Robb, *St. Thomas Aquinas, Quaestiones De Anima: A newly Established Edition of the Latin Text with Introduction and Notes* (Toronto, 1968)

**C. Secondary studies**

BARBOUR H., *The Byzantine Thomism of Gennadios Scholarios and his Translation of the Commentary of Armandus de Bellovisu on the "De Ente et Essentia" of Thomas Aquinas*, Studi Thomistici 53 (Vatican City, 1993)

BARDY G., 'La littérature patristique des "Quaestiones et Responsiones" sur l'Écriture sainte', *Revue Biblique* 41 (1932), 210-36, 341-69, 515-37; 42 (1933), 14-30, 211-29, 328-52

BECK H.-G., 'Der Kampf um der Thomistichen Theologiebegriff in Byzanz', *Divus Thomas* 13 (1935), 3-22

_________, 'Humanismus und Palamismus' (with responses by G. Schirò and J. Meyendorff), *Actes du XIIe Congrès international des études byzantines: Rapports,* III (Ochrid, 1961), 1-26

BENAKIS L.G., 'Lateinische Literatur in Byzanz. Die Übersetzungen philosophischer Texte', in *Φιλέλλην. Studies in Honour of Robert Browning*, eds. C. Constantinides et al. (Venice, 1996), 35-42

_________, 'Ἡ Παρουσία τοῦ Θωμᾶ Ἀκινάτη στὸ Βυζάντιο', in *Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ ἐν ἐμοὶ Χριστός, Festschrift Archbishop Demetrios of America* (Athens, 2002)

BERSCHIN W., *Griechisch-lateinisches Mittelalter: von Hieronymus zu Nikolaus von Kues* (Berlin/Munich, 1980)

CONSTANTINIDES C.N., *Higher Education in Byzantium in the Thirteenth and Early Fourteenth Centuries* (Nicosia, 1982);

COPENHAVER B.P., 'Translation, Terminology and Style in Philosophical Discourse', in *The Cambridge History of Renaissance Philosophy*, eds. C.B. Schmitt, Q. Skinner and E. Kessler (Cambridge, 1988), pp. 77-110

COS J., *Sancti Thomae De Aquino opera omnia iussu Leonis XIII P.M. edita cura et studio Fratrum Praedicatorum.* Vol. 24.2: *Quaestio disputata de spiritualibus creaturis* (Rome/Paris, 2000)

CATOIRE A., 'Philosophie byzantine et philosophie scolastique. Simples notes', *Echo d'Orient* 12 (1909), 193-201

DALEY B., 'Boethius' theological Tracts and early Byzantine Scholasticism', *Mediaeval Studies* 46 (1984), 158-91

DEMETRACOPOULOS A.K., *Ὀρθόδοξος Ἑλλάς, ἤτοι περὶ τῶν Ἑλλήνων τῶν γραψάντων κατὰ Λατίνων καὶ περὶ τῶν συγγραμμάτων αὐτῶν* (Leipzig, 1872; repr. Athens, 1968)

DEMETRACOPOULOS J.A., 'Latin Philosophical Works Translated into Greek', in *The Cambridge History of Medieval Philosophy*, eds R. PASNAU and CH. VAN DYKE, vol. II (Cambridge, 2014[2]), pp. 822–826

_________, 'Demetrius Cydones' Translation of Bernardus Guidonis' List of Thomas Aquinas' Writings and the Historical Rootsof Byzantine Thomism', in *1308. Eine Topographie historischer Gleichzeitigkeit*, eds A. Speer and D. Wirmer, Miscellanea Mediaevalia, 35 (Berlin/New York, 2010), pp. 827–881

_________, 'Thomas Aquinas' Impact on Late Byzantine Theology and Philosophy: The Issues of Method or *Modus Sciendi* and *Dignitas Hominis*', in *Knotenpunkt Byzanz*, pp. 333–410

_________, 'Cabasilas, Nicholas', 'Calecas, Manuel'; 'Cydones, Demetrius'; 'Cydones, Prochorus'; 'Gennadius II - Scholarius, George'; 'Gregoras, Nicephorus'; 'Theophanes of Nicaea', in *Encyclopedic Dictionary of the Christian East*, ed.-in-chief E.G. Farrugia (Rome, 2015), respectively pp. 355-358; 360-362; 577-582; 582-583; 834-837; 895-897; 1823-1825

_________, 'Georgios Gennadios II - Scholarios' *Florilegium Thomisticum*. His Early Abridgment of Various Chapters and "Quæstiones" of Thomas Aquinas' *Summae* and His anti-PlethonismType', *Recherches de théologie et philosophie médiévales* 69.1 (2002), 301–376

DEMETRACOPOULOS, 'Palamas Transformed

DEMETRACOPOULOS J.A., 'Palamas Transformed. Palamite Interpretations of the Distinction between God's 'Essence' and 'Energies' in Late Byzantium', in *Greeks, Latins, and Intellectual History 1204-1500*, pp. 263-372

DEMETRACOPOULOS PH. A., 'Demetrius Cydones' Translation of the Summa Theologica', *JÖB* 32 (1982), 311–19

DEVREESSE R., *Bibliothèque Nationale. Département de Manuscrits, Catalogue des manuscrits grecs.* Vol. II: *Le fonds Coislin* (Paris, 1945)

EMERY G., *The Trinitarian Theology of St Thomas Aquinas*, trans. F. Aran Murphy (Oxford, 2010)

FISHER, 'Planoudes, Holobolos, and the motivation for translation'

E. FISHER, 'Planudes, Holobolos, and the motivation for translation', *Greek, Roman, and Byzantine Studies* 43 (2002/3), 77-78

FYRIGOS A., ed., 'Sancti Thomae de Aquino *Summae contra gentiles* versio Demetrii Cydonis cum correctionibus, additamentis et scholiis Bessarionis Cardinalis Nicaeni', *Rivista di Studi Bizantini e Neoellenici* N.S. 48 (2011), 193–246

GEANAKOPLOS D. J., *Emperor Michael Palaeologus and the West, 1258-1282: A study in Byzantine-Latin relations* (Oxford, 1959)

_________, *Byzantine East and Latin West* (Oxford, 1966)

_________, *Byzantium and the Renaissance* (Hamden, CN, 1973); *Constantinople and the West* (Madison, WI/London, 1989)

GILSON E., *Thomism: The philosophy of Thomas Aquinas,* English trans. L.K. Shook and A. Maurer (Toronto, 2002)

GLYCOFRYDI-LEONTSINI A., 'Demetrios Cydones as a Translator of Latin Texts', in *Porphyrogenita. Essays on the History and Literature of Byzantium and the Latin East in Honour of Julian Chrysostomides*, eds. Ch. Dendrinos, J. Harris, E. Harvalia-Crook and J. Herrin (London/Burlington, 2003), 175–185

GOODWIN C.R., *A translation of the* Quaestio disputata de spiritualibus creaturis *of St Thomas Aquinas, with accompanying notes* (Unpublished MPhil thesis, Australian Catholic University, 2002)

*Greeks, Latins, and Intellectual History 1204-1500*

HINTERBERGER M. and SCHABEL CH. (eds.), *Greeks, Latins, and Intellectual History 1204-1500*, Recherches de Théologie et Philosophie médiévales. Bibliotheca 11 (Leuven/Paris/Walpole, MA, 2011)

HUNGER H., ‚Griechische Paläographie', in H. HUNGER [et al.] *Geschichte der Textüberlieferung der antiken und mittelalterlichen Literatur. 1: Antikes und mittelalterliches Buch- und Schriftwesen. Überlieferungsgeschichte der antiken Literatur* (Zurich, 1961)

HUSSEY J.M. (ed.), *The Cambridge Medieval History*. Vol. IV: *The Byzantine Empire* (Cambridge, 1966-1967)

IERODIAKONOU K., ed., *Byzantine Philosophy and its Ancient Sources* (Oxford, 2002)

JUGIE M., 'Démétrios Cydonès et la théologie latine à Byzance', *Echo d'Orient* 27 (1928), 385–402

KAPRIEV G., 'Cydones, Demetrios' and 'Cydones, Prochoros', in *Thomisten-Lexicon*, eds. D. Berger and J. Vijgen (Bonn, 2006), 346–358

KIANKA F., 'Demetrius Cydones and Thomas Aquinas', *Byzantion* 52 (1982), 264–286

KOLBABA T.M. , 'Repercussions of the Second Council of Lyon (1274): Theological Polemic and the Boundaries of Orthodoxy', in *Greeks, Latins, and Intellectual History 1204-1500*, pp. 43–68

*Knotenpunkt Byzanz* — *Knotenpunkt Byzanz: Wissensformen und kulturelle Wechselbeziehungen*, eds. A. Speer and Ph. Steinkrueger, Miscellanea Mediaevalia 36 (Berlin/New York, 2012)

LAMBERTZ E., 'Das Geschenk des Kaisers Manuel II. an das Kloster Saint-Denis und der «Metochitesschreiber» Michael Klostomalles', in *Λιθόστρωτον. Studien zur byzantinischen Kunst und Geschichte. Festschrift für Marcell Restle*, eds. B. Borkopp and T. Steppan (Stuttgart, 2000), pp. 155–165

LAMPAKES S., 'Οι ελληνομαθείς λόγιοι στο πλαίσιο των πνευματικών αλληλεπιδράσεων Ανατολής-Δύσης από τον 12ο έως τον 14ο αιώνα', in *Η τέταρτη Σταυροφορία και ο ελληνικός κόσμος*, ed. N.G. Moschonas (Athens, 2008), pp. 327–341

LAWN B., *The Rise and Decline of the Scholastic 'Quaestio Disputata'. With Special Emphasis on Its Use in the Teaching of Medicine and Science* (New York/Cologne, 1993)

LITSAS E., *Σύντομη Εἰσαγωγὴ στὴν Ἑλληνικὴ Παλαιογραφία καὶ Κωδικολογία*, Parts I-II (Thessalonica, 2001)

MOUTSOPOULOS E., 'Thomisme et aristotelisme à Byzance', *Jahrbuch der Österreichischen Byzantinistik* 32 (1982), 301–310

NICOL D.M., , 'Byzantine Requests for an Oecumenical Council in the Fourteenth Century', *Annuarium Historiae Conciliorum* 1 (1969), 69–95

_________, 'The Byzantine Reaction to the Second Council of Lyons, 1274', *Studies in Church History*, VII (Cambridge, 1971); reprinted in D.M. Nicol, *Byzantium: its Ecclesiastical History and Relations with the Western World* (Variorum: London, 1972), art. VI, pp. 113–146

_________, 'The Greeks and the Union of the Churches: The Preliminaries to the Second Council of Lyons, 1261–1274', in *Medieval Studies presented to Aubrey Gwynn, S.J.*, eds. J.A. Watt et al. (Dublin, 1961); reprinted in D.M. Nicol, *Byzantium: its Ecclesiastical History and Relations with the Western World* (Variorum: London, 1972), art. V, pp. 454–80

_________, *The Last Centuries of Byzantium, 1261–1453* (Cambridge, 1972)

NIKITAS, *Eine byzantinische Übersetzung von Boethius* — NIKITAS D., *Eine byzantinische Übersetzung von Boethius 'De hypotheticis syllogismis'* in *Hypomnemata* 69 (Göttingen, 1982), pp. 39-40

MERCATI G., *Notizie di Procoro e Demetrio Cidone, Manuele Caleca e Teodoro Meliteniota ed altri appunti per la storia della teologia e della letteratura bizantina del secolo XIV,* Studi e testi 116 (Vatican City, 1931)

MERGIALI S., *L'enseignement et les lettrés pendant l'époque des Paléologues (1261–1453)* (Athens, 1996)

OEHLER K., 'Aristotle in Byzantium', *Greek, Roman, and Byzantine Studies* 5 (1964), 133–46

PAPADOPOULOS S.G., *Ἑλληνικαὶ μεταφράσεις θωμιστικῶν ἔργων. Φιλοθωμισταὶ καὶ ἀντιθωμισταὶ ἐν Βυζαντίῳ* (Athens, 1967)

_________, 'Thomas in Byzanz. Thomas-Rezeption und Thomas-Kritik in Byzanz zwischen 1354 und 1435', *Theologie und Philosophie* 49 (1974), 274–304

PERIA L., *Γραφίς. Per una storia della scrittura greca libraria*, Quaderni di Νέα Ῥώμη 1 (Rome/Vatican City, 2011)

RYDER J.R., *The Career and Writings of Demetrius Cydones: A Study of Fourteenth-Century Byzantine Politics, Religion and Society* (Leiden, 2010)

PODSKALSKY G., *Theologie und Philosophie in Byzanz. Der Streit um die theologische Methodik in der spätbyzantinischen Geistesgeschichte (14./15. Jahrhundert)* (Munich, 1977)

POLEMIS I.D., *Theologica varia inedita saeculi XIV (Auctores varii, Georgius Pelagonius, Anonymus, Prochorus Cydones*), CCSG 76 (Turnhout, 2012)

RUSSELL N., 'Prochoros Cydones and the Fourteenth-Century Understanding of Orthodoxy', in *Byzantine Orthodoxies: Papers from the Thirty-Sixth Spring Symposium of Byzantine Studies*, eds. A. Louth and A. Casiday (Aldershot, 2006), 75–91

SIECIENSKI A.E., *The Filioque. History of a Doctrinal Controversy* (Oxford/New York, 2010)

TINNEFELD F., *Demetrios Cydones. Briefe*. Vol. I.1, Bibliothek der griechischen Literatur 12 (Stuttgart, 1981)

_________, 'Intellectuals in Late Byzantine Thessalonike', *Dumbarton Oaks Papers* 57 (2003), 153-172

K.-P. TODT, 'Dositheos II von Jerusalem', in: *La théologie Byzantine et sa tradition*, ed. C.F. Conticello and V. Conticello (Turnhout, 2002), 659-720

TORRELL, J.-P., *Initiation à Thomas d'Aquin (*Paris, 2002), trans. R. ROYAL, *Saint Thomas Aquinas* (Washington, DC, 2003)

TRAPP E. and BEYER H.-V., LEONTIADES I.G. and KAPLANERES S. (eds.), *Prosopographisches Lexikon der Palaiologenzeit,* fasc. 12 (Vienna, 1990), no. 13883

TYN T., 'Prochoros und Demetrios Cydones: der byzantinische Thomismus des XIV Jahrhunderts', in *Thomas von Aquino: Interpretation und Rezeption*, ed. W. Eckert (Mainz 1964), pp. 837–912

VOORDECKERS E., and TINNEFELD F.H. (eds.), *Refutationes duae Prochori Cydonii et Disputatio cum Paulo Patriarcha Latino epistulis septem tradita*, CCSG 16 (Turnhout, 1987)

WEINANDY T.G., KEATING D.A. and YOCUM J.P., *Aquinas on doctrine: A Critical Introduction* (Edinburgh, 2004)

*When East met West* DENDRINOS CH. and DEMETRACOPOULOS J.A. (eds.), *When East met West: the Reception of Latin Philosophical and Theological Thought in Late Byzantium : Acts of the Institute of Classical Studies International Byzantine Colloquium, London, 11-12 June 2012* (= *Nicolaus*, Rivista di teologia ecumenico-patristica, fasc. 1) (Bari, 2013)

WRIGHT CH., 'Towards an edition of Demetrios Cydones's autograph translation of Thomas Aquinas's *Summa Theologiae* – Prima Pars', in *When East met West*, pp. 15–30

# PLATES



**Plate 1**

Bibliothèque nationale de France, *Par. gr.* 96, f. 1[r]



**Plate 2**

Bibliothèque nationale de France, *Par. gr.* 96, f. 315[r]



Πίναξ τοῦ παρόντος βιβλίου· Βιβλίον αον — φύλλα 1


αον Πότερον ἔστιν ἐν τῷ θεῷ δύναμις, ἢ οὔ· — 1
βον Πότερον ἔστιν ἡ τοῦ θεοῦ δύναμις ἄπειρος, ἢ οὔ· 7
γον Πότερον τὰ τῇ φύσει ἀδύνατα δυνατά ἐστι τῷ θεῷ, ἢ οὔ· 11
δον Πότερον τὸ δυνατὸν καὶ ἀδύνατον ζητεῖται κατὰ τὰς ὑποκειμένας αἰτίας, ἢ κατὰ τὰς ὑπερκειμένας· 18
εον Πότερον, ὁ θεὸς δύναται ποιεῖν, ἃ μὴ ποιεῖ, καὶ ἀπολιπεῖν ἃ ποιεῖ· 21
ςον Πότερον, ὁ θεὸς δύναται ποιεῖν ὃ καὶ τοῖς ἄλλοις δύναται· 27
ζον Τίνι τρόπῳ ὁ θεὸς λέγεται παντοδύναμος· 31

Βιβλίον βον 33

αον Πότερον ἐν τοῖς θείοις, ἐστὶ γεννητικὴ δύναμις, ἢ οὔ· 33
βον Πότερον, ἡ δύναμις ἡ γεννητικὴ ἐν τοῖς οὐσιώδεσι τέτακται, ἢ ἐν τοῖς γνωστικοῖς· 40
γον Πότερον ἡ γεννητικὴ δύναμις, δι' ἧς ἡ τῆς γεννήσεως πρόοδος ἐνεργεῖται, ἐπὶ πράγματι τῆς θείας θελήσεως, ἢ οὔ· 44
δον Πότερον ἐν τοῖς θείοις δύναται εἶναι υἱοὶ πολλοί, ἢ οὔ· 51
εον Πότερον, ἡ τοῦ γεννᾶν δύναμις ἐμπεριέχεται τῇ παντοδυναμότητι, ἢ οὔ· 57
ςον Πότερον, ἡ τοῦ γεννᾶν δύναμις ἢ ἡ τοῦ κτίζειν, ταὐτόν ἐστιν, ἢ οὔ· 60

Βιβλίον γον — 83

αον Πότερον, ὁ θεὸς δύναται ποιεῖν ἐκ τοῦ μηδαμῇ μηδαμῶς, ἢ οὔ· 83
βον Πότερον, αὐτὸ τὸ κτίζειν ἐστὶ μεταβολή, ἢ οὔ· 71
γον Πότερον, ἡ κτίσις ἐστί τι πρᾶγμα ἐν τοῖς κτίσμασιν, ἢ οὔ· 73
δον Πότερον, ἡ δημιουργικὴ δύναμις, ἐστὶ καὶ κατὰ τῶν ἄλλων, ἢ [illegible] μετέχεται· 78
εον Πότερον, δύναται εἶναί τι, ὃ μὴ ἔκτισται παρὰ θεοῦ, ἢ οὔ· 88
ςον Πότερον, ἔστι μία ἀρχὴ δημιουργικὴ μόνον, ἢ οὔ· 91


**Plate 3**

Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <I>



ζον Πότερον ὁ θεὸς ἐνεργεῖ ἐν τῷ τῆς φύσεως ἐνεργήματι, ἢ οὔ. 103

ηον Πότερον ὁ θεὸς δημιουργεῖ ἐν τοῖς γενομένοις. 113

θον Πότερον ἡ λογικὴ ψυχὴ παράγεται εἰς τὸ εἶναι διὰ τῆς δημιουργίας, ἢ διὰ τῆς τοῦ σπέρματος καταβολῆς. 123

ιον Πότερον ἡ λογικὴ ψυχὴ ἔνδον τοῦ σπέρματος εἰσάγεται, ἢ ἔξω. 139

ιαον Πότερον ἡ αἰσθητικὴ καὶ ἡ φυτικὴ ψυχὴ διὰ δημιουργίας ἐστίν, ἢ ἐκ τοῦ σπέρματος καταβάλλεται. 147

ιβον Πότερον ἡ αἰσθητικὴ ψυχὴ ἢ καὶ ἡ φυτικὴ ἐστὶν ἀπ' ἀρχῆς ἐν αὐτῷ τῷ τοῦ σπέρματος, ἢ οὔ. 156

ιγον Πότερον τὸ ὂν [illegible] δύναται εἶναι αἰώνιον, ἢ οὔ. 160

ιδον Πότερον τὸ ἑτερούσιον δύναται ἀεὶ εἶναι, ἢ οὔ. 163

ιεον Πότερον τὰ ὄντα προεχώρησαν ἀπὸ τοῦ θεοῦ, ἀναγκαίᾳ φύσει, ἢ ψήφῳ θελήσεως. 170

ιϛον Πότερον ἐξ [illegible] δύναται [illegible] εἶναι, ἢ πλῆθος. 178

ιζον Πότερον ὁ κόσμος ἀεὶ ἦν, ἢ οὔ. 191

ιηον Πότερον οἱ ἄγγελοι δεδημιούργηνται πρὸ τοῦ ὁρατοῦ κόσμου, ἢ οὔ. 206

ιθον Πότερον δύνανται οἱ ἄγγελοι εἶναι καὶ πρὸ τοῦ ὁρωμένου κόσμου, ἢ οὔ. 216

Βιβλίον βον 219

αον Πότερον ἡ δημιουργία τῆς [illegible] ὕλης ἢ γένεσις τῷ χρόνῳ τῆς δημιουργίας [illegible], ἢ οὔ. 219

βον Πότερον ἡ τῆς ὕλης διαμόρφωσις ὅλη γεγονὲν ὁμοῦ, ἢ κατὰ διαδοχήν. 238

Βιβλίον γον 238

αον Πότερον τὰ ὄντα [illegible] εἰς τὸ εἶναι [illegible] μεθέξει τῆς τοῦ θεοῦ ἐνεργείας, [illegible], ἢ οὔ. 238

βον Πότερον ὁ θεὸς δύναται [illegible], ἢ οὔ. 249

**Plate 4**

Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <II>



**Plate 5**

Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <III>



**Plate 6**

Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. <IV>



**Plate 7**

Ἐθνικὴ Βιβλιοθήκη Ἑλλάδος, Athens, *MPT* 331, p. 24

# DE SPIRITVALIBVS CREATVRIS

## < Articulus primus >

Questio est de spiritualibus creaturis. Et primo queritur utrum substantia spiritualis creata sit composita ex materia et forma. Et uidetur quod sic. Dicit enim Boetius in I De Trinitate : forma simplex subiectum esse non potest ; set substantia spiritualis creata est subiectum scientie et uirtutis et gratie ; ergo non est forma simplex. Set nec est materia simplex, quia sic esset in potentia tantum, non habens aliquam operationem. Ergo est composita ex materia et forma.

2. Preterea. Quelibet forma creata est limitata et finita ; set forma limitatur per materiam ; ergo quelibet forma creata est forma in materia. Nulla ergo substantia creata est forma sine materia.

3. Preterea. Principium mutabilitatis est materia : unde secundum Philosophum necesse est ut materia ymaginetur in re mota ; set substantia

Pecia 1 : $\alpha = Ba^1F^4LiM^1O^2O^3P^1$   $\beta = AvBa^2Ca^2Ca^3In^3P^3P^4$

Loci paralleli : *De Ente et Essentia*, cap. 4 et 5 ; *Script. super Sent.*, Lib. I, d. 8, q. 5, art. 2 ; Lib. II, d. 3, q. 1, art. 1 ; d. 17, q. 1, art. 2 ; *Super Boethium de Trinitate*, q. 5, art. 4, ad 4 ; *Quodlib. IX*, q. 4, art. 1 [6] ; *Contra Gent.*, Lib. II, cap. 50 et 51 ; *Quest. disp. de Potentia*, q. 6, art. 6, ad 4 ; *Ia Pars*, q. 50, art. 2 ; q. 75, art. 5 ; *Quest. disp. de Anima*, q. 6 ; *Quodlib. III*, q. 8, art. 1 [20] ; *De Substantiis separatis*, cap. 5-8 ; et infra art. 9, ad 9.    4-10 Dicit enim Boetius... et forma : Simile arg. *Script. super Sent.*, Lib. II, d. 3, q. 1, art. 1, arg. 6 ; *Quest. disp. de Anima*, q. 6, arg. 1 (ed. leon., tom. XXIV.1, p. 46, lin. 1-7).    4-5 Dicit enim Boetius... non potest : Revera est adagium "simplex forma subiectum esse non potest", erutum ex variis sententiis Boethii, *Quomodo Trinitas unus Deus ac non tres Dii* (sive *De Trinitate*), cap. 2 (PL 64, 1250D-1251B ; ed. Peiper, p. 153, lin. 47-48 ; ed. Stewart-Rand, p. 10, lin. 29-31 et lin. 40-43 et p. 12, lin. 48-50) : "Sed diuina substancia sine materia forma est atque ideo unum et est id quod est... Quocirca hoc uere unum in quo nullus numerus, nullum in eo aliud praeterquam id quod est. Neque enim subiectum fieri potest ; forma enim est, formae uero subiectae esse non possunt... Forma uero quae est sine materia non poterit esse subiectum nec uere inesse materiae". Adagium ex his Boethii verbis erutum iam habet Albertus Magnus, *Commentarii in I Sent.*, d. 4, litt. D, art. 9, arg. 3 (ed. Borgnet, tom. XXV, p. 170b) ; d. 8, litt. C, art. 18, arg. 1 (*ibid.*, p. 247b) ; art. 27, sol. (p. 261) ; *Commentarii in II Sent.*, d. 3, litt. A, art. 4, arg. 3 (*ibid.*, tom. XXVII, p. 66b). A S. Thoma laudatur, v. g. *Scriptum super Sent.*, Lib. I, Prolog., q. 1, art. 4, arg. 1 et ad 1 ; d. 8, q. 5, art. 2, arg. 4 ; Lib. II, d. 3, q. 1, art. 1, arg. 6 ; *Quest. disp. de Anima*, q. 6, arg. 1 (ed. leon., tom. XXIV.1, p. 46, lin. 3-4) ; q. 12, arg. 16 (p. 107, lin. 95-96) ; *Ia Pars*, q. 3, art. 6, s. c. ; q. 13, art. 12, arg. 2 ; q. 29, art. 2, ad 5 ; q. 50, art. 2, arg. 2 ; q. 54, art. 3, arg. 2 et ad 2 ; q. 77, art. 1, arg. 6, resp. et ad 6 ; etc.    5-7 set substantia... gratie : Quod anima est 'substantia incompleta' et propterea 'subiectum' perfectibile, per scientiam nempe et uirtutem, erat communis magistrorum doctrina, quam docebant v. g. : Johannes Blund, Guillelmus Alverniensis, Rolandus Cremonensis, Odo Rigaldi, Albertus Magnus, Petrus Hispanus, etc. ; cf. *Sent. Libri de Anima*, Préface (ed. leon., tom. XLV.1, p. 195*-196*), ubi quasdam ex magistrorum textibus citationes dantur necnon elenchus locorum ex S. Thomae operibus.    12 set forma limitatur per materiam : Cf. *Script. super Sent.*, Lib. I, d. 43, q. 1, art. 1, resp. : "et similiter forma, que quantum in se est, potest perficere diuersas partes materie, finitur per materiam in qua recipitur" ; Lib. IV, d. 49, q. 2, art. 1, ad 12 : "quia forma etiam quodammodo terminatur per materiam" ; *Ia Pars*, q. 7, art. 1, resp. : "Finitur autem quodammodo et materia per formam, et forma per materiam... Forma uero finitur per materiam... Materia autem perficitur per formam per quam finitur..." ; q. 14, art. 1, resp. : "Coarctatio autem forme est per materiam" ; *Ia IIae*, q. 2, art. 6, resp. : "forma per materiam quodammodo contrahitur et finitur".    16-21 Preterea... materiam : Simile arg. cum diuersis auctoritatibus inuenitur *Script. super Sent.*, Lib. II, d. 17, q. 1, art. 3, arg. 3 (cum auctoritatibus ex Arist., *Metaphysica*, Lib. II et ex Augustino, *Super Genesim ad litteram*, Lib. VII) ; *Quest. disp. de Anima*, q. 6, arg. 17 (ed. leon., tom. XXIV.1, p. 107, lin. 117-121, cum auctoritate Augustini, sed sine operis titulo). Cf. etiam (cum auctoritatibus ex Augustino et Boethio) apud Bonaventuram, *Commentaria in quatuor Libros Sententiarum*, Lib. II, d. 3, pars 1, art. 1, q. 1, arg. 1 (ed. QR, tom. II, p. 89a).    17-18 unde secundum Philosophum... mota : Cf. Arist., *Metaphysica*, Lib. II, 994b26 sec. transl. Arabo-latinam, in Averroe, *Commentarium magnum in Aristotelis Metaphisicae Libros*, Lib. II, text. 12 (ed. Venetiis 1562, tom. VIII, f. 34ra, litt. AB ; ed. Darms, p. 73, lin. 1-2) : "et etiam materia necesse est ut imaginetur in re mota". Solet S. Thomas hoc Aristotelis effatum afferre sec. versionem arabico-latinam cum verbo "imaginare" loco "intelligere", quod habent versiones graeco-latinae. Cf. Transl. Iacobi sive Vetustissima (AL XXV.1, p. 39, lin. 18-19) : "sed et materiam in quo movetur intelligere necesse est" ; Transl. Composita sive Vetus (AL XXV.1, p. 122, lin. 11) et Transl. Anonyma sive Media (AL XXV.2, p. 39, lin. 11-12) : "sed materiam in moto intelligere necesse est" ; Transl. Guillelmi sive Nova (AL XXV.3.2, p. 46, lin. 94-95) : "Sed materiam in eo quod mouetur intelligere necesse est". Cf. S. Thomas, ad hoc in *Sententia Libri Metaphisice*, Lib. II, cap. 4 : "In omni eo quod

**Plate 8**

Leonina edition by J. Cos, *Sancti Thomae De Aquino opera omnia iussu Leonis XIII P.M. edita cura et studio fratrum Praedicatorum*. *Quaestio disputata de spiritualibus creaturis*, t. 24, 2 (Rome/Paris, 2000), p. 3

QUAESTIONES DISPUTATAE

# DE POTENTIA

## I

Quaestio est

## DE POTENTIA DEI ABSOLUTE

*Et primo* quaeritur utrum in Deo sit potentia.

*Secundo* utrum potentia Dei sit infinita.

*Tertio* utrum ea quae sunt naturae impossibilia, Deo sint possibilia.

*Quarto* utrum iudicandum sit aliquid possibile vel impossibile, secundum causas inferiores vel superiores.

*Quinto* utrum Deus possit facere quae non facit, et dimittere quae facit.

*Sexto* utrum Deus possit facere quae alii faciunt, ut peccare, ambulare, etc.

*Septimo* utrum Deus dicatur omnipotens.

### *Art.* 1.

### Et *primo* quaeritur UTRUM IN DEO SIT POTENTIA.

ET VIDETUR QUOD NON.

1. Potentia enim est operationis principium. Sed operatio Dei, quae est eius essentia, non habet principium, quia neque est genita neque procedens. Ergo in Deo non est potentia.

2. Praeterea, omne perfectissimum est Deo attribuendum, secundum Anselmum (1) [in *Monol.*, cap. XIV]. Ergo quod respicit aliquid se perfectius, non debet Deo attribui. Sed omnis potentia respicit se perfectius, scilicet passiva formam et activa operationem (2). Ergo potentia Deo attribui non potest.

3. Praeterea, potentia est principium transmutandi in aliud secundum quod est aliud: secundum Philosophum (3) [in V *Metaphys.*, text. 17]; sed principium relatio quaedam est; et est relatio Dei ad creaturas, prout significatur in potentia creandi vel movendi. Nulla autem talis relatio est in Deo secundum rem, sed solum secundum rationem. Ergo potentia non est in Deo secundum rem.

4. Praeterea, habitus est perfectior potentia, utpote operanti propinquior. Sed habitus non ponitur in Deo. Ergo nec potentia.

5. Praeterea, nihil debet in Deo significari per quod derogetur eius primitiae vel simplicitati. Sed Deus, in quantum est simplex, et primum agens, agit per essentiam suam. Ergo non debet significari agere per potentiam, quae saltem secundum modum significandi super essentiam addit.

1 PARALL.: *S. Th.*, I, q. 25, a. 1; *C. Gent.*, I, 16; II, cc. 7-10; I *Sent.*, D. 42, q. 1, a. 1.

(1) S. ANSELMUS, Ecclesiae Doctor, n. Augustae Praetoriae (Aosta) a 1033 † 1109. Fuit monachus in Abbatia Beccensi (in Normandia), dein episcopus Cantuariensis. Tametsi in suis scriptis, de more Patrum, Augustinum sequitur, attamen modo novo psychologiam et theodiceam pertractat. Notum est enim quomodo Dei existentiam a priori seu ex ipso conceptu demonstrare conetur. Item, de habitudine rationis ad fidem agendo, principium novum ponit, quod scilicet ratio - postquam fide se Deo subdidit (« *Credo ut intelligam* ») - dogmata tum argumentis probabilibus confirmare, tum notionibus philosophicis illustrare potest, immo debet. Ex quo ut theologiae scholasticae fundator habetur, licet nondum satis distinguat dominium theologicum a philosophico, neque doctrinalem, more scholasticorum, synthesim formaverit. Opera praecipua sunt: *Monologium; Proslogium; Liber apologeticus ad insipientem; De fide Trinitatis et Incarnationis Verbi; Cur Deus homo; De Veritate; De grammatico; De Libero arbitrio; De concordia; De processione Spiritus Sancti contra Graecos.* Aliqua minoris momenti (PL. 158-159). In *Monologio* autem auctor, methodo rationali, doctrinam christianam de Dei natura et Trinitate exponit. (Cfr. Dêwulf, *Histoire de la philosophie Médiévale*, Louvain 1934, t. I, pp. 166-176).

(2) Cfr. Cl. Suermondt, *Principia recensionis*, in: Ang. 1926, p. 432, nota.

(3) Idest, Aristoteles n. Stagirae a. 384 a. C. † Chalcide a. 322. De eius vita, doctrina ac scriptis Cfr Historiam philosophiae.

— 7 —

**Plate 9**

Turin edition by Paul M. Pession (ed.), *S. Thomae Aquinatis doctoris angelici, Quaestiones disputatae*, t. 2: *Quaestiones disputatae de potentia* (Marietti: Turin/Rome, 1949; editio VIII revisa), p. 7